Ἐν τῇ μνήμῃ τῶν ἀσεβῶν τὸν πρῶτον συμπεράνας ψαλμὸν, ἐκ ταύτης πάλιν τοῦ δευτέρου τὴν ἀρχὴν ἐποιήσατο· διδάσκων ὅτι τὸ προειρημένον τῶν ἀσεβῶν τέλος, καὶ τοὺς κατὰ τοῦ σωτῆρος λυττήσαντας 4) βασιλέας τε καὶ ἄρχοντας, καὶ Ἰουδαίους, καὶ ἐθνικοὺς ὑποδέξεται. 5) ἐν γὰρ τῷ δευτέρῳ ψαλμῷ τοῦ 6) Δεσπότου Χριστοῦ, καὶ τὰ ἀνθρώπινα πάθη, καὶ τὴν βασιλείαν προαγορεύει· καὶ μέντοι καὶ τῶν ἐθνῶν 7) προθεσπίζει τὴν κλῆσιν, καὶ τὴν Ἰουδαίων ἀπιστίαν θρηνεῖ. τὸ γὰρ ἵνα τί ἐφρύαξαν ἔθνη, ὀδυρομένου ἐστὶ καὶ μεμφομένου τὴν ἄνοιαν. οὐ χρεία δὲ ἡμῖν λόγων εἰς ἑρμηνείαν πολλῶν, 8) τοῦ θεσπεσίου Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων, ἐν ταῖς πράξεσι τεθεικότος τὴν ἑρμηνείαν, καὶ Ἡρώδην

1) Cod. 2. ἑκάστοις. 2) ἀνθρώποις. Cod. 2. ἀνδράσι. 3) Locum huius inscriptionis in Cod. 1. et 2. occupant verba Textus v. 1. et 2. ORIGENE teste hic Psalmus in vno Codice coniunctus fuit cum primo, vnde factum, vt Act. 13, 33. in paucis exemplaribus pro Ψαλμῷ τῷ δευτέρῳ legatur πρώτῳ. 4) Cod. 2. βασιλεῖς. 5) ἐν — θρηνεῖ. Def. apud CORD. p. 28. 6) δεσπότου. Abest a Cod. 2. 7) Cod. 1. θεσπίζει. 8) τοῦ θεσπεσίου Πέτρου. Non solius Petri sed Apostolorum qui congregati erant, hæc sunt verba.

a) 1 Cor. 3, 15. b) Act. 4, 25-28.

Ἡρώδου, καὶ Πόντιον Πιλάτον, καὶ τοὺς ἀρχιερεῖς καὶ γραμματέας, βασιλέας τε, καὶ ἄρχοντας ὀνομάσαντος. 1) ὁ μὲν γὰρ ὑπὸ τοῦ Ῥωμαίων ἀπέσταλτο βασιλέως, τὴν ἐκείνου διέπων ἀρχήν· ὁ δὲ τετράρχης Ἰουδαίων κατ' ἐκεῖνον ἐτύγχανε τὸν καιρόν. καὶ ὁ μὲν εἶχεν ἐξ Ἰουδαίων ὑπηκόους, ὁ δὲ τοὺς ἐξ ἐθνῶν στρατιώτας. ἀλλ' ὅμως 2) κατὰ ταυτὸν γενόμενοι, καὶ τὸν δεσποτικὸν τυρεύσαντες φόνον, κενὰ καὶ μάταια ἐβουλεύσαντο, λήθῃ παραδοῦναι μὴ δυνηθέντες τὸν ὑπ' αὐτῶν σταυρωθέντα. τῇ τρίτῃ γὰρ ἀναστὰς ἡμέρᾳ τῆς οἰκουμένης ἐκράτησε. πρεπόντως δὲ μάλα, καὶ λίαν εἰκότως, τὸ ἐμελέτησαν κενὰ τῷ τοῦ λαοῦ προσώπῳ συνήρμοσεν. Ἰουδαῖοι γὰρ 3) τὴν πονηρὰν ταύτην ἐποιήσαντο κατὰ τοῦ σωτῆρος μελέτην. καὶ μάρτυς ἡ τῶν ἱερῶν εὐαγγελίων 4) Φωνὴ, διδάσκουσα, ὡς ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον 5) ἔλαβον ὅπως αὐτὸν ἀπολέσωσιν, καὶ Καϊάφας βοῶν, συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τὸ δὲ ἐφρύαξαν ὁ μὲν Ἀκύλας, 6) ἐθορυβήθησαν, ὁ δὲ Σύμμαχος ἐταράχθησαν 7) ἡρμήνευσαν. τοῦτο δὲ, τῷ τῶν ἐθνῶν προσώπῳ προσκείμενον, ὑποβάλλει τῶν Ἰουδαίων τῷ Πιλάτῳ τὸν Ἰησοῦν ὥς τινα τύραννον προσαγαγόντων, καὶ δεῖν αὐτὸν ἀναιρεθῆναι πολλάκις εἰρηκότων, ἄκων ἐκεῖνος τὴν θανατηφόρον ἐξήνεγκε ψῆφον, δείσας ὡς εἰκὸς ἀπολῦσαι, μή τις ἐντεῦθεν γραφὴ κατ' αὐτοῦ 8) τυρευθῇ. ὡς γὰρ ὁ μακάριος ἔφη Λουκᾶς, κατηγόρουν αὐτοῦ λέγοντες, τοῦ-

* Herodem, et Pontium Pilatum, et * principes sacerdotum, et scribas, et reges, ac potestates nominarit. Hic enim a Romanorum Imperatore vt prouinciam gubernaret missus fuerat, ille vero Iudæorum Tetrarcha tunc temporis erat: et hic quidem ex Iudæis subditos habebat, ille vero ex gentibus milites. Sed tamen cum in vnum conuenissent, ac Domini necem machinati essent, vana et inania consultauerunt, quippe qui obliuione obscurare quem ipsi crucifixerant non potuerint: cum enim tertio die resurrexisset, tota terra potitus est. Valde autem congruenter, et merito hæc verba, *meditati sunt inania*, populi personæ accommodauit. Iudæi namque hoc prauum consilium contra Saluatorem inierunt. Et testis est sacrorum Euangeliorum vox, docens, a) quod *abeuntes Pharisæi consilium ceperint, quomodo illum perderent.* Et Caiphas clamans: b) *Expedit, vt vnus homo moriatur, et non tota gens pereat.* Illud vero, *Fremuerunt*, Aquila *tumultuati sunt*, Symmachus autem *turbant* interpretati sunt. Quod quidem in persona gentium positum, facit vt intelligatur, cum Iudæi Iesum vt tyrannum quendam ad Pilatum adduxissent, ac sæpius illum occidendum esse dixissent, mortis sententiam inuitum illum pronunciasse, veritum, vt verisimile est, ne si eum dimisisset, inde ab aliquibus accusatio contra ipsum captaretur. Vt enim beatus ait Lucas, c) quidam ex accusantibus dicebant: *Hunc inueni-*

1) ὁ μὲν γὰρ κ. τ. λ. In horum locum alia substituta sunt apud CORD. p. 28. 2) Cod. 2. κατ' αὐτοῦ. 3) τὴν — μελέτην. Cod. 2. ταύτην ἐποιήσαντο τὴν κατὰ τοῦ σωτῆρος μελέτην τὴν πονηράν. 4) φωνή. Cod. 1. 2. ἱστορία. 5) ἔλαβον. Cod. 2. ἐποιήσαντο. 6) Cod. 2. ἐθορύβησαν. 7) Cod. 1. 2. ἡρμηνεύκασιν. 8) τυρευθῇ. Cod. 1. εὑρεθῇ.

a) Marc. 3, 6. b) Ioh. 11, 50. c) Luc. 23, 2.

inuenimus subuertentem gentem, atque prohibentem censum dari Caesari, asserentem se ipsum Christum regem esse. 1. *Quare fremuerunt gentes, et populi meditati sunt inania?* 2. *Adstiterunt reges terrae, et principes conuenerunt in vnum aduersus Dominum, et aduersus Christum eius.* Non dicit *gentes* cum articulo, vt omnes comprehendi existimes: verum dicit *gentes*, ad singulare aliquid sensum dirigens. Nam quia Iudaei Iesum comprehensum gentibus tradiderunt, merito haec dicit. Quae tanta, inquit, caussa, vel quid ab eo factum est, vt populi contra ipsum commoti sint, et manibus gentium eum prodiderint? *Fremuerunt* autem dicitur pro *superbierunt.* 3. *Dirumpamus vincula eorum, et proiiciamus a*
* *nobis iugum ipsorum.* * Qui enim, ait, filium non honorat, neque patrem honorat: et congruenter post excussum filii iugum, etiam patris excutiunt. Mihi vero videtur Spiritus sanctus fideles adhortari, vt haec dicant: *Dirumpamus vincula eorum*, impiarum scilicet gentium, *et abiiciamus a nobis iugum eorum*, scilicet iniquorum Iudaeorum: atque in nos suaue iugum Domini suscipiamus. Ipsius enim est vox: *a*) *Sumite iugum meum super vos, quoniam iugum meum suaue, et onus meum leue est.* Ipsa porro lex *iugum* a diuinis Apostolis nuncupata est. Siquidem beatus Petrus in Actis

τον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, κ
κωλύοντα Καίσαρι φόρον 1) διδόναι, λ
γοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶν
α΄. Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λα
ἐμελέτησαν κενά; β΄. Παρέστησ
οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντ
συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κ
ρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτ
2) Οὐ λέγει τὰ ἔθνη μετὰ τοῦ ἄρθρ
ἵνα πάντας περιλαμβάνεσθαι νομίσ
ἀλλ᾽ ἔθνη, ἐπὶ μερικόν τι ἄγων τὴν
νοιαν. ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι λαβόντ
τοῖς ἔθνεσιν αὐτὸν ἐξέδωκαν, διὰ τοῦ
ταῦτά φησι· τίς ἡ τοσαύτη φησὶν
τία, ἢ τί τὸ γεγονὸς, ὡς καὶ τοὺς λα
συγκινηθῆναι κατ᾽ αὐτοῦ, καὶ εἰς χεῖρ
αὐτὸν παραδοθῆναι τῶν ἐθνῶν; τὸ
ἐφρύαξαν, ἀντὶ τοῦ ἠλαζονεύσαντ
γ΄. Διαῤῥήξωμεν τοὺς δεσμοὺς α
τῶν, καὶ ἀποῤῥίψωμεν ἀφ᾽ ἡμῶν τ
ζυγὸν αὐτῶν. 3) Ὁ γὰρ μὴ τιμῶ
φησὶ, τὸν υἱὸν, οὐδὲ τὸν πατέρα τιμ
καὶ εἰκότως μετὰ τοῦ υἱοῦ, καὶ τοῦ π
τρὸς τὸν ζυγὸν 4) ἀποπέμπονται. ἐμ
δὲ δοκεῖ τοῖς πεπιστευκόσι παρεγγυ
τὸ πανάγιον πνεῦμα ταῦτα λέγει
διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, τ
δυσσεβῶν 5) ἐθνῶν, καὶ ἀποῤῥίψωμ
6) ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν, τῶν π
ρανόμων Ἰουδαίων, καὶ λάβωμεν ἐφ᾽
μᾶς τὸν χρηστὸν τοῦ Κυρίου ζυγόν. 7) α
τοῦ γάρ ἐστιν ἡ φωνὴ, λάβετε τὸν ζυγ
μου ἐφ᾽ ὑμᾶς, ὅτι ὁ ζυγός μου χρηστὸ
καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. κ
αὐτὸς δὲ ὁ νόμος ζυγὸς ὑπὸ τῶν θεί
ἀποστόλων προσηγορεύθη. ὁ γὰρ θεσπ
σιος Πέτρος περὶ τούτου φησὶν ἐν τα
πράξεσ

1) διδόναι. Cod. 1. μὴ δοῦναι. 2) Οὐ — ἠλαζονεύσαντο. Des. in Cod. 1. et 3) Ὁ — ἀποπέμπονται. Des. apud CORD. p. 30. 4) Cod. 2. ἀποπέμπεται. 5) ἐθνῶν. Cod. 2. praem. καί. 6) ἀφ᾽ ἡμῶν. Des. in Cod. 2. 7) αὐτοῦ — ἐλαφρ ἐστι. Des. apud CORD. l. c.

a) Matth. 11, 29. 30.

φησί· τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, 1) ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλ᾽ ἢ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ᾽ ὃν τρόπον κἀκεῖνοι. τούτοις ἔοικε καὶ τὰ προφητικὰ ῥήματα, διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, 2) καὶ ἀποῤῥίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν· τουτέστιν ἀποστήσωμεν τὴν ἑαυτῶν καρδίαν τοῦ ὑπ᾽ αὐτοῖς εἶναι θέλειν· ἀποτιναξώμεθα τὸν τοῦ νόμου ζυγόν· μηδὲν ἡγώμεθα τὰ ἐν τύποις, εἰ μὴ νοοῖντο πνευματικῶς· ἀσυντελὴς καταλογιζέσθω πρὸς ὄνησιν ἡ σκιὰ, εἰ μὴ τοῦ Χριστοῦ μυστήριον ἐφ᾽ ἑαυτῇ ζωγραφεῖ. δ΄. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Ὁ γὰρ ὑπ᾽ αὐτῶν προσηλωθεὶς, καὶ θανάτῳ παραδοθεὶς, ἐν οὐρανοῖς ὢν, καὶ τὰ πάντα περιέχων, κενὰς αὐτῶν καὶ ματαίας δείκνυσι τὰς βουλάς. καὶ ὁ τούτου δὲ πατὴρ, καὶ τῶν ἁπάντων δεσπότης, τὴν ἀξίαν αὐτοὺς εἰσπράξεται 3) δίκην. ε΄. 4) Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ· καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. 5) Καὶ τούτων δὲ τῶν ῥημάτων τὴν ἑρμηνείαν διδάσκει τῶν πραγμάτων τὸ τέλος· στρατιὰ γὰρ αὐτοῖς ἐπιστᾶσα Ῥωμαϊκὴ τήν τε πόλιν [illegible], καὶ ἐνέπρησε τὸν νεὼν, καὶ αὐτῶν τοὺς μὲν πλείστους θανάτῳ παρέπεμψε, τοὺς δὲ τὴν σφαγὴν ἐκφυγόντας ἐξανδραποδίσασα, δουλείᾳ παρέδωκεν. ἐπιστῆσαι δὲ προσήκει τὸν νοῦν, ὡς δύο προσώπων ἐφεξῆς μέμνηται· καὶ πρώτων μὲν Κυρίου καὶ Χριστοῦ. κατὰ τοῦ

ait: a) *Cur tentatis Deum, imponere iugum ſuper ceruices diſcipulorum, quod neque patres noſtri, neque nos ferre potuimus? ſed per gratiam Domini Ieſu credimus, nos ſaluos eſſe futuros, quemadmodum et illi.* His conueniunt et prophetæ verba: *Dirumpamus vincula ipſorum, et proiiciamus a nobis iugum illorum:* hoc eſt, cor noſtrum ab illis ſegregemus, ne velimus illis ſubiici; excutiamus legis iugum; quæ in figuris ſunt, parui ducamus, niſi ſecundum ſpiritum intelligantur; nullius momenti ad vtilitatem exiſtimetur vmbra, niſi in ſua prædictione myſterium Chriſti adumbret. 4. *Qui habitat in cælis irridebit eos, et Dominus ſubſannabit eos.* Qui enim ab ipſis cruci affixus, mortique traditus eſt, in cælis habitans, omniaque continens, vanas atque ſtultas eorum cogitationes oſtendit. Huius vero pater, et omnium Dominus, pœnam ab eis exiget dignam. 5. *Tunc loquetur ad eos in ira ſua, et in furore ſuo conturbabit eos.* Et horum quoque verborum interpretationem ipſe rerum euentus docet. Romanus enim exercitus eos aggreſſus, vrbem euertit, et templum combuſſit, plurimosque ipſorum morte multauit: eos vero qui mortem euaſerant, captiuos in ſeruitutem abduxit. Oportet autem animaduertere, quod duarum perſonarum conſequenter mentionem fecerit: primum quidem Domini et Chriſti: *Aduerſus Dominum,* inquit,

1) ὃν — ζωγραφεῖ. Alia in horum locum ſubſtituta vid. apud CORD. p. 31. 2) καὶ — ζωγραφεῖ. Deſ. in Cod. 1. In Cod. 2. hæc pauca tantum leguntur, καὶ — αὐτῶν. 3) δίκην. Pauca ſubiungit CORD. p. 32. 4) Τότε. Cod. 1. addit γὰρ, φησί. 5) Καί τούτων κ. τ. λ. Alia ſunt quæ habet CORD. l. c.

a) Actor. 15, 10. 11.

inquit, *et aduersus Christum eius:* deinde illius qui cælos incolit, et Domini: *Qui enim habitat in cælis irridebit eos, et Dominus subsannabit eos.* Et rursus eandem seruauit figuram. * 6. *Ego autem constitutus sum rex ab eo.* Et hîc interpungendum est, et postea subiungendum, *super Sion montem sanctum eius prædicans præceptum Domini.* Non enim tantummodo montis Sion rex est, sed visibilium et inuisibilium, omnisque creaturæ. In monte vero Sion, et in Iudæa, suam diuinam doctrinam accedentibus proposuit: qui vero hanc susceperunt, in omnem terram flumina deriuarunt, diuinis eius præceptis parentes. a) *Euntes enim*, inquit, *docete omnes gentes.* Hoc autem, *constitutus sum rex ab eo*, humano more dixit. Vt Deus quippe, innatum habet regnum: vt homo autem, electione delatum recipit. Quod vero vt Deus, imperium sine principio habeat, idem propheta docet, dicens: b) *Sedes tua Deus in sæculum sæculi, virga æquitatis, virga regni tui.* Hunc vero psalmum beatus Paulus de filio dictum ait. Verumtamen et regnum habet vt Deus, et accipit vt homo. Eodem modo, cum altissimus nominatus sit vt Deus, exaltatus est vt homo. Et Dauid quidem diuinam altitudinem prædicans, clamat: c) *Cognoscant, quod nomen tibi sit Dominus, tuque solus sis altissimus per*

Κυρίου γάρ ἔφη, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· εἶτα κατοικοῦντος ἐν οὐρανοῖς καὶ Κυρίου· ὁ κατοικῶν γὰρ ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, 1) καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς· καὶ αὖθις δὲ τὸ αὐτὸ διετήρησε σχῆμα. ϛ'. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ. Καὶ ἐνταῦθα δὲ στίξαι προσήκει, καὶ τότε ἐπαγαγεῖν, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ 2) διαγγέλλων τὸ πρόσταγμα Κυρίου. 3) οὐ γὰρ τοῦ Σιὼν ὄρους βασιλεύει μόνου, ἀλλ' ὁρατῶν καὶ ἀοράτων, καὶ πάσης τῆς κτίσεως. ἐπὶ δὲ τοῦ Σιὼν ὄρους, καὶ τῆς Ἰουδαίας, τὴν θείαν αὐτοῦ διδασκαλίαν τοῖς 4) προσιοῦσι προσήνεγκεν. οἱ δέ γε ταύτην δεξάμενοι 5) μετωχέτευσαν εἰς ἅπασαν τὴν οἰκουμένην τὰ νάματα, τοῖς θείοις αὐτοῦ πεισθέντες προστάγμασι. πορευθέντες γάρ φησι μαθητεύσατε πάντα τὰ ἔθνη. τὸ δὲ, ἐγὼ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἀνθρωπίνως λέγει· ὡς γὰρ Θεὸς, ἔμφυλον ἔχει τὴν βασιλείαν· ὡς δὲ ἄνθρωπος, χειροτονητὴν δέχεται ταύτην· ὅτι δὲ ὡς Θεὸς ἄναρχον ἔχει τὸ κράτος, ὁ αὐτὸς διδάσκει προφήτης λέγων, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. τοῦτον δὲ τὸν ψαλμὸν ὁ μακάριος Παῦλος εἰς τὸν υἱὸν εἰρῆσθαί φησιν· ἀλλ' ὅμως καὶ ἔχει τὴν βασιλείαν ὡς Θεὸς, καὶ λαμβάνει ὡς ἄνθρωπος. 6) οὕτως ὕψιστος ὀνομαζόμενος ὡς Θεὸς, ὑψώθη ὡς ἄνθρωπος. καὶ ὁ μὲν Δαβὶδ τὸ θεῖον ὕψος κηρύττων βοᾷ, γνώτωσαν ὅτι ὄνομά σοι Κύριος, σὺ μόνος 7) ὕψιστος ἐπὶ πᾶσαν τὴν

1) καὶ — αὐτούς. Def. in Cod. 2. 2) διαγγέλλων — Κυρίου. Ab his verbis incipere solet vers. 7. Aliam autem interpunctionem sequitur THEODORETVS, quæ satis bona esset, nisi a Textu hebr. recederet. 3) οὐ — ἐπήγαγε λέγων. Pauciora sunt quæ habet CORD. p. 32. 4) προσιοῦσι. Cod. 1. εἰσιοῦσι. 5) Cod. 2. μετώχευσαν. 6) οὕτως. Cod. 1. οὗτος. 7) ὕψιστος. Repetitur in Cod. 2.

a) Matth. 28, 19. b) Psal. 44, 6. c) Psal. 82, 18.

τὴν γῆν· καὶ ὁ Ζαχαρίας πρὸς τὸν Ἰωάννην, καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ. τὸ δ' ἀνθρώπινον ὕψος ὁ μακάριος Παῦλος διδάσκει λέγων, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· καὶ μὴν τὸ υἱὸς μονογενὴς ὄνομα πρὸ τῶν αἰώνων εἶχεν ὁ Θεὸς λόγος τῷ πράγματι συμφυές· ἀλλ' ὅμως ἔχων ὡς Θεὸς τὴν τοῦ υἱοῦ προσηγορίαν, λαμβάνει αὐτὴν καὶ ὡς ἄνθρωπος. διὸ καὶ ἐν τῷ προκειμένῳ ψαλμῷ ἐπήγαγε λέγων.
ζ'. Κύριος εἶπε πρός με, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Ταύτην δὲ τὴν φωνὴν οὐκ ἄν τις, τῇ τοῦ θείου πνεύματος διδασκαλίᾳ πειθόμενος, τῇ θεότητι προσάψοι τοῦ Δεσπότου Χριστοῦ· περὶ γὰρ ἐκείνης ἀκούσωμεν τοῦ Θεοῦ τῶν ὅλων διὰ τοῦ Δαβὶδ λέγοντος, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ὡς ἄνθρωπος τοίνυν καὶ ταύτην δέχεται 1) τὴν φωνὴν, ὡς ἄνθρωπος καὶ τῶν ἐπαγομένων ἀκούει.
η'. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. 2) Ὡς γὰρ Θεὸς ποιητής ἐστι τῶν ἁπάντων· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο 3) οὐδέν· καὶ ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, εἴτε ὁρατὰ, εἴτε ἀόρατα. 4) εἰ Δεσπότης ἐστὶ καὶ δημιουργὸς τῶν ὅλων, καὶ Δεσπότης ἐστὶ καὶ Κύριος ὧν ἐποίησεν· ἀλλ' ὅμως καὶ φύσει Δεσπότης ὢν ὡς Θεὸς, λαμβάνει καὶ ὡς ἄνθρωπος τῶν ὅλων τὴν δεσποτείαν. καὶ ἐπειδὴ πάλαι μόνον Ἰουδαίων ἐδόκει προμηθεῖσθαι, ἐγενήθη γὰρ, φησὶ, μερὶς Κυρίου 5) λαὸς

omnem terram. Et Zacharias dicit ad Ioannem: *a) Et tu puer propheta altissimi vocaberis.* Humanam vero altitudinem beatus Paulus docet, dicens: *b) Propterea et Deus exaltauit illum, et donauit illi nomen, quod est super omne nomen.* Praeterea nomen filii vnigeniti Deus Verbum ante saecula habebat connatum rei: sed tamen, vt Deus nuncupationem filii habens, etiam vt homo suscipit illam. Quapropter in hoc psalmo adiecit dicens: 7. *Dominus dixit ad me, Filius meus es tu, ego hodie genui te.* Hanc vero vocem nemo, qui Spiritus sancti doctrinae credat, diuinitati Domini Christi applicabit. De illa enim vniuersorum Deum Dauidis ore dicentem audiamus: *c) Ex vtero ante luciferum genui te.* Vt homo igitur et hanc vocem recipit, vt homo etiam quae sequuntur audit. 8. *Postula a me, et dabo tibi gentes hereditatem tuam, et possessionem tuam terminos terrae.* * Quippe vt Deus, vniuersorum est conditor. *d) Nam omnia per ipsum facta sunt, et sine ipso factum est nihil:* atque *e) in ipso condita sunt omnia, tum quae videmus, tum quae non videmus.* Si omnium est Dominus et opifex, eorum etiam quae fecit Dominus est et rector. Veruntamen cum Dominus natura sit, vt Deus; etiam vt homo vniuersorum dominium accipit. Et cum antiquitus Iudaeorum tantum gerere curam videretur, (*Factus est enim*, inquit, *f) pars Domini populus Iacob,*

B 3

1) τὴν φωνήν. Def. in Cod. 1. 2) Ὡς — προμήθειαν. Haec pauca tantum exstant apud CORD. p. 32. sq. 3) οὐδέν. Cod. 1. οὐδὲ ἕν. Cod. 2. οὐδὲ ἓν ὃ γέγονεν. Ita quoque leg. Ioh. 1, 3. 4) εἰ δεσπότης. Praestat lectio Cod. 1. et 2. εἰ δὲ ποιητής. Sic quoque legit CORD. l. c. 5) λαός. Cod. vterque addit αὐτοῦ, ad exemplum τῶν ὁ.

a) Luc. 1, 76. b) Phil. 2, 9. c) Psal. 109, 3. d) Ioh. 1, 3. e) Col. 1, 16. f) Deut. 32, 9.

Iacob, et funiculus hereditatis eius Iſrael;) et hic reprobatus ſit, vt qui ex hac cura nullam vtilitatem perciperet: merito ad gentes curam transfert, quas neque ab antiquo penitus deſpiciebat, et Moſaicam vaticinationem complet. Illius enim eſt vox, *a*) *Laetamini gentes cum plebe eius.* Licet autem euentum praedictioni congruentem inuenire. Eos enim, qui ex Iudaeis fidem ſuſceperunt, non tantum duodecim Apoſtolos, ſed etiam ſeptuaginta diſcipulos, et centum viginti, quibus congregatis beatus Petrus concionem habuit, et quingentos, quibus ſimul poſt reſurrectionem apparuit ſecundum diuini Pauli vocem, *b*) et ter mille, et quinquies mille, quos Apoſtolorum princeps praedicans piſcatus eſt, et multas myriades, de quibus magnus Iacobus aſſerit, *c*) *vides, frater, quot myriades ſint credentium Iudaeorum:* hos inquam omnes, et illos inſuper, qui per vniuerſum orbem ex Iudaeis crediderunt, declarans populum ſanctum eſſe, et per hos acquirens gentes omnes, vaticinationem implet, quae dicit: *Laetamini gentes cum populo eius.* Et praeterea propriam praedictionem complet, quam Iudaeis fecerat, dicens: *d*) *Et alias oues habeo, quae non ſunt ex hoc ouili, et illas oportet me adducere, et vocem meam audient, et fiet vnum ouile, et vnus paſtor.* Hoc et in propoſito pſalmo dicit: *Poſtula a me, et dabo tibi gentes*

Ἰακὼβ, χοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ· ἀπεβλήθη δὲ οὗτος, ὡς οὐδεμίαν ὠφέλειαν ἐκ 1) τῆς κηδεμονίας δεξάμενος· εἰκότως ἐπὶ τὰ ἔθνη μεταφέρει τὴν προμήθειαν, οὐδὲ 2) πάλαι τούτων ἠμεληκὼς, τήνδε Μωσαϊκὴν χρησμολογίαν πληρῶν· ἐκείνου γάρ ἐστι φωνὴ, εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. ἔστι δὲ καὶ τὴν ἔκβασιν εὑρεῖν τῇ προῤῥήσει συμβαίνουσαν. τοὺς 3) γὰρ ἐξ Ἰουδαίων πεπιστευκότας, οὐ τοὺς δώδεκα μόνον ἀποστόλους, ἀλλὰ καὶ τοὺς ἑβδομήκοντα μαθητὰς, καὶ τοὺς ἑκατὸν εἴκοσιν, ὧν συνηγμένων 4) ὁ μακάριος ἐδημηγόρησε Πέτρος, καὶ τοὺς πεντακοσίους; 5) οἷς μετὰ τὴν ἀνάστασιν ὤφθη 6) κατὰ ταυτὸν κατὰ τὴν τοῦ θεσπεσίου Παύλου φωνὴν, καὶ τοὺς τρισχιλίους, καὶ τοὺς πεντακισχιλίους οὓς ὁ τῶν ἀποστόλων κορυφαῖος δημηγορῶν ἐσαγήνευσε, καὶ τὰς πολλὰς μυριάδας, περὶ ὧν ὁ μέγας Ἰάκωβος ἔφη, θεωρεῖς ἀδελφὲ πόσαι μυριάδες εἰσὶ τῶν πεπιστευκότων Ἰουδαίων; τούτους δὴ, καὶ πρὸς τούτοις τοὺς κατὰ πᾶσαν τὴν οἰκουμένην ἐξ Ἰουδαίων πεπιστευκότας λαὸν ἅγιον ἀποφήνας, καὶ διὰ τούτων τὰ ἔθνη πάντα ζωγρήσας, πληροῖ τὴν προφητείαν τὴν λέγουσαν, εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ· πληροῖ δὲ πρὸς ταύτῃ καὶ τὴν οἰκείαν πρόῤῥησιν, ἣν πρὸς Ἰουδαίους ἐποιήσατο λέγων, καὶ ἄλλα 7) δὲ πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. τοῦτο καὶ ἐν τῷ προκειμένῳ 8) λέγει ψαλμῷ, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη

τὴν

1) τῆς. Cod. 2. ταύτης. 2) Cod. 2. πάλιν. 3) γάρ. Abeſt a Cod. 1. 4) ὁ μακάριος. Deſ. in Cod. 2. 5) οἷς. Abeſt a Cod. 2. In Cod. 1. ponitur poſt ἀνάστασιν. 6) Cod. 1. et 2. κατ' αὐτόν. 7) δέ. Abeſt a Cod. 2. 8) λέγει. Abeſt a Cod. 2.

a) Deut. 32, 43. *b*) 1 Cor. 15, 6. *c*) Act. 21, 20. *d*) Ioh. 10, 16.

τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ἀλλὰ γὰρ ἔπεισί μοι τὴν τῶν Ἰουδαίων ἀπιστίαν ὀδύρεσθαι, οἱ τῆς προφητείας ἀκούοντες τῶν τῆς γῆς περάτων ἀντικρὺς μεμνημένης, καὶ εἰδότες ὡς οὐδεὶς τῶν παρ' 1) αὐτῶν βασιλέων τοσαύτην ἡγεμονίαν ἐκτήσατο, ἀλλὰ μόνος ὁ ἐκ Δαβὶδ κατὰ σάρκα βλαστήσας Δεσπότης Χριστὸς, τυφλώττουσι τῆς διανοίας τὰ ὄμματα, 2) καὶ τὴν προφητείαν τὴν λαλοῦσαν 3) ψηλαφῶσιν, ὡς τυφλοὶ τοῖχον, καὶ οὐχ ὡς ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι. τούτου δὴ χάριν καὶ ἀπειλεῖ αὐτοῖς ὁ προφητικὸς λόγος. θ'. 4) Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Τῇ Ῥωμαϊκῇ δηλονότι βασιλείᾳ, 5) ἣν σίδηρον τροπικῶς, διὰ τὸ ἰσχυρόν τε καὶ ἀῤῥαγὲς, ἡ τοῦ Δανιὴλ προφητεία καλεῖ· καὶ συντρίψει αὐτοὺς πηλίνων δίκην σκευῶν. ἐπειδὴ γὰρ αὐτὸν 6) μόνον ἔχειν ἠρνήθησαν βασιλέα, μεγάλῃ δὲ κεκραγμένοι βοῇ ἔλεγον, 7) ἡμεῖς οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα, ἐπέστησεν αὐτοῖς ὃν ᾔτησαν Καίσαρα, καὶ διὰ τῆς 8) ἐκείνων στρατιᾶς τῆς ἀσεβείας ποινὴν 9) εἰσεπράξατο. εἰ δέ τις μὴ περὶ Ἰουδαίων, ἀλλὰ περὶ 10) ἐθνῶν, ταῦτα νομίζει εἰρῆσθαι, οὕτω νοῆσαι προσήκει· ὅτι ποιμανεῖ τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ, τῇ ἰσχυρᾷ αὐτοῦ καὶ ἀῤῥαγεῖ βασιλείᾳ· καὶ συντρίψει αὐτοὺς, ὡς σκεύη κεραμέως, ἀναλύων καὶ ἀναπλάττων διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, καὶ τῷ πυρὶ

hæreditatem tuam, et possessionem tuam terminos terræ. Veruntamen Iudæorum perfidiam deplorare mihi in mentem venit, qui audientes vaticinationem, quæ aperte terræ finium meminit, et scientes, neminem suorum regum tantum imperium possedisse, sed solum Dominum Christum ex Dauide secundum carnem prognatum; hallucinantur mentis oculis, iuxta prophetiam quæ dicit: *Palpant sicut caeci parietem, et tanquam ii qui carent oculis palpabunt.* * Quapropter propheticus sermo * illis minatur. 9. *Reges eos virgâ ferreâ, et tanquam vasa figuli confringes eos.* Romano videlicet regno, quod ferrum tropice, propter fortitudinem atque infractum robur, Danielis prophetia nominat. Et conteret eos instar vasorum luteorum. Postquam enim ipsum solum se habere regem negauerunt, et magna voce clamarunt: a) *Nos non habemus regem, nisi Cæsarem;* præfecit illis, quem postularunt, Cæsarem, atque per illorum exercitum impietatis pœnas exegit. Si quis vero non de Iudæis, sed de gentibus, hæc dicta esse existimet, hoc modo ea intelligere oportet, vt recturus sit gentes virgâ ferreâ, id est, forti suo et infracto regno: et fracturus sit illas, tanquam vasa figuli, resoluens et refingens per lauacri regenerationem, atque Spiritus

1) αὐτῶν. Cod. 1. 2. αὐτοῖς. 2) καί. Præferenda est lectio κατά, quam habet Cod. 1. et 2. 3) Cod. vterque ψηλαφήσουσιν. 4) Ποιμανεῖς αὐτούς. Vterque Codex habet, ὡς ποιμανεῖ αὐτοὺς, et addit ὁ ὑπ' αὐτῶν σταυρωθείς. Idem Additamentum exstat apud CORD. p. 33. 5) ἣν — ἀῤῥαγεῖ βασιλείᾳ. Hæc desunt apud CORD. l. c. 6) μόνον. Abest a Cod. 2. 7) ἡμεῖς. Def. in Cod. 2. 8) Cod. 1. et 2. ἐκείνου. 9) Cod. vterque εἰσεπράξαντο. 10) ἐθνῶν. Cod. vterque præm. τῶν.

a) Ioh. 19, 15.

Spiritus sancti igne duros efficiens. Cum hæc beatus Dauid prædixisset; deinceps admonet reges et subditos, vt ad saluatorem accurrant, et salutares amplectantur leges, et per illarum eruditionem atque doctrinam, vtilitatem percipiant. Dicit enim: 10. *Et nunc reges intelligite, et erudimini omnes qui iudicatis terram.* Omnium enim nostrûm rex est, qui prius videbatur Iudæos tantum regere. 11. *Seruite Domino cum timore, et exultate ei cum tremore.* Non enim decet eos, qui salute lætantur et gaudent, benignitati tantum confidere: sed huic etiam coniunctam iustitiam timere, et contremiscere. *Qui enim*, inquit, a) *putat se stare, videat ne cadat.* [Cum enim Dominum timentes quæ decent fecerimus, plurimam ex rebus gestis habemus iucunditatem, cum et conscientia est bona, et maximam ex ea percipimus voluptatem.] *Cum timore* autem, id est, in compunctione: ne Dei gaudium in mundi gaudium aliquando decidat. 12. *Apprehendite disciplinam, ne aliquando irascatur Dominus, et pereatis de via iusta.* Nam non sufficit ad perfectionem sola possessio cognitionis Dei, sed oportet practicam virtutem excolere: qua quidem

τοῦ πνεύματος στερεμνίους ἀπεργαζόμενος. 1) οὕτω ταῦτα προαγορεύσας ὁ μακάριος Δαβίδ, παραινεῖ λοιπὸν καὶ βασιλεῦσι καὶ ὑπηκόοις προσδραμεῖν τῷ σωτῆρι, καὶ τοὺς σωτηρίους ἀσπάσασθαι νόμους, καὶ τῇ δι' 2) ἐκείνων παιδείᾳ καὶ διδασκαλίᾳ τὴν ὠφέλειαν καρπώσασθαι. Φησὶ γάρ· ι. Καὶ νῦν βασιλεῖς σύνετε· παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Πάντων γὰρ 3) ἡμῶν 4) βασιλεύς, ὁ πάλαι δόξας μόνων Ἰουδαίων κρατεῖν. ια. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. 5) Οὐ γὰρ δεῖ μόνῃ τῇ φιλανθρωπίᾳ θαῤῥῆσαι, 6) ἀλλὰ καὶ τὴν ταύτῃ συνημμένην δικαιοσύνην, ἀγαλλομένους ἐπὶ τῇ σωτηρίᾳ καὶ χαίροντας, δεδιέναι καὶ τρέμειν. ὁ γὰρ δοκῶν, 7) φησίν, ἑστάναι, βλεπέτω μὴ πέσῃ. 8) [ἐπειδὰν γὰρ φοβηθέντες τὸν Δεσπότην τὰ προσήκοντα διαπραξώμεθα, πλείστην ἐκ τῶν πραχθέντων ἡμῖν ἔχομεν τὴν εὐφροσύνην ἐγγινομένην, τοῦ συνειδότος ἀγαθοῦ μὲν τυγχάνοντος, μεγίστην δὲ ἡμῖν διὰ τούτου τὴν χαρὰν παρεχομένου.] ἐν τρόμῳ δέ, τουτέστιν, ἐν κατανύξει· μήποτε ἡ τοῦ Θεοῦ χαρὰ εἰς τὴν τοῦ κόσμου μεταπέσῃ χαράν. ιβ. Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ 9) ἀπόλησθε ἐξ ὁδοῦ 10) δικαίας. Οὐκ ἀρκεῖ 11) γὰρ μόνη τῆς θεογνωσίας ἡ κλῆσις εἰς τελειότητα· ἀλλὰ χρὴ καὶ τὴν πρακτικὴν μετελθεῖν ἀρετήν· ἧς 12) ἐπιλαμβα-

1) οὕτω κ. λ. Alia horum loco exhibet CORD. p. 34. 2) Cod. 2. ἐκεῖνον. 3) ἡμῶν. Cod. vterque ὑμῶν. 4) βασιλεύς. Vterque Cod. præm. ἐστι. Ita quoque habet CORD. l. c. 5) Οὐ. Cod. 1. 2. οὐδέ. Ita quoque CORDER. 6) ἀλλὰ καί. Cod. vterque δεῖσαι. 7) φησίν. Abest a Cod. 1. 8) ἐπειδὰν — μεταπέσῃ χαράν. Desid. in Cod. 1. et 2. Quæ vncinis inclusa sunt, desunt quoque apud CORD. 9) ἀπόλησθε. Cod. 1. 2. ἀπολεῖσθε. 10) δικαίας. Hoc quidem a Textu hebr. est alienum, parum tamen ab Interpr. græcis h. l. recedit *Syrus*, qui vertit, *et pereatis de via eius* sc. Domini. 11) γάρ. Abest a Cod. 2. 12) Cod. vterque ἐπιλαβόμενοι.

a) 1 Cor. 10, 12.

λαμβανόμενοι τὴν ἀπλανῆ πορείαν 1) ὁδεύσετε. ιγ΄. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ· 2) μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτῷ. Ἐν γὰρ τῷ τῆς κρίσεως καιρῷ, τῆς ὑμετέρας κακίας, οἷόν τινος ὕλης εὐπρήστου, καθάπερ πῦρ τὴν θείαν ἐκκαιούσης ὀργὴν, πόῤῥω που γενήσεσθε τῆς τῶν δικαίων ὁδοῦ, δίκας τίνοντες ὧν κατὰ τόνδε τὸν βίον πεπλημμελήκατε. τηνικαῦτα δὲ καὶ οἱ ἀληθῶς καὶ βεβαίως εἰς αὐτὸν ἠλπικότες, λήψονται τῆς ἐλπίδος καρπὸν, τὸν 3) μακαρισμόν. μακάριοι γάρ φησιν οἱ πεποιθότες ἐπ᾽ αὐτῷ. εἰ καὶ 4) γὰρ κατὰ τὸν παρόντα βίον τὸν μακαρισμὸν ἔχουσιν οἱ τῆς ἀρετῆς ἀθληταὶ, ἀλλ᾽ οὖν ἀληθέστερον αὐτὸν 5) δέξονται κατ᾽ ἐκείνην τὴν ἡμέραν, καθ᾽ ἣν οἱ πονηρία συνεζηκότες τὴν θείαν ὀργὴν καθ᾽ ἑαυτῶν 6) ἐπισπάσονται.

apprehensa, certam tutamque ibitis viam. * 13. *Cum exarserit in breui ira eius: beati omnes, qui confidunt in eo.* * Tempore enim iudicii, cum vestra malitia, veluti quædam materia ad comburendum apta, diuinam succenderit iram perinde ac ignem, tunc longe eritis a via iustorum, pendentes pœnas earum, quæ in vita peccaueritis. Tunc autem etiam illi, qui vere et firmiter in ipsum sperauerunt, reportabunt suæ spei amplissimum fructum, nimirum beatitudinem. *Beati enim*, inquit, *qui confidunt in eo.* Si enim in hac vita felicitate potiuntur virtutis athletæ, veriorem felicitatem accipient die illo, quo ei qui improbe vixerint iram diuinam in se ipsos adducent.

ΕΡΜΗΝ. ΤΟΥ Γ΄ ΨΑΛΜΟΥ.

α΄. Ψαλμὸς τῷ Δαβὶδ, 7) ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ. 8) Δήλη μὲν τοῖς ἐμμελεστέροις ἡ ἱστορία· τῶν δὲ ῥαθυμοτέρων ἕνεκα συντόμως ταύτην ἐρῶ. 9) μετὰ τὴν διπλῆν ἐκείνην παρανομίαν, ὁ μέγας Δαβὶδ 10) πολλαῖς καὶ παντοδαπαῖς περιέπεσε συμφοραῖς. οὐ γὰρ μόνον τὰ προσοικοῦντα ἔθνη πρὸς μάχην ἐκινήθη καὶ πόλεμον, ἀλλὰ καὶ αὐτὸς ὁ οἶκος τὴν στάσιν ἐδέξατο, 11) καὶ παρανομία

INTERP. PS. III.

1. *Psalmus Dauidis, quando fugit a facie Absolomi filii sui.* Manifesta est historia hominibus curiosis, verum pro segnioribus hanc breuiter attingam. Post geminum illud peccatum, in multas variasque calamitates magnus Dauid incidit Nam non solum finitimæ gentes ad pugnam bellumque commotæ sunt, sed ipsius etiam domus cœpit seditione laborare, et peccatum

 peccato

1) Cod. 2. ὁδεύετε. Apud. CORD. p. 34. quædam alia sequuntur. 2) μακάριοι — ἐπ᾽ αὐτῷ. Hæc in vtroque Cod. nostro seiuncta sunt a præcedentibus. 3) μακαρισμόν. Hoc loco quædam apud CORD. p. 35. sequuntur. 4) γάρ. Des. in vtroque Cod. 5) δέξονται. In vtroque Cod. et apud CORD. sequitur post κατ᾽ ἐκείνην. 6) ἐπισπάσονται. Vide quæ sequuntur apud CORD. l. c. 7) ὁπότε. Cod. ὅτε. 8) Δήλη — ἐρῶ. Des. apud CORD. p. 44. 9) μετὰ τὴν — μετάνοιαν. Hæc e Cod. vatic. exhibuit GARNER. Auct. p. 7. 10) πολλαῖς καί. Des. apud GARN. l. c. 11) καὶ — διαδέξατο. Hæc in Cod. nostro 2. et apud GARN. l. c. desunt. In Cod. 1. autem desideratur tantum παρανομία.

peccato successit. Amnonis intemperantiam excepit Absalomi e cæde contaminatio, fratricidium autem insultus contra patrem, et subditorum defectio. Cum enim diuina gratia Dauidi prospiceret, nihil horúm illi accidit: cum vero ob patratum crimen ab eo decessisset, malitia locum occupauit, et tragœdiis digna fecit, malorumque cumulum sibi contraxit. Tunc igitur temporis parricidam fugiens filium, illosque qui cum ipso aciem instruebant, hunc conscripsit psalmum: nimirum diuino numine adspirante ob feruentem ab eo actam pœnitentiam. 2. *Domine cur multiplicati sunt qui tribulant me? multi insurgunt aduersus me.* 3. *Multi dicunt animæ meæ, non habet ille salutem in Deo suo.* Multi quidem et varii hostes multis e locis me aggrediuntur: hi tamen plus ceteris me discruciant qui me irrident, ac dicunt me tua prouidentia destitutum esse. Ego vero non ignoro, te nolle me despectui habere, licet grauiter deliquerim. Sed confido, te * erecturum * eum, qui propter peccatum humilis et abiectus est, et inimicis superiorem ostensurum: hoc enim declarauit dicens: 4. *Tu autem Domine susceptor meus es, gloria mea, et exaltans caput meum.* Neque enim regno ac potentiæ

παρανομίαν διεδέξατο. 1) τὴν τοῦ Ἀμνὼν ἀκολασίαν ἡ τοῦ Ἀβεσσαλὼμ 2) μιαιφονία, καὶ τὴν ἀδελφοκτονίαν ἡ κατὰ τοῦ πατρὸς 3) ἐπανάστασις, καὶ ἡ τῶν ὑπηκόων 4) ἀπόστασις. 5) προμηθουμένης γὰρ τῆς θείας χάριτος, τούτων οὐδὲν ἐπέλασε τῷ Δαβίδ. ἐκείνης δὲ διὰ τὴν γεγενημένην 6) ἀποστάσης παρανομίαν, χώραν ἔλαβεν ἡ κακία, καὶ τραγῳδίας 7) ἄξια δέδρακε, καὶ φορὰν ἐβλάστησε 8) συμφορῶν· κατ᾽ ἐκεῖνον τοίνυν τὸν καιρὸν, τὸν πατραλοίαν ἀποδιδράσκων υἱὸν, καὶ τοὺς σὺν αὐτῷ τὴν 9) πρὸς αὐτὸν ἀναδεξαμένους παράταξιν, τοῦτον ἔγραψε τὸν ψαλμόν· τοῦ θείου πνεύματος δηλονότι καὶ τηνικαῦτα 10) ἐνηργηκότος διὰ τὴν θερμὴν 11) ὑπ᾽ αὐτοῦ γεγενημένην μετάνοιαν. β΄. Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με. πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ. γ΄. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Πολλοὶ μέν 12) τοι, καὶ παντοδαποὶ πολέμιοι πολλαχόθεν προσβάλλουσιν· ἀνιῶσι δέ με 13) πλέον οἱ ἐπιτωθάζοντες, καὶ τῆς σῆς προμηθείας γεγυμνῶσθαί με λέγοντες. ἐγὼ δὲ οἶδα, ὡς οὐκ ἀνέξῃ με παριδεῖν, καί τοι πεπλημμεληκότα μεγάλα. 14) ἀλλὰ τὸν νῦν ταπεινὸν διὰ τὴν ἁμαρτίαν γεγενημένον ὑψώσεις, καὶ κρείττονα δείξεις τῶν δυσμενῶν. τοῦτο γὰρ παρεδήλωσεν εἰρηκώς· δ΄. Σὺ δὲ Κύριε ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου. 15) Οὐδὲ γὰρ τῇ βασιλείᾳ, καὶ τῇ δυναστείᾳ

1) *τήν.* apud GARN. præc. *καί.* 2) *μιαιφονία.* Cod. 2. addit *διεδέξατο.* 3) Cod. 2. *ἐξανάστασις.* 4) *ἀπόστασις.* GARN. habet *ὑποστασία*, vt puto, pro *ἀποστασία.* 5) *προμηθουμένης — συμφορῶν.* Def. apud GARN. 6) *ἀποστάσης.* In Cod. 1. sequitur post *παρανομίαν.* 7) *ἄξια.* Def. in Cod. 2. 8) CORD. p. 44. habet *σύμφορον.* 9) *πρὸς αὐτόν.* GARN. *πονηράν.* 10) GARN. *ἐνηρτηκότος*, minus bene. 11) *ὑπ᾽ αὐτοῦ γεγενημένην.* GARN. *αὐτοῦ.* 12) *τοι.* Cod. vterque *μοι.* 13) *πλέον.* Cod. 1. *παντάπασιν.* Cod. 2. *πλεῖον.* 14) *ἀλλὰ τὸν κ. τ. λ.* Alia vid. apud CORD. p. 46. 15) *οὐδέ.* Cod. 2. *οὐ.*

ϛείᾳ θαῤῥῶ, ἀλλά σε δόξαν ἐμὴν εἶναι πιςεύω, καὶ ὑπὸ τῆς σῆς ἐλπίζω ταχέως ὑψωθήσεσθαι 1) δεξιᾶς. ε΄. Φωνῇ μȣ πρὸς Κύριον ἐκέκραξα, καὶ 2) ἐπήκουσέ μου ἐξ ὄρους ἁγίȣ αὐτȣ̃. Διὰ 3) τοι τȣ̃το μετὰ πάσης προθυμίας προσφέρω σοι τὰς δεήσεις, εἰδὼς ὅτι παραυτίκα τὰς αἰτήσεις παρέξεις. οὐ φωνὴν δὲ ἐνταῦθα 4) καὶ βοὴν τὴν κραυγὴν νοητέον, ἀλλὰ τὴν τῆς ψυχῆς προθυμίαν. 5) ὅτω γὰρ καὶ ὁ τῶν ὅλων Θεὸς πρὸς σιγῶντα τὸν μακάριον ἔφη Μωσῆν· τί βοᾷς πρός με; βοὴν τὴν σιγὴν ὀνομάζων διὰ τὴν σπουδαίαν τῆς διανοίας εὐχήν. τὸ δὲ, εἰσήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτȣ̃, κατὰ τὴν πάλαι κατέχουσαν εἴρηται δόξαν· ἐνομίζετο γὰρ ἐν τῇ σκηνῇ κατοικεῖν 6) ὁ τῶν ὅλων Θεὸς, ἐπειδὴ καὶ τȣ̀ς χρησμοὺς ἐκεῖθεν τοῖς ἱερεῦσιν ἐδίδου. ϛ΄. Ἐγὼ 7) δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος 8) ἀντιλήψεταί μου. Νύκτα τὰς συμφορὰς πολλάκις ἡ θεία καλεῖ γραφή· ἐπειδὴ ὡς ἐν 9) σκότει διάγειν νομίζουσιν οἱ τοῖς ἄγαν ἀνιαροῖς περιπίπτοντες· ταῖς δὲ νυξὶν ὁ ὕπνος συνέζευκται· σημαίνει τοίνυν κατὰ ταυτὸν τὰς θλίψεις, καὶ τὴν τούτων ἀπαλλαγήν. τὸ γὰρ ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου, τȣ̃το δηλοῖ, ὅτι τῆς θείας ἀπολαύσας ῥοπῆς κρείττων ἐγενόμην τῶν 10) προσπεσόντων 11) κακῶν. Διὸ ζ΄. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαȣ̃ τῶν κύκλῳ συνεπιτιθεμένων μοι. 12) ἀνάςα Κύριε, σῶσόν με ὁ

confido, sed te gloriam meam esse credo, et a tua dextera spero me cito erectum iri. 5. *Voce mea ad Dominum clamaui, et exaudiuit me de monte sancto suo.* Propterea cum omni alacritate offero tibi preces, quia scio, te mihi confestim postulata largiturum. Hoc autem loco non est intelligenda vox de clamore aliquo, sed de quadam animi alacritate. Sic enim Deus vniuersorum beatissimo Mosi tacenti ait: a) Quid clamas ad me? vocem silentium nominans, ob sedulam mentis precationem. Hoc autem: Exaudiuit de monte suo, dictum est propter opinionem, quæ olim obtinuit. Existimabatur enim vniuersorum Deus in tabernaculo habitare, quoniam et oracula illinc sacerdotibus pandebat. 6. *Ego dormiui, et somno oppressus sum, et surrexi, quoniam Dominus suscipiet me.* Noctem sæpius calamitates sacræ literæ appellant: quia velut in tenebris viuere se existimant illi, qui in res admodum tristes incidunt; noctibus vero somnus coniunctus est. Vna igitur demonstrat afflictiones, et ab illis liberationem. Nam illud, surrexi, quoniam Dominus suscipiet me, hoc innuit, quod diuina ope adiutus mala ingruentia superauerim. Idcirco 7. *Non timebo millia populi circumdantis me: exsurge Domine, saluum me fac Deus*

1) δεξιᾶς. Pauca addit CORD. p. 47. 2) ἐπήκουσε. Cod. 1. εἰσήκουσε. 3) τοι. Abest a Cod. 2. 4) καὶ βοήν. Des. in Cod. 2. 5) οὕτω — Μωσῆν. CORD. l. c. οὕτω καὶ Μωσῆς σιγῶν ἤκουε. 6) ὁ — Θεός. Cod. 2. τὸν — Θεόν. 7) δέ. Des. in vtroque Cod. et apud CORD. 8) ἀντιλήψεται. Præstat lectio ἀντελάβετο, quam sequitur IVSTINVS. 9) Cod. 1. σκότῳ. 10) Cod. 1. προσόντων. 11) κακῶν. Vid. quæ sequuntur apud CORD. p. 49. 12) ἀνάςα — μου. Hæc ad v. 8. pertinent.

a) Exod. 14, 15.

laborum molestiam fallunt. Habent porro munificentissimum Dominum, qui alacritatem eorum assidue adiuuat: a) *Diligentibus enim Deum*, vt testatur diuinus Apostolus, *omnia cooperantur in bonum.* Quapropter ait beatus Dauid: *Et omnia quaecumque faciet prosperabuntur. A Domino enim*, inquit, b) *gressus hominis diriguntur, et via eius valde delectabitur. Omnia* vero non simpliciter posuit, sed multa cum diligentia. Cum enim prius omnes malitiae species prohibuisset, diuinarumque legum perfectionem ostendisset, tum subiunxit: *Omnia quaecumque faciet, prosperabuntur:* sciens, nihil contrarium diuinis legibus huiusmodi hominem facere velle, vt qui diuinae legi suam ipsius voluntatem accommodet. *In lege enim Domini*, inquit, *voluntas eius.* Ita cum ad virtutem hortatus esset, perfectamque edocuisset philosophiam; etiam per contraria athletas instituit, dicens: 5. *Non sic impii, non sic.* Per negationis geminationem contrarietatem dilucidius ostendit. *Sed tanquam puluis, quem proiicit ventus a superficie terrae.* Illi enim, inquit, a diuinis sermonibus irrigati, et semper virescunt, et tem-

τῶν πόνων βαρύτητα· ἔχουσι δὲ καὶ τὸν μεγαλόδωρον Δεσπότην τῇ προθυμίᾳ συνεργοῦντα διηνεκῶς· 1) τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν, 2) φησὶν ὁ θεῖος ἀπόστολος, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν. διά τοι τοῦτο καὶ ὁ μακάριος ἔφη Δαβίδ. καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται· παρὰ Κυρίου γάρ φησι τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα. 3) τὸ δὲ πάντα οὐχ ἁπλῶς τέθεικεν, ἀλλὰ σὺν ἀκριβείᾳ πολλῇ. πρότερον γὰρ ἅπαντα τῆς κακίας 4) ἀπαγορεύσας τὰ εἴδη, καὶ τῶν θείων νόμων ὑποδείξας τὴν τελειότητα, οὕτως ἐπήγαγε, 5) πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται· εἰδὼς 6) ὡς οὐδὲν ἐναντίον τοῖς νόμοις ὅ γε τοιοῦτος δρᾶσαι βουλήσεται, τῷ θείῳ νόμῳ τὸ οἰκεῖον θέλημα συναρμόττων· ἐν γὰρ τῷ νόμῳ φησὶ Κυρίου τὸ θέλημα αὐτοῦ. οὕτω διὰ τοῦτο προτρέψας εἰς ἀρετὴν, καὶ τὴν τελείαν ἐκπαιδεύσας φιλοσοφίαν, καὶ διὰ τῶν ἐναντίων ἀλείφει τοὺς ἀθλητὰς, καί φησιν, ε'. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως. 7) Τῷ διπλασιασμῷ τῆς ἀπαγορεύσεως σαφέστερον τὴν ἐναντιότητα 8) δείκνυσιν. ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. 9) Ἐκεῖνοι μὲν γάρ φησιν ὑπὸ τῶν θείων λογίων ἀρδόμενοι, ἀειθαλεῖς τε εἰσὶ,

1) τοῖς γὰρ — σφόδρα. Haec apud GARNERIUM Auct. p. 7. e Cod. vatic. ita supplentur: Ὁ τέλειος ἄνθρωπος τὸ οἰκεῖον θέλημα τῷ θείῳ νόμῳ συναρμόσας πάντα δράσαι (leg. δράσει) τὰ κάλλιστα, ἐν οἷς καὶ κατευοδωθήσεται ὑπὸ τοῦ Θεοῦ συνεργούμενος. παρὰ γὰρ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται· καὶ τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. 2) φησίν. Cod. 1. et 2. praem. ἤ. 3) τὸ δὲ πάντα — συναρμόττων. Haec fere omnia consentiunt cum iis quae apud GARN. l. c. sequuntur. 4) ἀπαγορεύσας. Cod. 1. προσαγορεύσας. 5) πάντα — ποιῇ. Cod. vatic. apud GARN. ὅτι ἐν πᾶσιν οἷς ἂν ποιῇ, ὑπὸ Θεοῦ κ. λ. 6) ὡς — συναρμόττων. Apud GARN. ὅτι ὁ τοιοῦτος τῷ νόμῳ Κυρίου σύμφωνον ἔχων τὸ θέλημα, οὐδὲν ἐναντίον δρᾶσαι βουλήσεται. 7) Τῷ — δείκνυσιν. In Hexaplo autem non bis legebatur οὐχ οὕτως. Vid. MONTF. Hex. Orig. T. I. p. 473. 8) δείκνυσιν. Apud CORDER. p. 14. sequitur. τοὺς Ἰουδαίους αἰνιττόμενος ὡς ἀσεβεῖς, ἐπεὶ μηδὲ τὸν εὐεργέτην σέβουσι. 9) Ἐκεῖνοι — φερόμενοι. Aliam explicationem Nostro adscriptam

a) Rom. 8, 28. b) Ps. 36, 23.

εἰσὶ, καὶ ὥριμον φέρουσι τὸν καρπόν. οὗτοι δὲ ὑπὸ τῶν ἐναντίων πνευμάτων πατούμενοι μιμοῦνται τὸν χνοῦν τὸν τῇδε κἀκεῖσε ῥᾳδίως ὑπὸ τῶν ἀνέμων τῶν ἐναντίων φερόμενον. ϛ'. Διὰ τοῦτο οὐκ ἀναστήσονται 1) οἱ ἀσεβεῖς ἐν κρίσει, οὐδ' ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων. 2) Μετὰ πολλῆς ἀκριβείας διέξεισιν ἅπαντα τὸ 3) πανάγιον πνεῦμα. οὐ γὰρ εἶπεν, οὐκ ἀναστήσονται ἀσεβεῖς, ἀλλ' εἰς κρίσιν οὐκ ἀναστήσονται· ἀντὶ τοῦ, οὐκ εἰς κρίσιν, ἀλλ' εἰς 4) κατάκρισιν· οὔτε γὰρ ἐλέγχων δέονται, προφανῆ τὴν ἀσέβειαν ἔχοντες, ἀλλὰ τὴν τιμωρίαν μόνην προσδέχονται· καθάπερ γὰρ τοὺς ἐπ' αὐτοφώρῳ ἁλόντας ἀνδροφόνους οὐκ ἐπὶ τὸ διελέγξαι εἰς τὸ δικαστήριον 5) εἰσάγουσιν οἱ δικάζοντες, ἀλλ' ὥστε τὴν τοῖς νόμοις δοκοῦσαν ψῆφον ἐξενεγκεῖν κατ' αὐτῶν· οὕτω καὶ οἱ ἀσεβείᾳ συνεζηκότες εὐθὺς μετὰ τὴν ἀνάστασιν 6) τὴν κόλασιν ὑπομένουσιν, οὐκ εἰς κρίσιν ἀγόμενοι, ἀλλὰ τῆς τιμωρίας τὴν ψῆφον δεχόμενοι. καὶ μέντοι καὶ οἱ τῶν δυσσεβῶν δογμάτων ἀπηλλαγμένοι, βίον δὲ βεβιωκότες παράνομον, πόῤῥω που τοῦ τῶν δικαίων συλλόγου γενήσονται. τὴν γάρ τοι βουλὴν ὁ μὲν Ἀκύλας 7) καὶ ὁ Θεοδοτίων συναγωγὴν ἡρμηνεύκασι, σύνελευσιν δὲ ὁ Σύμμαχος. ζ'. Ὅτι 8) γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. Οἶδε φησιν

pestiuum fructum ferunt. Isti vero a contrariis spiritibus oppressi, imitantur puluerem, qui huc et illuc facile a contrariis ventis fertur. 6. *Ideo non resurgent impii in iudicio, neque peccatores in consilio iustorum.* Multa cum diligentia sanctissimus Spiritus omnia exequitur. Non enim dixit, *non resurgent impii*, sed *in iudicium non resurgent:* quasi diceret, Non resurgent in iudicium, sed in condemnationem. * *
Neque enim redargutionibus indigent, cum eorum impietas manifesta sit; sed supplicium solum exspectant. Quemadmodum enim homicidas in flagranti crimine captos, non vt redarguantur, iudices in forum trahunt, sed vt sententiam legibus congruentem contra illos pronuntient: ita etiam qui impietati assueuerunt, statim post resurrectionem pœnam sustinent non ad iudicium adducti, sed supplicii sententiam excipientes. Sed et qui impiorum dogmatum sunt expertes, si tamen iniquam vixerint vitam, a iustorum cœtu longissime aberunt. Etenim *consilium* Aquila et Theodotion *congregationem* interpretati sunt, *conuentum* vero Symmachus. 7. *Quoniam nouit Dominus viam iustorum, et via impiorum peribit.* Nouit, inquit, omnia

scriptam vide apud CORD. p. 14. 1) οἱ. Abest a Cod. 1. 2. 2) Μετὰ πολλῆς — ὁ Σύμμαχος. Hæc *Theodori* nomine insignita sunt apud CORD. l. c. p. 15. vbi aliam vide interpretationem Nostro vindicatam. 3) πανάγιον. Cod. 2. ἅγιον. 4) κατάκριμα. Cod. 2. e præcedentibus addit ἀναστήσονται. 5) εἰσάγουσιν. Cod. 1. ἄγουσιν. 6) τὴν κόλασιν ὑπομένουσιν. Des. in Cod. 2. 7) καὶ — Σύμμαχος. Alii aliam esse dicunt *Theodotionis* et *Symmachi* interpretationem. 8) γινώσκει. In Cod. 2. minio adscriptum est, ἀντὶ τοῦ ἀγαπᾷ· ὡς τὸ ἔγνωκά σε παρὰ πάντας. Cum his fere eadem sunt, quæ apud CORD. p. 16. Nostro tribuuntur: Τὸ γινώσκει ἀντὶ τοῦ τιμᾷ, ὡς ἐν τῷ ἔγνω ὁ Κύριος τοὺς ὄντας αὐτοῦ (2 Tim. 2, 19.)

omnia etiam ante iudicium iustus iudex, et neque demonstrationibus neque confutationibus indiget. Quapropter pro dignitate vnicuique tribuens, hos quidem præconiis et coronis ornabit, hos vero æternum in supplicium mittet. Porro illud, *Via impiorum peribit*, ab apostolicis illis verbis non abhorret: a) *Si cuius opus arserit, detrimentum patietur.* Iustorum enim virorum etiam opus lucidum manet: cum impiis vero et nefariis hominibus etiam improbitas eorum simul destruitur.

ἅπαντα καὶ πρὸ κρίσεως ὁ δίκαιος κριτής, καὶ οὔτε ἀποδείξεων, οὔτε ἐλέγχων προσδεῖται. διόπερ τὰ πρὸς ἀξίαν ἀπονέμων 1) ἑκάστῳ, τοὺς μὲν ἀναῤῥήσεων καὶ στεφάνων ἀξιώσει, τοὺς δὲ διηνεκεῖ παραπέμψει κολάσει. τὸ δὲ ὁδὸς ἀσεβῶν ἀπολεῖται, ἔοικε τοῖς ἀποστολικοῖς ἐκείνοις ῥητοῖς, εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται. τῶν μὲν γὰρ δικαίων ἀνδρῶν καὶ τὸ ἔργον μένει διαλάμπον· τοῖς δὲ ἀσεβέσι καὶ ἀνοσίοις 2) ἀνθρώποις καὶ ἡ πονηρία συγκαταλύεται.

INTERP. PS. II.

Sine titulo est apud Hebræos.

Cum primum psalmum memoria impiorum clausisset, ab hac rursus secundi principium fecit: docens, supradictum impiorum finem reges et principes, Iudæosque atque gentiles contra Christum furentes manere. In secundo enim psalmo Christi Domini humanos cruciatus, regnumque prædicit: nec non gentium vocationem vaticinatur, Iudæorumque incredulitatem deplorat. Hoc enim: *Quare fremuerunt gentes*, lugentis est, atque accusantis dementiam. Ad interpretationem vero huius loci longo verborum anfractu non opus est nobis, cum diuinus Petrus Apostolorum princeps b) in Actibus eum enuclearit, atque

ΕΡΜΗΝ. ΤΟΥ Β' ΨΑΛΜΟΥ.

3) Ἀνεπίγραφος παρ' Ἑβραίοις.

Ἐν τῇ μνήμῃ τῶν ἀσεβῶν τὸν πρῶτον συμπεράνας ψαλμὸν, ἐκ ταύτης πάλιν τοῦ δευτέρου τὴν ἀρχὴν ἐποιήσατο· διδάσκων ὅτι τὸ προειρημένον τῶν ἀσεβῶν τέλος, καὶ τοὺς κατὰ τοῦ σωτῆρος λυττήσαντας 4) βασιλέας τε καὶ ἄρχοντας, καὶ Ἰουδαίους, καὶ ἐθνικοὺς ὑποδέξεται. 5) ἐν γὰρ τῷ δευτέρῳ ψαλμῷ τοῦ 6) Δεσπότου Χριστοῦ, καὶ τὰ ἀνθρώπινα πάθη, καὶ τὴν βασιλείαν προαγορεύει· καὶ μέντοι καὶ τῶν ἐθνῶν 7) προθεσπίζει τὴν κλῆσιν, καὶ τὴν Ἰουδαίων ἀπιστίαν θρηνεῖ. τὸ γὰρ ἵνα τί ἐφρύαξαν ἔθνη, ὀδυρομένου ἐστὶ καὶ μεμφομένου τὴν ἄνοιαν. οὐ χρεία δὲ ἡμῖν λόγων εἰς ἑρμηνείαν πολλῶν, 8) τοῦ θεσπεσίου Πέτρου, τοῦ κορυφαίου τῶν ἀποστόλων, ἐν ταῖς πράξεσι τεθεικότος τὴν ἑρμηνείαν, καὶ Ἡρώδην,

1) Cod. 2. ἑκάστοις. 2) ἀνθρώποις. Cod. 2. ἀνδράσι. 3) Locum huius inscriptionis in Cod. 1. et 2. occupant verba Textus v. 1. et 2. ORIGENE teste hic Psalmus in vno Codice coniunctus fuit cum primo, vnde factum, vt Act. 13, 33. in paucis exemplaribus pro Ψαλμῷ τῷ δευτέρῳ legatur πρώτῳ. 4) Cod. 2. βασιλεῖς. 5) ἐν — θρηνεῖ. Des. apud CORD. p. 28. 6) δεσπότου. Abest a Cod. 2. 7) Cod. 1. θεσπίζει. 8) τοῦ θεσπεσίου Πέτρου. Non solius Petri sed Apostolorum qui congregati erant, hæc sunt verba.

a) 1 Cor. 3, 15. b) Act. 4, 25-28.

Ἡρώδην, καὶ Πόντιον Πιλάτον, καὶ τοὺς ἀρχιερέας καὶ γραμματέας, βασιλέας τε, καὶ ἄρχοντας ὀνομάσαντος. 1) ὁ μὲν γὰρ ὑπὸ τοῦ Ῥωμαίων ἀπέςαλτο βασιλέως, τὴν ἐκείνου διέπων ἀρχήν· ὁ δὲ τοπάρχης Ἰουδαίων κατ' ἐκεῖνον ἐτύγχανε τὸν καιρόν. καὶ ὁ μὲν εἶχεν ἐξ Ἰουδαίων ὑπηκόους, ὁ δὲ τοὺς ἐξ ἐθνῶν ςρατιώτας. ἀλλ' ὅμως 2) κατὰ ταυτὸν γενόμενοι, καὶ τὸν δεσποτικὸν τυρεύσαντες φόνον, κενὰ καὶ μάταια ἐβουλεύσαντο, λήθη παραδοῦναι μὴ δυνηθέντες τὸν ὑπ' αὐτῶν ςαυρωθέντα. τῇ τρίτῃ γὰρ ἀναςὰς ἡμέρᾳ τῆς οἰκουμένης ἐκράτησε. προσφυῶς δὲ μάλα, καὶ λίαν εἰκότως, τὸ ἐμελέτησαν κενὰ τῷ τοῦ λαοῦ προσώπῳ συνήρμοσεν. Ἰουδαῖοι γὰρ 3) τὴν πονηρὰν ταύτην ἐποιήσαντο κατὰ τοῦ σωτῆρος μελέτην. καὶ μάρτυς ἡ τῶν ἱερῶν εὐαγγελίων 4) φωνὴ, διδάσκουσα, ὡς ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον 5) ἔλαβον ὅπως αὐτὸν ἀπολέσωσιν, καὶ ὁ Καϊάφας βοῶν, συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τὸ δὲ ἐφρύαξαν ὁ μὲν Ἀκύλας, 6) ἐθορυβήθησαν, ὁ δὲ Σύμμαχος κυκᾶ 7) ἡρμήνευσαν. τοῦτο δὲ, τῷ τῶν ἐθνῶν προσώπῳ προσκείμενον, ὑποβάλλει νοεῖν ὡς Ἰουδαίων τῷ Πιλάτῳ τὸν Ἰησοῦν οἷόν τινα τύραννον προσαγαγόντων, καὶ δεῖν αὐτὸν ἀναιρεθῆναι πολλάκις εἰρηκότων, ἄκων ἐκεῖνος τὴν θανατηφόρον ἐξενήνοχε ψῆφον, δείσας ὡς εἰκὸς ἀπολῦσαι, μή τις ἐντεῦθεν γραφὴ κατ' αὐτοῦ 8) τυρευθῇ. ὡς γὰρ ὁ μακάριος ἔφη Λουκᾶς, κατηγόρουν αὐτοῦ λέγοντες, τοῦ-

* Herodem, et Pontium Pilatum, et principes sacerdotum, et scribas, et reges, ac potestates nominarit. Hic enim a Romanorum Imperatore vt prouinciam gubernaret missus fuerat, ille vero Iudæorum Tetrarcha tunc temporis erat: et hic quidem ex Iudæis subditos habebat, ille vero ex gentibus milites. Sed tamen cum in vnum conuenissent, ac Domini necem machinati essent, vana et inania consultauerunt, quippe qui obliuione obscurare quem ipsi crucifixerant non potuerint: cum enim tertio die resurrexisset, tota terra potitus est. Valde autem congruenter, et merito hæc verba, *meditati sunt inania*, populi personæ accommodauit. Iudæi namque hoc prauum consilium contra Saluatorem inierunt. Et testis est sacrorum Euangeliorum vox, docens, *a)* quod *abeuntes Pharisæi consilium ceperint, quomodo illum perderent.* Et Caiphas clamans: *b) Expedit, vt vnus homo moriatur, et non tota gens pereat.* Illud vero, *Fremuerunt*, Aquila *tumultuati sunt*, Symmachus autem *turbant* interpretati sunt. Quod quidem in persona gentium positum, facit vt intelligatur, cum Iudæi Iesum vt tyrannum quendam ad Pilatum adduxissent, ac sæpius illum occidendum esse dixissent, mortis sententiam inuitum illum pronunciasse, veritum, vt verisimile est, ne si eum dimisisset, inde ab aliquibus accusatio contra ipsum captaretur. Vt enim beatus ait Lucas, *c)* quidam ex accusantibus dicebant: *Hunc inueni-*

1) *ὁ μὲν γὰρ κ. τ. λ.* In horum locum alia substituta sunt apud CORD. p. 28. 2) Cod. 2. *κατ' αὐτοῦ.* 3) *τὴν — μελέτην.* Cod. 2. *ταύτην ἐποιήσαντο τὴν κατὰ τοῦ σωτῆρος μελέτην τὴν πονηράν.* 4) *φωνή.* Cod. 1. 2. *ἱςορία.* 5) *ἔλαβον.* Cod. 2. *ἐποιήσαντο.* 6) Cod. 2. *ἐθορύβησαν.* 7) Cod. 1. 2. *ἡρμηνεύκασιν.* 8) *τυρευθῇ.* Cod. 1. *εὑρεθῇ.*

a) Marc. 3, 6. b) Ioh. 11, 50. c) Luc. 23, 2.

inuenimus subuertentem gentem, atque probibentem censum dari Cæsari, asserentem se ipsum Christum regem esse. 1. *Quare fremuerunt gentes, et populi meditati sunt inania?* 2. *Adstiterunt reges terræ, et principes conuenerunt in vnum aduersus Dominum, et aduersus Christum eius.* Non dicit *gentes* cum articulo, vt omnes comprehendi existimes: verum dicit *gentes*, ad singulare aliquid sensum dirigens. Nam quia Iudæi Iesum comprehensum gentibus tradiderunt, merito hæc dicit. Quæ tanta, inquit, causa, vel quid ab eo factum est, vt populi contra ipsum commoti sint, et manibus gentium eum prodiderint? *Fremuerunt* autem dicitur pro *superbierunt.* 3. *Dirumpamus vincula eorum, et proiiciamus a nobis iugum ipsorum.* * Qui enim, ait, filium non honorat, neque patrem honorat: et congruenter post excussum filii iugum, etiam patris exeuunt. Mihi vero videtur Spiritus sanctus fideles adhortari, vt hæc dicant: *Dirumpamus vincula eorum*, impiarum scilicet gentium, *et abiiciamus a nobis iugum eorum*, scilicet iniquorum Iudæorum: atque in nos suaue iugum Domini suscipiamus. Ipsius enim est vox: a) *Sumite iugum meum super vos, quoniam iugum meum suaue, et onus meum leue est.* Ipsa porro lex *iugum* a diuinis Apostolis nuncupata est. Siquidem beatus Petrus in Actis

τον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρον 1) διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. α΄. Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; β΄. Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. 2) Οὐ λέγει τὰ ἔθνη μετὰ τοῦ ἄρθρου, ἵνα πάντας περιλαμβάνεσθαι νομίσῃς· ἀλλ' ἔθνη, ἐπὶ μερικόν τι ἄγων τὴν ἔννοιαν. ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι λαβόντες τοῖς ἔθνεσιν αὐτὸν ἐξέδωκαν, διὰ τοῦτο ταῦτά φησι· τίς ἡ τοσαύτη φησὶν αἰτία, ἢ τί τὸ γεγονὸς, ὡς καὶ τοὺς λαοὺς συγκινηθῆναι κατ' αὐτοῦ, καὶ εἰς χεῖρας αὐτὸν παραδοθῆναι τῶν ἐθνῶν; τὸ δὲ ἐφρύαξαν, ἀντὶ τοῦ ἠλαζονεύσαντο. γ΄. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. 3) Ὁ γὰρ μὴ τιμῶν, φησὶ, τὸν υἱὸν, οὐδὲ τὸν πατέρα τιμᾷ· καὶ εἰκότως μετὰ τοῦ υἱοῦ, καὶ τοῦ πατρὸς τὸν ζυγὸν 4) ἀποπέμπονται. ἐμοὶ δὲ δοκεῖ τοῖς πεπιστευκόσι παρεγγυᾷν τὸ πανάγιον πνεῦμα ταῦτα λέγειν, διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, τῶν δυσσεβῶν 5) ἐθνῶν, καὶ ἀποῤῥίψωμεν 6) ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν, τῶν παρανόμων Ἰουδαίων, καὶ λάβωμεν ἐφ' ἡμᾶς τὸν χρηστὸν τοῦ Κυρίου ζυγόν. 7) αὐτοῦ γάρ ἐστιν ἡ φωνὴ, λάβετε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, ὅτι ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. καὶ αὐτὸς δὲ ὁ νόμος ζυγὸς ὑπὸ τῶν θείων ἀποστόλων προσηγορεύθη. ὁ γὰρ θεσπέσιος Πέτρος περὶ τούτου φησὶν ἐν ταῖς πράξεσι·

1) διδόναι. Cod. 1. μὴ δοῦναι. 2) Οὐ — ἠλαζονεύσαντο. Def. in Cod. 1. et 2. 3) Ὁ — ἀποπέμπονται. Def. apud CORD. p. 30. 4) Cod. 2. ἀποπέμπεται. 5) ἐθνῶν. Cod. 2. præm. καί. 6) ἀφ' ἡμῶν. Def. in Cod. 2. 7) αὐτοῦ — ἐλαφρόν ἐστι. Def. apud CORD. l. c.

a) Matth. 11, 29. 30.

πράξεσι· τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, 1) ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλ' ἡ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι. τούτοις ἔοικε καὶ τὰ προφητικὰ ῥήματα, διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, 2) καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν· τουτέστιν ἀποστήσωμεν τὴν ἑαυτῶν καρδίαν τοῦ ὑπ' αὐτοῖς εἶναι θέλειν· ἀποτιναξώμεθα τὸν τοῦ νόμου ζυγόν. μηδὲν ἡγώμεθα τὰ ἐν τύποις, εἰ μὴ νοοῖντο πνευματικῶς· ἀσυντελὴς καταλογιζέσθω πρὸς ὄνησιν ἡ σκιά, εἰ μὴ τοῦ Χριστοῦ μυστήριον ἐφ' ἑαυτῇ ζωγραφεῖ. δ'. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Ὁ γὰρ ὑπ' αὐτῶν προσηλωθεὶς, καὶ θανάτῳ παραδοθεὶς, ἐν οὐρανοῖς ὢν, καὶ τὰ πάντα περιέχων, κενὰς αὐτῶν καὶ ματαίας δείκνυσι τὰς βουλάς. καὶ ὁ τούτου δὲ πατὴρ, καὶ τῶν ἁπάντων Δεσπότης, τὴν ἀξίαν αὐτοὺς εἰσπράξεται 3) δίκην. ε'. 4) Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ· καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. 5) Καὶ τούτων δὲ τῶν ῥημάτων τὴν ἑρμηνείαν διδάσκει τῶν πραγμάτων τὸ τέλος· στρατιὰ γὰρ αὐτοῖς ἐπιστᾶσα Ῥωμαϊκὴ τήν τε πόλιν ἐπόρθησε, καὶ ἐνέπρησε τὸν νεὼν, καὶ αὐτῶν τοὺς μὲν πλείστους θανάτῳ παρέπεμψε, τοὺς δὲ τὴν σφαγὴν ἐκφυγόντας ἐξανδραποδίσασα, δουλείᾳ παρέδωκεν. ἐπιστῆσαι δὲ προσήκει τὸν νοῦν, ὡς δύο προσώπων ἐφεξῆς μέμνηται· καὶ πρῶτον μὲν Κυρίου καὶ Χριστοῦ. κατὰ τοῦ

ait: a) *Cur tentatis Deum, imponere iugum super ceruices discipulorum, quod neque patres nostri, neque nos ferre potuimus? sed per gratiam Domini Iesu credimus, nos saluos esse futuros, quemadmodum et illi.* His conueniunt et prophetæ verba: *Dirumpamus vincula ipsorum, et proiiciamus a nobis iugum illorum:* hoc est, cor nostrum ab illis segregemus, ne velimus illis subiici; excutiamus legis iugum; quæ in figuris sunt, parui ducamus, nisi secundum spiritum intelligantur; nullius momenti ad vtilitatem existimetur vmbra, nisi in sua prædictione mysterium Christi adumbret. 4. *Qui habitat in cælis irridebit eos, et Dominus subsannabit eos.* Qui enim ab ipsis cruci affixus, mortique traditus est, in cælis habitans, omniaque continens, vanas atque stultas eorum cogitationes ostendit. Huius vero pater, et omnium Dominus, pœnam ab eis exiget dignam. 5. *Tunc loquetur ad eos in ira sua, et in furore suo conturbabit eos.* Et horum quoque verborum interpretationem ipse rerum euentus docet. Romanus enim exercitus eos aggressus, vrbem euertit, et templum combussit, plurimosque ipsorum morte multauit: eos vero qui mortem euaserant, captiuos in seruitutem abduxit. Oportet autem animaduertere, quod duarum personarum consequenter mentionem fecerit: primum quidem Domini et Christi: *Aduersus Dominum,*

 inquit,

1) ὃν — ζωγραφεῖ. Alia in horum locum substituta vid. apud CORD. p. 31. 2) καὶ — ζωγραφεῖ. Des. in Cod. 1. In Cod. 2. hæc pauca tantum leguntur, καὶ — αὐτῶν. 3) δίκην. Pauca subiungit CORD. p. 32. 4) Τότε. Cod. 1. addit γάρ, φησί. 5) Καὶ τούτων κ. τ. λ. Alia sunt quæ habet CORD. l. c.

a) Actor. 15, 10. 11.

Deus mi. Potes enim, si solus adfueris, multas myriadas dissipare. 8. *Quoniam tu percussisti omnes aduersantes mihi sine causa, dentes peccatorum contriuisti.* Fac me igitur participem perfectæ salutis: et quemadmodum sæpius de iis supplicium sumsisti, qui mecum iniustas gerebant inimicitias, de indigenis et alienigenis, de Israelitis et Amalecitis, et de ipso insuper Saule: sic nunc me tua salute dignum existima. Hoc vero: *Dentes peccatorum contriuisti*, idem est quod, denudasti illos vniuersis * viribus; ex metaphora * ferarum, quæ dentibus priuatæ, imbecillæ admodum et expugnatu faciles fiunt. 9. *Domini est salus.* Non collocaui, inquit, spem meam in homine, sed a te salutem exspecto. Non solus ego, inquam, sed etiam populus tuus, qui mecum bello petitur. Quin et de ipsorum etiam hostium salute sollicitus sum: etenim ille quoque tuus populus dicitur. Da igitur, Domine, his et illis pacis benedictionem. Hoc enim demonstrauit dicens: *Et super populum tuum benedictio tua.* Nam beatus quoque Moses benedictionibus pacem connectit. Inuenimus autem in historia, beatum Dauidem singularem sui populi curam gessisse, ipsiusque parricidæ filii, et maiorem pacis rationem habuisse, quam victoriæ contra populum.

Θεός μου. Ἀρκεῖς γὰρ καὶ 1) παρὼν τὰς πολλὰς μυριάδας διασκεδάσαι. η΄. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι 2) ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τελείας μοι τοίνυν μετάδος 3) τῆς σωτηρίας· καὶ καθάπερ πολλάκις ἄδικον κατ᾽ ἐμοῦ δυσμένειαν ἐσχηκότας, καὶ ὁμοφύλους καὶ ἀλλοφύλους, 4) καὶ Ἰσραηλίτας καὶ Ἀμαληκίτας, καὶ μέντοι καὶ αὐτὸν τὸν Σαοὺλ, ποινὴν εἰσεπράξω τῆς ἀδικίας· οὕτω με καὶ νῦν τῆς 5) σωτηρίας ἀξίωσον. τὸ δὲ, ὀδόντας ἁμαρτωλῶν συνέτριψας, ἀντὶ τοῦ, πάσης αὐτοὺς ἐγύμνωσας ἰσχύος, ἐκ μεταφορᾶς τῶν θηρίων, ἃ τῶν ὀδόντων στερούμενα, εὐκαταφρόνητα λίαν ἐστὶ καὶ εὐκαταγώνιστα. θ΄. Τοῦ Κυρίου ἡ σωτηρία. 6) Οὐκ ἔχω, φησὶν, εἰς ἄνθρωπον τὴν ἐλπίδα, ἀλλὰ παρά σου τὴν σωτηρίαν προσμένω· οὐκ ἐγὼ 7) δὲ μόνος, ἀλλὰ καὶ ὁ σὸς λαὸς 8) ὁ σὺν ἐμοὶ πολεμούμενος. κήδομαι δὲ καὶ αὐτῶν τῶν πολεμούντων· καὶ γὰρ 9) ἐκεῖνος σὸς χρηματίζει λαός. δὸς τοίνυν δέσποτα καὶ τούτοις, κἀκείνοις, τῆς εἰρήνης τὴν εὐλογίαν· τοῦτο γὰρ παρεδήλωσεν 10) εἰρηκώς· καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. Καὶ γὰρ ὁ μακάριος Μωσῆς ταῖς εὐλογίαις τὴν εἰρήνην συντάττει· εὑρίσκομεν δὲ κἀν τῇ ἱστορίᾳ σφόδρα τοῦ λαοῦ κηδόμενον τὸν μακάριον Δαβὶδ, 11) καὶ αὐτοῦ τοῦ πατραλοίου παιδὸς, καὶ μᾶλλον τῆς εἰρήνης, ἢ τῆς κατὰ τοῦ λαοῦ προμηθούμενον νίκης.

EPMHN.

1) *παρών.* Vterque Cod. præm. *μόνος*, quam lectionem CARAFA sequutus est. 2) *ματαίως* Textus hebr. habet לְחִי *in maxillam.* Vid. EVSEB. ad h. l. 3) *τῆς.* Abest a Cod. 2. 4) *καὶ — Ἀμαληκίτας.* Des. apud CORD. p. 50. 5) *σωτηρίας.* Codex vterque præm. *σῆς.* 6) *Οὐκ ἔχω κ. τ. λ.* Alia ad h. l. attulit CORD. p. 51. 7) *δὲ μόνος.* Cod. 2. *μόνον*, omisso *δέ.* 8) *ὁ.* Des. in vtroque Cod. 9) *ἐκεῖνος.* Cod. 1. *κἀκεῖνος.* 10) *εἰρηκώς.* Vterque Cod. e superioribus repetit *Κυρίου ἡ σωτηρία.* 11) *καὶ — νίκης.* Des. in Cod. 2.

ΕΡΜΗΝ. ΤΟΥ Δ΄. ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, 1) ἐν ὕμνοις· ψαλμὸς τῷ Δαβίδ. Ἀντὶ τȣ͂, εἰς τὸ τέλος, ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων, τῷ νικοποιῷ ἡρμήνευσαν· ὁ δὲ Σύμμαχος, ἐπινίκιος. σημαίνει δὲ τὸ μὲν εἰς τὸ τέλος, ὅτι μακροῖς ὕστερον χρόνοις πληρωθήσεται τὰ προφητευόμενα. προηγόρευσε δὲ ἐν τῷ τέλει τȣ͂ ψαλμοῦ, τὴν ἐκ νεκρῶν ἀνάστασιν, εἰρηκώς· ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ᾽ ἐλπίδι κατῴκησάς με· κατὰ δέ γε τοὺς λοιποὺς, 2) ὕμνος ἐπινίκιος τῷ νικοποιῷ προσφέρεται Θεῷ ὁ παρὼν ψαλμὸς ὑπὸ τοῦ μακαρίȣ Δαβὶδ, μετὰ τὴν γενομένην τȣ͂ Ἀβεσσαλὼμ νίκην. 3) ἔοικε γὰρ τούτοις ὁ ψαλμὸς εἰρῆσθαι μετὰ τὴν ἐκείνȣ τȣ͂ πολέμου διάλυσιν· ἐν γὰρ τῷ πρὸ τȣ́τȣ ψαλμῷ ὁ μακάριος ἔφη Δαβίδ, πολλοὶ λέγουσι τῇ ψυχῇ μου, ȣ̓κ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτȣ͂· ἐν δὲ τούτῳ φησὶν, υἱοὶ 4) ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτȣ͂· διδάσκει τοίνυν ἐν τῷ παρόντι ψαλμῷ τȣ̀ς ἀθεΐαν νοσοῦντας, καὶ προνοεῖν τὸν Θεὸν, καὶ κυβερνᾶν τὰ ἀνθρώπινα, μὴ νομίζοντας, 5) ὡς ἔστιν ὁ ἐφορῶν καὶ πρυτανεύων ἅπαντα· καὶ εἰς ἀπόδειξιν τῆς διδασκαλίας τὰ καθ᾽ ἕκαστον διηγεῖται. β΄. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μȣ ὁ Θεὸς τῆς δικαιοσύνης μȣ. Μάθετέ φησιν ἐκ τῶν εἰς ἐμὲ γεγενημένων, 6) ὅπως ἐφέστηκε τοῖς ἀνθρωπίνοις ὁ τῶν ὅλων Θεὸς, καὶ τῶν εἰλικρινῶς ἐπικαλȣ-

INTERPR. PS. IV.

1. *In finem, in hymnis, psalmus Dauidi.* Pro verbis, *in finem*, Aquila et Theodotion *victoriae auctori* interpretati sunt. Symmachus autem, *triumphalis.* Significat vero hoc *in finem*, fore vt longis post saeculis quae praedicit perficiantur. In nouissima vero parte psalmi resurrectionem a mortuis praedicit, dum ait: *a*) In pace vna dormiam, et requiescam: quoniam tu, Domine, seorsim in spe habitare facis me. Sed secundum reliquos, hymnus triumphalis victoriae auctori offertur Deo praesens psalmus a beato Dauide, post obtentam de Absalomo victoriam. Videtur enim istis hic psalmus compositus esse post illius belli finem. Etenim in proxime praecedente psalmo dixit beatus Dauid: *b*) Multi dicunt animae meae, non habet salutem in Deo suo. In hoc vero ait: *c*) Filii hominum, vsquequo graui estis corde? cur diligitis vanitatem, et quaeritis mendacium? Scitote, mirabilem facere Dominum sanctum suum. Docet igitur in hoc psalmo impietate laborantes, et Deum prouidere et gubernare humana non existimantes, esse aliquem, qui omnia prospiciat et administret: et in demonstrationem doctrinae singula percurrit. * *Cum autem inuocarem exaudiuit me Deus iustitiae meae.* * Discite, inquit, ex iis quae mihi euenerunt, quomodo vniuersorum Deus humanis praeest, ac pure inuocantes

1) ἐν — ψαλμός. Rec. lectio, ἐν ψαλμοῖς· ᾠδή. 2) ὕμνος. Abest a Cod. 2. 3) ἔοικε — ὅσιον αὐτοῦ. Des. apud CORD. p. 63. 4) ἀνθρώπων. Cod. 2. praem. τῶν. 5) ὡς. Cod. 1. ὅς. 6) ὅπως. Cod. 1. 2. addunt καί.

a) v. 9. 10. *b*) Ps. 3, 3. *c*) v. 4. 5.

cantes exaudit. Ego igitur, statim vt meam precationem obtuli, voti compos factus sum. Illud vero, *Iustitiæ meæ*, pro iusta mea postulatione posuit. Non enim decet Dauidis prudentiam, vt ipse suæ ipsius iustitiæ atque virtutis testis sit. Similia porro hæc verba sunt illis, quæ per Esaiam a Deo dicta fuere: *a*) Tunc vocabis, et ego exaudiam: adhuc loquente te dicam, Ecce adsum. *In tribulatione amplum mihi fecisti locum.* Solet vniuersorum Deus permittere, vt sanctis viris res aduersæ accidant, post exercitationem autem, atque probationem, præconiis celebrare athletas: quin etiam in ipsis tentationibus omnem animi delectationem adferre. Id hoc in loco magnus Dauid docet, dicens: In ipsis afflictionibus tua ope, animique voluptate recreatus sum. Simile est, quod ab vniuersorum Deo diuino Paulo dictum est: *b*) Sufficit tibi gratia mea: nam virtus mea in infirmitate perficitur. 3. *Miserere mei, et exaudi orationem meam.* Nunquam precandi satietas capit hominem iustum: sed et indigens, et benignitatem percipiens, precationisque fructus capiens, pergit preces offerre, quippe qui scit, quæ vtilitas hinc percipienda sit. 4. *Filii hominum vsquequo graui estis corde? cur diligitis vanitatem, et quæritis mendacium?* Ex iis quæ mihi acciderunt, o homines, discite

μένων ἀκούει. ἐγὼ 1) γοῦν παραυτίκα προσενεγκών μου τὴν δέησιν ἔτυχον τῆς αἰτήσεως. τὸ δὲ, τῆς δικαιοσύνης μȣ, ἀντὶ τȣ͂ 2) τῆς δικαίας μȣ αἰτήσεως τέθεικεν. 3) οὐδὲ γὰρ ἴδιον τȣ͂ 4) φρονήματος τȣ͂ Δαβὶδ δικαιοσύνην 5) αὐτῷ καὶ ἀρετὴν μαρτυρεῖν· ἔοικε δὲ 6) ταυτὶ τὰ ῥήματα τοῖς διὰ 7) τȣ͂ Ἡσαΐȣ ὑπὸ τȣ͂ Θεȣ͂ εἰρημένοις, τότε καλέσεις, ἐγὼ δέ σȣ ὑπακούσομαι· ἔτι λαλοῦντός σου, ἐρῶ, ἰδοὺ πάρειμι. ἐν θλίψει ἐπλάτυνάς μοι. 8) Εἴωθεν ὁ τῶν ὅλων Θεὸς συγχωρεῖν μὲν γίνεσθαι τοῖς ἁγίοις τὰ λυπηρά· μετὰ δὲ τὴν γυμνασίαν καὶ δοκιμασίαν ἀνακηρύττειν τοὺς ἀθλητάς· καὶ μέντοι καὶ ἐν αὐτοῖς τοῖς πειρασμοῖς πᾶσαν προσφέρειν ψυχαγωγίαν. τȣ͂το καὶ ἐνταῦθα ὁ μέγας διδάσκει Δαβὶδ, ὅτι ἐν αὐταῖς ταῖς θλίψεσι τῆς σῆς ἐπικουρίας καὶ ψυχαγωγίας ἀπήλαυσα. τοιοῦτόν ἐςι τὸ ὑπὸ τȣ͂ Θεȣ͂ τῶν ὅλων πρὸς τὸν θεσπέσιον Παῦλον εἰρημένον, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. γ΄. Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου. 9) Οὐ λαμβάνει κόρον ὁ δίκαιος τῆς προσευχῆς· 10) ἀλλὰ καὶ δεόμενος, καὶ εὐμενείας ἀπολαύων, καὶ τῆς δεήσεως τρυγῶν τοὺς καρποὺς, ἐπιμένει τὰς ἱκετείας προσφέρων, ἅτε δὴ τὴν ἐντεῦθεν ἐσομένην ἐπιςάμενος ὠφέλειαν. δ΄. Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; 11) Ἐκ τῶν εἰς ἐμὲ γεγενημένων μάθετε, ὦ ἄνθρωποι, τῶν ὅλων τὸν

1) γοῦν. Cod. 1. γάρ. 2) τῆς. Des. in vtroque Cod. 3) οὐδὲ. Cod. 2. οὐ. 4) φρονήματος τοῦ. Des. in Cod. 2. 5) αὐτῷ. Cod. 2. ἑαυτῷ. 6) ταυτί. Cod. vterque ταῦτα. 7) τοῦ. Abest a Cod. 2. 8) Εἴωθεν κ. τ. λ. Pauca præcedunt apud CORD. p. 65. 9) Οὐ — ὠφέλειαν. Pauca horum loco exhibet CORD. l. c. 10) ἀλλά. Cod. 1. ἅμα. 11) Ἐκ τῶν κ. τ. λ. Pauca præmittit CORD. p. 68.

a) Es. 58, 9. b) 2 Cor. 12, 9.

τὸν πρύτανιν· ὅπως καὶ ἐφορᾷ τὰ 1) ἀνθρώπεια, καὶ τοῖς ἐπιμελῶς προσιοῦσι τὰς αἰτήσεις ὀρέγει· καὶ 2) τοὺς ματαίους ὑμῶν λογισμοὺς ἀποῤῥίψαντες, ε'. Γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. Οὐ γὰρ ἁπλῶς με τῶν προσπεσουσῶν ἠλευθέρωσε συμφορῶν, ἀλλὰ 3) καὶ περιφανῆ, καὶ περίβλεπτον διὰ τῆς νίκης πεποίηκε· τοῦτο γὰρ εἶπεν ἐθαυμάστωσε· καὶ ἐπιμένει διηνεκῶς τὰς ἐμὰς δεήσεις δεχόμενος. ὅσιον δὲ πάλιν ἐνταῦθα ἀντὶ τοῦ 4) τὸν ἀθῶον τέθεικε, καὶ τὸν οὐδὲν ἠδικηκότα τοὺς 5) πολεμοῦντας, ἀλλ' ὑπ' αὐτῶν ἠδικημένον. βαρυκαρδίους δὲ τοὺς ἀπίστους εἰκότως ὠνόμασεν, 6) ὡς ἀναβλέπειν πρὸς Θεὸν οὐκ ἐθέλοντας, καὶ τὰς θείας οἰκονομίας οὐ βουλομένους ὁρᾷν· ἐκ μεταφορᾶς τῶν ὑπό τινος οἰνοφλυγίας βαρυνομένων τὴν κεφαλὴν ἐκ τῶν κάτωθεν ἀναπεμπομένων ἀτμῶν, καὶ μύειν τοὺς ὀφθαλμοὺς ἀναγκαζομένων, καὶ διανοίγειν οὐ δυναμένων. Ὀργίζεσθε· 7) ἐνταῦθα ὑποστικτέον, 8) καὶ οὕτως τὰ λοιπὰ ἀναγνωστέον· καὶ μὴ ἁμαρτάνετε. Ἀγανακτεῖτέ, φησι, καὶ δυσχεραίνετε τοὺς ἀδίκως ὑμῖν ἐπανισταμένους εὐημεροῦντας ὁρῶντες. ἀλλὰ μὴ αὔξετε 9) κακὸν τῷ κακῷ, πείθειν καὶ τοὺς ἄλλους πειρώμενοι, ὡς ἄτακτα πάντα καὶ ἀκυβέρνητα φέρεται. 10) τούτων γὰρ τοὐναντίον προσήκει ποιεῖν, τῶν μεθ' 11) ἡμέρας γινομένων 12) ἁμαρτάδων σφᾶς αὐτοὺς νύκτωρ τὰς εὐθύνας εἰσπράττειν. Ἃ

vniuersorum moderationem, quomodo humana respiciat, et studiose accedentibus res petitas porrigat: et vestras inanes cogitationes abiicientes, 5. *Scitote mirabilem reddere Dominum sanctum suum: Dominus exaudiet me, cum clamauero ad eum.* Non enim simpliciter ex calamitatibus, quæ mihi acciderunt, liberauit me, sed illustrem et clarum per victoriam me reddidit, (hoc enim dixit, *mirabilem reddidit me,*) et assidue pergit meas preces admittere. *Sanctum* vero rursus hîc pro innocente posuit, et qui nulla * inimicos iniuria læserit, * sed ab ipsis iniuria affectus sit. Graues corde autem infideles merito nominauit, tanquam nolentes ad Deum respicere, ac diuinas gubernationes cernere: metaphora ab illis desumta, qui per temulentiam ex vaporibus inferne sursum adscendentibus capite grauantur, et claudere oculos coguntur, atque eos aperire nequeunt. *Irascimini.* Hîc distinguendum est, et sic reliqua legenda: *Et nolite peccare.* Indignamini, inquit, et irascimini, videntes eos, qui in vos iniuste insurrexerunt, felices esse. Verum nolite malum malo cumulare, tentantes aliis persuadere, quod omnia sine ordine atque fortuito ferantur. Horum enim contrarium facere oportet, videlicet vt homines peccatorum quæ interdiu patrant, a se ipsis noctu pœnas exigant. *Quæ dicitis*

1) Cod. 1. ἀνθρώπινα. 2) τούς. Abest a Cod. 2. 3) καί. Abest a Cod. 2. 4) τόν. Abest a Cod. 2. 5) Cod. 2. πολεμίους. 6) ὡς ἀναβλέπειν. Cod. vterque ὡς ἂν βλέπειν. Ita quoque apud CORD. p. 70. 7) Ἐνταῦθα — ἀναγνωστέον. Def. apud CORD. p. 71. 8) καί. Cod. vterque εἶθ'. 9) κακὸν τῷ κακῷ. Cod. vterque κακῷ τὸ κακόν. 10) τούτων. CORD. τοῦτο. 11) Cod. 2. ἡμέραν. 12) Cod. 1. ἁμαρτιῶν.

dicitis in cordibus vestris, in cubilibus vestris compungimini. Quoniam enim nocturnum tempus, ab externis tumultibus liberum, multam cogitationibus præbet quietem; merito in hoc inquirere ea iussit quæ interdiu dicta vel facta sunt, et compunctionis remedio vlcera curare præcepit. 6. *Sacrificate sacrificium iustitiæ, et sperate in Domino.* Per hæc etiam verba legis cultum vt superuacaneum abiicit, iustitiæque sacrificium offerre præcipit: omni enim vel centum vel mille boum sacrificio iustitiæ possessio gratior est Deo, si cum illa tamen spes in eum coniuncta sit. Quoniam multi et Græcorum, et Iudæorum, et hæreticorum, qui contraria sentiunt, et temperantiam et iustitiam aliquando exercent: verum pietate priuati, nullum inde fructum percipiunt. Quapropter sanctus Spiritus per diuinum Dauidem hortatur, non solum sacrificare sacrificium iustitiæ, sed etiam sperare in Dominum. Sic et Dominus Christus discipulis suis dicit: a) Ego sum vitis vera, vos estis palmites, et pater meus agricola est. Omnem palmitem in me non ferentem fructum, tollit. Non simpliciter autem dixit, *non ferentem fructum, sed in me non ferentem fructum,*

λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. Ἐπειδὴ γὰρ ὁ νυκτερινὸς καιρὸς τῶν ἔξωθεν θορύβων ἀπηλλαγμένος πολλὴν παρέχει τοῖς λογισμοῖς ἡσυχίαν· εἰκότως ἐν τούτῳ τὴν ἐξέτασιν ποιεῖσθαι προσέταξε τῶν ἐν ἡμέρᾳ λεγομένων ἢ πραττομένων, καὶ τῷ τῆς κατανύξεως φαρμάκῳ τὰ τραύματα θεραπεύειν 1) ἐνομοθέτησε. ϛʹ. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. Καὶ διὰ τούτων τῶν ῥημάτων τὴν νομικὴν λατρείαν, ὡς περιττὴν, ἀποπέμπεται, καὶ τὴν τῆς δικαιοσύνης θυσίαν προσφέρειν νομοθετεῖ. 2) πάσης γὰρ ἑκατόμβης καὶ χιλιόμβης τῆς δικαιοσύνης ἡ κτῆσις θυμηρεστέρα τῷ Θεῷ, συνημμένης αὐτῇ δηλονότι τῆς εἰς αὐτὸν ἐλπίδος. ἐπεὶ πολλοὶ καὶ Ἑλλήνων καὶ Ἰουδαίων, 3) καὶ τῶν τἀναντία φρονούντων αἱρετικῶν, καὶ σωφροσύνην, καὶ δικαιοσύνην 4) ἔστιν ὅτε μετίασιν· ἀλλὰ τῆς 5) εὐσεβείας ἐστερημένοι, καρπὸν 6) ἐντεῦθεν 7) οὐδένα πορίζονται. 8) διὸ τὸ πανάγιον πνεῦμα διὰ τοῦ θεσπεσίου Δαβὶδ παρεγγυᾷ, οὐ μόνον θῦσαι θυσίαν δικαιοσύνης, ἀλλὰ καὶ ἐλπίσαι ἐπὶ Κύριον· οὕτω δὴ καὶ ὁ Δεσπότης Χριστὸς 9) φησὶ τοῖς ἑαυτοῦ μαθηταῖς, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, 10) ὑμεῖς τὰ κλήματα, 11) καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι· πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, 12) αἴρει αὐτό· καὶ οὐχ ἁπλῶς εἶπε, μὴ φέρον καρπὸν, ἀλλ' ἐν ἐμοὶ μὴ φέρον καρπὸν, τουτέστι,

1) ἐνομοθέτησε. Pauca subiunxit CORD. p. 72. 2) πάσης — τῷ Θεῷ. Des. apud CORD. p. 73. 3) καί. Abest a Cod. 1. 4) ἔστιν ὅτε. Abest a Cod. 1. Cod. 2. habet ἐσθ' ὅτε. 5) εὐσεβείας. CORD. εἰς Θεὸν ἐλπίδος. 6) Cod. 2. ἐνταῦθα. 7) οὐδένα. Abest a Cod. 2. 8) διὸ — δοκούντων. Des. apud CORD. l. c. 9) φησί. Cod. vterque ἔφη. 10) ὑμεῖς τὰ κλήματα. Hæc in paucissimis exemplaribus exstant Ioh. 15, 1. 11) καί. Abest a Cod. 2. 12) αἴρει — ἀλλ' — καρπόν. Des. in Cod. 2.

a) Ioh. 15, 1. 2.

τουτέστι, κατὰ τὰς ἐμὰς ἐντολάς, 1) κατὰ τὰς ἐμὰς νομοθεσίας, 2) μετὰ τῆς εἰς ἐμὲ πίστεως· ὥς τινων καὶ δίχα τῆς εἰς αὐτὸν ὁμολογίας διὰ δόξαν 3) ἀνθρωπίνην ἀρετῆς ἐπιμελεῖσθαι δοκούντων. Πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; Αἰνίττεται οὓς βαρυκαρδίους ὠνόμασεν, ὡς δυσχεραίνοντας ἐπὶ τοῖς προσπίπτουσι λυπηροῖς, καὶ τῇ τοῦ Θεοῦ 4) προμηθείᾳ διαπιστοῦντας, καὶ λέγειν τοῦτο τολμῶντας. ζ´. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν 5) μου. 6) Ἐκεῖνοι μὲν οὖν τοιαῦτα καὶ λογίζονται καὶ φθέγγονται· ἡμεῖς δὲ οἱ τῆς σῆς θεογνωσίας τὴν αἴγλην δεξάμενοι, καὶ ταῖς παρά σου φωτισθέντες ἀκτῖσι, καὶ ἐν αὐταῖς ταῖς ἐπανισταμέναις ἡμῖν συμφοραῖς ἀποχρῶσαν ἔχομεν παραψυχὴν τὴν εἰς σὲ 7) ἐλπίδα. η´. Ἀπὸ 8) καρποῦ σίτου, 9) οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Πάλιν ἐκείνων κατηγορεῖ τῶν λεγόντων τίς δείξει ἡμῖν τὰ ἀγαθά; ὡς τοσούτων καὶ κατὰ τὸν παρόντα βίον 10) ἀπολαυόντων, καὶ ἀχαριστίαν νοσούντων. ἔστι δὲ τὸ νόημα μεθυπέρβατον· πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; ἀπὸ καρποῦ σίτου, 11) καὶ οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν· καίτοι φησὶν οἱ ταῦτα λέγοντες τῶν παντοδαπῶν τῆς γῆς καρπῶν ἀπολαύουσι. διὰ γὰρ τῶν τριῶν τούτων εἰδῶν τῶν τῇ ἀνθρωπείᾳ φύσει διαφερόντων, ἀναγκαίως καὶ τὰ ἄλλα 12) συμπεριέλαβεν ἀγαθά· τὴν ἐκείνων ἐλέγχων ἀγνω-

* hoc est, secundum mea praecepta, measque leges, cum fide in me: quod nempe aliqui sine Dei confessione ob humanam gloriam virtuti studere videantur. *Multi dicunt, quis ostendet nobis bona?* Innuit graues corde quos nominauit, tanquam indignantes aduersis in rebus in quas inciderunt, et diuinae prouidentiae diffidentes, et dicere haec audentes. 7. *Signatum est super nos lumen vultus tui Domine: dedisti laetitiam in corde meo.* Illi quidem igitur et cogitant et dicunt haec: nos vero, qui cognitionis Dei a te lumen accepimus, radiisque tuis illustrati sumus, etiam in ipsis calamitatibus, quae nobis accidunt, sufficientem ex eo consolationem habemus, quod in te spem collocamus. 8. *A fructu frumenti, vini, et olei sui multiplicati sunt.* Rursus accusat illos qui dicunt, Quis ostendet nobis bona? vt qui tot tantisque bonis etiam in praesenti vita perfruantur, et ingrati animi vitio laborent. Sensus est cum hyperbato. Multi dicunt, quis ostendet nobis bona? a fructu frumenti, vini, et olei sui multiplicati sunt. Atqui, ait, qui haec dicunt, omnigenis terrae fructibus fruuntur: sub his enim tribus speciebus humanae naturae vtilissimis, apposite alia comprehendit bona: illorum inscitiam redarguens,

1) κατά. Cod. 2. καί. 2) μετὰ — πίστεως. In Cod. 1. praecedunt haec, μετὰ τῆς εἰς ἐμὲ νομοθεσίας, quae ex errore Librarii irrepsisse videntur. 3) Cod. 2. ἀνθρωπίνης. 4) προμηθείᾳ. Cod. 2. προνοίᾳ. 5) μου. Abest a Cod. 2. 6) Ἐκεῖνοι — ἐλπίδα. Def. apud CORD. 7) Cod. 1. ἐλπίζοντα. 8) καρποῦ. Leg. esse videtur, καιροῦ, vt ex ORIGENE bene monuit MONTF. Hexapl. T. 1. p. 477. 9) οἴνου. Cod. 1. praem. καί. 10) Cod. 2. ἀπολαβόντων. 11) καί. Abest a Cod. 2. 12) Cod. 1. περιέλαβεν.

guens, quod in manibus Dei munera ferentes, et magnifice eius bonis ſe oblectantes, quaſi nulla re perfruantur, dicere audent, Quis oſtendet nobis bona? Ego vero tuo lumine fretus, et tui cognitionem adeptus, *9. In pace vna dormiam, et requieſcam. 10. Quoniam tu Domine ſeorſim in ſpe conſtituiſti me.* Cum enim omnem tumultum, cogitationumque diſſidium expulerim, et cum his pacem firmauerim, atque ita de tua prouidentia ſentire alios docuerim, in ſpe reſurrectionis mortem exſpectabo. Nam ſomnum hoc loco mortem appellauit. Congruenter autem admodum, cum mortis memoria ſpem coniunxit, habitis de prouidentia ſermonibus. Quoniam enim multi, cum in præſenti vita in aduerſam fortunam inciderint, et ab iniquis hominibus *iniuria affecti fuerint, vitam ante finiunt, quam opem aliquam ſint adepti, docet magnus David, ne indignentur, quod ſpes cum morte coniuncta ſit, et poſt obitum futura ſit remuneratio.

INTERP. PSALMI V.

1. *In finem, pro ea quæ hereditatem conſequitur, Pſalmus Dauidi.* Sic et cæteri inſcriptionem interpretati ſunt. Manifeſtum eſt igitur, heredem a diuino ſermone nominari, communiter quidem Dei eccleſiam, ſingulariter autem, animam pietati aſſuefactam. Audimus enim Chriſtum in ſacris Euangeliis

μοσύνην· 1) ὅτι καὶ ἐν ταῖς χερσὶ φέροντες τὰς τοῦ Θεοῦ δωρεὰς, καὶ φιλοτίμως αὐτοῦ τοῖς ἀγαθοῖς ἐντρυφῶντες, ὡς μηδενὸς ἀπολαύοντες λέγειν τολμῶσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; ἐγὼ δὲ τοῦ σοῦ φωτὸς ἀπολαύσας, καὶ τὴν 2) γνῶσιν κτησάμενος, θ΄. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω. ι΄. Ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ᾽ ἐλπίδι κατῴκισάς με. Πάντα γὰρ θόρυβον, καὶ διχόνοιαν τῶν λογισμῶν ἐξελάσας, καὶ 3) τούτοις πρυτανεύσας εἰρήνην, καὶ ταῦτα περὶ τῆς ἀγαθῆς σου προνοίας διδάξας φρονεῖν, ἐπ᾽ ἐλπίδι τῆς ἀναστάσεως τὸν θάνατον δέξομαι. ὕπνον γὰρ ἐνταῦθα τὸν θάνατον προσηγόρευσεν. εἰκότως δὲ μάλα τῇ τοῦ θανάτου μνήμῃ τὴν ἐλπίδα συνέζευξε, τοὺς περὶ προνοίας λόγους διεξελθών. ἐπειδὴ γὰρ πολλοὶ κατὰ τὸν παρόντα βίον δυσπραγίᾳ περιπεσόντες, 4) καὶ ὑπὸ τῶν πονηρίᾳ 5) συζώντων ἀδικούμενοι, δέχονται τοῦ βίου τὸ τέλος οὐδεμιᾶς τινὸς ἐπικουρίας τετυχηκότες, διδάσκει μὴ δυσχεραίνειν ὁ μέγας Δαβὶδ, ὡς τῆς ἐλπίδος τῷ θανάτῳ συνεζευγμένης, καὶ μετὰ θάνατον τῆς ἀντιδόσεως ἐσομένης.

ΕΡΜΗΝ. ΤΟΥ ε΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς 6) τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης· ψαλμὸς τῷ Δαβίδ. 7) Οὕτω δὲ 8) καὶ οἱ λοιποὶ τὴν ἐπιγραφὴν ἡρμηνεύκασιν· δῆλον τοίνυν, ὡς κληρονόμον ὁ θεῖος 9) ἀποκαλεῖ λόγος, κοινῶς μὲν τὴν τοῦ Θεοῦ ἐκκλησίαν, ἰδικῶς δὲ τὴν εὐσεβείᾳ συζῶσαν ψυχήν. ἔστι γὰρ ἀκοῦσαι τοῦ Κυρίου λέγοντος ἐν τοῖς ἱεροῖς εὐαγγε-

1) ὅτι — κτησάμενος. Deſ. apud CORD. p. 77. 2) γνῶσιν. Cod. vterque præm. σήν. 3) Cod. 2. τοῦτο. 4) καὶ — ἀδικούμενοι. Deſ. apud CORD. l. c. 5) Cod. 2. ζώντων. 6) τό. Tum h. l. tum in ſequentibus Pſalmis, abeſt a Cod. 1. 2. 7) Οὕτω κ. τ. λ. Deſ. apud CORD. 8) καὶ οἱ λοιποί. Conſentiunt quidem Interpretes græci in explicatione vocis נְחִילוֹת, errori autem occaſionem dedit vox נַחֲלָה. 9) Cod. 2. καλεῖ.

ἀγγέλοις, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. καὶ ὁ 1) θεσπέσιος Παῦλος πάλιν φησὶ, τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ· 2) εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν· καὶ πάλιν, ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ' υἱός· εἰ δὲ υἱὸς, καὶ κληρονόμος Θεοῦ διὰ 3) Χριστοῦ. καὶ ἄλλα δὲ πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν παρὰ τῇ θείᾳ γραφῇ, ἐξ ὧν παιδευόμενοι τὴν διάνοιαν κατιδεῖν δυνησόμεθα. β. Τὰ ῥήματά μου ἐνώτισαι Κύριε, σύνες 4) τῇ κραυγῇ μου. γ. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου. Πολλαῖς 5) καὶ παντοδαπαῖς βαλλομένη τρικυμίαις ἡ τοῦ Θεοῦ ἐκκλησία, καὶ μέντοι καὶ ἑκάστη ψυχὴ τὸν εὐσεβῆ βίον ἀσπαζομένη, περιγίνεται καὶ τοῦ κλύδωνος ὑπερνήχεται, τὴν θείαν ἐπικουρίαν καλοῦσα διηνεκῶς. τοῦτο δὴ καὶ ὁ προφητικὸς ἡμᾶς ἐκπαιδεύει λόγος, διδάσκων ὅπως προσήκει τὸν τῶν ὅλων Θεὸν καὶ Βασιλέα λιπαρεῖν τε καὶ ἱκετεύειν· καὶ διδάσκει λέγων· τὰ ῥήματά μου ἐνώτισαι Κύριε, σύνες 6) τῇ κραυγῇ μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. ἀλλ' οὔτε τὴν κραυγὴν κραυγὴν νοητέον, οὔτε τὰ ὦτα ὦτα· περὶ γὰρ τοῦ Θεοῦ τῶν ὅλων σωματικώτερον ἔθος τῇ θείᾳ γραφῇ λαλεῖν, καὶ ἀπὸ τῶν ἀνθρωπίνων μορίων τὰς θείας ἐνεργείας ἀποκαλεῖν· ὀφθαλμοὺς τὴν ὀπτικὴν, καὶ τὴν ἀκουστικὴν ὦτα, καὶ τἆλλα ὡσαύτως. κραυγὴν δὲ, ἐπὶ τῶν 7) εὐχομένων τὴν προθυμίαν

dicentem, a) Venite benedicti patris mei, possidete regnum, quod paratum vobis est a mundi constitutione. Et diuinus Paulus idem ait, b) Ipse Spiritus testimonium reddit spiritui nostro, quod simus filii Dei: si autem filii, et heredes, heredes quidem Dei, coheredes autem Christi, si tamen vna patimur, vt etiam simul glorificemur. Et rursus, c) Itaque non iam es seruus, sed filius, si vero filius, et heres Dei per Christum. Et similia alia multa in sacris voluminibus inveniri possunt, quibus instructi sensum huius psalmi cognoscere poterimus. 2. *Verba mea auribus percipe Domine, intellige clamorem meum.* 3. *Attende ad vocem orationis meæ, rex mi, et Deus mi.* Multis vndique et maximis fluctibus agitata ecclesia Dei, atque etiam vnaquæque anima, quæ piam vitam amplectitur, superior euadit, tempestatique supernatat, diuinam opem continue implorans. Hoc quoque prophetæ sermo nos docet, præcipiens, quomodo vniuersitatis Deum et regem obsecrare atque deprecari deceat, dicens: Verba mea auribus percipe Domine, intellige clamorem meum, attende ad vocem deprecationis meæ. Verum nec *clamor* pro clamore accipiendus est, nec *aures* pro auribus. De Deo enim vniuersorum tanquam de re corporea sacra scriptura loqui solet, et ex humanis membris diuinas operationes nominare consueuit, videndi potentiam oculos, audiendi, aures, et alia similiter. Clamorem vero, deprecantium * propensam voluntatem * appel-

1) θεσπέσιος. Cod. 2. addit δέ. 2) εἰ δὲ — Θεοῦ. Def. in Cod. 2. 3) Χριστοῦ. Cod. 2. præm. Ἰησοῦ. 4) τῇ κραυγῇ. Cod. 1. τῆς κραυγῆς, quam lectionem habet Cod. *alex.* h. l. 5) καί. Abest a Cod. 2. 6) Cod. 1. τῆς κραυγῆς. 7) Cod. 2. προσευχομένων.

a) Matth. 25, 34. b) Rom. 8, 16. 17. c) Gal. 4, 7.

appellat, studiosamque mentis obsecrationem. *Auribus percipe* vero, idem est quod, verba deprecationis meæ intrent aures tuas, et benigne exaudi meas preces, diligenterque attende ad verba obsecrationis meæ, quoniam te esse Deum et regem noui. 4. *Quoniam ad te orabo Domine, mane exaudies vocem meam.* 5. *Mane adstabo tibi, et videbis me.* Confidens enim, te meas preces admissurum, cum primum illuxerit, abiecto a palpebris somno, tanquam regi et Domino adsto, deprecationem tibi offerens. Non cuiuslibet autem est dicere vniuersorum Deo, *Tibi adstabo, et videbis me:* sed eorum, qui sicut magnus Elias ob conuersationis fiduciam dicere audent, a) Viuit Dominus, coram quo hodie constitutus sum. *Quoniam non es Deus volens iniquitatem.* 6. *Non habitabit iuxta te malignus, neque permanebunt iniusti ante oculos tuos.* Meas preces suscipis, meque obsecrantem adspicis, quoniam omnem iniquitatem respuis, malitiæque assuefactos omnino auersaris: exsecraris enim omnes iniquam vitam amplectentes. Nam hoc subiunxit: 7. *Odisti Domine omnes qui operantur iniquitatem, perdes omnes qui loquuntur mendacium. Virum sanguinum et dolosum abominatur Dominus.* Malitiæ catalogum in

καλεῖ, καὶ τὴν σπουδαίαν τῆς διανοίας ἱκετείαν. τὸ δὲ ἐνώτισαι, ἀντὶ τοῦ εἴσω τῶν ὤτων σου γενέσθω μου τῆς προσευχῆς τὰ ῥήματα, καὶ εὐμενῶς ἄκουσον τῆς ἐμῆς ἱκετείας, καὶ πρόσχες ἀκριβῶς τοῖς τῆς δεήσεώς μου λόγοις, ἐπειδή σε Θεὸν οἶδα καὶ βασιλέα. δʹ. 1) Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε, 2) καὶ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου· εʹ. Τὸ πρωῒ παραστήσομαί σοι, καὶ 3) ἐπόψει με. 4) Θαῤῥοῦσα γὰρ ὡς δέχῃ τὰς ἐμὰς ἱκετείας, εὐθὺς τοῦ φωτὸς ἀνίσχοντος, τῶν βλεφάρων 5) ἀποσεισαμένη τὸν ὕπνον, οἷα δὴ βασιλεῖ καὶ Δεσπότῃ παρίσταμαι, τὴν αἴτησίν σοι 6) προσφέρουσα. οὐ παντὸς δέ ἐστι λέγειν τῷ τῶν ὅλων Θεῷ, παραστήσομαί σοι, καὶ ἐπόψει με· ἀλλὰ τῶν κατὰ τὸν μέγαν Ἠλίαν 7) διὰ τὴν ἀπὸ τῆς πολιτείας παῤῥησίαν λέγειν θαῤῥούντων, Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον. Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. ςʹ. Οὐ παροικήσει σοι πονηρευόμενος· οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. 8) Δέχῃ τὰς ἐμὰς δεήσεις, καὶ ἐποπτεύεις ἀντιβολοῦσαν· ἐπειδὴ πᾶσαν μὲν ἀνομίαν ἀπαγορεύεις, καὶ τοὺς πονηρίᾳ συζῶντας παντελῶς ἀποστρέφῃ. βδελύττῃ γὰρ ἅπαντας τοὺς παράνομον βίον ἀσπαζομένους. τοῦτο γὰρ ἐπήγαγεν· ζʹ. Ἐμίσησας 9) Κύριε πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. Τὸν τῆς κακίας κατάλογον εἰς μέσον

1) Ὅτι — Κύριε. Hæc ad vers. præced. pertinent. 2) καί. Cod. vterque τό. 3) ἐπόψει με. Ita fere habet Cod. *alex.* ἐπόψῃ με. Præstat autem h. l. lectio Cod. *vatic.* ἐπόψομαι. BOSIVS ad h. l. allegat verba ista e THEODORETO: ἔν τισι δὲ γράφεται καὶ ἐπόψομαι, quæ tamen nec in Codd. nostris, nec apud CORD. p. 94. inuenio. 4) Cod. 2. θαῤῥοῦσαν. Sequens γάρ abest ab vtroque Cod. 5) ἀποσεισαμένη. Cod. 1. ἀποσαμένη pro ἀπωσαμένη. 6) Cod. 2. προσφέρει. 7) διὰ — παῤῥησίαν. Cod. 1. διὰ τὸ ἀπὸ τῆς πολλῆς παῤῥησίας. 8) Δέχῃ κ. τ. λ. Vid. CORD. p. 86. 9) Κύριε. Dest. in Cod. 2.

a) 3 Reg. 17, 1.

μέσον παρήγαγεν, ἐναντία δεικνὺς ἅπαντα τοῦ θείου θελήματος. 1) οὐ γὰρ μόνον ἀπαγορεύει πονηρίαν, καὶ παρανομίαν, καὶ ψεῦδος, καὶ δόλον, καὶ μιαιφονίαν· ἀλλὰ καὶ τοὺς τούτων ἐργάτας βδελύττεται, μετανοίᾳ προσέχειν οὐ βουλομένους. σημαίνει δέ γε διὰ τούτων τοὺς κατὰ τῆς ἐκκλησίας ἐν διαφόροις ἐπαναστάντας καιροῖς, καὶ περιγενέσθαι μὴ δυνηθέντας, κατὰ τὴν αὐτοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἀπαγόρευσιν· πύλαι γὰρ ᾅδου, φησὶν, οὐ κατισχύσουσιν αὐτῆς. τοῦτο δὲ καὶ ὁ ψαλμὸς παρεδήλωσεν. ή. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. 2) Τῆς γὰρ σῆς ἀπολαύουσα φιλανθρωπίας, καὶ τῇ σῇ δεξιᾷ φρουρουμένη, τὴν διηνεκῆ 3) σοὶ προσφέρω προσκύνησιν ἐν τῷ ἀφιερωμένῳ τῇ σῇ δόξῃ ναῷ, τὸν σὸν ἀεὶ περιφέρουσα φόβον. οὐδὲ γὰρ ἀνέξομαι τοῦτον ἀποβαλεῖν, τῇ σῇ φιλανθρωπίᾳ θαῤῥοῦσα. θ'. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. 4) Ἔνια τῶν ἀντιγράφων ἐνώπιόν μου τὴν ὁδόν σου ἔχει· ἑκάτερα δὲ τῆς εὐσεβοῦς ἔχεται διανοίας. εἴτε γὰρ ἡ ἡμετέρα ὁδὸς κατευθυνθείη ἐνώπιον τοῦ Θεοῦ, πλάνης οὐ ληψόμεθα πεῖραν· εἴτε ἡ τοῦ Θεοῦ ὁδὸς ἐνώπιον ἡμῶν κατευθυνθείη, αὐτὴν ὁδεύσομεν, καὶ πρὸς αὐτὴν προθύμως δραμούμεθα. αἰτεῖ τοίνυν ἡ κληρονομοῦσα ὁδηγηθῆναι μὲν ὑπὸ τῆς τοῦ Θεοῦ δικαιοσύνης, κατευθυνθῆναι δὲ αὐτῇ τὴν ὁδὸν, καὶ ἐξευμαρισθῆναι, ἵνα ῥᾳδίως ὁδεύῃ. ταύτην ὁ Σύμμαχος τὴν διάνοιαν τέθεικεν. ἀντὶ γὰρ τοῦ, κατεύθυνον, ὁμάλισον

medium attulit, omnia ostendens diuinæ voluntati contraria. Non solum enim prohibet malitiam atque iniquitatem, et mendacium, et dolum, et homicidium; verum etiam eos, qui hæc patrant, execratur, si pœnitentiæ studere nolunt. Innuit autem per hæc eos, qui diuersis temporibus contra ecclesiam assurrexerunt, eamque superare non potuerunt, secundum ipsius Dei et saluatoris nostri Christi interdictum. Portæ enim, ait, a) inferni non prævalebunt aduersus eam. Hoc vero et psalmus declarauit. *8. Ego autem in multitudine misericordiæ tuæ, introibo in domum tuam: adorabo ad templum sanctum tuum in timore tuo.* Cum enim ego tua benignitate perfruar, tuaque dextera custodiar, quotidianam tibi offero adorationem in * templo tuæ gloriæ consecrato, semper tuum timorem circumferens: neque enim committam vt illum abiiciam benignitati tuæ confidens. *9. Domine deduc me in iustitia tua: propter inimicos meos dirige in conspectu tuo viam meam.* Quædam exemplaria, *in conspectu meo viam tuam*, habent: vtraque vero pium sensum retinent. Siue enim nostra via dirigatur in conspectu Dei, non aberrabimus: siue via Domini ante nos dirigatur, ipsam ambulabimus, ad illamque promte curremus. Petit igitur heres, vt a Dei iustitia deducatur, viaque ipsi dirigatur, atque explanetur, vt facile gradiatur. Hunc Symmachus sensum posuit: nam pro *dirige* dixit

1) *οὐ — βουλομένους.* Vid. CORD. l. c. 2) Τῆς — *θαῤῥοῦσα.* Eadem habet CORD. l. c. absque Nostri nomine. 3) *σοί.* Abest a Cod. 2. 4) Ἔνια — ἔχει. Vid. HIERON. Epist. ad *Sun.* et *Fret.* Conf. quoque CORD. p. 87.

a) Matth. 16, 18.

complana. Audimus autem ipsum Christum per Esaiam dicentem, a) Redigentur obliqua in viam rectam, et aspera in vias planas. Et beatus Dauid in alio psalmo dixit, b) A Domino gressus hominis diriguntur, et via eius valde delectabitur. Porro humilitatis plena sunt verba heredis. Non enim postulat, vt propter suam ipsius iustitiam sibi via dirigatur, verum propter inimicos impietati assuefactos, contra ipsam iniuste bellum gerentes. Deinde ipsorum malitiæ studia sigillatim exponit. *10. Non est in ore ipsorum veritas.* Mendacio, inquit, continue linguam maculant. *Cor eorum vanum est.* Eorum verbis et cogitationes conveniunt, et cum ore mens consentit. *11. Sepulcrum patens est guttur eorum.* Clausa sepulcra tetrum odorem occultum habent; reserata vero, illum copiose emittunt foras. Talia et hi, inquit, eructant verba, omnem impietatem ac fœtorem redolentia. Per hæc autem verba innuit blasphemias, quæ contra Deum iactantur, et sermones libidinis et impudicitiæ plenos. *Linguis suis dolose agebant: iudica illos Deus.* Occulta verba grauiora sunt, quam illa quæ palam proferuntur: dolo enim vtentes, infinita contra proximum moliuntur. *12. Decidant a*

εἴρηκεν. ἀκούομεν δὲ καὶ αὐτοῦ τοῦ Χριστοῦ 1) διὰ Ἡσαΐου, ἔσαι τὰ σκολιὰ εἰς εὐθεῖαν. καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. καὶ ἐν ἑτέρῳ δὲ ψαλμῷ 2) ὁ μακάριος ἔφη Δαβὶδ, παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα. ταπεινοφροσύνης δὲ μεστὰ τῆς κληρονομούσης τὰ ῥήματα. οὐ γὰρ αἰτεῖ διὰ τὴν ἑαυτῆς δικαιοσύνην κατευθυνθῆναι 3) αὐτῇ τὴν ὁδὸν, ἀλλὰ διὰ τοὺς ἐχθροὺς τοὺς δυσσεβείᾳ 4) συζῶντας, τοὺς ἀδίκως 5) αὐτῇ πολεμοῦντας· εἶτα αὐτῶν καὶ κατὰ μέρος διδάσκει τὰ τῆς πονηρίας ἐπιτηδεύματα. ι. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια· Τῷ ψεύδει φησὶ διηνεκῶς τὴν γλῶτταν μολύνουσιν. ἡ καρδία αὐτῶν ματαία. Τοῖς λόγοις αὐτῶν καὶ οἱ λογισμοὶ συμβαίνουσι, καὶ συνομολογεῖ τῷ στόματι ἡ διάνοια. ια. Τάφος ἀνεῳγμένος ὁ 6) λάρυγξ αὐτῶν. Οἱ κεκλεισμένοι τάφοι κεκρυμμένην ἔχουσι τὴν 7) δυσοσμίαν, οἱ δὲ ἀνεῳγμένοι πολλὴν ἀποπέμπουσι τὴν δυσωδίαν· τοιαῦτα καὶ οὗτοι 8) φησιν ἐρυγγάνουσι ῥήματα, πάσης ἀσεβείας καὶ δυσοσμίας μεστά. διὰ τούτων δὲ τῶν λόγων τὰς κατὰ 9) τοῦ Θεοῦ βλασφημίας αἰνίττεται, καὶ τῆς ἀκολασίας καὶ τῆς ἀσελγείας τὰ ῥήματα. ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· 10) κρῖνον αὐτοὺς ὁ Θεός. Χαλεπώτερα τῶν 11) προφερομένων ῥημάτων τὰ κεκρυμμένα· 12) δόλῳ γὰρ κεχρημένοι μυρία τινὰ κατὰ τῶν πέλας τυρεύουσιν. ιβ. Ἀποπεσάτωσαν ἀπὸ τῶν δια-

1) διά. Cod. 1. addit τοῦ. 2) ὁ μακάριος. Abest a Cod. 2. 3) αὐτῇ. Cod. 1. αὐτῆς. 4) συζῶντας. Cod. 2. ζῶντας. 5) Cod. 2. αὐτῷ. 6) λάρυγξ. Codex quidam Bibl. *laur. med.* habet φάρυγξ. Ex eodem Codice *florent.* plures ad hunc et sequentes Psalmos adferentur lectiones, quas debemus fauori Cel. BANDINII, cuius vid. Catal. p. 87. sqq. 7) Cod. 1. δυσωδίαν. 8) φησίν. Abest a Cod. 1. 9) τοῦ. Des. in Cod. 2. 10) κρῖνον — Θεός. Hæc pertinent ad vers. sequentem. 11) Cod. *flor.* προσφερομένων. 12) δόλῳ — τυρεύουσιν. Codex *florent.* habet λόγῳ γὰρ κεχρημένοι μυρία δεινὰ — σωρεύουσι.

a) Es. 40, 4. b) Ps. 36, 23.

διαβουλιῶν αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς. Ἀχθήτωσαν τοίνυν ὑπὸ τὴν σὴν κρίσιν ὦ δέσποτα, καὶ διαμαρτωσιν ὧν 1) καττύουσι καθ' ἡμῶν, καὶ μαθέτωσαν διὰ τῆς πείρας, ὡς ἱςὸν ἀράχνης ὑφαίνουσι, καὶ δότωσαν ποινὴν τῶν τολμημάτων ἀξίαν. ὅτι παρεπίκρανάν σε Κύριε. Κατά σου γὰρ τὸν πόλεμον κεκινήκασι, πρὸς τοὺς ἀνακειμένους σοι 2) κινήσαντες τὴν παράταξιν. ιβ'. Καὶ 3) εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπί σε· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. Τοῦτο δὲ τοὺς εἰς σὲ 4) πεπιςευκότας εὐφροσύνης ἐμπλήσει, καὶ παρέξει αὐτοῖς θυμηδίαν αἰώνιον· οὐχ ὁ ἐκείνων ὄλεθρος, ἀλλ' ἡ σὴ προμήθεια· πείθονται γὰρ ὡς ἐνοικεῖς ἐν αὐτοῖς, καὶ ἐμπεριπατεῖς, 5) καὶ οἶκον αὐτοὺς ἀφιερωμένον ἀποφαίνεις. καὶ καυχήσονται ἐν σοὶ 6) οἱ ἀγαπῶντες τὸ ὄνομά 7) σου. ιγ'. ὅτι σὺ εὐλογήσεις δίκαιον 8) Κύριε. Τῆς γὰρ σῆς εὐλογίας τε καὶ προνοίας τοῖς σοῖς χορηγουμένης θεραπευταῖς, οἱ σφᾶς αὐτοὺς ἐραςὰς τοῦ σοῦ ὀνόματος καταςήσαντες, ἐπὶ τῇ σῇ κηδεμονίᾳ μεγαλοφρονήσουσι, τὴν σὴν διηγούμενοι δύναμιν· οὕτω καὶ 9) ὁ μακάριος λέγει Παῦλος, ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω. ὡς ὅπλῳ εὐδοκίας ἐςεφάνωσας ἡμᾶς. Εὐδοκίαν ἡ θεία γραφὴ καλεῖ τὸ ἀγαθὸν τοῦ Θεοῦ θέλημα· τοιοῦτόν ἐςι τὸ, ηὐδόκησας Κύριε τὴν γῆν σου, ἀντὶ τοῦ, ἀγαθὰ ἠθέλησας τῇ γῇ σου· καὶ παρὰ τῷ μακαρίῳ Παύλῳ, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, τουτέςι, κατὰ τὸ ἀγαθὸν αὐτοῦ θέλημα· καὶ ἐνταῦθα τοίνυν τοῦτο

cogitationibus suis, secundum multitudinem impietatum eorum expelle eos. * Adducantur igitur in iudicium tuum, o Domine, et aberrent ab iis, quæ contra nos machinantur, et experientia discant, quod araneæ telam contexant; et pœnam suis ausibus dignam luant. *Quoniam irritauerunt te Domine.* Contra te enim bellum mouerunt, dum aduersus illos, qui tibi addicti sunt aciem instruxerunt. 12. *Et lætentur omnes, qui sperant in te: in sæculum exultabunt, et habitabis in eis.* Hoc autem eos, qui crediderunt in te, implebit lætitia, et præbebit ipsis voluptatem sempiternam. Non illorum mors, sed tua prouidentia. Credunt enim, quod in ipsis habites et ambules, ipsosque sacratum templum efficias. *Et gloriabuntur in te omnes, qui diligunt nomen tuum.* 13. *Quoniam tu benedices iusto Domine.* Nam cum tua benedictio et prouidentia tuis cultoribus abunde suppeditetur, illi qui constituerunt se ipsos tui nominis amatores, gloriabuntur propter tuam sollicitudinem, tuam narrantes potentiam. Sic etiam beatus ait Paulus, *a*) Qui gloriatur, in Domino glorietur. *Vt scuto bonæ voluntatis tuæ, coronasti nos.* Bonam Dei voluntatem sacræ literæ nuncupant εὐδοκίαν. Eiusmodi est illud, *b*) Delectatus es Domine terra tua, hoc est, bene cupiuisti tuæ terræ. Et apud beatum Paulum, *c*) Secundum beneplacitum voluntatis ipsius, videlicet secundum bonam eius voluntatem. Sicque igitur hoc loco dicit,

1) καττύουσι. Cod. 2. τίουσι. 2) κινήσ. Cod. 2. ἀνακινήσαντες. CORD. p. 88. habet κεκινήκασι. 3) Cod. 2. εὐφρανθείησαν. 4) Cod. 2. πιςεύοντας. 5) καὶ — ἀποφαίνεις. Des. apud CORD. l. c. 6) οἱ. Cod. 2. præm. πάντες. 7) σου. Abest a Cod. 1. 8) Κύριε. Abest a Cod. 1. 2. 9) ὁ μακάριος. Abest a Cod. 2.

a) 1 Cor. 1, 31. *b*) Ps. 84, 1. *c*) Eph. 1, 9.

Spiritus sancti igne duros efficiens. Cum hæc beatus Dauid prædixisset; deinceps admonet reges et subditos, vt ad saluatorem accurrant, et salutares amplectantur leges, et per illarum eruditionem atque doctrinam, vtilitatem percipiant. Dicit enim: 10. *Et nunc reges intelligite, et erudimini omnes qui iudicatis terram.* Omnium enim nostrûm rex est, qui prius videbatur Iudæos tantum regere. 11. *Seruite Domino cum timore, et exultate ei cum tremore.* Non enim decet eos, qui salute lætantur et gaudent, benignitati tantum confidere: sed huic etiam coniunctam iustitiam timere, et contremiscere. *Qui enim,* inquit, a) *putat se stare, videat ne cadat.* [Cum enim Dominum timentes quæ decent fecerimus, plurimam ex rebus gestis habemus iucunditatem, cum et conscientia est bona, et maximam ex ea percipimus voluptatem.] *Cum timore* autem, id est, in compunctione: ne Dei gaudium in mundi gaudium aliquando decidat. 12. *Apprehendite disciplinam, ne aliquando irascatur Dominus, et pereatis de via iusta.* Nam non sufficit ad perfectionem sola possessio cognitionis Dei, sed oportet practicam virtutem excolere: qua quidem

τοῦ πνεύματος στερεμνίους ἀπεργαζόμενος. 1) οὕτω ταῦτα προαγορεύσας ὁ μακάριος Δαβίδ, παραινεῖ λοιπὸν καὶ βασιλεῦσι καὶ ὑπηκόοις προσδραμεῖν τῷ σωτῆρι, καὶ τοὺς σωτηρίους ἀσπάσασθαι νόμους, καὶ τῇ δι' 2) ἐκείνων παιδείᾳ καὶ διδασκαλίᾳ τὴν ὠφέλειαν καρπώσασθαι. Φησὶ γάρ· ι. Καὶ νῦν βασιλεῖς σύνετε· παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Πάντων γὰρ 3) ἡμῶν 4) βασιλεὺς, ὁ πάλαι δόξας μόνων Ἰουδαίων κρατεῖν. ια'. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. 5) Οὐ γὰρ δεῖ μόνῃ τῇ φιλανθρωπίᾳ θαῤῥῆσαι, 6) ἀλλὰ καὶ τὴν ταύτῃ συνημμένην δικαιοσύνην, ἀγαλλομένους ἐπὶ τῇ σωτηρίᾳ καὶ χαίροντας, δεδιέναι καὶ τρέμειν. ὁ γὰρ δοκῶν, 7) φησὶν, ἑστάναι, βλεπέτω μὴ πέσῃ. 8) [ἐπειδ' ἂν γὰρ φοβηθέντες τὸν Δεσπότην τὰ προσήκοντα διαπραξώμεθα, πλείστην ἐκ τῶν πραχθέντων ἡμῖν ἔχομεν τὴν εὐφροσύνην ἐγγινομένην, τοῦ συνειδότος ἀγαθοῦ μὲν τυγχάνοντος, μεγίστην δὲ ἡμῖν διὰ τοῦτο τὴν χαρὰν παρεχομένου.] ἐν τρόμῳ δὲ, τουτέστιν, ἐν κατανύξει· μήποτε ἡ τοῦ Θεοῦ χαρὰ εἰς τὴν τοῦ κόσμου μεταπέσῃ χαράν. ιβ'. Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ 9) ἀπόλησθε ἐξ ὁδοῦ 10) δικαίας. Οὐκ ἀρκεῖ 11) γὰρ μόνη τῆς θεογνωσίας ἡ κλῆσις εἰς τελειότητα· ἀλλὰ χρὴ καὶ τὴν πρακτικὴν μετελθεῖν ἀρετήν· ἧς 12) ἐπιλαμβα-

1) οὕτω κ. λ. Alia horum loco exhibet CORD. p. 34. 2) Cod. 2. ἐκεῖνον. 3) ἡμῶν. Cod. vterque ὑμῶν. 4) βασιλεύς. Vterque Cod. præm. ἐστι. Ita quoque habet CORD. l. c. 5) Οὐ. Cod. 1. 2. οὐδέ. Ita quoque CORDER. 6) ἀλλὰ καί. Cod. vterque δεῖσαι. 7) φησίν. Abest a Cod. 1. 8) ἐπειδ' ἂν — μεταπέσῃ χαράν. Desid. in Cod. 1. et 2. Quæ vncinis inclusa sunt, desunt quoque apud CORD. 9) ἀπόλησθε. Cod. 1. 2. ἀπολεῖσθε. 10) δικαίας. Hoc quidem a Textu hebr. est alienum, parum tamen ab Interpr. græcis h. l. recedit *Syrus*, qui vertit, *et pereatis de via eius* sc. Domini. 11) γάρ. Abest a Cod. 2. 12) Cod. vterque ἐπιλαβόμενοι.

a) 1 Cor. 10, 12.

λαμβανόμενοι τὴν ἀπλανῆ πορείαν 1) ὁδεύσετε. ιγ΄. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ· 2) μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτῷ. Ἐν γὰρ τῷ τῆς κρίσεως καιρῷ, τῆς ὑμετέρας κακίας, οἷον τινος ὕλης εὐπρήστου, καθάπερ πῦρ τὴν θείαν ἐκκαυσούσης ὀργὴν, πόῤῥω που γενήσεσθε τῆς τῶν δικαίων ὁδοῦ, δίκας τίνοντες ὧν κατὰ τόνδε τὸν βίον πεπλημμελήκατε. τηνικαῦτα δὲ καὶ οἱ ἀληθῶς καὶ βεβαίως εἰς αὐτὸν ἠλπικότες, λήψονται τῆς ἐλπίδος καρπὸν, τὸν 3) μακαρισμόν. μακάριοι γάρ φησιν οἱ πεποιθότες ἐπ᾽ αὐτῷ. εἰ καὶ 4) γὰρ κατὰ τὸν παρόντα βίον τὸν μακαρισμὸν ἔχουσιν οἱ τῆς ἀρετῆς ἀθληταὶ, ἀλλ᾽ οὖν ἀληθέστερον αὐτὸν 5) δέξονται κατ᾽ ἐκείνην τὴν ἡμέραν, καθ᾽ ἣν οἱ πονηρία συνεζηκότες τὴν θείαν ὀργὴν καθ᾽ ἑαυτῶν 6) ἐπισπάσονται.

apprehensa, certam tutamque ibitis viam. * 13. *Cum exarserit in breui ira eius: beati omnes, qui confidunt in eo.* Tempore enim iudicii, cum vestra malitia, veluti quædam materia ad comburendum apta, diuinam succenderit iram perinde ac ignem, tunc longe eritis a via iustorum, pendentes pœnas earum, quæ in vita peccaueritis. Tunc autem etiam illi, qui vere et firmiter in ipsum sperauerunt, reportabunt suæ spei amplissimum fructum, nimirum beatitudinem. *Beati enim*, inquit, *qui confidunt in eo.* Si enim in hac vita felicitate potiuntur virtutis athletæ, veriorem felicitatem accipient die illo, quo ei qui improbe vixerint iram diuinam in se ipsos adducent.

ΕΡΜΗΝ. ΤΟΥ Γ΄ ΨΑΛΜΟΥ.

α΄. Ψαλμὸς τῷ Δαβὶδ, 7) ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ. 8) Δήλη μὲν τοῖς ἐμμελεστέροις ἡ ἱστορία· τῶν δὲ ῥαθυμοτέρων ἕνεκα συντόμως ταύτην ἐρῶ. 9) μετὰ τὴν διπλῆν ἐκείνην παρανομίαν, ὁ μέγας Δαβὶδ 10) πολλαῖς καὶ παντοδαπαῖς περιέπεσε συμφοραῖς. οὐ γὰρ μόνον τὰ προσοικοῦντα ἔθνη πρὸς μάχην ἐκινήθη καὶ πόλεμον, ἀλλὰ καὶ αὐτὸς ὁ οἶκος τὴν στάσιν ἐδέξατο, 11) καὶ παρανομία

INTERP. PS. III.

1. *Psalmus Dauidis, quando fugit a facie Absolomi filii sui.* Manifesta est historia hominibus curiosis, verum pro segnioribus hanc breuiter attingam. Post geminum illud peccatum, in multas variasque calamitates magnus Dauid incidit Nam non solum finitimæ gentes ad pugnam bellumque commotæ sunt, sed ipsius etiam domus cœpit seditione laborare, et peccatum

1) Cod. 2. ὁδεύστε. Apud. CORD. p. 34. quædam alia sequuntur. 2) μακάριοι — ἐπ᾽ αὐτῷ. Hæc in vtroque Cod. nostro seiuncta sunt a præcedentibus. 3) μακαρισμόν. Hoc loco quædam apud CORD. p. 35. sequuntur. 4) γάρ. Def. in vtroque Cod. 5) δέξονται. In vtroque Cod. et apud CORD. sequitur post κατ᾽ ἐκείνην. 6) ἐπισπάσονται. Vide quæ sequuntur apud CORD. l. c. 7) ὁπότε. Cod. ὅτε. 8) Δήλη — ἐρῶ. Def. apud CORD. p. 44. 9) μετὰ τὴν — μετάνοιαν. Hæc e Cod. *vatic.* exhibuit GARNER. Auct. p. 7. 10) πολλαῖς καί. Def. apud GARN. l. c. 11) καὶ — ἐδέξατο. Hæc in Cod. nostro 2. et apud GARN. l. c. desunt. In Cod. 1. autem desideratur tantum παρανομία.

peccato successit. Amnonis intemperantiam excepit Absalomi e cæde contaminatio, fratricidium autem insultus contra patrem, et subditorum defectio. Cum enim diuina gratia Dauidi prospiceret, nihil horúm illi accidit: cum vero ob patratum crimen ab eo decessisset, malitia locum occupauit, et tragœdiis digna fecit, malorumque cumulum sibi contraxit. Tunc igitur temporis parricidam fugiens filium, illosque qui cum ipso aciem instruebant, hunc conscripsit psalmum: nimirum diuino numine adspirante ob feruentem ab eo actam pœnitentiam. 2. *Domine cur multiplicati sunt qui tribulant me? multi insurgunt aduersus me.* 3. *Multi dicunt animæ meæ, non habet ille salutem in Deo suo.* Multi quidem et varii hostes multis e locis me aggrediuntur: hi tamen plus ceteris me discruciant qui me irrident, ac dicunt me tua prouidentia destitutum esse. Ego vero non ignoro, te nolle me despectui habere, licet grauiter deliquerim. Sed confido; te erecturum * eum, qui propter peccatum humilis et abiectus est, et inimicis superiorem ostensurum: hoc enim declarauit dicens: 4. *Tu autem Domine susceptor meus es, gloria mea, et exaltans caput meum.* Neque enim regno ac potentiæ

παρανομίαν διεδέξατο. 1) τὴν τῦ Ἀμνὼν ἀκολασίαν ἡ τῦ Ἀβεσσαλὼμ 2) μιαιφονία, καὶ τὴν ἀδελφοκτονίαν ἡ κατὰ τοῦ πατρὸς 3) ἐπανάστασις, καὶ ἡ τῶν ὑπηκόων 4) ἀπόστασις. 5) προμηθουμένης γὰρ τῆς θείας χάριτος, τούτων ὐδὲν ἐπέλασε τῷ Δαβίδ. ἐκείνης δὲ διὰ τὴν γεγενημένην 6) ἀποστάσης παρανομίαν, χώραν ἔλαβεν ἡ κακία, καὶ τραγῳδίας 7) ἄξια δέδρακε, καὶ φορὰν ἐβλάστησε 8) συμφορῶν· κατ᾽ ἐκεῖνον τοίνυν τὸν καιρὸν, τὸν πατραλοίαν ἀποδιδράσκων υἱὸν, καὶ τὺς σὺν αὐτῷ τὴν 9) πρὸς αὐτὸν ἀναδεξαμένους παράταξιν, τῦτον ἔγραψε τὸν ψαλμόν· τῦ θείου πνεύματος δηλονότι καὶ τηνικαῦτα 10) ἐνηργηκότος διὰ τὴν θερμὴν 11) ὑπ᾽ αὐτοῦ γεγενημένην μετάνοιαν. β΄. Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με. πολλοὶ ἐπανίσανται ἐπ᾽ ἐμέ. γ΄. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου, ὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτῦ. Πολλοὶ μέν 12) τοι, καὶ παντοδαποὶ πολέμιοι πολλαχόθεν προσβάλλουσιν· ἀνιῶσι δέ με 13) πλέον οἱ ἐπιτωθάζοντες, καὶ τῆς σῆς προμηθείας γεγυμνῶσθαί με λέγοντες. ἐγὼ δὲ οἶδα, ὡς ὐκ ἀνέξῃ με παριδεῖν, καί τοι πεπλημμεληκότα μεγάλα. 14) ἀλλὰ τὸν νῦν ταπεινὸν διὰ τὴν ἁμαρτίαν γεγενημένον ὑψώσεις, καὶ κρείττονα δείξεις τῶν δυσμενῶν. τῦτο γὰρ παρεδήλωσεν εἰρηκώς· δ΄. Σὺ δὲ Κύριε ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου. 15) Οὐδὲ γὰρ τῇ βασιλείᾳ, καὶ τῇ δυναστείᾳ

1) τήν. apud GARN. præc. καί. 2) μιαιφονία. Cod. 2. addit διεδέξατο. 3) Cod. 2. ἐξανάστασις. 4) ἀπόστασις. GARN. habet ὑποστασία, vt puto, pro ἀποστασία. 5) προμηθουμένης — συμφορῶν. Des. apud GARN. 6) ἀποστάσης. In Cod. 1. sequitur post παρανομίαν. 7) ἄξια. Des. in Cod. 2. 8) CORD. p. 44. habet σύμφορον. 9) πρὸς αὐτόν. GARN. πονηράν. 10) GARN. ἐνηρτηκότος, minus bene. 11) ὑπ᾽ αὐτοῦ γεγενημένην. GARN. αὐτοῦ. 12) τοι. Cod. vterque μοι. 13) πλέον. Cod. 1. παντάπασιν. Cod. 2. πλεῖον. 14) ἀλλὰ τὸν κ. τ. λ. Alia vid. apud CORD. p. 46. 15) οὐδέ. Cod. 2. οὐ.

ϛεία θαῤῥῶ, ἀλλά σε δόξαν ἐμὴν εἶναι πιϛεύω, καὶ ὑπὸ τῆς σῆς ἐλπίζω ταχέως ὑψωθήσεσθαι 1) δεξιᾶς. ε΄. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ 2) ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Διὰ 3) τοι τοῦτο μετὰ πάσης προθυμίας προσφέρω σοι τὰς δεήσεις, εἰδὼς ὅτι παραυτίκα τὰς αἰτήσεις παρέξεις. οὐ φωνὴν δὲ ἐνταῦθα 4) καὶ βοὴν τὴν κραυγὴν νοητέον, ἀλλὰ τὴν τῆς ψυχῆς προθυμίαν. 5) οὕτω γὰρ καὶ ὁ τῶν ὅλων Θεὸς πρὸς σιγῶντα τὸν μακάριον ἔφη Μωσῆν· τί βοᾷς πρός με; βοὴν τὴν σιγὴν ὀνομάζων διὰ τὴν σπουδαίαν τῆς διανοίας εὐχήν. τὸ δὲ, εἰσήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ, κατὰ τὴν πάλαι κατέχουσαν εἴρηται δόξαν· ἐνομίζετο γὰρ ἐν τῇ σκηνῇ κατοικεῖν 6) ὁ τῶν ὅλων Θεὸς, ἐπειδὴ καὶ τοὺς χρησμοὺς ἐκεῖθεν τοῖς ἱερεῦσιν ἐδίδου. ϛ΄. Ἐγὼ 7) δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος 8) ἀντιλήψεταί μου. Νύκτα τὰς συμφορὰς πολλάκις ἡ θεία καλεῖ γραφή· ἐπειδὴ ὡς ἐν 9) σκότει διάγειν νομίζουσιν οἱ τοῖς ἄγαν ἀνιαροῖς περιπίπτοντες· ταῖς δὲ νυξὶν ὁ ὕπνος συνέζευκται· σημαίνει τοίνυν κατὰ ταυτὸν τὰς θλίψεις, καὶ τὴν τούτων ἀπαλλαγήν. τὸ γὰρ ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου, τοῦτο δηλοῖ, ὅτι τῆς θείας ἀπολαύσας ῥοπῆς κρείττων ἐγενόμην τῶν 10) προσπεσόντων 11) κακῶν. Διὸ ζ΄. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι. 12) ἀνάϛα Κύριε, σῶσόν με ὁ

confido, sed te gloriam meam esse credo, et a tua dextera spero me cito erectum iri. 5. *Voce mea ad Dominum clamaui, et exaudiuit me de monte sancto suo.* Propterea cum omni alacritate offero tibi preces, quia scio, te mihi confestim postulata largiturum. Hoc autem loco non est intelligenda vox de clamore aliquo, sed de quadam animi alacritate. Sic enim Deus vniuersorum beatissimo Mosi tacenti ait: a) Quid clamas ad me? vocem silentium nominans, ob sedulam mentis precationem. Hoc autem: Exaudiuit de monte suo, dictum est propter opinionem, quæ olim obtinuit. Existimabatur enim vniuersorum Deus in tabernaculo habitare, quoniam et oracula illinc sacerdotibus pandebat. 6. *Ego dormiui, et somno oppressus sum, et surrexi, quoniam Dominus suscipiet me.* Noctem sæpius calamitates sacræ literæ appellant: quia velut in tenebris viuere se existimant illi, qui in res admodum tristes incidunt; noctibus vero somnus coniunctus est. Vna igitur demonstrat afflictiones, et ab illis liberationem. Nam illud, surrexi, quoniam Dominus suscipiet me, hoc innuit, quod diuina ope adiutus mala ingruentia superauerim. Idcirco 7. *Non timebo millia populi circumdantis me: exsurge Domine, saluum me fac Deus*

1) δεξιᾶς. Pauca addit CORD. p. 47. 2) ἐπήκουσε. Cod. 1. εἰσήκουσε. 3) τοι. Abest a Cod. 2. 4) καὶ βοήν. Def. in Cod. 2. 5) οὕτω — Μωσῆν. CORD. l. c. οὕτω καὶ Μωσῆς σιγῶν ἤκουε. 6) ὁ — Θεός. Cod. 2. τὸν — Θεόν. 7) δέ. Def. in vtroque Cod. et apud CORD. 8) ἀντιλήψεται. Præstat lectio ἀντελάβετο, quam sequitur IVSTINVS. 9) Cod. 1. σκότῳ. 10) Cod. 1. προσόντων. 11) κακῶν. Vid. quæ sequuntur apud CORD. p. 49. 12) ἀνάϛα — μου. Hæc ad v. 8. pertinent.

a) Exod. 14, 15.

dicit, tua bona voluntas, tuusque maximus amor et dilectio in nos, fuit nobis et scutum victoriam parans, et corona triumphalis.

INTERP. PSALMI VI.

1. *In finem, in hymnis, pro octava, psalmus Dauidi.* *Octauam* futurum statum propheticus sermo appellat. Cum enim præsens vita per septem dies hebdomadis reuoluatur: (tempus enim a primo die incipiens, et desinens in septimum, rursus in primum recurrit, et sic in septimum progreditur:) merito * sæculum, quod extra septenarium numerum est, octauam diuinus sermo nuncupat. Meminit autem in hoc psalmo mortis, et iudicii. Quamobrem hunc posuit titulum. Ait enim, *Non est in morte qui memor sit tui, in inferno autem quis confitebitur tibi?* id est, clausa est pœnitendi ianua iis, qui hinc demigrarunt: nec fieri potest, vt qui in præsenti vita pœnitentiæ remediis vti noluerunt, ibi offerant Deo confessionem pro peccato. Suffragatur autem hisce etiam virginum parabola. Etenim per illam didicimus, fatuas virgines restinctis lampadibus mansisse extra ianuas cubiculi sponsi: quæ pulsarunt quidem ianuas, sed reiectæ et thalamo exclusæ sunt. Ait enim ipsis, a) Discedite, non noui vos. Propterea bea-

λέγει, ὅτι τὸ ἀγαθόν σου θέλημα, καὶ ἡ πολλή σου περὶ ἡμᾶς 1) φιλοστοργία τε καὶ ἀγάπη, καὶ ὅπλον ἡμῖν γέγονε νίκης πρόξενον, καὶ στέφανος ἐπινίκιος.

ΕΡΜΗΝ. ΤΟΥ ϛ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος 2) ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ Δαβίδ. 3) Ὀγδόην τὴν μέλλουσαν κατάστασιν ὁ προφητικὸς λόγος καλεῖ· ἐπειδὴ γὰρ ὁ παρὼν βίος διὰ τῶν ἑπτὰ τῆς ἑβδομάδος ἡμερῶν ἀνακυκλεῖται· 4) ἀπὸ γὰρ τῆς πρώτης 5) ὁ χρόνος ἀρχόμενος, καὶ λήγων εἰς τὴν ἑβδόμην, πάλιν 6) εἰς τὴν πρώτην ἐπάνεισι, καὶ οὕτως εἰς τὴν ἑβδόμην χωρεῖ· εἰκότως τὸν ἔξω τοῦ ἑβδοματικοῦ ἀριθμοῦ αἰῶνα ὀγδόην ὁ θεῖος προσηγόρευσε λόγος· μέμνηται δὲ θανάτου καὶ κρίσεως ἐν τῷδε τῷ ψαλμῷ· διὸ καὶ ταύτην τέθεικε τὴν ἐπιγραφήν. 7) λέγει γάρ· οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; ἀντὶ τοῦ, ἀποκέκλεισται τοῖς ἐντεῦθεν ἐξιοῦσι τῆς μετανοίας ἡ θύρα, καὶ οὐχ οἷόν τε τοὺς 8) μὴ κατὰ τὸν παρόντα βίον τοῖς τῆς μετανοίας χρησαμένους φαρμάκοις, ἐκεῖ τὴν ὑπὲρ τῆς ἁμαρτίας ἐξομολόγησιν προσενεγκεῖν τῷ Θεῷ. μαρτυρεῖ δὲ τούτοις τοῖς λόγοις, καὶ ἡ τῶν παρθένων παραβολή· καὶ γὰρ δι' ἐκείνης μεμαθήκαμεν, ὡς αἱ μωραὶ παρθένοι σβεσθεισῶν τῶν λαμπάδων ἔμειναν ἔξω τῶν τοῦ νυμφῶνος θυρῶν, παίουσαι μὲν τὰς θύρας, ἀποπεμπόμεναι δὲ, καὶ τῆς παστάδος ἀπεστερημέναι. ἔφη γὰρ πρὸς αὐτὰς, ὑπάγετε, οὐκ οἶδα ὑμᾶς. διά τοι τοῦτο ὁ 9) μακάριος

1) φιλοστοργία. Cod. 2. φιλανθρωπία. 2) ἐν ὕμνοις. Abest a Cod. 2. 3) Ὀγδόην — φαρμάκων. Horum Epitomen vid. apud CORD. p. 107. 4) ἀπὸ — χωρεῖ. Hæc def. apud CORD. l. c. 5) ὁ χρόνος. Abest a Cod. 2. 6) εἰς. Abest a Cod. 2. 7) λέγει — μακάριος Δαβίδ. Def. apud CORD. l. c. 8) μὴ. In Cod. 1. præm. voci χρησαμένους. 9) μακάριος. Abest a Cod. 2.

a) Matth. 25, 12.

κάριος Δαβίδ, μετὰ τὴν διπλῆν ἐκείνην ἁμαρτίαν, ταύτην τῷ Θεῷ προσφέρει τὴν ἱκετείαν, ἰατρευθῆναι παρακαλῶν, ὡς μήκετι χώραν ἐχόντων ἐν ἐκείνῳ τῷ βίῳ τῶν τῆς μετανοίας φαρμάκων. 1) β. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Οὐ παρακαλεῖ μὴ ἐλεγχθῆναι, ἀλλὰ μὴ 2) θυμῷ ἐλεγχθῆναι, οὐδὲ ἱκετεύει μὴ παιδευθῆναι, ἀλλὰ μὴ μετ᾽ ὀργῆς τοῦτο παθεῖν. 3) πατρικῶς μέ φησι παίδευσον, μὴ δικαστικῶς· ἰατρικῶς, 4) μὴ κολαστικῶς. μὴ μετρήσῃς τῇ ἁμαρτίᾳ τὴν τιμωρίαν, ἀλλὰ τῇ φιλανθρωπίᾳ τὸ δίκαιον κέρασον. γ. Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι. Ἁρμόττουσα τοῖς ἡμαρτηκόσιν ἡ τοιαύτη φωνή. ἀσθενείας γὰρ ἡγουμένης, ἡ ἁμαρτία νικᾷ· εἰ γὰρ μὴ 5) ἀσθενήσει τὸ ἐν ἡμῖν λογικὸν, οὐ 6) στασιάσει τὰ πάθη· 7) ἐῤῥωμένου γὰρ τοῦ ἡνιόχου, καὶ μετ᾽ ἐπιστήμης τοὺς ἵππους καὶ στρέφοντος καὶ ἰθύνοντος, οὐκ ἔχει τὰ σκιρτήματα χώραν. δ. Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου· καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. Ὀστᾶ ἐνταῦθα τοὺς λογισμοὺς ὀνομάζει· ἐπειδὴ γὰρ τὰ ὀστᾶ στεγανωτέραν ἔχει τὴν φύσιν, καὶ αὐτὰ φέρει τὸ σῶμα, τροπικῶς τοὺς λογισμοὺς, δι᾽ ὧν τὸ ζῶον ἰθύνεται, ὀστᾶ προσηγόρευσεν. ἡ τούτων, φησὶ, ταραχὴ ἐκλόνησέ με, καὶ ἔσεισε. διόπερ τῆς 8) σῆς φιλανθρωπίας ἀπολαῦσαι παρακαλῶ, ἵνα διὰ ταύτης τὴν ἴασιν δέξωμαι. καὶ σὺ Κύριε ἕως πότε; ε. Ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. 9) Τὸ, ἕως πότε, οὐχ ὡς ἐγ-

tus Dauid post duplex illud peccatum has offert Deo preces, rogans vt sanetur, quod medicamenta pœnitentiæ non habeant amplius locum in illa vita. 2. *Domine ne in furore tuo arguas me, neque in ira tua corripias me.* Non precatur vt non reprehendatur, sed ne cum furore reprehendatur: neque petit, vt non castigetur, sed ne cum ira hoc patiatur. Paterne me, inquit, corripias, non iudicis instar; medici more, non tortoris. Ne metiaris vindictam peccato, sed benignitate iustitiam tempera. 3. *Miserere mei Domine, quoniam infirmus sum.* Huiusmodi vox peccatoribus conuenit. Nam infirmitate præcedente, peccatum vincit. Si enim ratio in nobis non infirma fuerit, perturbationes nequaquam tumultuabuntur. Si enim auriga validus fuerit, et equos scienter flexerit et moderatus fuerit, insultus non habebunt locum. 4. *Sana me Domine, quoniam conturbata sunt ossa mea, et anima mea turbata est valde.* Ossa in hoc loco ratiocinationes appellat. Quoniam enim ossa densiorem habent naturam, et ipsa corpus ferunt; tropice ratiocinationes, per quas animal dirigitur, ossa nuncupauit. Ait igitur, horum conturbatio concussit et commouit me. Quare precor vt tua benignitate perfruar, vt per hanc conualescam. * *Et tu Domine vsquequo?* 5. *Conuertere Domine, eripe animam meam, saluum me fac propter misericordiam tuam.* Non dicit *vsquequo*, velut increpans, *

1) In Cod. *flor*. hæc præmittuntur: Ἐξομολογεῖται τῷ Θεῷ ὁ μακάριος Δαβὶδ περὶ τῆς ἰδίας ἁμαρτίας, ἣν εἰργάσατο συγκαθευδήσας τῇ Βηρσαβεέ. λέγει δὲ ταῦτα ἐν συμφοραῖς ὢν, ἐν αἷς καὶ ἐξητάζετο διὰ τὴν ἁμαρτίαν. 2) θυμῷ — ἀλλὰ μή. Def. apud CORD. p. 107. 3) πατρικῶς — κέρασον. Def. ibid. 4) μὴ κολαστικῶς. Abest a Cod. 2. 5) Cod. 1. ἀσθενήσοι. Cod. 2. ἀσθενεῖ. 6) Cod. 1. στασιάζοι. Cod. 2. στασιάζει. 7) ἐῤῥωμένου — χώραν. Def. apud CORD. p. 108. 8) σῆς. Abest a Cod. 1. 9) Τὸ — τὴν βοήθειαν. Def. apud CORD. p. 108.

pans, sed cum in dolore sit, obsecrat, vt opem propere ferat. Concinne autem apposuit, *Propter misericordiam tuam.* Non enim, inquit, mihi ipsi confido, neque meæ iustitiæ tuum auxilium adscribo; sed ob tuam misericordiam deprecor, vt illius compos fiam. Hoc autem *conuertere Domine*, pro *attende ad me* posuit, et ne auertas faciem tuam a me: metaphora sumta ab his qui excandescunt, et auersantur eosque qui deliquerint intueri nolunt. 6. *Quoniam non est in morte qui memor sit tui, in inferno autem quis confitebitur tibi?* Idcirco precor, vt in præsenti curatione fruar, quoniam noui, eos, qui ab hac vita decesserunt cum vulneribus, nullam deinceps medicinam consecuturos, cum nullus amplius sit pœnitentiæ locus. „Hoc etiam egre-
„gie diuinus Dauid philosophatus
„est: neque enim in morte est, sed
„in vita, qui Dei meminit. Sic
„descendentibus in infernum ne-
„que confessio est, neque corre-
„ctio. Hîc enim Deus vitam et
„actionem conclusit, illic vero fa-
„ctorum examen: et hoc octauæ
„proprium, iam non amplius tem-
„pus ad comparationem bonorum
„et malorum dari hominibus in ea
„existentibus. Sed quorum semina
„quis per opera iecerit, horum erunt
„percipiendi manipuli: cuius gratia
„hîc pœnitentiam agere iubet, quip-
„pe cum in sepulcro eiusmodi stu-
„dium iners sit. Ait enim, quoniam
„diuturnum mihi pœnitentiæ tem-
„pus factum est, metuo, ne miseri-
„cordiam tuam præueniat mors, in

καλῶν λέγει, ἀλλ' ὡς ἐν ὀδύναις ὤν, ἐπιταχῦναι παρακαλεῖ τὴν βοήθειαν· 1) ἁρμοδίως δὲ προσέθηκε τὸ, ἕνεκεν τοῦ ἐλέους σου. οὐδὲ γὰρ ἐμαυτῷ, φησὶ, θαῤῥῶ, οὐδὲ τῇ ἐμαυτοῦ δικαιοσύνῃ 2) τὴν σὴν 3) ἐπιγράφω βοήθειαν, ἀλλὰ διὰ τὸν σὸν ἔλεον ταύτης ἱκετεύω τυχεῖν. τὸ δὲ, ἐπίστρεψον Κύριε, ἀντὶ τοῦ, πρόσχες μοι, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· 4) ἐκ μεταφορᾶς τῶν ὀργιζομένων, καὶ ἀποστρεφομένων, καὶ τοὺς ἐπταικότας οὐκ ἐθελόντων ὁρᾷν. ς'. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; 5) Διὰ τοῦτο τῆς θεραπείας ἐπὶ τοῦ παρόντος ἀπολαῦσαι παρακαλῶ, ἐπειδὴ οἶδα, ὅτι τοῖς τόνδε τὸν βίον ἐξιοῦσι μετὰ τραυμάτων, οὐδεμία λοιπὸν θεραπεία δοθήσεται, οὐκέτι χώραν τῆς μετανοίας ἐχούσης. 6) „Καὶ
„κάλλιστα τῷ θείῳ Δαβὶδ τοῦτο πεφιλο-
„σόφηται· οὐ γὰρ ἐν θανάτῳ, ἀλλ' ἐν ζωῇ
„ἐστιν ὁ τοῦ Θεοῦ μεμνημένος. οὕτως οὐκ ἔστιν
„ἐν ᾅδῃ τοῖς ἀπελθοῦσιν ἐξομολόγησις καὶ
„διόρθωσις. συνέκλεισε γὰρ ὁ Θεὸς ἐν-
„ταῦθα μὲν βίον καὶ πρᾶξιν, ἐκεῖ δὲ τὴν
„τῶν πεπραγμένων ἐξέτασιν. καίγε ἴδιον
„τοῦτο τῆς ὀγδόης, τὸ μηκέτι καιρὸν εἰς
„παρασκευὴν ἀγαθῶν, ἢ κακῶν διδόναι
„τοῖς ἐν αὐτῇ γινομένοις. ἀλλ' ὧν ἄν τις
„ἑαυτῷ καταβάληται διὰ τῶν ἔργων τὰ
„σπέρματα, τούτων ἀντιπαρέχειν τὰ δράγ-
„ματα· οὗ χάριν ἐνταῦθα ἐνεργεῖν νομο-
„θετεῖ τὴν μετάνοιαν, ὡς ἐν τῷ ᾅδῃ τῆς
„τοιαύτης σπουδῆς ἀπρακτούσης. φησὶ
„γὰρ, ἐπειδὴ μακρός μοι γέγονεν ὁ τῆς
„μετανοίας καιρὸς, δέδοικα μὴ φθάσῃ τὸν
„παρὰ σοῦ ἔλεον ὁ θάνατος, ἐν ᾧ τὰ τῆς
„ἐξομο-

1) ἁρμοδίως — ἀπ' ἐμοῦ. Mutato ordine verborum hæc leguntur apud CORD. l. c. 2) τὴν σήν. Abest a Cod. 2. 3) ἐπιγράφω. Cod. vterque et CORD. ἐπαγγέλλω. 4) ἐκ — ὁρᾷν. Def. apud CORD. l. c. 5) Διὰ — ἐχούσης. Hæc fere eadem sunt cum iis quæ CORD. exhibet l. c. 6) GARNER. Auct. p. & e Cod. vatic. hæc suppleuit.

„ἐξομολογήσεως οὐκ ἔστι· τούτου χάριν ἐπιταχῦναι τὸν ἔλεον αὐτῶ· εἶτα παιδεύει „τὸν ἀκροατὴν, ὅτι μετὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας δεῖ καὶ τὰ ἡμέτερα ἕπεσθαι. „ἄν τε γὰρ τὴν ἀσθένειαν προβαλώμεθα, „ἄν τε τὴν ταραχὴν, ἄν τε τοῦ Θεοῦ τὴν „ἀγαθότητα, τὰ δὲ παρ' ἡμῶν μὴ προστεθῇ, οὐδὲν ὄφελος ἡμῖν.„ ζ΄. Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Οἶδα μὲν μεγάλα καὶ χαλεπὰ πλημμελήσας, ἀλλ' ὅμως 1) δακρύων διηνεκῶς διατελῶ, 2) καὶ τὰ ὑπ' ἐμοῦ τετολμημένα θρηνῶν· καὶ μέντοι καὶ τὴν μιανθεῖσαν ὑπὸ τῆς παρανομίας κλίνην ἀεὶ δάκρυσιν 3) ἀπολούσω, 4) ἐκκαθῆραι ταύτην διὰ τούτων πειρώμενος· κἂν τύχω δὲ τῆς ἀφέσεως, οὐ παύσομαι τοῦτο ποιῶν. 5) τοῦτο γὰρ σημαίνει, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, 6) καὶ βρέξω. η΄. Ἐταράχθη 7) ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. Αὐτό μου τὸ ὀπτικὸν τῆς διανοίας τετάρακται διὰ τὴν σὴν ἀγανάκτησιν Δέσποτα· 8) ὀφθαλμὸν γὰρ ἐνταῦθα τὸν νοῦν προσηγόρευσε, διὸ καὶ ἑνὸς ἐμνημόνευσεν. ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Πάντων μοι, φησὶ, χαλεπώτερα 9) τῶν ἐχθρῶν τὰ ὀνείδη· ταῦτα γάρ με δαπανᾷ, καὶ κατατήκει, καὶ γῆρας ἄωρον ἐπιφέρει. θ΄. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς 10) τῆς τοῦ κλαυθμοῦ μου· ἤκουσε Κύριος τῆς δεήσεώς μου. ι΄. Κύριος τὴν προσευχήν μου προσεδέξατο. Μηκέτι, φησὶν, 11) ἐπιτωθαζέτωσάν μοι οἱ τὰς οἰκείας 12) μὲν οὐχ ὁρῶντες

„ qua confessionis nihil est; quare „ misericordiam accelerari peto. „ Deinde auditorem docet, nostra debere cum Dei humanitate sequi. Siue enim infirmitatem obtendimus, siue perturbationem, siue Dei bonitatem: ea vero quæ in nostra potestate sunt, non accesserint, „ nihil nobis prodest. „ 7. *Laboraui in gemitu meo, lauabo per singulas noctes lectum meum, lacrymis meis stratum meum rigabo.* Non me latet, magna et grauia me commisisse peccata: veruntamen continenter lacrymor, et ea quæ a me audacter commissa sunt deploro. Quin etiam cubile meum iniquitate contaminatum semper lacrymis abluam, per has illud purgare studens: et donec remissionem consequar, hoc facere non desinam. Id enim significat, *Lauabo per singulas noctes lectum meum, et rigabo.* 8. *Turbatus est a furore oculus meus.* Ipse oculus mentis meæ turbatus est ob tuam indignationem, Domine. *Oculum* namque hic mentem appellauit, ideoque vnius tantum oculi mentionem fecit. *Inueteraui, inter omnes inimicos meos.* Omnibus malis grauiora mihi sunt inimicorum opprobria: hæc enim me consumunt, et tabefaciunt, et præmaturam senectutem adducunt. 9. *Discedite a me omnes, qui operamini iniquitatem: quoniam exaudiuit Dominus vocem deprecationis meæ.* 10. *Dominus orationem meam suscepit.* * Non amplius, inquit, subsannent me, qui proprias iniquitates non vident,

1) δακρύων. Abest a Cod. 2. 2) καί. Des. ibid. 3) Cod. 1. 2. ἀπολούω. 4) Cod. vterque ἐκκαθάραι. 5) τοῦτο — βρέξω. Des. apud CORD. p. 108. 6) καὶ βρέξω. Des. in Cod. 2. 7) ἀπὸ θυμοῦ. Cod. 1. ἐν θυμῷ. 8) ὀφθαλμὸν — ἐμνημόνευσεν. Des. apud CORD. p. 109. 9) τῶν ἐχθρῶν. Des. in Cod. 2. 10) τῆς. Abest ab vtroque Cod. 11) Cod. 1. ἐπιτωθάζετέ με. 12) μέν. Abest a Cod. 2.

vident, sed mea peccata irrident. Etenim diuino fauore potitus sum, et persuasum mihi est per ea, quæ precatus sum, fore vt non respiciat ad delicta mea, neque veniæ participem faciat. 11. *Erubescant, et conturbentur omnes inimici mei: conuertantur, et erubescant celerrime.* Cum igitur hæc sciatis, desinite inferre mihi opprobria: vestrasque iniquitates in memoriam reuocantes, pudore, tumultu, et perturbatione impleamini. Iustum est enim, et terroris plenum diuinum iudicium.

παρανομίας, τὰ δ' ἐμὰ πλημμελήματα κωμῳδῦντες· τῆς θείας γὰρ ἔτυχον εὐμενείας, καὶ 1) πέπεικα δι' ὧν ἠντιβόλησα παριδεῖν μὲν τὰ πλημμελήματα, μεταδῦναι δὲ συγγνώμης. ια'. Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου· ἀποςραφείησαν 2) εἰς τὰ ὀπίσω, καὶ 3) καταισχυνθείησαν σφόδρα διὰ τάχυς. Ταῦτα τοίνυν εἰδότες παύσασθε μὲν ἐμοὶ 4) ὀνείδη προσφέροντες, τὰς δὲ οἰκείας εἰς νῦν 5) λαβόντες παρανομίας, αἰσχύνης καὶ θορύβυ, καὶ ταραχῆς ἀναπλήσθητε. δίκαιον γὰρ καὶ φόβυ μεςὸν τὸ θεῖον κριτήριον..

INTERP. PSALMI VII.

1. *Psalmus Dauidi, quem cecinit Domino pro verbis Chusi filii Iemini.* Fugiens beatus David nefarium et parricidam filium, adiutorem inuenit Chusi, qui Absalomo persuasit, ne secundum Achitophelis consilium statim patrem insequeretur, sed vt cogeret prius omnem populum, et deinde contra genitorem bellum moueret. Mœrore igitur affectus, et admodum conturbatus Achitophel, eo quod consilium Chusi præstantius visum fuit, factus sui ipsius homicida, suspendio vitam finiit. Diuinus autem Dauid, cum ex invasionis dilatione occasionem fugiendi arripuisset, salutis compos fuit. Hunc igitur psalmum, veluti quendam hymnum deprecationemque, Deo saluatori offert. Doctrinam autem etiam addit,

ΕΡΜΗΝ. ΤΟΥ ζ'. ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβὶδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χυσὶ υἱῦ Ἰεμενεί. Ἀποδιδράσκων ὁ μακάριος Δαβὶδ τὸν ἀλάςορα καὶ πατραλοίαν 6) υἱόν, 7) εὗρε βοηθὸν τὸν Χυσὶ, ὃς πέπεικε τὸν Ἀβεσσαλὼμ μὴ κατὰ τὴν εἰσήγησιν 8) τῦ Ἀχιτόφελ παραυτίκα διῶξαι τὸν πατέρα, ἀλλὰ τὸν λαὸν ἅπαντα συναγεῖραι, καὶ τηνικαῦτα κατὰ τῦ γεγεννηκότος ςρατεῦσαι. ἀχθεσθεὶς τοίνυν καὶ λίαν ἀδημονήσας ὁ Ἀχιτόφελ, ὡς αἱρετωτέρας ὀφθείσης τῆς τῦ Χυσὶ συμβυλῆς, αὐτόχειρ 9) αὐτὸς γενόμενος, την δι' ἀγχόνης ἐδέξατο τελευτήν. ὁ δέ γε θεῖος Δαβὶδ τῆς ἐφόδυ τὴν ἀναβολὴν καιρὸν εἰς φυγὴν λαβὼν, τῆς σωτηρίας ἔτυχε· τῦτον τοιγαρῦν τὸν ψαλμὸν, οἷόν τινα ὕμνον καὶ προσευχὴν, τῷ σωτῆρι προσφέρει Θεῷ· προστίθησι δὲ καὶ διδασκαλίαν, τὺς

1) πέπεικα. Cod. 2. πέποιθα. 2) εἰς τὰ ὀπίσω. Des. in Cod. 1. 3) καταισχ. Cod. 2. κατεχθείησαν. 4) ὀνείδη. Cod. vterque præm. τά. 5) λαβόντες. Cod. 2. præm. οὐ. 6) υἱόν. Abest a Cod. 1. In Cod. 2. sequitur αὐτοῦ, τὸν Ἀβεσαλώμ. 7) εὗρε — πέπεικε. Cod. 1. τὸν Χουσὶ πέπομφεν ὥστε διασκεδάσαι τοῦ Ἀχιτόφελ τὰς συμβουλάς. καὶ δὴ τοῦτο δέδρακεν ὁ Χουσὶ, καὶ πέπεικε. Ita fere legit CORD. p. 123; sed Cod. 2. habet πέπομφε τὸν Χουσὶ, ὡς διασκεδάσαι — πέπεικε. 8) τοῦ Ἀχιτ. Cod. 1. τὴν ἐκείνου. A Cod. 2. abest τήν. 9) αὐτός. Cod. vterque αὐτοῦ.

τὲς μὲν ὑπό τινων ἀδικεμένες εἰς τὸν Θεὸν ἔχειν τὰς ἐλπίδας προτρέπων, καὶ τὴν ἐκεῖθεν ἀναμένειν ῥοπὴν, τὲς δὲ ἀδικεντας δεδιττόμενος 1) τῆς τε Θεε δικαίας κρίσεως μνήμῃ. β'. Κύριε, ὁ Θεός με, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. γ'. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν με, μὴ ὄντος λυτρεμένε, μηδὲ σώζοντος. 2) Οὐδεμιᾷ φησιν ἀνθρωπίνῃ βοηθείᾳ 3) θαῤῥῶν, τὴν δὲ σὴν ἐλπίδα μόνην 4) ἐν ἐμαυτῷ 5) περιφέρων, ἱκετεύω τῆς σῆς προμηθείας τυχεῖν. 6) δέδια γὰρ μὴ δίκην ἀγρίε θηρὸς ἐπελθόντες 7) οἱ πολεμεντες, καὶ ἔρημόν με τῆς σῆς προνοίας εὑρόντες, παντελῶς διαφθείρωσιν. δ'. Κύριε ὁ Θεός με, εἰ ἐποίησα τετο. Εἶτα διδάσκει σαφέστερον ὃ λέγει. εἰ ἔστιν ἀδικία ἐν χερσί με. Καὶ δεικνὺς ποῖον εἶδος ἀδικίας 8) ἐνταῦθά φησιν, εὐθὺς ἐπάγει· ε'. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδεσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν με κενός. ς'. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν με, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν με, καὶ τὴν δόξαν με εἰς χεν κατασκηνώσαι. Τῆς ἀρετῆς πολλὰ μόρια. ε γὰρ μόνον σωφροσύνη καὶ φρόνησις, ἀλλὰ καὶ ἀνδρεία καὶ δικαιοσύνη. ἐνταῦθα τοίνυν ε τὴν ἄκραν ἀρετὴν ἑαυτῷ μαρτυρεῖ· ἀλλ' ὅτι τέτες ἥκιστα τὲς πολεμίες ἠδικηκὼς, τὴν ἄδικον δι' αὐτὲς ὑπομένει φυγήν. ε μόνον γάρ φησιν ἀδικίας ἐκ ἦρξα, ἀλλ' ἐδὲ τὲς ἠδικηκότας ἠνεχόμην ἀμύνασθαι πώποτε. πολλάκις γὰρ τὸν Σαελ ὑποχείριον λαβὼν, τῆς ἀδίκε δυσμενείας δίκας ἐκ 9) εἰσεπραξάμην.

eos adhortans, qui a quibusdam iniuria sunt affecti, vt spem in Deo collocent, et illinc opem exspectent: eos autem qui iniuriam inferunt, facta iusti iudicii diuini mentione deterrens. 2. *Domine Deus mi in te speraui, libera me ab omnibus persequentibus me, et eripe me.* 3. *Ne rapiat vt leo animam meam, dum non est qui redimat, neque qui saluum faciat.* Nullo, inquit, humano auxilio fretus, sed tuam solam spem in me ipso circumferens, precor vt tua fruar prouidentia. Timeo enim, ne more agrestis ferae, ii qui bello me *persequuntur irrumpant, meque tua custodia destitutum inuenientes, penitus perdant. 4. *Domine Deus mi, si feci istud.* Deinde manifestius docet quod dicit. *Si est iniquitas in manibus meis.* Et demonstrans, quam speciem iniustitiae hîc dicat, illico subiungit. 5. *Si reddidi retribuentibus mihi mala, decidam merito ab inimicis meis inanis.* 6. *Persequatur inimicus animam meam, et comprehendat, et conculcet in terra vitam meam, et gloriam meam in puluerem deducat.* Multae sunt partes virtutis. Non solum enim temperantia et prudentia, verum etiam fortitudo et iustitia. Hîc igitur non eximiam virtutem sibi adscribit, sed quod, cum hosce suos hostes minime offenderit, iniustum propter ipsos sustineat exilium. Non solum enim, inquit, prior iniuriam non intuli, sed neque illos, qui mihi nocuerunt, vnquam vlcisci volui. Nam cum saepius Saulem captiuum haberem, iusti odii poenas non exegi.

1) τῆς. Cod. vterque praem. τῇ. 2) Cod. noster vterque habet οὐδὲ μιᾷ. Ita quoque leg. in Cod. *florent.* supra commemorato. 3) Cod. *flor.* θαῤῥῶ. 4) ἐν. Abest a Cod. 2. 5) περιφέρων, ἱκετεύω. Cod. *flor.* παραφέρω, ἱκετεύων. 6) Cod. *flor.* δέδοικα. 7) οἱ πολεμοῦντες. Def. in Cod. *flor.* 8) ἐνταῦθα. Abest a Cod. 2. 9) εἰσεπρ. Codex vterque et CORD. p. 124. ἐπραξάμην.

egi. Quapropter te Domine obsecro, qui omnia scis, vt iuste me iudices, et si quid tale vnquam commiserim, me tua cura priues, (hoc enim dicit, *Decidam ab inimicis meis inanis:*) me autem inimicis meis subiicias, sic vt non solum gloria et regno a te mihi dato me priuent, sed ridiculæ morti me tradant. Nam id significauit, dicens, *Gloriam meam in puluerem deducat.* 7. *Exsurge Domine in ira tua, et exaltare in finibus inimicorum meorum.* Symmachus quidem *in bile*, Theodotion *in furore*, Aquila vero *in celeritate* interpretati sunt. Obsecrat igitur iustum iudicem, ne amplius longanimitate, sed iusta sententia vtens, iis qui iniuriam inferunt pœnam irroget. *Exsurge* enim, pro, Ne amplius sis longanimis, posuit. Tale est illud etiam, a) Exsurge, quare obdormis Domine? Nam ibi somnum longanimitatem appellauit. Et, b) Exsurge Domine, adiuua nos. Tempus enim non benignitatis est, sed iustæ iræ. Impone igitur inimicis meis finem, iniustum eorum impetum compescens. 8. *Et exsurge Domine Deus mi in præcepto quod mandasti.* * Tu enim iussisti, vt eos tueamur qui iniuria afficiuntur. Quod igitur aliis fieri præcepisti, fac nunc, o Domine, tuamque opem mihi impertias. 8. *Et synagoga populorum circumdabit te. Et propter hanc in altum regredere.* Etenim cum hanc tuam prouidentiam ostenderis, omnes hymnos offerent tibi, Deumque altissimum te nuncupabunt, vt

μην. οὗ δὴ χάριν σε Δέσποτα παρακαλῶ, τὸν πάντα σαφῶς ἐπιςάμενον, δικάσαι μοι δικαίως· καὶ εἴτι τοιοῦτο δέδρακα πώποτε, τῆς μὲν σῆς κηδεμονίας γυμνῶσαι· τοῦτο γὰρ λέγει, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός· ὑποχείριον δὲ τοῖς δυσμενέσιν ἐκδοῦναι· ὡς ἂν μὴ μόνον τῆς παρὰ σοῦ με δόξης καὶ βασιλείας γυμνώσαιεν, ἀλλὰ καὶ καταγελάςῳ παραδοῖεν θανάτῳ· τοῦτο γὰρ ἐσήμανεν εἰρηκὼς, τὴν δόξαν μου εἰς χοῦν κατασκηνῶσαι. ζ΄. Ἀνάςηθι Κύριε ἐν ὀργῇ σου· ὑψώθητι 1) ἐν τοῖς πέρασι τῶν ἐχθρῶν 2) μου. Ὁ μὲν 3) οὖν Σύμμαχος, ἐν χόλῳ, ὁ δὲ Θεοδοτίων, ἐν θυμῷ, ὁ δέ γε Ἀκύλας, ἐν ἀνυπερθεσίᾳ ἡρμήνευσε· παρακαλεῖ τοίνυν τὸν δίκαιον κριτὴν μηκέτι μακροθυμίᾳ, ἀλλὰ δικαίᾳ χρησάμενον ψήφῳ, τὴν τιμωρίαν ἐπιθεῖναι τοῖς ἀδικοῦσι. τὸ γὰρ ἀνάςηθι, ἀντὶ τοῦ μηκέτι μακροθυμήσῃς τέθεικε· τοιοῦτόν ἐςι τὸ, ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε; καὶ γὰρ ἐκεῖ ὕπνον τὴν μακροθυμίαν ἐκάλεσε. καὶ, ἀνάςα Κύριε, βοήθησον ἡμῖν· 4) ὁ καιρὸς γὰρ οὐ φιλανθρωπίας, ἀλλὰ δικαίας ὀργῆς. ἐπίθες τοίνυν τοῖς ἐχθροῖς μου τὸ πέρας, τὴν ἄδικον αὐτῶν ἔφοδον καταπαύσας. η΄. Καὶ ἐξεγέρθητι Κύριε ὁ Θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω. Σὺ γὰρ ἐνομοθέτησας τοῖς ἀδικουμένοις ἀμύνειν. ὃ τοίνυν τοῖς ἄλλοις ἐνετείλω ποιεῖν, δρᾶσον ὦ Δέσποτα, καὶ τῆς σῆς μοι μετάδος ῥοπῆς. η΄. καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίςρεψον. Ταύτης γάρ σου τῆς προνοίας δειχθείσης, ἅπαντές σοι τοὺς ὕμνους προσοίσουσι, καὶ Θεὸν ὕψιςον 5) ἀποκαλέσουσιν,

1) ἐν τοῖς πέρασι. Propius ad hebr. veritatem h. l. accesserunt *Symm.* et *Theodotio*, cuius versiones deinde a Nostro recensentur. 2) μου. Cod. 2. habet σου, et sic quoque leg. in edit. *ald.* et *compl.* 3) οὖν. Abest ab vtroque Cod. 4) ὁ — οὐ. Cod. vterque, οὐ καιρὸς γάρ. Ita quoque Cod. *flor.* et CORD. l. c. 5) ἀποκαλέσουσιν. Cod. 2. ἐπικαλέσουσιν.

a) Ps. 43, 23. b) Ps. 3, 7.

[illegible] πάντα ἐφορῶντα, καὶ τὴν ἀξίαν τοῖς ἀδικοῦσιν ἐπιτιθέντα. τὸ [illegible]ς ὕψος ἐπίστρεψον, ἀντὶ τοῦ ὕψιστος ὢν, παρὰ δὲ τοῖς πολλοῖς ἀγνοούμενος, δείχθητι ὅπερ ὑπάρχεις διὰ τῆς περὶ τοὺς ἀδικουμένους κηδεμονίας. εἶτα προφητικῶς· θ. Κύριος κρινεῖ λαούς. Οὐ γὰρ μόνον τὴν ἐμὴν δίκην δικάσει, ἀλλὰ καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει. Κρῖνόν 1) με Κύριε κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ᾽ ἐμοί. Οὐ δικαιοσύνην αὐτοῦ διὰ τούτων τῶν λόγων μεμαρτύρηκεν ὁ 2) θεῖος Δαβίδ. 3) τἀναντία γὰρ αὐτοῦ βοῶντος ἀκούομεν, ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. καὶ εἶπα, ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ. ἀλλὰ δικαιοσύνην τὴν ἐν τῷ προκειμένῳ πράγματι λέγει· οὔτε γάρ 4) φησι τὸν Ἀβεσσαλὼμ ἠδίκηκά τι, οὔτε τὸν Ἀχιτόφελ, οὔτε τοὺς μετὰ τούτων κατ᾽ ἐμοῦ στρατεύοντας· κατὰ ταύτην τοίνυν τὴν δικαιοσύνην, καὶ τὴν 5) ἀκακίαν, κριθῆναι παρακαλῶ, καὶ μὴ κατὰ τὰς ἤδη παρ᾽ ἐμοῦ γεγενημένας πλημμελείας. 6) αὐτὴν κατ᾽ αὐτὴν κριθῆναι τὴν παροῦσαν ὑπόθεσιν ἱκετεύω, καὶ μὴ ἑτέρων 7) νῦν δοῦναι δίκας ἁμαρτημάτων. ί. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον. Ἀντὶ τοῦ συντελεσθήτω, ἀπαρτισθήτω ὁ Σύμμαχος τέθεικεν· εἰ ματαία, φησὶ, δειχθείη τῶν κακία συζώντων ἡ πονηρία, σπουδαιότερον οἱ τῆς ἀρετῆς τρόφιμοι τὴν προκειμένην 8) αὐτῆς πορείαν ποιήσονται. ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. ιά. 9) Δι-

omnia prospicientem, dignamque pœnam delinquentibus irrogantem. Nam *regredere in altum*, idem est quod, cum natura altissimus sis, apud multos vero incognitus, ostende quod es, per sollicitudinem, quam circa iniuria affectos habes. Deinde vaticinantis more subiungit: *9. Dominus iudicabit populos.* Non solum meam caussam iudicabit, verum etiam vniuersæ hominum naturæ. *Iudica me Domine secundum iustitiam meam, et secundum innocentiam meam super me.* Per hæc verba diuinus Dauid non suam ostentat iustitiam: contraria enim ipsum dicentem audimus, *a)* Quoniam iniquitatem meam ego cognosco, et peccatum meum contra me est semper. Et, *b)* Dixi, confitebor aduersus me iniquitatem meam Domino. Verum iustitiam dicit, quæ in re præsenti elucet. Non enim, inquit, Absalomum offendi, nec Achitophelem, nec illos, qui vna cum ipsis bellum gerunt contra me. Secundum hanc ergo iustitiam atque innocentiam, vt me iudices precor, et non secundum peccata, quæ a me antea commissa fuerunt: sed ipsam per se rem præsentem vt iudices oro, neque aliorum flagitiorum a me nunc pœnam exigas. *10. Consummetur nequitia peccatorum, et diriges iustum.* Pro *consummetur*, Symmachus posuit *perficiatur*. Si irrita fuerit reddita, inquit, nequitia eorum, qui malitia assueuere, virtutis alumni studiosius eius propositum iter facient. *Scrutans corda et renes Deus. 11. Iustum*

1) με. Cod. 2. μοι, vt habet Cod. *alex.* 2) θεῖος. Abest a Cod. 2. 3) τἀναντία — τῷ Κυρίῳ. Des. apud CORD. p. 125. 4) φησί. Abest a Cod. 2. 5) ἀκακίαν. Cod. 1. κακίαν. 6) αὐτήν — ἁμαρτ. Des. apud. CORD. l. c. 7) νῦν. Abest a Cod. 2. 8) αὐτῆς. Præstat lectio vtriusque Cod. αὐτοῖς. Ita quoque apud CORD. p. 126. 9) Cod. vterque, δικαίως, ita vt ad versum præced. referatur, prout etiam in ed. *compl.* factum est, teste BOSIO.

a) Ps. 50, 3. *b)* Ps. 31, 5.

ſtum adiutorium meum a Domino, qui ſaluos facit rectos corde. *Renes* hîc cogitationes appellat. Quoniam enim in partibus abdomini ſubiectis appetitus excitant renes, et hinc deinceps concupiſcentiæ cogitationes mouentur, * renes * tropice cogitationes nuncupauit. Qui igitur occultas humanæ mentis cogitationes nôuit, iuſtam mihi opem afferet, tanquam ſolitus hoc facere. Iniuria enim affectis ſemper eſt vindex. Hinc poſthac et iniquos exterret, iuſtam vindictam oſtendens, Achitophelisque interitum prædicit. 12. *Deus iuſtus iudex, et fortis, et longanimis, et qui iram non protrahit per ſingulos dies.* Habet vero et benignitatem, per quam hominum peccata diutius tolerat. Quoniam, ſi quando viderit homines ex hac ſua patientia 'nihil vtilitatis percipere; interea minis perterret, vindictam procraſtinans. Quod ſi hac etiam deſpecta peccare pergant, ſtatim vltimum ſupplicium adducit iuſtitiam continens. Hæc per ea quæ ſequuntur manifeſtauit. 15. *Niſi conuerſi fueritis, gladium ſuum vibrabit: arcum ſuum tetendit, et parauit illum.* 14. *Et in eo parauit vaſa mortis.* Hæc enim verba non vindictæ, ſed comminationis ſunt. *Vibrabit* enim, inquit, non, *impellet;* et *tetendit arcum*, non, *emiſit ſagittam:* et docens contra quos emittet ſagittas, ſtatim adiunxit, *ſagittas ſuas ardenti-*

καία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Νεφροὺς ἐνταῦθα τοὺς λογισμοὺς ὀνομάζει. ἐπειδὴ γὰρ τὰς ὑπογαστρίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν, ἐντεῦθεν δὲ λοιπὸν κινοῦνται τῆς ἐπιθυμίας οἱ λογισμοὶ, νεφροὺς τροπικῶς τοὺς λογισμοὺς 1) προσηγόρευσεν. ὁ τοίνυν φησὶ 2) τοὺς κεκρυμμένους τῆς διανοίας 3) τῶν ἀνθρώπων λογισμοὺς ἐπιστάμενος, δικαίαν μοι παρέξει βοήθειαν, ἅτε δὴ τοῦτο ποιεῖν εἰωθώς. τοῖς γὰρ ἀδικουμένοις ἐπαμύνων διατελεῖ. ἐντεῦθεν λοιπὸν 4) καὶ δεδίττεται τοὺς 5) πονηρίᾳ συζῶντας, τὰς δικαίας τιμωρίας ὑποδεικνύς· καὶ 6) προαγορεύει τοῦ Ἀχιτόφελ τὸν ὄλεθρον. ιβ΄. Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρός. καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν. Ἔχει δὲ καὶ φιλανθρωπίαν, δι᾽ ἣν ἐπὶ πλεῖστον φέρει τῶν ἀνθρώπων τὰ πλημμελήματα. ἐπεὶ εἴποτε ἴδοι τοὺς ἀνθρώπους διὰ ταύτης ὄνησιν οὐ καρπουμένους, τέως ταῖς ἀπειλαῖς 7) ἐκφορεῖ, τὴν τιμωρίαν ἀναβαλλόμενος. εἰ δὲ καὶ ταύτης καταφρονήσαντες ἐπιμείναιεν 8) ἁμαρτάνοντες, αὐτίκα τὴν πανωλεθρίαν ἐπάγει τὸ δίκαιον ἔχουσαν. ταῦτα διὰ τῶν ἐπαγομένων ἐδήλωσεν. ιγ΄. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. ιδ΄. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. Ταῦτα γὰρ, οὐ τιμωρίας, ἀλλ᾽ ἀπειλῆς. στιλβώσει γὰρ εἶπεν, οὐκ ἐπάξει· καὶ ἐνέτεινε τὸ τόξον, οὐ τὸ βέλος ἀφῆκε. καὶ διδάσκων κατὰ τίνων ἀφήσει τὰ βέλη, εὐθὺς ἐπισυνῆψε· τὰ βέλη αὐτοῦ τοῖς καιομένοις

1) προσηγόρευσεν. Cod. 2. ἀπεκάλεσεν. 2) τοὺς — διανοίας. Deſ. in Cod. *flor.* 3) τῶν ἀνθρώπων. Abeſt a Cod. 1. 4) καί. Abeſt a Cod. 2. 5) πονηρίᾳ. Cod. 2. præm. τῇ. 6) Cod. 1. προσαγορεύει. 7) Cod. vterque et CORD. p. 126. ἐκφοβεῖ. 8) ἁμαρτάνοντες. Abeſt a Cod. 1.

νοις ἐξειργάσατο. Οἱ γὰρ τὴν εὔπρηστον τῆς ἁμαρτίας ὕλην δεξάμενοι, καὶ ξύλα, καὶ χόρτον, καὶ καλάμην οἰκοδομήσαντες, ἥ φησιν ὁ θεῖος ἀπόστολος, τοῖς πυρφόροις τούτοις βληθήσονται βέλεσιν. ιε. Ἰδοὺ ὠδίνησεν ἀδικίαν. Ὁ Ἀχιτόφελ, τὴν πονηρὰν ἐκείνην εἰσηγησάμενος γνώμην, Συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. Ἐκ πονηρίας γὰρ οὐδεμίαν καταλειπούσης ὑπερβολὴν, κατὰ τοῦ μηδὲν ἠδικηκότος πατρὸς τὸν παράνομον καθώπλισε παῖδα. ις΄. Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν· καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ιζ΄. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ταῖς οἰκείαις φησὶν ἁλώσεται πάγαις, καὶ τῶν οἰκείων πόνων τὰ ἐπίχειρα δέξεται, καὶ θηρευθήσεται δικτύοις, 1) ἃ πρὸς ἄγραν ἑτέρων 2) διέπηξεν. ιη΄. Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου. Ἐγὼ δὲ τοσαύτης τοῦ Θεοῦ προνοίας τυχὼν, ὑμνήσω τὸν εὐεργέτην διηνεκῶς, τῆς κρίσεως τὸ δίκαιον διηγούμενος.

bus effecit. Qui enim peccati materiam combustibilem admiserunt, et ligna, fœnumque, et stipulam ædificauerunt, vt ait diuinus Apostolus, a) ignitis sagittis hisce configentur. 15. *Ecce parturiit iniustitiam.* Achitophel, cum malam illam sententiam exprompsisset, *Concepit dolorem, et peperit iniquitatem.* Ex malitia enim nullum excessum omittente, contra patrem, qui ipsum nulla affecerat iniuria, iniquum armauit filium. 16. *Lacum aperuit, et effodit eum: et incidet in foueam, quam fecit.* 16. *Conuertetur dolor eius in caput eius, et in verticem ipsius iniquitas eius descendet.* Propriis, inquit, comprehendetur laqueis, propriorumque laborum præmia accipiet: illaqueabitur retibus, quæ ad alios captandos tetendit. * 18. *Confitebor Domino secundum iustitiam eius, et psallam nomini Domini altissimi.* * Ego enim tantam a Deo prouidentiam consecutus, eum qui de me bene meritus est semper celebrabo, iudicii iustitiam narrans.

ΕΡΜΗΝ. ΤΟΥ η΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Δαβίδ. 3) Ἰστέον, ὅτι ἐν ἑκάστῳ ψαλμῷ, ἐν ᾧ οἱ ἑβδομήκοντα εἰς τὸ τέλος τεθείκασιν, ὁ μὲν Ἀκύλας 4) καὶ ὁ Θεοδοτίων τῷ νικοποιῷ ἡρμήνευσαν, ὁ δὲ Σύμμαχος ἐπινίκιον· καὶ οὗτος τοιγαροῦν ὁ ψαλμὸς ἐπινίκιος τῷ

INTERP. PS. VIII.

1. *In finem pro torcularibus, Psalmus Dauidi.* Considerandum est, in quolibet psalmo, in quo Septuaginta *in finem* posuerunt, Aquilam quidem et Theodotionem *Victoriæ auctori* interpretatos esse, Symmachum vero, *triumphalis.* Hic igitur psalmus triumphalis Deo auctori

1) ἃ. Cod. 1. οἷς. 2) Cod. 2. διέπραξεν. 3) Ἰστέον — ἐπινίκιος. Desl. apud CORD. p. 153. 4) καὶ — ἐπινίκιον. Alii tamen *Theodotioni* tribuunt lectionem εἰς τὸ νῖκος, *Symmacho* vero, ἐπινίκιος. Conf. MONTF. l. c. p. 477. et p. 482.

a) 1 Cor. 3, 12.

auctori victoriæ offertur, qui inimicum et vltorem diabolum destruxit, quique homines in finem vsque ab illius tyrannide liberauit. *Torcularia* autem ecclesias appellat, quoniam et Dominus vitis vocatur. Ipse enim sacris in Euangeliis testatus est: *a)* Ego sum vitis vera. Qui vero hanc vitem vindemiant fideles, mysticum vinum conficiunt. Maxima autem et hæc est Iudæorum perfidiæ criminatio. Multitudinem enim torcularium audientes, manifesteque scientes vnum quoddam torcular datum fuisse, (immo vero neque torcular sed protorcular: *b)* Protorcular enim, inquit, effodi in illa, et exspectaui vt faceret vuas, fecit autem spinas:) intelligere nolunt, antiqua cessasse, noui vero testamenti gratiam apparuisse, quæ omnes homines ad salutem vocat. Quapropter non amplius secundum antiquam legem, super vnum altare hominum fructus sacerdotes tanquam in torculari calcant: sed infinita, quæ numerum superant, per omnem terram et mare erecta sunt altaria. Et hoc octuagesimus tertius psalmus magis dilucide docet. Nam et ipse torcularium titulum habens, multorum altarium mentionem fecit: *c)* Quam dilecta enim, inquit, sunt tabernacula tua, Domine virtutum; desiderio affecta immo consumta est anima mea ob atria Domini. Et paulo post, *d)* Altaria tua Domine virtutum. Et octauus item psalmus, *pro torcularibus* inscriptus, orbis terræ

νικοποιῷ προσφέρεται Θεῷ, τῷ τὸν ἐχθρὸν καὶ ἐκδικητὴν διάβολον καταλύσαντι, καὶ τοὺς ἀνθρώπους εἰς τέλος τῆς ἐκείνου τυραννίδος ἐλευθερώσαντι. 1) ληνοὺς δὲ τὰς ἐκκλησίας προσαγορεύει, ἐπειδὴ καὶ τὸν Κύριον ἄμπελον· αὐτὸς γὰρ ἐν τοῖς 2) ἱεροῖς εὐαγγελίοις ἔφη, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή· ταύτην δὲ τρυγῶντες οἱ πεπιστευκότες τὸν μυστικὸν κατασκευάζουσιν οἶνον· 3) μεγίστη δὲ καὶ αὐτὴ τῆς Ἰουδαίων ἀπιστίας κατηγορία. πλῆθος γὰρ ληνῶν ἀκούοντες, καὶ σαφῶς εἰδότες ὡς μία τὶς ἐδόθη ληνὸς, μᾶλλον δὲ 4) οὐδὲ ληνὸς, ἀλλὰ προλήνιον· προλήνιον γάρ φησιν ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας· νοεῖν οὐκ ἐθέλουσιν, ὡς ἐπαύσατο μὲν τὰ παλαιὰ, ἐπεφάνη δὲ τῆς νέας διαθήκης ἡ χάρις, πάντας ἀνθρώπους εἰς σωτηρίαν προσκαλουμένη. οὗ δὴ χάριν οὐκέτι κατὰ τὸν παλαιὸν νόμον ἐφ᾽ ἑνὸς θυσιαστηρίου τοὺς τῶν ἀνθρώπων καρποὺς ληνοβατοῦσιν οἱ ἱερεῖς· ἀλλὰ μυρία καὶ ἀριθμὸν νικῶντα κατὰ πᾶσαν γῆν καὶ θάλατταν ἐπάγη θυσιαστήρια. καὶ τοῦτο σαφέστερον ὁ ὀγδοηκοστὸς τρίτος διδάσκει ψαλμός. καὶ αὐτὸς γὰρ ἐπιγραφὴν ἔχων ληνῶν, πολλῶν θυσιαστηρίων ἐποιήσατο μνήμην. ὡς ἀγαπητὰ γάρ φησι τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων, 5) ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου· καὶ μετ᾽ ὀλίγα· τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων· καὶ ὁ ὄγδοος δὲ ψαλμὸς, ὑπὲρ τῶν ληνῶν ἐπιγεγραμμένος, τῆς οἰκουμένης προθεσπίζει τὴν σωτη-

1) ληνοὺς δὲ κ. τ. λ. Huic interpretationi, quam fere omnes Patres græci suam fecerunt, lectio הַגִּתּוֹת occasionem dedisse videtur. 2) ἱεροῖς. Abest a Cod. 2.

3) μεγίστη κ. τ. λ. Des. apud CORD. 4) Cod. 2. οὐ. 5) ἐπιποθεῖ — τῶν δυν. Des. in Cod. 1.

a) Ioh. 15, 1. b) Es. 5, 2. c) Psal. 83, 1. 2. d) Ib. v. 3.

σωτηρίαν, καὶ τὴν περὶ τοὺς ἀνθρώπους τοῦ Θεοῦ κηδεμονίαν διδάσκει, καὶ τοῦ μονογενοῦς προλέγει τὴν ἐνανθρώπησιν. β'. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Τὸ, ὡς, ἐνταῦθα οὐ παραβολικῶς, ἀλλ' 1) ἐπιτατικῶς· σφόδρα γὰρ, φησὶ, τὸ σὸν, ὦ 2) Δέσποτα, παρὰ πάντων ὑμνεῖται ὄνομα, καὶ σὲ ποιητὴν οὐρανοῦ καὶ γῆς 3) ἅπαντες ὀνομάζουσι. τὸ γὰρ, ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω 4) τῶν οὐρανῶν, τοῦτο δηλοῖ, ὅτι ἔγνωσαν ἅπαντες, ὡς οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἁπάντων δεσπόζεις· 5) αὐτὸς 6) μὲν γὰρ τὸ μεγαλοπρεπὲς εἶχεν ἀεὶ, ἀλλὰ τοῖς ἀνθρώποις τοῦτο γνώριμον οὐκ ἦν ἀεί. τοιαῦτα καὶ ὁ 7) μακάριος 8) Ἀβακοὺμ προθεσπίζει. εἰρηκὼς γὰρ, ὁ Θεὸς ἀπὸ 9) Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους 10) κατασκίου, ἐπήγαγεν· ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς 11) αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. καὶ αὐτὸς δὲ τῷ 12) Ἰακὼβ ἐπιφανεὶς, τὴν προσηγορίαν πυνθανομένῳ 13) ἔφη· τί ζητεῖς τὸ ὄνομά μου, καὶ τοῦτό ἐστι θαυμαστόν. γ'. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω 14) αἶνον, ἕνεκα τῶν ἐχθρῶν σου· τοῦ καταλῦσαι ἐχθρὸν, καὶ ἐκδικητήν. Τοῦτο δὲ σου μάλιστα τὴν δύναμιν ἔδει-

salutem vaticinatur, et Dei prouidentiam erga * homines docet, atque vnigeniti incarnationem prædicit. 2. *Domine Dominus noster, quam admirabile est nomen tuum in vniuersa terra! Quoniam eleuata est magnificentia tua super cælos.* Quam hoc in loco non comparationem, sed exaggerationem significat. Admodum, inquit, o Domine, tuum nomen ab omnibus decantatur, et te creatorem cæli et terræ omnes nominant. Nam verba illa, *eleuata est magnificentia tua super cælos*, hoc innuunt: quoniam omnes nouerunt, te cælo atque terræ vniuersisque rebus dominari. Namque ipse quidem magnificentiam semper habebat: verum hominibus hæc non semper nota fuerat. Similia et beatus Habacuc vaticinatur. Cum enim dixisset, a) Deus e longinquo veniet, et sanctus de monte vmbroso, subiunxit, Operuit cælos potentia eius, et laude eius impleta est terra. Et cum ipse apparuisset Iacobo, interroganti de suo nomine, respondit: b) Quid quæris nomen meum, quod est mirabile? 3. *Ex ore infantium et lactentium perfecisti laudem propter inimicos tuos, vt destruas inimicum et vltorem.* Id vero tuam potentiam maxime demon-

1) ἐπιτατικῶς. Cod. 1. et 2. addunt τέθεικεν. 2) δέσποτα. In vtroque Cod. nostro et in *florent.* præc. τὸ σὸν ὄνομα. 3) ἅπαντες ὀνομάζουσι. Cod. *flor.* ὀνομάζουσιν ἄνθρωποι. 4) τῶν οὐρανῶν. Abest a Cod. *flor.* 5) αὐτὸς — ἀεί. Cod. *flor.* σοὶ μὲν γὰρ τὸ μεγαλοπρεπὲς ἀεὶ προσῆν, οὐκ ἦν δὲ τοῖς ἀνθρώποις γνώριμον. Reliqua desunt in Cod. *flor.* 6) μέν. Abest a Cod. 2. 7) μακάριος. Cod. 2. θεῖος. 8) Ἀβακούμ. Cod. vterque Ἀμβακούμ. 9) Θαιμάν. CORD. p. 153. μακρόθεν, quam lectionem *Carafa* secutus est. 10) κατασκίου. Cod. 2. addit δασέος. 11) αἰνέσεως. Cod. 1. συνέσεως, adscripta tamen lectione recepta. 12) Ἰακώβ. Præstat lectio Μανωὲ, quam habet CORD. l. c. Verba citata pertinent ad Iudic. 13, 18. 13) ἔφη. Abest a Cod. 2. 14) αἶνον. Reliqui Interpretes græci habent vel κράτος vel ἰσχύν.

a) Habac. 3, 3. b) Gen. 32, 29.

demonſtrauit, quod per homines, qui minime humanam ſapientiam didicerant, quique lactentium puerorum ſimplicitatem imitabantur, pernicioſiſſimum illum tyrannum euerteris. Qui cum tibi Deo ſemper inimicus ſit, et propter bellum quod contra te gerit, homines decipiat, rurſus tanquam vindex quiſpiam, fraudis pœnas ab illis exigit. Sic cum Achitophelem induxiſſet vt illa diceret, poſtea vt mortem ſibi ipſe conſciret impulit. *a*) Eodem modo cum ad proditionem armaſſet Iudam, mercedem obedientiæ laqueum retribuit. Et ſecundum hiſtoriam veritas vaticinationis cognoſci poteſt. Nam in ſacris euangeliis Dominus Chriſtus Iudæis indignantibus, quando pueri cum ramis præcedentes Hoſanna in excelſis dicebant, *b*) benedictus qui venit in nomine Domini, reſpondit: *c*) Anne legiſtis, ex ore infantium et lactentium perfeciſti laudem? Illi igitur infantes perfidum Iudæorum populum condemnant, ſimilem diabolo, et inimicum et vltorem. Etenim cum iſte populus ſemper Dei legem * violet, atque contraria Dei mandatis agat; rurſus tanquam pro legislatore ſcilicet pugnans, Dominum Chriſtum crucifixit, Deo contrarium atque legis transgreſſorem eum nominans. 4. *Quoniam videbo cælos, opera digitorum tuorum lunam, et ſtellas, quæ tu fundaſti.* Nam ſatis idonea, inquit,

ξεν, ὅτι δι' ἀνδρῶν τὴν ἀνθρωπίνην οὐ μεμαθηκότων σοφίαν, ὑπομαζίων δὲ παιδίων τὴν ἁπλότητα μιμουμένων, τὸν παμπόνηρον 1) ἐκεῖνον κατέλυσας τύραννον· ὅς σοι τῷ Θεῷ δυσμεναίνων ἀεὶ, καὶ διὰ τὸν κατὰ σοῦ πόλεμον τοὺς ἀνθρώπους ἐξαπατῶν, πάλιν οἷά τις τιμωρὸς δίκας 2) αὐτοὺς εἰσπράττεται τῆς ἀπάτης. οὕτω τὸν Ἀχιτόφελ ἐκεῖνα 3) εἰπεῖν παρασκευάσας, αὐτοχειρίᾳ θανάτῳ παρέπεμψεν· οὕτω τὸν Ἰούδαν εἰς προδοσίαν ὁπλίσας, μισθὸν τῆς ὑπακοῆς τὴν ἀγχόνην ἀντέδωκε· καὶ κατὰ τὴν ἱστορίαν δέ γε δυνατὸν γνῶναι τὴν τῆς προφητείας ἀλήθειαν. ἐν γὰρ τοῖς ἱεροῖς εὐαγγελίοις, ὁ 4) Δεσπότης Χριστὸς δυσχεραίνουσιν Ἰουδαίοις, ἡνίκα 5) τὰ παιδία μετὰ κλάδων ἡγούμενα, ὡσαννὰ ἐν τοῖς ὑψίστοις ἔλεγον, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἀπεκρίνατο, οὐκ ἀνέγνωτε, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; κἀκεῖνα τοίνυν τὰ παιδία τὸν ἀγνώμονα τῶν Ἰουδαίων κατακρίνει λαὸν, τὸν ὁμοίως τῷ διαβόλῳ καὶ ἐχθρὸν καὶ ἐκδικητήν. καὶ γὰρ οὗτος τὸν θεῖον νόμον παραβαίνων ἀεὶ, 6) καὶ τἀναντία τοῖς ὑπὸ τοῦ Θεοῦ διηγορευμένοις διαπραττόμενος· πάλιν, 7) ὡς ὑπὲρ τοῦ νομοθέτου δῆθεν ἀγωνιζόμενος, ἐσταύρωσε τὸν 8) Δεσπότην Χριστὸν, ἀντίθεον ἀποκαλῶν καὶ παράνομον. δ'. Ὅτι ὄψομαι τοὺς οὐρανοὺς 9) τὰ ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας. Ἱκανὰ 10) γάρ φησι καὶ

1) ἐκεῖνον. Abeſt a Cod. 1. 2) αὐτούς. Abeſt a Cod. 2. CORD. habet αὐτοῖς. 3) εἰπεῖν. In vtroque Cod. ſequitur poſt παρασκευάσας. 4) δεσπότης. Abeſt a Cod. 2. 5) τὰ παιδία. Abeſt a Cod. 1. poſt ἡγούμενα autem adſcr. τὰ νήπια. 6) καὶ — πάλιν. Deſ. in Cod. 1. 7) ὡς ὑπέρ. Cod. 1. ὡς περί. CORD. p. 154. ὥσπερ. 8) δεσπότην. Abeſt a Cod. 2. 9) τά. Abeſt ab vtroque Cod. 10) γάρ. Cod. vterque μοί. CORD. μὲν γάρ.

a) 2 Reg. 17, 23. *b*) Matth. 21, 9. *c*) Ib. v. 16.

καὶ τὰ στοιχεῖα τὴν σὴν, ὦ Δέσποτα, δεῖξαι μεγαλουργίαν, καὶ οὐρανὸς, καὶ γῆ, καὶ σελήνη, καὶ ἥλιος, καὶ ἡ ἐν τούτοις εὐταξία τε καὶ εὐκοσμία· ἡ δὲ μέχρι τῶν εὐτελῶν ἀνθρώπων διήκουσα πρόνοια 1) μείζονα τὴν ἄφατόν σου κηρύττει φιλανθρωπίαν. ε΄. Τί γάρ ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ταῦτα δὲ, οὐ 2) περὶ τῆς δημιουργίας, ἀλλὰ περὶ τῆς προνοίας διέξεισιν. οὐ γὰρ εἶπεν, ὅτι ἔπλασας, ἀλλὰ ὅτι μιμνήσκῃ 3) καὶ ἐπισκέπτῃ. ἀλλαχοῦ δὲ σαφέστερον τῆς ἡμετέρας φύσεως τραγῳδεῖ τὴν εὐτέλειαν· ἄνθρωπος γάρ φησι ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. καὶ πάλιν, ἄνθρωπος ὡσεὶ χόρτος· αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει· 4) ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ 5) ἐπιγνώσκεται ἔτι ὁ τόπος αὐτοῦ· καὶ ἕτερα δὲ μυρία τοιαῦτά ἐστιν εὑρεῖν παρὰ τῇ θείᾳ γραφῇ, τὸν 6) ἀνθρώπειον καταστέλλοντα τῦφον· καὶ ἐνταῦθα τοίνυν ὁ προφητικὸς θαυμάζει λόγος βοῶν· τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; οὐ γὰρ μόνον εἰς τὸ εἶναι παρήγαγες, ἀλλὰ καὶ τὸ εὖ εἶναι δεδώρησαι, καὶ μεμνημένος διατελεῖς, καὶ κακῶς διακείμενον ἐπισκέπτῃ. ϛ΄. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους. Ἐνταῦθα τῆς μετὰ τὴν παράβασιν ἐμνημόνευσεν ἀποφάσεως· 7) τῷ θνητῷ γὰρ τῶν ἀγγέλων ἠλάττωται. δόξῃ καὶ τιμῇ ἐστεφάνωσας

ipsa elementa sunt, vt tuam o Domine magnificentiam ostendant, et cælum, et terra, et luna, et sol, et ordo ornatusque pulcherrimus, qui his inest. Prouidentia autem, quæ ad infimos vsque homines dimanat, magis tuam inexplicabilem prædicat benignitatem. 5. *Quid enim est homo, quod memor es eius, aut filius hominis, quod visitas eum?* Hæc autem non de creatione, sed de prouidentia differit. Non enim dixit, *quod formasti*, sed *quod memor es eius, et visitas.* Alibi vero magis manifeste nostræ naturæ vilitatem deplorat. Homo enim, inquit, *a)* vanitati similis factus est, dies eius sicut vmbra prætereunt. Et rursus: *b)* Homo sicut fœnum est; dies eius, tanquam flos agri sic efflorebit; quoniam spiritus transibit super illum, et non subsistet, et non cognoscetur amplius locus eius. Et alia huiusmodi infinita in sacris literis inueniri possunt, quæ humanum fastum compescunt. Et hîc igitur propheticus sermo admiratur, clamans: *Quid est homo, quod memor es eius, aut filius hominis, quod visitas eum?* Non solum enim vt esset illi dedisti, verum etiam vt ei bene esset largitus es, et memor esse pergis, maleque affecti curam geris. 6. *Minuisti eum paulo minus ab angelis.* Hîc sententiam post transgressionem latam commemorat. Mortalitate enim minor factus est angelis. *Gloria et bonore coronasti eum.*

1) Cod. vterque, et CORD. μειζόνως. 2) περὶ — περί. Cod. 2. παρὰ — παρά. 3) καὶ — ὅτι ἐπισκ. αὐτόν. Apud CORD. p. 154. hæc pauca tantum exstant: θαυμαστικῶς δὲ ταῦτά φησιν. 4) ὅτι — αὐτοῦ. Def. in Cod. 2. 5) ἐπιγινώσκεται — τόπος. Cod. 1. ἐπιγνώσεται — τὸν τόπον. 6) ἀνθρώπειον. Cod. 2. ἡμέτερον. 7) Cod. flor. τῶν θνητῶν.

a) Ps. 143, 4. *b)* Ps. 102, 15. 16.

eum. 7. *Et constituisti eum super opera manuum tuarum.* Post incarnationem vero Dei et Saluatoris nostri, natura nostra hæc recepit. Gratia enim salui facti estis, quemadmodum ait diuinus apostolus, a) et vna suscitauit nos, et sedere fecit in cælestibus, in Christo Iesu. *Omnia subiecisti pedibus eius, oues et boues omnes, insuper et pecora campi.* * 9. *Volucres cæli, et pisces maris, qui perambulant semitas maris.* Tuæ autem benignitatis atque virtutis exacta etiam demonstratio hæc est, quod vilem hominum naturam tanta sapientia impleueris, vt non solum terrestribus animalibus, verum etiam volatilibus, natantibusque, atque iis, quæ sunt ambiguæ naturæ, dominetur, et subliniora ac profundiora suis artibus venetur, atque illa quæ aërem permeant, et quæ aquis operiuntur subiecta habeat. Communem igitur dominatum supra hæc omnibus hominibus dedisti. Deus autem Verbum nostræ naturæ primitias cum assumsisset, propriumque templum effecisset, suamque carnem nominasset, et inexplicabilem illam vnionem operatus esset, supra omnem principatum, et potestatem, et dominationem sedit, superque omne nomen, quod nominatur, non tantum in hoc sæculo, sed et in futuro: omniaque sub pedibus suis constituit, non solum oues, atque boues omnes, verum omnem creaturam, siue visibilem, siue inuisibilem. Et horum

αὐτόν. ζ΄. Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Ταῦτα δὲ μετὰ τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἡ 1) ἡμετέρα ἐδέξατο φύσις. χάριτι 2) γάρ ἐστε σεσωσμένοι, ἦ φησιν ὁ θεῖος ἀπόστολος, καὶ συνήγειρεν, καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. η΄. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ· πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου· θ΄. Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν. Καὶ αὕτη δέ 3) φησι τῆς σῆς φιλανθρωπίας τε καὶ δυνάμεως ἀπόδειξις ἀκριβὴς, τὸ τὴν εὐτελῆ τῶν ἀνθρώπων φύσιν τοσαύτης ἐμπλῆσαι σοφίας, ὥστε μὴ μόνον τῶν χερσαίων ζώων, ἀλλὰ καὶ τῶν πτηνῶν, καὶ νηκτῶν, καὶ ἀμφιβίων κρατεῖν, 4) καὶ τὰ ὑψηλότερα καὶ βαθύτερα ταῖς ἐπινοίαις θηρεύειν· καὶ τὰ τὸν ἀέρα διαπερῶντα, καὶ 5) τοῖς ὕδασι καλυπτόμενα ὑποχείρια ἔχειν· τούτων μὲν οὖν κοινὴν ἅπασιν ἀνθρώποις τὴν δεσποτείαν 6) δεδώρησαι· τὴν δὲ ἡμετέραν ἀπαρχὴν ὁ 7) θεῖος λόγος ἀνειληφὼς, 8) καὶ ναὸν ἀποφήνας οἰκεῖον, καὶ σάρκα οἰκείαν προσαγορεύσας, καὶ τὴν ἀπόῤῥητον ἐργασάμενος ἕνωσιν, ἐκάθισεν ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· οὐ πρόβατα καὶ βόας ἁπάσας, ἀλλὰ πᾶσαν τὴν ὁρωμένην καὶ ἀόρατον κτίσιν. 9) καὶ τούτων μάρτυς

1) ἡ ἡμετέρα. Des. apud CORD. Cod. 1. 2. ἡ τῶν ἀνθρώπων. 2) γάρ. Abest a Cod. 2. 3) φησί. Abest a Cod. 1. 2. 4) καὶ — ἔχειν. Des. apud CORD. p. 155. exstant autem ibid. p. 165. inter ea quæ THEODORI nomen præ se ferunt. 5) τοῖς. Cod. 1. et 2. præm. τά. 6) CORD. l. c. δεδώρηται. 7) θεῖος. Cod. vterque et CORD. Θεός. 8) καὶ — οἰκεῖον. Des. apud CORD. p. 155. 9) καὶ — δεσπότης Χριστῷ. Des. apud CORD. p. 155.

a) Ephes. 2, 5. 6.

μάρτυς ὁ θεῖος 1) ἀπόστολος διαῤῥήδην βοῶν· τὸν δὲ βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· καὶ μικρὸν ἀνωτέρω· πάντα γάρ φησιν ὑπέταξας ὑπὸ τοὺς πόδας αὐτοῦ. καὶ ἐν τῇ πρὸς 2) Κορινθίους, ὅταν δὲ, φησὶν, εἴπῃ, ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. μόνη γὰρ ἡ ἄκτιστος φύσις τῆς ὑποταγῆς ταύτης ὡς ἐλευθέρα κεχώρισται· ἡ δέ γε παρὰ ταύτης τὸ εἶναι δεξαμένη, ὁποία ἂν εἴη, εἴτε ὁρατὴ, εἴτε ἀόρατος, καὶ ὡς Θεῷ, καὶ ὡς ἀνθρώπῳ ὑπόκειται τῷ Δεσπότῃ Χριστῷ. τοσαύτην ἡ τῶν ἀνθρώπων φύσις παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἐδέξατο τὴν τιμήν. διὸ πάλιν 3) αὐτὸ τὸ προοίμιον ἀκροτελεύτιον τέθεικεν. ι. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

testis est diuinus Apostolus aperte clamans: a) Eum autem, qui paullulum minor factus erat angelis, videmus Iesum propter passionem mortis gloria et honore coronatum. Et paulo superius: Omnia enim, inquit, b) subiecisti pedibus eius. Et ad Corinthios ait: c) Cum autem dicat, omnia subiecta sunt ei, patet excipi eum, qui subiecit ei omnia. Sola enim non creata natura ab hac subiectione tanquam libera separata est. Hæc autem, quæ ab illa vt esset accepit, qualiscumque sit, siue visibilis, siue inuisibilis, subdita est, et tanquam Deo, et tanquam homini, Domino Christo. Tantum honorem a Deo vniuersorum humana natura suscepit. Proinde rursus principium psalmi in fine posuit. 10. *Domine Dominus noster, quam admirabile est nomen tuum in vniuersa terra!*

ΕΡΜΗΝ. ΤΟΥ θ´ ΨΑΛΜΟΥ.

α´. Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ψαλμὸς τῷ Δαβίδ. 4) Ὁ μὲν Σύμμαχος ἐπινίκιον περὶ τοῦ θανάτου τοῦ υἱοῦ· ὁ δὲ Ἀκύλας, τῷ νικοποιῷ 5) νεανεότητος τοῦ υἱοῦ, καὶ ὁ Θεοδοτίων, ὑπὲρ ἀκμῆς τοῦ υἱοῦ. συμφώνως τοίνυν ἅπαντες τοῦ υἱοῦ μνημονεύσαντες, διδάσκουσιν ἡμᾶς, ὡς προφητείαν καὶ οὗτος ὁ ψαλμὸς περιέχει τῆς κατὰ 6) τοῦ θανάτου νίκης τοῦ 7) Δεσπότου Χριστοῦ. ἀνδρικῶς γὰρ καὶ νεανικῶς νικήσας, τὴν

INTERPR. PS. IX.

1. In finem pro occultis filii, psalmus Dauidi. Symmachus quidem *triumphalem de morte filii* interpretatus est: Aquila vero, *Victoriæ auctori iuuentutis* * *filii*, * et Theodotio, *de florida ætate filii.* Cum igitur omnes inter se consentientes, mentionem faciant de filio, docent nos, hunc etiam psalmum continere prædictionem victoriæ, quam Dominus Christus contra mortem consecutus est. Fortiter enim et strenue deuicto

peccato,

1) ἀπόστολος. Cod. 2. Παῦλος. Ita quoque leg. apud CORD. p. 165. 2) Κορινθίους. Cod. 2. addit ἐπιστολῇ. 3) Cod. 2. αὐτός. 4) Ὁ μὲν κ. τ. λ. Hæc bis apud CORD. leguntur, p. 172. vbi sine Autoris nomine per compendium exhibentur, et p. 189. vbi eadem recurrunt, THEODORO adscripta. 5) Cod. 1. νεανιότητος. Sic quoque MONTF. l. c. p. 483. et BOSIVS ad h. l. *Aquilæ* lectionem exprimunt. Codex 2. habet νεότητι, pro νεότητος vt videtur. 6) τοῦ. Abest a Cod. 2. 7) δεσπότου. Abest a Cod. 2.

a) Hebr. 2, 9. b) Ib. v. 8. c) 1 Cor. 15, 27.

peccato, neque vlla præbita occasione, vt mors illum apprehenderet, eius robur euertit. *Occultum* autem hoc *mysterium* Septuaginta nuncuparunt: nam cum alios omnes, tum etiam ipsos apostolos hoc latebat. Cuius rei euangelista testis est. Cum enim sæpe Dominus eis dixisset: *a*) Ecce adscendimus Hierosolymam, et filius hominis tradetur, vt crucifigatur, et occident illum, et tertio die resurget, subiunxit euangelista, *b*) Et erat hoc occultum ab oculis ipsorum. Quapropter beatus etiam Paulus clamat: *c*) Sapientiam loquimur Dei in mysterio reconditam, quam nemo principum sæculi huius nouit: si enim nouissent, numquam Dominum gloriæ crucifixissent. Et rursus: *d*) Mysterium occultum a sæculis, et a generationibus. Merito igitur Septuaginta filii mortem nuncupauerunt *occultum*. 2. *Confitebor tibi Domine toto corde meo, narrabo omnia mirabilia tua.* 3. *Lætabor et exultabo in te, psallam nomini tuo, altissime.* Proprium est perfectorum hominum, totum cor Deo dedicare, et omnem mentem ipsi consecrare: Diliges enim, inquit, *e*) Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex totis viribus tuis, et ex tota mente tua. Qui autem partitur cogitationes inter mammonam et Deum, *f*) in Christum et aurum, in præsentem vitam et futuram,

ἁμαρτίαν, καὶ 1) λαβῆς ἀφορμὴν οὐδεμίαν δεδωκὼς τῷ θανάτῳ, κατέλυσεν αὐτοῦ τὸ κράτος. κρύφιον δὲ τοῦτο τὸ μυστήριον οἱ ἑβδομήκοντα προσηγόρευσαν, ἐπειδὴ καὶ τοὺς ἄλλους ἅπαντας, 2) καὶ αὐτοὺς τοὺς ἀποστόλους 3) ἐλάνθανε. καὶ μάρτυς ὁ εὐαγγελιστής· τοῦ γὰρ Κυρίου πολλάκις αὐτοῖς εἰρηκότος, ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται εἰς τὸ σταυρωθῆναι, καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται· ἐπήγαγεν ὁ εὐαγγελιστής, καὶ ἦν τοῦτο κεκρυμμένον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. διὸ καὶ ὁ μακάριος Παῦλος βοᾷ, σοφίαν λαλοῦμεν Θεοῦ ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ πάλιν, τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν. εἰκότως τοίνυν οἱ ἑβδομήκοντα τοῦ υἱοῦ τὸν θάνατον 4) ὠνόμασαν κρύφιον. β΄. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου. γ΄. Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοὶ· ψαλῶ τῷ ὀνόματί σου ὕψιστε. Τῶν τελείων ἴδιον, τὸ πᾶσαν ἀνατιθέναι τῷ Θεῷ τὴν καρδίαν, καὶ πᾶσαν αὐτῷ καθιεροῦν τὴν διάνοιαν. ἀγαπήσεις γάρ φησι Κύριον τὸν Θεόν σου 5) ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς 6) διανοίας σου. ὁ δὲ μερίζων τοὺς λογισμοὺς εἰς μαμωνᾶν καὶ Θεὸν, 7) εἰς Χριστὸν καὶ χρυσὸν, εἰς τὸν παρόντα καὶ τὸν μέλλοντα βίον,

οὐ

1) λαβῆς. Cod. 1. βλάβης. Ita quoque apud CORD. p. 189. 2) καί. Cod. 1. 2. καὶ μέντοι καί. 3) ἐλάνθανε. Cod. vterque præm. πρὸ τοῦ τέλους. 4) ὠνόμασαν. Cod. 2. ἐκάλεσαν. 5) ἐξ — καρδίας σου. Des. in Cod. 2. 6) διανοίας. Cod. 1. δυνάμεως. 7) εἰς — χρυσόν. Des. in Cod. 2.

a) Luc. 18, 31 sqq. *b*) Ib. v. 34. *c*) 1 Cor. 2, 7. 8. *d*) Col. 1, 26. *e*) Luc. 10, 27. *f*) Matth. 6, 24.

οὐ δύναται ἀληθεύων λέγειν, ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου. ὁ δὲ προφήτης πνευματικοῖς ὀφθαλμοῖς τὰ ἐσόμενα προϊδὼν, οὐκ ἐξομολογεῖται μόνον ἐν ὅλῃ καρδίᾳ, ἀλλὰ καὶ διηγεῖται αὐτοῦ πάντα τὰ θαυμάσια, κοινωνοὺς τοὺς ἀκούοντας τῆς ὑμνῳδίας ποιούμενος, 1) καὶ βουλόμενος 2) μόνον τὸν εὐεργέτην ὑμνεῖν· 3) καὶ θυμηδίας ἀφορμὴν οὐ πλοῦτον 4) ἔχειν καὶ δυναστείαν, οὐδὲ ὑγίειαν καὶ σώματος εὐεξίαν, ἀλλὰ τοῦ 5) Θεοῦ τὴν μνήμην. εὐφρανθήσομαι 6) γάρ φησι, καὶ ἀγαλλιάσομαι ἐν σοί. οὕτω καὶ ἀλλαχοῦ· ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην. καὶ 7) ἑτέρωθι· εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι· καὶ πάλιν, εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. δ'. Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου 8) σου. Ταῦτα ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν, ᾄσω τῷ ὀνόματί σου ὕψιστε, 9) ἀνατραπέντων τῶν ἐχθρῶν μου 10) εἰς τὰ ὀπίσω, καὶ προσκοψάντων, καὶ 11) ἀπολομένων ἐκ προσώπου σου· θεασάμενος γὰρ τοὺς ἐμοὺς δυσμενεῖς καταλυθέντας, καὶ εἰς φυγὴν τραπέντας, εἶτα ἁλόντας καὶ πανωλεθρίαν ὑπομείναντας, ὑμνῶ σε καὶ τὰς σὰς ᾄδων εὐεργεσίας διατελῶ. ταῦτα δὲ ὁ προφήτης ὑπὲρ τῆς ἀνθρωπίνης 12) διεξέρχεται φύσεως· ἅτε δὴ τοῦ ἀλάστορος 13) ἀπαλλαγεὶς, καὶ τὴν ἐλευθερίαν διὰ τῆς θείας χάριτος 14) δεξάμενος. οὐ γὰρ, ὥς τινες ὑπέλαβον, ἐξ αὐτοῦ τοῦ σωτῆρος οὗτος εἴρηται ὁ ψαλμὸς, ἀλλὰ μᾶλλον πρὸς αὐτὸν, ὡς πρὸς

non poteſt vere dicere: *Confitebor tibi Domine toto corde meo.* Propheta vero ſpiritualibus oculis futura præuidens, non confitetur ſolum toto corde, verum etiam narrat ipſius omnia mirabilia, faciens auditores participes cantus hymnorum, et volens ſolum beneficii auctorem decantare, delectationisque occaſionem habere, non opes et potentiam, neque ſanitatem, neque bonam corporis habitudinem, ſed tantummodo Dei memoriam. *Lætabor enim*, inquit, *et exultabo in te.* Sic et alibi: a) Memor fui Dei, et delectatus ſum. Et alibi: b) Lætamini in Domino, et exultate iuſti. Et rurſus: c) Lætetur cor quærentium Dominum. * 4. *Dum conuertuntur inimici mei retrorſum, infirmabuntur et peribunt a facie tua.* Hæc Symmachus ſic interpretatus eſt: *Cantabo nomini tuo altiſſime inimicis meis retrorſum controuerſis, et colliſis atque perditis a facie tua.* Conſpicatus enim hoſtes meos deſtructos, et in fugam verſos, deinde captos, et extremam perniciem paſſos; cantare te, tuaque beneficia prædicare non ceſſo. Hæc autem propheta de humana natura diſſerit, tanquam a diabolo liberatus, et libertatem per diuinam gratiam conſecutus. Non enim, vt quidam ſuſpicati ſunt, ab ipſo ſaluatore hic pſalmus dictus eſt, ſed potius ad ipſum, tanquam beneſi-

D 5

1) καί. Cod. 2. addit ὁ. 2) μόνον. Abeſt a Cod. 2. 3) καί. Deeſt ibid. 4) Cod. vterque ἔχει. 5) Θεοῦ. Cod. 2. θανάτου. 6) γάρ φησι. Deſ. in Cod. 2. 7) ἑτέρωθι. Cod. 2. ἀλλαχοῦ. 8) σου. Abeſt a Cod. 1. 9) Cod. 2. et CORD. p. 173. ἀναστραφέντων. 10) εἰς τά. Abeſt ab vtroque Cod. 11) Cod. vterque ἀπολουμένων. 12) Cod. 2. ἐξέρχεται. 13) Cod. 1. 2. et CORD. ἀπαλλαγείσης. 14) Cod. vterque et CORD. δεξαμένης.

a) Pſ. 76, 3. b) Pſ. 31, 11. c) Pſ. 104, 3.

beneficii auctorem, ab his qui beneficiis affecti sunt, sicut ipsa docent verba. 5. *Quoniam fecisti iudicium meum, et causam meam.* Quomodo? *Sedisti super thronum, qui iudicas iustitiam.* Et quam sententiam protulit? 6. *Increpasti gentes, et periit impius: nomen eius deleuisti in æternum, et in sæculum sæculi.* Non enim tolerasti, inquit, diutius hominum naturam despicere, ab acerbo tyranno in seruitutem male redactam, sed tanquam quispiam iudex super solio quodam alto et terribili tribunali sedens, talem ipsi pœnam imposuisti, vt memoria huius sempiterna obliuione obscuretur. Hæc autem verba, *Increpasti gentes, et periit impius*, hunc habent sensum: Per sacros Apostolos, et per præcones veritatis, qui post illos fuerunt, obtulisti gentibus diuina dogmata: illæ vero cum accepissent, et ab errore liberatæ essent, periit impius, non amplius habens seductos adoratores. Sic Barnabas et Paulus Lycaones, qui conabantur ipsis sacrificare, increpauerunt vociferantes: *a)* Quid facitis viri? et nos mortales sumus, similes vobis homines, conuertentes vos ab his rebus vanis ad Deum. Sic etiam beatus Paulus increpauit Galatas: *b)* O stolidi Galatæ, quis vos fascinauit, quibus ante oculos Iesus Christus præscriptus est crucifixus? Sic ad Corinthios: *c)* Omnino * auditur inter vos fornicatio, et talis fornicatio, qualis neque

εὐεργέτην, ἀπὸ τῶν εὖ πεπονθότων, 1) ὡς αὐτὰ διδάσκει τὰ ῥήματα. ε΄. Ὅτι ἐποίησας τὴν κρίσιν μου, καὶ τὴν δίκην μου. Τίνα τρόπον; Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. καὶ ψῆφον ποίαν 2) ἐξήνεγκεν; ς΄. Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Οὐ γὰρ ἠνέχου, φησὶν, ἐπὶ πλεῖστον περιϊδεῖν τῶν ἀνθρώπων τὴν φύσιν ὑπὸ τοῦ πικροῦ τυράννου δουλουμένην κακῶς· ἀλλ᾽ οἷόν τις δικαστὴς, ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καὶ φοβεροῦ βήματος 3) καθίσας, τοιαύτην αὐτῷ τιμωρίαν ἐπήνεγκας, ὥστε λήθῃ παντελεῖ τούτου παραδοθῆναι τὴν μνήμην. τὸ δέ γε ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβὴς, ταύτην ἔχει τὴν διάνοιαν· διὰ τῶν ἱερῶν ἀποστόλων, 4) καὶ τῶν μετ᾽ ἐκείνους τῆς ἀληθείας κηρύκων, 5) προσήνεγκες τοῖς ἔθνεσι τὰ θεῖα 6) δόγματα· ἐκείνων δὲ δεξαμένων, καὶ τῆς πλάνης ἀπαλλαγέντων, ἀπώλετο ὁ ἀσεβὴς, τοὺς ἀπατωμένους καὶ προσκυνοῦντας οὐκ ἔχων. 7) οὕτω Βαρνάβας καὶ Παῦλος θῦσαι πειραθεῖσι Λυκάοσιν ἐπετίμησαν βοῶντες, τί ποιεῖτε ἄνδρες; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, 8) ἀπὸ τούτων τῶν ματαίων πρὸς τὸν Θεὸν ὑμᾶς ἐπιστρέφοντες. οὕτω Γαλάταις ὁ 9) μακάριος ἐπετίμησε 10) Παῦλος· ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς 11) ἐβάσκανεν, οἷς κατ᾽ ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐσταυρωμένος; οὕτω Κορινθίοις, ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, 12) οἵα οὐδ᾽

ἐν

1) ὡς. Cod. 1. addit καί. 2) Cod. 2. et CORD. ἐξήνεγκας. 3) Cod. vterque προκαθίσας. 4) καὶ — κηρύκων. Def. in Cod. *flor.* 5) Cod. *flor.* et CORD. προσήνεγκε. 6) δόγματα. Cod. 1. διδάγματα. 7) οὕτω κ. τ. λ. Def. apud CORD. p. 173. 8) ἀπὸ — ἐπιστρέφοντες. Def. in Cod. *flor.* 9) μακάριος ἐπετίμησε. Def. ibid. 10) Παῦλος. Cod. 1. 2. addunt, βοῶν. 11) Cod. 1. 2. ἐβάσκηνεν. 12) οἵα. Cod. 1. 2. ἥτις.

a) Act. 14, 15. *b)* Gal. 3, 1. c) 1 Cor. 5, 1.

ἐν τοῖς ἔθνεσιν ὀνομάζεται. ἐπετίμησε τοίνυν ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβὴς, καὶ τὸ ὄνομα αὐτοῦ ἐξήλειψεν εἰς τὸν 1) αἰῶνα τοῦ αἰῶνος. ἐσβέσθησαν γὰρ παντελῶς τῆς ἀσεβείας αἱ τελεταὶ, καὶ λήθη παντελεῖ παρεδόθησαν, ὡς μηδένα τῶν νῦν ἀνθρώπων εἰδέναι τὰ τῆς ἀσεβείας μυστήρια. ζ'. Τοῦ ἐχθροῦ ἐξέλιπον 2) αἱ ῥομφαῖαι εἰς τέλος καὶ πόλεις καθεῖλες. Ἐγυμνώθη γὰρ τῶν οἰκείων ὅπλων, οὐκ ἔχων τῆς ἀσεβείας τοὺς ὑπουργούς· οἱ δὲ σφᾶς αὐτοὺς ἐκείνου καταστήσαντες ὄργανα, οὗτοι νῦν 3) μεταταξάμενοι τὸν κατ' ἐκείνου πόλεμον ἀνεδέξαντο. καὶ αἱ πόλεις 4) δὲ, τῆς ἐν αὐταῖς πάλαι πολιτευομένης ἀσεβείας καταλυθείσης, 5) εὐσεβείας τὴν οἰκοδομίαν 6) ἀνεδέξαντο. τῶν ἀδυνάτων γὰρ ἦν, 7) δείμασθαι 8) τὴν εὐσέβειαν μὴ πρότερον καταλύσαντας τὴν ἀσέβειαν. 9) τοῦτο καὶ ὁ 10) θεῖος ἀπόστολος ἔφη· ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, 11) διδάσκουσα ἡμᾶς ἵν' ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ 12) εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, καὶ τὰ ἑξῆς. οὕτως 13) ἕκαστος οὐ πρότερον 14) συνανίσταται τῷ Χριστῷ, πρὶν δέξασθαι τοῦ θανάτου τὴν κοινωνίαν. διὸ καὶ ὁ θεσπέσιος Παῦλός φησιν, εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ 15) τῆς ἀναστάσεως ἐσόμεθα· καὶ πάλιν· εἰ συναπεθάνομεν, καὶ συζήσομεν· οὕτω καὶ τῶν

inter gentes nominatur. Ergo increpauit gentes, et periit impius, et nomen eius deleuit in sæculum sæculi. Exstincta enim prorsus sunt impietatis sacra, et obliuione sempiterna deleta sunt, vt nemo ex hominibus huius temporis sciat impietatis mysteria. 7. *Inimici defecerunt gladii in perpetuum, et ciuitates destruxisti.* Propriis enim armis orbatus erat, cum impietatis ministros non haberet. Qui vero se ipsos instrumenta impietatis illius constituerant, hi nunc mutati, bellum contra illum susceperant. Et ciuitates, euersa impietate, quæ in ipsis olim locum habebat, pietatis ædificationem susceperunt. Non enim fieri poterat, vt pietas ædificaretur, nisi prius impietas diruta esset. Hoc et diuinus apostolus dixit: *a)* Apparuit gratia Dei salutaris omnibus hominibus, erudiens nos, vt abnegantes impietatem, et sæcularia desideria, sobrie et pie viuamus in hoc sæculo, et quæ sequuntur. Sic quilibet non cum Christo resurgit, priusquam mortis communicationem acceperit. Quapropter diuinus Paulus ait: *b)* Si enim plantati fuerimus cum eo similitudine mortis eius, simul et resurrectionis participes erimus. Et rursus: *c)* Si mortui sumus cum Christo, etiam simul viuemus. Eodem modo et impie-

1) αἰῶνα. In Cod. 2. sequ. καὶ εἰς τὸν αἰῶνα. 2) αἱ ῥομφαῖαι. Iuxta vers. τῶν ό. Præstat autem h. l. interpretatio *Aquilæ* τὰ ἔρημα. 3) Cod. 2. μεταδεξάμενοι. 4) δέ. Cod. 2. καί. 5) εὐσεβείας. Cod. vterque, et CORD. p. 173. præm. τῆς. 6) Cod. vterque et CORD. ἐδέξαντο. 7) Cod. 2. et CORD. δειμᾶσθαι. 8) τήν. Cod. 1. præm. καί. 9) τοῦτο κ. λ. Des. apud CORD. l. c. 10) θεῖος ἀπόστολος. Cod. 2. Παῦλος. 11) διδάσκουσα. Cod. 1. παιδεύουσα, adscripta tamen lectione *firm.* 12) καὶ εὐσεβῶς. Cod. 1. et 2. præm. καὶ δικαίως. 13) ἕκαστος. Cod. 1. 2. add. ἡμῶν. 14) Cod. 2. συνίσταται. 15) τῆς — συναπεθάνομεν, καί. Des. in Cod. 2.

a) Tit. 2, 11. 12. *b)* Rom. 6, 5. *c)* Ibid. v. 8.

impietate inimicorum destructa, pietatem quasi exstruxit. *Periit memoria eorum cum sonitu,* 8. *et Dominus in æternum permanet.* Ille quidem, inquit, manifestum omnibus et valde clarum interitum passus est. Nam *cum sonitu* hoc significat, metaphora ducta ab ædibus, quæ terræ motu concussæ concidunt, magnumque strepitum efficiunt. Noster vero, inquit, Deus et Dominus sempiternum habet robur, atque immortale regnum. *Parauit in iudicio thronum suum,* 9. *Et ipse iudicabit orbem terræ in iustitia, iudicabit populos in rectitudine.* Non enim tantum in præsente vita propriam potentiam ostendit, verum etiam et in futura terribile suum iudicium demonstrabit, omnibus hominibus ius reddens, et pro dignitate vnicuique retribuens. * 10. *Et factus est Dominus refugium pauperi, adiutor in opportunitatibus, in tribulationibus.* *In opportunitatibus* Aquila quidem *in tempore*, Symmachus vero *opportune* interpretati sunt. Docet autem sermo, quod opportuno tempore nostram salutem operatus sit. Nam pauperem, naturam humanam appellat, ob nimiam iniquitatis paupertatem. Huius temporis opportunitatem beatus Paulus docet: *a*) Quando enim eramus paruuli, sub elementis mundi eramus, in seruitutem redacti: quando autem venit plenitudo

1) πολεμίων τὴν ἀσέβειαν καταλύσας ᾠκοδόμησε τὴν εὐσέβειαν. Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου· η'. Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει. 2) Ἐκεῖνος μὲν φησιν ἔκδηλον ἅπασι καὶ διαφανῆ 3) λίαν 4) ὑπομεμένηκε τὴν ἀπώλειαν. τὸ γὰρ μετ' ἤχου τοῦτο σημαίνει, ἐκ μεταφορᾶς τῶν ἀπό τινος σεισμοῦ συμπιπτουσῶν οἰκιῶν, καὶ πολὺν ἐργαζομένων τὸν 5) κτύπον. ὁ δέ γε ἡμέτερός φησι Θεὸς καὶ Δεσπότης αἰώνιον ἔχει τὸ κράτος, καὶ τὴν βασιλείαν ἀνώλεθρον. 6) Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ· θ'. Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι. Οὐ γὰρ μόνον κατὰ τὸν παρόντα βίον τὴν οἰκείαν δύναμιν ἔδειξεν, ἀλλὰ 7) κἀν τῷ μέλλοντι τὸ φρικῶδες αὐτοῦ δείξει κριτήριον, πᾶσιν ἀνθρώποις δικάζων, καὶ τὰ πρὸς ἀξίαν ἀπονέμων ἑκάστῳ. ι. Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι. Τὸ ἐν εὐκαιρίαις ὁ μὲν Ἀκύλας εἰς καιρὸν, ὁ δὲ Σύμμαχος ἐπικαίρως ἡρμήνευσε. διδάσκει δὲ ὁ λόγος, ὡς ἐν προσφόρῳ καιρῷ τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν. 8) πένητα γὰρ τῶν ἀνθρώπων τὴν φύσιν ἀποκαλεῖ, διὰ τὴν πολλὴν τῆς παρανομίας πτωχείαν. 9) τούτου τοῦ καιροῦ τὸ ἐπιτήδειον 10) ὁ 11) μακάριος διδάσκει Παῦλος. ὅτε γὰρ ἦμεν, φησὶ, νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου,

1) Cod. 1. 2. πόλεων. 2) Cod. 1. 2. ἐκείνων. 3) λίαν. Des. in Cod. 2. et apud CORD. p. 174. 4) ὑπομεμένηκε. Cod. vterque et CORD. l. c. πεποίηκε. 5) κτύπον. Cod. 1. ἦχον. 6) Cod. 2. ἡτοίμασας. 7) Cod. 2. καὶ ἐν. 8) πένητα γὰρ κ. τ. λ. Codex *flor.* πένης δὲ ἡ ἀνθρωπότης ἐν πολλῇ παρανομίᾳ πτωχεύσασα. σύμφωνον δὲ ταῖς εὐκαιρίαις καὶ τῷ Παύλῳ ῥηθέν· ὅτε δὲ ἦλθε — υἱὸν αὐτοῦ. εὐκαιρίαις λέγων, ὡσανεὶ ἐν τῷ εἶναι τὸν πένητα τῇ ψυχῇ ἀβοήθητον, ἐγένου αὐτῷ βοηθὸς, ὥστε ἐν καιρῷ δεκτῷ ἐπήκουσάς μου. 9) τούτου κ. λ. Des. apud CORD. p. 174. 10) ὁ. Cod. 1. 2. præm. καί. 11) μακάριος. Cod. 2. θεῖος.

a) Gal. 4, 3-5.

χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. ιαʹ. Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε Κύριε. Τὸ ἐλπισάτωσαν Ἀκύλας καὶ Σύμμαχος πεποιθήσουσιν 1) εἶπον, ὁριστικῷ ἀντὶ προστακτικοῦ χρησάμενοι ῥήματι. ταύτης γάρ φησι τῆς σωτηρίας παρά σου γενομένης, οἱ ποιητήν σε καὶ Θεὸν μεμαθηκότες εἰς σὲ ἕξουσι τὰς ἐλπίδας. ιβʹ. 2) Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών. 3) Κατὰ τὴν πάλαι τῶν Ἰουδαίων δόξαν τοῦτο εἴρηκεν ὁ προφήτης· μεμαθήκαμεν δ᾽ ὅμως ἐκ τῆς ἀποστολικῆς διδασκαλίας, καὶ ἐπουράνιον εἶναι Σιών. 4) προσεληλύθατε γάρ φησι Σιὼν ὄρει, 5) καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ. 6) Τὰ ἐπιτηδεύματα 7) ὁ Σύμμαχος μηχανὰς εἶπεν, ὁ δὲ Ἀκύλας ἐναλλαγάς. τῷ ὄντι γὰρ ἐναλλαγὴ μεγίστη πραγμάτων ἐγένετο· οἱ πάλαι ἐχθροὶ φίλοι, οἱ μακρὰν, ἐγγὺς, 8) οἱ δοῦλοι, υἱοὶ, οἱ ἐν ἀγνοίᾳ ἐν γνώσει, ἐν φωτὶ οἱ ἐν 9) σκότῳ, ἐν ἐλπίδι ζωῆς οἱ νεκροὶ, οἱ πτωχοὶ κληρονόμοι τῆς βασιλείας τῶν οὐρανῶν· Ἰουδαῖοι πόῤῥω, καὶ τὰ ἔθνη πλησίον· οἱ υἱοὶ κύνες, καὶ οἱ κύνες υἱοί. καὶ αἱ μηχαναὶ δὲ τοῦ σωτῆρος θεοπρεπεῖς. ἀθανασία γὰρ διὰ θνητότητος ἐδωρήθη, καὶ διὰ θανάτου ζωὴ, δι᾽ ἀτιμίας τιμὴ, εὐλογία διὰ κατάρας, διὰ σταυροῦ σωτηρία. ταῦτα τὰ μηχανήματα, ταῦτα τοῦ Θεοῦ

temporis, miſit Deus filium ſuum, natum ex muliere, conſtitutum ſub lege, vt eos, qui ſub lege erant, redimeret, vt adoptionem filiorum acciperemus. 11. *Et ſperent in te qui nouerunt nomen tuum, quoniam non dereliquiſti quaerentes te Domine.* *Sperent* Aquila et Symmachus *confident* dixerunt, verbo vtentes modi indicandi pro imperandi. Cum enim, inquit, hæc ſalus a te effecta fuerit, qui te Deum et creatorem didicerunt, in te collocabunt ſpem. 12. *Pſallite Domino, qui habitat in Sion.* Ex vetuſta Iudæorum opinione hoc ait propheta. Didicimus tamen ex apoſtolica diſciplina, etiam cæleſtem eſſe Sionem. Acceſſiſtis enim, inquit, a) ad Sion montem, et ciuitatem Dei viuentis, Hieroſolymam cæleſtem. *Annunciate inter gentes ſtudia eius.* *Studia* Symmachus *artes* dixit, Aquila vero *mutationes.* Reuera enim mutatio fuit rerum omnium maxima. Qui quondam inimici erant, amici ſunt, qui longinqui, proximi, qui ſerui, filii, qui in ignorantia erant, cognitionem habent, qui in tenebris erant, in luce ſunt, in ſpe vitæ qui mortui erant, pauperes hæredes regni cælorum; Iudæi procul, et gentes prope, filii canes, et canes filii. Et hæ Saluatoris artes ſunt decoræ. Immortalitas enim per mortalitatem donata eſt, et per mortem vita, per dedecus decus, benedictio per maledictionem, per crucem ſalus. Hæ ſunt artes, hæc ſunt Dei noſtri

1) εἶπον. Cod. 1. ἡρμήνευσαν. 2) Cod. 2. ψάλλετε. 3) Κατὰ — εἶναι Σιών. Deſ. in Cod. 1. 4) προσεληλύθατε — ἐπουρανίῳ. Deſ. apud CORD. p. 174. 5) καὶ — ζῶντος. Deſ. in Cod. 2. 6) Τά. Abeſt a Cod. 1. 2. 7) ὁ. Cod. vterque addit μέν. 8) οἱ δοῦλοι — κύνες υἱοί. Deſ. apud CORD. p. 175. οἱ δοῦλοι, υἱοί abeſt a Cod. 2. 9) Cod. 1. 2. σκότει.

a) Hebr. 12, 22.

nostri studia. 13. *Quoniam requirens sanguinem eorum recordatus est, non est oblitus clamoris *pauperum.* * Qui omnia inspicit, inquit, et exacte inquirit ea quæ fiunt, vidit hominum cædes audacter patratas a diabolo per hominum deceptionem, et in auxilium illorum qui iniuria affecti erant, venit. Hoc enim significat, *Non est oblitus clamoris pauperum. Clamorem* namque hoc in loco, non deprecationem seu preces dicit, sed miserias quæ propter peccatum superuenerunt, propter quod et immaturæ mortes, etquerimoniæ, et calamitates. 14. *Miserere mei Domine, vide humilitatem meam ex inimicis meis.* Eiusmodi, ait, erat ploratus et lamentationis clamor, vt quasi quandam petitionem in se contineret de malis ingruentibus. 15. *Qui exaltas me de portis mortis, vt annunciem omnes laudationes tuas.* Hic, inquit, est finis bonorum, liberatio a corruptione, mortisque euersio, qua perfruentes, vsquequaque tua beneficia decantabimus. *In portis filiæ Sion exultabimus in salutari tuo.* *Sion* vocat cælestem vrbem, quemadmodum beatus docuit Paulus a) *Portas* autem *illius* ecclesias appellat, quæ vbique terrarum sunt, per quas in illam introiere qui credunt. In his igitur, ait, exultantes et tripudiantes ob resurgendi spem, Deum horum largitorem celebrabimus. Et quia de

ἡμῶν τὰ ἐπιτηδεύματα. ιγ΄. Ὅτ
ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη,
ἐπελάθετο τῆς 1) κραυγῆς τῶν πεν-
των. Ὁ πάντα, φησὶν, ἐφορῶν, κ
ἀκριβῶς 2) ἐκζητῶν τὰ γινόμενα, ἑ
τὰς τολμωμένας ὑπὸ τοῦ διαβόλου δι'
πάτης τῶν ἀνθρώπων σφαγὰς, καὶ
ἐπικουρίαν τῶν ἀδικουμένων ἐλήλυθ
τοῦτο γὰρ σημαίνει, 3) οὐκ ἐπελάθε
τῆς κραυγῆς τῶν πενήτων. κραυγὴν γ
ἐνταῦθα οὐ τὴν προσευχὴν λέγει κ
δέησιν, ἀλλὰ τὴν διὰ 4) τῆς ἁμαρτί
ἐπεισελθοῦσαν ταλαιπωρίαν, δι' ἣν κ
θάνατοι ἄωροι, καὶ θρῆνοι, καὶ συμφ
ραί. ιδ΄. Ἐλέησόν με Κύριε, ἴδε τ
ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μο
Τοιαύτη τις ἦν, φησὶν, ἡ 5) τῶν ὀλοφύ
σεων καὶ τῶν θρήνων γινομένη κραυγ
οἷόν τινα αἴτησιν ἔχουσα περὶ τῶν κατ
χόντων δεινῶν. ιε΄. Ὁ ὑψῶν με
τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγ
γείλω πάσας τὰς αἰνέσεις σου. Το
τό φησιν, ἐστὶ τὸ τέλος τῶν ἀγαθῶν,
τῆς φθορᾶς ἀπαλλαγὴ, καὶ τοῦ θανάτ
κατάλυσις· ἧς ἀπολαύσαντες ἀεὶ τα
σὰς εὐεργεσίας ὑμνήσομεν. Ἐν ταῖ
πύλαις τῆς θυγατρὸς Σιὼν 6) ἀγαλλι
σόμεθα ἐπὶ τῷ σωτηρίῳ σου. Σιὼν κα
λεῖ τὴν ἐπουράνιον πόλιν, ὡς ὁ μακά
ριος Παῦλος ἐδίδαξε· πύλας δὲ ἐκείνης
τὰς 7) ἁπανταχοῦ τῆς γῆς ἐκκλησίας
δι' ὧν εἰς ἐκείνην. 8) εἰσήεσαν οἱ πιστεύον
τες· ἐν ταύταις τοίνυν, 9) φησὶν, 10) ἀ
γαλλιώμενοι, καὶ χορεύοντες ἐπὶ ταῖ
ἐλπίσι τῆς ἀναστάσεως, τὸν τούτων πρό
ξενον ἀνυμνήσομεν. καὶ ἐπειδὴ τῆς τ

θανάτοι

1) κραυγῆς. Cod. vatic. h. l. habet δεήσεως, alex. φωνῆς. 2) ἐκζητῶν. Cod. 1. ἐξετάζων. 3) οὐκ. Cod. 1. et 2. præm. τό. 4) Cod. 1. 2. τὴν ἁμαρτίαν. 5) τῶν. Cod. 1. 2. præm. διά. 6) Rec. lectio h. l. ἀγαλλιάσομαι. 7) Cod. 1. 2. πανταχοῦ, omisso τῆς. 8) Cod. vterque εἰσίασιν. 9) φησίν. Abest a Cod. 1. 10) Cod. 2. ἀγαλλόμενοι.

a) Hebr. 12, 22.

θανάτου καταλύσεως ἐμνημόνευσεν, εἰκότως ἐπήγαγεν· ιϛ΄. Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν, ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ πούς αὐτῶν. ιζ΄. Γινώσκεται Κύριος κρίματα ποιῶν· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. 1) Ἔθνη δὲ 2) καὶ ἐνταῦθα προσαγορεύει τῶν δαιμόνων τὸ σίφος· οὗτοι γὰρ τὸν σωτήριον σταυρὸν τεκτηνάμενοι, διὰ τούτου τῆς τυραννίδος ἐξέπεσαν· καὶ ἐν παγίδι ᾗ ἔκρυψαν συνελήφθη ὁ πούς αὐτῶν, 3) καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. εἰ δὲ καὶ ἐπὶ τῶν ἀπιστησάντων ἐθνῶν, καὶ τοὺς καλλινίκους ἀποστόλους καὶ μάρτυρας ἀνελόντων, τὰ προκείμενα ληφθείη 4) ῥήματα, καὶ οὕτω τὸ ἀληθὲς τῆς προφητείας εὑρήσομεν. διὰ γάρ τοι τῆς ἐκείνων σφαγῆς ἐβεβαιώθη τῆς εὐσεβείας τὸ κήρυγμα, καὶ πλείους ὧν ἐθήρευσαν ζῶντες ἀποθανόντες 5) ἐζώγρησαν· 6) καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλὸς, καὶ ἐγνώσθη Κύριος 7) κρίματα ποιῶν, τουτέστι σοφῶς καὶ δικαίως οἰκονομῶν. ιη΄. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ. ιθ΄. Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχὸς, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα. Οὗτοί φησιν οἱ τῷ θείῳ διαπιστήσαντες κηρύγματι τὸν ᾅδην ὅτι τάχιστα καταλήψονται, καὶ τῷ θανάτῳ παραδοθήσονται, οὐδὲ τὴν τυχοῦσαν βλάβην τοῖς ὑπ' αὐτῶν διωκομένοις 8) ἐπαγαγόντες.

mortis euersione mentionem fecit, merito subiunxit: 16. *Infixæ sunt gentes in interitu quem fecerunt. Laqueo isto, quem absconderunt, comprehensus est pes eorum.* 17. *Cognoscitur Dominus iudicia faciens: in operibus manuum suarum comprehensus est peccator.* *Gentes* hoc in loco dæmonum agmen appellat. Hi enim cum salutarem crucem machinati essent, huius opera tyrannide exciderunt. Et laqueo, quem absconderunt, comprehensus est pes eorum, et operibus manuum suarum captus est peccator. Si autem de infidelibus gentibus, quæ interfecerunt egregios illos victores apostolos et martyres, supra dicta verba accipiantur, etiam hoc pacto prædictionis veritatem inueniemus. Nam per illorum occisionem pietatis præconium * confirmatum est: * siquidem mortui plures lucrifecerunt, quam viui, et in operibus manuum suarum comprehensus est peccator, cognitusque est Dominus iudicia faciens, hoc est, sapienter et iuste gubernans. 18. *Conuertantur peccatores in infernum, omnes gentes, quæ obliuiscuntur Dei.* 19. *Quoniam non in finem obliuio erit pauperis, patientia pauperum non peribit in finem.* Isti, inquit, diuinæ prædicationi non credentes, ad inferos quam primum detrudentur, mortique tradentur, neque vel modicum damnum his quos persequuntur afferentes.

Patientia

1) Ἔθνη — ἁμαρτωλός. Hæc apud CORD. p. 195. *Hesychii* nomen præ se ferunt, in tribus autem Cod. nostris *Theodoreto* vindicantur. 2) καί. Def. in Cod. nostris et apud CORD. 3) καὶ — ἁμαρτωλός. Def. in Cod. 3. 4) ῥήματα. Omnes tres Codices *august.* habent ῥητά. 5) Cod. 3. ἐζώγρευσαν. 6) καὶ — ἁμαρτωλός. Def. in Cod. 3. 7) κρίματα — τουτέστι. Def. ibid. 8) Cod. 1. et 2. ἐπάγοντες. Ita quoque CORD. p. 176. Sed Cod. *flor.* habet δυνηθέντες ἐπαγαγεῖν.

Patientia enim pauperum non peribit in aeternum. Etenim a) qui perseuerauerit vsque in finem, hic saluus erit. Et, b) beati pauperes spiritu, quoniam ipsorum est regnum caelorum. Deinde propheticis oculis quasi e longinquo videns pietatis praecones ab impiis obtritos, optantis more subdit: 20. *Exsurge Domine, non confortetur homo: iudicentur gentes in conspectu tuo.* 21. *Constitue Domine legislatorem super eos, vt sciant gentes, se homines esse.* Merito quis Iudaeos interrogaret, quem legislatorem hic propheta dari obsecrat? Nam Moses ille magnus, qui diuinae legis ferendae minister olim fuerat, iam finem vitae habuit: c) alius autem legislator post illum non surrexit. Quod si nemo alius ostenditur neque Iudaeis, neque gentibus constitutus legislator, reliquum est vt intelligatur, Dominum Christum legislatorem gentium apparuisse, qui sacris in euangeliis exclamat: d) Dictum est antiquis, non occides: ego autem dico vobis, omnis qui irascitur fratri suo temere, reus erit iudicii. Dictum est antiquis, non moechaberis: ego autem dico vobis, omnis qui viderit mulierem ad concupiscendum illam, iam moechatus est cum illa in corde suo. Et alia omnia similiter. Huius igitur legis promulgationem propheta gentibus dari obsecrat, vt ferina vita derelicta, cognoscant, se homines esse. Homo enim,

ἡ ὑπομονὴ 1) γὰρ τῶν πενήτων ὀκ ἀπολεῖται 2) εἰς τὸν αἰῶνα. 3) ὅτι ὁ ὑπομείνας εἰς τέλος, ὗτος σωθήσεται· καὶ μακάριοι οἱ πλωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐςιν ἡ βασιλεία τῶν ὀρανῶν· εἶτα πόῤῥωθεν προφητικοῖς ὀφθαλμοῖς θεασάμενος λελωβημένους ὑπὸ τῶν δυσσεβῶν τοὺς τῆς εὐσεβείας κήρυκας, εὐκτικῶς λέγει, κ'. Ἀνάςηθι Κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου. κα'. Κατάςησον Κύριε 4) νομοθέτην ἐπ' αὐτοὺς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. Εἰκότως ἄν τις ἔροιτο Ἰουδαίους, ποῖον ἐνταῦθα δοθῆναι νομοθέτην ὁ προφήτης παρακαλεῖ; 5) Μωσῆς 6) μὲν γὰρ ὁ μέγας, πάλαι καὶ πρόπαλαι τῆς θείας νομοθεσίας γενόμενος ὑπουργὸς, τοῦ βίου τὸ τέλος ἐδέδεκτο· ἕτερος δὲ μετ' 7) ἐκεῖνον ὀκ ἐγήγερται νομοθέτης. εἰ δὲ μηδεὶς ἕτερος δείκνυται, μήτε τοῖς Ἰουδαίοις, μήτε τοῖς ἔθνεσι, καταςὰς 8) νομοθέτης, λείπεται νοεῖν τὸν δεσπότην Χριςὸν ἀναφανῆναι νομοθέτην ἐθνῶν· 9) ὃς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις βοᾷ, ἐῤῥέθη τοῖς ἀρχαίοις, 10) ὀ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔςαι τῇ κρίσει· ἐῤῥέθη τοῖς ἀρχαίοις, ὀ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ἐμβλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ τὰ ἄλλα πάντα ὁμοίως. τὴν τούτου τοίνυν νομοθεσίαν ὁ προφήτης ἀντιβολεῖ 11) παραχεθῆναι τοῖς ἔθνεσιν· ἵνα τὸν θηριώδη καταλιπόντες βίον, γνῶσιν ὅτι ἄνθρωποί εἰσιν. ἄνθρωπος γάρ φησιν

1) γάρ. Cod. *flor.* addit φησί. 2) εἰς τὸν αἰῶνα. Cod. 1. et 2. nec non *flor.* εἰς τέλος. 3) ὅτι — οὐρανῶν. Def. in Cod. *flor.* 4) νομοθέτην. *Symm.* νόμον. *Aqu.* φόβημα. *Theodot.* φόβον. 5) Μωσῆς — πάντα ὁμοίως. Def. apud CORD. p. 196. 6) μέν. Abest a Cod. 2. 7) Cod. 2. ἐκείνου. 8) Cod. 2. νομοθέτην, puncto ad praec. vocem adposito. 9) ὅς. Cod. 1. 2. ὡς. 10) οὐ — ἀρχαίοις. Def. in Cod. 2. 11) Cod. 2. παραχθῆναι.

a) Matth. 10, 22. b) Ib. 5, 3. c) Deut. 34. d) Matth. 5, 21. 22. 27. 28.

φησιν ὁ προφήτης, ἐν τιμῇ ὢν ἐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· διόπερ κἀνταῦθα 1) φησι, γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσιν.

2) Ψαλμὸς ἰ κατὰ τὰς Ἑβραίας.

α΄. Ἱνα τί Κύριε ἀφέστηκας μακρόθεν; ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν; β΄. Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχὸς, 3) συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται. 4) Δοκεῖς πόῤῥωθεν ἑστάναι 5) Δέσποτα, καὶ μὴ ὁρᾷν τὰ ἀνθρώπεια, τοῖς ἀδικουμένοις οὐκ ἐπαμύνων. ὑπὸ δὲ τῆς ἀθυμίας, ὥσπερ 6) τινος πυρὸς, οἱ ἀδικούμενοι καταλήκονται τῶν ἀδικούντων τὴν ἀλαζονείαν θεώμενοι. σφόδρα δὲ προσφυῶς τὸ ἐμπυρίζεται 7) ἐπὶ τῶν ἀθυμούντων τέθεικεν. ἐμπιπραμένοις γὰρ οἱ ἀθυμοῦντες ἐοίκασι, καὶ οἷόν τινα καπνὸν διὰ 8) στόματος τὸν στεναγμὸν 9) ἀναπέμπουσι. 10) βλάβη δὲ αὐτοῖς 11) φησιν ἀπὸ τῆς ἀθυμίας γενήσεται, λογισμοῖς οὐκ εὐπρεπέσι χρωμένοις, 12) ἀλλὰ περὶ τῆς σῆς διχονοοῦσι προνοίας. τοῦτο γὰρ σημαίνει τὸ, 13) συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται. καὶ τὴν αἰτίαν διδάσκων ἐπήγαγεν· γ΄. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν 14) εὐλογεῖται. Μύρια γὰρ 15) δεινὰ δρῶντες, καὶ ἐπαίνους 16) παρὰ τῶν κολάκων καρποῦνται. δ΄. Παρώξυνε

inquit propheta, a) cum in honore esset, non intellexit: comparatus est iumentis insipientibus, et similis factus est illis. Quapropter et hîc dicit, *Cognoscant gentes, se homines esse.*

* Psalmus X. apud Hebraeos. *

1. *Quare o Domine recessisti longe? non respicis in opportunitatibus in tribulationibus?* 2. *Dum superbit impius, incenditur pauper, comprehenduntur in consiliis, quae agitant.* Videris Domine e longinquo stare, nec humana prospicere, iniuria affectis opem non ferens: ex moerore autem veluti quodam igne contabescunt qui iniuriam patiuntur, iniquorum superbiam videntes. Valde autem apposite verbum *incenditur* de moerentibus dixit: nam ardentibus similes sunt, qui dolore afficiuntur, et veluti quendam fumum, per os gemitum emittunt. Detrimentum autem, inquit, ipsis ex moerore eueniet, cum cogitationibus non conuenientibus vtantur, sed de tua prouidentia ambigant. Hoc enim significat, *comprehendantur in consiliis, quae agitant.* Et caussam docens adiecit: 3. *Quoniam laudatur peccator in desideriis animae suae, et iniquo benedicitur.* Cum enim infinita committant mala, laudes tamen ab assentatoribus consequuntur. 4. *Exacerbauit Domi-*

1) φησί. Cod. 1. addit ὁ προφήτης. 2) Vid. quae Noster ad Ps. 115. obseruat. 3) συλλαμβάνονται — διαλογίζονται. Def. in Cod. 3. 4) Δοκεῖς — θεώμενοι. Haec apud CORD. p. 176. et 177. sequentia autem, σφόδρα — ἀναπέμπουσι, p. 197. leguntur. 5) δέσποτα. Cod. 3. praem. ὦ. 6) τινος. Omnes tres Cod. praem. ὑπό. 7) ἐπὶ τῶν ἀθυμούντων. Def. in Cod. 3. 8) στόματος. Cod. 3. praem. τοῦ. 9) Cod. 3. ἀποπέμπουσιν. 10) βλάβη — προνοίας. Vid. CORD. p. 177. 11) φησίν. Abest a Codicibus. 12) ἀλλά. Cod. 3. addit καί. 13) Cod. 3. συλλαμβάνονται. 14) Codices nostri, ἐνευλογεῖται. 15) δεινά. Codices tres, παράνομα. 16) παρά. Codices praem. τῶν.

a) Ps. 48, 12. 20.

Dominum peccator secundum multitudinem iræ suæ. Hîc distinguendum est, et postea subiungendum, *non quæret.* Quasi diceret, exacerbauit Dominum dicens *non quæret.* Nam furore atque rabie vtens, tanquam nemine prospiciente, in omnem iniquitatem fertur, non putans iudicem ea quæ patrantur inquirere. Deinde hoc manifestius dicit, 7. *Non est Deus in conspectu eius.* „ Infidelis et peccator „ nunquam Deum ante oculos „ suos ponit, sed quouis die ac „ tempore polluit ac inquinat vias „ suas, non credens, esse iudi- „ cium. „ Quæ est huius causa? *inquinatæ sunt viæ illius in omni tempore. Auferuntur iudicia tua a facie eius.* Penitus tuas leges despicit: omne tempus in iniquitate conterit. „ Imminuit enim „ et vilipendit præcepta Dei „ in- „ fidelis. „ *Omnibus inimicis suis dominabitur.* Sed tamen et hæc faciens felix est. Deinde superbiæ excessum describit. *6. Dixit enim in corde suo, non mouebor a generatione in generationem sine malo.* Manifestius hunc locum Symmachus expressit: *Non euertar in generationem et generationem, neque in afflictione ero.* Atque hac audacia vsus est, et cogitat se nihil mali * passurum esse, cum omnes malitiæ species quasi percurrerit. 7. *Cuius os maledictione plenum est, et amaritudine, et dolo: sub lingua eius labor est, et dolor.* Dolos enim struit, et machinatur mala, vitamque in insidiis contra pauperes agit. „ Labor „ inutilis et studium fructus ex-

τὸν Κύριον ὁ ἁμαρτωλὸς κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ. 1) Ἐνταῦθα ὑποστικτέον, εἶτα ἐπενεκτέον· οὐκ ἐκζητήσει. ἀντὶ τοῦ, παρώξυνε τὸν Κύριον λέγων οὐκ ἐκζητήσει. 2) μανίᾳ γὰρ καὶ λύττῃ χρώμενος, ὡς 3) οὐδενὸς ἐφορῶντος, εἰς πᾶσαν ἄττει παρανομίαν, οὐχ ἡγούμενος ἐκζητεῖν τὸν κριτὴν τὰ γινόμενα. εἶτα τοῦτο σαφέστερον λέγει· ε΄. Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ. 4) „Ὁ ἄπιστος καὶ ὁ ἁμαρ- „τωλὸς οὐδέποτε τίθεται πρὸ ὀφθαλμῶν „αὐτοῦ τὸν Θεόν. ἀλλ᾽ ἑκάστης ἡμέρας καὶ „ἐν παντὶ καιρῷ μιαίνει καὶ ῥυποῖ τὰς „ὁδοὺς αὐτοῦ, μὴ πιστεύων ὅτι ἔστι κρίσις.„ Τί δὲ 5) τούτου τὸ αἴτιον; Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ, ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ. παντελῶς τῶν σῶν νόμων καταφρονεῖ· πάντα καιρὸν εἰς παρανομίαν δαπανᾷ. 6) „Σμικρύνει γὰρ καὶ εὐτελίζει τὰς ἐντο- „λὰς τοῦ Θεοῦ ὁ ἄπιστος.„ Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει· Ἀλλ᾽ ὅμως καὶ τοιαῦτα δρῶν κατευοδοῦται. εἶτα τοῦ τύφου τὴν ὑπερβολὴν ζωγραφεῖ. ϛ΄. Εἶπε γὰρ 7) ἐν καρδίᾳ αὐτοῦ, οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ. Σαφέστερον τοῦτο ὁ Σύμμαχος ἡρμήνευσεν· οὐ περιτραπήσομαι εἰς γενεὰν καὶ γενεάν, οὔτε ἔσομαι ἐν κακώσει· καὶ ταύτῃ κέχρηται τῇ θρασύτητι· καὶ ἡγεῖται μηδὲν δεινὸν ὑποστήσεσθαι πάντα μετιὼν τῆς κακίας τὰ εἴδη. ζ΄. Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει, καὶ πικρίας, καὶ δόλου· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος, καὶ πόνος. Δόλους γὰρ ῥάπτει, καὶ τυρεύει κακά, καὶ βίον ἔχει τὰς κατὰ τῶν πενήτων ἐπιβουλάς. 8) „Κόπος ἀνόνητος καὶ πόνος ἀ- „κερ-

1) ἐνταῦθα — ἐκζητήσει. Des. apud CORD. Codex *flor.* habet: Ἤγουν τὸ ἐκζητήσει διαστατέον· παρώξυνε γὰρ τὸν Κύριον, λέγων οὐκ ἐκζητήσει. 2) μανίᾳ — γινόμενα. Cod. *flor.* μανεὶς γὰρ πρὸς πᾶσαν ἁμαρτίαν ἡγεῖται τὸν κριτὴν μὴ ἐκζητεῖν τὰ γινόμενα. 3) Cod. 3. μηδενός. 4) Hæc e Cod. 2. suppleuimus. 5) τούτου τό. Cod. 3. τοῦτο. 6) e Cod. 2. inserta. 7) ἐν. Cod. 1. addit τῇ. 8) e Cod. 2. suppl.

„κερδῆς· δίχα τέτε τὴν γλῶσσαν ἐ κινεῖ „καὶ σαλεύει.„ η΄. Ἐγκάθηται 1) ἐν ἐνέδρᾳ μετὰ πλεσίων, ἐν ἀποκρύφοις, 2) τε ἀποκτεῖναι ἀθῶον. Καὶ ἐν συλλόγοις δὲ, καὶ ἐν συνεδρίοις καθήμενος, ἐνέδρας τινὰς καὶ μηχανὰς τοῖς 3) ἀναιτίοις κατασκευάζει. 4) „Οἱ πλετῦντες „τῇ ἀσεβείᾳ διαπαντὸς τῇ εἰρωνείᾳ ζῶ„σιν· ἐνεδρεύεσι γὰρ τὲς ἀκάκες· ἄλλως „τε καὶ οἱ πλέσιοι ἐνεδρεύεσι τὲς πένη„τας. Ὁ διάβολος λεληθότως γὰρ τὸν „Χριςὸν ἐζήτησεν ἀποκτεῖναι· ἀθῶος γὰρ „ταῖς χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ μό„νος ὁ Θεός.„ θ΄. Οἱ ὀφθαλμοὶ αὐτε εἰς τὸν πένητα ἀποβλέπεσιν· ἐνεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτε· ἐνεδρεύει τε 5) ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκῦσαι αὐτόν· ι΄. Ἐν τῇ παγίδι αὐτε ταπεινώσει αὐτόν. Καθάπερ ὁ λέων τῇδε κἀκεῖσε μεταφέρει τὸ ὄμμα θήραν ἐπιζητῶν· ἕτως 6) ἕτος νύκτωρ καὶ μεθ' ἡμέραν ἁρπαγῆς καὶ πλεονεξίας ἐπινοεῖ μηχανάς· ἀλλ' ὅμως κύψει καὶ πεσεῖται. 7) „Ὡς ὁ λέων ἐν τῷ σπηλαίῳ „ἀεὶ ἐνεδρεύει ἁρπάσαι, ἕτω καὶ ὁ διάβο„λος ἐν τῇ συναγωγῇ τῶν Ἰεδαίων ὡς ἐν „μάνδρᾳ ἐθήρευσε τὸν Χριςὸν, νομίσας „αὐτὸν ψιλὸν ἄνθρωπον εἶναι.„ ἐν τῷ αὐτὸν καταχυριεῦσαι τῶν πενήτων. Ὅταν 8) γὰρ πάντων περιγένηται, ἥκιςα 9) διαφεύξεται τε θανάτε τὸ ςόμα· ἀλλὰ τοῖς ἄλλοις παραπλησίως τῷ τάφῳ παραδοθήσεται. 10) „Ἐνόμισε ἐν ὁ ἐχθρὸς καὶ „αὐτῶν τῶν ἀποςόλων κυριεύειν, ἀλλὰ „καὶ τῶν μαρτύρων· ὅταν ἐν ἔδοξε πάν„των κεκρατηκέναι, τότε συντριβεὶς ἔπε„σε, τὸ γὰρ κύψει συντριβῆναι δηλεται.„ ια΄. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτε, ἐπιλέλη-

„ pers: Præterea linguam nec „ mouet nec agitat.„ *8. Sedet in insidiis cum diuitibus in occultis, vt interficiat innocentem.* Et in conuentibus, et in consessibus sedens, insidias quasdam et artes innocentibus præparat. „ Qui „ abundant impietate, in dissi„ mulatione viuunt. Insidias enim „ struunt innocentibus. Insuper „ quoque diuites insidias parant „ pauperibus. Satanas quoque „ Christum clam interficere stu„ duit. Innocens enim mani„ bus et purus corde est solus „ Deus.„ *9. Oculi eius in pauperem respiciunt, insidiatur in abscondito, quasi leo in spelunca sua. Insidiatur vt rapiat pauperem, dum attrahit eum. 10. Laqueo suo humiliabit eum.* Quemadmodum leo huc et illuc transfert oculum, venatum quærens, sic iste dies noctesque rapinæ et auaritiæ artes excogitat. Sed tamen *inclinabit se, et cadet.* „ Vt leo „ in antro suo semper insidiatur, „ vt rapiat, ita quoque diabo„ lus in synagoga Iudæorum „ tanquam in antro insidias pa„ rauit Christo, eum nudum es„ se hominem existimans.„ *Cum dominatus fuerit in pauperes.* Cum enim omnibus superior factus fuerit, minime tamen effugiet mortis fauces, sed æque ac cæteri homines sepulcro tradetur. „ Putauit quidem hostis, se in „ ipsos apostolos, immo quoque „ in martyres, esse dominaturum. „ Cum igitur omnes subactos „ esse existimaret, tunc ipse con„ tritus cecidit: attritionem enim „ vox illa *inclinabit se* indicat.„ *11. Dixit enim in corde suo, oblitus est*

E 2

1) ἐν. Def. in Codicibus. 2) τοῦ. Abest a Cod. 1. 3) ἀναιτίοις. Cod. *flor.* ἐναντίοις. 4) e Cod. 2. suppl. 5) ἁρπάσαι πτωχόν. Repetitur in Cod. 2. et 3. vt apud LXX. 6) οὗτος. Cod. 2. præm. καί. 7) e Cod. 2. suppl. 8) γάρ. Abest a Cod. 3. 9) Cod. 1. διαφύγῃ. Cod. 3. διαφεύξηται. 10) e Cod. 2. suppl.

eſt Deus, auertit faciem ſuam, ne videat in finem. „ Hæc omnia „ autem impius contra pauperes „ Dei agit, ſe ipſum decipiens, „ quum apud ſe cogitat, non eſ- „ ſe Deum qui inſpiciat. Dicit „ itaque in corde ſuo, oblitus „ eſt Deus, auertit faciem ſuam, „ ne inſpiciat in perpetuum. „ Neque enim vel impia verba, vel cogitationes quod Deus non ſit, quicquam iuuabunt ipſum: ſed ex rebus ipſis cognoſcet, Deum omnium præſidem res humanas inſpicere. Per impia hæc verba propheta mirum in modum conturbatus, rurſus conuertit orationem ad preces, dicens, *12. Exſurge Domine Deus mi, et exaltetur manus tua, et ne obliviſcaris pauperum tuorum in finem.* Quandoquidem peccatores impie et inique viuentes, per ea quæ faciunt, dicunt, Deum oblitum eſſe, age, doce ipſos per experientiam, te non eſſe immemorem, neque tuam faciem auertere, ſed eorum qui offenduntur curam gerere. Et vehementius turbatus illorum exſecrationibus, ſubiunxit. *13. Propter quid irrita-*

σαι ὁ Θεὸς, ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος. 1) „Ταῦ„τα δὲ πάντα ὁ ἀσεβὴς κατὰ τῶν πενή„των τοῦ Θεοῦ διαπράττεται· ἑαυτὸν ἀπα„τῶν καὶ τοῖς ἑαυτοῦ λογισμοῖς μὴ εἶναι „Θεὸν ἔφορον διανοούμενος. εἶπε γοῦν ἐν τῇ „καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ Θεὸς, ἀπέ„στρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ ἐπι„βλέπειν εἰς τέλος.„ 2) Καὶ οὐδὲν αὐτὸν ὀνήσει τὰ δυσσεβῆ ῥήματα, καὶ οἱ ἀθεότητος λογισμοί· ἀλλὰ δι' αὐτῶν γνώσεται 3) τῶν πραγμάτων, ὡς ἐφορᾷ τὰ ἀνθρώπεια τῶν ὅλων ὁ πρύτανις. ἐκ τῶν δυσσεβῶν 4) τούτων ῥημάτων λίαν ἀνιαθεὶς ὁ προφήτης, πάλιν εἰς εὐχὴν τὸν λόγον μεταβάλλει, 5) λέγων, ιβ'. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου· μὴ ἐπιλάθῃ τῶν πενήτων 6) σου εἰς τέλος. 7) Ἐπειδὴ οἱ δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶντες δι' ὧν πράττουσι λέγουσιν, ὡς ἐπιλέλησται ὁ Θεὸς, δίδαξον αὐτοὺς διὰ τῆς πείρας, ὡς οὐκ ἐπιλέλησαι, οὐδ' ἀποστρέφεις τὸ πρόσωπόν σου· ἀλλὰ τῶν ἀδικουμένων κηδεμονίαν 8) ποιεῖς. καὶ 9) σφοδρότερον ἀχθεσθεὶς 10) ταῖς ἐκείνων βλασφημίαις ἐπήγαγεν. ιγ'. Ἕνεκεν τίνος 11) παρώργισεν

1) Ex Cod. 3. ſuppleta. 2) *καὶ — λέγων.* Horum locum in Cod. 2. ea occupant, quæ SIRMONDVS ad v. 12. retulit. 3) *τῶν πραγμάτων.* Cod. 1 præm. *τῶν ῥημάτων καί.* 4) *τούτων.* Cod. 1. præm. *δέ.* 5) *λέγων.* Abeſt a Cod. 1. 6) *σου εἰς τέλος.* Additur in edit. *ald.* et *compl.* 7) *Ἐπειδὴ — ποιεῖς.* Hæc bis apud CORD. leguntur, p. 178. et p. 199. Poſtremo loco tribuuntur *Theodoro.* In Cod. 2. *auguſt.* hæc exſtant: *Ἀναστὰς γὰρ ἐκ τῶν νεκρῶν ὑψώθη πάλιν εἰς οὐρανούς, οὓς οὐκ ἦν καταλιπών. ἐν δὲ τῷ ὑψοῦσθαι μετὰ δόξης, ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς ἐχθροὺς καὶ ἐσκόρπισεν αὐτοὺς ἐπὶ πᾶσαν τὴν γῆν. τὸ δὲ μὴ ἐπιλάθῃ ἀντὶ τοῦ μὴ ἐπιλάθῃ τοῦ ἀνθρώπου τοῦ πτωχεύσαντος τοσοῦτον ὡς τὰ κεράτια ἐσθίοντος.* „ Reſurgens enim a mortuis iterum ſublatus eſt in cælum, quod non dereliquerat. Cum autem in gloria eleuaretur, ſuſtulit manum ſuam ſuper hoſtes, et diſperſit eos per vniuerſam terram. Illud autem *ne obliuiſcaris* idem eſt quod, ne obliuiſcaris hominis adeo pauperis, vt veſcatur ſiliquis „ 8) *ποιεῖς.* Codex *flor.* et tres *auguſt.* *ποιῇ.* 9) Cod. 2. *σφόδρα.* 10) *ταῖς — βλασφημίαις.* Codices tres *auguſt.* *τὰς βλασφημίας.* 11) *παρώργισεν.* Rec. lectio eſt *παρώξυνεν.*

σεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ 1) αὐτοῦ, οὐκ ἐκζητήσει. Ἀλλὰ κἂν μυριάκις ἐκεῖνος ταῦτα λογίσηται, σὺ βλέπεις· οὕτως γὰρ νοητέον. 2) „τουτέστιν, ὅσον ἂν καταπίω τὸν ἄνθρωπον, „οὐκ ἔστιν ὁ ἐκζητῶν αὐτὸν, φησὶν ὁ διάβολος.„ ιδ'. 3) Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου. 4) Οὕτως γὰρ καὶ ὁ Σύμμαχος διέστειλεν· ὁρᾷς ὅτι σὺ 5) μόχθον καὶ παροργισμὸν 6) ἐποπτεύεις. 7) καὶ ὁ Ἀκύλας· εἶδες ὅτι σὺ πόνον καὶ παροργισμὸν ἐπιβλέπεις. κἂν μυριάκις, 8) φησὶν, εἴπωσιν οἱ δυσσεβείᾳ συζῶντες, ὅτι 9) οὐκ ἐπιβλέπεις τὰ 10) ἀνθρώπεια, ἡμεῖς ἴσμεν ὅτι βλέπεις 11) καὶ ἐποπτεύεις τὰς τούτων παρανομίας, καὶ τὴν ἀξίαν αὐτοὺς 12) εἰσπράττῃ ποινήν. σοὶ (γὰρ) ἐγκαταλέλειπται ὁ πτωχὸς, ὀρφανῷ σὺ ἦσθα βοηθός. 13) Διὰ τοῦτό σε ἱκετεύω. ιε'. Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ, καὶ πονηροῦ. Ἔσται δὲ τοῦτο, ἐὰν μόνον τὴν ἁμαρτίαν αὐτοῦ ζητῆσαι θελήσῃς· εἰ γὰρ τοῦτο 14) γένηται, παραυτίκα ψεῦδος ἔσται, καὶ πανωλεθρίᾳ παραδοθήσεται· τοῦτο γὰρ 15) ἐδήλωσεν 16) εἰρηκὼς, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ· 17) δι' αὐτὴν μὲν τὴν ἁμαρτίαν. καὶ τοῦτο 18) δὲ σαφέστερον ὁ Σύμμαχος 19) εἴρηκεν· ἐκζητηθήσεται ἡ 20) ἀσέβεια αὐτοῦ, ἵνα μὴ εὑρεθῇ αὐτός. ἐκείνης γὰρ ζητουμένης καὶ δεικνυμένης, οὗτος ἀπόλλυται. ις'. 21) Κύριος βα-

vit impius Deum? dixit enim in corde suo, non requiret. Sed licet ille millies hæc in mente revoluat, tu tamen vides: sic enim intelligendum est. „ Hoc est, „ quemcunque deglutiuero homi„ nem, non est qui requirat eum, „ inquit diabolus.„ *14. *Vides, quoniam tu laborem et furorem consideras, vt tradas ipsum in manus tuas.* Sic enim et Symmachus distinxit, *Vides, quoniam tu laborem et irritationem inspicis.* Et Aquila, *Scis, quoniam tu laborem et irritationem intueris.* Licet millies, inquit, dixerint impii, te minime res humanas inspicere, nos tamen nouimus, te videre et inspicere istorum iniquitates, et condignam pœnam ab eis exigere. *Tibi enim derelictus est pauper, orphano tu eris adiutor.* Propterea te obsecro. 15. *Contere brachium peccatoris et maligni.* Erit autem hoc, si tantummodo ipsius peccatum velis inquirere. Hoc enim si factum fuerit, repente vanus erit, et ad extremam vsque perniciem redigetur, (hoc enim ostendit, cum dixit, *Quæretur peccatum illius, et non inuentum est:*) propter ipsum peccatum: et hoc apertius Symmachus dixit, *Inquiretur impietas eius, vt non inueniatur ipse.* Cum enim illa inquiritur et ostenditur, iste perit. *16. Dominus regnabit*

1) αὐτοῦ. Abest a Cod. 1. 2) Ex Cod. 2. suppleta. 3) βλέπεις. Def. in Cod. 1. et 3. 4) οὕτως. Cod. 2. οὕτω. 5) μόχθον. MONTF. l. c. p. 486. *Symmacho* tribuit lectionem πόνον. 6) ἐποπτ. Cod. 3. ἐπιβλέπεις. 7) καὶ — ἐπιβλέπεις. Def. in Cod. 3. 8) φησὶν. Abest a Cod. 3. 9) οὐκ ἐπιβλ. Cod. 3. οὐκ ἐκζητεῖς, οὐκ ἐπιβλέπεις. 10) Cod. 1. ἀνθρώπινα. 11) καὶ ἐποπτ. Def. in Cod. 2. 12) Cod. 1. et 2. εἰσπράττεις. 13) διὰ — ἱκετ. Def. in Cod. 3. 14) Cod. 2. nec non *flor.* γένοιτο. 15) Cod. 3. παρεδήλωσεν. Cod. *flor.* ἐδήλωκεν. 16) Cod. 3. εἰπών. 17) δι' — ἁμαρτίαν. Def. in Cod. 3. In Cod. 1. et 2. leg. tantum δι' αὐτήν. 18) δὲ. Abest a Cod. 1. 19) Cod. 3. εἶπεν. 20) ἀσέβεια. Cod. 2. ἁμαρτία. 21) Κύρ. βασ. Cod. 2. βασιλεύσει Κύριος, quæ est lectio Cod. *vatic.* h. l.

gnabit in æternum, et in sæculum sæculi. Quoniam enim impii dixerunt, non quærit, neque inspicit, merito propheticus sermo docet, Deum regnaturum esse, neque simpliciter regnaturum, sed in sæculum sæculi. Proprium autem regum est, vt subditorum curam gerant. *Peribitis gentes de terra illius*: quæ iniquitati assuetæ estis, quæque salutis præconium non admisistis. 17. *Desiderium pauperum exaudisti Domine, præparationem cordis eorum audiuit auris tua. Præparationem* autem, *propositum* Symmachus dixit. Nosti, inquit, exactissime cuius rei cupidi sint pauperes, et quod habeant propositum. Deinde hoc docet dilucidius. 18. *Iudicare orphano, et humili.* Hoc enim, inquit, concupiscit quilibet iniuria affectus. *Vt non pergat amplius magnificare se homo super terram.* Si enim supplicio afficiantur qui impietate et iniquitate vtuntur, maxima vtilitas ceterorum hominum erit, dum istos adspiciunt, et similia facere non audent. Hæc autem non temere diuinus propheta præsenti psalmo coniunxit; sed * cum vellet in primis ostendere, quomodo humana natura antiquitus affecta fuerit, et quod vnigenitum Dei verbum opportune carne assumta ad-

σιλεὺς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐπειδὴ γὰρ οἱ δυσσεβεῖς ἔλεγον, οὐ ζητεῖ, οὐδὲ βλέπει, εἰκότως ὁ προφητικὸς λόγος διδάσκει ὅτι 1) βασιλεύσει, καὶ οὐχ ἁπλῶς βασιλεύσει, ἀλλ' εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἴδιον δὲ βασιλέως προμηθεῖσθαι τῶν ἀρχομένων. ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ τὰ παρανομίᾳ συζῶντα, τὰ τὸ σωτήριον μὴ δεξάμενα κήρυγμα. ιζ'. Τὴν ἐπιθυμίαν τῶν πενήτων 2) εἰσήκουσας Κύριε, τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου. 3) Τὴν δὲ ἑτοιμασίαν τὴν πρόθεσιν ὁ Σύμμαχος εἴρηκεν. οἶδάς φησιν ἀκριβῶς 4) τίνος ἐπιθυμοῦσιν οἱ πένητες, καὶ ποίαν πρόθεσιν ἔχουσιν. εἶτα ταύτην διδάσκει σαφέστερον. ιη'. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ. 5) Τούτου φησὶν ἐφίεται τῶν ἀδικουμένων ἕκαστος. Ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς. 6) Τῶν γὰρ ἀσεβείᾳ καὶ παρανομίᾳ χρωμένων κολαζομένων, ὄφελος ἔσται μέγιστον τῶν ἄλλων ἀνθρώπων εἰς τούτους ἀφορώντων, καὶ δρᾷν τὰ ὅμοια μὴ τολμώντων. 7) ταῦτα 8) δὲ οὐχ ἁπλῶς ὁ προφήτης τῷ προκειμένῳ συνῆψε ψαλμῷ· ἀλλὰ πρῶτον μὲν δεῖξαι βουλόμενος ὅπως διέκειτο πάλαι τῶν ἀνθρώπων ἡ φύσις, καὶ ὅτι ὁ μονογενὴς τοῦ Θεοῦ λόγος εἰς καιρὸν ἐνανθρωπήσας κατάλλη-

1) βασιλ. Cod. 1. addit εἰς τὸν αἰῶνα. 2) εἰσήκ. — ἑτοιμασίᾳ. Ita habet ed. *compl.* Recepta lectio h. l. est εἰσήκουσε Κύριος, τὴν ἑτοιμασίαν. 3) Τὴν — εἴρηκεν. Aliam *Symm.* lectionem dedit MONTF. l. c. T. 1. p. 487. 4) Cod. 2. τίνων. 5) Τούτου — ἕκαστος. Des. in Cod. 3. 6) Τῶν — τολμώντων. Des. ibid. 7) In Cod. *flor.* sequitur; Ἀλλ' οὐδὲ ὁ διάβολος ἔτι μεγαλαυχήσει συντριβόμενος ὑπὸ τοὺς πόδας τῶν ἁγίων πατούντων αὐτοῦ τὴν δύναμιν κατὰ δωρεὰν Ἰησοῦ. „ At vero ne ipse quidem diabolus magnopere se efferet, subiectus pedibus Sanctorum, qui infringunt robur eius dono a Iesu accepto. „ 8) ταῦτα — ἡμέρᾳ. Hæc apud CORD. minus recte ad vers. præced. relata sunt. In Cod. *flor.* ita leg. συνῆψε δὲ ταῦτα τῷ προκειμένῳ ψαλμῷ, πρῶτον μὲν διδάσκων, ὅπως ἡ ἀνθρωπεία φύσις πάλαι διέκειτο· διὸ κατὰ καιρὸν ἐνανθρωπήσας ὁ μονογενὴς κατάλληλα τοῖς τραύμασιν ἐπέθηκε φάρμακα, ἔπειτα δὲ ὡς τοὺς τὴν ὄνησιν μὴ θελήσαντας δέξασθαι, μείζοσι παραδώσει κολαστηρίοις ἐπιφανεὶς τὸ δεύτερον.

τάλληλα τοῖς τραύμασιν ἐπέθηκε φάρμακα. πρὸς δέ γε τούτοις διδάσκει, ὡς τοὺς ὄνησιν οὐδεμίαν ἐκ τῆς 1) εὐεργεσίας δέξασθαι βουληθέντας μείζοσι παραδόσει κολαστηρίοις ὁ τῶν ὅλων Θεὸς ἐν τῇ τῆς δευτέρας ἐπιφανείας ἡμέρᾳ.

hibuerit medicinas vlceribus conuenientes. Docet praeterea, eos qui nihil vtilitatis ex hoc beneficio percipere voluerint, maioribus afficiendos esse suppliciis a Deo vniuersorum die secundi aduentus.

ΕΡΜΗΝ. ΤΟΥ Ι ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Τοῦτον τὸν ψαλμὸν ὑπὸ τοῦ Σαοὺλ διωκόμενος ὁ 2) θειότατος Δαβὶδ εἴρηκε πρὸς τοὺς παραινοῦντας αὐτῷ φυγῇ τὴν σωτηρίαν πορίσασθαι. ἁρμόττει δὲ παντὶ ἀδικουμένῳ, 3) καὶ τὴν εἰς Θεὸν ἐλπίδα κεκτημένῳ. εἰς τὸ τέλος δὲ ἐπιγέγραπται, ἅτε δὴ πρόῤῥησιν περιέχων τῆς δικαίας τοῦ Θεοῦ κρίσεως, καὶ τῆς ἐπενεχθησομένης τοῖς παρανόμοις κολάσεως. β΄. Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη, ὡς στρουθίον; Τί δήποτέ 4) φησι παραινεῖτέ μοι 5) φυγεῖν, καὶ τὰ ὄρη 6) περινοστεῖν, 7) στρουθίου δίκην ἐπτοημένου, καὶ τὰς 8) σκηνὰς τῇδε κἀκεῖσε 9) μεταβαίνειν, βεβαίαν ἔχοντι τὴν εἰς Θεὸν ἐλπίδα, καὶ δι' ἐκείνην τοὺς δυσμενεῖς 10) μὴ δεδιμαίνοντι; γ΄. Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον. ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. 11) Τινὲς καὶ ταῦτα συνῆψαν τοῖς εἰρημένοις 12) στίχοις· ἀλλὰ τὰ ἐπιφερόμενα οὐκ ἐᾷ. ἐπάγει γάρ· δ΄. Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. Ἐντεῦθεν δὲ διδασκόμεθα, ὡς πρὸς τὸν Θεὸν ἔτρεψε τοὺς λόγους ὁ προφήτης, ἐντεῦ-

INTERP. PSALMI X.

1. *In finem, Psalmus Dauidi.* Hunc psalmum beatissimus Dauid, cum Saul ipsum insequeretur, dixit ad eos qui ipsum admonebant, vt fuga salutem quaereret. Congruit autem omnibus, qui iniuria afficiuntur, et in Deo spem collocant. Inscribitur autem *in finem*, vt qui praedictionem contineat iusti Dei iudicii, et poenae nefariis hominibus infligendae. 2. *In Domino confido: quomodo dicitis animae meae, transmigra in montem sicut passer?* Quidnam, inquit, consulitis mihi, vt aufugiam, montesque pererrem passeris more exterriti, et tabernacula huc et illuc commutem, cum spem in Deo fixam habeam, et propter illam hostes minime timeam? 3. *Quoniam ecce peccatores intenderunt arcum, parauerunt sagittas suas in pharetra, vt feriant in obscuro rectos corde.* Nonnulli et haec cum supra dictis versibus coniunxerunt: sed ea quae sequuntur hoc non permittunt: subiungit enim, 4. *Quoniam quae perfecisti destruxerunt.* Hinc autem discimus, prophetam conuertisse verba ad Deum colloquio

1) εὐεργεσίας. Cod. 1. ἐργασίας. 2) Cod. 2. θεῖος. 3) καὶ — κεκτημένῳ. Def. in Cod. 1. 4) φησί. Abest a Cod. 2. In Cod. 3. leg. τοίνυν. 5) Cod. 3. φεύγειν. 6) Cod. *flor.* παρανοστεῖν. 7) στρουθίου. Cod. 3. praem. καί. Ita quoque apud CORD. p. 208. 8) σκηνάς. Cod. 1. et 2. σκιάς. Sic quoque CORD. l. c. 9) Cod. *flor.* μετατιθέναι. 10) μή. Abest a Cod. 2. 11) Τινὲς κ.λ. Def. in Cod. 1, et apud CORD. p. 208. 12) στίχοις. Abest a Cod. 2.

loquio ventrem, docentemque et arcus et iacula hostium parata esse, atque eorum scopum esse, vt veluti in obscuro, et in nocte illuni, fraudibus et insidiis contra nos vtantur. Clandestinas quippe insidias et occultas, *σκοτομήνην* appellauit. Hoc autem nomen noctem luna carentem significat. *Rectos* vero *corde* nominauit, non summam sibi virtutem vindicans: sed cum sciret, nihil se vnquam egisse vt Saulem offenderet, sed summa beneuolentia in ipsum semper esse vsum. * *Quoniam quae tu perfecisti, ipsi destruxerunt.* Non rapui, inquit, regnum, sed a tua gratia regnandi electionem suscepi: illi autem destruere me conantur contra tuam sententiam armati. *Iustus autem quid fecit? 5. Dominus est in templo sancto suo, Dominus in caelo sedem habet. Oculi eius in terram respiciunt, palpebrae eius inquirunt in filios hominum. 6. Dominus inquirit in iustum et impium.* Illi igitur sua quidem malitia contra me vtuntur: tu vero iustus iudex, insidens coelestibus sedibus, et tui conspectum in terreno templo exhibens, inspicis quidem vniuersam terram, sufficiunt autem tibi duntaxat oculorum palpebrae, vt humana omnia noscas. Nosti vero exacte et iustorum et iniustorum actiones, et digna operibus rependis. Sciendum est porro, et oculos, et palpebras, et sedes, et caetera eiusmodi tanquam de re corporea dici, ab humanis

ξει χρώμενος, καὶ διδάσκων ὡς εὐτρεπῆ τῶν πολεμίων, καὶ τὰ τόξα, καὶ τὰ βέλη, καὶ σκοπὸς αὐτοῖς οἷον ἐν σκοτομήνῃ τινὶ καὶ ἀσελήνῳ νυκτὶ, τοῖς λόχοις καὶ ταῖς ἐνέδραις χρήσασθαι καθ' ἡμῶν. 1) τὸ γὰρ τῆς ἐπιβουλῆς λαθραῖον καὶ κεκρυμμένον σκοτομήνην ἐκάλεσε· τοῦτο δὲ τὸ ὄνομα τὴν ἀσέληνον νύκτα δηλοῖ. εὐθεῖς δὲ τῇ καρδίᾳ ὠνόμασεν, οὐ τὴν ἄκραν ἀρετὴν 2) ἑαυτῇ μαρτυρῶν· ἀλλ' εἰδὼς ὅτι πρὸς βλάβην τοῦ Σαοὺλ οὐδὲν εἰργάσατο πώποτε, ἀλλ' εὐνοίᾳ πλείστῃ περὶ αὐτὸν χρησάμενος διετέλεσεν. ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. οὐχ ἥρπασά φησι τὴν 3) βασιλείαν, ἀλλὰ τὴν χειροτονίαν παρὰ τῆς σῆς χάριτος ἐδεξάμην. ἐκεῖνοι δέ με καταλῦσαι πειρῶνται κατὰ τῆς σῆς ὁπλιζόμενοι ψήφου. ὁ δὲ δίκαιος τί ἐποίησε; ε. Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ· οἱ ὀφθαλμοὶ αὐτοῦ 4) ἐπιβλέπουσι τὴν οἰκουμένην, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. ϛ'. Κύριος ἐξετάζει τὸν δίκαιον, καὶ τὸν ἀσεβῆ. Ἐκεῖνοι μὲν οὖν τῇ κατ' ἐμοῦ κέχρηνται πονηρίᾳ· σὺ δὲ ὁ δίκαιος κριτὴς ἐγκαθήμενος 5) τοῖς οὐρανίοις θώκοις, καὶ τὴν 6) οἰκείαν ἐπιφάνειαν ἐν τῷ ναῷ τῷ ἐπὶ γῆς ποιούμενος, ἐποπτεύεις μὲν τὴν οἰκουμένην ἅπασαν, ἀρκεῖ δὲ 7) σοι μόνον τῶν ὀμμάτων τὰ βλέφαρα τὰ ἀνθρώπεια πάντα καταμαθεῖν. οἶσθα δὲ ἀκριβῶς καὶ ἀδίκων καὶ δικαίων τὰς πράξεις, καὶ ταλαντεύεις τοῖς ἔργοις τὰς ἀντιδόσεις. ἰστέον δὲ, ὅτι καὶ ὀφθαλμοὺς, καὶ βλέφαρα, καὶ θρόνους, καὶ τἄλλα ὅσα τοιαῦτα, 8) σωματικώτερον λέγει, ἀπὸ τῶν ἀνθρω-

1) τὸ γὰρ κ. λ. Des. apud CORD. 2) Cod. 2. et 3. ἑαυτῷ. 3) βασιλείαν. Cod. 2. χειροτονίαν. 4) ἐπιβλ. τὴν οἰκουμ. Cod. 2. et 3. εἰς τὸν πένητα ἐπιβλέπουσιν. Ita fere et ὁ. Vid. MONTF. l. c. T. I. p. 488. 5) τοῖς. Cod. 2. praem. ἐν. 6) οἰκείαν. Cod. 1. θείαν. 7) Cod. 2. σου μόνα. 8) Cod. 1. et 2. σωματικότερα.

ἀνθρωπίνων πραγμάτων τοὺς ἀνθρώπους τὰ θεῖα διδάσκων, καὶ ταῖς θείαις 1) ἐνεργείαις τῶν ἀνθρωπίνων μορίων τὰς προσηγορίας τιθείς. Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. 2) Ὁ τὴν ψυχὴν ἀγαπῶν, τὴν ἀδικίαν μισεῖ· ὁ δὲ περὶ ἐκείνην εὖ διακείμενος, ὄλεθρον τῇ ψυχῇ μηχανᾶται. ἐπισπᾶται γὰρ τὴν θείαν ὀργήν, περὶ ἧς ὁ προφητικὸς διέξεισι λόγος. ζ΄. 3) Ὅτι ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος. 4) Ἀπὸ τῶν ἤδη περὶ τὰ Σόδομα 5) γινομένων σχηματίζει τὰς τιμωρίας. καὶ γὰρ 6) εἰς ἐκείνας τὰς πόλεις ἔβρεξε Κύριος παρὰ Κυρίου πῦρ, καὶ θεῖον ἐκ τοῦ οὐρανοῦ. ταῦτα τοίνυν κἀνταῦθα ἠπείλησεν· οὐχ ὡς πάντως ταῦτα ἐπάξων, ἀλλὰ διὰ τούτων τὰς παντοδαπὰς κολάσεις παραδηλῶν. ἡ μερὶς τοῦ ποτηρίου 7) αὐτῶν. Ταῦτά φησιν ἑαυτοῖς ἀπεκληρώσαν τὴν παρανομίαν ἑλόμενοι. 8) ποτήριον δὲ ἐνταῦθα τὴν τιμωρίαν ὀνομάζει. οὕτω δὲ καὶ ἐν ἑτέρῳ ψαλμῷ, ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος· καὶ μετ᾽ ὀλίγον, πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. τοῦτο τὸ ποτήριον ὁ μακάριος Ἱερεμίας τοῖς ἔθνεσι προσενεγκεῖν ἐκελεύσθη. η΄. Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν· εὐθύτητας 9) οἶδε τὸ πρόσωπον αὐτοῦ. Ταῦτά φησιν ἐπιφέρει τοῖς κακίᾳ συζῶσι τῶν ὅλων ὁ Κύριος· 10) ἐπεὶ δικαιοσύνης ὑπάρχει πηγή, καὶ οἷόν τινι πηδαλίῳ τῇ εὐθύτητι χρώμενος ἰθύνει τὰ σύμπαντα.

rebus res diuinas homines edocendo, et diuinis actionibus humanorum membrorum appellationes imponendo. *Qui autem diligit iniquitatem, odit animam suam.* Qui animam diligit, iniquitatem odit: qui bene erga hanc affectus est, perniciem animæ suæ machinatur: prouocat enim diuinam iram, de qua prophetæ sermo narrat. 7. *Quoniam depluet super peccatores laqueos: ignis et sulphur, et spiritus procellarum.* Ab iis quae Sodomis iam acciderunt, sumit descriptionem suppliciorum: etenim in illas *a*) ciuitates depluit Dominus a Domino ignem, et sulphur e cœlo. Hæc igitur et hoc in loco minatus est, non vt hæc omnino inducturus, sed per hæc omnigenas pœnas designans. *Pars calicis eorum.* Hæc, inquit, sibi ipsis sortiti sunt, qui iniquitatem elegerunt. *Calicem* autem hîc supplicium nominat. Sic etiam in alio psalmo: *b*) *Calix vini meri in manu Domini plenus misto;* et paulo post, *Bibent omnes peccatores terræ.* Hunc calicem beatus Ieremias *c*) gentibus propinare iussus est. 8. *Quoniam iustus est Dominus, et iustitias dilexit; æquitatem vidit vultus eius.* Hæc, inquit, infligit inique viuentibus * vniuersorum Dominus: quoniam iustitiæ est fons, et veluti quodam gubernaculo æquitate vtens, dirigit omnia.

1) *ἐνεργείαις.* Cod. 1. et 2. *εὐεργεσίαις.* 2) Ὁ—*μισεῖ.* Def. in Cod. 1. 3) *ὅτι.* Abest a Codd. nostris. 4) Ἀπὸ—*παραδηλῶν.* Hæc apud CORD. p. 215. *Theodoro*, in Catena autem a DAN. BARBARO edita, Nostro adscribuntur. 5) Cod. 2. *γεγενημένων.* 6) *εἰς.* Def. in Cod. 2. 7) Cod. 2. *αὐτοῦ.* 8) *ποτήριον κ.τ.λ.* Hæc pluribus exposuit EVSEB. ad h. l. Vid. CORD. p. 215. 9) *οἶδε.* Cod. 1. et 3. *εἶδε.* Sic quoque *οἱ ό.* quorum lectionem sequutus est *Carafa.* 10) Codd. nostri, *ἐπειδή.*

a) Genes. 19, 24. *b*) Psal. 74, 8. *c*) Ier. 25, 15.

INTERP. PSALMI XI.

1. *In finem, pro octaua, Psalmus Dauidi.* Eundem sensum et hic psalmus habet. Nam accusat eos qui fraude vtebantur, amicitiamque promittentes, ipsum inimico Sauli prodebant, eique significabant, vbi ipse degebat. Titulum habet *pro octaua*, tanquam de iusto Dei iudicio mentionem faciens, quod iustus iudex post septimam faciet, sicut ante diximus. Propterea et *in finem* inscribitur, vtpote quod vaticinatio posteriori tempore futura sit. 2. *Saluum me fac Domine, quoniam defecit sanctus, quoniam diminutæ sunt veritates a filiis hominum.* A te Domine vt salutem consequar obsecro: quoniam veritas in periculo est ne exstinguatur, et omnes vt vno verbo dicam, mutua inter se infidelitate laborant. Deinde magis dilucide narrat, quæ patrare ausi sunt. 3. *Vana locuti sunt vnusquisque ad proximum suum.* Amicitiam simulant, et hostilia committunt. *Labia dolosa in corde et corde locuti sunt mala.* Cum dolo, inquit, inuicem colloquuntur. Et iste labiis vtens,

ΕΡΜΗΝ. ΤΟΥ ιά ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ Δαβίδ. Τῆς αὐτῆς 1) ἔχεται καὶ οὗτος ὁ ψαλμὸς 2) διανοίας. διαβάλλει 3) γὰρ τοὺς διπλόη κεχρημένους, καὶ φιλίαν μὲν ὑπισχνουμένους, προϊεμένους δὲ αὐτὸν τῷ πολεμίῳ Σαοὺλ, καὶ μηνύοντας ἔνθα διῆγεν. ὑπὲρ δὲ τῆς ὀγδόης τὴν ἐπιγραφὴν ἔχει ἅτε δὴ τῆς δικαίας τοῦ Θεοῦ κρίσεως μεμνημένος, ἣν μετὰ τὴν ἑβδόμην ποιήσεται, 4) καθὰ προειρήκαμεν, ὁ δίκαιος κριτής. διὰ τοῦτο καὶ εἰς τὸ τέλος 5) προγέγραπται, ὡς χρόνοις ὕστερον τῆς προῤῥήσεως ἐσομένης. β΄. Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Τῆς παρὰ σοῦ Δέσποτα σωτηρίας ἀπολαῦσαι παρακαλῶ. ἐπειδὴ κινδυνεύει τῆς ἀληθείας 6) ἀποσβεσθῆναι τὸ χρῆμα, πάντων, ὡς ἔπος εἰπεῖν, τὴν πρὸς ἀλλήλους ἀπιστίαν νενοσηκότων. 7) εἶτα διηγεῖται σαφέστερον τὰ τολμώμενα. γ΄. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Ὑποκρίνονται φιλίαν, καὶ τὰ πολεμίων ἐργάζονται. Χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ 8) ἐλάλησε κακά. Μετὰ δόλου φησὶν 9) ἀλλήλοις προσδιαλέγονται. καὶ 10) οὗτος τοῖς χείλεσι 11) χρώμενος

1) ἔχεται. Cod. 3. præm. δέ. 2) διανοίας. Cod. 3. præm. τῷ πρὸ αὐτοῦ. 3) γάρ. Abest a Cod. 2. 4) καθὰ προειρ. Vid. p. 640. 5) Cod. 3. προσγέγραπται. 6) Cod. 1. et 3. ἀποσβῆναι. Sic quoque Cod. *flor.* et CORD. p. 220. Cod. 2. σβεσθῆναι. 7) In Cod. *flor.* sequitur: Τὸ ὠλιγώθησαν ἀντὶ τοῦ ἐξέλιπον εἶπεν. οὕτω γὰρ καὶ Σύμμαχός φησιν, ὅτι ἐκ ποδῶν (Legendum esse puto ἐκποδών. De hac *Symmachi* lectione nihil exstat apud MONTF. l. c. T. I. p. 489.) ἡ πίστις, ἀντὶ τοῦ οὐκ ἔστι παρ᾽ οὐδενὶ ἡ ἀλήθεια. Alia Nostro tribuuntur apud CORD. p. 225. *Imminutæ sunt* dixit, hoc est, *defecerunt.* Ita enim habet etiam Symmachus, *quoniam procul est fides*, hoc est, apud neminem est veritas.

8) Cod. 3. ἐλάλησαν. 9) Cod. 2. ἀλλήλους. 10) Cod. *flor.* οὕτως. 11) Cod. *flor.* χρώμενοι.

μενος εἰς τὴν τοῦ πέλας καρδίαν 1) τὰ ψευδῆ παραπέμπει. 2) κἀκεῖνος πάλιν ὁμοίως ἀντιπέμπει τὰ ὅμοια. 3) ἐντεῦθεν λοιπὸν αὐτοῖς ἀπειλεῖ τιμωρίαν. δ'. 4) Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλοῤῥήμονα. Τί δὲ τῆς μεγαλοῤῥημοσύνης τὸ εἶδος; ε'. Τοὺς εἰπόντας, τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν κύριός ἐστιν; Οὐκ ἀνέχονται φησι μετρῆσαι τῇ φύσει τοὺς λόγους, οὐδὲ εἰς τοὺς θείους ἀποβλέπειν ἐθέλουσι νόμους, ἀλλ' ἀθυρώτοις στόμασι κεχρημένοι, μεθ' ἀδείας ὅπερ βούλονται φθέγγονται, τῆς θείας μακροθυμίας καταφρονοῦντες, καὶ μηδὲ τελεῖν ὑπὸ 5) τὴν τοῦ Θεοῦ δεσποτείαν νομίζοντες. τοιοῦτος ἦν ὁ Φαραώ· διόπερ καὶ ἔλεγεν, οὐκ οἶδα τὸν Κύριον. τοιοῦτος ἦν ὁ Ῥαψάκης, λέγειν τολμῶν, μή σε ἀπατάτω ὁ Θεός σου, 6) ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ, ὅτι ῥύσεται τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου. τοιοῦτος Ναβουχοδονόσωρ τοὺς γενναίους ἐκείνους δεδιττόμενος παῖδας, καὶ λέγειν οὐ φρίττων, τίς 7) ὁ Θεὸς ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; ἀλλ' ὅμως κἀκεῖνοι ποινὴν ἔδοσαν ὧν ἐτόλμησαν, καὶ οὗτοι περὶ ὧν ὁ προφητικὸς διέξεισι λόγος τὰς ἀξίας τίσουσι δίκας. καὶ τοῦτο σημαίνων ἐπήγαγεν· ϛ'. Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι λέγει Κύριος· θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ. Οὐ 8) περιόψομαι γὰρ 9) αὐτοὺς ὀλοφυρομένους, καὶ στένοντας.

in cor proximi falsa transmittit, et ille rursus itidem similia remittit. Hinc illis proinde vindictam minatur. 4. *Disperdat Dominus vniuersa labia dolosa, et linguam magniloquam.* Quae autem est species magniloquentiae? 5. *Qui dixerunt, linguam nostram magnificabimus, labia nostra apud nos sunt, quis est dominus noster?* Natura, inquit, sermones metiri nolunt, neque diuinas leges respicere volunt: sed effraenato ore vtentes, cum audacia quicquid volunt loquuntur, diuinam patientiam despicientes, nec sub Dei potestate se esse cogitantes. Talis fuit Pharao, ideoque dixit, a) *Non noui Dominum.* * Talis et Rapsaces, qui ausus est dicere, b) *Ne te decipiat Deus tuus, in quo tu ipse confidis, fore vt Hierosolymam liberet e manu mea.* Talis Nabuchodonosor, qui generosos illos pueros exterruit, atque dicere minime perhorruit, c) *Quis est Deus, qui eripiet vos de manu mea?* Verumtamen et illi eorum quae committere ausi sunt, poenam dederunt: et isti, de quibus propheticus sermo loquitur, dignum luent supplicium, et hoc significans subdidit. 6. *Propter miseriam inopum, et gemitum pauperum, nunc exsurgam dicit Dominus. Ponam in salutari: fiducialiter agam in eo.* Non enim eos lugentes et gementes ob ini-

1) τὰ ψευδῆ. Cod. *flor.* κακὰ τῷ ψεύδει. 2) κἀκεῖνος — ὅμοια. Cod. 2. ὁμοίως τὰ ὅμοια. 3) ἐντεῦθεν — τιμωρίαν. Des. in Cod. 3. 4) Cod. 2. et 3. ἐξολοθρεύσαι. Sicque οἱ ό. et CORD. p. 220, ac 225. 5) Cod. 2. τῆς — δεσποτείας. 6) ᾧ. Cod. 1. 2. praem. ἐν. 7) ὁ Θεός. Cod. vterque praem. ἐστω. 8) Cod. *flor.* παρόψομαι. 9) αὐτούς. Cod. 1. τούς.

a) Exod. 5, 2. b) 4 Reg. 18, 29. 35. c) Dan. 3, 15.

iniquitatem, quæ contra ipsos patrata est, despiciam: sed patientiam veluti quendam somnum excutiens, perspicuam et illustrem eorum salutem faciam. Nam hoc modo Symmachus interpretatus est, *Ponam salutare euidens.* Et docens verissima fore quæ dicta sunt, subiunxit: 7. *Eloquia Domini, eloquia casta, argentum igne exploratum, probatum terræ, purgatum septuplum.* *Septuplum* pro *sæpenumero* posuit: hoc enim diuinæ scripturæ sollemne est. 8. *Tu Domine seruabis nos, et custodies nos a generatione hac, et in æternum.* Nam a tua gratia custoditi, non solum præsentis generationis laqueos effugiemus, sed et æternæ salutis compotes erimus. 9. *In circuitu impii ambulant, secundum altitudinem tuam in pretio habuisti filios hominum.* Qui igitur impietati sunt assueti, diuina relicta via, huc et illuc aberrant, conantes circumire et veluti obsidere mansuetiores. Tu vero ex altitudine naturæ apparens, tua dignos cura eos putas, qui ab illis bello petuntur, nunc quidem in afflictionibus recreans, paulo post vero perfectam salutem largiens.

διὰ τὴν εἰς αὐτὲς τολμωμένην παρανομίαν. ἀλλὰ τὴν μακροθυμίαν καθάπερ τινα ὕπνον ἀποσεισάμενος, περιφανῆ καὶ λαμπρὰν 1) αὐτῶν τὴν σωτηρίαν ποιήσομαι. ὕτω γὰρ ὁ Σύμμαχος ἡρμήνευσε, τάξω σωτήριον 2) ἐμφανές. καὶ διδάσκων ὡς ἀληθῶς ἔσαι τὰ εἰρημένα, προστέθεικε· ζ. Τὰ λόγια Κυρίυ λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον, 3) δοκίμιον 4) ἐν τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως. 5) Τὸ ἑπταπλασίως ἀντὶ τῦ πολλαπλασίως τέθεικε. τῦτο γὰρ σύνηθες τῇ 6) θείᾳ γραφῇ. η΄. Σὺ Κύριε 7) φυλάξεις ἡμᾶς, καὶ 8) διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. 9) Ὑπὸ γὰρ τῆς σῆς 10) φρυρούμενοι χάριτος ὐ μόνον τῆς παρύσης γενεᾶς τὰς πάγας διαφευξόμεθα, ἀλλὰ καὶ τῆς αἰωνίυ σωτηρίας τευξόμεθα. θ΄. Κύκλῳ οἱ ἀσεβεῖς περιπατῦσι, 11) κατὰ τὸ ὕψος σῦ ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Οἱ μὲν οὖν δυσσεβείᾳ συζῶντες, τὴν 12) θείαν καταλιπόντες ὁδὸν, τῇδε κἀκεῖσε περιπλανῶνται, κυκλοῦν καὶ οἱονεὶ πολιορκεῖν τὺς ἐπιεικεστέρους πειρώμενοι. σὺ δὲ ἀπὸ τῦ τῆς φύσεως ὕψους φαινόμενος τῆς σῆς ἀξιοῖς κηδεμονίας τοὺς ὑπ᾽ ἐκείνων πολεμουμένους, νῦν μὲν ψυχαγωγῶν ἐν ταῖς θλίψεσι, μετὰ βραχὺ δὲ τελείαν 13) τὴν σωτηρίαν δωρούμενος. 14)

ΕΡΜΗΝ.

1) Cod. *flor.* αὐτοῖς. 2) Cod. 1. ἐκφανές. 3) δοκ. ἐν τῇ γῇ. Interpretes græcos latuit significatio vocis עֲלִיל *catinus.* Vid. MONTF. l. c. p. 490.

4) ἐν. Abest a Cod. 3. 5) Τὸ ἑπταπλ. Des. in Cod. 1. 6) θείᾳ. Abest a Cod. 1. et 2. 7) Cod. 2. φυλάξοις. Cod. 3. φυλάξαις. 8) Cod. 2. διατηρήσοις. Cod. 3. διατηρήσαις. 9) ὑπό. Cod. 2. ἀπό. 10) Cod. 2. φρουρούμενος. 11) κατὰ — ἀνθρώπων. Hæc a Textu hebr. Ps. 12, 9. nimis aliena sunt. Melior est *Symm.* interpretatio, ὅταν ὑψωθῶσιν οἱ εὐτελεῖς τῶν υἱῶν τῶν ἀνθρώπων. 12) θείαν. Cod. 3. εὐθείαν. 13) τήν. Abest a Cod. 2. 14) Huc pertinet Scholion addito *Theodoreti* nomine in BOSII edit. τῶν ό. ad h. l. allatum, quod tamen nec in Codd. nostris nec apud CORD. exstat.

ΕΡΜΗΝ. ΤΟΥ ιβ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Καὶ τοῦτον εἰς ἑαυτὸν 1) ἤνεγκε 2) τὸν ψαλμὸν ὁ μέγας Δαβὶδ, οὐ μὴν ὑπὸ τοῦ Σαοὺλ διωκόμενος, ἀλλ᾽ ὑπὸ τοῦ Ἀβεσσαλὼμ πολεμούμενος. τὰ μὲν γὰρ κατὰ τὸν Σαοὺλ πρὸ τῆς ἁμαρτίας ἦν, 3) καὶ διὰ τοῦτο μετὰ πολλῆς ἐλέγετο παῤῥησίας. τὰ δέ γε κατὰ τὸν Ἀβεσσαλὼμ μετὰ τὴν ἁμαρτίαν· 4) διὰ τοῦτο 5) κλαυθμὸς καὶ στεναγμὸς τοῖς λόγοις ἐγκέκραται. Ἕως πότε Κύριε ἐπιλήσῃ μου εἰς τέλος; 6) Τὴν ἀναβολὴν τῆς βοηθείας 7) ἐπιλησμονὴν προσηγόρευσε. παρακαλεῖ δὲ μὴ εἰς τέλος ἐπιλησθῆναι· τουτέστι μὴ παντελῶς τῆς θείας γυμνωθῆναι προνοίας. Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ; Ἐκ μεταφορᾶς τῶν 8) ὀργιζομένων, καὶ τοὺς προσκεκρουκότας ὁρᾷν οὐ βουλομένων, τέθεικε τουτὶ τὸ ῥητόν. διὸ μετ᾽ ὀλίγα λέγει, ἐπίβλεψον ἐπ᾽ ἐμὲ, καὶ ἐλέησόν με· 9) οὔτε πρόσωπον νοῶν τὸ πρόσωπον, οὔτε ἀποστροφὴν τὴν ἀποστροφήν· ἀλλ᾽ ἀπὸ τῶν ἀνθρώπων πάλιν σχηματίζει τὸν λόγον. β΄. Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; 10) Νύκτωρ καὶ μεθ᾽ ἡμέραν τρυχόμενος διατελῶ, καὶ τοὺς λογισμοὺς στρέφων τε καὶ ἀνελίττων, ποτὲ μὲν 11) ἀπολαύσεσθαι φιλανθρωπίας 12) ἐλπίζω, ποτὲ δὲ 13) ἀμφιβάλλω εἰ τεύξομαι. ἄλλοτε δὲ ἀπαγορεύω τὰς

INTERP. PS. XII.

1. *In finem, Psalmus Dauidi.* Hunc quoque psalmum de se ipso magnus Dauid protulit, non Saulem fugiens, verum ab Absalomo bello * petitus. Ea enim quæ ad Saulem attinent, ante peccatum acciderant, et hac de causa magna cum fiducia dicebantur. Ea vero, quæ ad Absalomum spectant, post peccatum exstitere, et propterea luctus et gemitus immistus est verbis. *Vsquequo Domine obliuisceris mei in finem?* Procrastinationem auxilii *obliuionem* appellauit: obsecrat autem ne obliuiscatur in finem, hoc est, ne omnino diuina prouidentia destituatur. *Vsquequo auertis faciem tuam a me?* Per Metaphoram ab iis qui excandescunt, eosque qui offenderunt videre nolunt, desumtam, hoc dixit. Ideo paulo post dicit: *Respice in me, et miserere mei.* Neque faciem vt faciem intelligit, neque auersionem vt auersionem; sed ab humanis rebus rursus orationem format. 2. *Quam diu ponam consilia in anima mea, dolorem in corde meo per diem et noctem?* Noctes diesque vexor, et cogitationes voluens ac reuoluens, aliquando quidem benignitatem adipisci spero, aliquando vero ambigo an compos futurus sim: interdum vero penitus abiicio

1) ἤνεγκε. Cod. 3. εἶπεν. 2) τὸν ψαλμόν. Des. in Cod. 1. et 2. 3) καὶ — παῤῥησίας. Des. apud CORD. p. 233. 4) διά. Cod 1. præm. καί. Cod. 3. διά τοι. 5) Cod. 2. et CORD. l. c. κλαυθμοὺς καὶ στεναγμούς. 6) τὴν κ. τ. λ. In Cod. *flor.* alia horum loco leguntur, parum diuersa ab illis quæ deinde ad v. 2. sequuntur. 7) Cod. 3. ἐπιλησμοσύνην ὠνόμασεν. 8) ὀργιζομένων. Cod. 2. ἀγωνιζομένων. 9) οὔτε — λόγον. Des. in Cod. 3. 10) Cod. 2. νυκτός. 11) Cod. 2. ἀπολαύσασθαι. Cod. 3. ἀπολαῦσαι. 12) Cod. 2. et 3. ἐλπίζων. 13) ἀμφιβάλλω — ἄλλοτε δέ. Des. in Cod. 2.

abiicio spem meliorem. 3. *Vsquequo exaltabitur inimicus meus super me?* Hæc et nobis qui qui a Diabolobello petimur, dicere conuenit, diuinamque opem semper implorare. Nam et diuinus Dauid hostes potentiores videns mœrebat. 4. *Respice, et exaudi me Domine Deus mi: illumina oculos meos, ne vnquam obdormiam in morte.* Nocte calamitatum circumdatus, veluti quodam somno mœrore detineor. Si vero tui auxilii lux effulserit, et calamitatum noctem dissipabit, et mœstitiæ somnum sedabit. Si autem opem differas, timeo ne in mortem somnus incidat, cum tristitia potentior cogitationibus facta fuerit. 5. *Ne quando dicat inimicus meus, prævalui aduersus eum. Qui tribulant me, exultabunt, si motus fuero.* Ne inimicis ridiculum me ostendas, hoc enim mihi omnium grauium grauissimum est. 6. *Ego autem in misericordia tua speraui.* Et hinc manifestum est, eum post peccatum hunc psalmum dixisse. Non enim iustitiæ, sed benignitati confidit, seque in ea spem omnem reposuisse dicit. *Exultabit * cor meum in salutari tuo.* Nunc quidem spem in misericordia habeo; salutis vero compos factus, et a mœrore discedam, et cum omni animi delectatione hymnos recitabo. Hoc enim subiunxit. *Cantabo Domino, qui bona retribuit mihi, et psallam nomini Do-*

χρηστοτέρας ἐλπίδας. γ'. Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; 1) Ταῦτα καὶ ἡμῖν ἁρμόττει λέγειν ὑπὸ τοῦ διαβόλου πολεμουμένοις, καὶ τὴν θείαν ἀεὶ συμμαχίαν καλεῖν. καὶ γὰρ ὁ 2) θειότατος Δαβὶδ ἠνιᾶτο τοὺς πολεμίους ἐπικρατεστέρους ὁρῶν. δ'. Ἐπίβλεψον, εἰσάκουσόν μου Κύριε ὁ Θεός μου, φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον. Τῇ νυκτὶ τῶν συμφορῶν περιεχόμενος, οἷόν τινι ὕπνῳ τῇ ἀθυμίᾳ κατέχομαι. εἰ δὲ φανείη τῆς σῆς ἐπικουρίας τὸ φῶς, καὶ τὴν νύκτα σκεδάσει τῶν συμφορῶν, καὶ τὸν ὕπνον παύσει τῆς ἀθυμίας. εἰ δὲ ἀναβάλλοις τὴν βοήθειαν, δέδια μὴ εἰς θάνατον ὁ ὕπνος μεταπέσῃ, ἰσχυροτέρας τῆς λύπης γενομένης τῶν 3) λογισμῶν. ε'. Μήποτε εἴπῃ ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν. οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ. Μή με τοῖς δυσμενέσιν ἀποφήνῃς ἐπίχαρτον. πάντων γάρ μοι τῶν ἀνιαρῶν ἀνιαρώτατον τοῦτο. ς'. Ἐγὼ δὲ 4) ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Καὶ ἐντεῦθεν δῆλον, ὡς μετὰ τὴν ἁμαρτίαν τοῦτον εἴρηκε τὸν ψαλμόν. οὐ γὰρ δικαιοσύνῃ, ἀλλ' ἐλέῳ θαῤῥεῖ, καὶ τούτῳ πεποιθέναι φησίν. ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. νῦν μὲν τὰς ἐλπίδας εἰς τὸν ἔλεον ἔχω· τῆς δὲ σωτηρίας ἀπολαύσας, καὶ τῆς ἀθυμίας ἀπαλλαγήσομαι, καὶ μετὰ θυμηδίας ἁπάσης τὴν ὑμνῳδίαν ποιήσομαι. τοῦτο γὰρ ἐπήγαγεν· ᾄσω τῷ Κυρίῳ, τῷ εὐεργετήσαντί με, 5) καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου

1) Ταῦτα — ὁρῶν. Hæc in Cod. *flor.* tribuuntur *Theodoro antioch.* 2) Cod. 2. θεῖος. 3) λογισμῶν. Cod. 2. συμφορῶν. 4) ἐπί. Cod. 2. ἐν. 5) καὶ — ὑψίστου. Hæc non nisi in paucis libris veteribus subiuncta fuerunt, vt e Scholio videmus, quod in edit. rom. ad hunc locum τῶν ὁ. adiectum est. Idem Scholion in Cod. nostro 3. exstat, vbi tamen pro verbis vltimis οὔτε ἐν τῷ Ἑβραϊκῷ, legitur, οὔτε παρ' ὠριγένει.

ρίου τοῦ ὑψίστου. 1) εἰ γὰρ καὶ τὴν ἄῤῥητον οὐκ ἐπίσταμαι φύσιν, ἀλλ᾽ οὖν ἀπόχρη μοι τὸ ὄνομά σου εἰς τὸ προσκυνεῖν καὶ ὑμνεῖν, καὶ πᾶσαν δικαίαν ἐπικουρίαν αἰτεῖν· πιστεύω γὰρ ὡς τεύξομαι καὶ τοῦτο μόνον καλῶν.

mini altissimi. Etsi enim inexplicabilem tuam ignoro naturam, tamen mihi nomen tuum sufficit ad colendum et decantandum, omneque iustum auxilium postulandum. Credo enim me consecuturum esse, etiamsi hoc solum inuocauero.

ΕΡΜΗΝ. ΤΟΥ ιγ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. 2) Καὶ οὗτος 3) ἡμᾶς ὁ ψαλμὸς εἰς τὸ τέλος παραπέμπει, ἐπειδὴ 4) περὶ μελλόντων προαγορεύει. ἡ δὲ ὑπόθεσίς 5) ἐστιν αὐτη. ἐπεστράτευσε Σενναχηρεὶμ τῶν Ἀσσυρίων ὁ βασιλεὺς τῇ Ἰουδαίᾳ ποτὲ, καὶ πολλὰς πόλεις εἷλε, τὰς μὲν ὁμολογίᾳ, τὰς δὲ πολιορκίᾳ. ἐλπίσας δὲ καὶ τῆς Ἱερουσαλὴμ περιέσεσθαι, ἀπέστειλε Ῥαψάκην πρὸς 6) Ἐζεκίαν τὸν τηνικαῦτα 7) κρατοῦντα τῶν Ἰουδαίων, βλασφήμοις κατὰ τοῦ Θεοῦ καὶ δυσσεβέσι 8) χρώμενον λόγοις. εἴρηκε γὰρ ἔλεγεν Ἐζεκίᾳ, μή σε ἀπατάτω ὁ Θεός σου, ἐφ᾽ ᾧ σὺ πέποιθας ἐπ᾽ αὐτῷ, ὅτι ῥύσεται τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου. ποῦ ὁ Θεὸς Ἐμὰθ καὶ Ἀρφάδ; καὶ ποῦ ὁ Θεὸς τῆς πόλεως Σεφαρείμ; μὴ ἠδυνήθησαν ῥύσασθαι ἐκ 9) χειρός μου, ὅτι ῥύσεται Κύριος τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου; ἀλλ᾽ ἐκεῖνος μὲν ταῦτα. ὁ δὲ Ἐζεκίας, καὶ τῆς μεγίστης αὐτοῦ στρατείας, καὶ τῆς τῶν λόγων μανίας καταφρονήσας, τῇ οἰκείᾳ χρώμενος εὐσεβείᾳ, τὴν θείαν ἐπεκαλέσατο συμμαχίαν, καὶ παραυτίκα ταύτης ἀπήλαυσεν. ὁ γὰρ δίκαιος κριτὴς κἀκείνου τὴν ἀσέβειαν βδελυξάμενος, καὶ τούτου τὴν

INTERP. PS. XIII.

1. *In finem, Psalmus Dauidi.* Etiam hic psalmus *in finem* nos transmittit, quoniam de futuris prædicit. Argumentum autem est hoc. Sennacherib Assyriorum rex aliquando Iudæam bello infestauit, multasque ciuitates cepit, has quidem pactione, has vero obsidione: sperans porro et Hierosolyma potiri, misit Rapsacen ad Ezechiam, qui tunc temporis Iudæis imperabat, execrationibus sermonibusque impiis contra Deum vtentem. Dicite enim, aiebat a) Ezechiæ, Ne te decipiat Deus tuus, cui tu ipse confidis, fore vt liberet Hierosolymam e manu mea. Vbi est Deus Emath et Arphad, et vbi est Deus ciuitatis Sepharim? num potuerunt liberare e manu mea, vt Dominus Hierosolymam e manu mea eripiat? Verum hæc quidem ille. Ezechias vero magnum eius exercitum et insanos sermones despiciens, propriaque vtens pietate, diuinam implorauit opem, et statim hanc consecutus est. Nam iustus iudex et illius impietatem execratus, et istius pietatem

1) εἰ γὰρ — καλῶν. Def. in Cod. 2. 2) καὶ — ἐπόρισεν. Hæc per compendium exhibet Codex 3. 3) ἡμᾶς. Abest a Cod. 1. 2. 4) περὶ μελλόντων. Cod. 1. 2. τὰ μέλλοντα. 5) ἐστιν. Cod. 2. ἦν. 6) Cod. 2. Ἰεζεκίαν. 7) κρατοῦντα τῶν Ἰουδαίων. Def. in Cod. 1. In Cod. 2. leg. τῶν Ἰουδαίων βασιλέα. 8) Cod. 2. χρώμενος. 9) Cod. 2. τῶν χειρῶν.

a) 4 Reg. 18, 29 sqq.

tem amplexus, per vnum Angelum centum octoginta quinque millia Assyriorum perdidit, alios vero in fugam conuertit, atque inopinatam salutem obsessis præbuit. *Dixit insipiens in corde suo, non est Deus.* Exordium psalmi sermonibus Sennacherib et Rapsacis valde congruit.
„ Illi enim, quasi Deus non esset
„ defensor Iudææ, deceptum
„ esse aiebant Ezechiam. Erant
„ autem eorum qui cum Senna-
„ cheribo militabant, studia cor-
„ rupta, nimirum vita ac mo-
„ res, vt ne vel vnum qui-
„ dem inter illos Deus repe-
„ riret, qui virtutem coleret.
„ Omnia enim in prauitatem
„ declinauerant. Quid vero?
„ Nonne ex ipso rerum euen-
„ tu cognoscent Dei poten-
„ tiam, qui absumunt plebem
„ eius sicut escam panis, et
„ deuorant? Sane cognoscent
„ omnes ex operibus eum qui
„ aduersus eos dimicat: et
„ inde veniet illis tremor, vnde
„ futurum non credebant. Qui
„ enim suspicati essent, se ab
„ angelo esse perdendos? Deo
„ enim curæ sunt Iudæi: et
„ qui deridebant consilium in-
„ opis ac modeste de se sen-
„ tientis Ezechiæ in Deo ma-
„ gis quam in armis spem suam
„ collocantis, intelligent, eum qui
„ vnius Dei præsidio se committit,
„ habere spem quæ non confundit.
„ Quis enim præter Deum et eos
„ qui in Zione manebant, sal-
„ uare posset et conuertere captiui-
„ tatem tribuum quæ iam erant in
„ seruitutem redactæ, vt esset
„ communis lætitia duodecim
„ tribubus, quarum radix et
„ princeps Patriarcha Iacob ap-

εὐσέβειαν ἀποδεξάμενος, δι' ἑνὸς ἀγγέλου ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσσυρίων ἀνεῖλε· τοὺς δὲ ἄλλους ἔτρεψεν εἰς φυγὴν, καὶ τοῖς πολιορκουμένοις τὴν παράδοξον σωτηρίαν ἐπόρισεν. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. Σφόδρα τοῖς τοῦ Σενναχηρεὶμ καὶ τοῦ Ῥαψάκου λόγοις συμβαίνει τοῦ ψαλμοῦ τὸ προοίμιον. 1)
» ἐκεῖνοι γὰρ ὡς μὴ ὄντος τοῦ Θεοῦ
» προϊσταμένου τῆς Ἰουδαίας, ἀπατᾶσθαι
» ἔλεγον τὸν Ἐζεκίαν. ἦν δὲ τοῖς ἀμφὶ
» τὸν Σεναχηρεὶμ καὶ τὰ ἐπιτηδεύματα
» διεφθαρμένα, ἤγουν ὁ βίος καὶ ἡ πο-
» λιτεία, ὡς μηδὲ τὸν Θεὸν εὑρεῖν ἐν αὐ-
» τοῖς ἕνα γ' οὖν τῆς ἀρετῆς ἐπιμελού-
» μενον. πάντα γὰρ εἰς φαυλότητα ἐξέ-
» κλιναν. τί δέ; οὐκ ἔργοις αὐτοῖς οὗτοι
» γνώσονται τὴν τοῦ Θεοῦ δύναμιν, οἱ τὸν
» λαὸν αὐτοῦ ἀντὶ ἄρτου δαπανῶντες
» καὶ κατεσθίοντες; ναὶ πάντες γνωρίσου-
» σιν ἀπὸ τῶν πραγμάτων τὸν πολε-
» μοῦντα αὐτοῖς· κἀκεῖθεν ὁ φόβος αὐ-
» τοῖς ἐλεύσεται, ὅθεν οὐ προσεδόκησαν.
» ποῦ γὰρ ἂν ᾠήθησαν ὅτι ὑπὸ ἀγγέ-
» λου ἀναιρεθήσονται; ὅτι ὁ Θεὸς κήδε-
» ται τῶν Ἰουδαίων· καὶ οἱ μυκτηρίσαν-
» τες τὴν βουλὴν τοῦ πτωχοῦ καὶ τα-
» πεινόφρονος Ἐζεκίου, Θεῷ μᾶλλον ἢ
» ὅπλοις θαῤῥήσαντος, νοήσουσιν, ὅτι
» ὁ ἑαυτὸν τοῦ Θεοῦ ἀναρτήσας τὴν μὴ
» καταισχύνουσαν ἐλπίδα ἐκτήσατο. τίς
» γὰρ ἄλλος ἢ ὁ Θεὸς καὶ τοὺς ἀπομεί-
» ναντας ἐν τῇ Σιὼν σώσει, καὶ τὰς ἤδη
» αἰχμαλωτισθείσας φυλὰς, ἐπανα-
» γάγῃ, ὥστε κοινὴν εὐφροσύνην γενέσθαι
» ταῖς δώδεκα φυλαῖς, ὧν ῥίζα καὶ ἀρ-
» χὴ ὁ πατριάρχης Ἰακὼβ ἐχρημάτι-
» σεν»

1) GARNER. Auct. p. 8. e Cod. vatic. suppleuit.

„σιν, ὁ καὶ Ἰσραὴλ μετονομασθείς. ὥστε „ἀπ' αὐτοῦ καὶ ταύτας Ἰακὼβ καὶ „Ἰσραὴλ ὀνομάζεσθαι. καὶ ταῦτα μὲν „ὅσον πρὸς ἱστορίαν, τὴν δὲ ἀναγωγὴν „ἰσχνοτέραν ἐξετάσωμεν.„ Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστι ποιῶν 1) χρηστότητα. ὑποβάθρα φησὶ καὶ ῥίζα τῆς ἀσεβείας ἡ τοῦ βίου διαφθορά. εἰς ἀκολασίαν γὰρ σφᾶς αὐτοὺς καὶ θηριώδη βίον ἐκδεδωκότες, τοῦ Θεοῦ τὴν μνήμην τῆς διανοίας ἐξέβαλον. ἠκολούθησαν δὲ τῇ τοῦ ἡγουμένου παραπληξίᾳ καὶ οἱ ὑπήκοοι. 2) „Οἱ μὲν πάντῃ τὸ θεῖον ἀρνησάμενοι, „καὶ μηδὲ τὴν ἀρχὴν εἶναι Θεὸν ἀποφηνάμενοι, ὑπόκενον δὲ εἶναι τοὔνομα, „καὶ κατὰ μηδεμιᾶς οὐσίας ὑποκείμενον „τεθειγμένον. οἱ δὲ τοὺς μὴ ὄντας ὡς ὄντας „Θεοὺς ἀναγορεύσαντες, καὶ τὸν μόνον „ὄντα παρωσάμενοι· οἱ δὲ εἶναι μὲν τῷ „λόγῳ ὑποστησάμενοι, μὴ μὴν δὲ προ„νοεῖν τῶν ἐπὶ γῆς, μηδὲ ἐφορᾶν τὰ „ἀνθρώπινα παραδεδεγμένοι. ἀθρόως „δὴ οὖν οἱ πάντες εἰς ἕνα λόγον ἀρνη„σιθεον περιετράπησαν, μὴ εἶναι Θεὸν „διανοηθέντες· ἐπεὶ δὲ μὴ ἐτόλμων διὰ „στόματος τοῦτο φάσκειν· ἐνῆγε γὰρ „τοὺς πάντας τὰ φυσικὰ σπέρματα „καὶ οἱ περὶ τοῦ Θεοῦ φυσικοὶ λογισμοὶ ἐπὶ „τὴν ὁμολογίαν τῆς τοῦ Θεοῦ γνώσεως·

„ pellatus est, qui et Israel est „ cognominatus, ita vt ab eo ipsae „ tribus Iacob et Israel nomen „ acceperint. Et ista quidem spe„ ctant historiam: intelligentiam „ vero subtiliorem inuestigemus.„ *Corrupti sunt, et abominabiles facti sunt in studiis suis, non est qui faciat bonum.* Fundamentum, inquit, et radix impietatis, vitae corruptela est. Cum enim se ipsos intemperantiae atque ferinae vitae addixissent, * Dei memoriam ex animo suo eiecerunt: subditi autem ducis insaniam secuti sunt. „ Nonnulli quidem „ Deum plane negant, nec vl„ lum eius esse imperium palam „ profitentur, sicque vanum hoc „ esse nomen, nec talem vn„ quam substantiam fuisse sta„ tuunt. Alii vero Deos vo„ carunt, qui non sunt, eum „ autem qui solus est, reiecerunt. „ Alii denique verbis quidem „ supposuerunt, Deum existere, „ eum autem terrae huius eorum„ que quae ad homines pertinent, „ curam non gerere, euincere vo„ luerunt. Hi omnes itaque in „ eundem Atheismi errorem pro„ lapsi sunt, Deum non esse pu„ tantes. Quia autem non ausi „ sunt, ore suo hoc profiteri, (o„ mnes enim illos naturae quidam „ instinctus et naturales ratiocina„ tiones vrgebant, vt cognitio„ nem de Deo confiterentur:) ideo

1) Post χρηστότητα omissa sunt verba Textus, οὐκ ἔστιν ἕως ἑνός. Haec vt in Textu hebr. ita quoque in edit. *compl.* desunt. 2) Haec in Cod. 3. *august.* ponuntur post ἐξέβαλον, omissis illis ἠκολούθησαν — ὑπήκοοι, quae tamen loco suo moueri non potuerunt. Totus iste locus eiusdem est argumenti cum EVSEBII ad h. l. Commentario apud CORD. p. 245. et MONTF. in Coll. noua PP. T. I. p. 46 sq. Vterque autem non nisi pauca exhibuit, quae, si EVSEBII sint, egregie ex hoc Codice nostro locupletantur. Nostro haec vindicare non dubitauimus, *tum* quia dicendi genus non repugnat, *tum* quia in Codice non adscriptum est Εὐσεβίου ὁμοίως Θεοδωρήτου, vt illis in locis fieri obseruauimus, vbi Noster aliquid cum isto commune habet.

„ ideo labiis quidem non ausi sunt Deum abnegare, sed se scire simularunt, non vnum sed innumeros esse Deos. Animo itaque suo hi, quos vere amentes et insipipidos dixeris, persuasum habebant, plane non esse Deum. Atheismi autem eos fuisse reos, patebat ex operibus eorum, (e fructu enim dignoscitur arbor,) tum ex actionibus, tum e toto viuendi genere. Totam enim animam deprauarunt, et ipso quoque corpore tradiderunt sese corruptioni, ita vt mares quoque erga mares insano amore exarserint, et nefando quouis facinore se polluerint, sicque abominabiles se reddiderint. Nonne itaque satis apertum est, eos, licet innumeros Deos verbis statuerint, seque Deum qui omnia moderatur, scire et confiteri, ore professi fuerint, tamen in corde h. e. in intellectu suo plane non habuisse veram de Deo notionem? Talis scilicet fuit hominum ante Saluatoris nostri aduentum conditio. *Stultus* autem verissime et iuxta rei naturam vocatur, qui Deum negat. Si enim sapientiæ initium est timor Dei, Deum non timere immo despicere oppositum sapientiæ sit, necesse est.„

2\. *Dominus de cælo prospexit super filios hominum, vt videat num sit intelligens aut requirens Deum.* 3. *Omnes declinauerunt, simul inutiles facti sunt, non est qui faciat bonum, non est vsque ad vnum.* Illos

„ διὸ χείλεσι μὲν οὐκ ἐτόλμων ἀρνεῖσθαι· ἀλλ' εἰδέναι προσεποιοῦντο οὐ μόνον ἕνα ἀλλὰ καὶ μυρίους Θεούς. τῇγε μὴν καρδίᾳ ἑαυτοὺς ἔπειθον ἀφραίνοντες ἀληθῶς καὶ μωραίνοντες, ὅτι μὴ ἔστιν ἐν τῷ παντὶ Θεός· ἔλεγχος δὲ ἦν τοῦ ἀθέου αὐτῶν λογισμοῦ τὰ ὑπ' αὐτῶν δρώμενα· ἀπὸ γὰρ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκεται· ὅτε τοίνυν ταῖς πράξεσιν αὐταῖς καὶ τῷ λοιπῷ βίῳ. πᾶσαν αὐτῶν τὴν ψυχὴν διέφθειραν αὐτῷ σώματι εἰς πᾶσαν ἐκδεδομένοι φθοράν, ὡς καὶ ἄῤῥενας ἄῤῥεσιν ἐπιμαίνεσθαι, καὶ πάσαις ἀθεμιτουργίαις καὶ ἀῤῥητοποιΐαις καταφθείρειν ἑαυτούς· βδελυκτούς τε εἶναι δι' αὐτά. πῶς οὐκ ἂν εἰσὶν πρόδηλοι, ὅτι κἂν μυρίους ἐπιγράφωνται θεοὺς τῷ λόγῳ· κἂν αὐτοὶ εἰδέναι καὶ ὁμολογεῖν τὸν ἐπὶ πάντων Θεὸν τοῖς χείλεσι φάσκοιεν· ἀλλ' ἐν τῇ καρδίᾳ ἑαυτῶν, τουτέστιν ἐν τῇ διανοίᾳ, οὐδὲ μία τις ἀληθὴς περὶ Θεοῦ ὑπῆρχεν ἔννοια; τοιοῦτος μὲν οὖν ἐτύγχανε πᾶς ὁ πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας 1) βίος. ἄφρων δὲ ἀληθέστατα καὶ φυσικώτατα ὁ ἀρνησίθεος ὠνόμασται. εἰ γὰρ σοφίας ἀρχὴ φόβος Θεοῦ, ἀφοβία καὶ ἀθέτησις τοὐναντίον ἂν γένοιτο τῆς σοφίας. 2)„

β. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν, ἢ ἐκζητῶν τὸν Θεόν. γ. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. 3) Ἐκείνων.

1) *βίος.* EVSEBIO quidem proprium est, vt totum hominum genus dicat *βίον*, (vid. MONTF. Prælim. ad T. I. Coll. nouæ PP. p. 38.) nec ab hoc loco alienus est iste significatus: nollem tamen ex hoc argumento concludere, hunc locum EVSEBIO esse vindicandum, cum hæc interpretatio vix cadat in verba ista *καὶ τῷ λοιπῷ βίῳ*, quæ in hoc ipso loco obuia sunt. 2) In Catena nostra sequuntur, quæ apud CORD. p. 245. proximo post hæc loco e DIDYMO allata sunt. Eorum tamen ne minima quidem pars exstat apud CORD. 3) Hoc loco, vt in Cod. *alex.* et edit. *ald.* ac *compl.* omissa sunt.

τῶν μέντοι τοιαῦτα καὶ δρώντων καὶ λεγόντων, οὐ περιεῖδεν ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν· ἀλλ᾽ ἐξέτασιν ἀκριβῆ καὶ αὐτῶν τῶν λογισμῶν ποιησάμενος, εἶδεν ἅπαντας κατὰ 1) ταὐτὸν τῇ δυσσεβείᾳ, καὶ τῇ τοῦ βίου παρανομίᾳ κατεχομένους. ἔοικε τοῦτο τοῖς πρὸς τὸν Ἀβραὰμ εἰρημένοις, κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με 2) συντελοῦνται. δ΄. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ 3) ἐσθίοντες τὸν λαόν μου 4) ἐν βρώσει ἄρτου; τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. ε΄. Ἐκεῖ ἐδειλίασαν φόβῳ, 5) οὗ οὐκ ἦν φόβος. Οὐκ ἠβουλήθητέ φησιν 6) οἱ κατεσθίοντες συνιδεῖν 7) τόδε δι᾽ 8) αὐτῆς 9) οὖν μαθήσεσθε τῶν πραγμάτων τῆς πείρας, ὡς οὐκ 10) ἔσται ὑμῖν εὐάλωτος ὁ ἐμὸς λαὸς, οὐδὲ καθάπερ ἄρτον τινὰ ἐσθιόμενον δαπανήσετε αὐτὸν, τῆς ἐμῆς προμηθείας καταφρονοῦντες. τοῦτο γὰρ λέγει· τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. 11) οὗ χάριν οἱ ἀδεῶς φθεγγόμενοι, καὶ μηδένα δειμαίνοντες, φόβῳ καὶ δειλίᾳ περιπεσεῖσθε, καὶ εἰς φυγὴν τραπήσεσθε, μηδενὸς τῶν ἀνθρώπων δεδιττομένου τε καὶ διώκοντος. τοῦτο γὰρ 12) δηλοῖ τὸ, ἐκεῖ ἐδειλίασαν

quidem hæc et facientes et dicentes non despexit qui in excelsis habitat, et humilia respicit: verum exactam quæstionem ipsarum etiam cogitationum instituens, omnes vidit eadem pariter impietate et iniquitate vitæ detentos. Simile est hoc verbis, quæ ad Abrahamum fuerunt dicta, a) Clamor Sodomorum et Gomorræ multiplicatus est coram me, et peccata eorum valde magna sunt: descendam et videbo, num secundum clamorem, qui venit ad me, consummantur. 4. *Nonne cognoscent omnes, qui operantur iniquitatem, qui deuorant plebem meam sicut escam panis? Dominum non inuocauerunt.* 5. *Ibi trepidauerunt timore, vbi non erat timor.* Quoniam noluistis, inquit, vos qui deuoratis, hoc cognoscere, ex ipso rerum euentu populum meum non facile capi a vobis posse discetis: neque quemadmodum panem qui comeditur, ipsum deuorabitis, prouidentiam meam contemnentes. Hoc enim est quod dicit, *Deum non inuocauerunt.* Propterea vos, qui audacter loquimini, et neminem timetis, timori et terrori succumbetis, et in fugam conuertemini, nemine vos exterrente ac persequente. Nam hoc illud demonstrat,

quæ in Cod. *vatic.* sequuntur, Τάφος — ὀφθαλμῶν αὐτῶν, quibus inserendis occasionem dedit locus in Epist. ad Rom. c. 3, 13-18. In Hexaplo autem hæc non fuisse testatur Scholion quod in edit. *rom.* ad h. l. legitur. Conf. HIERON. in Præf. ad l. 16. Comment. in Esaiam. 1) Cod. 1. ταυτό. 2) συντελοῦνται. Cod. 1. addit, quæ l. c. v. 21. sequuntur, εἰ δὲ μὴ, ἵνα γνῶ. 3) Cod. 1. 2. κατεσθίοντες. 4) ἐν. Abest a Cod. 3. 5) οὗ — φόβος. Abest quidem a Textu hebr. Ps. 14, 5. recte autem a LXX. Interpretibus suppletum est e loco parallelo Ps. 53, 6. 6) οἱ κατεσθίοντες. Cod. 3. οἴκοθεν, pro οἰκόθεν. 7) τόδε. Codd. tres *august.* et vnus *flor.* τὸ δέον. 8) Cod. 3. αὐτῶν. 9) οὖν. Abest ab omnibus Codd. nostris. 10) Cod. 3. ἐστι. 11) οὗ. Cod. 1. 2. addunt δή. 12) Cod. 3. παραδηλοῖ.

a) Gen. 18, 20. 21.

Ibi trepidauerunt timore, vbi non erat timor. Illud autem, *Nonne cognoscent omnes, qui operantur iniquitatem*, pronunciatione adiuuandum est. Hoc vero, *Dominus de cælo prospexit super filios hominum, vt videat num sit intelligens, aut requirens Deum*, humano more finxit, ostendens, e cælo Assyriis pœnam immissam fuisse. Patet enim, vbique vniuersitatis Deum adesse, et terræ ambitum continere, a) atque in illa habitantes, veluti locustas, secundum prophetæ vocem. 6. *Quoniam Dominus in generatione iustorum est: consilium inopis confudistis, quoniam Dominus spes eius est.* * Hæc autem facit vniuersorum Deus ob Ezechiæ virtutem, et generationem pie ab ipso custoditam, quo vt vili homine despecto, vos impii irrisistis spem firmam, quam in me collocauit. Hanc enim *consilium* vocauit, id est, propositum. Ille quidem veluti sacram ancoram spem in me positam apprehendit, atque salutis compos factus fuit vt sperauit. Hoc enim subiunxit: 7. *Quis dabit ex Sion salutare Israel?* Hic locus duplicem prophetiam habet. Non solum enim salutem quæ tunc obtigit obsessis, prædicit, verum etiam illum qui multis post temporibus illinc exortus est, salutarem Saluatoris nostri aduentum vaticinatur. *Cum auerterit Dominus captiuitatem plebis suæ, exultabit Iacob, et lætabitur Israel.* Quoniam enim decem

φόβῳ, οὗ οὐκ ἦν φόβος. 1) τὸ δὲ, οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, 2) καθ᾽ ὑπόκρισιν ἀναγνωστέον. τὸ δὲ, ὁ Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν 3) ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν 4) ἢ ἐκζητῶν τὸν Θεὸν, ἀνθρωπίνως ἐσχημάτισε· δεικνὺς ὡς οὐρανόθεν Ἀσσυρίοις τὴν τιμωρίαν κατέπεμψε. 5) δῆλον γὰρ ὡς πανταχοῦ πάρεστιν ὁ τῶν ὅλων Θεὸς, καὶ κατέχει τὸν γῦρον τῆς γῆς, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας, κατὰ τὴν τοῦ προφήτου φωνήν. ϛ΄. Ὅτι 6) ὁ Θεὸς ἐν γενεᾷ δικαίων. βουλὴν πτωχοῦ κατῃσχύνατε· 7) ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστι. Ταῦτα δὲ ποιεῖ τῶν ὅλων ὁ Κύριος διὰ τὴν τοῦ Ἐζεκίου ἀρετὴν, καὶ τὴν εὐσεβῶς ὑπ᾽ ἐκείνου ποιμαινομένην γενεάν· οὗ ὡς εὐτελοῦς ὑμεῖς οἱ δυσσεβεῖς καταφρονήσαντες, ἐκωμῳδήσατε τὴν εἰς ἐμοῦ βεβαίαν πεποίθησιν. ταύτην γὰρ ἐκάλεσε βουλὴν, 8) ἀντὶ τοῦ σκοποῦ. ἐκεῖνος μέν τοι καθάπερ ἄγκυραν ἱερὰν τὴν ἐμὴν κατέσχεν ἐλπίδα, καὶ 9) μὴν δὴ καὶ τετύχηκε τῆς σωτηρίας ὡς ἤλπισε· τοῦτο γὰρ καὶ ἐπήγαγεν. ζ΄. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; Τοῦτο δὲ διπλῆν ἔχει τὴν προφητείαν. οὐ γὰρ μόνον τὴν τηνικάδε γενομένην τοῖς πολιορκηθεῖσι προαγορεύει σωτηρίαν, ἀλλὰ καὶ τὴν πολλοῖς ὕστερον χρόνοις τοῦ σωτῆρος ἡμῶν γενομένην ἐκεῖθεν σωτήριον ἐπιφάνειαν. ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ. ἐπειδὴ 10) γὰρ αἱ δέκα φυλαὶ ἤδη

1) τὸ δὲ κ. τ. λ. Hæc ad v. 2. pertinent. 2) CORD. p. 244. κατ᾽ ἐρώτησιν. 3) ἐπὶ — ἀνθρώπων. Def. in Cod. 1. 4) ἢ — Θεόν. Def. in Codd. nostris. 5) δῆλον — φωνήν. Def. in Cod. 3. 6) ὁ Θεός. Cod. 1. 2. Κύριος. 7) ὁ δέ. Rec. lectio est ὅτι. 8) ἀντὶ τοῦ σκοποῦ. Cod. 3. τουτέστι σκοπόν. Cod. 1. et 2. ἀντὶ τοῦ σκοπόν. 9) Cod. 3. μέν. 10) γάρ. Cod. 3. δέ.

a) Es. 40, 22.

1) ἤδη ἦσαν ἐξηνδραποδισμέναι, καὶ μέντοι καὶ τῆς Ἰουδαίας πόλεις συχναὶ, ἐπεύχεται κἀκείνους τῆς αὐτῆς τε σωτηρίας τυχεῖν, καὶ τὴν ἐλευθερίαν ἀπολαβεῖν. τηνικαῦτα 2) ἔσαι, φησὶ, μείζων ἡ εὐφροσύνη τῷ διπλῆν ἔχοντι τὴν 3) προσηγορίαν λαῷ. οὐ μόνον γὰρ Ἰακώβ, ἀλλὰ καὶ Ἰσραὴλ ὠνομάζοντο, 4) καὶ τῆς ὑπὸ τοῦ Θεοῦ τῷ προπάτορι 5) τεθείσης ὀνομασίας κληρονομήσαντες.

tributis iam erant in seruitutem redactæ, atque etiam multæ Iudæorum ciuitates; obsecrat, vt etiam illi eandem salutem consequantur, et libertatem recipiant. Tunc, inquit, maior erit lætitia populo, qui geminam appellationem habet. Non tantum enim Iacob, verum etiam Israel nominabantur, nominationis, quæ a Deo generis eorum principi et auctori imposita fuit, hæredes facti.

ΕΡΜΗΝ. ΤΟΥ ιδ΄. ΨΑΛΜΟΥ.

α΄. Ψαλμὸς τῷ Δαβίδ. Ἐπειδὴ καὶ τοῖς τὴν Ἱερουσαλὴμ οἰκοῦσι προεθέσπισε τὴν σωτηρίαν ὁ πρὸ τούτου ψαλμὸς, καὶ τοῖς δορυαλώτοις ἤδη γεγενημένοις προηγόρευσε τὴν 6) ἀνάκλησιν, εἰκότως ἐν τῷδε τῷ ψαλμῷ παραίνεσιν εἰσφέρει, καὶ ὑποτίθεται βίον καθ' ὃν προσῆκον ἦν πολιτεύεσθαι τοὺς ὑπὸ 7) Θεῷ τεταγμένους, καὶ τοσαύτης ῥοπῆς 8) ἀπολαύοντας, καὶ σχηματίζει τὸν λόγον εἰς ἐρώτησιν καὶ 9) ἀπόκρισιν. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; καὶ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; τίς ἄξιος, ὦ Δέσποτα, τῷ σῷ 10) νεῷ προσεδρεύειν, καὶ ἐν τῇ πόλει

INTERP. PS. XIV.

1. Psalmus Dauidi. Quoniam proxime præcedens psalmus et salutem habitatoribus Hierosolymæ vaticinatus est, et iam captiuis libertatem prædixit; merito in hoc psalmo admonitionem affert, et proponit vitam, secundum quam illos viuere decebat, qui sub Dei erant potestate, talisque auxilii compotes facti: et format orationem per dialogum. *Domine quis habitabit in tabernaculo tuo, aut quis requiescet in monte sancto tuo?* Quis dignus est, o Domine, tuo templo assidere, atque in tua ciuitate

1) ἤδη. Abest a Cod. 3. 2) ἔσαι. Cod. 3. præm. γάρ. 3) προσηγορίαν. Cod. 2. σωτηρίαν. CORD. p. 243. ὀνομασίαν. 4) καί. Abest a Cod. 1. 2. 5) τεθείσης. Cod. 2. δοθείσης. 6) GARN. Auct. p. 9. ἐπανάκλησιν. 7) Cod. 2. τοῦ Θεοῦ. 8) GARN. l. c. ἀπολαύσαντας. 9) Post ἀπόκρισιν hæc sequuntur apud GARN. l. c. "Ἀθανάσιος δὲ καὶ Βασίλειος, οἱ μεγάλοι πατέρες, φασὶν, ὅτι τοῦτον ᾄδει τὸν ψαλμὸν ὁ Δαβὶδ, διδάσκων τί ἂν ἄνθρωπον παρασκευάσοι τῆς μακαρίας ἐκείνης τυχεῖν λήξεως.. διὸ τὸν τέλειον ἡμῖν ὁ λόγος ὑπογράψαι βουλόμενος, τὸν τῶν μακαρισμῶν ἐπιτυγχάνειν μέλλοντα, τάξει τινὶ καὶ ὁδῷ τῶν περὶ αὐτὸν θεωρουμένων χρησάμενος, ἀπὸ τῶν προχείρων καὶ πρώτων τὴν ἀρχὴν πεποίηται. " Athanasius vero et Basilius magni Patres, aiunt a Dauide cantatum esse hunc psalmum, cum docere vellet, quid hominem disponat, vt beatæ istius sortis compos fiat. Quam ob rem virum perfectum nobis describere volens, qui felicem vitam adepturus sit, ordine quodam et via meditationum suarum vsus, ab iis quæ præcipua videbantur et prima, exordium facit." Vid. CORD. p. 257. 10) Cod. 2. ναῷ.

ciuitate vitam degere? qualem hunc esse conuenit, et quibus studiis vti par est? Nam *tabernaculum* Dei templum appellat, *montem* vero *sanctum* Hierosolymam. Cum sic interrogasset, responsionem subiicit: 2. *Qui ingreditur sine macula, et operatur iustitiam.* Oportet, * inquit, talem esse expertem malitiæ, et ab omni reprehensione liberum, omnemque virtutem studiose consectari. *Iustitiam* enim hic perfectam virtutem nominat, cuius species sedulo enumerat. 3. *Qui loquitur veritatem in corde suo, qui non fecit dolum in lingua sua, nec fecit proximo suo malum.* Nam non tantum linguam a mendacio puram habere illum oportet, verum etiam mentem: a dolo autem et fraude penitus alienum esse, vt ipse nullum damnum proximo inferat. Admodum congruenter vero cordis primum mentionem fecit, deinde linguæ, et tandem actionis: opus enim præcedit sermo, sermonem autem mens. *Et opprobrium non accepit aduersus proximos suos.* Si vero aliqui in calamitatem quandam inciderint, irridere et insultare non decet: verum potius mæstitiæ participem esse, secundum apostoli legem, a) quæ iubet lugere cum lugentibus. 4. *Ad nihilum redactus est in conspectu eius malignus.* Si quis vero iniquam elegerit vitam, hunc miserrimum censeas, licet secundis ventis feratur, summam habens prosperitatem. Quoniam enim opprobria reie-

βιοτεύειν τῇ σῇ; ὁποῖον εἶναι τοῦτ
προσήκει; ποίοις ἐπιτηδεύμασι κεχρ
μένον; σκήνωμα γὰρ τὸν τοῦ Θεοῦ προσ
αγορεύει ναόν· ὄρος δὲ ἅγιον, τὴν Ἱερο
σαλήμ. οὕτω πυθόμενος δέχεται τ
ἀπόκρισιν· β΄. Πορευόμενος ἄμω
μος, καὶ ἐργαζόμενος δικαιοσύνη
Δεῖ, φησὶ, τὸν τοιοῦτον ἀπηλλάχθ
κακίας, καὶ μώμου παντὸς ἐλεύθερ
εἶναι, πᾶσαν δὲ ἀρετὴν ἐπιμελῶς μετ
ναι. τὴν γὰρ δικαιοσύνην ἐνταῦθα τ
τελείαν ἀρετὴν ὀνομάζει. ἀμέλει τα
της τὰ εἴδη διέξεισι. γ΄. Λαλῶν
λήθειαν ἐν καρδίᾳ αὐτοῦ. ὃς οὐκ ἐδόλ
σεν ἐν γλώσσῃ αὐτοῦ, 1) καὶ οὐκ ἐποίη
τῷ πλησίον αὐτοῦ κακόν. Χρὴ γε
αὐτὸν ψεύδους μὲν ἐλευθέραν ἔχειν μ
μόνον τὴν γλῶτταν, ἀλλὰ καὶ αὐτὴν τ
διάνοιαν· δόλου δὲ καὶ διπλόης παντελῶ
ἀπηλλάχθαι· ὥστε μηδεμίαν παρ' αὐτ
βλάβην εἰς τὸν πέλας χωρεῖν. μάλα
ἀκολούθως καρδίας ἐμνημόνευσε πρ
τον, εἶτα γλώττης, καὶ τότε τῆς πρ
ξεως. ἔργου γὰρ ἡγεῖται λόγος, λόγ
δὲ ὁ νοῦς. Καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπ
2) τοῖς ἔγγιστα αὐτοῦ. Εἰ δὲ καί τινι συμ
φορᾷ τινες περιπέσοιεν, ἐπικερτομεῖν
δεῖ, καὶ ἐπεμβαίνειν, ἀλλὰ μᾶλλον κο
νωνεῖν τῆς ἀθυμίας κατὰ τὸν ἀποστολ
κὸν νόμον τὸν παρεγγυῶντα κλαίειν
μετὰ κλαιόντων. δ΄. Ἐξουδένωται
ἐνώπιον αὐτοῦ 3) πᾶς πονηρευόμε
νος. 4) Εἰ δέ τις τὸν παράνομον ἕλοι
το βίον, τοῦτον ἡγείσθω τρισάθλιον, κἂν
ἐξ οὐρίων φέρηται τὴν ἄκραν ἔχων εὐη
μερίαν· ἐπειδὴ γὰρ τὸ ὀνειδίζειν ἐξέβα
λεν

1) καὶ—κακόν. Des. in Cod. 3. 2) τοῖς. Cod. 3. τούς. 3) πᾶς. Abest a Cod. 1 et 2. 4) Εἰ δέ τις κ. τ. λ. Alia horum loco exstant in Cod. 3. adscripto Nostri et EVSEBII nomine. Inc. Ἐνταῦθα ἐπὶ ἑνὶ πράγματι κ. λ. Eadem sunt cum illis quæ exstant in EVSEBII Comment. ad h. l. in MONTF. Collect. noua Patrum T. I. p. 51. Desunt autem apud CORD.

a) Rom. 12, 15.

λει, 1) εἰκότως τοῦτο προστέθεικεν, ἀγαθῶν ἀνδρῶν καὶ κακῶν διδάσκων διαφοράν. Τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει. 2) Ἅπαντας δὲ τοὺς περὶ πολλοῦ τὰ θεῖα ποιουμένους σέβειν ὅσιον, καὶ πάσης ἀξιοῦν αἰδοῦς καὶ τιμῆς. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν. ε΄. Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ᾽ ἀθώοις οὐκ ἔλαβε. Τοὺς μὲν ὅρκους ἡ ἀλήθεια βεβαιούτω, καὶ τὴν εὐπορίαν ἡ πλεονεξία μὴ 3) μολυνέτω. εἶδος δὲ ταύτης ὁ τόκος· αἰδοιρότατος δὲ ἔσω δικάζων, καὶ καθαρὰν δώρων ἐκφερέτω τὴν ψῆφον. ἡ γὰρ δωροδοκία διαφθείρει τὸ δίκαιον. Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα. Ταύτης δὲ ἆθλον τῆς ἀρετῆς τὸ τῆς θείας ἐπικουρίας διηνεκῶς ἀπολαύειν, 4) καὶ ἐν πολλοῖς ἀγαθοῖς διαμένειν, καὶ τὴν αἰώνιον προσμένειν ζωήν. ταῦτα οὐχ ἧττον ἡμῖν ἢ τοῖς πάλαι ἁρμόττει· ἐπειδὴ πρὸς τῇ παλαιᾷ, καὶ τὴν καινὴν νομοθεσίαν δεδέγμεθα, καὶ μείζονος χάριτος τετυχήκαμεν.

ΕΡΜΗΝ. ΤΟΥ ιε΄ ΨΑΛΜΟΥ.

α΄. Στηλογραφία, τῷ Δαβίδ. Ἐνταῦθα προαγορεύει τοῦ Δεσπότου τὸ πάθος καὶ τὴν ἀνάστασιν, καὶ τῶν εἰς αὐτὸν πεπιστευκότων τὴν σωτηρίαν. δηλοῖ δὲ ἡ ἐπιγραφὴ πρὸς τῷ θανάτῳ καὶ τὴν νίκην. στήλη γὰρ οὐ τάφοις ἐπιτίθεται μόνοις, ἀλλὰ καὶ νικῶσιν ἀνίσταται, καὶ γράμματα δέχεται τὴν νίκην τοὺς ἀγνοοῦντας διδάσκοντα. τοῦτο τοιγαροῦν 5) σημαίνει ἡ τῆς στηλογραφίας ἐπιγραφή. Φύλαξόν με Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. β΄. Εἶπα τῷ

cit, merito hoc appoſuit, bonorum virorum et malorum diſcrimen docens. *Timentes autem Dominum glorificat.* Pium autem eſt eos obſeruare, atque omni veneratione et honore dignos putare, qui res diuinas plurimi faciunt. *Qui iurat proximo, et non decipit.* 5. *Qui pecuniam ſuam non dedit ad vſuram, et munera contra innocentes non accepit.* Iusiurandum quidem veritas confirmet, et opes auaritia non inquinet: fœnus autem huius eſt ſpecies. Qui autem iudicat, munera non accipiat, et puram a muneribus ſententiam proferat. Nam munerum acceptio iuſtitiam corrumpit. *Qui facit hæc, non mouebitur in æternum.* Huius autem virtutis præmium eſt, diuina ope continue perfrui, et in multis bonis degere, et æternam vitam exſpectare. Hæc non minus nobis, quam antiquis congruunt. Quoniam præter antiquam legem etiam nouam accepimus, et maiori gratia potiti ſumus.

* INTERP. PS. XV.

1. Tituli inſcriptio, *Pſalmus Dauidi.* Hic Domini mortem et reſurrectionem prædicit, eorumque qui in illum crediderunt ſalutem. Columnæ autem inſcriptio præter mortem victoriam etiam demonſtrat. Columna enim non ſepulcris ſolis imponitur, verum vincentibus etiam erigitur, literasque inſculptas recipit, quæ neſcientes victoriam docent. Hoc itaque inſcriptio στηλογραφία ſignificat. *Conſerua me Domine, quoniam ſperaui in te.* 2. *Dixi Domino,*

1) εἰκότως. Abeſt a Cod. 2. 2) Ἅπαντας κ. τ. λ. Hæc THEODORO tribuuntur apud CORD. p. 260. 3) μολυνέτω. Cod. 2. κωλυέτω. 4) καὶ — διαμένειν. Deſ. in Cod. 3. 5) σημαίνει. Cod. 1. et 2. addunt μᾶλλον.

Domino, *Dominus meus es tu*. Ex persona Saluatoris dictus est hic psalmus, sed secundum humanam eius naturam: sicut alia multa et in sacris euangeliis inuenimus. Et tale est illud: *a*) Pater, si fieri potest, transeat a me calix iste: verumtamen non vt ego volo, sed vt tu. Et, *b*) Vado ad patrem meum et patrem vestrum, Deum meum et Deum vestrum. Eodem modo ipsum reperimus continenter deprecantem, et genua flectentem. Humanæ autem naturæ hæc esse, nec ad diuinitatem, quæ nulla re indiget, spectare, apostolus aperte docet. Dicit autem sic in epistola ad Hebræos: *c*) Qui in diebus carnis suæ preces supplicationesque ad eum, qui posset illum saluum facere a morte, cum clamore valido et lacrymis offerens, exauditus est pro sua reuerentia. Et quidem cum esset filius Dei, didicit ex iis quæ passus est obedientiam, et consummatus factus est omnibus obtemperantibus illi causa salutis æternæ. Consummatus est autem, non Deus verbum qui ante sæcula perfectus erat, verum forma serui, impatibilis, incorrupta, et immortalis effecta. Hæc igitur ait effecisse Dominum in diebus carnis, cum mortale habuit corpus. Humana itaque sunt hæc omnia, nec Deo conuenientia. Sic ergo et in hoc psalmo vt conseruetur postulat, et a se ipso conseruatur. Postulat enim vt homo, petitionem vero concedit vt Deus, concurrente videlicet bona patris voluntate et opera.

Κυρίῳ, Κύριός μου εἶ σύ. 1) Ἐκ προσώπου τοῦ σωτῆρος εἴρηται ὁ ψαλμός· εἴρηται δὲ κατὰ τὸ 2) ἀνθρώπειον· ὥσπερ 3) αὖ τοιαῦτα πολλὰ καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις εὑρίσκομεν· τοιοῦτόν ἐστι καὶ τὸ, πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· καὶ, 4) πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. οὕτως εὑρίσκομεν αὐτὸν εὐχόμενον συνεχῶς, καὶ τὰ γόνατα κάμπτοντα. 5) ὅτι δὲ τῆς ἀνθρωπίνης φύσεως ταῦτα, καὶ οὐ τῆς ἀνενδεοῦς θεότητος, ὁ ἀπόστολος διδάσκει σαφῶς· λέγει δὲ οὕτως ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ 6) ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενεγκὼν, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας· καίπερ υἱὸς ὢν, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, καὶ τελειωθεὶς ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου. ἐτελειώθη δὲ οὐχ ὁ πρὸ τῶν αἰώνων τέλειος Θεὸς λόγος, ἀλλ' ἡ τοῦ δούλου μορφὴ, ἀπαθὴς, καὶ ἄφθαρτος, καὶ ἀθάνατος γενομένη. ταῦτα τοίνυν ἔφη δεδρακέναι τὸν Κύριον ἐν ταῖς ἡμέραις τῆς σαρκὸς, ἡνίκα θνητὸν εἶχε τὸ σῶμα. τοιγαροῦν ἀνθρώπινα ταῦτα 7) ἅπαντα, καὶ οὐ θεοπρεπῆ. οὕτω τοίνυν καὶ ἐν τῷδε τῷ ψαλμῷ αἰτεῖ φυλαχθῆναι, καὶ ὑφ' ἑαυτοῦ φυλάττεται. αἰτεῖ μὲν γὰρ ὡς ἄνθρωπος· δίδωσι δὲ τὴν αἴτησιν ὡς Θεός· εὐδοκοῦντος δηλονότι, καὶ 8) συνεργοῦντος τοῦ οἰκείου πατρός.

1) ἐκ προσώπου κ. λ. Ab his verbis incipit Comment. ad v. 1. in Cod. 3. adscripto Nostri æque ac *Eusebii* et *Asterii* nomine, etsi totus iste locus ad Nostrum pertineat. 2) Cod. 2. ἀνθρώπινον. 3) αὖ. Abest a Cod. 2. 4) πορεύομαι. Rec. lectio l. c. est ἀναβαίνω. 5) ὅτι δὲ — θεοπρεπῆ. Def. in Cod. 3. 6) Cod. 2. ἱκεσίας. 7) ἅπαντα. Abest a Cod. 1. 8) συνεργοῦντος. Cod. 2. τοῦντος.

a) Matth. 26, 39. *b*) Ioh. 20, 17. *c*) Hebr. 5, 7-9.

τρός. 1) τὸ δέ γε, Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ, ἔοικε τῷ, πορεύομαι πρὸς τὸν Θεόν μου, καὶ Θεὸν ὑμῶν. Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. ἀνενδεὴς γὰρ 2) ὑπάρχεις, καὶ τῆς ἀνθρωπίνης δικαιοσύνης οὐ χρῄζεις· ἀλλ᾽ ὅτι ἂν τις ἀγαθὸν δράσοι, αὐτὸς ὀνίναται· σοὶ δὲ κέρδος 3) ἐντεῦθεν οὐδέν. τοῦτο δὲ ὁ Σύμμαχος ἑτέρως ἡρμήνευσεν, ἀγαθόν μοι οὐκ ἔστιν ἄνευ σου. πᾶσά φησι τῶν ἀγαθῶν ἡ φορὰ διὰ τῆς σῆς ὑπάρχει μοι χάριτος. ἀμφότερα δὲ 4) ταῦτα τῆς εὐσεβείας ἔχεται. καὶ ἡμεῖς γὰρ παρὰ τοῦ 5) Θεοῦ τῶν ἀγαθῶν ἀπολαύομεν, καὶ αὐτὸς τῆς ἡμετέρας δικαιοπραγίας οὐ χρῄζει. χάριν μέν τοι τῆς ἡμετέρας ὠφελείας ταύτην νομοθετεῖ. γ′. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ 6) αὐτοῦ ἐθαυμάστωσεν 7) ὁ Κύριος, 8) ὅτι πάντα τὰ θελήματα 9) αὐτοῦ ἐν αὐτοῖς. Τοὺς ἀποστόλους ἐνταῦθα αἰνίττεται, καὶ τοὺς δι᾽ ἐκείνων πεπιστευκότας· οἷς λέγει διαφανῆ γεγενῆσθαι τοῦ Θεοῦ τὰ θαύματα· 10) ἐπειδὴ πάντα μου φησὶ πεπληρώκασι τὰ προστάγματα. 11) δ′. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν.

Illud autem, *Dixi Domino, Dominus meus es tu*, illi dicto, a) Vado ad Deum meum, et Deum vestrum, congruit. *Quoniam bonis meis non indiges.* Nam omnibus bonis cum affluas, humana * iustitia * non indiges. Verum quicquid bonum aliquis fecerit, ipse iuuatur, tibi vero nullum hinc emolumentum prouenit. Hoc autem Symmachus aliter interpretatus est, *Bonum mihi non est sine te.* Omnis, inquit, bonorum abundantia ob tuam gratiam mihi inest. Vtraque autem expositio pium habet sensum. Nam et nos a Deo bona recipimus, et ipse nostris iustis operibus non eget: propter nostram vero vtilitatem hanc legem, vt bene faciamus, constituit. 3. *Sanctis qui sunt in terra eius, mirificauit Dominus omnes voluntates suas in eis.* Apostolos hîc innuit, illosque qui per eos crediderunt: quibus dicit perspicua Dei mirabilia facta esse, quoniam omnia, inquit, mea præcepta impleuerunt. 4. *Multiplicatæ sunt infirmitates eorum, postea accelerauerunt.*

 Multi,

1) τὸ δέ γε. Abest a Cod. 1. 2) Cod. 1. 2. ὑπάρχων, omisso καί. 3) ἐντεῦθεν. Abest a Cod. 1. 4) ταῦτα. Abest a Codd. nostris. 5) Θεοῦ. Cod. 1. addit τῶν ὅλων. 6) Post αὐτοῦ quidam libri veteres ponunt colon vel comma, quam interpunctionem secutus est *Carafa.* 7) ὁ Κύριος. Abest h. l. a Cod. *alex.* et *vatic.* legitur autem in edit. *ald.* et *compl.* Hac lectione vsus est HOUBIGANT ad probandam sententiam suam, literam vltimam vocis ואדירי Ps. 16, 3. per compendium scribendi positam esse pro יהוה. 8) ὅτι. Abest a Cod. 2. nec legitur apud quenquam Interpretum græc. in MONTF. Hexapl. T. I. p. 493. *Carafa* quoque hanc vocem neglexit in versione sua. 9) αὐτοῦ. Ita leg. in vers. τῶν ό. quibus tamen MONTF. l. c. tribuit lectionem μου, quam etiam *Theodotionis* esse affirmat. Præstat quidem lectio μου, sed altera ista pro adstruenda sua hypothesi iterum vsus est HOUBIGANT, vt probaret, pro חֶפְצִי legendum esse חֶפְצִין. 10) ἐπειδὴ — προστάγματα. Des. in Cod. 1. 11) CORD. p. 273. hæc pauca ad hunc vers. sub Nostri nomine adfert: Γῆν δὲ καὶ τὴν ἐκκλησίαν νοήσεις. Ita quoque ATHANASIVS ad h. l. vocem *terra* explicat.

a) Ioh. 20, 17.

Multi, ait, impetus populorum, et præsidum, regum, et ducum vndique consurrexerunt. Ceterum omnibus superiores facti, cum celeritate maxima cursum perfecerunt, et metam contigere. Conuenit hoc apostoli dicto, *a)* Si infirmitate laboro, tunc potens sum. *Non congregabo conuenticula eorum de sanguinibus, nec memor ero nominum eorum per labia mea.* Hos autem, inquit, qui contra illos irruerunt, ad æterna supplicia condemnabo, et memoriam eorum obliuione obruam, ita vt ipsa etiam nomina penitus ignorentur. 5. *Dominus pars hereditatis meæ, et calicis mei.* Memoriâ repetenda sunt quæ in secundo psalmo dicta fuere. Ibi enim humano quoque more pater ad ipsum dicebat, *b)* Postula a me, et dabo tibi gentes hereditatem tuam, et possessionem tuam terminos terræ. Et in sacris euangeliis ipse ad suum patrem de sacris apostolis ait, *c)* Pater, quos dedisti mihi, tui erant, et tu eos mihi dedisti, et nemo ex eis periit, nisi filius perditionis. Sed quemadmodum hîc humano more loquitur, rogans vt (regnum) accipiat, eodem modo alibi se omnium Dominum esse demonstrat. *d)* Oues enim, ait, meæ, vocem meam audiunt, et ego cognosco eas, et sequuntur me, et ego vitam æter-

Πολλαί φησι 1) πανταχόθεν ἐπανέστησαν προσβολαὶ δήμων καὶ δημαγωγῶν, 2) βασιλέων καὶ στρατηγῶν. πλὴν ἁπάντων περιγενόμενοι μετὰ τάχους ὅτι 3) πλεῖστου τὸν δρόμον ἐτέλεσαν 4) καὶ τὴν νύσσαν κατέλαβον. ἔοικε δὲ τοῦτο τῷ ἀποστολικῷ ῥητῷ, ὅταν 5) ἀσθενήσω, τότε δυνατός εἰμι. οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, 6) οὐδὲ μὴ μνημανεύσω τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. τούτους δέ φησι τοὺς ἐπαναστάμενους αὐτοῖς τιμωρίαις παραδώσω, καὶ τὴν μνήμην αὐτῶν κατακρύψω τῇ λήθῃ, ὥστε καὶ αὐτὰς τὰς προσηγορίας παντάπασιν ἀγνοεῖσθαι. ε'. Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου. 7) Ἀναμνησθῆναι προσήκει τῶν ἐν τῷ δευτέρῳ ψαλμῷ εἰρημένων. καὶ γὰρ ἐκεῖ ἀνθρωπίνως πάλιν πρὸς αὐτὸν ἔλεγεν ὁ πατήρ, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις αὐτὸς πρὸς τὸν ἑαυτοῦ πατέρα ἔφη περὶ τῶν ἱερῶν ἀποστόλων, πάτερ οὓς 8) ἔδωκάς μοι σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· καὶ οὐδεὶς 9) ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας. ἀλλ' ὥσπερ ἐνταῦθα ἀνθρωπίνως διαλέγεται λαβεῖν παρακαλῶν· 10) οὕτως ἑτέρωθι δείκνυσιν, ὡς αὐτός ἐστι τῶν ἁπάντων Δεσπότης. τὰ πρόβατα γάρ 11) φησι τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον

1) πανταχόθεν. Cod. 3. præmittit αὐτοῖς, quod in Cod. 1. 2. postponitur. 2) βασιλέων. Cod. 3. præm. καί. 3) Cod. 2. πλεῖστον. 4) καὶ — κατέλαβον. Def. in Cod. 3. 5) Cod. 3. ἀσθενῶ. 6) οὐδὲ μὴ μνημονεύσω. Codd. tres οὐδ' οὐ μὴ μνησθῶ. 7) Ἀναμνησθῆναι κ. λ. Hæc in Catena quam Codex noster 3. complectitur, *Eusebio* et *Theodoreto* simul tribuuntur, exstant etiam sub *Eusebii* nomine in MONTF. Collect. noua PP. T. I. p. 54. sq. Reliqui duo Codices hæc Nostro vindicant. 8) Cod. 1. 2. δέδωκας. 9) ἐξ. Abest a Cod. 1. 10) οὕτως ἑτέρωθι. Cod. 1. αὐτὸς ἐν ἑτέρῳ. 11) φησί. Abest a Cod. 3.

a) 2 Cor. 12, 10. *b)* Ps. 2, 7. *c)* Ioh. 17, 6. 12. *d)* Ib. 10, 27. 28.

νιον δίδωμι αὐτοῖς. καὶ πάλιν· καὶ ἄλλα δὲ πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς 1) ποίμνης ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. καὶ ἐν τῷ παρόντι 2) μέντοι ψαλμῷ ἀνθρωπίνως λέγει, Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου. κληρονομίαν μὲν καλῶν τὴν τῶν ἐθνῶν βασιλείαν· ποτήριον δὲ, ὃν ὑπὲρ ἡμῶν ὑπέμεινε θάνατον. οὕτω γὰρ καὶ ἐν τοῖς 3) ἱεροῖς ἔλεγεν εὐαγγελίοις, πάτερ εἰ δυνατὸν, παρελθέτω τοῦτο τὸ 4) ποτήριον ἀπ' ἐμοῦ. 5) „ὡσεὶ σαφέστερον ἔλεγεν· καὶ τῆς ἐμῆς ἐκκλησίας, ἥτις ἐστὶν ἡ κληρονομία μου, μερὶς ἐστιν ὁ Κύριος· ὁ αὐτὸς δὲ καὶ τοῦ ποτηρίου μου, τουτέστι τοῦ θανάτου μερὶς γεγενημένος ὁ αὐτός.„ σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. οὐκ εἶπεν, ὁ διδοὺς, ἀλλ' ὁ ἀποκαθιστῶν 6) τὴν κληρονομίαν μου. ἐπειδὴ γὰρ εὐθὺς δημιουργηθεὶς ὁ ἄνθρωπος, ἁπάντων ἔλαβε τὴν ἐξουσίαν, καὶ ζωὴν εἶχεν ἀθάνατον· μετὰ δὲ τὴν παράβασιν ἀμφοτέρων ἐξέπεσε, καὶ τῆς δεσποτείας, καὶ τῆς ζωῆς· ἀνθρωπίνως ὁ Δεσπότης ὑπὲρ τῆς 7) ἀνθρωπείας φύσεως ποιεῖται τὴν αἴτησιν, ἀξιῶν ἀπολαβεῖν τὴν προτέραν ζωήν τε καὶ δεσποτείαν. ϛ'. Σχοινία 8) ἐπέπεσέ μοι ἐν τοῖς κρατίστοις μου· καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι ἐστι. Ταύτης ἕνεκεν, φησὶ, τῆς κληρονομίας, τὰς παρούσας ἐδεξάμην ἐπιβουλάς· σχοινία γὰρ τὰς ἐπιβουλὰς ὀνομάζει· οὕτως καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ, σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. λέγει τοίνυν, ὅτι ταύτης

nam do eis. Et rursus, a) Et alias oues habeo, quae non sunt ex hoc ouili, et illas oportet me * adducere, et vocem meam audient, et fiet vnum ouile, et vnus pastor. Et in hoc itaque psalmo secundum hominem dicit, Dominus pars hereditatis meae, et calicis mei, *hereditatem* nuncupans gentium regnum, (*calicem* vero mortem, quam pro nobis sustinuit. Sic enim et in sacris euangeliis dicebat, b) Pater, si fieri potest, transeat a me calix iste.) „quasi apertius diceret, et meae ecclesiae, quae est „hereditas mea, pars est Dominus, qui etiam calicis mei, „hoc est mortis, pars, ipsemet „factus est.„ *Tu es, qui restitues hereditatem meam mihi.* Non dixit, *qui das*, sed *qui restitues hereditatem meam.* Quoniam enim, cum primum conditus fuit homo, omnium potestatem accepit, et aeternam habuit vitam, post peccatum autem vtrisque excidit, (imperio scilicet et vita,) Dominus vt homo pro humana natura preces fundit, pristinam vitam et imperium vt recuperet postulans. 6. *Funes ceciderunt mihi in praeclaris meis, etenim hereditas mea praeclara est mihi.* Huius, inquit, hereditatis causa, praesentes insidias amplexus sum. *Funes* enim insidias nominat. Similiter et in alio psalmo ait, c) Funes peccatorum amplexi sunt me, et legis tuae non sum oblitus. Dicit igitur, propter hanc prae-

1) *ποίμνης*. Cod. 1. 3. *αὐλῆς*, quae est rec. lectio l. c. 2) *μέν τοι*. Cod. 1. *τοίνυν*. 3) *ἱεροῖς*. Cod. 2. *θείοις*. 4) *ποτήριον*. Cod. 3. addit *τοῦτο*. 5) E Cod. aug. 9. suppl. Eadem habet MONTF. l. c. p. 55. 6) *τὴν κληρ. μου*. Des. in Cod. 3. 7) Cod. 2. *ἀνθρωπίνης*. 8) Rec. lectio h. l. est *ἐνέπεσον*.

a) Ioh. 10, 16. b) Matth. 26, 39. c) Ps. 118, 61.

praeclaram hereditatem, atque ob hominum salutem, praesentes insidias sustineo. 7. *Benedicam Domino qui tribuit mihi intellectum: insuper et usque ad noctem castigarunt me renes mei.* Veruntamen a Domino edoctus, et optimis cogitationibus usus, nocte passionis superior ero. *Noctem* enim, tentationum obscuritatem appellauit. Nemo autem hoc absurdum putet, Christum Dominum secundum humanam naturam erudiri, cum audiat diuinum Lucam dicentem, a) Iesus proficiebat sapientia, et gratia apud Deum et homines. Et rursus audiat eundem dicentem, b) angelum ei apparuisse, qui eum instante passione trepidantem et guttas sanguinis sudantem confortauit. Si autem angeli auxilio indigebat, vt ostenderet naturam formae serui, multo magis a diuinitate, quae in ipso habitabat, docebatur. Nam cum esset homo et Deus, instruebatur quidem vt homo, fons vero sapientiae erat vt Deus. 8. *Praeuidebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi ne commouear.* * 9. *Propter hoc laetatum est cor meum, et exultauit lingua mea: insuper et caro mea requiescet in spe.* 10. *Quoniam non derelinques animam meam in inferno, neque concedes sanctum tuum videre corruptionem.* 11. *Notas mihi fecisti vias vitae, implebis me laetitia cum vultu tuo, delectationes in dextera tua sunt in perpetuum.* Haec superuacuum est nos explanare, cum diuus Pe-

ἕνεκα τῆς κρατίστης κληρονομίας, καὶ τῆς τῶν ἀνθρώπων χάριν σωτηρίας, τὰς παρούσας ἐπιβουλὰς ὑπομένω. ζ'. Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου. 1) Ἀλλ' 2) ὅμως ὑπὸ τοῦ Κυρίου σοφιζόμενος, καὶ ἀρίστοις χρώμενος λογισμοῖς, τῆς τοῦ πάθους νυκτὸς περιέσομαι. νύκτα γὰρ ἐκάλεσε τὸ ζοφῶδες τῶν πειρασμῶν. μηδεὶς δὲ ἀνάρμοστον ἡγείσθω τὸ συνετίζεσθαι κατὰ τὴν ἀνθρωπείαν φύσιν τὸν 3) Δεσπότην Χριστὸν, ἀκούων τοῦ θεσπεσίου Λουκᾶ λέγοντος· Ἰησοῦς δὲ προέκοπτε σοφίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις. ἀκουσάτω δὲ αὐτοῦ πάλιν λέγοντος, ὅτι δειλιάσαντα παρὰ τὸ πάθος, καὶ ἱδρώσαντα θρόμβους αἵματος, ἄγγελος προσελθὼν 4) ὑπεστήριξεν. εἰ δὲ ἀγγελικῆς ἐδεήθη ῥοπῆς, ἵνα δείξῃ τὴν φύσιν τῆς τοῦ δούλου μορφῆς· πολλῷ δήπουθεν παρὰ τῆς ἐνοικούσης θεότητος ἐσοφίζετο. ἄνθρωπος γὰρ ὢν καὶ Θεὸς, ἐσοφίζετο μὲν ὡς ἄνθρωπος, πηγὴ δὲ σοφίας ἦν ὡς Θεός. η'. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ. θ'. Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ 5) γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι. ι'. Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς 6) ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. ια'. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης, μετὰ τοῦ προσώπου σου· 7) τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος. Ταῦτα περιττὸν ἡμᾶς ἑρμηνεύειν, τοῦ θεσπεσίου Πέτρου,

1) Ἀλλ' ὅμως — πειρασμῶν. Des. apud CORD. p. 276. 2) ὅμως. Cod. 1. 2. addunt καί. 3) Δεσπότην. Abest a Cod. 2. 4) Cod. 1. et 2. ὑπεστήριζεν. 5) γλῶσσα. Ita οἱ ό. Omnes reliqui Int. graeci habent δόξα. 6) Cod. 2. et 3. ᾅδην, quae etiam est lectio Cod. vatic. h. l. 7) Cod. vatic. habet τερπνότητες, quam lect. sequutus est *Carafa*.

a) Luc. 2, 52. b) Ib. c. 22, 43.

τρου, 1) τοῦ καὶ τὴν παρὰ τοῦ πατρὸς, καὶ τὴν παρὰ τοῦ υἱοῦ, καὶ τὴν παρὰ τοῦ ἁγίου πνεύματος ἀποκάλυψιν δεξαμένου, πάλαι τούτων τὴν ἑρμηνείαν 2) ποιησαμένου. 3) οὗτος γὰρ ἐν Ἰουδαίοις δημηγορῶν, καὶ ταύτην ἐνεγκὼν εἰς μέσον τὴν 4) μαρτυρίαν, οὕτως ἔφη· ἄνδρες ἀδελφοὶ, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε, καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς σήμερον. προφήτης οὖν ὑπάρχων, καὶ 5) εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστήσειν τὸ κατὰ σάρκα τὸν Χριστὸν, 6) προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως αὐτοῦ, ὅτι οὐκ ἐγκατελείφθη εἰς ᾅδου ἡ ψυχὴ αὐτοῦ, οὐδ' ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. καὶ ἑτέρωθι, Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας 7) ἀπέθανε, καὶ εἶδε διαφθοράν· ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν. 8) ταῦτα καὶ τοῖς παρερμηνεύειν τολμῶσιν ἀναγκαῖον 9) προφέρειν· καὶ μέντοι καὶ Ἰουδαίοις· προφανῆ 10) γὰρ ἔλεγχον ἔχει τῆς 11) Ἰουδαίων ἐμβροντησίας. λέγει τοίνυν ὁ Δεσπότης Χριστὸς ἀνθρωπίνως 12) κἀνταῦθα, ὅτι διηνεκῶς ὑπὸ τῆς θείας στηριζόμενος φύσεως τῷ σωτηρίῳ πρόσειμι πάθει, καὶ τῇ ἐλπίδι τῆς ἀναστάσεως 13) ἐπευφραίνομαι. οὔτε γὰρ ἡ ψυχή μου εἰς ᾅδου καταλειφθήσεται, οὐθ' ἡ σάρξ μου ὑπομενεῖ τὴν κατὰ φύσιν διαφθοράν. ταχείας γὰρ τῆς ἀναστάσεως τεύξομαι, καὶ εἰς τὴν

trus horum olim verborum interpretationem dixerit, accepta a patre, et a filio, et a ſpiritu ſancto reuelatione. Hic enim cum inter Iudæos concionaretur, hoc in medium adducto teſtimonio, ita dixit, *a*) Viri fratres, liceat cum fiducia dicere ad vos de patriarcha Dauid, quoniam defunctus eſt, et ſepultus eſt, et ſepulcrum eius eſt apud nos vsque in hodiernum diem. Propheta igitur cum eſſet, et ſciret, quod iureiurando iuraſſet illi Deus, de fructu lumbi eius oriturum eſſe Chriſtum ſecundum carnem, præuidens locutus eſt de reſurrectione Chriſti, quia neque derelicta eſt in inferno eius anima, neque caro eius vidit corruptionem. Et alibi, *b*) Dauid cum propriæ generationi ſubſeruiiſſet, mortuus eſt, et vidit corruptionem: quem vero Deus ſuſcitauit, non vidit corruptionem. Hæc iis qui audent perperam interpretari, atque etiam Iudæis afferenda ſunt: manifeſtam enim habent confutationem iudaicorum deliriorum. Dicit igitur Dominus Chriſtus humano more etiam hîc, ego a diuina natura continue corroboratus, ad ſalutarem paſſionem accedo, et reſurrectionis ſpe gaudeo. Nam *c*) neque anima mea in inferno derelinquetur, nec caro mea corruptionem naturæ congruentem ſuſtinebit. Velocem enim reſurrectionem conſequar, et in vitam

1) τοῦ — δεξαμένου. Def. in Cod. *flor.* 2) Cod. 1. 2. ποιουμένου. Ita quoque CORD. p. 277. 3) οὗτος — ἔφη. Cod. *flor.* hæc pauca habet, ἐν οἷς λέγει. 4) μαρτυρίαν. Cod. 2. et CORD. l. c. ἑρμηνείαν. 5) εἰδὼς — ἐλάλησε. Cod. *flor.* προϊδὼν τὰ περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ἐλάλησε. 6) Χριστόν. Omiſſa ſunt quæ l. c. ſequuntur, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ. 7) ἀπέθανε. Alia eſt lectio l. c. 8) ταῦτα — ἐμβροντησίας. Def. in Cod. *flor.* 9) Cod. 2. προσφέρειν. 10) γάρ. Abeſt a Cod. 1. 2. 11) Ἰουδαίων. Cod. 2. τούτων. 12) Cod. *flor.* ἐνταῦθα. 13) Cod. 1. εὐφραίνομαι.

a) Act. 2, 29-31. *b*) Ib. c. 13, 36. 37. *c*) Act. 2.

vitam redibo, omnibus hominibus hanc viam ostendens: *Implebis me lætitia cum vultu tuo, delectationes in dextera tua sunt in perpetuum.* Quoniam cum ad crucem accederet, dicebat, a) *Valde tristis est anima mea vsque ad mortem*, merito his verbis vsus est cum de resurrectione mentionem faceret, docens, pro illa mœstitia se in perpetuo gaudio fore, impatibilem, immutabilem, et immortalem, secundum humanam quoque naturam. Nam vt Deus, hoc erat semper, atque etiam ei facile erat * hoc humanæ naturæ præbere, cum primum in vtero formata est. Verum per afflictiones progredi permisit naturam quam acceperat, vt hoc modo euersa peccati potentia diaboli tyrannidem sedaret, et mortis imperium destrueret, omnibusque hominibus resurrectionis facultatem præberet. Vt homo igitur, et incorruptionem, et immortalitatem accipit. Hic psalmus, et Arii, et Eunomii, et Apollinaris dementiam redarguit. Hi siquidem Deum verbum inanimatum corpus assumsisse dixerunt: Apollinaris vero animatum quidem appellauit corpus quod assumtum est, sed hoc anima rationali priuauit. Ignoro vnde has geminas animas didicerit: nullibi enim diuina scriptura hoc docet. Verum pariter sanctus Spiritus per beatum Dauidem de anima diserte mentionem fecit, claram contra vtramque hæresin confutationem exhibens.

ζωὴν ἐπανήξω· ἅπασι ταύτην ἀνθρώποις ὑποδεικνὺς τὴν ὁδόν. πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου, τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος. ἐπειδὴ τῷ πάθει προσιὼν ἔλεγε, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· εἰκότως τούτοις ἐχρήσατο τοῖς λόγοις τῆς ἀναστάσεως 1) μνημονεύσας· διδάσκων ὡς ἀντὶ τῆς ἀθυμίας ἐκείνης ἐν διηνεκεῖ θυμηδίᾳ γενήσεται, ἀπαθής, καὶ ἄτρεπτος, καὶ ἀθάνατος, 2) καὶ κατὰ τὴν 3) ἀνθρωπείαν φύσιν γενόμενος. ὡς γὰρ Θεὸς, τοῦτο ἦν ἀεί. καὶ μέν τοι καὶ τῇ ἀνθρωπείᾳ φύσει εὐθὺς ἐν τῇ μήτρᾳ διαπλασθείσῃ τοῦτο παρασχεῖν 4) αὐτῷ ῥᾴδιον ἦν. ἀλλὰ διὰ τῶν παθῶν ὁδεῦσαι συνεχώρησεν ἣν ἀνέλαβε φύσιν, ἵνα οὕτω τῆς ἁμαρτίας καταλύσας τὴν δυναστείαν, παύσῃ μὲν τοῦ διαβόλου τὴν τυραννίδα, καταλύσῃ δὲ τοῦ θανάτου τὸ κράτος, καὶ πᾶσιν ἀνθρώποις παράσχῃ τὴν τῆς ἀναβιώσεως ἀφορμήν. ὡς ἄνθρωπος τοίνυν, καὶ τὴν ἀφθαρσίαν, καὶ τὴν ἀθανασίαν λαμβάνει. οὗτος ὁ ψαλμὸς καὶ τὴν Ἀρείου, καὶ τὴν Εὐνομίου, καὶ Ἀπολιναρίου φρενοβλάβειαν ἐλέγχει. οἱ μὲν γὰρ σῶμα ἄψυχον τὸν Θεὸν λόγον εἶπον ἀνειληφέναι. Ἀπολινάριους δὲ ἔμψυχον μὲν τὸ ἀναληφθὲν ἐκάλεσε σῶμα, τῆς δὲ λογικῆς αὐτὸ ψυχῆς ἀπεστέρησεν· οὐκ οἶδα 5) ὅθεν μαθὼν τὰς δύο ταύτας ψυχάς. οὐδαμοῦ γὰρ ἡ θεία τοῦτο διδάσκει γραφή. ἀλλ' 6) ὁμοῦ τὸ πανάγιον πνεῦμα, διὰ τοῦ 7) μακαρίου Δαβίδ, ψυχῆς ἄντικρυς ἐμνημόνευσεν, ἔλεγχον δεδωκὼς 8) προφανῆ καθ' 9) ἑκατέρας αἱρέσεως.

1) Cod. 1. μνημονεύων. 2) καί. Abest a Cod. 2. 3) Cod. 2. ἀνθρωπίνην. 4) Cod. 1. αὐτῇ. 5) Cod. 2. πόθεν. 6) Cod. 1. 2. ὅμως. 7) μακαρίου. Cod. 2. θείου. 8) Cod. 1. ἐμφανῆ. 9) ἑκατέρας. Cod. 2. ἑτέρας.

a) Matth. 26, 38.

ΕΡΜΗΝ. ΤΟΥ ιϛ΄ ΨΑΛΜΟΥ.

α΄. Προσευχὴ τῷ Δαβίδ. 1) Διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, καὶ παντοδαπὰς ὑπομένων ἐπιβουλὰς, τὸν τῶν ὅλων Θεὸν εἰς ἐπικουρίαν καλεῖ. Εἰσάκουσον Κύριε δικαιοσύνης μου· πρόσχες τῇ δεήσει μου· ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις. πάλιν ἐνταῦθα δικαιοσύνην οὐ τὴν τελείαν ἀρετὴν λέγει, ἀλλὰ τὴν δικαίαν αἴτησιν. οἱ δὲ ἄλλοι ἑρμηνευταὶ 2) τὴν ἀντωνυμίαν οὐ προστεθείκασιν· ἀλλ᾽ ὁ μὲν Σύμμαχος καὶ ὁ Θεοδοτίων κύριον δικαιοσύνης τὸν Θεὸν 3) ὠνομάκασιν· ὁ δέ γε Ἀκύλας οὕτως ἔφη, 4) εἰσάκουσον Κύριε δίκαιον, ἀντὶ τοῦ δικαίως, καὶ 5) μὴ μακροθύμως. 6) τὸ δὲ, οὐκ ἐν χείλεσι δολίοις, ὁ Σύμμαχος οὕτως εἴρηκεν, οὐ διὰ χειλέων δολίων. καθαροῖς γάρ φησι χείλεσι τὴν ἱκετείαν προσφέρω· οὐχ ἕτερα μὲν φρονῶν, ἕτερα δὲ φθεγγόμενος· ἀλλὰ συνομολογοῦσαν 7) ἔχω τῇ γνώμῃ τὴν γλῶτταν. β΄. Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι, οἱ ὀφθαλμοί 8) μου ἰδέτωσαν εὐθύτητα. 9) Ἀντιβολῶ σε δικάσαι τοῖς κατ᾽ ἐμέ. οἶδα γάρ σου τῆς ψήφου τὸ δίκαιον. γ΄. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτὸς, ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.

INTERP. PSALMI XVI.

1. *Oratio Dauidi.* Perſecutionem patiens a Saule, et omnigenas ſuſtinens inſidias, Deum vniuerſorum in auxilium vocat. *Exaudi Domine iuſtitiam meam, attende ad deprecationem meam: auribus percipe orationem meam non in labiis doloſis.* Rurſus hic *iuſtitiam* non perfectam virtutem vocat, ſed iuſtam poſtulationem. Ceteri vero interpretes pronomen non appoſuerunt: ſed Symmachus et Theodotion dominum iuſtitiæ Deum nominarunt, Aquila vero ſic dixit, *Exaudi Domine iuſtum,* id eſt iuſte, et non patienter. Illud vero, *Non in labiis doloſis*, Symmachus ſic expreſſit, *non per labia doloſa.* Puris enim, inquit, labiis meas preces offero, non aliud cogitans, et aliud loquens, ſed habens linguam menti congruentem. 2. *De vultu tuo iudicium meum prodeat, oculi mei videant æquitatem.* Precor te, vt mea iudices: noui enim tuæ ſententiæ iuſtitiam. 3. *Probaſti cor meum, et viſitaſti noctu, igne me examinaſti, et non eſt inuenta in me iniquitas.*

4. *Vt*

1) Διωκόμενος — καλεῖ. GARN. p. 9. alia e Cod. *vatic.* protulit, quæ ita ſe habent: Τὸν ἓξ καὶ δέκατον ψαλμὸν ὑπὸ Σαοὺλ διωκόμενος εἴρηκεν ὁ Δαβίδ, διὸ καὶ εἰς ἐπικουρίαν ἑαυτοῦ καλεῖ τὸν ἐπὶ πάντων Θεόν. ἁρμόζει δὲ μάλιστα τοῖς ἀποστόλοις ἡ προσευχὴ, καθὰ τῷ θείῳ Κυρίλλῳ δοκεῖ· τάχα δὲ καὶ αὐτῷ τῷ Χριστῷ προσευχομένῳ κατὰ τὸ ἀνθρώπινον ὑπὲρ τῶν δι᾽ αὐτὸν σωθησομένων. „Pſalmum decimum ſextum dixit Dauid a Saule in fugam verſus, quare in auxilium ſuum vocat omnipotentem Deum. Congruit vero maxime Apoſtolis oratio, vt diuino Cyrillo videtur: forſan et ipſi Chriſto ſecundum humanitatem pro iis qui ſaluandi erant, oranti.„ 2) τὴν — προστεθείκασιν. Cod. 3. τῷ δικαιοσύνης οὐ προστεθείκασι τὸ μοῦ. 3) Cod. 1. ὠνόμασαν. 4) εἰσάκουσον. MONTF. Hexapl. T. 1. p. 493. *Aquilæ* tribuit lectionem ἄκουσον. 5) μή. Abeſt a Cod. 2. 6) τό. Cod. 2. τοῦτο. 7) Cod. 3. ἔχων. 8) μου. Quidam libri veteres habent σου, quod melius eſt. 9) Ἀντιβολῶ — δίκαιον. Cod. *flor.* Δικάσόν με, φησὶ, δικαίαν ἔχων τὴν ψῆφον. τῶν γὰρ ἄλλων πάντων παραιτοῦμαι τὴν κρίσιν.

4. *Vt non loquatur os meum opera hominum.* Hic docet, quod cum sæpius Saulem in manu sua habuisset, interficere noluerit, sed beneficio iniuriam remunerauerit: quapropter etiam noctis meminit, qua hoc fecit, cum nocte dormientem Saulem liberauerit, et nemini permiserit lethalem plagam illi infligere. Improprie autem calamitates *noctes* appellat, ob mœroris obscuritatem; sicut rursus probationem, igneam examinationem nominat, *Igne enim*, inquit, *me examinasti, nec est inuenta in me iniquitas.* Cum enim tanquam aurum me probasses, purum me inuenisti, o Domine. Nam tantum abfuit, vt hostem offenderem, vt etiam linguam seruauerim liberam a conuitiis contra illum, et quæ ille perpetrare non cessat, hæc dicere noluerim. *Propter verba labiorum tuorum ego custodiui vias duras.* Hanc vero rem adeo duram laboriosamque executus sum, vt tuis mandatis morem gererem. 5. *Perfice gressus meos in semitis tuis, ne moueantur vestigia mea.* Peto igitur, ne propositum meum inuertatur: erit autem hoc, si tuam opem consecutus fuero. *Gressus* enim nuncupauit impetum illum actionum. 6. *Ego clamaui, quoniam exaudisti me*

δ. Ὅπως ἂν μὴ λαλήσῃ τὸ ϛόμα μου 1) τὰ ἔργα τῶν ἀνθρώπων. Ἐνταῦθα διδάσκει, ὡς πολλάκις λαβὼν τὸν Σαοὺλ ὑποχείριον, ἀνελεῖν οὐκ ἠνέχετο, ἀλλ' εὐεργεσίᾳ τὴν ἀδικίαν ἠμείψατο. διὸ καὶ τῆς νυκτὸς ἐμνημόνευσεν, ἐν ᾗ τοῦτο δέδρακεν, 2) ἐν νυκτὶ καθεύδοντα τὸν Σαοὺλ περισώσας, 3) καὶ οὐδενὶ συγχωρήσας ἐπενεγκεῖν αὐτῷ τὴν θανατηφόρον πληγήν. 4) τροπικῶς δὲ καὶ τὰς συμφορὰς νύκτας 5) καλεῖ, διὰ τὸ ζοφῶδες τῆς ἀθυμίας, ὥσπερ 6) αὖ καὶ πύρωσιν τὴν δοκιμασίαν 7) αὖθις ὀνομάζει· ἐπύρωσας γάρ με φησι, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. 8) καθάπερ γάρ τινα χρυσὸν 9) δοκιμάσας, ἀκίβδηλον εὗρες ὦ Δέσποτα. τοσοῦτον γὰρ ἀπέχον 10) τοῦ λυμήνασθαι τὸν πολέμιον, ὅτι καὶ τῆς κατ' αὐτοῦ λοιδορίας ἐλευθέραν τὴν γλῶτταν ἐφύλαξα, καὶ ἃ πράττων ἐκεῖνος διατελεῖ, ταῦτα λέγειν οὐκ ἠνεχόμην 11) ἐγώ. διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς 12) σκληράς. τοῦτο δὲ τὸ δυσχερὲς, καὶ ἐπίπονον δέδρακα ταῖς σαῖς πειθόμενος ἐντολαῖς. ε. Καταρτίσαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ 13) σαλευθῇ τὰ διαβήματά μου. Ἱκετεύω τοίνυν, μὴ παρατραπῆναί μου τὸν σκοπόν· ἔσται δὲ τοῦτο, εἰ τῆς σῆς ῥοπῆς ἀπολαύσαιμι. διαβήματα γὰρ τῆς πράξεως τὴν ὁρμὴν 14) προσηγόρευσεν. ϛ'. Ἐγὼ ἐκέκραξα, ὅτι 15) ἐπήκουσάς μου ὁ Θεός.

1) τὰ — ἀνθρώπων. Hæc minus recte cum præced. coniunguntur, cum tamen ab his verbis sequens versiculus incipiat. 2) ἐν. Cod. 1. et 2. præm. ὁ. 3) καὶ — πληγήν. Des. in Cod. *flor.* 4) τροπικῶς — ὀνομάζει. Des. in Cod. 3. 5) καλεῖ. Cod. 1. λέγει. 6) αὖ. Cod. 2. præm. γάρ. 7) αὖθις — χρυσόν. Cod. *flor.* τοῦτο λέγων, ὅτι καθάπερ τινα χρυσόν. 8) καθάπερ — δέσποτα. Des. in Cod. 3. 9) δοκιμάσας. Cod. 2. addit με. 10) τοῦ. Cod. 2. μή. 11) ἐγώ. Abest a Cod. 3. 12) σκληράς. Præstat h. l. versio *Symm.* ἐφυλαξάμην ὁδοὺς παραβάτου, cuius meminit EVSEB. ad h. l. 13) Cod. 1. et 3. σαλευθῶσι, quæ est lectio Cod. *alex.* 14) προσηγόρ. Cod. 2. ἐμνημόνευσεν. 15) Cod. 2. εἰσήκουσε. Ita quoque Codex *alex.*

ὁ Θεός. Οὐ μάτην 1) τοῖσδε λόγοις ἐχρησάμην, ἀλλὰ πεῖραν τῆς σῆς ἔχων φιλανθρωπίας. ἤκουσας γάρ μου 2) καλοῦντος πολλάκις. κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου. ζ. Θαυμάστωσον τὰ ἐλέη σου ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. 3) Δέξαι τοίνυν τὴν ἱκετείαν· κίνησον πολλὰς γλώττας εἰς ὑμνῳδίαν. οἱ γὰρ ἐλεούμενον παρὰ σοῦ τὸν ἀδικούμενον βλέποντες 4) ὑμνήσουσί σου τὴν πρόνοιαν. εἴωθας δὲ τοῖς 5) εἰς σὲ πεποιθόσιν 6) ἐπικουρίαν ὀρέγειν. η΄. 7) Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με 8) Κύριε, ὡς κόρην ὀφθαλμοῦ. Ἀνθεστηκότας τῇ τοῦ Θεοῦ δεξιᾷ τοὺς πολεμοῦντας αὐτῷ 9) προσηγόρευσεν· καὶ μάλα εἰκότως. 10) ὑπὸ Θεοῦ γὰρ ἐχρίσθη, καὶ παρ' αὐτοῦ τῆς βασιλικῆς χειροτονίας τετύχηκεν. λέγει τοιγαροῦν, ὅτι τῇ σῇ ἀντιπάττονται ψήφῳ οἱ κατ' ἐμοῦ τὴν μάχην ἀναδεξάμενοι. καὶ παρακαλεῖ τοσαύτης φυλακῆς ἀπολαῦσαι, ὅσης ἡ κόρη τοῦ ὀφθαλμοῦ· 11) ἥ τις καθάπερ τινὰς περιβόλους ἔχει τὰ βλέφαρα· ἀντὶ δὲ σκολόπων, τὰς βλεφαρίδας. ἔχει δὲ καὶ τῶν ὀφρύων τὰς 12) προσβολάς, τὴν τῶν ἱδρώτων νοτίδα τοῖς 13)

Deus. Non temere autem hiſce verbis vſus ſum, ſed cum periculum de tua benignitate fecerim: exaudiſti enim me ſæpius cum te inuocarem. *Inclina aurem tuam mihi, et exaudi verba mea.* 7. *Mirifica miſericordias tuas, qui ſaluos facis ſperantes in te.* Admitte igitur preces meas, excita multas linguas ad decantandas tuas laudes. Qui enim miſericordiam abs te conſecutum vident eum, qui iniuria affectus eſt, tuam decantabunt prouidentiam: conſueuiſti autem iis, qui in te ſpem collocarunt, opem afferre. 8. *A reſiſtentibus dexteræ tuæ cuſtodi me, vt pupillam oculi. Reſiſtentes dexteræ Dei* eos appellauit, qui contra ipſum bellum gerunt. Et merito quidem: a Deo namque vnctus erat, ab eoque regiam electionem conſecutus. Ait igitur, illi qui contra me prælium conſerunt, tuæ ſententiæ ſe opponunt, et obſecrat vt talem * conſequatur cuſtodiam, qualem pupilla oculi conſecuta eſt, quæ veluti quædam munimenta habet palpebras, pro vallis autem cilia. Habet etiam ſuperciliorum oppoſitus, transmittentes ſudoris pluuiam

1) *τοῖσδε.* Cod. 1. et 2. addunt *τοῖς.* 2) Cod. 1. 2. *παρακαλοῦντος.* 3) *Δέξαι — ἱκετείαν.* Hæc rectius apud CORD. p. 285. ad præc. verſ. referuntur. 4) Cod. 3. *ὑμνοῦσι.* 5) *εἰς* Cod. 3. *incl.* 6) *ἐπικουρίαν.* Cod. 1. *ἐπικουρίας χεῖρα.* 7) *Ἐκ — σου.* Haud male hæc cum ſequentibus Textus verbis coniuncta ſunt, quæ alias ad v. 7. referri ſolent. 8) *Κύριε.* Additur in edit. *ald.* 9) *προσηγόρευσεν.* Huc pertinere videntur, quæ CORD. p. 295. habet, Ὁ *ἀνθεστηκὼς Χριστῷ, ἀνθέστηκε τῇ δεξιᾷ τοῦ Θεοῦ.* 10) *ὑπὸ Θεοῦ — τοῦ ὀφθαλμοῦ.* Hæc apud GARN. l.c. p. 10. ita ſe habent: Ἡ *μὲν σὴ δεξιά,* Κύριε, *ἔχρισέ με εἰς βασιλέα· οἱ δὲ περὶ τὸν Σαοὺλ, αὐτοὶ ἀνθεστηκότες ἀποκτεῖναί με ζητοῦσι. ἀλλὰ σὺ ὁ χειροτονήσας, οὕτω μὲν φύλαξον ἐξ αὐτῶν, ὥσπερ κόρην ὀφθαλμοῦ.* „Tua enim dextera, Domine, vnxit me vt ſim rex; qui vero Saulis ſunt, ipſi reſiſtentes interficere me quærunt. Sed tu qui manu tua me conſtituiſti, ita me ab ipſis cuſtodi ſicut pupillam oculi.„ 11) *ἥ τις.* GARN. l. c. *καὶ γὰρ ἐκείνη.* 12) GARN. *προβολάς.* 13) *κεράτφοις.* Cod. 3. *βλεφάροις.*

uiam ad tempora, et defendentes videndi organum a damno, quod inde poſſit accidere. Eiusmodi ergo curam conſequi optat. *Sub vmbra alarum tuarum protege me.* 9. *A facie impiorum, qui me affixerunt.* Rurſus alia vſus comparatione obſecrat ſibi opem afferri. Audiuit enim magnum Moſen dicentem, *a*) *Expandens alas ſuas ſuſcepit ipſos, et ſuſtulit ipſos ſuper humeris ſuis.* Et Dominus ad Hieroſolymam ait, *b*) *Quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos ſuos ſub alis ſuis, et noluiſtis?* Nominat autem *alas* velocem et promptam prouidentiæ ſecuritatem: facillimus eſt enim alarum motus. *Inimici mei animam meam circumdederunt.* 10. *Adipem ſuum concluſerunt, os eorum locutum eſt ſuperbiam.*

κροτάφοις παραπεμπούσας, καὶ τῆς ἐκεῖθεν 1) λώβης ἀπαλλαττούσας τὸ ὀπτικόν. 2) τοιαύτης ἱκετεύει κηδεμονίας τυχεῖν. ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με. θ΄. Ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. Πάλιν ἑτέρᾳ χρησάμενος εἰκόνι προμηθείας τυχεῖν ἀξιοῖ. ἤκουσε γὰρ καὶ τοῦ μεγάλου Μωσέως λέγοντος, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν 3) αὐτοὺς 4) ἐπὶ τῶν μεταφρένων αὐτοῦ. καὶ ὁ Κύριος δὲ πρὸς τὴν Ἱερουσαλὴμ ἔφη· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία 5) ἑαυτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε; πτέρυγας δὲ τὴν ὀξεῖαν καὶ σύντομον τῆς προνοίας ἀσφάλειαν ὀνομάζει. ῥᾴστη γὰρ τῶν πτερύγων ἡ κίνησις. οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον. ι΄. Τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

1) λώβης. GARN. βλάβης. 2) τοιαύτης — τυχεῖν. Apud GARN. hæc ſequuntur: Ἀνθεστήκασι καὶ τῷ Κυρίῳ, ὅς ἐστι δεξιὰ τοῦ πατρὸς, Ἰουδαῖοι καὶ Ἕλληνες, καὶ οἱ τῶν βεβήλων αἱρέσεων εὑρεταὶ, ἐξ ὧν ῥυσθῆναι παρακαλοῦσιν οἱ Ἀπόστολοι· καὶ τὸ ἀσφαλὲς, ὅπερ ἡ φύσις τῇ κόρῃ τοῦ ὀφθαλμοῦ δεδώρηται, τοῦτο ζητοῦσι παρὰ Θεοῦ, ἵνα κατὰ μηδένα τρόπον ἀδικηθῇ αὐτοῖς ὁ τῆς διανοίας ὀφθαλμὸς, καὶ πάθοι τὸ σκοτισθῆναι. ταὐτὸ τοῦτο καὶ ὁ σωτὴρ ἂν εὔξαιτο πρὸς τὸν πατέρα, ἵνα φυλαχθῇ αὐτὸς, τουτέστι τὸ σῶμα αὐτοῦ, ἡ τῶν πιστῶν ἐκκλησία, ἐκ τῶν πολεμούντων αὐτῇ, καθάπερ τις κόρη ὀφθαλμοῦ ἀνεπιθόλωτος καὶ ὀρθὰ βλέπουσα. Φυλαχθείημεν καὶ ἡμεῖς ἀπὸ δαιμόνων τῶν ἐναντιουμένων τῇ δεξιᾷ καὶ ἀγαθῇ ἡμῶν πράξει, ἥ τις τοῦ Θεοῦ εἶναι λέγεται, ὡς διὰ τῆς αὐτοῦ χάριτος καὶ ἐνεργείας κατορθουμένη· μή ποτε τοῦ ἐντὸς ἡμῶν ὀφθαλμοῦ σκοτισθέντος, εἰς τὴν ἀχλὺν τῆς ἁμαρτίας ἐμπέσοιμεν. „Reſtiterunt etiam Chriſto, qui Patris dextera eſt, Iudæi et Græci, et profanarum hæreſium inuentores, a quibus eripi petunt Apoſtoli: et præſidium, quale naturâ pupillæ oculi donata eſt, a Deo poſtulant, vt nullo modo ipſis lædatur rationis oculus, aut tenebris obducatur. Hoc etiam Saluator petiit a Patre, vt ipſe cuſtodiretur, h. e. corpus eius, ſcilicet eccleſia credentium, ab impugnantibus, quemadmodum pupilla oculi imperturbabilis et recte videns. Cuſtodiamur etiam nos a dæmonibus aduerſantibus rectæ probæque noſtræ agendi rationi, quæ Dei eſſe dicitur; quippe per ipſius gratiam et operationem directa: ne aliquando caligante oculo noſtro interiori in tenebras peccati incidamus.„ 3) Cod. 2. αὐτόν. 4) ἐπὶ — αὐτοῦ. Deſ. in Cod. 3. 5) Cod. 1. αὐτῆς.

a) Deuter. 32, 11. *b*) Matth. 23, 37.

φανίαν. Τὸ στέαρ τινὲς εὐημερίαν καὶ εὐεξίαν ὠνόμασαν. ἐμοὶ δὲ δοκεῖ τὴν εὔνοιαν καὶ φιλαδελφίαν οὕτω καλεῖν· τοῦτο ἡ τῶν ῥητῶν ἀκολουθία παραδηλοῖ· πᾶσαν γὰρ φυσικὴν ἀποκλείσαντες 1) φησιν εὐσπλαγχνίαν, καὶ οὐδεμίαν χώραν τοῖς τῆς φιλανθρωπίας λογισμοῖς δεδωκότες, φθέγγονται μὲν ὑψηλὰ καὶ ὑπέρογκα· ἐνέδρας δέ μοι παντοδαπὰς καὶ λόχους ἱστᾶσιν. ια. 2) Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ. Αὐτοί 3) με τῆς πατρῴας ἐξήλασαν γῆς· καὶ πάλιν τῇδε κἀκεῖσε διατρέχουσι συλλαβεῖν ἐφιέμενοι· ἐπειδὴ τὸ εὐθὲς οὐκ ἐθέλουσι βλέπειν· ἀλλ᾽ ἑτεροκλινὲς ἔχουσι τῆς διανοίας τὸ ὄμμα· οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· τοὺς ὀφθαλμοὺς αὐτῶν ἔταξαν ἑτεροκλινεῖν ἐν τῇ γῇ. ιβ. Ὑπέλαβόν 4) με ὡσεὶ λέων 5) ἕτοιμος εἰς θήραν, καὶ 6) ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις. Τὸ λογικὸν τῆς φύσεως ἀποῤῥίψαντες, 7) θηρία μιμοῦνται τροφῆς 8) ἐφιέμενα, καὶ ταύτην περισκοποῦντα, καὶ ἐξαπιναίως ὁρμῶντα. ιγ. Ἀνάστηθι Κύριε, πρόφθασον αὐτοὺς, καὶ ὑποσκέλισον αὐτούς· ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς· 9) ῥομφαίαν σου. ιδ. ἀπὸ ἐχθρῶν τῆς χειρός σου. Ἐκείνων μὲν 10) Δέσποτα κώλυσον τὴν ὁρμὴν, οἷς οἶδας κωλύμασι· τοῦτο γὰρ ὑποσκέλισον εἶπεν, ἐκ μεταφορᾶς τῶν λαθραίως τοὺς θέοντας καταβαλλόντων. ἐμὲ δὲ τῆς ἐκείνων ἐπιβουλῆς ἐλευθέρωσον, τῇ ῥομφαίᾳ σου χρώμενος κατ᾽ αὐτῶν· οὕτω γὰρ ὁ Σύμμα-

Adipem nonnulli felicitatem et bonam corporis habitudinem nominarunt. Mihi vero videtur beneuolentiam et fraternam caritatem sic nuncupare. Hoc enim verba sequentia demonstrant. Omnem enim, inquit, naturalem misericordiam excludentes, nullumque locum benignis cogitationibus relinquentes, loquuntur alta et tumida, mihique insidias et omnis generis dolos struunt. 11. *Proiicientes me nunc circumdederunt me, oculos suos statuerunt declinare in terram.* Ipsi me a patrio solo exegerunt, et rursus huc & illuc concurrunt me arripere desiderantes: quoniam nolunt rectum adspicere, sed habent mentis oculum obliquum. Sic enim et Symmachus interpretatus est, *Statuerunt oculos suos vt alio declinent in terram.* 12. *Susceperunt me sicut leo paratus ad prædam, et sicut catulus leonis habitans in abditis.* Abiecta naturali ratione, feras imitantur cibi auidas, et prædam obseruantes, et derepente aggredientes. * 13. *Exsurge Domine, præueni eos, et supplanta eos: eripe animam meam ab impio, gladium tuum* 14. *ab inimicis manus tuæ.* Illorum quidem, o Domine, impetum impedi, quibus impedimentis scieris: hoc enim dixit *supplanta*, Metaphora ab illis desumta, qui clam currentes prosternunt. Me autem ab illorum insidiis libera, tuo gladio contra eos vtens. Sic enim Symmachus

1) φησίν. Abest a Cod. 1. 2) Cod. 1. et 3. ἐκβάλλοντες. 3) μέ. Cod. 3. μέν. 4) μέ. Abest a Cod. 2. 5) Cod. 3. ἑτοίμως. 6) ὡσεί. Cod. 3. ὡς. 7) Cod. 1. 2. θῆρα. Cod. 3. θήραν. 8) Cod. 2. et 3. ἐφιέμενον. 9) Codices tres ῥομφαίας, quæ lectio, etsi minus vsitata, satis bonum dat sensum. 10) Δέσποτα, Cod. *flor.* præm. 3.

machus dixit, *In gladio tuo. Domine a paucis de terra.* Tua namque sententia homines ad mortem transmittis. Tu enim dixisti, *a) Terra es, et in terram redibis. Dissipa eos in vita eorum, absconditis tuis impletus est venter eorum.* Ego vero, etsi tibi facile sit homines ad mortem transmittere, tamen obsecro, vt viuentes illi dissipentur, et eorum mala conspiratio dissoluatur, atque suppliciorum, quæ a te reseruata sunt, participes fiant. Sic igitur et in magni Mosis cantico ipse Deus inquit: *b) Nonne hæc recondita sunt apud me, et signata in thesauris meis? die vindictæ retribuam, tempore eo quo labetur pes eorum. Saturati sunt filiis, et dimiserunt reliquias paruulis suis.* Hunc locum Symmachus hoc modo expressit, *Saturabuntur filii, et dimittent reliquias suas paruulis suis.* Noui, inquit, te iustam tuam pœnam non solum ipsis inflicturum, verum et filiis, & posteris, qui suorum maiorum malitiam imitati fuerint.

χος εἴρηκεν, εἰς μάχαιράν σου. Κύριε 1) ἀπὸ ὀλίγων 2) τῆς γῆς. τῷ ὅρῳ σου γάρ φησι 3) τοὺς ἀνθρώπους παραπέμπεις θανάτῳ. σὺ γὰρ εἶπας· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. 4) Διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν· καὶ τῶν κεκρυμμένων σου 5) ἐμπλησθήτω ἡ γαστὴρ αὐτῶν. 6) ἐγὼ δέ, 7) εἰ καὶ σοὶ τῷ θανάτῳ παραπέμψαι ῥᾴδιον, ἀλλ' οὖν ἱκετεύω ζῶντας αὐτοὺς σκεδασθῆναι, καὶ τὴν κακὴν αὐτῶν συμφωνίαν διαλυθῆναι, καὶ τῶν ἀποκειμένων σοὶ τιμωριῶν μεταχεῖν. οὕτω 8) δὲ καὶ ἐν τῇ 9) ᾠδῇ τοῦ μεγάλου Μωσέως, αὐτὸς ὁ Θεός φησιν· οὐκ ἰδοὺ ταῦτα 10) πάντα συνῆκται παρ' ἐμοί, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου; ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν. ἐχορτάσθησαν 11) υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα 12) αὐτῶν τοῖς νηπίοις αὐτῶν. 13) καὶ τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσε· χορτασθήσονται υἱοί, καὶ ἀφήσουσι τὰ λείψανα 14) αὐτῶν τοῖς νηπίοις αὐτῶν· οἶδά φησιν, ὡς τὴν δικαίαν σου τιμωρίαν οὐ μόνον αὐτοῖς ἐπάξεις, ἀλλὰ καὶ τοῖς υἱέσι, καὶ τοῖς ἐγγόνοις, τὴν τῶν προγόνων πονηρίαν μιμησαμένοις.

1) *ἀπὸ ὀλίγων.* Ita leg. in ed. *compl.* et *ald.* teste BOSIO. Recepta, sed minus apta, lectio est *ἀπολύων.* 2) *τῆς.* Codd. tres *aug.* habent emendatiorem lectionem *ἀπὸ*, quam CYRILLVS et EVSEB. ad h. l. sequuti sunt. 3) *τοὺς ἀνθρ.* Abest a Cod. 2. 4) *διαμέρισον αὐτούς.* Ita *οἱ ό.* Præstat reliquorum Interpretum versio *μέρος* aut *μερίς, αὐτῶν.* 5) Cod. 2. *ἐμπλήσθη.* Cod. 3. *ἐπλήσθη*, quam, vt receptam, lectionem *Carafa* expressit. 6) *ἐγὼ δὲ — μεθέξ. τῶν κακῶν.* Hæc irrepserunt in textum EVSEBII in MONTF. Coll. noua, T. 1. p. 59. Verba autem quæ præcedunt, *ἄλλος φησίν*, ostendunt, ea a loco isto aliena esse. 7) *εἰ — ῥᾴδιον.* Cod. 3. *εἰ καὶ τούτους παραπέμψαι σοι ῥᾴδιον ὦ δέσποτα.* 8) Cod. 1. 2. *δή.* Cod. 3. *γάρ.* 9) *ᾠδῇ — Μωσέως.* Cod. 3. *μεγάλῃ ᾠδῇ τοῦ Μωϋσοῦ.* 10) *πάντα.* Abest a Cod. 1. 11) *υἱῶν.* Ita leg. Cod. *alex.* Minus apta est lectio Cod. *vatic.* et quorundam librorum veterum, qui habent [illegible], vnde nata est interpretatio illa, *saturati sunt porcina carne.* 12) *αὐτῶν.* n Codd. nostris. 13) *καὶ — νηπίοις αὐτῶν.* Cod. *flor.* Ἐχορτάσθησαν ἀντὶ …ταθήσονται κατὰ τὸν Σ. (Σύμμαχον,) τουτέστιν, οἶδα κ. τ. λ. 14) *αὐτῶν.* Ab- od. 2.

Gen. 3, 19. *b)* Deut. 32, 34. 35.

νοις. 1) τὸ δὲ χορτασθήσονται, ἀντὶ τοῦ, εἰς κόρον μεθέξουσι τῶν κακῶν. ιε΄. Ἐγὼ δὲ ἐν δικαιοσύνη ὀφθήσομαι τῷ προσώπῳ σου. χορτασθήσομαι ἐν τῷ ὀφθῆναι μοι τὴν δόξαν σου. 2) Τῷ παιδί σου. 3) ἐκεῖνοι μὲν 4) γὰρ τοιαύτας δώσουσι δίκας. ἐγὼ δὲ τοῖς παρὰ τῆς δικαίας σου προνοίας ἀγαθοῖς ἐντρυφήσω, πεῖραν μεγίστην τῆς σῆς εὐεργεσίας δεξάμενος.

ΕΡΜΗΝ. ΤΟΥ ιζ΄ ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου, τῷ Δαβίδ. ἃ ἐλάλησε τῷ Κυρίῳ, τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν 5) Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαούλ, 6) καὶ εἶπεν. 7) Δήλη ἡ ἐπιγραφὴ, καὶ ἑρμηνείας οὐ δεομένη· ἔγκειται δὲ καὶ τῇ τῶν Βασιλειῶν ἱστορίᾳ τοῦδε τοῦ ψαλμοῦ ἡ διάνοια. 8) Θαυμάσαι δὲ ἄξιον τὴν τοῦ προφήτου φιλοσοφίαν. τοσαύτας γὰρ ἐπιβουλὰς παρὰ τοῦ Σαοὺλ ὑπομείνας, οὐ συνέταξεν αὐτὸν τοῖς ἐχθροῖς· ἀλλὰ τῶν πολεμίων χωρίσας, 9) οὐχ ὡς δυσμενοῦς ἐμνημόνευσεν. 10) εἰς τὸ τέλος δὲ 11) πρόσκειται· ἐπειδὴ καὶ προφητείαν ἔχει τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τῆς Ἰουδαίων ἀλλοτριώσεως· ἃ μακροῖς ὕστερον γέγονε χρόνοις. β΄. Ἀγαπήσω σε Κύριε, ἡ ἰσχύς μου. γ΄. Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου· ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν· ὑπερασπιστής μου, καὶ κέρας σωτη-

Hoc autem *saturabuntur*, idem est quod ad satietatem vsque malorum participes erunt. 15. *Ego autem in iustitia apparebo in conspectu tuo, satiabor cum mihi apparuerit gloria tua.* Videlicet filio tuo. Illi quidem tales dabunt pœnas: ego autem bonis, quæ a tua iusta prouidentia consequutus sum, perfruar, cum maximum tuæ beneficentiæ periculum fecerim.

* INTERP. PSALMI XVII. *

1. *In finem: puero Domini Dauidi, qui locutus est Domino verba cantici huius, die quo liberauit eum Dominus ex manu omnium inimicorum eius, et ex manu Saulis, et dixit.* Clara est inscriptio, et explanatione non indiget. In historia autem Regnorum a) sensus huius psalmi positus est. Prophetæ autem philosophia admiratione digna est. Cum enim tot insidias a Saule sustinuisset, non inimicis eum adnumerauit, verum ab hostibus eum separans, non tanquam de inimico mentionem fecit. *In finem* vero ponitur, quia vaticinationem etiam de gentium vocatione, Iudæorumque alienatione continet, quæ multis post sæculis euenerunt. 2. *Diligam te Domine fortitudo mea.* 3. *Dominus firmamentum meum, et refugium meum, et liberator meus. Deus meus adiutor meus, et sperabo in eum: protector meus, et cornu salu-*

1) τὸ δὲ — ἀντὶ τοῦ. Cod. *flor.* χορτασθήσονται οὖν, τουτέστιν εἰς κ. λ. 2) Τῷ παιδί σου. Des. in Codd. nostris et apud CORD. p. 287. 3) ἐκεῖνοι — δεξάμενος. Hæc etiam habet EVSEB. ad h. l. 4) γάρ. Abest a Cod. 2. 3. CORD. φησί. 5) Κύριος — εἶπεν. Des. in Cod. 2. 6) καὶ εἶπεν. Abest a Cod. 1. In Cod. 3. sequitur: Σύμμαχος· Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαβίδ· ἐπινίκιον τοῦ δούλου Κυρίου τοῦ Δαβίδ. At vero posterior tantum pars pertinet ad *Symmachum*, teste EVSEBIO et MONTF. Hexapl. T. 1. p. 495. 7) Δήλη — διάνοια. Des. in Cod. 3. 8) Θαυμ. δὲ ἄξιον. Des. in Cod. 2. 9) οὐχ. Cod. 1. οὐδ᾽. 10) εἰς — χρόνοις. Des. in Cod. 3. 11) Cod. 2. πρόκειται.

a) 2 Reg. 22.

tis meæ, et auxiliator meus. Dilectione beneficia compensat propheta. Hanc enim solam Deo, qui beneficium accepit, potest rependere. Hanc etiam Deus sub initio legislationis lege sanxit. Diliges enim, inquit, *a*) Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex totis viribus tuis. Verum amorem sequitur cultus amati. Etenim, *b*) Caritas omnia suffert, omnia credit, omnia sperat, omnia sustinet, caritas nunquam excidit. Promittit autem beatus Dauid, se Deum dilecturum esse, non quod hoc perfecte nondum impleuerit, sed quod non patitur, vt vlla satietas huius amoris eum capiat. Deinde beneficia Dei diuinas facit appellationes, et secundum numerum beneficiorum in se collatorum numerum appellationum componit. Vocat itaque Deum *fortitudinem*, tanquam hanc consecutus: *firmamentum*, tanquam firmus contra hostes factus: *refugium*, quod Deum vt murum et firmum vallum habuerit: *liberatorem*, tanquam per Deum ab inimicis liberatus: *adiutorem*, tanquam illinc opem nactus: *protectorem*, vt propugnatorem in tempore factum: *cornu salutis, et auxiliatorem*, tanquam * eius
* prouidentia seruatus. *Cornu* autem *salutis* posuit, per Metaphoram desumtam a feris, quæ cornibus hostes arcent. „*Cornu* autem „dicitur quoque *regnum*, vt in loco „isto. *c*) Et dabit robur regibus „nostris, et exaltabit cornu Vn-

ρίας 1) μου, καὶ ἀντιλήπτωρ μου. 2) Ἀγάπη τὰς εὐεργεσίας ὁ προφήτης ἀμείβεται· ταύτην γὰρ μόνην τῷ Θεῷ τὸν εὖ πεπονθότα δυνατὸν ἀντιδοῦναι· 3) ταύτην καὶ τῆς νομοθεσίας ἀρχόμενος ἐνομοθέτησεν ὁ Θεός· ἀγαπήσεις γάρ φησι Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας 4) σου, 5) καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς 6) δυνάμεώς σου. ἀλλ' ἕπεται τῇ ἀγάπῃ τοῦ ἀγαπωμένου ἡ θεραπεία. ἡ γὰρ ἀγάπη πάντα στέγει, 7) πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει· ὑπισχνεῖται δὲ ὁ μακάριος Δαβὶδ τὸν Θεὸν ἀγαπήσειν, οὐχ ὡς οὐδέπω τοῦτο τέλεον κατορθώσας· ἀλλὰ κόρον λαβεῖν τῆς ἀγάπης οὐκ ἀνεχόμενος· εἶτα τὰς εὐεργεσίας 8) θείας ποιεῖται προσηγορίας, καὶ τὸν κατάλογον ὧν ἔτυχεν ἀγαθῶν κατάλογον ὀνομάτων ἐργάζεται· καὶ καλεῖ τὸν Θεὸν ἰσχὺν, ὡς ταύτης μεταλαχών. στερέωμα, ὡς 9) στερεὸς κατὰ τῶν πολεμίων γενόμενος· καταφυγὴν, ὡς τεῖχος ἐσχηκὼς τὸν Θεὸν, καὶ περίβολον 10) ὀχυρόν· ῥύστην, ὡς διὰ τοῦ Θεοῦ τῶν δυσμενῶν ἀπηλλαγμένος· βοηθὸν, ὡς ἐκεῖθεν ἐπικουρίας τυχών· ὑπερασπιστὴν, ὡς πρόμαχον ἐν καιρῷ γεγενημένον· κέρας σωτηρίας, καὶ ἀντιλήπτορα, ὡς τῇ αὐτοῦ προμηθείᾳ περισωθείς. τὸ δὲ κέρας σωτηρίας τέθεικεν ἐκ μεταφορᾶς τῶν ζώων, τῶν τοῖς κέρασιν τοὺς πολεμίους ἀμυνομένων. 11) „Κέρας δὲ λέγεται καὶ ἡ „βασιλεία, καὶ δώσει γὰρ ἰσχὺν τοῖς βα„σιλεῦσιν ἡμῶν· καὶ ὑψώσει κέρας Χρι„στοῦ

1) μου. Abest a Cod. 2. 2) Ἀγάπη — ἐκπίπτει. Def. apud CORD. p. 305. 3) Cod. 1. ταύτῃ. Cod. 2. ταύτης. 4) σου. Abest a Cod. 1. 5) καὶ — ψυχῆς σου. Def. in Cod. 3. 6) δυνάμεως. Leg. esse videtur vel ἰσχύος vel διανοίας. 7) πάντα πιστεύει. Def. in Cod. 2. 8) θείας ποιεῖται. Cod. 3. ἃς ἐνομοθέτησεν ὁ Θεὸς, μιᾶς ποιεῖται. 9) Cod. 3. στεῤῥός. 10) ὀχυρόν. Cod. 2. ἰσχυρόν. 11) Alienum hæc in Cod. 3. occupant locum, culpa Librarii ad v. 4. post δυσμενῶν, relata.

a) Luc. 10, 27. *b*) 1 Cor. 13, 7. 8. *c*) 1 Reg. 2, 10.

„στοῦ αὐτοῦ· ἀντὶ τοῦ τὴν βασιλείαν τοῦ „Χριστοῦ αὐτοῦ.„ δ'. Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον· καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. Ἐνταῦθα διδασκόμεθα χάριν μὲν ὁμολογεῖν ὑπὲρ τῶν ὑπηργμένων ἀγαθῶν, αἰτεῖν δὲ πάλιν τὰ 1) ἐνδέοντα· τοῦτο γάρ φησι ποιῶν, κρείττων ἔσομαι τῶν δυσμενῶν. 2) εἶτα διηγεῖται τὰς παντοδαπὰς τῶν πολεμίων ἐπαναστάσεις. έ. Περιέσχον με ὠδῖνες θανάτου· καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με. ς'. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με· προέφθασάν με παγίδες θανάτου. Ὠδῖνας θανάτου καὶ ᾅδου καλεῖ τοὺς θανατηφόρους κινδύνους. καθάπερ γὰρ αἱ ὠδῖνες παρ' 3) αὐτὸν γίνονται τὸν τόκον, οὕτω οἱ μέγιστοι κίνδυνοι τῷ θανάτῳ πελάζουσι· χειμάῤῥους δὲ ἀνομίας τὰς ἀδίκους καὶ ἀθρόας τῶν ἐχθρῶν προσβολάς· καθάπερ 4) γὰρ ὁ χειμάῤῥους, τὰς τῶν ὑδάτων συῤῥοίας ἐντεῦθεν κἀκεῖθεν φερομένας δεχόμενος, ἐξαπιναίως προσβάλλει· οὕτω καὶ ὁ Σαοὺλ, καὶ οἱ ἄλλοι πολέμιοι, ταῖς ἐφόδοις ἐχρῶντο. παγίδας 5) δὲ θανάτου, τὰς ἐνέδρας ἐκάλεσεν· 6) ὅπερ γὰρ 7) τοῖς ἀλόγοις ἡ 8) παγὶς, 9) τοῦτο τοῖς πολεμουμένοις ὁ λόχος. ἑκάτερα γὰρ λαθραίας βλάβης ἐστὶ μηχανήματα. ζ'. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα. ἤκουσε 10) Κύριος ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου· καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. 11) Ὑπὸ τοσούτων μέντοι πολιορκούμενος συμφορῶν, πάσης ἀνθρωπίνης καταφρονήσας ἐπικουρίας, τὴν θείαν ἐπεκαλεσάμην ῥοπὴν, καὶ τῆς ἐλπίδος οὐκ ἐψεύσθην. παραυτίκα γάρ μου τὰς ἱκε-

„sti sui, h. e. regnum Vncti „sui.„ 4. *Laudans inuocabo Dominum, et ab inimicis meis saluabor.* Hîc discimus de beneficiis collatis gratias agere, et rursus petere necessaria. Hoc enim, inquit, faciens, inimicis superior ero. Deinde persequitur omnigenos inimicorum insultus. 5. *Circumdederunt me dolores mortis, et torrentes iniquitatis conturbauerunt me.* 6. *Dolores inferni circumdederunt me, praeoccupauerunt me laquei mortis.* *Dolores mortis* et *inferni* nuncupat pericula mortis. Quemadmodum enim dolores sunt prope ipsum partum: sic maxima discrimina ad mortem appropinquant. *Torrentes* autem *iniquitatis*, iniustos atque frequentes inimicorum impetus appellauit. Etenim sicut torrens, aquas hinc et inde concurrentes recipiens, repente impetum facit: sic etiam Saul, ceterique hostes inuasionibus vtebantur. *Laqueos* autem *mortis*, insidias nuncupauit: nam quod belluis laqueus est, hoc iis qui bello petuntur sunt insidiae: vtrumque enim clandestini damni est machinatio. 7. *In tribulatione mea inuocaui Dominum, et ad Deum meum clamaui: et exaudiuit de templo sancto suo vocem meam, et clamor meus in conspectu eius introiuit in aures eius.* A tot tantisque calamitatibus obsessus, omni humano auxilio despecto, diuinam imploraui opem, nec spes me fefellit: nam preces meas illico

1) Cod. 2. δέοντα. 2) εἶτα — ἐπαναστάσεις. Def. in Cod. 3. 3) αὐτὸν — τὸν τόκον. Cod. 2. αὐτοῦ — τοῦ τόκου. 4) γάρ. Abest a Cod. 2. 5) δέ. Abest a Cod. 2. 6) ὅπερ. Cod. 1. ὥσπερ. 7) τοῖς. Cod. 3. praem. ἐστί. 8) Cod. 3. πάγη. 9) Cod. 1. οὕτω. 10) Κύριος. Abest a Cod. 3. 11) Cod. 2. ἀπό.

sico admisit. *Templum* autem hic non manufactum dicit, nec enim tunc temporis erectum fuerat, quia Salomo postea illud construxit; sed cœlum ita appellauit. 8. *Commota est, et contremuit terra, fundamenta montium conturbata sunt, et commota sunt, quoniam iratus est eis Deus.* 9. *Adscendit fumus in ira eius, et ignis a facie eius exardescet, carbones succensi sunt ab eo.* Omnia autem hæc posuit, non quod omnino sic accide-rint, sed quod ita credita sint. * Non solum vero puniens Deus, verum etiam homines * exterrens, similia sæpe fecit, per tonitrua, et fragores, et terræ motus, et ignem iniiciens terrorem. Eodem modo cum Israëlem terrere voluisset, Sinai montem igne fumantem ostendit. Per ista igitur et præsens propheta pœnam hostibus inflictam indicauit: docet vero et alios homines, ne similia perpetrent, similiaque patiantur. 10. *Inclinauit cælos, et descendit, et caligo sub pedibus eius.* 11. *Et adscendit super Cherubim, et volauit super pennas*

τείας ἐδέξατο· ναὸν δὲ ἐνταῦθα, οὐ τὸν χειροποίητον λέγει· οὐδὲ γὰρ ᾠκοδόμητο τηνικαῦτα· ὁ Σολομὼν γὰρ αὐτὸν ἐδείματο μετὰ ταῦτα· ἀλλὰ τὸν οὐρανὸν προσηγόρευσεν οὕτω. ή. Καὶ ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ· καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν· καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός. θ'. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ· καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ 1) καταφλεγήσεται· ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ. 2) Ταῦτα δὲ ἅπαντα τέθεικεν, οὐχ ὡς πάντως οὕτω γεγενημένα, ἀλλ' ὡς οὕτω τῇ πίστει 3) νενοημένα. οὐ μόνον δὲ τιμωρούμενος ὁ Θεὸς, ἀλλὰ καὶ δεδιττόμενος τοὺς ἀνθρώπους, πολλάκις τοιαῦτα πεποίηκε, καὶ βρονταῖς, 4) καὶ κτύποις, καὶ σεισμοῖς 5) ἐκπλήττων, καὶ πυρί. οὕτω καὶ τὸν Ἰσραὴλ 6) δεδίξασθαι θελήσας, τὸ Σινᾶ ὄρος πυρὶ καπνιζόμενον ἔδειξε. 7) διὰ 8) τούτων 9) τοίνυν καὶ ὁ παρὼν προφήτης τὴν τοῖς πολεμίοις ἐπενεχθεῖσαν τιμωρίαν ἐμήνυσε. διδάσκει δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους, μὴ τὰ ὅμοια δρᾶν, ἵνα μὴ τὰ ὅμοια πάθωσιν. 10) ί. Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη· καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. ιά. Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ 11) ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

ξωθεν ὄντας δυνατὸν ἀπολαῦσαι τῆς θέρμης. τὸ γὰρ χειροποίητον φῶς οὐχ οἷόν τε μὴ πελάζοντας τοῦτο ποιῆσαι. ὁ δέ γε ἥλιος καὶ πόῤῥωθεν 1) ἀφεὶς ἀκτῖνας 2) τῆς θέρμης σὺν τῷ φωτὶ μεταδίδωσιν. 3) ἀπόχρη καὶ ταῦτα δεῖξαι τοῖς ἀνθρώποις τὸν ποιητήν· ἀλλ᾽ 4) ὅμως καὶ νόμον ἔδωκεν εἰς βοήθειαν, ἐπιστρέψαι τοὺς πλανωμένους δυνάμενον. η. Ὁ νόμος [γάρ φησιν] Κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστὴ, σοφίζουσα νήπια. θ. Τὰ 5) δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν· ἡ ἐντολὴ Κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς. ι. Ὁ φόβος Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος. τὰ κρίματα Κυρίου ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτό. ια. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν· καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. Νόμον καὶ μαρτυρίαν, καὶ δικαιώματα, καὶ ἐντολὴν, καὶ κρίματα, τὸν 6) Μωσαϊκὸν νόμον καλεῖ· οὕτω γὰρ καὶ αὐτὸς 7) ὁ νόμος ἑαυτὸν ὀνομάζει· ποτὲ μὲν γὰρ λέγει· ταῦτα τὰ δικαιώματα, καὶ τὰ κρίματα, ἃ ἔδωκε 8) Κύριος Μωσῇ. καὶ ἀλλαχοῦ· 9) φυλάξεις τὸν νόμον Κυρίου τοῦ Θεοῦ σου, καὶ τηρήσεις τὰς ἐντολὰς αὐτοῦ· καὶ καλεῖται μὲν νόμος, ὡς τὴν ἀρίστην πολιτείαν ῥυθμίζων, καὶ διατάττων. μαρτυρία δὲ, ὡς τοὺς ἁμαρτάνοντας. 10) διαμαρτυρόμενος, καὶ τῆς παραβάσεως τὴν τιμωρίαν ὑποδεικνύς· δικαιώματα δὲ, ὡς διδάσκων τὸ δίκαιον, καὶ ἀπαγορεύων τὸ ἄδικον, καὶ τοὺς κατορθοῦντας ἀποφαίνων δι-

ge absunt calore frui possint. Nam lumine hominum manu accenso, caloris, nisi appropinquantes, participes esse non possunt. Sol autem etiam longissime radios emit- *
tens, * calorem cum lumine impertit. Omnia hæc satis sunt vt creatorem hominibus demonstrent. Veruntamen præter hæc, etiam legem nobis adiumento largitus est, quæ errantes homines dirigere possit. 8. *Lex Domini immaculata conuertens animas: testimonium Domini fidele, sapientiam præstans paruulis.* 9. *Iustificationes Domini recta, lætificantes cor, præceptum Domini lucidum, illuminans oculos.* 10. *Timor Domini purus permanens in sæculum sæculi: iudicia Domini vera, iustificata ad vnum omnia.* 11. *Desiderabiliora auro, et lapide pretioso multo, et dulciora melle et fauo.* *Legem*, et *testimonium*, et *iustificationes*, et *præceptum*, et *iudicia* Mosis nuncupat legem. Sic enim lex quoque ipsa seipsam nominat. Nam aliquando quidem dicit: a) Hæc sunt iustificationes, hæc iudicia, quæ dedit Dominus Mosi. Et alibi: b) Custodies legem Domini Dei tui, et eius præcepta seruabis. Et vocatur quidem *lex*, tanquam optimum reipublicæ statum dispensans, atque ordinans. *Testimonium* vero, veluti peccantes testificans, et transgressionis vindictam ostendens. *Iustificationes* autem, quasi iustum docens, et prohibens iniustum, recteque agentes iustos esse declarans.

1) Cod. 1. 2. ἀφεὶς τάς. 2) τῆς. Cod. 1. 2. præm. καί. 3) ἀπόχρη καὶ ταῦτα. Cod. vterque ταῦτα πάντα, φησί, ἀπόχρη. Ita quoque legit *Carafa*. 4) ὅμως. Cod. vterque addit πρὸς τούτοις. Sicque legit *Carafa*. 5) δικαιώματα. Aptior est h. l. vox προστάγματα, quæ *Symmachi* esse putatur versio. 6) Μωσαϊκόν. Cod. 3. Μωϋσέως. 7) ὁ νόμος. Des. in Cod. 1. 2. 8) Κύριος. Cod. 1. addit ὁ Θεός. 9) Cod. 1. et 3. καὶ φυλάξῃ. 10) Cod. 2. μαρτυρόμενος.

a) Deut. 6, 1. b) Ib. c. 7, 11.

clarans. *Praeceptum* vero, eo quod quid agendum sit praecipit, atque domini more imperat. *Iudicia* autem, tanquam diuinas sententias ostendens, atque edocens, quibus bonis perfruetur, qui eas custodit, quibusque suppliciis plectetur, qui transgreditur. Dicit igitur, cum Dei lex penitus ab omni reprehensione libera sit, hominum animas conuertit, et immaculatas eas reddit. Testimonium vero exterrendo imperfectis atque infantibus sapientiam praestat. Porro iustificationes cor laetificant, iustificationis causam demonstrantes. Praeceptum autem, internos mentis oculos illuminat, docens quomodo Deus vniuersorum colatur. Pietas quidem, atque Dei timor, horum custodiam subministrans, in causa est vt sempiternis bonis fruamur. Merito autem Dei timorem purum appellat, videlicet reprehensione carentem, tanquam humano timore improbato, vt qui timiditatis appellationem continet. Iudicia autem *vera* atque *iustificata* nominauit, veluti honores * et supplicia iusta hominibus afferentia. Haec igitur auro lapidibusque pretiosis pretiosiora, atque melle dulciora esse dicit: at non omnibus hominibus, sed iis qui reuera homines sunt, quorum vita non comparatur iumentis, quae sunt rationis expertia, secundum ipsius prophetae vocem.a) 12. *Etenim seruus tuus custodit ea.* Et quo lucro id fiat magis dilucide edoce. *In custodiendis illis retributio multa.* Maximum enim,

καίους· ἐντολὴ δὲ, ὡς τὸ πρακτέον ἐντελλόμενος καὶ κελεύων δεσποτικῶς· κρίματα δὲ, ὡς τὰς θείας ψήφους ὑποδεικνὺς, καὶ διδάσκων τίνων μὲν ὁ φυλάττων τεύξεται ἀγαθῶν, 1) τίσιν δὲ ὁ παραβαίνων τιμωρίαις παραδοθήσεται· λέγει τοίνυν, 2) ὅτι ὁ νόμος τοῦ Θεοῦ, μώμου παντὸς ἐλεύθερος ὢν, τὰς τῶν ἀνθρώπων ἐπιστρέφει ψυχὰς, 3) καὶ ἀμώμους αὐτὰς ἀπεργάζεται. δεδιττομένη δὲ ἡ μαρτυρία τοὺς ἀτελεῖς καὶ νηπίους 4) σοφίζει· εὐφραίνει δὲ τὴν καρδίαν τὰ δικαιώματα, τῆς δικαιώσεως τὴν αἰτίαν ὑποδεικνῦντα· ἡ ἐντολὴ δὲ φωτίζει τῆς διανοίας τὸ ὀπτικὸν, διδάσκουσα τί τὸν τῶν ὅλων θεραπεύει Θεόν· ἡ εὐλάβεια μέντοι, καὶ ὁ τοῦ Θεοῦ φόβος, τὴν τούτων ὑποτιθέμενος φυλακὴν, τῶν αἰωνίων ἀγαθῶν προξενεῖ τὴν ἀπόλαυσιν· εἰκότως δὲ τὸν τοῦ Θεοῦ φόβον ἁγνὸν προσηγόρευσε, τουτέστι μέμψεως καθαρόν· ὡς τοῦ ἀνθρωπείου φόβου ψεγομένου, καὶ δειλίας προσηγορίαν ἔχοντος· τὰ δὲ κρίματα ἀληθινὰ, καὶ δεδικαιωμένα ὠνόμασεν· ἅτε δὴ 5) καὶ τιμὰς καὶ τιμωρίας 6) ἐνδίκους ἐπιφέροντα τοῖς ἀνθρώποις. 7) ταῦτα 8) οὖν ἔφη καὶ χρυσοῦ καὶ λίθων 9) τιμίων τιμιώτερα, καὶ μέλιτος εἶναι γλυκύτερα· ἀλλ' οὐ πᾶσιν ἀνθρώποις, 10) ἀλλὰ τοῖς ἀληθῶς ἀνθρώποις, ὧν ὁ βίος οὐ παραβάλλεται τοῖς ἀλόγοις κτήνεσι, κατὰ τὴν αὐτοῦ τοῦ προφήτου φωνήν. ιβ. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά. Ἐπὶ τίνι κέρδει, σαφέστερον δίδαξον. ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. Μεγίστη, φησὶν, ἀντίδοσις

1) τίσιν — παραδοθήσεται. Cod. 1. τίσιν δὲ τιμωρίαις ὁ παραβαίνων παραδοθήσεται. 2) ὅτι. Abest a Codd. aug. 3) καὶ — ἀπεργάζεται. Des. in Cod. 1. 2. 4) σοφίζει. Cod. 2. σώζει. 5) καὶ — τιμωρίας. Cod. 1. τινὰς καὶ τιμωρίας. Cod. 2. καὶ τιμωρίας καὶ τιμάς. 6) Codd. aug. ἐνδίκως. 7) ταῦτα — ἀνθρώποις. Des. in Cod. 3. 8) οὖν. Abest a Cod. 1. 2. 9) τιμίων. Abest a Cod. 2. 10) ἀλλὰ — ἀνθρώποις. Des. in Cod. 2.

a) Ps. 32, 9.

τίδοσις πρόκειται τοῖς ταῦτα 1) φυλάττειν προαιρουμένοις. καὶ 2) ἐπειδήπερ εἴρηκε τοῦ Θεοῦ φυλάττειν τὰ κρίματα, εἰς νοῦν λαβὼν τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τοῦ ῥήματος τὸ ὑπέρογκον λογισάμενος, εὐθὺς ἐπήγαγε· ιγ΄. Παραπτώματα τίς συνήσει; 3) ἀπὸ τῶν κρυφίων μου καθάρισόν με. 4) Κἂν γὰρ προθυμίᾳ πολλῇ φυλάξαι βουληθῶ τοῦ Θεοῦ τὰς ἐντολὰς, ὑπὸ τῆς φυσικῆς ἀσθενείας εἰς πολλὰ παρὰ γνώμην 5) καθέλκομαι. καί τινα μὲν ἀγνοῶν πλημμελῶ· τινὰ δὲ ὑπὸ τῶν προσπιπτουσῶν νικώμενος 6) περιστάσεων. κἂν διαφύγω δὲ τῶν ἔργων τὴν 7) μαρτυρίαν, ῥύπου με παντὸς ἀναπιμπλῶσιν οἱ λογισμοί. διὰ τοῦτο ἱκετεύω σε τὸν καθᾶραι δυνάμενον, καὶ βοῶ, ἀπὸ τῶν κρυφίων μου καθάρισόν με. ιδ΄. Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. 8) Οὐ γὰρ μόνον με οἱ λογισμοὶ 9) κυκλοῦσιν· ἀλλὰ καὶ τῶν δαιμόνων τὸ στίφος πολιορκεῖ· καὶ οἱ μὲν ἔξωθεν ἐπιβουλεύουσιν, οἱ δὲ συμπράττουσιν ἔνδοθεν. εἰκότως δὲ αὐτοὺς ἀλλοτρίους ὠνόμασεν, ὡς δυσμενεῖς καὶ πολεμίους, καὶ παντελῶς ἀρνησαμένους τὴν πρὸς ἡμᾶς οἰκειότητα. Ἐὰν μή μου 10) κατακυριεύσουσι, τότε ἄμωμος ἔσομαι· καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. ιε΄. Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν 11) μου ἐστὶ διαπαντός. 12) Τῆς δὲ σῆς ἐπικουρίας ἀπολαῦσαι πο-

ait, præmium volentibus hæc custodire proponitur: et quia Dei indicia custodire se dixit, humanam imbecillitatem in memoriam reuocans, atque huius verbi fastum considerans, statim subiunxit: 13. *Delicta quis intelliget? ab occultis meis munda me.* Etsi enim Dei mandata magna cum alacritate animi seruare volo, tamen a naturali infirmitate ad multa præter opinionem trahor: et nonnulla quidem inscienter pecco, nonnulla vero irruentibus calamitatibus oppressus. Ac licet operibus peccatum declinem, tamen cogitationes omni sorde me polluunt. Propterea te obsecro, qui me expiare potes, et clamo, *Ab occultis meis munda me.* 14. *Et ab alienis parce seruo tuo.* Non enim tantum me cogitationes circumstant, verum etiam dæmonum agmine obsideor. Et hi quidem extrinsecus insidiantur, hæ vero intus conspirant. Merito autem ipsos *alienos* appellauit, vt inimicos et hostes, et penitus nolentes nobiscum familiaritatem habere. *Si mihi non dominantur rint, tunc immaculatus ero, et emundabor a delicto magno.* 15. *Et omnino placebunt eloquia oris mei, et meditatio cordis mei in conspectu meo semper.* Tua autem ope perfrui desidero, vt

1) φυλάττειν προαιρουμένοις. Cod. 2. φυλάττουσιν. 2) ἐπειδήπερ εἴρηκε. Cod. 2. ἐπειδὴ οἶδεν ὅτι εἴρηκε. 3) ἀπό. Cod. 3. ἐκ. 4) Κἂν. Cod. 2. ἐάν. 5) Cod. 2. ἕλκομαι. 6) περιστάσεων. Eandem h. l. habet significationem quæ passim occurrit apud *Eusebium*, cui tamen hæc a nemine quantum scio, vindicata sunt. 7) μαρτυρίαν. Leg. esse videtur ἁμαρτίαν, vt habet CORD. p. 349. 8) Οὐ — οἰκειότητα. Hæc in Cod. *flor.* ad præc. vers. relata sunt. 9) κυκλοῦσιν. Cod. 1. κυκλῶσιν. 10) Codd. tres, κατακυριεύσωσι. 11) μου. Rec. lectio est σου, nostram autem tuetur Codex 1. *august.* Sequens ἐστὶ abest a Cod. 1. et 2. 12) Τῆς — [illegible]ύμενος. Des. in Cod. nostro 3. et in *flor.*

vt horum insidias subterfugiens, animam penitus ab omni labe liberam tibi exhibeam: et præteritorum peccatorum veniâ a te impetratâ, sempiternam tibi hymnorum cantilenam offeram, tua oracula semper meditans. Per hæc igitur nouum testamentum prædicit, et baptismi gratiam, et Spiritus sancti donum, a quo et præteritorum peccatorum veniam credentes accipiunt, atque in posterum satis auxilii habentes, et insurgentibus affectibus, et malis insidiantibus spiritibus superiores fiunt. Ad * hæc subiungit, * *Domine adiutor mi, et redemptor mi.* Accommodatam psalmo perorationem posuit. Nam *Dominum* quidem, vt creatorem, et opificem vocauit: *redemptorem* vero, tanquam per sancti baptismatis regenerationem, tum a pristino interitu liberantem, et a dæmonum seruitute redimentem, tum incorruptam atque immortalem naturam largientem. Hæc autem et illa psalmus continet. Et prima quidem pars mundi fabricam et prouidentiam docet: media vero legem: vltima autem gratiam. *Delicta enim*, ait, *quis intelligit? et ab occultis meis munda me Domine, et ab alienis parce seruo tuo:* et *Domine adiutor mi, et redemptor mi.* Hæc autem bona per nouum testamentum nobis suppeditantur.

θῷ· ἵνα τὰς τούτων ἐπιβουλὰς διαδρὰς, μώμου σοι παντὸς ἐλευθέραν τὴν ψυχὴν παραστήσω· καὶ τῶν προεπταισμένων παρὰ σοῦ λαβὼν τὴν συγγνώμην, αἰώνιόν σοι προσενέγκω τὴν ὑμνῳδίαν, τῶν σῶν λογίων 1) διηνεκῆ τὴν μελέτην ποιούμενος. διὰ τούτων μέν τοι τὴν καινὴν διαθήκην 2) προαγορεύει, καὶ τοῦ βαπτίσματος τὴν χάριν, 3) καὶ τὴν τοῦ παναγίου πνεύματος δωρεάν· ὑφ᾽ ἧς καὶ τῶν 4) προεπταισμένων τὴν ἄφεσιν λαμβάνουσιν οἱ πιστεύοντες· καὶ εἰς τὸν ἔπειτα χρόνον ἱκανὴν βοήθειαν ἔχοντες, καὶ τῶν ἐπανισταμένων παθῶν, καὶ τῶν ἐπιβούλων καὶ πονηρῶν περιγίνονται πνευμάτων. τούτοις ἐπιφέρει, Κύριε βοηθέ μου, καὶ λυτρωτά μου. Ἁρμόδιον τῷ ψαλμῷ τὸ ἀκροτελεύτιον τεθεικὼς, Κύριον 5) μὲν ἐκάλεσεν, 6) ὡς ποιητὴν καὶ δημιουργόν· λυτρωτὴν δὲ, ὡς διὰ τῆς 7) παλιγγενέσεως τοῦ 8) παναγίου βαπτίσματος, τῆς μὲν προτέρας ἐλευθεροῦντα φθορᾶς, καὶ τῆς τῶν δαιμόνων δουλείας λυτρούμενον, ἀφθαρσίαν δὲ καὶ ἀθανασίαν δωρούμενον· καὶ ταῦτα δὲ κἀκεῖνα ὁ ψαλμὸς περιέχει· καὶ τὰ μὲν πρῶτα τὴν δημιουργίαν διδάσκει καὶ πρόνοιαν· τὰ δὲ μέσα, τὸν νόμον· τὰ δὲ τελευταῖα, τὴν χάριν. 9) παραπτώματα γάρ φησι τίς συνήσει; καὶ 10) ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου· καὶ, Κύριε βοηθέ μου, καὶ λυτρωτά μου. τούτων δὲ τῶν ἀγαθῶν χορηγὸς ἡ καινὴ διαθήκη.

ΕΡΜΗΝ.

1) Cod. 2. διηνεκῶς. 2) Cod. 1. ὑπαγορεύει. Cod. 2. προσαγορεύει. 3) καὶ τὴν — πνευμάτων. Hæc in Cod. *flor.* ad pauca ista contrahuntur: καὶ τῶν προϋπηργμένων ἄφεσιν διδοῦσαν καὶ πρὸς τὸ μέλλον βοήθειαν, ἀπό τε παθῶν καὶ πνευμάτων φυλάττουσαν. Deinde sequitur: ὅταν γὰρ τούτων καθαρεύῃ ὁ ἄνθρωπος, τότε ἀκουστὴ γίνεται τῷ Θεῷ ἡ εὐχὴ τοῦ ἀνθρώπου. 4) Cod. 2. ἐκπταισμένων. 5) μέν. Cod. 1. 2. addunt γάρ. 6) ὡς. Abest a Cod. 2. 7) Codd. tres *aug.* et CORD. p. 349. παλιγγενεσίας. 8) Cod. 3. ἁγίου. 9) παραπτώματα — διαθήκη. Des. in Cod. 3. 10) ἀπό. Cod. 1. ἐκ.

ΕΡΜΗΝ. ΤΟΥ ιθ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. 1) Τοῦ Σενναχηρεὶμ ἐπιστρατεύσαντος τῇ Ἰουδαίᾳ ποτὲ, καὶ στρατιὰν μεγίστην εἰς πολιορκίαν τῆς Ἱερουσαλὴμ ἀποστείλαντος, 2) ἧς ἐστρατήγει Ῥαψάκης, καὶ γράμματα τῷ Ἐζεκίᾳ πέμψαντος βλασφημίας ἁπάσης καὶ δυσσεβείας μεστά· ὁ μακάριος Ἐζεκίας, ἀνὴρ εὐσεβείᾳ πάσῃ κοσμούμενος, ταύτην λαβὼν τὴν ἐπιστολὴν, καὶ τὸν προφήτην Ἡσαΐαν εἰς συνηγορίαν παραλαβὼν, ἔδραμεν εἰς τὸν θεῖον 3) νεὼν, καὶ τὴν ἐπιστολὴν ἀναπτύξας, 4) ὑπέδειξε τῷ Θεῷ, τὴν τῶν πολεμίων διδάσκων ἀσέβειαν, καὶ παρακαλῶν τῆς γεγενημένης ἕνεκα βλασφημίας δεῖξαι τοῖς Ἀσσυρίοις τὴν οἰκείαν ἰσχύν. ταῦτα πρὸ πολλῶν γενεῶν ὁ 5) μακάριος προαγορεύει Δαβὶδ, ὑπὸ τοῦ παναγίου φωτιζόμενος πνεύματος. καὶ τὸν παρόντα λέγει ψαλμὸν, τὸν λαὸν ὑποδεικνὺς 6) τῷ βασιλεῖ συνευχόμενον, καὶ 7) παρακαλοῦντα δεκτὴν αὐτοῦ γενέσθαι τὴν 8) ἱκετείαν. β΄. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως· ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. γ΄. 9) Ἐξαποστείλαι βοήθειαν ἐξ ἁγίου· καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. Ἐπειδὴ γὰρ εἰς τὸν θεῖον νεὼν ἔδραμεν ὁ θαυμάσιος Ἐζεκίας τὴν βλάσφημον κατέχων ἐπιστολὴν, ἱκετεύουσι δεχθῆναί τε αὐτοῦ τὴν ἱκετείαν, καὶ τῆς ἐκεῖθεν ἐπικουρίας τυχεῖν. 10) ἅγιον ἐνταῦθα τὸν 11) νεὼν προσηγόρευσεν. δ΄. Μνησθείη 12) Κύριος

INTERP. PS. XIX.

1. *In finem, Psalmus Dauidi.* Cum Sennacherim Iudæam bello olim inuasisset, a) et ad obsidionem Hierosolymæ numerosum exercitum misisset, cuius Rapsaces dux erat, literasque blasphemia omni et impietate plenas ad Ezechiam dedisset; beatus Ezechias, vir omni pietate ornatus, hac accepta epistola, et in auxilium vocato Esaia propheta, cucurrit in diuinum templum, epistolamque explicatam Deo ostendit, hostium impietatem demonstrans, rogansque, vt ob effusas blasphemias Assyriis suam ostenderet potentiam. Hæc multis ante sæculis beatus Dauid prædicit, diuino afflatus numine, et præsentem dictat psalmum: vbi ostendit, populum vna cum rege precantem, obsecrantemque, vt eius preces Deo sint acceptæ. 2. *Exaudiat te Dominus in die tribulationis, protegat te nomen Dei Iacobi.* 3. *Mittat tibi auxilium de sancto, et de Sion tueatur te.* Postquam enim magnus Ezechias ad diuinum templum cucurrit, manu tenens epistolam blasphemiæ plenam, precatur populus, vt illius preces admittantur, et inde opem referat. *Sanctum* enim hoc loco templum appellauit. 4. *Memor sit omnis sacrificii*

1) Τοῦ. Cod. 3. præm. ὡς. 2) Cod. 2. ἧ. 3) Cod. 2. ναόν. 4) Cod. 3. ἐπέδειξε. 5) μακάριος. Cod. 2. θεῖος. 6) τῷ βασιλεῖ συνευχόμενον. Cod. 1. ὑπὲρ τοῦ βασιλέως εὐχόμενον. Ita quoque habet Cod. 2. vbi tamen leg. εὐχόμενος. 7) Cod. 2. παρακαλῶν. 8) ἱκετείαν. Cod. 3. addit: ἐξ ἁγίου δέ φησι ἐνταῦθα τὸν νεών. Hæc ad vers. 3. spectant. 9) Ἐξαποστείλαι. Cod. 2. add. σοί. 10) ἅγιον. Cod. 1. 2. addunt γάρ. 11) Cod. 2. ναόν. 12) Κύριος. Abest a Codd. aug.

a) 4 Reg. 19.

sacrificii tui, et holocaustum tuum * *pinguefiat.* * Quoniam etiam tempore pacis diuinum cultum studiose curabat, merito hæc de ipso dicunt, precantes vniuersorum Deum, vt respiciat regis pietatem, et multorum omnisque generis sacrificiorum recordetur, rursusque pacem concedat, vt pluribus ipsum sacrificiis placaret. Hoc enim *holocaustum tuum pinguefiat*, ita Symmachus interpretatus est, *ampliorem oblationem tuam faciat*: hoc est, securitate pacis concessa, præbeat tibi ansam, vt pluribus ipsum sacrificiis places. 5. *Tribuat tibi secundum cor tuum, et omne consilium tuum confirmet.* Iustum, inquit, iudicem precamur, vt tuæ animæ puritati congruentem remunerationem largiatur. 6. *Lætabimur de salutari tuo: et in nomine Dei nostri magnificabimur.* 7. *Impleat Dominus omnes petitiones cordis tui.* Te enim, quod petiisti, accipiente, etiam nos lætitiæ participes erimus, clari et illustres Dei potentia facti. *Nunc cognoui, Dominum saluum fecisse Christum suum: exaudiet illum de cælo sancto suo.* Rerum, inquit, experientia didicimus, regem nostrum Deo fretum salutem consecuturum, et in inferiori templo preces offerentem, de superiori auxilium accipere. Postquam enim ostendit ipsum inferius precantem, ostendit,

πάσης θυσίας σου· καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. Ἐπειδὴ 1) καὶ ἐν τῷ τῆς εἰρήνης καιρῷ τῆς θείας ἐπεμελεῖτο λατρείας, εἰκότως ταῦτα περὶ αὐτοῦ 2) διεξίασι, παρακαλοῦντες τὸν τῶν ὅλων Θεὸν ἀπιδεῖν εἰς τὴν τοῦ βασιλέως εὐσέβειαν· καὶ τῶν πολλῶν καὶ παντοδαπῶν ἱερείων μνησθῆναι, καὶ δοῦναι πάλιν εἰρήνην, ἵνα πλείοσιν αὐτὸν ἐξιλεώσηται θύμασι· τὸ γὰρ ὁλοκαύτωμά σου πιανάτω, οὕτως ὁ Σύμμαχος ἡρμήνευσεν, καὶ τὴν ἀναφορὰν σου 3) πλείονα 4) ποιήσῃ· τουτέστι τὴν ἀπὸ τῆς εἰρήνης ἄδειαν δοὺς, παράσχῃ σοι καιρὸν, εἰς τὸ πλείοσιν αὐτὸν θυσίαις ἐξιλεώσασθαι. έ. Δώῃ σοι Κύριος κατὰ τὴν καρδίαν σου· καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι. Τὸν δίκαιόν φησι κριτὴν ἱκετεύομεν, τῇ τῆς ψυχῆς σου καθαρότητι κατάλληλον τὴν ἀντίδοσιν δοῦναι. ς'. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου· καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. ζ'. Πληρώσαι Κύριος πάντα τὰ αἰτήματα 5) τῆς καρδίας σου. 6) Σοῦ γὰρ τὰς αἰτήσεις λαμβάνοντος, καὶ ἡμεῖς κοινωνήσομεν τῆς εὐφροσύνης, περιφανεῖς καὶ περίβλεπτοι τῇ τοῦ Θεοῦ δυνάμει γιγνόμενοι. νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν Χριστὸν αὐτοῦ· ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ. δι' αὐτῶν φησὶ μεμαθήκαμεν τῶν πραγμάτων, ὡς τῷ Θεῷ θαῤῥήσας ὁ ἡμέτερος βασιλεὺς, τεύξεται τῆς σωτηρίας· καὶ ἐν τῷ κάτω 7) νεῷ προσφέρων τὰς ἱκετείας, ἄνωθεν δέχεται τὴν βοήθειαν. 8) ἐπειδὴ γὰρ ἔδειξεν αὐτὸν προσευχόμενον κάτω, δεικνυ-

1) καὶ ἐν. Codd. aug. καὶ ἐν. 2) Cod. 2. διέξεισι. 3) πλείονα. MONTF. Hexapl. Orig. T. I. p. 499. leg. πίονα, sed nostram quoque lectionem ex vno Codice recensuit. 4) Cod. 1. ποιήσοι. 5) τῆς καρδίας. Hæc in vers. græca desid. 6) Σοῦ. Cod. 2. τοῦ. 7) Cod. 2. ναῷ. 8) Cod. 1. ἐπεί.

1) δείκνυσιν ἄνωθεν βοηθούμενον. ἐν δυναστείαις 2) ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. 3) μέγιστον γὰρ σωτηρίας ἡ τῆς αὐτοῦ δεξιᾶς δύναμις, ἣν τοῖς προσιοῦσιν ὀρέγει. 4) δεξιὰν δὲ πάλιν ἐνταῦθα ἀνθρωπίνως εἴρηκε, τὴν θείαν οὕτως ὀνομάζων ἐνέργειαν. η'. Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν 5) ἐπικαλεσόμεθα. θ'. Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. Ἐκεῖνοι, φησὶν, ἵπποις καὶ ἅρμασι θαῤῥοῦντες οὐδεμιᾶς ἐκεῖθεν ὠφελείας ἀπώναντο· ἀλλ' ἀοράτως συμποδισθέντες κατέπεσον· ἡμεῖς δὲ τὴν θείαν ἐπικαλεσάμενοι συμμαχίαν, τῆς σωτηρίας προφανῶς τετυχήκαμεν. καὶ οἱονεὶ καταπεπτωκότων τῷ φόβῳ τῶν πολεμίων, ὑπέρτεροι τῶν δυσμενῶν ἀπεφάνθημεν. ι'. Κύριε σῶσον τὸν βασιλέα· καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. Τοιγάρτοι τοσαύτης ἀπολαύσαντες ἀντιλήψεως, 6) καὶ ἡμᾶς αὐτοὺς, καὶ τὸν ἡμέτερον βασιλέα ταύτης μεταλαγχάνειν διηνεκῶς ἱκετεύομεν Δέσποτα.

eum de superiori loco auxilium nactum esse. *In potentatibus salus dexteræ eius.* Maximum enim est salutis auxilium dexteræ ipsius virtus, quam ad se accedentibus porrigit. *Dexteram* autem rursus hîc humano more dixit, diuinam potentiam sic appellans. 8. *Hi in curribus, illi in equis, nos autem in nomine Domini Dei nostri inuocabimus.* 9. *Ipsi ligati sunt, et ceciderunt, nos autem surreximus, et erecti sumus.* Illi, ait, equis et curribus freti, nihil vtilitatis illinc perceperunt, sed inuisibili modo præpediti ceciderunt: nos vero diuino implorato auxilio, salutem palam consecuti sumus, et tanquam collapsis ob terrorem hostibus superiores inimicis apparuimus. 10. *Domine saluum fac regem, et exaudi nos die, quo inuocauerimus te.* Huiusmodi ergo adiumentum consecuti, obsecramus te Domine, vt et nosmetipsi et rex noster, huius auxilii participes simus.

ΕΡΜΗΝ. ΤΟΥ κ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. 7) Μετὰ τὴν νίκην ἐκείνην τὴν λαμπρὰν καὶ περιφανῆ, καὶ τῶν Ἀσσυρίων τὸν ἀόρατον ὄλεθρον, ὁ 8) μακάριος ἠῤῥώστησεν Ἐζεκίας. καὶ διὰ τοῦ 9) προφήτου Ἡσαΐου 10) μαθὼν, ὡς τεθνήξεται, δάκρυσι θερμοῖς ἱλεωσάμενος

* INTERP. PS. XX. *

1. *In finem, Psalmus Dauidi.* Post illam illustrem atque splendidam victoriam, Assyriosque inuisibili modo deletos, beatus Ezechias in morbum incidit. *a)* Et cum per prophetam Esaiam se moriturum didicisset, feruentibus lacrymis Deum

1) δείκνυσιν. Cod. 2. addit αὐτόν. 2) Cod. 1. τῆς σωτηρίας. 3) μέγιστον — ὀρέγει. Cod. 1. δυνάμεις τοῖς προσιοῦσιν ὀρέγειν. Ita quoque Cod. 2. qui tamen habet ὀρέγει. 4) δεξιὰν — ἐνέργειαν. Hæc pauca tantum exhibet CORD. p. 370. 5) ἐπικαλεσόμεθα. Cod. 1. μεγαλυνθησόμεθα, quæ est rec. lectio h. l. 6) καὶ ἡμᾶς — διηνεκῶς. Des. in Cod. 1. et 2. 7) Μετὰ κ. τ. λ. In Cod. 3. hæc præcedunt: Οὐκ οἶδ' ὅθεν τὰς ὑποθέσεις πλαττόμενος τῶν ψαλμῶν. 8) μακάριος. Cod. 2. θεῖος. 9) προφήτου. Cod. 3. μακαρίου. 10) μαθών. Cod. 3. εἰπών.

a) 4 Reg. 20.

Deum placans, et morbo liberatus est, et quindecim annorum vitæ promissionem accepit. Rursus igitur diuinus Dauid ex persona populi hunc psalmum conscripsit, ob regis prosperam valetudinem Deum laudans. 2. *Domine in virtute tua lætabitur rex, et super salutare tuum exultabit vehementer.* 3. *Desiderium cordis eius tribuisti ei, et voluntate labiorum eius non fraudasti eum.* Cum potens, inquit, sis et benignus, humaniter preces nostri regis admisisti, et omnes petitiones ei concessisti: immo vero maiora petitionibus dona largitus es. Hoc enim subiunxit. 4. *Quoniam præuenisti eum benedictionibus dulcedinis: imposuisti capiti eius coronam de lapide pretioso.* Nam regnum illi non rogatus donasti: propria vero liberalitate, regali diademate caput eius ornasti. 5. *Vitam petiit a te, et tribuisti ei longitudinem dierum in sæculum sæculi.* Accepit, inquit, quicquid petiit, et vitam obtinuit quam optabat. Hoc enim *in sæculum sæculi*, futuram quoque vitam „ sanctis para„ tam „ demonstrat, quæ immortalitatem habet. 6. *Magna est gloria eius in salutari tuo, gloriam et magnum decorem impones illi.* Non solum enim

τὸν Θεὸν, καὶ τῆς νόσου τὴν ἀπαλλαγὴν ἔλαβε, καὶ πέντε καὶ δέκα ἐνιαυτῶν ζωῆς ἐπαγγελίαν ἐδέξατο. 1) πάλιν τοίνυν ὁ θεῖος Δαβὶδ, ὡς 2) ἐκ προσώπου τοῦ λαοῦ, καὶ τοῦτον ἔγραψε τὸν ψαλμὸν, ἐπὶ τῇ τοῦ βασιλέως ὑγιείᾳ τὸν Θεὸν 3) ἀνυμνῶν. β΄. Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς· καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. γ΄. Τὴν ἐπιθυμίαν τῆς 4) καρδίας αὐτοῦ ἔδωκας αὐτῷ· καὶ τὴν 5) θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. Δυνατὸς ὢν 6) φησὶ καὶ 7) φιλάνθρωπος, εὐμενῶς ἐδέξω τοῦ βασιλέως ἡμῶν τὴν προσευχήν· καὶ πάσας αὐτῷ δέδωκας τὰς αἰτήσεις. μᾶλλον δὲ μείζους τῶν αἰτήσεων δωρεὰς ἐδωρήσω. τοῦτο γὰρ ἐπήγαγεν. δ΄. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. Τὴν βασιλείαν γὰρ οὐκ αἰτηθεὶς παρέσχες αὐτῷ· οἰκείᾳ δὲ φιλοτιμίᾳ τῷ βασιλικῷ στεφάνῳ τὴν κεφαλὴν αὐτοῦ κατεκόσμησας. ε΄. Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. Ἔλαβε 8) φησὶν ὅπερ 9) ἱκέτευσε, καὶ τετύχηκε ζωῆς ἣν ἐπόθησε. τὸ γὰρ εἰς αἰῶνα αἰῶνος καὶ τὸν μέλλοντα βίον παραδηλοῖ, „ 10) τὸν τοῖς ἁγίοις ηὐ„ τρεπισμένον, „ ὃς τὸ ἀνώλεθρον ἔχει. ς΄. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν. 11) Οὐ γὰρ μόνον

1) πάλιν — ἀνυμνῶν. Hæc tantum habet CORD. T. I. p. 373. 2) ἐκ. Abest a Cod. 2. 3) ἀνυμνῶν. Cod. 3. addit: ἄρξεται τοίνυν οὕτως τοῦ ψαλμοῦ ἡ διάνοια. 4) καρδίας. Rec. lectio est ψυχῆς. 5) θέλησιν. Rec. lectio est δέησιν. 6) φησί. Cod. 2. φύσει. 7) φιλάνθρωπος. In Cod. 3. sequitur δέσποτα, καί. 8) φησίν. Cod. 1. 2. γὰρ καί. Ita quoque apud CORD. p. 373. 9) Cod. 1, et 2. atque CORD. l. c. ἱκετεύσας ἐπήγγειλε. 10) τὸν — ηὐτρεπισμένον. Ex his quæ Cod. 1. et 2. exhibent, emendanda est lectio ηὐπρεπισμένον apud CORD. l. c. 11) Οὐ γὰρ μόνον κ. λ. Cod. 3. præm. Ὁ εἰς τὸν Ἐζεκίαν παραλαβὼν τὸν ψαλμὸν ἔφη. οὐ μόνον κ. λ.

τον σωτηρίαν αὐτῷ δεδώρησαι, ἀλλὰ καὶ περιφανῆ 1) καὶ ὑψηλὸν πεποίηκας αὐτὸν, καὶ περίβλεπτον, τῷ τε τῶν πολεμίων παραδόξῳ θανάτῳ, καὶ τῷ τὸν ἥλιον τὴν ἐναντίαν δραμεῖν. οὕτω δὲ τοῦτο πανταχοῦ γῆς καὶ θαλάττης ἐγένετο 2) γνώριμον, ὡς τῶν Βαβυλωνίων τὸν βασιλέα δῶρα πέμψαι τοῖς πάλαι 3) δῶρα τοῖς Ἀσσυρίοις παρέχουσι. τοῦ γὰρ Ἐζεκίου χάριν ὑπέλαβε τοῦτο δεδρακέναι ἢ πεπονθέναι τὸν ἥλιον, τῷ τῶν Ἀσσυρίων θανάτῳ χρώμενος τεκμηρίῳ. ζ΄. Ὅτι 4) δώσῃς 5) αὐτῷ εὐλογίαν εἰς αἰῶνα 6) τοῦ αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. 7) Καὶ ἐν 8) ἁπάσαις δέ φησι ταῖς γενεαῖς ἀοίδιμος ἔσαι, καὶ πολυθρύλλητος, τοσαύτην ἐσχηκὼς παρὰ 9) σοὶ παῤῥησίαν. τὸ γὰρ μετὰ τοῦ προσώπου σου, 10) παρὰ τῷ προσώπῳ σου τέθεικεν ὁ Σύμμαχος. εὐφροσύνην τοίνυν ἕξει, φησὶ, καὶ διηνεκῆ θυμηδίαν, τοῦ 11) σοῦ προσώπου, τουτέστι, τῆς σῆς εὐμενείας τυγχάνων. αἴτιον δὲ 12) τούτων αὐτῷ γέγονε τὸ ἐπί σοι πεποιθέναι. τοῦτο γὰρ ἐπήγαγεν· η΄. Ὅτι βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ. Κρείττων ἐστὶ τῶν πολεμούντων τῆς σῆς χάριτος ἀπολαύων 13) ἀπολαύει δὲ ταύτης, 14) ἀνθρώπῳ μὲν οὐδενὶ θαῤῥῶν, τῇ δέ 15) σῇ 16) ἐλ-

ei salutem donasti, verum illustrem illum reddidisti et clarum, tum admirabili hostium interitu, tum etiam quod sol praepostero ordine cucurrerit. a) Adeo autem hoc terra marique notum factum est, vt Babyloniorum rex iis dona miserit, qui olim Assyriis dona largiebantur. * Propter Ezechiam enim hoc * solem effecisse vel passum esse, suspicatus est, Assyriorum nece in argumentum vtens. 7. *Quoniam dabis ei benedictionem in saeculum saeculi: laetificabis eum in gaudio cum vultu tuo.* In omnibus, inquit, saeculis celebris atque diuulgatus erit, cum tantam apud te fiduciam habuerit. Hoc enim *cum vultu tuo* Symmachus exposuit, *apud vultum tuum*: Laetitiam igitur habebit, ait, et continuam voluptatem, tuum vultum, hoc est, tuam beneuolentiam assequens. Propterea autem hoc illi accidit, quoniam in te spem collocauit. Hoc enim subdidit: 8. *Quoniam rex sperat in Domino, et per misericordiam Altissimi non commouebitur.* Superior est inimicis, qui tuae gratiae compos factus est: hanc autem consequitur nulli hominum fidens, sed tua sola

1) καὶ ὑψηλόν. Abest a Codd. *august.* deest etiam apud CORD. p. 373. et 379. 2) Cod. 1. 2. γνώρισμα. 3) Cod. 1. 2. δῶρον. Cod. 3. φόρον. 4) δώσῃς. Cod. 2. δώσεις. 5) αὐτῷ. Cod. 2. αὐτόν. 6) τοῦ. Def. in Cod. 1. 2. 7) Καί. Abest a Cod. 1. 2. 8) ἁπάσαις δέ. Cod. 2. πάσαις. 9) σοί. Cod. 1. 2. σοῦ. 10) παρὰ τῷ προσώπῳ σου. Def. in Cod. 2. sicque haec consentiunt cum versione, quam *Symmacho* tribuit MONTF. l. c. T. I. p. 499. 11) σου. Abest a Cod. 1. 2. 12) τούτων. Cod. vterque τοῦτο. 13) Cod. 2. ἀπολαύσει. 14) Cod. 2. ἀνθρώπων. Cod. 3. ἀνθρωπίνῳ. 15) σου. Codd. *aug.* σῇ. 16) ἐλπίδι. Cod. 1. addit, στηριζόμενος μόνῃ. Pro στηριζόμενος Codex 2. habet χαιρούμενος, Cod. 3. rectius χρώμενος, CORD. autem p. 374. θαῤῥυνόμενος.

a) 4 Reg. 20.

ſola ſpe. 9. *Inueniatur manus tua omnibus inimicis tuis, dextera tua inueniat omnes, qui te oderunt.* Hoc magis dilucide Symmachus dixit, Comprehendet manus tua omnes inimicos tuos: dextera tua inueniet eos, qui te oderunt. Ea porro quæ dicta ſunt ſequentibus cohærent. Non fruſtra enim, ait, rex tuæ ſpei confiſus eſt: verum ſciens, tuam dexteram omnibus inimicis ſuperiorem eſſe futuram, et celerrimos comprehenſuram. atque potentiſſimos homines euerſuram. *Dexteram* rurſus, et *manum*, diuinam potentiam nominauit. 10. *Quoniam pones eos vt clibanum ignis tempore vultus tui. Dominus in ira ſua conturbabit eos, et deuorabit eos ignis.* 11. *Fructum eorum de terra perdes, et ſemen eorum a filiis hominum.* Facillimum tibi eſt, inquit, vt clibanum incendere eos, atque conficere igne, veluti materiam igni obnoxiam: et non ipſos ſolum, verum etiam illorum poſteros, (nam hos et *ſemen*, et *fructum* nuncupauit,) vt omnis eorum memoria deleatur. Hoc autem, *in tempore vultus tui*, idem eſt quod in tempore iræ tuæ: cum hoc fa-

πίδι. θ'. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου· ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε. Τοῦτο 1) σαφέστερον ὁ Σύμμαχος εἴρηκε, καταλήψεται ἡ χείρ σου πάντας τοὺς ἐχθρούς σου· ἡ δεξιά σου εὑρήσει 2) πάντας τοὺς μισοῦντάς σε. ἔχεται δὲ τῆς ἀκολουθίας τὰ εἰρημένα. οὐ μάτην 3) γὰρ ὁ βασιλεὺς τῇ σῇ ἐλπίδι τεθάῤῥηκεν· ἀλλ' εἰδὼς ὡς τῶν πολεμίων ἁπάντων „ 4) κρείτ„των„ ἡ σὴ δεξιὰ καὶ τούς τε ταχυτάτους 5) „καταλήψεται, τούς τε δυνα„τωτάτους„ καταλῦσαι δυνήσεται. 6) δεξιὰν δὲ, καὶ χεῖρα, πάλιν τὴν ἐνέργειαν 7) εἶπεν. ι'. 8) Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου. Κύριος ἐν ὀργῇ 9) αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ. ια'. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. Ῥᾷστόν σοι, φησὶ, κλιβάνου δίκην ἐξάψαι αὐτοὺς, καὶ καταναλῶσαι ὡς ὕλην εὔπρηστον ἐν πυρί· καὶ οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ἐκείνων ἐγγόνους· τούτους γὰρ καὶ σπέρμα καὶ καρπὸν προσηγόρευσεν· ὥστε πᾶσαν αὐτῶν ἐξαλειφθῆναι τὴν 10) μνήμην. τὸ δὲ εἰς καιρὸν τοῦ 11) προσώπου, ἀντὶ τοῦ, ἐν τῷ τῆς ὀργῆς σου καιρῷ, ὅταν τοῦτο δοκιμάσῃς

1) σαφέστερον. Cod. 1. addit, 2. et 3. autem præmittunt, πάλαι. 2) πάντας. Hoc in vno Codicum ſuorum adiectum inuenit MONTF. Abeſt autem a Cod. *aug.* 3. 3) γάρ. Cod. 1. 2. add. φησίν. 4) κρείττων. Ita habent tres Codd. *auguſt.* Sicque legiſſe videtur *Carafa.* 5) Hæc ex iisdem 3. Codd. ſuppleta ſunt. Eadem legit *Carafa*, vt ex eius interpretatione colligitur. 6) δεξιὰν — εἶπεν. Hæc pauca tantum habet CORD. p. 374. qui tamen omiſit πάλιν. 7) εἶπεν. Codd. tres, et CORD. l. c. κέκληκεν. 8) ὅτι. Exſtat tantum in edit. *ald.* et *compl.* 9) αὐτοῦ συνταράξει. Cod. 3. σου συνταράξεις. 10) μνήμην. Huc pertinere videntur, quæ in Cod. *flor.* ad verſ. 11. leguntur: Ὡς γὰρ τὰ πλήρη δένδρα καρπῶν ἐφ' ὁμοίων γενέσει καταβάλλονται σπέρμα, οὕτως οἱ δυσσεβεῖς καὶ κακοὶ, ὧν περ ἀφανίζει σπέρμα Θεὸς, ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. „ Prout enim arbores fructibus plenæ ad generis ſui procreationem ſemina ſpargunt, ſic quoque impii faciunt et mali, quorum ſemen aufert Deus a filiis hominum. „ 11) προσώπου. Cod. 2. addit σου.

κιμάσης. γενέσθαι, καὶ ἐπιτήδειον εἶναι κρίνης τὸν τῆς τιμωρίας καιρόν. ιβ'. Ὅτι ἔκλιναν εἰς σὲ κακά. 1) Ἐπειδὴ κατά σου τὴν γλῶτταν ἐκίνησαν, καὶ βλασφήμοις λόγοις ἐχρήσαντο. Διελογίσαντο βουλὰς 2) αἳ οὐ μὴ δύνωνται στῆναι. 3) ἔνια μέν τοι τῶν ἀντιγράφων 4) στῆναι· ὁ δὲ Σύμμαχος οὕτως εἴρηκεν, ἐλογίσαντο ἐννοίας ἀδυνάτους. προλέγει δὲ διὰ τούτου τὰς βλασφήμους τοῦ Ἀσσυρίου φωνάς· 5) μή σε ἀπατάτω ὁ 6) Θεὸς ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ, ὅτι ῥύσεται τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου. περὶ τούτων λέγει τῶν ῥημάτων, ὅτι ἐλογίσαντο ἐννοίας ἀδυνάτους· ἢ ἐλογίσαντο βουλὰς, 7) αἳ οὐ μὴ δύνωνται στῆναι· προσδοκήσαντες καθάπερ τῶν εἰδώλων, οὕτω καὶ τοῦ ὄντος Θεοῦ 8) περιέσεσθαι. ιγ'. Ὅτι θήσεις αὐτοὺς νῶτον. Ὁ δὲ Σύμμαχος οὕτω, ὅτι 9) θήσεις αὐτοὺς 10) ἀποστρόφους. τοὺς γὰρ τὴν τοῦ ἀγγέλου 11) διαφυγόντας πληγὴν, εἰς φυγὴν τρέψεις, καὶ τὰ νῶτα δοῦναι καταναγκάσεις· ἵνα ἀπελθόντες τὰ 12) γεγενημένα κηρύξωσιν. ταῦτα δὲ προῤῥητικῶς τέθεικεν ὁ προφήτης, ὡς μηδέπω 13) γεγενημένα. Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. 14) Τοῦτό τινες 15) μεθ' ὑπερβατοῦ ἔφασαν εἶναι, καὶ νενοήκασιν οὕτως· ἐν τοῖς περιλοίποις αὐτῶν ἑτοιμάσεις τὸ

cere volueris, et opportunum esse tempus vindictæ indicaueris. 12. *Quoniam declinauerunt in te mala.* Quoniam contra te linguam mouerunt, et blasphemis sermonibus vsi sunt. * *Cogitauerunt consilia, quæ non possint consistere.* * Aliqua exemplaria habent, *stabilire.* Symmachus vero sic dixit: Cogitauerunt cogitationes quæ non possunt fieri. Prædicit autem per hæc blasphemas Assyrii voces: *a*) Ne te decipiat Deus tuus, cui tu ipse confisus es, fore vt liberet Hierosolymam e manu mea. De his verbis dicit, quod cogitauerint cogitationes quæ non possint fieri: vel quod cogitauerint consilia, quæ non potuerint consistere, sperantes, quemadmodum idolis, sic etiam vero Deo se fore superiores. 13. *Quoniam pones eos dorsum.* Symmachus autem sic interpretatus est: *Quoniam facies ipsos auersos.* Eos enim, qui angeli plagam aufugerunt, in fugam vertes, et terga dare coges, vt abeuntes res gestas narrent. Hæc autem propheta vaticinantis more posuit, tanquam nondum gesta. *In reliquiis tuis præparabis vultum eorum.* Hoc quidam hyperbaton dixerunt esse, et sic intellexerunt: In reliquiis ipsorum præparabis

I 2 vultum

1) Ἐπειδὴ — ἐχρήσαντο. Def. in Cod. 3. 2) αἳ. Cod. 1. ἃς. Cod. 2. αἷς. 3) ἔνια — στῆναι. Def. in Cod. 3. 4) στῆναι. Præferenda est h. l. lectio Cod. 1. στῆσαι, quam etiam Cod. *vatic.* tuetur. 5) μὴ — στῆναι. Def. in Cod. 3. 6) Θεός. Cod. 1. 2. addunt σου. 7) αἳ. Cod. 1. ἃς. Cod. 2. αἷς. 8) περιέσεσθαι. Cod. 1. περιγενέσθαι. 9) θήσεις. Alii habent τάξεις. Vid. MONTF. l. c. T. I. p. 500. 10) Cod. 2. ἐπιστρόφους. 11) Cod. 3. φυγόντας. 12) Cod. 3. γενόμενα. 13) Eadem lectionis varietas cum præc. 14) Τοῦτο — προσαρμόσαι. Cod. *flor.* pauca ista habet: Τοῦτό τινες μεθ' ὑπερβατὸν (pro ὑπερβατοῦ) ἔφασαν εἶναι, ἐν τοῖς περιλοίποις αὐτῶν ἑτοιμάσεις τὸ πρόσωπόν σου, ἀντὶ τοῦ τοῖς καταλειφθεῖσιν ἐπάξεις τὴν τιμωρίαν σου. τὴν αὐτὴν δὲ ἔχει τὴν ἔννοιαν καὶ κατὰ τὴν πρώτην ἔκδοσιν. 15) Cod. 2. et 3. καθ' ὑπερβατόν.

a) 2 Paral. 32. et 4 Reg. 18. et 19.

vultum tuum, pro eo quod est, Et his qui remanserunt, et his qui fugerunt, infliges pœnam. Fieri tamen potest, vt eadem structura vtendo, eandem sententiam accommodemus. *In reliquiis tuis præparabis vultum eorum.* Integrum enim tibi erit et facile, supplicia, quæ tibi reliqua sunt, eis infligere, et eos, qui nunc fugiunt, quique terga dederunt, eosque etiam, qui sibi persuaserunt se mortem declinasse, poteris conuertere, et sistere, et mulctare.
14. *Exaltare Domine in virtute tua, cantabimus et psallemus virtutes tuas.* Non quod Deus humilis sit, extollitur, neque quod non habet recipit, sed quod habet ostendit. Iure igitur inquit, *Exaltare Domine in virtute tua.* Demonstratur enim altitudo tua per inexplicabilem potentiam, quam nos decantabimus et celebrabimus te continue, tua mirabilia opera enarrantes.

πρόσωπόν σου, ἀντὶ τοῦ, 1) καὶ τοῖς καταλειφθεῖσι, καὶ διαφυγοῦσιν ἐπάξεις τὴν τιμωρίαν. δυνατὸν δὲ καὶ τῇ αὐτῇ συνθήκῃ χρωμένους, τὴν αὐτὴν ἔννοιαν προσαρμόσαι. 2) ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. τὰς γὰρ ὑπολοίπους 3) σοι τιμωρίας ἐπαγαγεῖν αὐτοῖς εὐπετές σοι καὶ ῥᾴδιον· καὶ 4) τοὺς φεύγοντας, καὶ νῶτα δεδωκότας, καὶ ἡγουμένους διαπεφευγέναι τὸν θάνατον, ἀντιστρέψαι, καὶ στῆσαι, καὶ κολάσαι σοι δυνατόν. ιδʹ. Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Οὐ ταπεινὸς ὢν ὁ Θεὸς ὑψοῦται, οὐδὲ ὃ μὴ ἔχει προσλαμβάνει· ἀλλ᾽ ὅπερ ἔχει δείκνυσιν· εἰκότως τοίνυν εἶπεν, ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου. δείκνυται γάρ σου τὸ ὕψος διὰ τῆς 5) ἀῤῥήτου δυνάμεως, 6) ἣν ἡμεῖς ᾄδοντες καὶ ὑμνοῦντές σε διατελέσομεν, τὰς σὰς θαυματουργίας διεξιόντες.

INTERP. PS. XXI.

1. In *finem. Pro susceptione matutina, Psalmus Dauidi.* Hic psalmus Domini Christi passionem, et resurrectionem, et * gentium * vocationem, et totius orbis salutem prædicit. Inscriptio autem ipsa hoc demonstrat. „ *In finem* enim (inscri-
„ bitur) pro matutina susceptione.
„ Illud enim *in finem* ponitur,
„ vt intelligas dispensationem
„ post finem seculorum ab ipso fa-

ΕΡΜΗΝ. ΤΟΥ καʹ ΨΑΛΜΟΥ.

αʹ. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς ψαλμὸς τῷ Δαβίδ. 7) Οὗτος ὁ ψαλμὸς τοῦ Δεσπότου 8) Χριστοῦ προαγορεύει 9) τὰ τοῦ πάθους, 10) καὶ τῆς ἀναστάσεως, 11) καὶ τῶν ἐθνῶν τὴν κλῆσιν, καὶ τῆς οἰκουμένης τὴν σωτηρίαν. καὶ ἡ ἐπιγραφὴ 12) δὲ τοῦτο δηλοῖ. 13) „ εἰς τὸ
„ τέλος γὰρ ὑπὲρ τῆς ἑωθινῆς ἀντιλή-
„ ψεως· τὸ μὲν εἰς τὸ τέλος, κεῖται, ἵνα
„ τὴν οἰκονομίαν ἐννοῇς τὴν ἐπὶ συντε-
„ λείᾳ τῶν αἰώνων γεγενημένην παρ᾽ αὐ-
„ τοῦ.„

1) *καί.* Abest a Cod. 2. 2) *ἐν — αὐτῶν.* Def. in Cod. 3. 3) *σοί.* Cod. 3. *σου.* 4) *τούς.* Codd. tres addunt *νῦν.* 5) Cod. 1. *ἀποῤῥήτου.* 6) *ἣν ἡμεῖς.* Codd. *aug.* *ἡμεῖς δέ.* 7) *Οὗτος ὁ.* Cod. *vatic.* apud GARN. p. 10. *Ὁ εἰκοστὸς πρῶτος.* 8) *Χριστοῦ.* Cod. *flor.* *Θεοῦ.* 9) *τὰ τοῦ πάθους.* Cod. 1. 2. *τὰ πάθη.* Cod. *flor.* et *vatic.* *τά τε πάθη.* 10) *καὶ τῆς ἀνασ.* Cod. 1. 2. et *flor.* *καὶ τὴν ἀνάστασιν.* 11) *καὶ — κλῆσιν.* Def. apud GARN. l. c. 12) *δέ.* Abest a Cod. 2. 13) *εἰς — παρ᾽ αὐτοῦ.* E Cod. *vatic.* suppleta a GARN. l. c.

...πτου, ἀντίληψις 1) γὰρ ἑωθινὴ τοῦ σωτῆρος ἡμῶν 2) ἐπιφάνεια, 3) ἡ δίκην ὀρθρου τοῖς ἐν σκότῳ καθημένοις ἐπιλάμψασα. Φῶς γὰρ ἀληθινὸν ὁ Δεσπότης. φαινόμενον δὲ τὸ φῶς, τὸν ὄρθρον ἀποτελεῖ, οὗ φανέντος ἐλύθη τὸ σκότος, 4) „καὶ ἡ διαβολικὴ ἀχλύς. ἡ γὰρ κακία πολλαχοῦ τῆς γραφῆς διὰ τοῦ σκότους ἐν αἰνίγματι νοεῖται. τινὲς δὲ ἀντίληψιν ἑωθινὴν λέγουσι τὸν τῆς ἀναστάσεως τοῦ σωτῆρος καιρόν." εἰς αὐτὸν τοίνυν εἴρηται ὁ ψαλμός. μᾶλλον 5) γὰρ πιστευτέον τοῖς ἱεροῖς ἀποστόλοις, καὶ αὐτῷ τῷ σωτῆρι χρωμένῳ σαφῶς τῷ τοῦ ψαλμοῦ προοιμίῳ, ἢ τοῖς παρερμηνεύειν ἐπιχειροῦσιν. β. Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; 6) Τῷ σταυρῷ δὲ προσηλωμένος ταύτην ὁ 7) Δεσπότης 8) προήκατο τὴν φωνὴν, αὐτῇ χρησάμενος τῇ Ἑβραίων φωνῇ, ἠλὶ, ἠλὶ 9) λεμὰ σαβαχθανί; πῶς τοίνυν οἷόν τε τῆς αὐτῆς τῆς ἀληθείας παραγράψασθαι μαρτυρίαν; 10) ἐγκαταλελεῖφθαι δὲ λέγει, ὡς ἁμαρτίας μὲν οὐδεμιᾶς ὑπ' αὐτοῦ 11) γενομένης, τοῦ δὲ θανάτου κεκρατηκότος, 12) ὃς κατὰ τῶν ἡμαρτηκότων τὴν ἐξουσίαν ἐδέδεκτο. ἐγκατάλειψιν τοίνυν καλεῖ, οὐ τὸν τῆς ἡνωμένης θεότητος χωρισμὸν, ὥς τινες ὑπειλήφασιν, ἀλλὰ τὴν γεγενημένην τοῦ πάθους συγχώρησιν. 13) παρῆν γὰρ ἡ θεότης καὶ πασχούσῃ τῇ τοῦ δούλου μορφῇ, καὶ συνεχώρησε παθεῖν,

„ ctam." *Susceptio* enim *matutina* Saluatoris nostri est aduentus, qui instar auroræ in tenebris sedentibus illuxit. Lux enim vera est Dominus: nascens autem lux, diluculum efficit, quo exorto discussæ sunt tenebræ, „et diabolica caligo. Peccatum enim sæpius in scriptura sub imagine tenebrarum intelligitur. Sunt autem qui susceptionem matutinam dicant esse tempus resurrectionis Saluatoris." In ipsum igitur dictus est hic psalmus. Nam sacris potius apostolis credendum est, et ipsi Saluatori, qui principio huius psalmi clare vsus est, quam iis qui perperam interpretari conantur. 2. *Deus Deus mi respice ad me, quare me dereliquisti.* Crucis ligno autem affixus in hanc vocem erupit, ipsa hebraica voce vsus, ἠλὶ ἠλὶ λεμὰ σαβαχθανί. Quomodo igitur eiusdem veritatis testimonium reiici potest? Derelictum autem se fuisse dicit, vt qui cum nullum peccatum commiserit, morti tamen obnoxius fuerit, quæ contra peccatores potentiam acceperat. Vocat igitur *derelictionem*, non separationem diuinitatis coniunctæ, vt quidam suspicati sunt, sed passionis factam permissionem. Aderat enim diuinitas serui formæ patienti, et siuit illam pati, toti

1) γάρ. Cod. *flor.* et *vatic.* apud GARN. δέ. 2) ἐπιφάνεια. GARN. præm. ἐστίν. 3) ἡ — ἐπιλάμψασα. Cod. *flor.* ἣ — ἔλαμψεν. 4) καὶ — καιρόν. A GARNERIO suppleta. 5) γάρ. Cod. 1. δέ. 6) Τῷ — συγχώρησιν. Codex *flor.* hæc paucis istis complectitur: Ταύτην ὁ Σωτὴρ εἶπεν ἐν τῷ σταυρῷ τὴν φωνὴν, ἠλὶ ἠλὶ λιμὰ σαβαχθανῆ, οὐχ ὡς χωρισθείσης τῆς θεότητος, ἀλλ' ὡς συγχωρηθέντος τοῦ πάθους. Quæ in eodem Cod. sequuntur, τὸ δὲ πρόσχες μοι, ὡς μὴ κείμενον ἐν τῷ Ἑβραϊκῷ καὶ ὁ Σωτὴρ παραλέλοιπε, ex EVSEBIO videntur esse desumta. Vid. MONTF. Coll. nouam PP. T. I. p. 79. 7) Δεσπότης. Cod. 3. addit Χριστός. 8) Cod. 2. 3. προσήκατο. 9) Cod. 1. λημά. Cod. 2. et *flor.* λιμά. 10) ἐγκαταλελεῖφθαι — ἐδέδεκτο. Def. in Cod. 3. 11) Cod. 1. γεγενημένης. 12) ὅς. Cod. 1. ὡς. 13) παρῆν — λόγους. Def. in Cod. 3.

toti hominum generi salutem moliens. Ipsa tamen nihil inde patiebatur: quo enim pacto impatibilis natura pati posset? Dicit autem hæc Dominus Christus vt homo. Et quoniam ipse primitiæ humanæ erat naturæ, pro tota humana natura in sequentibus verba facit: *Longe a salute mea verba delictorum meorum.* Sciendum est autem, *delictorum* neminem aliorum interpretum mentionem fecisse. Verum Aquila quidem, *vagitus mei* dixit: Symmachus vero, *lamentationum mearum*, Theodotio, *clamoris mei.* Ne autem nos aliis interpretibus hoc in loco vsi, de industria eos, qui aliter hunc psalmum interpretati sunt, redarguere videamur, Septuaginta interpretum versione vtemur. Cum enim et ipsi hunc vocem obseruassent, dixerunt hunc psalmum Domino non congruere. Quomodo enim, inquiunt, qui peccatum non fecit, dicere poterat, Longe a salute mea verba delictorum meorum? Audiant igitur magnum Ioannem clamantem, a) Ecce agnus Dei, qui tollit peccatum mundi. Et diuinum Paulum dicentem, b) Eum * qui non nouerat peccatum, pro nobis

πάσῃ τῇ φύσει μηχανωμένη τὴν σωτηρίαν. αὐτὴ μέντοι πάθος ἐκεῖθεν οὐκ εἰσεδέχετο· πῶς γὰρ οἷόν τε ἦν τὴν ἀπαθῆ φύσιν παθεῖν; λέγει δὲ ταῦτα ὁ 1) Δεσπότης Χριστὸς ὡς ἄνθρωπος, 2) καὶ ἐπειδὴ ἀπαρχὴ τῆς ἀνθρωπείας φύσεως ἦν, ὑπὲρ ἁπάσης τῆς φύσεως ἐν τοῖς ἐπαγομένοις ποιεῖται τοὺς λόγους. μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. 3) ἰστέον δὲ, ὡς τῶν παραπτωμάτων οὐδεὶς τῶν ἄλλων 4) ἑρμηνευτῶν ἐμνημόνευσεν· ἀλλ' ὁ μὲν Ἀκύλας, βρυχήματός μου, ὁ δὲ Σύμμαχος, ὀδυρμῶν μου, ὁ δὲ Θεοδοτίων, βοήσεώς μου. 5) ἵνα δὲ μὴ δόξωμεν τοῖς ἄλλοις ἑρμηνευταῖς ἐνταῦθα κεχρημένοι, ἐκ περινοίας τοὺς ἑτέρως τὸν ψαλμὸν 6) ἑρμηνευκότας ἐλέγχειν, τῇ τῶν ἑβδομήκοντα ἑρμηνείᾳ 7) χρησόμεθα. ταύτῃ γὰρ κἀκεῖνοι τῇ ῥήσει προσεσχηκότες οὐκ ἔφασαν ἁρμόττειν τὸν ψαλμὸν τῷ Κυρίῳ. 8) πῶς γάρ φησιν οἷόν τε ἦν τὸν οὐχ ἡμαρτηκότα λέγειν, μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου; ἀκουσάτωσαν τοίνυν Ἰωάννου τοῦ πάνυ βοῶντος· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· τοῦ δὲ 9) θεσπεσίου Παύλου λέγοντος, τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρ-

1) *Δεσπότης.* Abest a Cod. 2. 2) Huc pertinere videntur, quæ Codex *flor.* ad h. l. habet: *Αἰτεῖ τὴν ἐποπτείαν τὴν παρὰ τοῦ πατρὸς, τὰ ἡμῶν εἰς ἑαυτὸν μετατιθεὶς, ἵνα παύσῃ τὴν ἀρὰν, καὶ ἐφ' ἡμᾶς μεταγάγῃ τὸ πρόσωπον τοῦ πατρός. ἡμεῖς γάρ ἐσμεν οἱ γεγονότες ἐν ἀποστροφῇ καὶ ἐγκαταλείψει διὰ τὴν ἐν Ἀδὰμ παράβασιν.* „Petit autem a Patre respici, quia caussam nostram in se susceperat, vt cessare faceret maledictionem, et ad nos quasi deduceret vultum Patris. Nos enim sumus nati in auersione et derelictione propter transgressionem in Adamo factam. „ Fere eadem sunt, quæ leguntur apud CORD. p. 390. 3) *ἰστέον — βοήσεώς μου.* Des. in Cod. 3. 4) *ἑρμην.* Abest a Cod. 2. 5) *ἵνα δὲ μὴ κ. τ. λ.* Magna horum pars exstat quidem in EVSEBII ad h. l. Commentario apud MONTF. Collect. nou. PP. T. 1. p. 80. ea tamen quæ ibidem præcedunt, vix permittere videntur, vt ista ad eundem referantur Autorem. 6) Cod. 1. 2. *ἡρμηνευκότας.* 7) Cod. 1. *χρησώμεθα.* 8) *πῶς — παραπτωμάτων μου.* Des. in Cod. 3. 9) *θεσπεσίου.* Abest a Cod. 2.

a) Ioh. 1, 29. 36. b) 2 Cor. 5, 21.

ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα 1) δικαιοσύνη ἐν αὐτῷ· καὶ πάλιν Χριστὸς ἡμᾶς 2) ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· τοιγαροῦν 3) ὥσπερ δικαιοσύνης ὑπάρχων πηγὴ, τὴν ἡμετέραν ἁμαρτίαν ἀνέλαβε, καὶ εὐλογίας ὢν πέλαγος, τὴν ἐπικειμένην ἡμῖν ἐδέξατο κατάραν, καὶ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας· οὕτω καὶ τοὺς ὑπὲρ ἡμῶν ἐποιήσατο λόγους. εἰ γὰρ τὴν ὡρισμένην ἡμῖν παιδείαν ὑπῆλθεν ἑκὼν· παιδεία γὰρ εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν, ἧ φησιν ὁ προφήτης· πολλῷ μᾶλλον τοῖς ὑπὲρ ἡμῶν ἀνθ᾽ ἡμῶν ἐχρήσατο λόγοις, καὶ βοᾷ· μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. μὴ ἀποβλέψῃς, φησὶν, εἰς τὰ τῆς φύσεως πλημμελήματα· ἀλλὰ δὸς τὴν σωτηρίαν διὰ τὰ ἐμὰ παθήματα· 4) καὶ ἐπειδὴ τὸ πάθος ἀνθρωπίνως οἰκονομῶν πολλάκις προσηύξατο παρὰ τὸν τοῦ πάθους καιρὸν, πάτερ, λέγων, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ· καὶ ἀθυμῶν ἔλεγε, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· εἰκότως καὶ ὁ ψαλμὸς ταῦτα προαγορεύων ἔφη· γ΄. Ὁ Θεός μου κεκράξομαι ἡμέρας 5) πρός σε, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. 6) Ἢ κατὰ τοὺς 7) λοιποὺς, καὶ νυκτὸς, καὶ οὐ σιγή· νύκτωρ φησὶ καὶ μεθ᾽ ἡμέραν 8) διηνεκῶς βοῶντος, καὶ σιγᾶν οὐκ ἀνεχομένου, οὐκ ἀκήκοας, ἀλλὰ τῷ πάθει παρέδωκας· ἀλλ᾽ ὅμως οἶδα τὸ τῆς οἰκονομίας μυστήριον· τοῦτο γὰρ 9) παρεδήλου τὸ, οὐκ εἰς ἄνοιαν ἐμοί. νενόηκας

peccatum fecit, vt nos fieremus iustitia in ipso. Et rursus, *a*) Christus redemit nos ex maledictione legis, factus pro nobis maledictio. Quemadmodum itaque, cum sit fons iustitiæ, nostrum peccatum suscepit, cumque sit benedictionis pelagus, maledictionem nobis imminentem accepit, et crucem sustinuit opprobrium despiciens; sic et pro nobis verba fecit. Si enim nobis statutam disciplinam sponte subiit, (nam disciplina pacis nostræ super eum, vt ait *b*) propheta,) multo magis ex persona nostra verbis vsus est pro nobis, et exclamat, *Longe a salute mea, verba delictorum meorum.* Ne respicias, inquit, delicta naturæ, sed concede salutem propter meos cruciatus. Et quandoquidem passionem more humano sustinens, sæpius precatus est ipso passionis tempore, *c*) Pater, si fieri possit, transeat a me calix iste; et mœrore affectus dixit, *d*) Tristis est anima mea vsque ad mortem; merito et psalmus hæc prædicens ait: 3. *Deus mi clamabo per diem ad te, et non exaudies, et nocte, et non ad insipientiam mibi.* Vel secundum ceteros, *et nocte, et non est silentium.* Dies noctesque, inquit, me clamantem, et silere nolentem, non exaudisti, sed passioni tradidisti. Veruntamen noui dispensationis mysterium. Hoc enim est quod significabat, *Non ad insipientiam mibi.* Noui enim

1) δικαιοσ. Codd. tres *aug.* præmittunt Θεῷ. 2) Cod. 1. ἠγόρασεν. 3) ὥσπερ — ἐποιήσ. λόγους. Hæc pauca tantum habet CORD. p. 385. 4) καὶ — ἔφη. Def. in Cod. 3. 5) πρός σε. Abest a Codd. *aug.* 6) Ἢ — σιγή. Abest a Cod. 3. 7) λοιπούς. Cod. 2. πολλούς. De *Aquila*, *Symm.* et *Theodot.* testis est MONTF. l. c. T. 1. p. 500. 8) διηνεκῶς. Abest a Cod. 2. 9) Cod. 3. παρεδήλου.

a) Gal. 3, 13. b) Es. 53, 5. c) Matth. 26, 39. d) Ibid. v. 38.

enim non frustra concessionem petitionis te procrastinare, sed magnum quid et salutare ex passione procurare. 4. *Tu autem in sancto habitas, laus Israelis.* Hoc autem, ait, omnium est maxime admirabile, quod te in sancto hoc corpore habitante, passio peragatur. *Laudem* autem *Israelis* ipsum nominat, vt qui laudatur et decantatur a suis propriis cultoribus. Nam pro laude, hymnum alii interpretes posuerunt. 5. *In te sperauerunt patres nostri.* Lucrum spei demonstrat. *Sperauerunt, et liberasti eos.* 6. *Ad te clamauerunt, et salui facti sunt: in te sperauerunt, et non sunt confusi.* Atqui, inquit, manifesto noui, cum omnes patres nostri tuo auxilio confisi essent, spe minime frustratos esse, cumque tuum auxilium implorassent, tuæ prouidentiæ fructum cepisse. 7. *Ego autem sum vermis, et non homo, opprobrium hominis, et abiectio plebis.* Ego autem, ait, et instar vermis vilis visus sum, et ridiculus factus. Aliqui per vermem ostendi dixerunt natiuitatem ex virgine: nam vermis non oritur ex concubitu. Ego vero puto, per vermem hoc in loco tantum vilitatem ostendi. Hoc ex eo coniicio, quia dicit: 8. *Omnes videntes me, deriserunt me, et locuti sunt labiis, et mouerunt caput.* 9. *Sperauit in Domino, eripiat eum: saluum faciat eum, quoniam delectatur illo.* Et hæc in sacris Euangeliis posita sunt. Multi enim, inquit, a) mouentes capita, dicebant, alios saluos fecit, se ipsum saluum facere non

γὰρ ὡς οὐ μάτην ἀνεβάλλε τὴν τῆς αἰτήσεως δόσιν, ἀλλὰ μέγα τι καὶ σωτήριον ἐκ τοῦ πάθους οἰκονομῶν. δ'. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ Ἰσραήλ. Τὸ δὲ πάντων παραδοξότατόν φησιν, ὅτι σοῦ ἐν τῷ ἁγίῳ τούτῳ σώματι κατοικοῦντος, ἐνεργεῖται τὸ πάθος· ἔπαινον δὲ Ἰσραὴλ αὐτὸν ὀνομάζει, ὡς ὑπὸ τῶν οἰκείων θεραπευτῶν ἐπαινούμενον καὶ ὑμνούμενον· ἀντὶ γὰρ τοῦ ἔπαινος, ὕμνος οἱ ἄλλοι τεθείκασιν ἑρμηνευταί. ε'. Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν. Δείκνυσι τῆς ἐλπίδος τὸ κέρδος. ἤλπισαν καὶ ἐῤῥύσω αὐτούς. ς'. Πρός σε ἐκέκραξαν, καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν. Καί τοι φησὶν οἶδα σαφῶς, ὡς ἅπαντες ἡμῶν οἱ πατέρες τῇ σῇ βοηθείᾳ θαῤῥήσαντες, οὐκ ἐψεύσθησαν τῆς ἐλπίδος· καὶ εἰς ἐπικουρίαν σε καλέσαντες τῆς σῆς προνοίας ἀπήλαυσαν. ζ'. Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος· ὄνειδος 1) ἀνθρώπου, καὶ ἐξουθένημα λαοῦ. Ἐγὼ δέ, φησι, δίκην σκώληκος, εὐτελής τε ὤφθην, καὶ καταγέλαστος ἐγενόμην. τινὲς δὲ διὰ τοῦ σκώληκος εἶπον παραδηλοῦσθαι καὶ τὴν ἐκ παρθένου γέννησιν· οὐκ ἐκ συνουσίας γὰρ 2) οὗτος ἔχει τὸ εἶναι. ἐγὼ δὲ ἡγοῦμαι τὴν εὐτέλειαν διὰ τοῦ σκώληκος ἐνταῦθα 3) μόνον παραδηλοῦσθαι 4) τεκμαιρόμενος. φησὶ γάρ· η'. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με· ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. θ'. Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. Καὶ ταῦτα 5) ἐστιν ἐν τοῖς ἱεροῖς εὐαγγελίοις προσκείμενα· πολλοὶ γάρ φησι κινοῦντες τὰς 6) κεφαλὰς ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι·

1) Cod. 1. 2. ἀνθρώπων. 2) οὗτος. Cod. 1. 2. ac *flor.* præm. οὐδὲ. 3) μόνον. Abest a Cod. *flor.* 4) τεκμαιρόμενος. Cod. *flor.* præm. τοῖς ἑξῆς. 5) ἐστιν. Cod. 1. 2. add. κυρίου. 6) κεφαλάς. Cod. 1. add. αὐτῶν.

a) Matth. 27, 40.

σώσει· καὶ τῶν λῃστῶν θάτερος ἔλεγεν, εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς. καὶ μέντοι καὶ τό, ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν, 1) ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἐστὶν εὑρεῖν. ι΄. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός· ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ια΄. Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας· 2) ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ. Ταῦτα καὶ ὁ μακάριος 3) προεθέσπισεν Ἡσαΐας· εἰρηκὼς γάρ, ὅτι ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ἐπήγαγε, βούτυρον καὶ 4) μέλι φάγεται, πρὶν ἢ γνῶναι 5) αὐτὸν 6) ἀγαθὸν ἢ 7) κακόν. ἀπειθεῖ 8) πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. καὶ ὁ 9) μακάριος τοίνυν Δαβίδ, τῷ τοῦ 10) Δεσπότου Χριστοῦ κεχρημένος προσώπῳ φησίν, ὅτι σύ με καὶ διέπλασας ἐν μήτρᾳ, καὶ ἐκεῖθεν πάλιν ἐξήγαγες, καὶ ἔτι τιθηνούμενος, καὶ τὴν μητρῴαν ἕλκων θηλήν, τῆς σῆς κηδεμονίας τὰς ἐμὰς ἐλπίδας ἐξήρτησα. ιβ΄. Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν 11) μοι. Καὶ γὰρ 12) τότε τῶν μαθητῶν αὐτὸν κατελελοίπει χορός· εἶτα προλέγει 13) τῆς θλίψεως τὰ εἴδη. ιγ΄. Περιεκύκλωσάν με μόσχοι πολλοί· ταῦροι πίονες περιέσχον με. ιδ΄. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν· ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. 14) Καλεῖ δὲ ταύρους, τοὺς ἱερέας καὶ γραμματέας, τὴν τοῦ λαοῦ πεπιστευμένους ἀρχήν, καὶ πολλῇ θρασύτητι κε-

vero desuper interrogantes, et discere cupientes, quodnam illud nouum sit spectaculum. 7. *Attollite portas vestras principes, et eleuamini portæ æternæ, et introibit rex gloriæ.* 8. *Quis est iste rex gloriæ? Dominus fortis et potens, Dominus potens in prælio.* 9. *Attollite portas vestras principes, et eleuamini portæ æternæ, et introibit rex gloriæ.* 10. *Quis est iste rex gloriæ? Dominus virtutum ipse est rex gloriæ.* Nemo autem inuisibilium virtutum inscitiam audiens, miretur; nec enim prænoscunt, nec omnia sciunt: sola autem diuina natura hanc scientiam habet. Angeli vero et archangeli, aliique virtutum inuisibilium cœtus, sciunt quantum discunt. Et propterea diuinus apostolus de ipsis loquens ait, a) Vt innotescat nunc principatibus, et potestatibus in cælestibus per ecclesiam multiformis sapientia Dei. Si autem et per ea quæ in ecclesia gesta sunt, diuinam sapientiam accuratius didicerunt, absurdi nihil est, cælestes virtutes ignorare „ etiam mysterium assumtionis Christi „ humanam naturam videntes, et diuinita-

δὲ ἄνωθεν πυνθανομένους, καὶ μαθεῖν ἐφιεμένους τί τὸ παράδοξον θέαμα. ζʹ. 1) Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι· καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. ηʹ. 2) Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος 3) δυνατὸς ἐν πολέμῳ. θʹ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι· καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. ιʹ. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. 4) Καί μοι 5) θαυμαζέτω μηδεὶς ἄγνοιαν ἀκούων τῶν ἀοράτων δυνάμεων· οὔτε γὰρ προΐσασιν, οὔτε ἴσασιν ἅπαντα· μόνη δὲ ἡ θεία φύσις ταύτην ἔχει τὴν γνῶσιν. 6) ἄγγελοι δὲ καὶ ἀρχάγγελοι, καὶ αἱ ἄλλαι τῶν 7) ἀοράτων δυνάμεων συμμορίαι, τοσαῦτα ἴσασιν, ὅσα διδάσκονται· οὗ δὴ χάριν καὶ ὁ θεῖος ἀπόστολος περὶ αὐτῶν διαλεγόμενος ἔφη, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς, καὶ ταῖς ἐξουσίαις, ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. εἰ δὲ καὶ διὰ τῶν κατὰ τὴν ἐκκλησίαν τὴν θείαν σοφίαν κατέμαθον ἀκριβέστερον, οὐδὲν ἀπεικὸς ἀγνοεῖν τὰς ἄνω δυνάμεις 8) „ καὶ „ τῆς ἀναλήψεως τοῦ Χριστοῦ τὸ μυστήριον „ φύσιν ἀνθρωπίνην ὁρώσας, καὶ τὴν ἐν αὐτῇ

1) Ἄρατε — ὑμῶν. Rectius *Aquila*: ἄρατε πύλαι κεφαλὰς ὑμῶν. 2) Τίς — δόξης. Des. in Cod. 2. 3) δυνατός. Cod. 1. 2. ἰσχυρός. 4) Καί μοι. Abest a Cod. 3. 5) θαυμαζέτω. Cod. 3. addit δέ. 6) ἄγγελοι — διδάσκονται. Des. in Cod. 3. 7) ἀοράτων. Cod. 2. ἀσωμάτων. 8) E Cod. 3. suppleta. Ibidem sequuntur hæc: ἴσως δὲ διὰ τῆς πεύσεως καὶ ἀποκρίσεως διδάσκουσι πάντας ἀνθρώπους τὴν δεσποτείαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἴ γέ τις δοίη ταύτας μὴ ἀγνοεῖν. „ Forsitan per quæstionem et responsionem omnes homines de imperio Domini nostri Iesu Christi instituunt: dummodo quis concesserit, eas (hæc) non ignorare. „ Hæc Textui inserere dubitauimus, *tum* quia nec ea, quæ proxima sunt, nec ista quæ paucis interpositis sequuntur, ἀλλὰ πάντας — δεσποτείαν, hoc permittere videntur, *tum* quia eadem apud EVSEBIVM ad h. l. exstant.

a) Eph. 3, 10.

αὐτῇ κεκρυμμένην 1) οὐ θεωμένας θεότητα· εἰ δὲ τοῦτο μὴ δοίη τις, ἐκ τῶν ἡρμηνευμένων ἐν τῷδε τῷ ψαλμῷ λαβέτω τὴν προκειμένην λύσιν. καὶ γὰρ ἄνω ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τὴν περὶ τῆς ἠθικῆς ἀρετῆς εἰσήγησιν ἐσχημάτισεν, 2) εἰπών· τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; οὕτως ἐρωτήσας, ἐπήγαγε τὴν ἀπόκρισιν· ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ, καὶ τὰ ἑξῆς. τοιοῦτον κἀνταῦθα ἡγείσθω εἶναι τοῦ λόγου τὸ σχῆμα, καὶ τοὺς ἐρομένους μὴ ἀγνοοῦντας ἔρεσθαι νομιζέτω, ἀλλὰ πάντας ἀνθρώπους τῷδε τῷ κηρύγματι τοῦ ἀνιόντος διδάσκειν τὴν δεσποτείαν. διὸ 3) φασὶν αἱ ἀποκρινόμεναι δυνάμεις, δόξης αὐτὸν εἶναι βασιλέα, ὡς τὴν παρὰ πάντων κομιζόμενον δόξαν, καὶ τὴν ἀληθῆ καὶ μόνιμον ἔχοντα βασιλείαν. καλοῦσι δὲ αὐτὸν καὶ Κύριον κραταιὸν, καὶ δυνατὸν ἐν πολέμῳ. κατέλυσε γὰρ τοῦ διαβόλου τὴν πικρὰν τυραννίδα, καὶ τῶν ὑπ' ἐκείνῳ τελούντων δαιμόνων τὴν 4) ἀπάτην διέλυσεν· αἰωνίους δὲ πύλας ἀνοιγῆναι παρακελεύονται, ὡς 5) μηδέποτε τῇ φύσει τῶν ἀνθρώπων 6) ὑπανοιγείσας. οὐδεὶς γὰρ ἐκείνας τῶν ἀνθρώπων διεπέρασε πώποτε, ἀλλ' ὁ ἐνανθρωπήσας Θεὸς λόγος, τὴν ἡμετέραν ἀναλαβὼν ἀπαρχὴν, ἀνήγαγέ τε εἰς οὐρανοὺς, καὶ ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν τοῖς ὑψηλοῖς, ἐπάνω πάσης ἀρχῆς 7) καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· ὁ δὲ μέγας Ἠλίας ἀνελήφθη μὲν, ἀλλ' οὐκ εἰς τὸν οὐρανὸν, ἀλλ' ὡς εἰς τὸν οὐρανόν· οὕτω τῆς προτέρας πεύσεως καὶ

tem in ipsa latentem minime intuentes. Si quis autem hoc dare noluerit, ab iis quæ in hoc psalmo exposita sunt solutionem accipiat. Etenim superius per dialogum doctrinam de virtute morali formauit, dicens, *Quis adscendet in montem Domini? et quis stabit in loco sancto eius?* Et interrogationi responsionem subiunxit, *Innocens manibus*, *et purus corde*, et reliqua. Talem * et hic putet esse sermonis figuram, neque existimet interrogantes ob ignorantiam interrogare: sed omnes homines hoc præconio adscendentis imperium docere. Propterea respondentes virtutes aiunt, ipsum regem gloriæ esse, vt qui ab omnibus delatam gloriam accipit, et verum ac perpetuum regnum habet. Vocant autem ipsum et *Dominum fortem*, et *in bello potentem*. Acerbam enim diaboli tyrannidem euertit, dæmonumque qui sub illo sunt dolum destruxit. *Aeternas* vero *portas* reserari iubent, tanquam naturæ humanæ nunquam antehac patefactas. Nemo enim hominum per illas vnquam transiuit: sed Deus Verbum factus homo, cum primitias nostras assumsisset, sublatus est in cælos, et sedit ad dexteram maiestatis in excelsis, supra omnem principatum, et potestatem, et dominationem, et omne nomen, quod nominatur, non solum in hoc sæculo, sed etiam in futuro. Magnus autem Elias assumtus est quidem, at non in cælum, sed tanquam in cælum. Sic prima interrogatione et respon-

1) οὐ θεωμένας. Abest a Cod. 2. 2) εἰπών. Cod. 1. εἰρηκώς, altera tamen lectione adscripta. 3) Cod. 1. 2. φησίν. 4) ἀπάτην. Cod. 1. πλάνην. 5) μηδέποτε. Cod. 1. μηκέτι. 6) Cod. 2. παρανοιγείσας. 7) καὶ ἐξουσίας. Abest a Cod. 1.

responsione facta, rursus hæ quidem interrogant, hæ vero respondent, et discunt virtutum Dominum hunc esse regem gloriæ, hoc est, qui angelorum et archangelorum, et totius naturæ inuisibilis et creatæ conditor et opifex est.

ἀποκρίσεως γενομένης, αὖθις αἱ μὲν πυνθάνονται, αἱ δὲ ἀποκρίνονται, καὶ μανθάνουσιν ὡς ὁ τῶν δυνάμεων Κύριος αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, τουτέστιν ὁ ἀγγέλων 1) καὶ ἀρχαγγέλων, καὶ πάσης τῆς ἀοράτου καὶ γενητῆς φύσεως, ποιητὴς 2) ἐστι καὶ δημιουργός.

INTERP. PS. XXIV.

1. *In finem, Psalmus Dauidi.* Psalmus hic deprecationis formulam habet. Propterea vt verisimile est, neque inscriptio ipsum psalmum nominat. Aliqui autem scriptores captiuitatem prædicere dixerunt, et tanquam ab illis qui captiui erant, dictum explanarunt, finem tantum attendentes. *Libera enim*, inquit, *Deus Israelem ex omnibus tribulationibus eius.* Ego autem hunc psalmum a beato Dauide dictum fuisse existimo, cum multos hostium impetus pateretur. Quam ob causam de priscis atque recentibus peccatis mentionem facit, ab hisque liberari obsecrat. Cohortationem autem hominibus vtilem introducit. „ Maxime „ autem congruit hic psalmus „ iis qui e gentibus vocati sunt, „ multamque cum eo qui præ„ cedit, habet cognationem. „ *Ad te Domine leuaui animam meam.* * 2. *Deus mi in te confido, ne erubescam in per-*

ΕΡΜΗΝ. ΤΟΥ κδʹ. ΨΑΛΜΟΥ.

αʹ. 3) Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. 4) Ὁ ψαλμὸς οὗτος προσευχῆς ἔχει σχῆμα· 5) διά τοι τοῦτο, ὡς εἰκὸς, 6) οὐδὲ 7) ψαλμὸν ἡ ἐπιγραφὴ προσαγορεύει. τινὲς δὲ τῶν συγγραφέων τῆς αἰχμαλωσίας προσαγορευτικὸν 8) ἔφασαν εἶναι, καὶ ὡς ἐξ ἐκείνων εἰρημένον ἡρμήνευσαν, τῷ τέλει μόνῳ προσεσχηκότες· λύτρωσαι γάρ φησιν 9) ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. 10) ἐγὼ δὲ ἡγοῦμαι 11) τοῦτον εἰρῆσθαι τὸν ψαλμὸν ὑπὸ τοῦ 12) μακαρίου Δαβὶδ, ἡνίκα πολλὰς εἶχε 13) πολεμίων 14) ἐπαναστάσεις· οὗ δὴ χάριν, καὶ παλαιῶν καὶ νέων ποιεῖται μνήμην ἁμαρτημάτων, καὶ 15) τούτων ἀπαλλαγῆναι παρακαλεῖ. εἰσηγεῖται δὲ καὶ παραίνεσιν 16) ἀνθρώποις ὠφέλιμον. „ 17) ἁρμό„ ζει δὲ μάλιστα ὁ προκείμενος ψαλμὸς „ τοῖς ἐξ ἐθνῶν κεκλημένοις, καὶ πολ„ λὴν ἀκολουθίαν ἔχει πρὸς τὸν πρὸ „ αὐτοῦ. „ Πρός σε Κύριε ἦρα τὴν ψυχήν μου. βʹ. Ὁ Θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην 18) εἰς τὸν αἰῶνα.

1) καὶ ἀρχαγγέλων. Abest a Cod. 1. 2) ἐστι. Abest a Cod. 1. 2. 3) Εἰς τὸ τέλος. Abest a Cod. 1. 2. 4) Ὁ ψαλμὸς οὗτος. GARN. Auct. p. 11. ὁ μετὰ χεῖρας ψαλμός. 5) διά τοι — θλίψεων αὐτοῦ. Des. apud GARN. l. c. 6) οὐδὲ — προσαγορεύει. Reliqui scilicet Interpretes huic Psalmo titulum fecerunt τοῦ Δαβίδ, obseruante EVSEBIO. 7) ψαλμόν. Cod. 1. 2. addunt αὐτόν. 8) ἔφασαν. Cod. 1. 2. præm. αὐτόν. 9) ὁ Θεός. Abest a Cod. 2. 10) ἐγὼ δὲ — ψαλμόν. GARN. l. c. εἴρηται δέ. 11) τοῦτον. Cod. 2. præm. καί. 12) μακαρίου. Cod. 2. θείου. 13) Cod. 1. 2. πολέμων. 14) ἐπαναστάσεις. GARN. ἀναστάσεις. 15) τούτων. GARN. τότε. 16) ἀνθρώποις. Cod. 3. et GARN. præmittunt πᾶσιν. 17) E GARN. suppl. 18) εἰς τὸν αἰῶνα. Exstat tantum in edit. *ald.* et *compl.*

αἰῶνα. γ΄. Μηδὲ καταγελασάτωσάν 1) με οἱ ἐχθροί μου. Πάντοθεν ὑπὸ μυρίων περιστοιχιζόμενος δυσμενῶν, σοὶ τὴν ἐμαυτοῦ Δέσποτα προσφέρω ψυχὴν, καὶ τῆς σῆς 2) βοηθείας ἐξήρτημαι, μὴ διηνεκῶς ἐν αἰσχύνῃ διάγειν, καὶ ἐπιχαρτος εἶναι τοῖς πολεμίοις, 3) ἀντιβολῶν. καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν. δ΄. Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. 4) Ἔχω, φησὶ, τῆς ἐλπίδος ἐχέγγυον ἱκανὸν, τοὺς ἤδη σοι πεπιστευκότας, καὶ τῆς σῆς ῥοπῆς ἀπολαύσαντας. τούτων μὲν γὰρ εἴωθας προμηθεῖσθαι, καταισχύνειν δὲ τοὺς παρανομίᾳ συζῶντας. ἐπισημήνασθαι δὲ προσήκει, ὅτι οὐ τοὺς 5) ἁμαρτάνοντας, 6) ἀλλὰ καὶ τοὺς διακενῆς ἀνομοῦντας, αἰσχύνης 7) ἔφησεν ἀναπίμπλασθαι. οὐ γὰρ πάντες πλημμελοῦσιν ὁμοίως· οἱ μὲν γὰρ ἢ ἐκ περιστάσεώς τινος, ἢ ἐκ φυσικῆς ὀλισθαίνουσιν ἀσθενείας· οἱ δὲ καὶ ἐφήδονται ταῖς παρανομίαις, καὶ ἐπινοοῦσιν ἑτέρας. Τὰς ὁδούς σου Κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. ε΄. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καί σε ὑπέμεινα ὅλην τὴν ἡμέραν. Ἐγὼ δὲ πρῶτον μὲν ἱκετεύω τὰς σὰς ὁδοὺς διαγνῶναι, καὶ τὰς πρός σε φερούσας τρίβους μαθεῖν, ὥστε διηνεκῶς τὴν ἀπλανῆ σου καὶ ἀληθῆ πορείαν ὁδεύειν· ἔπειτα δι᾽ αὐτῶν ἱκετεύω τῶν πραγμάτων μαθεῖν, ὅτι σωτὴρ ὑπάρχεις ἐμός· τὴν γὰρ παρά σου φιλανθρωπίαν προσμένω διηνεκῶς. τὸ γὰρ ὅλην τὴν ἡμέραν, ἀντὶ τοῦ ἀεὶ τέθεικεν· καὶ διδάξαι βα-

petuum. 3. *Neque irrideant me inimici mei.* Vndique ab infinitis hostibus septus, tibi Domine meam animam offero, et ex tuo auxilio pendeo, obsecrans ne semper in ignominia viuam, neue hostibus ludibrio sim. *Etenim omnes, qui exspectant te, non confundentur.* 4. *Confundantur iniqua agentes temere.* Habeo, ait, idoneum pignus spei, eos qui tibi iam crediderunt, tuaque ope potiti sunt. Horum enim solitus es curam gerere, confundere autem vitiis deditos. Porro notandum est, quod non peccantes, verum temere transgredientes, dedecore impleri dicat. Non enim omnes aequaliter peccant: nam aliqui quidem ob aliquam calamitatem, vel ob naturalem imbecillitatem labuntur; aliqui vero sceleribus ipsis delectantur, aliaque excogitant. *Vias tuas, Domine, demonstra mihi, et semitas tuas edoce me.* 5. *Dirige me in veritate tua et doce me, quia tu es Deus Saluator meus, et te exspectaui toto die.* Ego autem in primis tuas vias vt agnoscam obsecro, et semitas discam, quae ad te ducunt, vt semper tuam certam atque veram viam teneam. Deinde precor te, vt re ipsa discam te meum saluatorem esse: tuam enim misericordiam semper exspecto. Illud enim *toto die*, pro *semper* posuit: et docere vult,

1) με. Rec. lectio est μου. 2) βοηθείας. Cod. 1. et 2. ac CORD. p. 434. ἐλπίδος. 3) Cod. 2. ἀντιβολῶ. 4) Ἔχω — συζῶντας. Des. in Cod. 3. 5) ἁμαρτάνοντας. Codd. tres aug. ἀνομοῦντας. 6) ἀλλὰ — ἀνομοῦντας. Des. in Cod. 3. 7) Cod. 1. ἔφη. Cod. 2. ἔφασαν.

vult, ſe non hoc modo capere conſilium, modo aliud pro illo. 6. *Reminiſcere miſerationum tuarum Domine, et miſericordiarum tuarum, quippe quæ a ſæculo ſunt.* 7. *Peccati iuuentutis meæ, et ignorantiæ meæ ne memineris Domine: ſecundum miſericordiam tuam memento mei.* Manſuete, ait, ſemper atque benigne homines gubernas. Hanc vt nunc quoque experiar bonitatem precor, vtque tuæ benignitatis, non autem meorum peccatorum memineris. Et dum mei recordaris, o Domine, miſericors aduerſus me ſis, non iuſtus. Hoc enim et in ſuperioribus precatus eſt, Secundum magnam miſericordiam tuam memor ſis mei: non mei peccati, ſed mei benigne memineris. „ Illud autem *peccati iuuentutis meæ et ignorantiæ ne memineris*, hunc habet ſenſum: Loquitur ſcilicet de populo cum eſſet in Aegypto; quaſi diceret, idola ibi colui, ne itaque eorum peccatorum memineris, ſed benignitatis tuæ, ſecundum quam eo quoque tempore eorum qui ex ignorantia agebant miſertus es, benignitate vſus. „ *Propter* * *bonitatem tuam Domine.* Non enim vllo meo merito, verum ſecundum tuam benignitatem hanc aſſequi peto. 8. *Benignus et rectus eſt Dominus.* Non temere, ait, his verbis vſus ſum, ſed ſciens non tantum iuſtum, verum etiam benignum eſſe Dominum. Hoc autem vbique diuina ſcriptura nos docet. Tale eſt illud: a) Miſericordiam, et iudicium tuum celebrabo

λεται, ὡς 1) οὐ νῦν μὲν ταύτην 2) ἔχει τὴν γνώμην, νῦν δὲ 3) ἑτέραν ἀντὶ ταύτης εἰσδέχεται. ϛ'. Μνήσθητι τῶν οἰκτιρμῶν σου Κύριε· καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. ζ'. Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας 4) μου μὴ 5) μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί 6) μου. Ἡμέρως, φησὶν, ἀεὶ καὶ φιλανθρώπως τοὺς ἀνθρώπους οἰκονομεῖς· ταύτης καὶ νῦν ἀπολαῦσαι τῆς ἀγαθότητος 7) ἱκετεύω, καὶ μνήμην σοι γενέσθαι τῆς σῆς φιλανθρωπίας, μὴ τῆς ἐμῆς ἁμαρτίας· καὶ τὴν ἐμὴν δὲ μνήμην ποιούμενος Δέσποτα φιλοικτιρμόνως ποίησαι, μὴ δικαίως· τοῦτο γὰρ 8) καὶ ἐν τοῖς ῥητοῖς παρεκάλεσε· κατὰ τὸ 9) μέγα ἔλεός σου, μνήσθητί μου σύ· μὴ τῆς ἁμαρτίας μου, ἀλλ' ἐμοῦ μνήσθητι φιλανθρώπως 10) „τὸ δὲ, ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μὴ μνησθῇς, ταύτην ἔχει τὴν διάνοιαν· φησὶ γὰρ τοῦ λαοῦ τοῦ ἐν Αἰγύπτῳ. καὶ γὰρ εἰδωλολάτρησα ἐκεῖ· μὴ οὖν ἐκείνων τῶν ἁμαρτημάτων μνησθῇς, ἀλλὰ τῆς σῆς φιλανθρωπίας, δι' ἧς καὶ τότε ἀγνοοῦντας φιλανθρωπίᾳ χρησάμενος ἠλέησας. „ Ἕνεκεν τῆς χρηστότητός σου Κύριε. οὐ γὰρ διὰ τὴν ἐμὴν ἀξίαν, ἀλλὰ διὰ τὴν σὴν φιλανθρωπίαν, τούτου τυχεῖν ἱκετεύω. η'. Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος. Οὐχ ἁπλῶς φησι τούτοις ἐχρησάμην τοῖς λόγοις, ἀλλ' εἰδὼς ὡς οὐ μόνον δίκαιος, ἀλλὰ καὶ φιλάνθρωπος ὁ 11) Δεσπότης. τοῦτο δὲ πανταχοῦ ἡμᾶς ἡ θεία διδάσκει γραφή· τοιοῦτόν ἐστι τὸ, ἔλεον καὶ κρίσιν ᾄσομαί σοι

1) οὐ. Abeſt a Cod. 2. 2) Cod. 2. ἔχειν. 3) ἑτέραν. Abeſt a Cod. 2. 4) μου. Abeſt a Cod. 2. 5) μνησθῇς. Cod. 2. addit Κύριε. 6) μου. Cod. 1. 2. addit σύ. 7) ἱκετεύω. Abeſt a Cod. 2. 8) καί. Deſ. in Cod. 1. 2. 9) μέγα. Deſ. ibid. 10) E Cod. 1. ſuppl. 11) ὁ δεσπότης. Abeſt a Cod. 1.

a) Pſ. 100, 1.

σαι Κύριε. καὶ, ἐλεήμων 1) καὶ οἰκτίρμων ὁ Κύριος, καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. καὶ, ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. 9. Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσε· διὰ τοῦτο ὑποδείξει ἁμαρτάνουσιν ὁδόν· ἀγαθότητι 2) γὰρ χρώμενος, οὐκ 3) εὐθὺς κολάζει τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τὴν εὐθεῖαν αὐτοῖς ὁδὸν ὑποδείκνυσι, καὶ τῆς μετανοίας ἐκπαιδεύει τὸν νόμον. καὶ μὲν δὴ καὶ τοὺς πραότητι καὶ ἁπλότητι κεχρημένους διακρίνειν διδάσκει τῶν πραγμάτων τὴν φύσιν, καὶ πάσας αὐτοῦ τὰς οἰκονομίας εἰδέναι παρασκευάζει· ἵνα μὴ ἐφόδιον ἀγνοίας 4) ἡ ἁπλότης γενομένη, πολλὴν τὴν βλάβην ἐργάσηται· εἶτα τῶν εἰρημένων ὁδῶν τὴν φύσιν 5) ὑποδείκνυσι. 10. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ. 6) Οἱ 7) γὰρ διηνεκῶς τοῖς ἱεροῖς ἐντρεφόμενοι λόγοις μανθάνουσιν ἀκριβῶς δι' ἐκείνων, ὡς πᾶσαι αὐτοῦ Θεοῦ καὶ σωτῆρος 8) ἡμῶν 9) οἰκονομίαι ἐλέῳ καὶ ἀληθείᾳ συγκέκρανται· τοῖς μὲν γὰρ μεταμελομένοις ἐφ' οἷς ἐπλημμέλησαν, τὸν ἔλεον καὶ τὴν συγγνώμην ὀρέγει· τοὺς δὲ ἀηττήτους τῆς ἀρετῆς ἀθλητὰς ἀνακηρύττει καὶ στεφα-

Domine. Et, a) Misericors et miserator Dominus, et iustus, et Deus noster miseretur. Et, b) Deus iudex iustus, et potens, et patiens, et qui non protrahit iram per singulos dies. *Propter hoc legem dabit delinquentibus in via.* 9. *Diriget mansuetos in iudicio, docebit mites vias suas.* Hoc magis dilucide Symmachus expressit, Propterea peccantibus viam monstrabit. Bonitate enim vtens non repente peccantes plectit, immo rectam ipsis viam ostendit, et pœnitentiæ legem docet, atque etiam eos, qui mansuetudine et simplicitate vtuntur, rerum naturam discernere docet: omnesque suas administrationes facit vt sciant, ne simplicitas occasio ignorantiæ facta, multum detrimenti inferat. Deinde naturam prædictarum viarum ostendit. 10. *Vniuersæ viæ Domini, misericordia et veritas sunt, quærentibus fœdus eius, et testimonia eius.* Nam sacrarum literarum cultores assidui per ipsas exactius discunt omnes Dei et Saluatoris nostri administrationes misericordia et veritate temperari. Nam pœnitentibus quidem de peccatis quæ perpetrarunt, misericordiam et veniam concedit; inuictos autem virtutis athletas præconio celebrat, et coronat,

1) καὶ οἰκτίρμων. Des. in vers. græca, et in Cod. *august.* 1. 2) γάρ. Abest ab vtroque Codice, in quo ἀγαθότητι χρώμενος præcedentibus iungitur, Colo ad χρώμενος posito. 3) εὐθύς. Cod. 1. addit γάρ. 4) ἡ ἁπλότης. Cod. 2. ἡ ἁπλότητος. 5) Cod. 2. ὑποδεικνύει. 6) Οἱ — τιμωρίας. Cod. *flor.* hæc paucis ita complectitur: Ὁ τῶν ἱερῶν ἐντρυφώμενος λόγων μανθάνει τοῖς μετανοοῦσι τὸν σωτῆρα ἔλεον καὶ συγγνώμην παρέχοντα, στεφανοῦντα καὶ σὺν ἀληθείᾳ καὶ κρίσει τοὺς νικῶντας ἐν ἀρετῇ, καὶ τοὺς μὴ μετανοοῦντας κολάζοντα. 7) γὰρ διηνεκῶς. Des. in Cod. 3 8) ἡμῶν. Abest a Cod. 2. 9) οἰκονομίαι. Cod. 1. κρίσεις, adscripta tamen altera lectione.

a) Ps. 114, 5. b) Ps. 7, 11.

nat, cum veritate sententiam pronuntians; quin etiam hominibus vitiis deditis, nec pœnitentiam agentibus, ex præscripto veritatis pœnas infligit. 11. *Propter nomen tuum Domine, propitius quoque sis peccato meo; est enim multum.* Ego igitur, ait, vt meis peccatis propitius sis obsecro, non ob exactam pœnitentiam meam, sed ob tuam benignitatem, qua benignus nominaris, et quia in tuo nomine omnem spem meam defixi. * 12. *Quis est homo, qui timet Dominum? legem statuet ei in via quam elegit.* 13. *Anima eius in bonis commorabitur, et semen eius hereditabit terram.* Deinceps instruit, et conducibilem admonitionem affert, et timentibus Dominum omnis generis opem pollicetur. Et quia multiplices diuersique sunt modi pie viuendi, solitarii et communes, agrestes et vrbani, priuati et militares, regales et mercenarii, nautici et rustici, et alii multi et varii, in singulis autem fieri potest, vt Deo placeamus, iure propheticus sermo ait: *Quis est homo, qui timet Dominum? legem statuet ei in via, quam elegit.* Videlicet in illa vita, quam sibi quisquis eligit, commodas et congruentes illi leges imponet. Sic diuinus Ioannes Baptista interrogantibus quidem publicanis, quid oporteat facere, respondit, Nihil amplius,

νοῖ, σὺν ἀληθείᾳ τὴν ψῆφον ἐκφέρων. καὶ μέν τοι καὶ τοῖς παρανομίᾳ συνεζηκόσι, καὶ μὴ μεταμελείᾳ χρησαμένοις, κατὰ τοὺς τῆς ἀληθείας ὅρους ἐπιφέρει τὰς τιμωρίας. ια΄. Ἕνεκεν τοῦ ὀνόματός σου Κύριε· καὶ 1) ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστιν. Ἐγὼ τοίνυν φησὶν, ἵλεών σε γενέσθαι ταῖς ἐμαῖς ἁμαρτίαις παρακαλῶ, οὐ διὰ 2) τὴν σπουδαίαν μου μεταμέλειαν, ἀλλὰ δι' ἣν ἔχεις φιλανθρωπίας προσηγορίαν, καὶ ἐπειδὴ τοῦ σοῦ ὀνόματος τὰς ἐμὰς ἐλπίδας ἐξήρτησα. ιβ΄. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο. ιγ΄. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. 3) Ἐντεῦθεν εἰσηγεῖται, καὶ τὴν ὀνησιφόρον προσφέρει παραίνεσιν, καὶ τοῖς τὸν Κύριον φοβουμένοις τὴν παντοδαπὴν ἐπαγγέλλεται πρόνοιαν· καὶ ἐπειδὴ πολλοὶ καὶ διάφοροι τῆς εὐσεβείας οἱ βίοι, 4) μοναδικοὶ καὶ κοινωνικοὶ, 5) ἐρημικοὶ καὶ πολιτικοὶ, ἰδιωτικοὶ καὶ στρατιωτικοὶ, βασιλικοὶ καὶ 6) ἀποχειροβιωτικοὶ, ναυτικοὶ καὶ γεωργικοὶ, καὶ οἱ ἄλλοι πολλοὶ καὶ διάφοροι· ἐν ἑκάστῳ δὲ βίῳ δυνατὸν ἀρέσαι Θεῷ· εἰκότως ὁ προφητικὸς ἔφη λόγος, τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο· ἀντὶ τοῦ, ἐν ἐκείνῳ τῷ βίῳ, 7) ὃν βιοτεύειν ἐκεῖνος 8) προαιρεῖται, τοὺς προσφυεῖς αὐτῷ καὶ ἁρμόζοντας 9) θήσει νόμους. 10) οὕτως ὁ 11) θεῖος Ἰωάννης ὁ Βαπτιστὴς τελώναις μὲν ἐρομένοις τί δεῖ πρᾶξαι, 12) παρῄνεσε μηδὲν πλέον τοῦ

1) ἱλάσθητι. Ita habent ed. *ald.* et *compl.* Rec. lectio est ἱλάσῃ. 2) τὴν σπουδαίαν. Cod. 2. τὴν τῆς σπουδῆς. 3) Ἐντεῦθεν — πρόνοιαν. Hæc apud CORD. p. 436. sequentia autem p. 445. exstant. 4) μοναδικοὶ — διάφοροι. Des. apud CORD. loco posteriori. 5) ἐρημικοί. Abest a Cod. 1. 6) Cod. 1. 2. ἀποχειροβίοτοι. 7) ὅν. Cod. 2. ἐν ᾧ. 8) Cod. 2. αἱρεῖται. 9) Codd. tres *aug.* τίθησι. 10) οὕτως — τροφῇ. Des. apud CORD. p. 445. 11) θεῖος. Cod. 3. θεσπέσιος. 12) παρῄνεσε. Cod. 3. παρηγγύησε.

1) τοῦ κατεταγμένου λαβεῖν. στρατιώταις δὲ, 2) τὸ μηδένα διασεῖσαι, ἀλλ᾽ 3) ἀρκεῖσθαι τοῖς ὀψωνίοις, τουτέστι τῇ ἀφωρισμένῃ τροφῇ· 4) οὕτως ὁ θεῖος ἀπόστολος, καὶ οἰκέταις καὶ δεσπόταις, καὶ παισὶ καὶ πατράσι, 5) καὶ γυναιξὶ καὶ ἀνδράσι, καταλλήλους τέθεικε νόμους. τοῖς τούτους τοίνυν πεπληρωκόσι τοὺς νόμους, ὁ προφητικὸς ὑπέσχετο 6) λόγος τὴν ἐν ἀγαθοῖς τῆς ψυχῆς διατριβὴν, καὶ τὴν τοῦ σπέρματος εὐλογίαν· ἡ ψυχὴ γὰρ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. 7) ἐπειδὴ γὰρ ἡ παιδοποιΐα περισπούδαστος 8) ἐστὶν Ἰουδαίοις, καὶ τὸ κληρονόμους καταλιπεῖν, καὶ μέντοι καὶ νῦν τοῖς τὸν κοινωνικὸν βίον ἀσπαζομένοις 9) τοῦτο αὐτὸ ἀξιέραστον· καὶ ἀπὸ 10) τούτων ἐπὶ τὴν ἐργασίαν 11) εἶναι προτρέπει τῆς ἀρετῆς. ιδ. Κραταίωμα Κύριος 12) τοῖς φοβουμένοις αὐτὸν, καὶ ἡ διαθήκη αὐτοῦ 13) δηλώσει αὐτοῖς. 14) Τοῦτο σαφέστερον ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν, 15) μυστήριον Κυρίου τοῖς φοβουμένοις αὐτὸν, καὶ τὴν συνθήκην αὐτοῦ δηλώσει αὐτοῖς. αὐτοῦ δὲ ἔστιν ἀκοῦσαι τοῦ Δεσπότου διὰ Ἡσαΐου 16) τοῦ προφήτου λέγοντος, τὰ μυστήριά μου ἐμοὶ, καὶ τοῖς ἐμοῖς. ταῦτα γὰρ οὐχ ἁπλῶς ἅπασιν, ἀλλὰ τοῖς φοβουμένοις ἀποκαλύπτει, καὶ τῶν θείων αὐτοῦ λογίων 17) ὑποδεί-

quam quod constitutum est vobis, exigite. *a)* Milites vero admonet, vt neminem concutiant, verum contenti sint suis stipendiis, hoc est, determinato victu. Sic et diuinus Apostolus seruis et dominis, et filiis et patribus, et vxoribus et viris mutuas posuit leges. *b)* Iis autem, qui has obseruauerint leges, prophetica lex promisit, futurum, vt eorum animæ in bonis versarentur, et semini eorum benediceretur. *Anima enim eius in bonis commorabitur, et semen eius hereditabit terram.* Quoniam enim filios procreare, et heredes relinquere, res est desiderabilis apud Iudæos, immo etiam nunc hominibus, qui communem vitam amplectuntur, hoc ipsum optatissimum est: etiam res istiusmodi commemorans, illos ad opera virtutis incitat. 14. *Firmamentum est Dominus timentibus eum, et testamentum ipsius, vt manifestetur illis.* Hoc manifestius Symmachus et Theodotio interpretati sunt, *Mysterium Domini timentibus eum, et pactum suum ostendet eis.* Ipsum autem Dominum audire licet per prophetam Esaiam dicentem: *c)* Mysteria mea mihi et meis. Hæc enim non temere omnibus, verum timentibus aperit, diuinorumque ipsius oraculorum propositum

1) τοῦ διατεταγμένου. Cod. 2. παρὰ τὸ διατεταγμένον. 2) τό. Abest a Cod. 3. 3) Cod. 3. ἀρκεσθῆναι. 4) οὕτως — ἀπόστολος. Des. in Cod. 1. 5) καὶ — ἀνδράσι. Cod. 3. καὶ ἀνδράσι καὶ γυναιξί. 6) λόγος. Cod. 1. νόμος. 7) ἐπειδὴ κ. λ. Des. apud CORD. 8) ἐστιν. Codd. tres *aug.* ἦν. 9) Cod. 3. τοῦτ᾽ αὐτό. Cod. 2. omittit αὐτό. 10) τούτων. Codd. tres *aug.* παρόντων. Cod. 3. addit καρπῶν. 11) εἶναι. Abest a Cod. 2. 12) Codd. tres *aug.* τῶν φοβουμένων. 13) δηλώσει. Ita habet ed. *ald.* et *compl.* Rec. lectio est τοῦ δηλῶσαι. 14) Τοῦτο — δηλώσει αὐτοῖς. Des. in Cod. 1. 15) μυστήριον. Sed ὁμιλία leg. in versione *Symmachi* apud EVSEB. ad h. l. et MONTF. in Hexapl. T. I. p. 504. 16) τοῦ προφήτου. Des. in Cod. 2. 17) Cod. 1. ὑποδεικνύει.

a) Luc. 3, 13. *b)* Eph. 6, 1 sqq. *c)* Es. 24, 16. (secundum quosdam libros veteres.)

situm demonstrat. Quin et * secundum Septuaginta, firmamentum Dominus est timentibus illum: inuictos videlicet illos superioresque hostibus reddens. 15. *Oculi mei semper ad Dominum, quoniam ipse euellet de laqueo pedes meos.* Oculos rursus hic mentis dicit, quos ad Deum habere se ait, vt qui manifesto norit, se per eius protectionem structas ab hostibus insidias euitaturum. 16. *Respice in me, et miserere mei, quia vnicus et pauper sum ego.* Hoc *vnicus* reliqui *solus* interpretati sunt. Dicit autem, omni ope destitutus sum: ideo vt tui auxilii compos fiam, supplex peto. Valde autem miserabiliter hoc, *Respice in me, et miserere mei*, posuit. Intuere meam, ait, solitudinem, hostiumque obsidionem; omnino enim cum hæc videris, misereberis. 17. *Tribulationes cordis mei multiplicatæ sunt, ex angustiis meis erue me.* 18. *Vide humilitatem meam, et laborem meum, et dimitte vniuersa delicta mea.* Multæ, inquit, afflictiones me circumstant. Cum igitur hanc meam abiectionem et miseriam meis peccatis rependeris; concede remissionem, atque veniam præbe. 19. *Respice inimicos meos, quoniam multiplicati sunt, et odio iniquo oderunt me.* Si non videor, ait, dignus humanitate, cum talibus malis colluctans, saltem iniustas inimicorum inimicitias conspiciens, misericordiæ parti-

κνυσι τὸν σκοπόν· καὶ μέντοι κατὰ τοὺς ἑβδομήκοντα, κραταίωμα 1) Κύριός ἐστι 2) τοῖς φοβουμένοις αὐτόν· ἀηττήτους αὐτοὺς ἀποφαίνων καὶ κρείττους τῶν 3) πολεμίων. ιε´. Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. Ὀφθαλμοὺς πάλιν ἐνταῦθα τοὺς τῆς διανοίας λέγει, οὓς ἔφη 4) ἔχειν πρὸς τὸν Θεόν· ἅτε δὴ γινώσκων σαφῶς, ὡς διὰ τῆς αὐτοῦ κηδεμονίας τὰς ὑπὸ τῶν ἐχθρῶν κατεσκευασμένας ἐπιβουλὰς 5) διαφεύξεται. ιϛ´. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Τὸ μονογενὴς, μόνος ἡρμήνευσαν οἱ 6) λοιποί· λέγει δὲ, ὅτι πάσης 7) βοηθείας γεγύμνωμαι· διὸ δὴ τῆς σῆς τυχεῖν ἀντιλήψεως ἱκετεύω. ἄγαν δὲ ἐλεεινῶς, τὸ ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με τέθεικε· βλέπε μου, φησὶ, τὴν ἐρημίαν, καὶ τὴν τῶν ἐχθρῶν πολιορκίαν. πάντως γὰρ 8) οὕτω θεασάμενος ἐλεήσεις. ιζ´. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. ιη´. Ἴδε τὴν ταπείνωσίν μου, καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς 9) ἀνομίας μου. Πολλοῖς φησὶν ἀλγεινοῖς πανταχόθεν περιστοιχίζομαι. ταύτην μου τοίνυν τὴν ταπείνωσιν, καὶ τὴν ταλαιπωρίαν, ταῖς ἐμαῖς ἀντιταλαντεύσας παρανομίαις, δὸς τὴν ἄφεσιν, καὶ τὴν συγγνώμην παράσχε. ιθ´. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Εἰ μὴ δοκῶ, φησὶν, ἄξιος εἶναι φιλανθρωπίας, τοσούτοις προσπαλαίων κακοῖς, τὴν ἄδικον γοῦν τῶν πολεμίων ἀπέχθειαν θεασάμενος, φιλανθρωπίας

1) Κύριος. Abest a Cod. 3. 2) Codd. tres aug. τῶν φοβουμένων. 3) Codd. tres aug. πολεμούντων. 4) ἔχειν. Cod. 3. addit διὰ παντός. 5) Cod. 3 διαφεύξηται. 6) λοιποί. Cod. 2. πολλοί. 7) βοηθείας. Cod. 1. 2. præm. ἀνθρωπίνης. 8) οὕτω. Abest a God. 2. 9) ἀνομίας. Cod. 1. 2. ἁμαρτίας, quæ est rec. lectio h. l.

θρωπίας μετάδος· εἰς σὲ γὰρ ἐπλημμέλησα, τὰς σὰς παραβέβηκως ἐντολάς· ἐκεῖνοι δὲ μηδὲν ἐγκαλεῖν ἔχοντες, πολεμοῦσιν ἀδίκως. κ΄. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με· 1) μὴ καταισχυνθείην, ὅτι 2) ἐπεκαλεσάμην σε. Εἰ γὰρ καί τινας τῶν σῶν παραβέβηκα νόμων· 3) ἀλλ᾽ οὖν τῆς σῆς ἐμαυτὸν οὐκ ἐχώρισα προμηθείας· διὸ καὶ ῥυσθῆναι τῶν πολεμούντων, καὶ φυλαχθῆναι παρακαλῶ. κα΄. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε Κύριε. Καὶ 4) τοῦτο ἴδιον ἀρετῆς, τὸ μισεῖν μὲν τῶν φαύλων τὰς συνουσίας, τοὺς δὲ τὴν ἰσότητα τιμῶντας, καὶ εὐθύτητι χρωμένους, καὶ κακίας ἀπηλλαγμένους, συνήθεις ἔχειν καὶ φίλους· 5) τοῦτο γὰρ καὶ ὁ προφήτης ἔφη πεποιηκέναι, ἅτε δὴ θεραπεύειν 6) ἐν τούτῳ 7) δὴ τὸν Δεσπότην ἡγούμενος. κβ΄. Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. 8) Βασιλεῖ πρέπουσα ἡ προσενεχθεῖσα τῷ Θεῷ προσευχή. προσήκει γὰρ τὸν ἄρχειν τεταγμένον, πᾶσαν 9) ποιήσασθαι τῶν ὑπηκόων κηδεμονίαν. διά τοι τοῦτο καὶ ὁ 10) μακάριος Δαβὶδ, οὐ μόνον ὑπὲρ 11) ἑαυτοῦ προσενήνοχε τὴν εὐχὴν, ἀλλὰ καὶ ὑπὲρ ἐγκεχειρισμένου λαοῦ· 12) ἄλλως τε καὶ ἡ τοῦ εὖ καὶ καλῶς βασιλεύοντος σωτηρία κοινὴ τοῦ λαοῦ 13) καθέστηκεν ὠφέλεια. ἔχει δὲ καὶ ἑτέραν ἔννοιαν τὸ ῥητόν· διῄρητο ὁ Ἰσραὴλ, καὶ ἐπὶ τοῦ Σαοὺλ, 14) καὶ ἐπὶ τοῦ Μεμφιβοσθὲ, καὶ ἐπὶ τοῦ 15) Ἀβεσσαλώμ· εἰ τοίνυν 16) φησὶ τῆς σῆς ῥοπῆς ἀπολαύ-

cipem me fac. In te enim peccaui, cum tua præcepta transgressus sim: illi autem, cum nihil mihi vitio vertere possint, iniuste bellum gerunt. 20. *Custodi animam meam, et erue me; non erubescam, quoniam speraui in te.* Etsi enim aliquas tuarum legum transgressus sum, tamen a tua prouidentia me ipsum non separaui: propterea quoque vt ab hostibus liberer, et vt conseruer, obsecro. 21. *Innocentes et recti adhæserunt mihi, quia exspectaui te.* Et hoc proprium virtutis est, improborum consuetudinem odio habere: eos vero, qui æqualitatem honorant, et rectitudine vtuntur, et a malitia * liberi sunt, hos, inquam, familiares et amicos habere. Hoc autem propheta se fecisse ait, tanquam in hoc Dominum colere existimans. 22. *Libera Deus Israelem ex omnibus tribulationibus illius.* Hæc deprecatio Deo oblata regi conuenit. Decet enim eum, qui in imperio constitutus est, de subditis omnem curam gerere. Propterea beatus Dauid non tantum pro se preces obtulit, verum etiam pro populo sibi commisso, tametsi in eius qui bene præclareque regnat salute communis vtilitas populi consistit. Habent autem et alium sensum hæc verba. Diuisus erat Israel, et tempore Saulis, et Memphibosthæ, et Absalomi. Si igitur tuum, inquit, auxilium consequerer,

1) μὴ καταισχυνθείην. Abest a Cod. 2. 2) ἐπεκαλεσάμην σε. Cod. 1. ἤλπισα ἐπὶ σέ, quæ est rec. lectio. 3) ἀλλ᾽ οὖν Cod. 1. ἀλλά. 4) τοῦτο. Cod. 3. addit δέ. 5) τοῦτο — ἡγούμενος. Def. in Cod. 3. 6) ἐν. Def. in Cod. 2. 7) δή. Abest a Cod. 1. 2. 8) Βασιλεῖ. Cod. 3. addit δέ. 9) Cod. 3. ποιεῖσθαι. 10) μακάριος. Abest a Cod. 2. 11) Cod. 2. et 3. αὐτοῦ. 12) ἄλλως — ὠφέλεια. Def. in Cod. 3. 13) καθεσ. ὠφέλεια. Cod. 2. καθεστηκέναι ὀφείλει. 14) καὶ ἐπὶ τοῦ Μεμφ. Def. in Cod. 3. 15) Ἀβεσσαλώμ. Cod. 1. addit, καὶ ἐπὶ τοῦ Σεμεεί. Cod. 2. καὶ ἐπὶ τοῦ Βηρσαβεέ. Cod. 3. καὶ ἐπὶ τοῦ Σαμεέ. Conf. p. 713. 1) 16) φησί. Abest a Cod. 1. 2.

querer, et hostes superarem, et ipse Israel ciuile bellum finiret, pacem obtineret, et bonis omnibus frueretur.

INTERP. PS. XXV.

1. *Psalmus Dauidi.* Et hunc psalmum diuinus Dauid de se ipso dixisse mihi videtur: existimo autem hunc ante præcedentem scriptum fuisse. Nam ille quidem peccati et magni peccati meminit: *Propitius esto enim*, ait, *peccato meo, multum est enim.* In hoc autem psalmo propriæ virtutis species percurrit. Vnde arbitror, ipsum his verbis vsum esse, cum Saulem fugeret, et apud alienigenas degere coactus esset: quos impietati et superstitioni, et omni transgressioni adhærentes videns, eorum conuenticula vitabat, et epulas quæ in dæmonum honorem celebrabantur. Interpretatio autem sequentium manifestius hoc edocebit. *Iudica me Domine, quoniam ego in innocentia mea incessi, et in Domino sperans non infirmabor.* Cum integer, inquit, et purus fuerim, nihilque mali in Saulem perpetrauerim, et sic acerbe exactus sim, vt tu Domine iudex sis causæ meæ obsecro: te enim Deum esse noui, measque spes in tua prouidentia reposui, atque confido in hostium manus me minime peruenturum. 2. *Proba me Domine, et tenta me, igne explora renes meos, et cor meum.* Hinc patet psalmum peccato antiquiorem esse. Nam vt simplex et innocens,

σαιμι, καὶ κρείττων γενοίμην τῶν δυσμενῶν, καὶ αὐτὸς ὁ Ἰσραὴλ, 1) ἐμφύλιον πόλεμον καταλύσας, εἰρήνης τεύξεται, καὶ τοῖς σοῖς ἀγαθοῖς ἐντρυφήσει.

ΕΡΜΗΝ. ΤΟΥ κέ ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβίδ. Καὶ τοῦτον τὸν ψαλμὸν ὁ θεῖος Δαβὶδ εἰς ἑαυτὸν εἰρηκέναι δοκεῖ μοι· ἡγοῦμαι δὲ τοῦτον ἐκείνου πρεσβύτερον εἶναι. ὁ μὲν γὰρ ἁμαρτίας 2) καὶ μεγάλης ἁμαρτίας ἐποιήσατο μνήμην· ἱλάσθητι γάρ φησι τῇ 3) ἀνομίᾳ μου, πολλὴ γάρ ἐστιν. ἐνταῦθα δὲ τῆς οἰκείας ἀρετῆς τὰ εἴδη διέξεισιν· ὅθεν ἡγοῦμαι τούτοις αὐτὸν 4) χρήσασθαι τοῖς λόγοις ὑπὸ τοῦ Σαοὺλ διωκόμενον, καὶ παρὰ τοῖς ἀλλοφύλοις διάγειν ἠναγκασμένον· οὓς δυσσεβείᾳ, καὶ δεισιδαιμονίᾳ, καὶ πάσῃ παρανομίᾳ συζῶντας ὁρῶν, ἔφευγεν αὐτῶν τοὺς συλλόγους, καὶ τὰς τοῖς δαίμοσιν ἐπιτελουμένας δημοθοινίας· διδάξει δὲ τοῦτο σαφέστερον ἡ τῶν ῥητῶν ἑρμηνεία. Κρῖνόν με Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω. 5) Ἁπλότητί φησι κεχρημένος, καὶ 6) κακὸν οὐδὲν εἰς τὸν Σαοὺλ δεδρακὼς, καὶ πικρῶς οὕτως ἐξελαυνόμενός σε γενέσθαι Δέσποτα κριτὴν τῆς ἐμῆς δίκης ἀντιβολῶ· σὲ γὰρ οἶδα Θεὸν, καὶ τῆς σῆς προνοίας τὰς ἐμὰς ἐλπίδας ἐξήρτησα, καὶ θαῤῥῶ ὡς οὐκ ἔσομαι τοῖς διώκουσιν ὑποχείριος. β΄. Δοκίμασόν με Κύριε, καὶ πείρασόν με. πύρωσον τοὺς νεφρούς μου, καὶ τὴν καρδίαν μου. Κἀντεῦθεν δῆλον ὡς τῆς ἁμαρτίας πρεσβύτερος ὁ ψαλμός. ὡς ἁπλότητι γὰρ καὶ ἀκακίᾳ συζῶν, καὶ πεῖραν

1) ἐμφύλιον. Cod. 1. 2. præm. τόν. 2) καὶ μεγ. ἁμαρτίας. Def. in Cod. 2. Cod. 3. habet tantum μεγάλης. 3) ἀνομίᾳ. Cod. 1. ἁμαρτίᾳ. 4) Cod. 3. χρῆσθαι. 5) Ἁπλότητι κ. λ. Alia sub Nostri nomine habet CORD. p. 455. 6) Cod. 2. κακόν.

πεῖραν οὐκ ἔχων τῆς ἁμαρτίας, τῶν 1) ἐπικινδύνων 2) ἀγώνων ἐφίεται. 3) νεφροὺς δὲ καὶ καρδίαν τοὺς λογισμοὺς ὀνομάζει· καὶ τοῦτο πολλάκις εἰρήκαμεν. γ΄. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστίν. Δοκιμασθῆναι δὲ, καὶ χρυσίου δίκην πυρωθῆναι παρακαλῶ, ἐπειδὴ τῷ σῷ 4) ἐλέει θαῤῥῶ, καὶ τὴν ἐντεῦθεν προσμένω βοήθειαν. ὑπὸ τούτου γὰρ ἐρειδόμενος καὶ 5) εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου. εἶτα τῆς εὐαρεστήσεως τὰ εἴδη διέξεισιν. δ΄. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος· καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. ε΄. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων· καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. 6) Οὕτω δέ 7) φησι τῆς σῆς πεφρόντικα θεραπείας, ὅτι καὶ παρὰ δυσσεβέσιν 8) ἀνθρώποις 9) καὶ παρανόμοις γενόμενος, τοὺς 10) ἐκεῖθεν συλλόγους καὶ τὰς ἐπιβλαβεῖς 11) αὐτῶν ἔφυγον συνουσίας. σημαίνει δὲ διὰ 12) τούτων τὴν παρὰ τοῖς ἀλλοφύλοις διαγωγὴν, οἷς διὰ τὴν φυγὴν συνοικεῖν ἠναγκασμένος, 13) οὔτε τῆς δυσσεβείας, οὔτε τῆς παρανομίας αὐτοῖς ἠνέσχετο κοινωνῆσαι. ϛ΄. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου· καὶ κυκλώσω τὸ θυσιαστήριόν σου Κύριε. ζ΄. Τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου· καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. 14) Τούτων μὲν 15) οὖν σφόδρα τὴν δεισιδαιμονίαν βδελύττομαι, ποθῶ δὲ τὸ σὸν ἰδεῖν θυσιαστήριον, Δέσποτα, καὶ τὰς σὰς ὑμνῳδίας εἰσδέξασθαι τοῖς ὠσὶ, καὶ τῶν σῶν θαυμάτων τὰς μεγαλουρ-

* peccatique expers, periculosa * certamina desiderat. *Renes* autem et *cor*, cogitationes nominat: et hoc sæpe diximus. 3. *Quoniam misericordia tua ante oculos meos est.* Vt autem prober, et instar auri igne examiner precor: quoniam tuæ misericordiæ confido, et hinc opem exspecto. Hac enim suffultus sum: *Et complacui in veritate tua.* Deinde complacentiæ species percurrit. 4. *Non sedi cum concilio vanitatis, et cum inique sese gerentibus non introibo.* 5. *Odi ecclesiam malignorum, et cum impiis non sedebo.* Sic autem, ait, tui cultus rationem habui, vt etiam cum apud impios iniquosque homines essem, illorum conuenticula noxiasque consuetudines euitarim. Significat autem per hæc, apud alienigenas se versatum esse, cum quibus ob fugam simul habitare coactus, neque impietatis, neque iniquitatis cum ipsis voluit esse particeps. 6. *Lauabo inter innocentes manus meas, et circumdabo altare tuum Domine.* 7. *Vt audiam vocem laudis, et enarrem vniuersa mirabilia tua.* Istorum igitur superstitionem valde abhorreo, aueo autem tuum Domine videre altare, tuasque laudes auribus percipere, atque tuorum miraculorum magnitudinem

1) Cod. 2. ἐπὶ κινδύνων. 2) ἀγώνων. Cod. 2. ἀγαθῶν. 3) νεφροὺς — εἰρήκ. Des. apud CORD. p. 455. 4) Cod. 2. ἐλέῳ. 5) εὐηρέστησα. Cod. 1. 2. præm. ἤδη. 6) Οὕτω — συνουσίας. Des. apud CORD. l. c. 7) φησί. Abest a Cod. 1. 8) ἀνθρ. Abest a Cod. 2. 9) καὶ παραν. Des. in Cod. *flor.* 10) Cod. 1. 2. et *flor.* ἐκείνων. 11) αὐτῶν — συνουσ. Cod. *flor.* συνουσίας ἐξέφυγον. 12) Cod. *flor.* τούτου. 13) οὔτε — κοινωνῆσαι. Cod *flor.* οὐδεμιᾶς αὐτῶν παρανομίας μετέσχε. 14) Τούτων — διδάξαι. Des. apud CORD. l. c. 15) οὖν. Abest a Cod. 1.

dinem ignaros docere. Hoc autem, *Lauabo inter innocentes manus meas*, simile est illi quod a Pilato factum est, a) qui cum Iudaeorum parricidii particeps esse nollet, manus lauit, re ipsa ostendens, se omnem huius rei culpam fugere. Vt innocens igitur, ait, et nihil commune cum ipsis habens, confidenter manus lauabo. 8. *Domine dilexi decorem domus tuae, et locum habitationis gloriae tuae.* 9. *Ne perdas cum impiis animam meam, et cum viris sanguinum vitam meam.* 10. *In quorum manibus iniquitates sunt, dextera eorum repleta est muneribus.* Pro *decore* Symmachus *palatium* posuit, pro *viris sanguinum*, viros homicidas. Ocyus vero, ait, ab istorum consuetudine libera me Domine, tuam domum desiderantem, vbi tua ** gratia relucet, ne cum impiis hominibus, et qui muneribus corrumpuntur, atque homicidis, et qui iustitiam produnt, simul moriar. Et per haec eosdem rursus ostendit. *Domum* vero tabernaculum nuncupauit, nondum enim diuinum templum constructum erat: propterea etiam subdit, *Et locum habitationis gloriae tuae.* 11. *Ego autem in innocentia mea incessi, redime me Domine, et miserere mei.* 12. *Pes meus stetit in rectitudine.* Tantisper autem, cum cum iis consuetudinem haberem, fidei simplicitate vsus sum, et ab omni malitia me segregaui. Cumque in integritate pieta-

γίας τὰς ἀγνοοῦντας διδάξαι. 1) τὸ δὲ νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, ἔοικ 2) τῷ ὑπὸ τοῦ Πιλάτου γεγενημένῳ, ὃ τῆς Ἰουδαϊκῆς μιαιφονίας κοινωνῆσαι μ βουληθεὶς, τὰς χεῖρας ἐνίψατο, καὶ τ ἔργῳ δεικνὺς τοῦ πράγματος τὴν φυγή ὡς ἀθῶος τοίνυν, φησὶ, καὶ μηδεμία 3) πρὸς αὐτοὺς ἐχηκὼς κοινωνίαν, θαῤ ῥῶν ἀπονίψομαι καὶ τὰς χεῖρα ή. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκ σου· καὶ τόπον σκηνώματος δόξης σοι θ́. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴ ψυχήν μου· καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. ί. Ὧν 4) εἰσὶν ἐν χε σὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθ δώρων. Ἀντὶ τῆς εὐπρεπείας ὁ Σύμ μαχος 5) ἀνάκτορον 6) ἔθηκεν· ἀντὶ δ ἀνδρῶν αἱμάτων, ἀνδρῶν μιαιφόνων 7) θᾶττον 8) δέ φησι τῆς μετὰ τούτων διαγωγῆς ἐλευθέρωσον, Δέσποτα, πο θοῦντά σου τὸν οἶκον, τὸν τὴν σὴν ἀπο στίλβοντα χάριν· ἵνα μὴ δυσσεβέσιν ἀν θρώποις, καὶ δωροδόκοις, καὶ μιαιφόνοις καὶ προϊεμένοις τὸ δίκαιον συναπόλω μαι. καὶ διὰ τούτων δὲ πάλιν τοὺς αὐτοὺς ἐδήλωσεν· οἶκον δὲ τὴν σκηνὴν 9) ὠνόμα σεν. 10) οὐδέπω γὰρ ὁ θεῖος 11) νεὼς ᾠκο δόμητο· διὸ καὶ ἐπήγαγε, τόπον σκηνώ ματος δόξης σου. ιά. Ἐγὼ δὲ ἐν ἀκα κίᾳ μου ἐπορεύθην· λύτρωσαί με Κύριε καὶ ἐλέησόν 12) με. ιβ́. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι. 13) Τέως δὲ καὶ τούτοις συνὼν, τῇ τῆς πίστεως ἁπλότητι κέχρημαι, καὶ πάσης ἐμαυτὸν κακίας ἐχώρισα, κἀν τῇ τῆς εὐσεβείας εὐθύτη

Τι

1) τό. Cod. 1. τῷ. 2) τῷ — γεγενημένῳ. Cod. 1. τὸ — γεγενημένον. 3) Cod. 3. ἐσχηκὼς πρὸς αὐτούς. 4) εἰσίν. Abest a Cod. 2. et 3. 5) ἀνάκτορον. Cod. 3. praem. τό. Sed hanc *Symmachi* interpretationem MONTF. Hexapl. *Orig.* T. I. p. 505. refert ad vocem מזבח vers. 6. 6) Cod. 3. τέθεικεν. 7) θᾶττον κ. λ. Des. apud CORD. p. 456. 8) δέ. Cod. 1. μέ. Cod. 3. δέ με. 9) Cod. 1. ὀνομάζει, adscripta tamen lectione ὠνόμασεν. 10) Cod. 1. οὔπω. 11) Cod. 1. 2. ναός. 12) μέ. Abest a Cod. 1. 13) Τέως — οἰκήσεως. Des. apud CORD. p. 456.

a) Matth. 27, 24.

τοὺς πόδας ἐρείσας, ἕστηκα τέως ἀσφαλῶς καὶ βεβαίως. ἀντιβολῶ δὲ εἰς τέλος ταύτην φυλάξαι τὴν στάσιν. ἔσται δὲ τοῦτο, εἰ τῆς μετὰ τούτων ἀπαλλαγείην συνοικήσεως. ἐν ἐκκλησίαις εὐλογήσω σε Κύριε. ἐντεῦθεν μάλιστα σαφέστερον μεμαθήκαμεν, ὡς εἰς αὐτὸν εἴρηται τὸν Δαβὶδ ὁ ψαλμός. ὑπέσχετο γὰρ ἐν ἁπάσαις αὐτὸν ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις διὰ τῆς τῶν ψαλμῶν συγγραφῆς ὑμνήσειν τε καὶ εὐλογήσειν, προφητικοῖς ὄμμασι τὴν τῆς οἰκουμένης προβλέπων μεταβολήν. ἔλαβε δὲ καὶ τὸ τέλος ἡ προφητεία. ἐν πάση γὰρ γῆ καὶ θαλάσση διὰ τῶν εὐσεβῶν στομάτων ὁ μέγας Δαβὶδ ἀνυμνεῖ τὸν εὐεργέτην 1) Θεόν.

ΕΡΜΗΝ. ΤΟΥ κϛ΄ ΨΑΛΜΟΥ.

α΄. 2) Ψαλμὸς 3) τῷ Δαβὶδ, πρὸ τοῦ χρισθῆναι. 4) Ταύτην ἐν τῷ ἑξαπλῷ τὴν ἐπιγραφὴν 5) οὐχ εὗρον, ἀλλ' ἐν ἐνίοις 6) ἀντιγράφοις. ἐντεῦθεν δ' ὅμως ἔλαβόν τινες ἀφορμὴν τοῦ πάσας τὰς ἐπιγραφὰς, ὡς οὐκ ἀληθεῖς, 7) ἐκβάλλειν· πῶς γὰρ, φασι, οἷόν τε ἦν μήπω χρισθέντα τὸν Δαβὶδ, μηδὲ τοῦ παναγίου πνεύματος τὴν χάριν δεξάμενον, προφητικοὺς γράψαι ψαλμούς· ἄλλως τε καὶ νέος 8) ὢν τηνικαῦτα, πρόβατα ποιμαίνων, οὐ βασιλείαν ἰθύνων, οὐδὲ ὑπό τινων διωκόμενος δυσμενῶν; ἔδει δὲ αὐτοὺς συνιδεῖν, ὡς δὶς λέγει χρισθῆναι τὸν Δαβὶδ ἡ τῶν 9) βασιλειῶν ἱστορία, 10) μᾶλλον 11) δὲ τρίς· πρῶτον μὲν ἐν τῇ Βηθλεέμ, ὑπὸ Σαμουὴλ τοῦ προφήτου·

tis pedem firmauerim, tuto firmiterque interea constiti. Precor autem, vt hanc conditionem semper custodiam: erit autem hoc, si ab istorum consuetudine liber ero. *In ecclesiis benedicam tibi Domine.* Hinc manifestissime didicimus, de Dauide ipso dictum esse hunc psalmum. Spopondit enim in omnibus totius orbis ecclesiis per psalmorum scriptionem se laudaturum et celebraturum Dominum, propheticis oculis orbis mutationem praeuidens. Habuit autem finem prophetia: nam in omni terra et mari per piorum hominum linguas magnus Dauid Deum beneficii auctorem decantat.

INTERP. PS. XXVI.

1. *Psalmus Dauidi, priusquam vngeretur.* Hanc inscriptionem in Hexaplo non inueni, sed in aliquibus exemplaribus. Hinc tamen nonnulli ansam arripuerunt reiiciendi omnes inscriptiones, tanquam non veras. Quomodo enim, aiunt, fieri potest, vt Dauid, qui nondum vnctus erat, neque sancti Spiritus gratiam acceperat, propheticos psalmos conscriberet? praesertim cum eo tempore iuuenis esset, et oues pasceret, nec regnum gubernaret, neque ab vllis inimicis persecutionem pateretur? Oportebat autem illos scire, bis Dauidem vnctum esse, vt Regnorum historia testatur, immo potius ter. a) Primo quidem in Bethleem a propheta Samuele.

 Iterum

1) Θεόν. Abest a Cod. 2. Cod. 1. Θεὸν ἡμῶν. 2) Ψαλμός. Cod. 3. praem. Ἐν τισιν ἐπιγέγραπται. 3) Cod. 3. τοῦ. 4) Ταύτην — ἀντιγράφοις. Eandem notulam e Cod. regio ad h. l. attulit MONTF. in Hexaplis. Quae ad hanc inscriptionem a Nostro allata sunt, in Cod. 3. DIDYMI quoque nomen adscriptum habent. 5) οὐχ εὗρον. Cod. 3. οὐκ ἔστιν εὑρεῖν. 6) Cod. 1. τῶν ἀντιγράφων. 7) Cod. 3. ἐκλαβεῖν. 8) ὤν. Cod. 3. ἦν. 9) Cod. 3. βασιλέων. 10) μᾶλλον δὲ τρίς. Vid. supra p. 411. Quaest. 15. 11) δέ. Cod. 1. addit καί.

a) 1 Reg. 16, 13. 2 Reg. 2, 4. 2 Reg. 5, 3.

Iterum autem in Chebron a tribu Iudæ post Saulis interitum. Tertio vero ab omnibus tribubus post mortem Memphibosthæ. Dicit autem sic de secunda vnctione: a) Et consuluit Dauid Dominum dicens, Num adscendam in vnam de ciuitatibus Iudæ? et ait Dominus ad eum, adscende. Dixitque Dauid, quo adscendam? et respondit ei, Chebronem. Deinde historicus exponens quomodo adscenderit, subiungit, b) Et venerunt viri Iudææ, et vnxerunt ibi Dauidem, vt regnaret super domum Iudæ. De tertia autem rursus sic ait, c) Et veniunt vniuersæ tribus Israel ad Dauid Chebronem. Et paulo post, d) Et percussit eum eis rex Dauid fœdus in Chebron coram Domino, vnxeruntque Davidem vt rex esset super omnem Israelem. Manifestum itaque est, Dauidem hunc psalmum dixisse priusquam secundam acciperet electionem, et antequam aperte illi commissa esset rerum gubernatio. Cum igitur Saulem fugeret, his vsus est verbis, quando ad Abimelechum sacerdotem accessit, et cum orasset in Dei tabernaculo, et sanctorum panum benedictionem accepisset, hostis manus declinauit. Hoc autem in psalmo isto dicit, *Quoniam abscondit me in tabernaculo suo in die malorum meorum.* Tunc autem et Doëg Idumæus, cum ibi regales pasceret mulas, Davidis fugam Sauli nunciauit. Propterea in psalmo ait, *Quoniam*

δεύτερον δὲ ἐν Χεβρὼν, ὑπὸ 1) τῆς Ἰούδα φυλῆς, μετὰ τὴν 2) ἀναίρεσιν Σαοὺλ. τὸ δὲ τρίτον, ὑπὸ πασῶν τῶν φυλῶν, μετὰ τὴν τελευτὴν τοῦ Μεμφιβοσθέ. 3) λέγει δὲ 4) οὕτως περὶ τῆς δευτέρας χρίσεως· καὶ ἐπηρώτησε Δαβὶδ διὰ Κυρίου λέγων· εἰ ἀναβῶ εἰς μίαν τῶν πόλεων τῆς Ἰουδαίας; καὶ εἶπε Κύριος πρὸς αὐτὸν, ἀνάβηθι· καὶ εἶπε Δαβὶδ, ποῦ ἀναβῶ; καὶ εἶπε εἰς Χεβρών. εἶτα διηγησάμενος ὁ ἱστοριογράφος, ὅπως ἀνῆλθεν, ἐπήγαγε· καὶ ἔρχονται ἄνδρες τῆς Ἰουδαίας, καὶ χρίουσιν ἐκεῖ τὸν Δαβὶδ, τοῦ βασιλεύειν ἐπὶ τὸν οἶκον Ἰούδα. περὶ δὲ τῆς τρίτης πάλιν οὕτως· καὶ παραγίνονται πᾶσαι αἱ φυλαὶ Ἰσραὴλ πρὸς Δαβὶδ εἰς Χεβρὼν, καὶ μετ' 5) ὀλίγον· καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς Δαβὶδ διαθήκην ἐν Χεβρὼν ἐνώπιον Κυρίου, καὶ χρίουσι τὸν Δαβὶδ εἰς βασιλέα ἐπὶ πάντα τὸν Ἰσραήλ· ὡς εἶναι δῆλον, ὅτι τὸν ψαλμὸν τοῦτον εἴρηκε, πρὶν τὴν δευτέραν δέξασθαι χειροτονίαν, καὶ προφανῶς ἐγχειρισθῆναι τὴν τῶν πραγμάτων οἰκονομίαν· 6) τοίνυν διωκόμενος ὑπὸ τοῦ Σαοὺλ 7) τούτοις ἐχρήσατο τοῖς λόγοις, ἡνίκα πρὸς 8) Ἀβιμέλεχ εἰσῆλθε τὸν ἱερέα, καὶ ἐν τῇ τοῦ Θεοῦ σκηνῇ προσευξάμενος, καὶ τὴν 9) ὑπὸ τῶν ἁγίων ἄρτων εὐλογίαν λαβὼν, διέφυγε τοῦ πολεμοῦντος τὰς χεῖρας. τοῦτο δὲ καὶ ἐν αὐτῷ τῷ ψαλμῷ λέγει, ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου· τότε 10) καὶ Δωὴκ ὁ Ἰδουμαῖος τὰς βασιλικὰς ἡμιόνους νέμων ἐκεῖ, τοῦ Δαβὶδ τὴν φυγὴν τῷ Σαοὺλ κατεμήνυσε· 11) διόπερ ἐν τῷ ψαλμῷ λέγει, 12) ὅτι ἐπα-

1) τῆς. Cod. 1. et 3. addunt τοῦ. 2) ἀναίρεσιν. In Cod. 3. sequitur τοίνυν. 3) λέγει — Ἰσραήλ. Def. in Cod. 3. 4) Cod. 2. οὗτος. 5) Cod. 1. 2. ὀλίγα. 6) τοίνυν. Codd. tres *aug*. præm. ἔτι. 7) τούτοις — λόγοις. Cod. 3. τούτους — λόγους. 8) Cod. 2. Ἀχιμέλεχ. 9) ὑπό. Codd. tres *aug*. ἀπό. 10) καί. Codd. *aug*. præm. δέ. 11) διόπερ. Cod. 3. addit καί. 12) ὅτι. Abest a Cod. 2.

a) 2 Reg. 2, 1. b) Ib. v. 4. c) Ib. c. 5, 1. d) Ib. v. 3.

ἐπανέστησαν 1) ἐπ' ἐμὲ μάρτυρες ἄδικοι· 2) σαφέστερον δὲ ταῦτα ἡ κατὰ μέρος ἑρμηνεία διδάξει. Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; 3) Ὑπὸ σοῦ, 4) φησι, φωτιζόμενος, καὶ τῷ νοερῷ σου φωτὶ καταυγαζόμενος, πάντων ὁμοῦ τῶν πολεμούντων καταφρονῶ. β'. Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου· οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν, καὶ ἔπεσον. 5) Οὐκ ἐψεύσθην, φησὶ, τῆς ἐλπίδος, οὕτω τῇ σῇ θαῤῥήσας ῥοπῇ. καὶ γὰρ φθάσαντες 6) με οἱ δίκην θηρίων διώκοντες, καὶ δεῖπνον ὠμοβόρον ποιήσασθαι πειρασθέντες, ἐμὲ μὲν οὐκ ἐλωβήσαντο, αὐτοὶ δὲ πανωλεθρίαν ὑπέμειναν· τοῦτο δὲ γεγενῆσθαι πολλάκις ἡ ἱστορία διδάσκει· καὶ ἅπαξ γὰρ, καὶ δὶς, ὑπὸ τοῦ Σαοὺλ θηρευθεὶς, τὰς ἄρκυας διέφυγε, μᾶλλον δὲ αὐτὸν ἀνεῖλεν ἂν, εἴπερ ἠθέλησε, τὸν διώκοντα· ἀλλὰ αὐτὸς μὲν τὴν οἰκείαν ἐπεδείξατο φιλοσοφίαν, ἐκεῖνος δὲ παρὰ τοῖς ἀλλοφύλοις ἔτισε τῆς πονηρίας ποινήν· προῤῥήσεις 7) ἐστὶ τοίνυν τῶν ἐσομένων τὰ εἰρημένα. γ'. Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. Τοσαύτην, φησὶ, πεῖραν τῆς ἐπικουρίας λαβὼν, κἂν δὶς τοσοῦτοι, κἂν τρὶς, 8) προσβαλεῖν μοι πειραθῶσι πολέμιοι, καταθαῤῥῶ τῶν δεινῶν, τῇ ἐλπίδι ταύτῃ καθωπλισμένος. δ'. Μίαν ᾐτησάμην παρὰ Κυρίου,

insurrexerunt in me testes iniqui. Magis autem dilucide hoc sigillatim enarratio docebit. *Dominus illuminatio mea, et salus mea, quem timebo? Dominus protector vitæ meæ, a quo trepidabo?* Cum abs te lumen acceperim, tuaque arcana luce illustratus sim, omnes simul inimicos despicio. 2. *Dum appropinquant super me nocentes, vt edant carnes meas, qui tribulant me et inimici mei, ipsi infirmati sunt, et ceciderunt.* Mea spe, ait, minime frustratus sum, sic tuo auxilio fretus. Etenim cum præuenissent me qui ferarum more persequebantur, ac deuorare conabantur, mihi quidem haud nocuerunt, ipsi vero extremam perniciem passi sunt. Hoc autem sæpius accidisse historia docet. Nam et semel et iterum, cum Saul ipsum comprehendere conatus esset, retia euitauit: immo vero, si voluisset, ipsum insequentem perdere potuisset. Porro ipse Dauid propriam quidem philosophiam * ostendit, ille autem apud alienigenas pœnas malitiæ pependit. Quæ dicta sunt igitur, futurorum quædam prædictiones sunt. 3. *Si consistant aduersus me castra, non timebit cor meum: si exsurgat aduersus me prælium, interea ego sperabo.* Cum de tuo, inquit, auxilio tale fecerim experimentum, licet duplo et triplo maior numerus hostium me aggrediatur, intrepidus hæc discrimina subibo, huiusmodi spe armatus. 4. *Vnum petii a Domino,*

1) ἐπ' ἐμέ. Cod. 3. μοί. 2) σαφέστερον — διδάξει. Def. in Cod. 3. 3) Ὑπὸ — καταφρονῶ. Def. in Cod. 3. 4) φησί. Abest a Cod. 2. 5) Οὐκ — ὑπέμειναν. Hæc def. apud CORD. p. 468, leguntur autem p. 461. Def. quoque in Cod. 3. aug. In Cod. *flor.* ita legitur: Καλῶς καὶ αὐτοί· ἡμᾶς μὲν οὐδὲν ἠδίκησαν· ἔπαθον δὲ ταῦτα αὐτοὶ, ἅπερ ἡμᾶς διαθεῖναι προσεδόκων. ἐμφατικώτερον δὲ τὸ ἠσθένησαν ἀντὶ τοῦ οὐχ ὑπὸ πολεμίων ἀνῃρέθησαν, οὐδὲ ὑπ' ἀνθρώπων ἔπαθόν τι δεινὸν, ἄνευ πάσης ἀνθρωπείας χειρὸς ἐξαίφνης εἰς ἀσθένειαν τῇ τοῦ Θεοῦ κατηνέχθησαν τιμωρίᾳ. 6) με. Abest a Cod. 2. 7) Cod. 3. τοίνυν ἐστι. 8) Cod. 2. προβάλλειν.

hoc requiram, vt habitem in domo Domini omnibus diebus vitæ meæ: vt videam iucunditatem Domini, et visitem templum eius. 5. *Quoniam abscondit me in tabernaculo suo die malorum: protexit me in abscondito tabernaculi sui; in petra exaltauit me.* Ego autem, inquit, tali potitus beneficio, non diuitias a meo benefactore quæro et potentiam, nec regnum et gloriam, verum vt diuino templo continue assideam, et illinc diuinam pulchritudinem tanquam in speculo contempler, atque omnia quæ secundum legem facienda sunt considerem. Nam de vtilitate experientia mihi constat, cum iam illinc salutem retulerim, et inimicorum manus declinauerim. Hæc et magnus Dauid petiit, et a munificentissimo Deo accepit. Nam et ipse diuinam arcam reduxit, et tabernaculum alterum admirabilius construxit, et diuersos cantorum choros instituit: et hæc ex Paralipomenων libro exactius quis discere poterit. Hoc autem, *Vnum petii a Domino*, idem est quod *vnam gratiam.* Sic enim intelligendum est. 6. *Et nunc exaltauit caput meum super inimicos meos: circuiui, et immolaui in tabernaculo eius hostiam laudis et vociferationis.* Hic tempus mutatum est, quod et Aquila docuit: nam pro *exaltauit caput meum*, posuit, *exaltabitur caput meum.* Significauit igitur se regnaturum esse, inimicisque superio-

ταύτην ζητήσω· 1) τὸ 2) κατοικεῖν ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ. έ. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου· ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ· ἐν πέτρᾳ ὕψωσέ με. Ἐγὼ δέ φησι τοσαύτης ἀπολαύσας εὐεργεσίας, οὐ πλοῦτον 3) ζητῶ τὸν ἐμὸν εὐεργέτην, καὶ δυναστείαν, οὐδὲ βασιλείαν καὶ δόξαν, ἀλλὰ τὸ διηνεκῶς τῷ θείῳ προσεδρεύειν ναῷ, καὶ τὸ θεῖον ἐκεῖθεν κατοπτρίζεσθαι κάλλος, καὶ ἐπισκοπεῖν ἅπαντα τὰ κατὰ νόμον γινόμενα· πεῖραν γὰρ ἔχω τῆς ὠφελείας, ἤδη τὴν ἐκεῖθεν σωτηρίαν δρεψάμενος, καὶ τῶν διωκόντων τὰς χεῖρας διαφυγών· ταῦτα καὶ ᾔτησεν ὁ μέγας Δαβὶδ, καὶ ἔλαβε παρὰ τοῦ μεγαλοδώρου Θεοῦ· αὐτὸς γὰρ καὶ τὴν θείαν ἐπανήγαγε κιβωτὸν, καὶ σκηνὴν ἑτέραν θαυμασιωτέραν ἐπήξατο, καὶ τοὺς διαφόρους τῶν ψαλτῳδῶν χοροὺς συνεστήσατο· καὶ ταῦτα ἐκ τῆς τῶν παραλειπομένων 4) βίβλου μάθοι τὶς ἂν ἀκριβέστερον. τὸ δὲ μίαν ᾐτησάμην 5) παρὰ Κυρίου, ἀντὶ τοῦ, μίαν χάριν· οὕτω 6) γὰρ νοητέον. ϛ΄. Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ᾽ ἐχθροὺς μου· ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν 7) αἰνέσεως 8) καὶ ἀλαλαγμοῦ. Ἐνταῦθα ὁ χρόνος ἐνήλλακται· τοῦτο δὲ καὶ ὁ Ἀκύλας ἐδίδαξεν· ἀντὶ γὰρ τοῦ ὕψωσε κεφαλήν 9) μου, ὑψωθήσεται ἡ κεφαλή μου τέθεικεν. 10) σημαίνει τοίνυν, ὅτι βασιλεύσει, καὶ περιγενήσεται τῶν δυσμενῶν,

1) τό. Cod. 1. τοῦ. 2) κατοικεῖν. Cod. 1. 2. addunt με. Ita quoque h. l. habet Cod. *vatic.* 3) ζητῶ. Cod. 3. αἰτῶ. 4) βίβλου. Cod. 2. εἰ βούλει. 5) παρὰ Κυρίου. Des. in Cod. 3. 6) γάρ. Abest a Cod. 1. 2. 7) αἰνέσεως καὶ ἀλαλαγμοῦ. Coniuncta est h. l. vt in edit. *ald.* et *compl.* vtraque lectio, quarum alterutra tantum debuisset exprimi. 8) καὶ ἀλαλαγμοῦ. Abest a Cod. 2. 9) μου. Abest a Cod. 1. 10) σημαίνει κ. λ. Des. apud CORD. p. 470.

μενῶν, καὶ κυκλώσει αὐτοὺς ὁ νῦν ὑπ' αὐτῶν κυκλούμενος· καὶ τῷ Θεῷ προσοίσει, οὐ τὰς νομικὰς θυσίας ἐν τῇ σκηνῇ, ἀλλὰ τὴν τῆς αἰνέσεως θυσίαν, ἣν ἐν πάσαις ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις, διὰ τῶν τῷ Θεῷ πεπιστευκότων, νύκτωρ καὶ μεθ' ἡμέραν προσφέρει. ἔνια 1) μέντοι τῶν ἀντιγράφων, 2 θυσίαν αἰνέσεως ἔχει 3) καὶ ἀλαλαγμοῦ. τὴν αὐτὴν δὲ ἔχει διάνοιαν. ἀλαλαγμὸς γάρ ἐστι πολεμικὴ φωνή, ὑπὸ τῶν θαῤῥαλεωτέρων γινομένη κατὰ τῶν δειλιώντων· 4) τοιουτότροπος δὲ καὶ ἡ ὑμνῳδία. εὐθυμούντων γάρ ἐστιν ἡ φωνή, καὶ τὸν Θεὸν ἀνυμνούντων. εὐθυμεῖ γάρ τις, φησίν, ἐν ὑμῖν; ψαλλέτω. ᾄσω καὶ ψαλῶ τῷ Κυρίῳ. δῆλον κἀντεῦθεν, ὡς ἐνήλλακται ἐν τοῖς προῤῥηθεῖσιν ὁ χρόνος. ὑπισχνεῖται γὰρ 5) ᾄσειν, καὶ τὸν ὕμνον προσοίσειν. ζ'. Εἰσάκουσον Κύριε τῆς φωνῆς μου ἧς ἐκέκραξα· ἐλέησόν με, καὶ εἰσάκουσόν μου. Ἔλεον μὲν αἰτεῖ, οὐκ ἄδικον 6) δὲ, ἀλλὰ καὶ μάλα δίκαιον. η'. 7) Σοί φησιν εἶπεν ἡ καρδία μου, Κύριον ζητήσω. Οὐ γὰρ λόγοις ἐχρησάμην ἀληθείας γεγυμνωμένοις, ἀλλὰ τῆς διανοίας συνομολογούσης 8) τοῖς λόγοις τὸ ἔργον ἐπέθηκα. 9) ἐξεζήτησέ 10) σε τὸ πρόσωπόν μου. καὶ οὐκ ἀποχρήσει τὰ ἤδη γενόμενα· ἀλλὰ τοῦτο δράσω καὶ εἰς τὸν 11) ἔπειτα χρόνον. τὸ πρόσωπόν σου, 12) φησὶ, Κύριε ζητήσω. μὴ τοίνυν ἀπώσῃ με ποθοῦντα, μηδὲ τοῦ ποθουμένου στερήσῃς. θ'. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ

rem fore, atque ipsos circumdaturum, qui nunc ab ipsis circumdabatur: et Deo oblaturum, non legis sacrificia in tabernaculo, sed laudis hostiam, quam in omnibus totius orbis ecclesiis per eos qui Deo crediderunt noctu et interdiu offert. Aliqua quidem exemplaria *Hostiam laudis et vociferationis* * habent: eundem autem habet sensum. Vociferatio enim est bellica vox ab audacioribus contra formidolosos edita. Eiusmodi autem est hymnorum cantilena: laetantium enim est vox, et Deum laudantium. Laeto enim animo est quis, ait, a) in vobis? psallat. *Cantabo, et psalmum dicam Domino.* Et hinc manifestum est, in iis quae paulo ante dicta sunt, tempus mutatum esse: spondet enim se cantaturum, et hymnum Deo oblaturum. 7. *Exaudi Domine vocem meam, qua clamaui ad te: miserere mei, et exaudi me.* Misericordiam quidem implorat, non autem iniustam, sed valde iustam. 8. *Tibi dixit cor meum, Dominum quaeram.* Non enim verbis vsus sum veritate carentibus, sed mente cum verbis consentiente opus perfeci. *Exquisiuit te facies mea.* Et quae iam feci non satis erunt: verum hoc faciam et in posterum. *Faciem tuam Domine requiram.* Ne igitur me desiderantem repellas, neque re desiderata me priues. 9. *Ne auertas faciem tuam a me, et ne declines in ira a ser-*

1) μέντοι. Cod. 3. δέ. 2) θυσίαν. Cod. 3. praem. ἀντὶ τοῦ θυσίαν ἀλαλαγμοῦ. 3) καὶ ἀλαλαγμοῦ — ἡ ὑμνῳδία. Cod. 3. τὸ αὐτὸ δέ ἐστιν. 4) Cod. 1. τοιουτοτρόπως. 5) ᾄσειν. Cod. 3. πᾶσιν. 6) δὲ et sequens καὶ des. in Cod. 2. 7) Σοί. Cod. 1. 2. addunt γάρ. 8) τοῖς λόγοις. Cod. 2. οἷς. 9) ἐξεζήτησε — μου. Recepta lectio est ἐξεζήτησα τὸ πρόσωπόν σου. Cod. 2. habet ἐζήτησε. 10) σέ. Cod. 1. addit γάρ. 11) ἔπειτα. Cod. 2. ἐπιόντα. 12) φησί. Abest a Cod. 1. 2.

a) Iac. 5, 13.

a seruo tuo. Hoc per Metaphoram dixit, ab iis petitam qui irascuntur, et accedentibus ad se terga dant, in aliam viam declinare conantes. *Adiutor meus esto, ne contumeliose reiicias me: neque derelinquas me o Deus saluator mi.* Pro eo autem, *ne contumeliose reiicias me*, alii interpretes dixere *ne proiicias me*. A gentili autem eruditione Septuaginta hoc verbum transtulerunt. Hoc enim *ad coruos*, contumelia quædam erat apud antiquos ex fabula quadam orta. *10. Quoniam pater meus et mater mea dereliquerunt me, Dominus autem assumsit me.* Nam cum a Saule persecutionem pateretur, longe a genitoribus degere coactus fuerat: satis mihi vero, inquit, pro omnibus es tu Domine. *11. Legem pone mibi Domine in via tua, et dirige me in semitam rectam.* Pro, *legem pone mihi*, Aquila quidem et Theodotio *illumina* dixerunt. Symmachus autem, *ostende mibi viam tuam.* Quoniam procul, ait, a contribulibus viuere cogor, tu ipse mihi esto et legislator et dux, et ostende mihi semitam ad te ferentem. * *Propter inimicos meos. 12. Ne tradideris me in animas tribulantium me.* Hæc verba ab humili mente procedunt. Dicit enim sic, ego quidem salute indignus sum: ceterum cum nulla iniuria eos qui bellum mecum gerunt affecerim, immerito expellor. Ne tradas igitur iniuria affectum iis,

ἀπὸ τοῦ δούλου σου. Τοῦτο ἐκ μεταφορᾶς τέθεικε τῶν ὀργιζομένων, καὶ τοὺς προσιόντας ἀποστρεφομένων, καὶ εἰς ἑτέραν ὁδὸν ἐκκλίνειν πειρωμένων. βοηθός μου γενοῦ, 1) μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ σωτήρ μου. τὸ 2) μὴ ἀποσκορακίσῃς με, μὴ 3) ἀποῤῥίψῃς με εἶπον οἱ ἄλλοι ἑρμηνευταί· ἀπὸ τῆς ἔξωθεν 4) δὲ παιδείας οἱ ἑβδομήκοντα τοῦτο τὸ 5) ὄνομα πεποιήκασι. 6) τὸ γὰρ εἰς κόρακας ὕβρις τὶς ἦν παρὰ τοῖς πάλαι ἀπό τινος μύθου 7) γεγενημένη. ι. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με. Διωκόμενος γὰρ ὑπὸ τοῦ Σαοὺλ, πόῤῥω διάγειν τῶν γεγεννηκότων ἠνάγκαστο. ἀρκεῖς δέ φησι μοὶ ἀντὶ πάντων, ὦ Δέσποτα. ια΄. Νομοθέτησόν με Κύριε ἐν τῇ ὁδῷ σου· καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ. Ἀντὶ τοῦ νομοθέτησόν 8) με, ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων φώτισον εἰρήκασιν· ὁ δὲ Σύμμαχος, ὑπόδειξόν μοι τὴν ὁδόν σου. ἐπειδὴ πόῤῥω φησὶ διάγειν τῶν ὁμοφύλων ἠνάγκασμαι, αὐτός μοι γενοῦ καὶ νομοθέτης καὶ ποδηγὸς, ὑποδεικνύς μοι τὴν πρός σε φέρουσαν τρίβον. 9) ἕνεκεν τῶν ἐχθρῶν μου. ιβ΄. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με. Ταπεινοῦ φρονήματος 10) ἔκγονα τὰ ῥήματα ταῦτα. λέγει γὰρ, ὅτι ἐγὼ μὲν τῆς σωτηρίας ἀνάξιος, ἀλλ᾽ ὅμως ἥκιστα τοὺς νῦν πολεμοῦντας ἠδικηκὼς, ἀδίκως ἐλαύνομαι· μὴ παραδῷς τοίνυν τοῖς ἀδικοῦσι

1) μὴ — ἐγκαταλίπῃς με. Hoc etiam loco ed. *ald.* et *compl.* cum nostra lectione consentiunt, recepta autem lectio est μὴ ἐγκαταλίπῃς με, καὶ μὴ ὑπερίδῃς με. Lectionem ἀποσκορακίσῃς EVSEBIVS quoque et Codex quidam *coisl.* ad Textum τῶν ό. retulerunt. Vid. MONTF. Hexapl. *Orig.* T. I. p. 506. 2) μή. Abest a Cod. 2. 3) ἀποῤῥίψῃς με. Hanc lectionem *Symmacho* tribuunt EVSEB. et MONTF. l. c. 4) δέ. Abest a Cod. 3. 5) ὄνομα πεποιήκασι. Cod. 2. ῥῆμα εἰρήκασι. 6) τὸ γὰρ — γεγενημένη. Aliam explicationem suppeditat Scholion illud apud BOSIVM ad h. l. ἀπὸ μεταφορᾶς τῆς σκορίας, ἥτις ὡς περίττωμα σιδήρου ἄχρηστον ἀποπέμπεται. 7) Cod. I. γενομένη. 8) με. Abest a Cod. 2. 9) Cod. I. 2. ἕνεκα. 10) Cod. I. ἔγγονα.

κοῦσι τὸν ἀδικούμενον. ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, 1) καὶ ἐψεύσατο ἡ ἀδικία 2) ἑαυτῇ. ὁ δὲ Ἀκύλας τοῦτο σαφέστερον εἴρηκεν· 3) ἀντέστησάν μοι μάρτυρες 4) ψευδεῖς, καὶ ἐξεφάνη ἡ 5) ἀδικία. αὐτοὶ μὲν 6) γάρ φησι συκοφαντίαις ἐχρήσαντο κατ᾽ ἐμοῦ, ἐγὼ δὲ 7) λώβην οὐδεμίαν ἐντεῦθεν ἐδεξάμην διὰ τὴν 8) σὴν βοήθειαν. ἀντεστράφη δὲ κατὰ τῶν 9) ἀδίκων, καὶ τὰ πεμφθέντα παρ᾽ αὐτῶν κατ᾽ ἐμοῦ βέλη κατ᾽ αὐτῶν πάλιν ἀνέστρεψε. τοῦτο δὲ ἀπὸ τῆς κοινῆς εἴληπται χρήσεως· εἰώθαμεν γὰρ καὶ ἡμεῖς περὶ τῶν ἐπιβουλευόντων μὲν, οὐ βλαπτόντων δὲ, λέγειν· ἑαυτὸν ἔβλαψεν, οὐκ ἐμέ· οὕτω καὶ ὁ 10) μακάριος ἔφη Δαβίδ· ἐψεύσατο ἡ ἀδικία 11) ἑαυτῇ. ιγ΄. 12) Ἐγὼ δὲ πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων. Οὐ γὰρ μόνον κατὰ τὸν παρόντα βίον κρείττων ἔσομαι τῶν πολεμίων· ἀλλὰ καὶ τῶν προσδοκωμένων ἀγαθῶν ἐν ἀπολαύσει γενήσομαι· εἶτα προσφέρει πᾶσιν ἀνθρώποις παραίνεσιν. ιδ΄. Ὑπόμεινον τὸν Κύριον. Καὶ πῶς τοῦτο γένοιτ᾽ ἂν δυνατόν; ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. ὁ νοῦς, φησὶ, τῇ ἀνδρείᾳ καθοπλιζόμενος, καὶ διὰ ταύτης τῶν 13) προσβαλλόντων παθημάτων περιγινόμενος, κρατύνεται καὶ νικᾷ, καὶ τὰς θείας ἐπαγγελίας προσμένει, 14) ὧν μετὰ τοῦ συνεργήσαντος σώματος γίνεται κληρονόμος· γῆν δὲ ζώντων καλεῖ τὸν προσδοκώμενον βίον, ὡς τοῦ θα-

qui iniuria afficiunt. *Quoniam insurrexerunt in me testes iniqui, et mentita est iniquitas sibi.* Aquila hoc apertius dixit, *steterunt contra me testes falsi, et apparuit iniustitia.* Ipsi enim, inquit, calumniis contra me vsi sunt: ego vero nullum hinc detrimentum passus sum ob tuum auxilium, sed in ipsos conuersum est, et iacula ab illis contra me emissa rursus contra ipsos reuersa sunt. Hoc autem a communi vsu desumtum est. Solemus enim dicere de eo, qui insidiatur, sed lædere non potest: se ipsum offendit, non me. Sic enim beatus Dauid ait, *Mentita est iniquitas sibi ipsi.* 13. *Ego vero credo fore vt videam bona Domini in terra viuentium.* Non enim solum in hac vita superior ero inimicis meis, verum etiam exspectatis bonis perfruar. Deinde affert omnibus hominibus admonitionem. 14. *Exspecta Dominum.* Et quomodo hoc fieri posset? *Viriliter age, et confortetur cor tuum, et exspecta Dominum.* Mens, inquit, virilitate armata, et per hanc ingruentibus calamitatibus superior facta, corroboratur et vincit, diuinasque promissiones exspectat, quarum concurrente corporis auxilio hæres fit. *Terram* autem *viuentium* vocat futuram vitam, veluti mortis

1) καὶ — ἑαυτῇ. Interpretes græci non assecuti sunt sensum verborum יפיח חמס *et spirans violentiam.* 2) ἑαυτῇ. Cod. 1. ἑαυτήν. Ita quoque leg. CORD. p. 463. 3) ἀντέστησαν — ἐξεφάνη. Cod. 3. ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι καὶ ἐψεύσατο. Cod. 1. 2. ἀνέστησαν. 4) Cod. 1. 2. ψεύδους. 5) ἀδικία. Cod. 3. addit ἑαυτῇ. 6) γάρ. Abest a Cod. 3. Cod. 1. habet μέντοι. Cod. 2. μὲν οὖν. 7) Cod. 2. λαβήν. 8) σήν. Abest a Cod. 2. 9) ἀδίκων. Cod. 3. addit ἡ ἀδικία. 10) μακάριος. Cod. 2. θεῖος. 11) Cod. 1 ἑαυτήν. 12) Ἐγὼ δὲ πιστεύω. Cod. 2. πιστεύεις minus bene. Cod. 3. omittit ἐγὼ δέ. 13) Cod. 2. προσβαλλόντων. 14) ὧν. Abest a Cod. 1. 2.

tis expertem, et ab interitu ac tristitia liberam.

INTERP. PSALMI XXVII.

1. *Psalmus Dauidi.* „ Canit „ hunc psalmum ex persona eorum qui in Christum „ credunt, precibus Christum in „ auxilium vocans. Præterea quoque „ reprehensionem amentiæ „ Iudæorum continet, et votum, „ vt a manu, immo quoque a „ sorte illorum liberetur. „ *Ad te Domine clamabo, Deus mi ne sileas a me, ne quando taceas a me, et assimilabor descendentibus in lacum.* Dictus quidem est hic psalmus a Dauide, cùm Saulem fugeret, et ab iis, qui amici existimabantur, insidiis * peteretur, qui etiam indicabant, et manifestum facere ipsum Sauli conabantur. Talis erat Doëg, et tales erant Ziphæi, et alii insuper multi. Conuenit et hic psalmus, et anteriores, cuilibet homini, qui in istiusmodi calamitates inciderit. Potest enim vnusquisque, exemplo beati Dauidis, libenter mala perferre, et Deum precari, et ab eo auxilium consequi. *Clamabo* tamen posuit, non de voce, sed de propensa animi voluntate, et de intentis accuratisque precibus. Hoc autem, *ne sileas a me*, per Metaphoram dixit, desumtam ab illis, qui a quibusdam inuocantur, et ad interrogata respondere nolunt. Propterea dicit, si tacueris a me, tuaque ope me de-

κάτου 1) κεχωρισμένον, καὶ φθορᾶς κ[αὶ] λύπης ἐλεύθερον.

ΕΡΜΗΝ. ΤΟΥ κζ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβίδ. 2) „ ᾄδει τ[ὸν] „ ψαλμὸν ἐκ προσώπου τῶν π[ι]„ στευσάντων εἰς Χριστόν· διὰ δεήσεως ε[ἰς] „ ἐπικουρίαν καλῶν τὸν Χριστόν· ἅμα „ καὶ τῆς Ἰουδαίων ἀπονοίας κατάρχηο „ 3) ἔχει καὶ εὐχὴν τοῦ χωρισθῆναι τ[ῆς] „ ἐκείνων χειρὸς, μᾶλλον δὲ καὶ τῆς μερ[ί]„ δος. „ Πρός σε Κύριε 4) κεκράξομαι. Θεός μου μὴ παρασιωπήσῃς 5) ἀπ' ἐμ[οῦ], μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ [ὁ]μοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκ[κ]ον. Εἴρηται μὲν ὁ ψαλμὸς ὑπὸ τοῦ Δα[υ]βὶδ, ἡνίκα ὑπὸ τοῦ Σαοὺλ ἐδιώκετο, κ[αὶ] ὑπὸ τῶν δοκούντων εἶναι φίλων ἐπεβ[ου]λεύετο, καὶ μηνυόντων, καὶ κατάδηλ[ον] αὐτὸν τῷ Σαοὺλ πειρωμένων ποιεῖν· τοιοῦ[τος] 6) ἦν ὁ Δωὴκ, τοιοῦτοι οἱ 7) Ζιφαῖοι, κα[ὶ] ἕτεροι πρὸς τούτοις πολλοί. ἁρμόττει [δὲ] καὶ οὗτος, καὶ 8) μέντοι καὶ οἱ πρὸ τούτ[ου] ψαλμοὶ, παντὶ τοιαύταις περιπίπτοντ[ι] συμφοραῖς. ἔνεστι γὰρ ὁμοίως τῷ 9) μακαρίῳ Δαβὶδ, καὶ καρτερῆσαι τὸν 10) βουλόμενον, καὶ τοῦ Θεοῦ δεηθῆναι, καὶ τῆ[ς] ἐκεῖθεν προμηθείας τυχεῖν· τὸ κεκράξ[ο]μαι μέντοι τέθεικεν οὐκ ἐπὶ φωνῆς, ἀλλ' ἐπὶ προθυμίας, καὶ συντόνου καὶ σπουδαίας εὐχῆς· τὸ δὲ μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, ἐκ μεταφορᾶς ἔλαβε τῶν ὑπό τινων παρακαλουμένων, καὶ πρὸς οὐδὲν ἀποκρίνασθαι βουλομένων· διό φησιν, ἐὰν παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ τῆς σῆς βοηθείας

1) κεχωρισμένον — ἐλεύθερον. Des. in Cod. 2. 2) ᾄδει — μερίδος. Hæc e Cod. 1. *aug.* inserta sunt. Parum recedunt ab iis quæ CORD. T. I. p. 482. ATHANASIO tribuit, quæ tamen nec in HOLSTENII editione Opp. ATHAN. T. II. p. 517. nec in MONTF. Coll. noua PP. T. II. p. 89. exstant. 3) ἔχει. Codex habet τὸν Θεὸν, emendatiorem autem lectionem ἔχει e CORDERIO restituimus. 4) κεκράξομαι. Rec. lectio h. l. est ἐκέκραξα. Nostram habent ed. *ald.* et *compl.* 5) ἀπ' ἐμοῦ. Cod. *vatic.* h. l. et post pauca, habet ἐπ' ἐμοί. 6) ἦν. Abest a Cod. 1. 2. 7) Cod. 2. Ζηφαῖοι. 8) Cod. 1. 2. μὲν δή. 9) μακαρίῳ. Cod. 2. θείῳ. 10) Cod. 2. βουλευόμενον.

ἐπιγνούσης 1) με, παραυτίκα τῷ θανάτῳ παραδοθήσομαι· 2) τοῦτον γὰρ ἐκάλει λάκκον· ἐπειδὴ λάκκῳ παραπλησίως ὁ τάφος ὀρύττεται. β΄. Εἰσάκουσον Κύριε τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ 4) δεῖσθαι πρός σε, ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου. Οὐδέπω μὲν ὁ ναὸς ᾠκοδόμητο· τὴν δὲ σκηνὴν ὀνομάζει ναὸν, ἐν ᾗ προσηύχετο, πόῤῥω μὲν ὢν κατὰ τὸ σῶμα, τὸν δὲ νοῦν ἐκεῖ παραπέμπων· 5) οὕτω καὶ ὁ 6) μακάριος Δανιὴλ ἐν Βαβυλῶνι προσευχόμενος, 7) πρὸς τὴν Ἱερουσαλὴμ τετραμμένας ἀνέῳγε φωταγωγοὺς, οὐκ ἐκεῖ περιγεγράφθαι τὸ θεῖον ὑποπτεύων, ἀλλ᾽ ἐκεῖ τὴν θείαν ἐπιφάνειαν γεγενῆσθαι μεμαθηκώς. γ΄. Μὴ συνελκύσῃς 8) με μετὰ ἁμαρτωλῶν, καὶ μετὰ ἐργαζομένων 9) τὴν ἀδικίαν μὴ συναπολέσῃς με, τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν· κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν. Μηδεμίαν ἔχειν κοινωνίαν μετὰ τῶν διπλόῃ κεχρημένων ὁ 10) μακάριος ἱκετεύει Δαβίδ. βδελυροὺς γὰρ εἶναί φησι τοὺς ἕτερα μὲν φθεγγομένους, ἕτερα δὲ 11) βουλευομένους. οὗ δὴ χάριν καὶ πρόσφορα τοῖς ἐπιτηδεύμασι βούλεται αὐτοὺς εὑρῆσαι τὰ ἐπίχειρα. 12) Φησὶ γάρ· δ΄. 13) Δὸς 14) αὐτοῖς 15) Κύριε κατὰ τὰ ἔργα αὐτῶν· καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν. 16) καὶ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς· ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς. Μηδεὶς δὲ τὸν δίκαιον ἐπαρᾶσθαι τοῖς ἐχθροῖς

stitueris, repente morte afficiar. Hanc enim *lacum* vocauit: siquidem sepulcrum vt lacus foditur. 2. *Exaudi Domine vocem deprecationis meæ, dum oro ad te, dum extollo manus meas ad templum sanctum tuum.* Nondum quidem templum ædificatum erat, sed tabernaculum nominat templum, in quo precabatur, procul quidem constitutus quod ad corpus pertinet, verum mentem illuc intendebat. Sic etiam beatus Daniel, a) cum precaretur Babylone, fenestras ad Hierosolymam expositas aperiebat, non quod ibi Deum circumscriptum esse arbitraretur, sed quod ibi Deum apparuisse didicisset. 3. *Ne simul trahas me cum peccatoribus, et cum operantibus iniquitatem ne perdas me: qui loquuntur pacem cum proximo suo, mala autem in cordibus eorum.* Beatus quidem Dauid precatur, vt nihil commune habeat cum iis, qui fraudibus vtuntur. Execrabiles enim ait esse eos, qui alia loquuntur, alia vero cogitant. Quapropter vult, vt ipsi præmia suis studiis consentanea recipiant. Ait enim: 4. *Da illis, Domine, secundum opera eorum, et secundum prauitatem eorum quibus student: secundum opera manuum eorum tribue illis, redde retributionem eorum ipsis.* Nemo autem existimet virum iustum suis inimicis dira impre-

1) μέ. In Cod. 1. 2. ponitur post τῆς σῆς. 2) Cod. 2. τοῦτο. 3) Κύριε. Additur h. l. in ed. *ald.* et *compl.* 4) δεῖσθαι. In vers. τῶν ὁ. sequitur μέ. 5) οὕτω κ. λ. Des. apud CORD. p. 476. 6) μακάριος. Cod. 2. θεῖος. 7) πρός. Cod. 1. 2. præm. τάς. 8) μέ. Abest a Cod. 2. 9) τήν. Abest a Cod. 1. 2. 10) μακάριος. Cod. 2. θεῖος. 11) Cod. 2. βουλομένους. 12) φησὶ γάρ. Des. in Cod. 1. 2. 13) Δός. Cod. 1. addit γάρ. 14) αὐτοῖς. Cod. 1. addit φησί. 15) Κύριε. Additur in ed. *ald.* et *compl.* 16) καὶ τά. Cod. 2. κατὰ τά, quæ est rec. lectio h. l.

a) Dan. 6. 10.

imprecari. Non enim ad imprecationem spectant quæ dicta sunt, sed ad iustam sententiam. *Redde* enim ait, *retributionem eorum ipsis*. In suas proprias, inquit, insidias * incidant, quas contra se inuicem struunt. Hoc etiam in septimo psalmo dixit, a) Conuertetur dolor eius in caput eius, et in verticem ipsius iniquitas eius descendet. Deinde causam supplicii docet. 5. *Quoniam non intellexerunt opera Domini, et opera manuum ipsius*. Hæc autem inquit fecerunt, cum neque sermonem, neque opus diuinum discere voluerint. *Propterea iam destrues illos, et non ædificabis eos.* Vtilis enim est malis architectis praui ædificii euersio. Et hinc quoque manifestum est, eum ista quæ paulo ante dicta sunt, prophetæ more dixisse, non ipsis imprecantem, sed futura prædicentem. Non enim ait *destrue*, sed *destrues et non ædificabis*. Postea rursus diuina reuelatione potitus, et a longinquo futurum auxilium conspicatus, ad hymnorum cantilenam linguam admouit. 6. *Benedictus Dominus, quoniam exaudiuit vocem deprecationis meæ*. 7. *Dominus adiutor meus est, et protector meus.* Et ostendens causam repentini auxilii subiun-

νομιζέτω· ἐ γάρ ἐστιν ἀρᾶς τὰ εἰρημένα ἀλλὰ ψήφε δικαίας. ἀπόδος γάρ φησ τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς· ταῖς ἐ κείαις, 1) φησὶν, ἐπιβȣλαῖς περιπέσοιε αἷς κατ' 2) ἀλλήλων 3) κατλύȣσι· 4) τ το καὶ ἐν τῷ ἑβδόμῳ ψαλμῷ, ἐπιςρέψ ὁ πόνος αὐτȣ͂ εἰς κεφαλὴν αὐτȣ͂, καὶ ἐπ κορυφὴν αὐτȣ͂ ἡ ἀδικία αὐτȣ͂ καταβήσ ται. εἶτα τὴν αἰτίαν τῆς τιμωρίας διδά σκει. 5) ε'. Ὅτι ἐ συνῆκαν εἰς τὰ ἔργ Κυρίȣ, καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτ. Ταῦτα δέ φησι δεδράκασιν, ἔτε λόγο ἔτε ἔργον θεῖον μαθεῖν ἐθελήσαντε 6) διὸ δὴ καθελεῖς αὐτȣ̀ς, καὶ ἐ μὴ 7) ο κοδομήσεις αὐτȣ́ς. Λυσιτελὴς γὰρ τοῖ κακοῖς οἰκοδόμοις ἡ τῆς πονηρᾶς οἰκοδ μίας κατάλυσις· καὶ ἐντεῦθεν μέντοι δῆ λον, ὡς καὶ τὰ προειρημένα προαγορε τικῶς εἶπεν, ἐκ 8) αὐτοῖς ἐπαρώμενος, ἀλ λὰ τὰ ἐσόμενα προθεσπίζων· ἐ γὰρ ε πε κάθελε, ἀλλὰ καθελεῖς, καὶ ἐ μὴ 9) ο κοδομήσεις. εἶτα πάλιν τῆς θείας ἀπο καλύψεως ἀπολαύσας, καὶ πόῤῥωθε τὴν ἐσομένην βοήθειαν θεωρήσας, εἰς ὑ μνῳδίαν τὴν γλῶτταν ἐκίνησεν. ϛ'. Εὐ λογητὸς Κύριος, ὅτι εἰσήκȣσε τῆς φωνῆ τῆς δεήσεώς μȣ. ζ'. Κύριος βοηθός μȣ καὶ ὑπερασπιςής μȣ. Καὶ δεικνὺς τὴ αἰτίαν τῆς ταχείας ἐπικȣρίας, ἐπήγα γει.

1) φησίν. Des. in Cod. 1. 2) ἀλλήλων. Cod. 1. ἄλλων. 3) καττύουσι. Cod. 2. μαρτυροῦσι. 4) τοῦτο — καταβήσεται. Des. apud CORD. p. 477. 5) Huc pertinent quæ in Cod. *flor*. leguntur, de quibus tamen, quia ἄλλως δὲ præcedit, dubitandum est, num ad Nostrum pertineant. Haud magnopere differunt ab iis quæ CORD. p. 480. in Comment. ad h. l. attulit. Ἔργα μὲν αὐτῶν τὰ κατὰ διάθεσιν· ἔργα δὲ χειρῶν αὐτῶν τὰ τῶν ἐνεργητικῶν δυνάμεων, καθ' ἃ πρόεισιν εἰς ἔργον τὰ συςάντα τῇ γνώμῃ· τῶν δὲ ἔργων Κυρίου τὰ μὲν ὁρατὰ, τὰ δὲ ἀόρατα· ἃ δὴ συνέντες ἑαυτοὺς τιμωρίαις ὑπέβαλον. „*Opera* quidem *eorum* vocat, quæ animo proposita habent, *opera* autem *manuum eorum* ea quæ virtutibus effectricibus præstantur, quibus ea quæ mente concepta sunt, efficiunt. Operum autem Dei alia sunt visibilia alia inuisibilia, quæ cum intellexerint, suppliciorum se reos fecerunt. „ 6) διὸ δή. Abest a vers. τῶν ὁ. 7) οἰκοδομήσεις. Cod. 1. addit αὐτούς. Cod. 2. οἰκοδομήσῃς. 8) Cod. 2. αὐτός. 9) Cod. 2. οἰκοδομήσῃς.

a) Ps. 7, 16.

γει· 1) Ὅτι ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου. Ἡ γὰρ εἰς αὐτὸν ἐλπὶς, πρόξενός μοι τῆς προμηθείας ταύτης ἐγένετο. 2) διὸ δὴ τῆς διὰ τὴν φυγὴν κακουχίας ἀπαλλαγεὶς, ἀνέθηλά τε καὶ ἤνθησα, καὶ τὴν ἐκ τῆς εὐθυμίας εὐεξίαν ἀπέλαβον. Καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ. Ἀντὶ τοῦ οὐ βίαιον, ἀλλ' ἐθελούσιον αὐτῷ προσφέρω τὸν ὕμνον· οὕτω καὶ ἀλλαχοῦ φησὶν, ἑκουσίως θύσω σοι, καὶ πάλιν, τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε. ή. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ 3) ἐστιν· καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστιν. Ὑμνῶ δὲ αὐτὸν ὡς ἀγαθὸν Δεσπότην, ἰσχὺν, καὶ ῥώμην, καὶ σωτηρίαν, καὶ βασιλεῖ, καὶ λαῷ φιλοτίμως παρέχοντα· Χριστὸν γὰρ ἑαυτὸν ὡς βασιλέα καλεῖ· κοινὸν γὰρ τοῦτο τὸ ὄνομα καὶ βασιλέων, καὶ προφητῶν, καὶ ἱερέων ὑπῆρχε. θ΄. Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος. Ταύτης τοίνυν, φησὶ, τῆς εὐλογίας καὶ σωτηρίας τῷ σῷ μετάδος λαῷ, 4) ἰθύνων καὶ ποιμαίνων, καὶ ὑπερτέρους ἀποφαίνων τῶν πολεμίων. 5) καὶ βασιλεῖ δὲ πρέπουσα ἡ ὑπὲρ τοῦ λαοῦ προσευχή· ἀξιάγαστον δὲ καὶ τοῦτο τοῦ μεγάλου Δαβὶδ, ὅτι καὶ διωκόμενος 6) ὑπὸ τοῦ λαοῦ· συνεπολέμουν γὰρ τῷ Σαοὺλ· τὴν ὑπὲρ αὐτῶν ἱκετείαν προσέφερε τῷ Θεῷ· προεώρα γὰρ αὐτῶν 7) τὴν ἐσομένην μεταβολὴν, καὶ οὐχ ἑώρα τὴν ἀδικίαν, ἀλλὰ τὴν ἐσομένην δουλείαν.

xit, *In ipso sperauit cor meum, et adiutus sum, et refloruit caro mea.* Spes enim, quam in ipso collocaui, fuit mihi huius prouidentiæ conciliatrix. Quamobrem liberatus ab ærumna, quam propter fugam perpessus sum, reuirui, et florui, atque bonam corporis habitudinem ex lætitia recepi. *Et ex voluntate mea confitebor ei.* Hoc est, non inuitus, sed mea sponte ipsi offero hymnum. Sic et alibi ait, *a)* Voluntarie sacrificabo tibi: et rursus, *b)* Voluntaria oris mei tibi, quæso, placeant, Domine. *8. Dominus est fortitudo populi sui, et protector saluationum Christi sui est.* Canto autem ipsum, vt bonum Dominum, qui suppeditat et regi et populo, copiose fortitudinem, et robur, et salutem. Christum enim se ipsum vt regem nuncupat: hoc namque nomen commune erat, et regum, et prophetarum, et sacerdotum. *9. Saluum fac populum tuum Domine, et benedic hereditati tuæ, et pasce eos, et extolle illos vsque in æternum.* Hanc igitur, inquit, benedictionem et salutem cum tuo populo communica, dirigens, et pascens, et superiores * hostibus efficiens. Et certe regi conuenientes sunt preces pro populo. Sed dignum quoque est admiratione, quod magnus Dauid facit, qui, cum eum etiam populus persequeretur, (subditi enim cum Saule ipsum oppugnabant,) pro illo apud Deum precabatur. Siquidem præuidebat futuram eorum conuersionem: neque respexit ad iniustitiam illorum, sed tantum ad futuram seruitutem.

INTERP.

1) ὅτι. Abest a vers. τῶν ό. 2) διὸ δή. Des. apud CORD. p. 477. 3) ἐστιν. Abest a Cod. 1. 2. et a vers. τῶν ό. 4) ἰθύνων. Cod. 1. 2. praem. αὐτός. 5) καὶ βασιλεῖ κ. λ. Des. apud CORD. p. 478. 6) ὑπὸ τοῦ λαοῦ. Des. in Cod. 2. 7) τήν. Abest a Cod. 2.

a) Ps. 53, 6. b) Ps. 118, 108.

INTERP. PS. XXVIII. ΕΡΜΗΝ. ΤΟΥ κη' ΨΑΛΜΟΥ.

1. *Psalmus Dauidi: exitus tabernaculi.* Neque hunc titulum in Hexaplo inueni, sed in aliquibus exemplaribus. Hinc nonnulli scriptores adducti, arbitrati sunt beatum Dauidem hunc edidisse psalmum, cum arcam reduceret. Ceterum psalmi verba nullam huiusmodi sententiam habent, quandoquidem alia psalmus prædicit. Duplicem autem continet prophetiam: alteram quidem Ezechiæ regi, alteram vero nostro omnium regi congruentem, qui quidem idolorum errore sublato, diuinæ cognitionis radiis orbem illustrauit. Ego autem prædictionem ad Ezechiam pertinentem paucis expediam, pluribus vero prophetiam nostram, vt quæ ad nos magis attinet. Admirabilis Ezechias, cum Assyrios debellasset, et victoriæ nouitate exsultaret; iubet populum et victimis, et hymnis, et gloria Deo gratias agere, et in aula sanctæ ipsius solitum cultum celebrare.

α'. Ψαλμὸς τῷ Δαβὶδ, 1) ἐξόδου σκηνῆς. 2) Οὐδὲ ταύτην εὗρον ἐν τῷ ἑξαπλῷ τὴν ἐπιγραφὴν, ἀλλ' ἔν τισιν ἀντιγράφοις· ἐντεῦθέν τινες τῶν συγγραφέων ὁρμώμενοι ᾠήθησαν τὸν 3) μακάριον Δαβὶδ τοῦτον εἰρηκέναι τὸν ψαλμὸν, ἡνίκα τὴν κιβωτὸν ἐπανήγαγεν. οὐδεμίαν δὲ τοιαύτην διάνοιαν ἔχει τοῦ ψαλμοῦ τὰ ῥήματα· ἕτερα γὰρ ὁ ψαλμὸς προθεσπίζει. 4) διπλῆν δὲ ὅμως ἔχει τὴν προφητείαν· τὴν μὲν ἁρμόττουσαν Ἐζεκίᾳ τῷ βασιλεῖ, 5) τὴν δὲ τῷ πάντων ἡμῶν βασιλεῖ, ὃς τῶν εἰδώλων καταλύσας τὴν πλάνην, ταῖς ἀκτῖσι τῆς 6) θεογνωσίας τὴν οἰκουμένην ἐφώτισεν· ἐγὼ δὲ τὴν μὲν εἰς τὸν Ἐζεκίαν προφητείαν συντόμως ἐρῶ, διὰ πλειόνων δὲ τὴν ἡμετέραν, ὡς μᾶλλον ἡμῖν προσήκουσαν. ὁ θαυμάσιος Ἐζεκίας τῶν Ἀσσυρίων 7) περιγινόμενος, καὶ τῷ παραδόξῳ τῆς νίκης ἐπαγαλλόμενος, παρακελεύεται τῷ λαῷ θυσίαις ἀμείβεσθαι τὸν Θεὸν, καὶ ὕμνους αὐτῷ καὶ δοξολογίαν προσφέρειν, καὶ ἐν τῇ αὐλῇ αὐτοῦ τῇ ἁγίᾳ τὴν νενομισμένην λατρείαν ἐπιτελεῖν.

1) Rec. lectio est ἐξοδίου. 2) Οὐδὲ — ἀντιγράφοις. Idem est Scholion apud MONTF. in Hexaplis ad h. l. 3) μακάριον. Cod. 2. θεῖον. 4) διπλῆν δὲ — ἱερεῦσιν ἐκεῖ. Hæc apud GARN. Auct. p. 11. e Cod. *varic.* ita exhibentur. „Ὁ εἰκοστὸς ὄγδοος ψαλμὸς διπλῆν ἔχει τὴν προφητείαν, τὴν μὲν ἁρμόττουσαν Ἐζεκίᾳ τῷ βασιλεῖ, τὴν δὲ τῷ πάντων ἡμῶν βασιλεῖ, ὃς τῶν εἰδώλων καταλύσας τὴν πλάνην, ταῖς ἀκτῖσι τῆς θεογνωσίας τὴν οἰκουμένην ἐφώτισε. καὶ ὁ μὲν θαυμάσιος Ἐζεκίας τῶν Ἀσσυρίων παραδόξως περιγενόμενος, παρακελεύεται τῷ λαῷ θυσίαις ἀμείβεσθαι τὸν Θεὸν, καὶ ὕμνους αὐτῷ καὶ δοξολογίας προσφέρειν, καὶ τὴν λατρείαν ἐν τῇ αὐλῇ ἐπιτελεῖν· εἰς γὰρ τὸν ναὸν μόνοις ἐξῆν εἰσιέναι τοῖς ἱερεῦσιν.„ „Vigesimus octauus Psalmus duplex continet vaticinium, vnum conueniens Ezechiæ regi, alterum omnium nostrûm regi, qui idolorum falso cultu sublato radiis diuinæ cognitionis terrarum orbem collustrauit. Et egregius quidem Ezechias Assyriis mirabili modo deuictis imperat populo sacrificiis Deo gratias referre ac hymnis laudibusque eum prosequi, et cultum in aula exhibere: nam in templum solis sacerdotibus ingredi licebat.„ 5) τὴν — βασιλεῖ. Dees. in Cod. 2. 6) θεογνωσίας. Cod. 1. θεότητος, adscripta tamen lectione altera. 7) Cod. 2. παραγενόμενος.

τελεῖν. ἐπειδήπερ ὁ ναὸς ἄβατος ἦν τοῖς πολλοῖς, 1) μόνοις δὲ εἰσιτητὸς 2) ἦν τοῖς ἱερεῦσιν 3) ἐκεῖ. 4) εἶτα τούτων τὴν αἰτίαν διδάσκει, τὴν θεήλατον 5) πληγὴν τῶν Ἀσσυρίων ἐπιδεικνὺς, φωνῆς ὁμοῦ καὶ βροντῆς μεμνημένος· καὶ τροπικῶς πλῆθος ὑδάτων τῶν πολεμίων ὀνομάζων τὸ πλῆθος· εἶτα πάλιν κέδρους αὐτοὺς ἀποκαλεῖ, τὸ ὑψηλὸν καὶ πυκνὸν ἐντεῦθεν παραδηλῶν· καὶ λέγει ταύτας μὲν συντριβῆναι, τὸν δὲ ἠγαπημένον λαὸν υἱῷ μονοκερώτων ἀπεικασθῆναι· ἅτε δὴ ἕνα προσκυνοῦντα Θεὸν, καὶ διὰ τούτου καταλύσαντα τῶν ἐπελθόντων δυσμενῶν τὰς πολλὰς μυριάδας· ἀλλὰ μήν φησι καὶ δίκην φλογὸς αὐτοὺς διέκοψε καὶ διεσκέδασε, καὶ τὴν τοῦ Θεοῦ ἔρημον συνέσεισε φάλαγγα, καὶ τὸν 6) δρυμὸν μιμούμενον χῶρον διὰ τὴν 7) τῶν ἐν αὐτῷ 8) στρατοπεδευσαμένων πυκνότητα, τῶν ἐκεῖ καταλυσάντων ἐγύμνωσεν· ἡμᾶς δὲ τοὺς ἐλάφων δεξαμένους δειλίαν κατήρτισε, καὶ μένειν ἀντὶ τοῦ φεύγειν πεποίηκε. τούτου δῆτα χάριν, 9) καὶ συντρέχειν ἅπαντας ἐν τῷ 10) ναῷ δίκαιον, καὶ τῶν ὕμνων αὐτῷ προσφέρειν τὰς ἀντιδόσεις. τούτων γὰρ ἡμᾶς ἐλευθερώσας, παρασκευάσει καὶ τὰ τῶν περιβόλων ἔξω, τὰ ὑπὸ τῶν πολεμίων διαφθαρέντα, καὶ οἱονεὶ 11) κατακλυσθέντα, αὖθις ἀνοικοδομῆσαι καὶ κατοικῆσαι. ῥᾳδίως γὰρ ἅπαντα κατορθώσομεν τὸν 12) αἰώνιον ἔχοντες βασιλέα, ὃς καὶ τὸ κρατεῖν ἡμῖν δέδωκε, καὶ τὴν εἰρήνην δεδώρηται. ὅτι μὲν οὖν εἰς τὸν 13) μακάριον Ἐζεκίαν εἴρηται ὁ προκείμενος ψαλμὸς, ἡ ἑρμηνεία δεδήλωκεν· 14) ἐπειδὴ δὲ

lebrare: siquidem templum erat multitudini inuium, solis autem sacerdotibus aditus ibi patebat. Deinde harum rerum caussam aperit, ostendens Assyriorum plagam a Deo inflictam, vociferationis simul, et tonitru mentionem faciens, vocansque figurate hostium numerum *multitudinem aquarum*. Postea rursus *cedros* ipsos nominat, nimirum altitudinem et frequentiam hinc ostendens: et asserit has quidem contritas esse, populum autem dilectum filio vnicornium assimilatum esse, quippe qui vnum duntaxat Deum colat, et eius ingruentium hostium infinitas copias profligauerit. Praeterea, inquit, more ignis eos discidit et dissipauit, et phalangem Deo destitutam concussit, * ac locum illum, qui propter eorum qui in eo castrametati erant frequentiam, nemori similis erat, suis habitatoribus spoliauit: nobis autem, qui ceruorum timiditatem conceperamus, animum reddidit, fecitque vt pro fuga pedem sisteremus. Quocirca par est, vt omnes ad sacram aedem concurramus, atque hymnos pro remuneratione Deo offeramus. Etenim cum ab his malis nos liberarit, faciet, vt aedificia, quae extra moenia ab hostibus vastata sunt, et veluti alluuie deleta, rursus reparemus et incolamus. Facile enim omnia nobis ex voto succedent, cum regem habeamus sempiternum, qui et victoriae nostrae auctor fuit, et pacem largitus est. Praesentem igitur psalmum beato Ezechiae conuenire, hactenus nostra expositio declarauit. Quoniam vero

 figura

1) μόνοις δέ. Cod. 1. καὶ μόνοις. 2) ἦν. Abest a Cod. 2. 3) ἐκεῖ. Abest a Cod. 2. 4) εἶτα τούτων — ἑρμηνεία δεδήλωκεν. Haec des. apud GARN. l.c. 5) πληγήν. Cod. 2. ὀργήν. 6) δρυμόν. Cod. 1. δρυμῶνα. 7) τῶν ἐν αὐτῷ. Cod. 2. ἐνταῦθα τῶν. 8) Cod. 1. στρατευσαμένων. 9) καί. Abest a Cod. 1. 10) Cod. 1. νεῷ. 11) Cod. 1. κατακαυθέντα. 12) αἰώνιον. Cod. 2. οὐράνιον. 13) μακάριον. Cod. 2. θεῖον. 14) Cod. 1. ἐπεί.

figura noui testamenti vetus est, age vmbræ corpus applicemus, et similitudinem ostendamus. Illic rex pius, et hîc Christus pietatis magister. Illic populus illi obediens, et hîc populus ab hoc seruatus. Illic Assyriorum et bellum, et cædes, et hîc dæmonum incursus et euersio. Iubet ergo Spiritus sancti gratia, vt sacri Apostoli salutem gentibus prædicent, et credentes Deo offerant. *Filios* enim *Dei* Aposto-

1) τύπος τῆς νέας ἡ παλαιά, φέρε τῇ σκιᾷ παραθέντες τὸ σῶμα, τὴν ὁμοιότητα δείξωμεν. ἐκεῖ βασιλεὺς εὐσεβὴς, καὶ ἐνταῦθα Χριςὸς ὁ τῆς εὐσεβείας διδάσκαλος· ἐκεῖ λαὸς ἐκείνῳ πειθόμενος, καὶ ἐνταῦθα λαὸς ὑπὸ τούτου σωζόμενος· ἐκεῖ Ἀσσυρίων πόλεμός τε καὶ ὄλεθρος, καὶ ἐνταῦθα δαιμόνων ἐπανάςασις καὶ κατάλυσις. παρακελεύεται τοίνυν ἡ χάρις τοῦ 2) πνεύματος τοῖς ἱεροῖς ἀποςόλοις τοῖς ἔθνεσι κηρύξαι τὴν σωτηρίαν, καὶ τοὺς πειθομένους προσενεγκεῖν τῷ Θεῷ. 3) υἱοὺς μὲν γὰρ Θεοῦ τοὺς ἀποςόλους

1) τύπος. Cod. 1. addit ἦν. 2) πνεύματος. Cod. 2. præm. παναγίου, Cod. *vatic.* apud GARN. ἁγίου. 3) Apud GARN. p. 11. sq. hæc sequuntur, quae hoc loco ponenda esse duximus, *tum* quia cum illis quæ in Textu *sirmond.* proxima sunt, minus bene cohærent, *tum* quia prima verba ad ATHANASIVM pertinent, teste CORD. p. 495. „ᾄδεται γὰρ ὁ παρὼν ψαλμὸς ἐκβαλλομένων μὲν τῶν ἐξ Ἰσραὴλ, ἀντεισαγομένων δὲ τῶν ἐθνῶν. τοῦτο δὲ καὶ ἡ ἐπιγραφὴ δηλοῖ λέγουσα, ἐξοδίου σκηνῆς, σαφῶς τὴν ἔξοδον αὐτῶν ἡμῖν κατασημαίνουσα. πρὸς μὲν τὴν ἱςορίαν, ἐξοδεύουσι τοῖς ἱερεῦσιν ἀπὸ τῆς σκηνῆς ὁ λόγος διαμαρτύρεται, ἅτινα χρὴ ἑτοιμάσαντας πρὸς τὴν ἑξῆς ἀπαντῆσαι, ὅτι υἱοὺς κριῶν, ὅτι δόξαν καὶ τιμήν. πρὸς δὲ νοῦν, ἐκεῖνο ἡμῖν ὑποπίπτει, ὡς οὔτε κριὸς τὸ ἄῤῥεν ἐν τοῖς προβάτοις νοεῖται, οὔτε σκηνὴ τὸ ἐκ τῆς ἀψύχου ταύτης ὕλης συμπηγνύμενον οἴκημα, οὔτε ἔξοδος σκηνῆς ἡ ἀπὸ τοῦ ναοῦ ἀναχώρησις· ἀλλὰ σκηνὴ μὲν ἡμῖν τὸ σῶμα τοῦτο, ὡς ὁ ἀπόςολος ἡμᾶς ἐδίδαξε λέγων· οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ ςενάζομεν. ἐξόδιον δὲ σκηνῆς ἡ ἀπὸ τοῦ βίου τούτου ἀναχώρησις· πρὸς ἣν παρασκευάζεσθαι ἡμᾶς ὁ λόγος παρεγγυᾷ, τὰ δέ τινα καὶ τάδε κομίζοντας τῷ Κυρίῳ. ἐπείπερ ἡ ἐνταῦθα ἐργασία ἐφόδιόν ἐςι πρὸς τὸ μέλλον. καὶ ὁ ἐνταῦθα διὰ τῶν ἀγαθῶν ἔργων δόξαν φέρων καὶ τιμὴν τῷ Κυρίῳ, οὗτος δόξαν καὶ τιμὴν ἑαυτῷ κατὰ τὴν δικαίαν τοῦ κριτοῦ ἀνταπόδοσιν θησαυρίζει.„ „Canitur enim hic Psalmus Israëlitis expulsis et Gentilibus eorum loco introductis. Id vero ipsa quoque docet inscriptio, *exitus tabernaculi*, manifeste exitum illorum nobis significans. Ad historiam quidem quod attinet, sacerdotibus e tabernaculo egredientibus commonstrat oratio, quæ ab iis comparari oporteat, et quid postero die facere debeant, quod scilicet filios arietum, gloriam et honorem afferre debeant. Quoad interiorem autem sensum hoc nobis succurrit, quod neque aries, masculus de grege, intelligatur, neque tabernaculum quod incolimus, e materia quæ vitæ expers est compactum, nec per *exitum tabernaculi* discessus e templo significetur; sed *tabernaculum* nobis est corpus hoc, vti Apostolus nos edocuit, dicens: *a*) Qui sumus in hoc tabernaculo, ingemiscimus. *Egressus* vero *e tabernaculo* est discessus ex hac vita, ad quem vt parati simus, hæc verba admonent et modo hæc modo illa Domino afferri iubent. Siquidem quæ in hac vita geruntur, quasi viaticum sunt ad futuram vitam: nam qui per bona opera gloriam et honorem Domino affert, is sibi ipse gloriam et honorem pro iusta. Iudicis retributione instar thesauri reponit.„ *a*) 2 Cor. 5, 4.

λκ ἐκάλει, ὡς ἀδελφοὺς τοῦ Χριστοῦ χρηματίσαντας. εἴπατε γάρ φησιν τοῖς ἀδελφοῖς μου, 1) ὅτι προάγω ὑμᾶς εἰς τὴν Γαλιλαίαν· υἱοὺς δὲ κριῶν, τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, ἅτε δὴ φῦντας ἐξ ἀλόγων πατέρων. 2) Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν. β. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν· ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ· προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Ὑμεῖς, φησὶν, οἱ τὸ θεῖον κήρυγμα πιστευθέντες, καὶ υἱοὶ κληθέντες Θεοῦ, μετὰ πάσης προθυμίας τὸ θεῖον πανταχοῦ διαπορθμεύσατε κήρυγμα, καὶ τοὺς ἐν 3) ἀλογίᾳ τρεφομένους λογικοὺς ἀποφήνατε, καὶ 4) τούτους πρώτους τῷ Θεῷ προσενέγκατε· εἶτα διὰ τούτων τὸ σέβας καὶ τοὺς ὕμνους προσοίσατε, 5) ἐν τοῖς θείοις οἴκοις τὸν εὐεργέτην γεραίροντες. ἔοικε ταῦτα καὶ τοῖς ὑπὸ τοῦ σωτῆρος εἰρημένοις πρὸς τοὺς ἱεροὺς ἀποστόλους· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· καὶ ὁ ψαλμὸς 6) γὰρ, μετὰ τὰ εἰρημένα, εὐθὺς τῶν ἱερῶν ὑδάτων ἀνέμνησε. γ. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων· ὁ Θεὸς τῆς δόξης ἐβρόντησε. Προλέγει δὲ ὁ λόγος τὴν οὐρανόθεν ἐνεχθεῖσαν παρὰ τὸν Ἰορδάνην 7) φωνήν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ 8) ηὐδόκησα· βροντὴν δὲ αὐτὴν προσηγόρευσεν, ὡς εἰς ἅπασαν διὰ τῶν ἱερῶν εὐαγγελίων δραμοῦσαν τὴν οἰκουμένην· 9) οὕτως υἱοὺς βροντῆς τὴν ξυνωρίδα τῶν ἀποστόλων ἐκάλεσε, διὰ τὴν

los appellat, tanquam Christi fratres nominatos: a) Dicite enim, ait, fratribus meis, quod præcedam vos in Galilæam. *Filios* vero *arietum*, eos qui ex gentibus fideles exstitere nuncupat, vt qui a patribus ratione carentibus progeniti sunt. *Afferte Domino filii Dei, afferte Domino filios arietum.* 2. *Afferte Domino gloriam et honorem, afferte Domino gloriam nomini eius, adorate Dominum in aula sancta eius.* Vos, inquit, quibus diuina prædicatio commissa est, et qui filii Dei vocati estis, cum omni alacritate diuinam prædicationem ad omnes mundi partes transferte, atque eos, qui sine ratione nutriti sunt, rationis compotes reddite, et hos primos Deo afferte: deinde per hos cultum et hymnos adhibete, in diuinis ædibus beneficii auctorem celebrantes. Similia hæc sunt illis, quæ a Saluatore sacris apostolis dicta fuere: b) Euntes docete omnes gentes, baptizantes illas, in nomine Patris, et Filii, et Spiritus sancti. * Etenim psalmus, post ea quæ dicta sunt, statim de sacris aquis mentionem facit. 3. *Vox Domini super aquas: Deus maiestatis intonuit.* Prædicit autem sermo vocem e cælo delatam apud Iordanem: c) Hic est Filius meus dilectus, in quo mihi bene complacuit. Ipsam autem vocem *tonitru* appellauit, tanquam totum orbem terrarum per sacra euangelia penetrantem. Similiter filios tonitru apostolorum bigam nuncupauit, ob admirabi-

 lem

1) ὅτι. Abest a Cod. 1. 2. 2) Ἐνέγκατε — κριῶν. Duæ diuersæ interpretationes h. l. coaluerunt, quarum prior in versione τῶν ό. obelo notata fuit, teste EVSEBIO ad h. l. 3) Cod. 2. ἀλογίαις. 4) τούτους. Cod. 2. τούς. 5) ἐν. Abest a Cod. 1. 6) γάρ. Abest a Cod. 2. 7) φωνήν. Def. in Cod. 2. 8) Cod. 1. 2. εὐδόκησα. 9) οὕτως — φωνήν. Def. in Cod. 1. et apud CORD. p. 487.

a) Matth. 28, 10. b) Ib. v. 20. c) Ib. c. 3, 17.

lem diuinamque theologiæ vocem. *Dominus super aquas multas.* Non enim Iordanes solus illam gratiam accepit, verum in omni terra et mari baptismatis mysterium perficitur, diuina inuocatione aquarum naturam sanctam efficiente. Hinc apostolis suppeditatam potentiam prædicit. 4. *Vox Domini in virtute, vox Domini in magnificentia.* Congruentia his Actuum historia nos edocet. Nam inde discimus, quomodo cum assumeretur Dominus Christus, suos sanctos apostolos adhortatus sit, dicens: *a*) Manete in ciuitate hac, donec induamini virtute ex alto. Et post dies decem, festo Pentecostes, *b*) Facta est vox de cælo, tanquam aduenientis spiritus vehementis, et repleuit domum vbi erant sedentes: et erant in illis diuisæ linguæ, tanquam ignis, seditque supra singulos eorum. Ceterum *vocem* dicit Spiritus sancti gratiam, quæ apostolos robore potentiaque impleuit, atque viles magnificos reddidit. Deinde ostendit quas res effecerint hac voce corroborati. 5. *Vox Domini confringentis cedros, et confringet Dominus cedros Libani.* Porro per hæc verba significat idolorum euersionem. Quoniam enim idolorum delubra quondam alta erant, quæ nihil fructus colentibus afferebant, *cedris Libani* hæc assimilauit, quæ proceræ quidem sunt, esculentum vero fructum ferre minime

ὑπερφυᾶ καὶ θείαν τῆς θεολογίας φωνήν. Κύριος ἐπὶ ὑδάτων πολλῶν. οὐ γὰρ μόνος ὁ Ἰορδάνης ἐκείνην τὴν χάριν ἐδέξατο, ἀλλ' ἐν 1) ἁπάσῃ γῇ καὶ θαλάσσῃ τὸ τοῦ βαπτίσματος ἐπιτελεῖται μυστήριον, τῆς θείας ἐπικλήσεως ἁγιαζούσης τῶν ὑδάτων τὴν φύσιν· ἐντεῦθεν τὴν χορηγηθεῖσαν δύναμιν τοῖς ἀποστόλοις προαγορεύει. δ'. Φωνὴ Κυρίου ἐν ἰσχύϊ· φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ. Σύμφωνα τούτοις ἡμᾶς καὶ 2) τῶν πράξεων ἡ ἱστορία διδάσκει. μανθάνομεν γὰρ ἐκεῖθεν, ὅπως ἀναλαμβανόμενος ὁ 3) Δεσπότης Χριστὸς τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς παρηγγύησε, λέγων· 4) προσμείνατε ἐν τῇ πόλει ταύτῃ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους· καὶ μετὰ 5) δέκα ἡμέρας ἐν τῇ τῆς Πεντηκοστῆς ἑορτῇ 6) ἐγένετο φωνὴ ἐκ τοῦ οὐρανοῦ, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ ἐγένετο ἐν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν· φωνὴν δὲ λέγει τὴν χάριν τοῦ πνεύματος, τὴν ἰσχύος καὶ δυνάμεως τοὺς ἀποστόλους ἐμπλήσασαν, καὶ μεγαλοπρεπεῖς τοὺς εὐτελεῖς 7) ἀποφήνασαν. εἶτα 8) δείκνυσιν, ὁποῖα κατώρθωσαν τῇδε τῇ φωνῇ κρατυνθέντες. ε'. Φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου. Σημαίνει δὲ διὰ τούτων τῶν λόγων τὴν τῶν εἰδώλων κατάλυσιν. ἐπειδὴ γὰρ ὑψηλὰ ἦν πάλαι τὰ τῶν εἰδώλων τεμένη, καρπὸν οὐδένα τοῖς σεβομένοις ὀρέγοντα, ταῖς τοῦ Λιβάνου κέδροις ἀπείκασε ταῦτα, αἳ ὑψηλαὶ μὲν εἰσιν, ἐδώδιμον δὲ καρπὸν οὐ πεφύκασι φέρειν.

1) ἁπάσῃ γῇ. Cod. 1. πάσῃ πηγῇ. 2) τῶν — διδάσκει. Cod. 1. ἡ τῶν πράξεων διδάσκει ἱστορία. 3) Δεσπότης. Abest a Cod. 2. 4) προσμείνατε — ὕψους. Alia est lectio l. c. 5) Cod. 1. 2. δεκάτην ἡμέραν. 6) ἐγένετο — ἕκαστον αὐτῶν. Def. in Cod. 3. 7) Cod. 2. ἀπεργάσασαν. 8) δείκνυσιν ὁποῖα. Def. in Cod. 2.

a) Luc. 24, 49. *b*) Act. 2, 2. 3.

φέρειν. ϛ'. Καὶ 1) λεπτυνεῖ αὐτὰς, ὡς τὸν μόσχον 2) τοῦ Λιβάνου. Λίβανον δὲ καὶ τὴν Ἱερουσαλὴμ ὀνομάζει πολλάκις· διάνοιξον γάρ φησιν ὁ Λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. μόσχος δὲ Λιβάνου, ὁ ὑπ' αὐτῶν 3) γενόμενος ἐν Χωρήβ. 4) ἐποίησαν γάρ φησι μόσχον ἐν Χωρήβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ· ἀλλ' ἐκεῖνον Μωσῆς ὁ νομοθέτης συνέτριψε, καὶ ἐλέπτυνεν· ἐκείνῳ τοίνυν λέγει παραπλησίως καὶ πάντα τῆς οἰκουμένης τὰ εἴδωλα λεπτυνθήσεσθαι, καὶ φροῦδα γενήσεσθαι. καὶ 5) ὁ ἠγαπημένος, ὡς υἱὸς μονοκερώτων. ὁ δὲ πεπιστευκὼς λαὸς, καὶ τῆς πλάνης ἐκείνης ἀπαλλαγεὶς, καὶ ἀγαπητὸς τούτου χάριν καλούμενος, ἀήττητος ἔσται καὶ ἄμαχος, ἅτε δὴ τῆς πολυθεΐας ἀπηλλαγμένος, καὶ τὴν μίαν πρεσβεύων θεότητα. 6) ζ'. Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός. Πυροειδῆ γὰρ τοῦ παναγίου πνεύματος τὴν χάριν ὑποδεξάμενος ὁ τῶν ἱερῶν ἀποστόλων χορὸς, ἐφωτίζετο μὲν, οὐκ ἐκαίετο δέ. 7) κἀν τῷ μέλλοντι δὲ βίῳ ἡ διπλῆ τοῦ πυρὸς ἐνέργεια μεριζομένη, φωτίσει μὲν τοὺς τῆς ἀρετῆς ἀθλητὰς, ἐμπρήσει δὲ τῆς κακίας τοὺς ἐραστάς· οὗ δὴ χάριν καὶ πῦρ 8) ὀνομάζει, καὶ σκότος καλεῖται τῶν παρανόμων ἡ κόλασις, ὡς τῆς

solent. 6. *Et comminuet eas tanquam vitulum Libani. Libanum* autem Hierosolymam sæpius nuncupat. Aperi enim, ait, *a*) Libane ianuas tuas, et deuoret ignis cedros tuas. *Vitulus* autem *Libani* est ille, qui ab * illis factus fuit in monte Horeb. * Fecerunt enim, ait, *b*) vitulum in Horeb, et adorauerunt sculptile. Sed illum Moses legislator confregit, et comminuit. Instar illius igitur dicit omnia orbis idola conterenda esse, atque vana fore. *Et dilectus quemadmodum filius vnicornium.* Populus autem, qui Deo credidit, et ab illo errore liberatus fuit, et propterea dilectus vocatus est, inuictus et inexpugnabilis erit, tanquam a multorum Deorum cultu liber, et vnicam diuinitatem honorans. 7. *Vox Domini dirimentis flammam ignis.* Cum enim sacrorum apostolorum chorus ignis speciem referentem Spiritus sancti gratiam accepisset, illustrabatur quidem, sed non comburebatur. In futura autem vita gemina ignis vis diuisa, virtutis quidem athletas illuminabit, peccato vero deditos exuret. Propterea et *ignis* nominatur, et *obscuritas* vocatur impiorum pœna, eo quod illa

1) λεπτυνεῖ. Rectius a *Symmacho* expr. καὶ ὀρχεῖσθαι ἐποίησεν, et in Edit. *quinta* σκιρτοποιήσει, seu vt *Aquila* habet, σκιρτώσει. 2) Cod. 1. 2, τὸν Λίβανον, quæ est rec. lectio τῶν ό. 3) γενόμενος. Cod. 1. addit μόσχος. 4) ἐποίησαν — Χωρήβ. Def. in Cod. 2. 5) ὁ ἠγαπημένος. Reliqui Interp. græci habent Σαριών. 6) Ad marginem Cod. 1. hæc adscripta sunt, quæ tamen ad sequentem versiculum pertinere videntur: τὸ ἐπὶ τῆς βάθου (legendum βάτου)· τὴν γὰρ καυστικὴν δύναμιν χωρίσας τοῦ πυρὸς, τὴν φωτιστικὴν μόνην ἔδειξε τῷ Μωϋσῇ ὁ Θεός. καὶ τοῦτο ἐστι ὃ λέγει, φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός. „ „Scilicet in rubo. Vim enim comburendi cum ab igne separasset Deus, solam vim illuminandi ostendit Mosi. Et hoc est illud quod dicit, Vox Dei dirimentis flammam ignis. „ 7) κἀν. Cod. 1. καί. 8) Cod. 1. 2. et CORD. p. 488. ὀνομάζεται.

a) Zach. 11, 1. *b*) Ps. 105, 19. coll. Exod. 32, 8.

illa vis ignis, quae illustrat, ibi non existat. 8. *Vox Domini concutientis desertum, et commouebit Dominus desertum Cades.* Symmachus non *concutientis*, sed *parere facientis* dixit: Aquila etiam, *parturientis.* De hoc autem deserto et Esaias praedicit, *a)* Laetare desertum sitiens, exultet desertum, et florescat vt lilium. *Desertum* vero nominat gentes, tanquam Deo quondam destitutas. De his enim diuinus Esaias praedixit futurum vt florescant: beatus vero Dauid dicit futurum vt parturiant et pariant. Tale etiam est illud, quod alibi exstat apud Esaiam: *b)* Laetare sterilis, quae non paris: erumpe, et clama, quae non parturis: quia plures erunt filii desertae, quam eius quae habet virum. Hoc desertum Dominus concutiens, (significat autem *concussio* Dei aduentum,) faciet vt salutem pariat, secundum prophetiam, quae dicit: *c)* Ob tuum timorem Domine in vtero concepimus, et parturiuimus, et peperimus spiritum salutis tuae, quem fecisti super terram. Propterea et *Cades* ipsum nominat, id est *sanctum.* Hoc enim *Cades* sonat. 9. *Vox Domini praeparantis ceruos, et reuelabit siluas.* Natura ceruis insitum est, reptilia animalia despicere. Hanc autem potestatem et sacris apostolis Dominus dedit: Dedi enim, ait, *d)* vobis potestatem * calcandi super serpentes et scorpios, et super

φωτιστικῆς ἐνεργείας 1) οὐ φαινομένης ἐκεῖ. η΄. Φωνὴ Κυρίου συσσείοντος ἔρημον, καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης. Ὁ δὲ Σύμμαχος οὐ συσσείοντος, ἀλλ᾽ ἐκτοκίζοντος εἴρηκεν· καὶ μέντοι καὶ ὁ Ἀκύλας, ὠδίνοντος. περὶ δὲ ταύτης τῆς ἐρήμου καὶ Ἡσαΐας 2) προαγορεύει· εὐφράνθητι 3) λέγων ἔρημος διψῶσα· 4) εὐφρανθήτω ἡ ἔρημος, καὶ ἀνθήτω ὡς κρίνον. ἔρημον δὲ ὀνομάζει τὰ ἔθνη, ὡς ἔρημα πάλαι γεγενημένα 5) Θεοῦ. ταῦτα δὲ ὁ μὲν 6) θεσπέσιος Ἡσαΐας ἀνθήσειν, ὁ δὲ 7) μακάριος Δαβὶδ ὠδινήσειν ἔφη καὶ τέξεσθαι. τοιοῦτο δὲ ἐστι καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ κείμενον ἀλλαχοῦ· εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον, καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, 8) ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ταύτην τὴν ἔρημον ὁ Δεσπότης συσσείων· δηλοῖ δὲ τοῦ Θεοῦ τὴν ἐπιφάνειαν ὁ 9) συσσεισμός· τεκεῖν 10) παρασκευάσει τὴν σωτηρίαν, κατὰ τὴν προφητείαν τὴν λέγουσαν, διὰ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας 11) σου, ὃ 12) ἐποίησας ἐπὶ τῆς γῆς. τούτου χάριν καὶ Κάδης αὐτὴν ὀνομάζει, τουτέστιν 13) ἁγίαν. τοῦτο γὰρ ἑρμηνεύεται τὸ Κάδης. θ΄. Φωνὴ Κυρίου 14) καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς. Φύσις ταῖς ἐλάφοις τῶν ἑρπυστικῶν θηρίων καταφρονεῖν· ταύτην δὲ τὴν ἐξουσίαν καὶ τοῖς ἱεροῖς ἀποστόλοις ὁ 15) Δεσπότης 16) δέδωκε· δέδωκα γάρ, φησίν, ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν

1) οὐ. Cod. 2. μή. 2) προαγ. Cod. 1. προλέγει, adscripta tamen lectione altera. 3) λέγων. Abest a Cod. 2. 4) εὐφρανθήτω. Cod. 1. 2. εὐφράνθητι. Rec. lectio l. c. est ἀγαλλιάσθω. 5) Cod. 2. Θεῷ. 6) θεσπέσιος. Abest a Cod. 2. 7) μακάριος. Abest a Cod. 2. 8) ἤ. Cod. 1. 2. μᾶλλον ἤ quae est rec. lectio l. c. 9) Cod. 1. 2. σεισμός. 10) Cod. 1. παρασκευάζει. Cod. 2. σκευάζει. 11) σου. Abest a Cod. 1. 12) Cod. 1. ἐποιήσαμεν. 13) Cod. 1. ἁγία. 14) Rec. lectio h. l. est καταρτιζομένου. 15) Δεσπότης. Cod. 2. Χριστός. 16) Cod. 1. 2. ἔδωκε.

a) Es. 35, 1. b) Ib. c. 54, 1. c) Ib. c. 26, 18. d) Luc. 10, 19.

σαν τὴν δύναμιν τοῦ ἐχθροῦ· τούτῳ κρατυνθέντες τῷ λόγῳ, τοὺς ἀπατεῶνας τῆς οἰκουμένης ἐξήλασαν δαίμονας, καὶ τῶν εἰδώλων ἐγύμνωσαν τὴν ἀσθένειαν· καὶ τοῦτο ὁ προφητικὸς προηγόρευσε λόγος. Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς. 1) τοῦτο γὰρ δὴ τὸ παράδοξον, ὅτι τῶν παντοδαπῶν θηρίων 2) τὸ πλῆθος δι' ἐλάφων ἐκεράτισε, καὶ τῶν φιλοσόφων τὴν ἀκαρπίαν δι' ἀγραμμάτων διήλεγξε, καὶ τοῦ διαβόλου τὴν τυραννίδα 3) διὰ ἁλιέων κατέλυσε. δρυμοὺς δὲ προσηγόρευσε τὰ τῶν εἰδώλων τεμένη, ὡς ἄκαρπα παντελῶς· τοιοῦτοι γὰρ οἱ 4) δρυμῶνες, ἢ οἱ δρυμοὶ, οὓς 5) ἐκκόπτειν εἰωθότες οἱ ἄριστοι γηπόνοι, καὶ τὴν ὑπ' αὐτῶν νεμομένην γυμνοῦντες γῆν, τὰ κάρπιμα φυτεύουσι δένδρα, καὶ τὰ ἐδώδιμα καταβάλλουσι σπέρματα. τοῦτο δεδράκασι καὶ οἱ τῆς οἰκουμένης γεωργοί. πρόῤῥιζα γὰρ ἀνασπάσαντες τὰ τῶν εἰδώλων τεμένη, τὰς θείας ἀντ' ἐκείνων ἐκκλησίας ἐφύτευσαν. 6) διὰ τοῦτο ἐν τῷ ναῷ αὐτοῦ πᾶς τὶς λέγει δόξαν. ὑπὸ τῆς παραδόξου ταύτης μεγαλουργίας εἰς ὑμνῳδίαν διεγειρόμενος. ί. Κύριος 7) τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα. Τὴν γὰρ τῷ χειμάῤῥῳ τῆς 8) ἀνομίας καταποντισθεῖσαν οἰκουμένην οἰκοδομήσει, καὶ νεουργήσει, καὶ νέαν κτίσιν ἐργάσεται· διὸ καὶ ὁ 9) μακάριος Παῦλος βοᾷ, εἴτις ἐν Χριστῷ καινὴ κτίσις· τοῦτο δέ φησι ποιήσας, οὐκ ἐάσει λοιπὸν χώραν λαβεῖν τὴν ἀσέβειαν, ἀλλ' εἰς αἰῶνα βασιλεύσει. ια'. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει,

omnem virtutem inimici. Hoc sermone corroborati, dæmones insidiatores orbe expulerunt, atque idolorum imbecillitatem patefecerunt. Et hoc propheticus sermo prædixit: *Vox Domini præparantis ceruos, et reuelabit siluas:* Nam hoc est admirandum, quod per ceruos multitudinem omnis generis ferarum dissipauerit, et vanam philosophorum scientiam per illiteratos et idiotas homines redarguerit, atque diaboli tyrannidem per piscatores euerterit. Porro *siluas* appellauit idolorum delubra, vt penitus sterilia. Huiusmodi enim sunt siluæ, quas optimi agricolæ excidere solent, et aperta terra quam illæ occupabant, fructuosas arbores conserere, atque esculenta semina iacere. Hoc fecerunt et orbis agricolæ: quandoquidem cum idolorum delubra funditus diruissent, sacras pro illis ecclesias fundarunt. *Et in templo eius omnis dicit gloriam.* Scilicet ab hac inaudita magnificentia in hymnorum cantilenam excitatus. 10. *Dominus diluuium inhabitare facit, et sedebit Dominus rex in æternum.* Nam a torrente iniquitatis terram inundatam ædificabit, atque renouabit, et nouam creaturam efficiet. Propterea et beatus Paulus exclamat: *a)* Si quis in Christo est noua creatura. Ceterum, ait, cum hoc effecerit, non sinet amplius impietatem locum habere, verum in æternum regnabit. 11. *Dominus virtutem populo suo dabit, Domi-*

1) τοῦτο κ. λ. Des. apud CORD. 2) τὸ πλῆθος. Abest a Cod. 1. 2. 3) Cod. 1. 2. δι'. 4) δρυμῶνες ἢ οἱ. Des. in Cod. 1. 2. 5) ἐκκόπτειν εἰωθότες. Cod. 2. ἐκκόπτοντες. 6) διὰ τοῦτο. Rec. lectio h. l. est καί. 7) τὸν κατακλ. κατοικιεῖ. Præstat interpretatio *Aquilæ*, εἰς κατακλυσμὸν ἐκάθισεν. *Symm.* ἐπὶ τοῦ κατακλυσμοῦ ἐκάθισεν. 8) ἀνομίας. Cod. 2. ἀσεβείας. 9) μακάριος. Abest a Cod. 2.

a) 2 Cor. 5, 17.

Dominus benedicet populo suo in pace. Per hæc autem, et impiorum insultus prædixit, et victorum martyrum victoriam, et pacem post hæc ecclesiis concessam. Dominus virtutem populo suo dabit, hoc est, tempore belli, et benedicet populo suo in pace, cum longum bellum finierit.

Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ. Διὰ τούτων δὲ προηγόρευσε καὶ τὰς τῶν ἀσεβῶν ἐπαναστάσεις, καὶ τῶν νικηφόρων μαρτύρων τὴν νίκην, καὶ τὴν μετὰ ταῦτα παραχεθεῖσαν ταῖς ἐκκλησίαις εἰρήνην. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, τουτέστιν ἐν τῷ τοῦ πολέμου καιρῷ· καὶ εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ, τὸν 1) μακρὸν πόλεμον καταλύσας.

INTERP. PS. XXIX.

1. Psalmus cantici dedicationis domus, in finem, ipsi David. Nec beatus David diuinum templum construxit, nec ei qui construxit psalmi verba conueniunt. *Dedicationem* igitur *domus*, vocat humanæ naturæ instaurationem, quam * Dominus Christus perfecit, dum pro nobis mortem oppetiit, et mortem euertit, et spem resurgendi nobis dedit. Dictus est autem hic ipse psalmus in beatum Ezechiam. Nam post Assyriorum internecionem, et morbi liberationem, maximam vt par est celebritatem instituit, Deo gratias agens, quoniam et illis salutem donauit, et sanctum suum templum ab hostili igne liberauit. Quoniam igitur ea quæ fiebant dedicationis festo similia erant, iure et hanc recepit inscriptionem. Sciendum est autem, hæc Ezechiæ per figuram congruere, secundum ipsam veritatem autem omni humanæ

ΕΡΜΗΝ. ΤΟΥ κθ΄ ΨΑΛΜΟΥ.

α΄. Ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου, 2) εἰς τὸ τέλος, τῷ Δαβίδ. Οὔτε τὸν θεῖον 3) νεὼν ὁ 4) μακάριος ἐδείματο Δαβίδ, οὔτε τῷ δειμαμένῳ ἁρμόττει τοῦ ψαλμοῦ τὰ 5) ῥητά· 6) ἐγκαινισμὸν τοίνυν οἴκου καλεῖ, τὴν τῆς ἀνθρωπίνης φύσεως 7) νεουργίαν· ἣν ὁ δεσπότης Χριστὸς ἐπετέλεσε τὸν ὑπὲρ ἡμῶν καταδεξάμενος θάνατον, καὶ καταλύσας 8) τὸν θάνατον, καὶ τῆς ἀναστάσεως ἡμῖν δεδωκὼς τὰς ἐλπίδας. εἴρηται δὲ καὶ εἰς τὸν 9) μακάριον Ἐζεκίαν οὗτος αὐτὸς ὁ ψαλμός· μετὰ γὰρ τῶν Ἀσσυρίων ἀναίρεσιν, καὶ τὴν τῆς ἀῤῥωστίας ἀπαλλαγήν, ἑορτὴν ὡς εἰκὸς μεγίστην ἐπετέλεσε, 10) τῷ Θεῷ χάριν ὁμολογῶν, ὅτι καὶ αὐτοῖς ἐδωρήσατο σωτηρίαν, καὶ τὸν ἅγιον αὐτοῦ ναὸν τοῦ τῶν πολεμίων πυρὸς ἠλευθέρωσεν· ἐπειδὴ τοίνυν ἐγκαινίων ἐῴκει τὰ τελούμενα πανηγύρει, εἰκότως καὶ ταύτην ἐδέξατο τὴν ἐπιγραφήν. Ἰστέον μέν τοι, ὡς τῷ Ἐζεκίᾳ 11) κατὰ τύπον ἁρμόττει· πάσῃ δὲ τῇ φύσει τῶν ἀνθρώπων κατ' αὐτὴν τὴν ἀλη-

1) Cod. 2. μικρὸν, ex errore Librarii, vt videtur. 2) εἰς τὸ τέλος. Hæc iuxta rec. lectionem præmittuntur voci Ψαλμὸς, et pro τῷ est τοῦ. 3) Cod. 2. ναόν. 4) μακάριος. Abest a Cod. 2. 5) Cod. 2. ῥήματα. 6) Cod. 2. καινισμόν. 7) νεουργίαν. Cod. 2. καινουργίαν. 8) τὸν θάνατον. Cod. 2. αὐτόν. 9) μακάριον. Cod. 2. θεῖον. 10) τῷ Θεῷ. In Cod. 2. ponitur post μεγίστην. 11) κατά. Cod. 1. item, μέν.

ἀλήθειαν. 1) ὥσπερ γὰρ ἐκεῖνος ὑψηλὸν 2) εἰσδεξάμενος φρόνημα· τοῦτο γὰρ ἡ τῶν παραλειπομένων ἐδίδαξεν ἱστορία· τοῦ θανάτου τὴν ψῆφον ἐδέξατο, χάριτι δὲ θεία τετύχηκε τῆς ζωῆς· οὕτως Ἀδὰμ ὁ προπάτωρ, Θεὸς ἔσεσθαι προσδοκήσας, καὶ 3) μέγα κατὰ τοῦ πεποιηκότος φρονήσας, παρεδόθη μὲν θανάτῳ· τῇ δὲ θεία φιλανθρωπία τῆς ἀναστάσεως ἔτυχεν. β. Ὑψώσω σε Κύριε, ὅτι ὑπέλαβές με· καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ. Λαβὼν γὰρ τὴν ἡμετέραν ἀπαρχὴν ὁ Δεσπότης, πᾶσαν δι' αὐτῆς τὴν φύσιν τῆς σωτηρίας ἠξίωσε, καὶ ἐπίχαρτον γενέσθαι τοῖς ἐχθροῖς καὶ πολεμίοις οὐκ εἴασε δαίμοσιν. γ. Κύριε ὁ Θεός μου ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με. δ. Κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου· ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. Ταῦτα τῆς ἀνθρωπίνης φύσεως 4) διηγουμένης ἀκούομεν· τὸ μέντοι ἐκέκραξα πρὸς σέ, καὶ 5) ἰάσω με, τῷ μὲν Ἐζεκίᾳ ἁρμόττει κατὰ τὸν πρόχειρον νοῦν, τῇ δὲ 6) ἀνθρωπεία φύσει οὐκ ἔτι. οὔτε γὰρ 7) αὕτη τὸν Θεὸν ἱκέτευσε, καὶ τῆς φθορᾶς τὴν ἐλευθερίαν 8) ἐζήτησεν· ὀδυρμοῖς δὲ καὶ 9) ὀλοφυρμοῖς χρωμένη διετέλει, τὸν μὲν θάνατον ὁρῶσα, τὴν δὲ ἀνάστασιν οὐ προσμένουσα. τὰ δάκρυα τοίνυν καὶ τοὺς ὀδυρμοὺς, τοὺς ἐπὶ τοῖς ἀῤῥωστοῦσι καὶ τελευτῶσι γιγνομένους, τέθεικεν ἀντὶ προσευχῆς, τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν δεικνὺς, ὅτι καί τοι μὴ καλούμενος, ἀλλ' ὁρῶν μόνον τοὺς θρήνους, ᾤκτειρε τὰ 10) γινόμενα, καὶ τὸν θάνατον ἔλυσε· κἀνταῦθα γὰρ 11) πάλιν

naturæ. Nam quemadmodum ille, cum magna superbia elatus esset, (hoc enim Paralipomenon historia *a*) docuit,) mortis sententiam recepit, diuina autem gratia vitam consecutus est; eodem modo Adam primus parens, cum se Deum fore crederet, et contra suum conditorem arrogantia elatus esset, morte quidem mulctatus, diuina tamen benignitate resurrectionem adeptus est. 2. *Exaltabo te Domine, quoniam suscepisti me, nec gaudio affecisti inimicos super me.* Cum enim Dominus nostras primitias accepisset, omnem naturam per ipsas salute dignam habuit, et ludibrio esse inimicis et hostibus dæmonibus non siuit. 3. *Domine Deus mi clamaui ad te, et sanasti me.* 4. *Domine eduxisti ex inferno animam meam, saluasti me a descendentibus in lacum.* Hæc humana natura enarrante audimus. Hoc autem, *clamaui ad te, et sanasti me*, Ezechiæ quidem conuenit, secundum proximum et literalem sensum, humanæ vero naturæ non ita. Neque enim ipsa Deum deprecata est, nec ab interitu liberationem postulauit: luctu autem, et eiulatu continuo vtebatur, mortem quidem videns, resurrectionem vero minime exspectans. Lacrimas igitur et fletus, qui in ægrotantibus et morientibus fiunt, pro precibus posuit, inexplicabilem Dei benignitatem ostendens: quoniam licet non vocatus, sed lamentationes tantum videns, misertus est eorum quæ fiebant, et mortem euertit. Nam et in hoc loco rursus mortem

1) ὥσπερ. Cod. 2. εἴπερ. 2) Cod. 1. εἰσεδέξατο. 3) Cod. 1. μεγάλα. 4) διηγουμένης. Abest a Cod. 1. 5) ἰάσω με. Cod. 1. ἰάσομαι. 6) Cod. 1. ἀνθρωπίνη. 7) Cod. 1. 2. αὐτή. 8) ἐζήτησεν. Cod. 1. ἐξήτησεν. 9) Cod. 1. 2. ὀλοφύρσει. 10) Cod. 2. γιγνόμενα. 11) πάλιν. Abest a Cod. 2.

a) 2 Paral. 32, 25.

* tem *lacum* appellauit. * 5. *Psallite Domino sancti eius, et confitemini memoriae sanctitatis eius.* 6. *Quoniam ira in indignatione eius, et vita in voluntate eius.* Iure sanctis hymnum gratiarumque actionem attribuit. Quoniam enim omnibus hominibus resurgendi donum largitus est, verum non omnes hac gratia digni sunt, congruenter hoc beneficio dignos canendis hymnis consecrat. Porro quam optimam aliam diuisionem fecit. Iram enim indignationi adscripsit: (*iram* quippe castigationem vocat;) vitam vero voluntati: hoc enim vult, non illud. Illud enim nobis ipsi nos adsciscimus. Nam Deus, inquit, *a*) mortem non fecit, neque delectatur interitu viuentium: creauit enim vt sint omnia, et salutares generationes mundi. Audimus etiam ipsum per prophetam Ezechielem dicentem: *b*) Numquid voluntate velim mortem peccatoris, sic vt conuertat sese et viuat? *Ad vesperam demorabitur fletus, et ad matutinum laetitia.* Hoc autem quoque sic accidit tempore Ezechiae, et tempore communis salutis. Cum enim Assyrii illis comminationibus vsi fuissent, et in luctum ciuitatem commouissent, nocte plagam receperunt, et mane quos lacrimari coëgerant, laetitia impleuerunt. *c*) Et cum diuinus Esaias mortis sententiam Ezechiae sub vespera attulisset, rursus diluculo faustum vitae nuncium ipsi

λιν λάκκον τὸν θάνατον προσηγόρευσε. ε΄. Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε 1) τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. ϛ΄. Ὅτι 2) ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ· καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ. 3) Εἰκότως τοῖς ὁσίοις ἀπονέμει τὸν ὕμνον, καὶ τὴν ὁμολογίαν τῆς χάριτος· ἐπειδὴ γὰρ ἅπασιν ἀνθρώποις ἔδωκε τὸ τῆς ἀναστάσεως δῶρον, οὐ πάντες δὲ τῆς χάριτος ἄξιοι, ἁρμοδίως τοὺς ἀξίους εἰς τοὺς ὕμνους ἀφιεροῖ. ἀρίστην δὲ κομιδῇ πεποίηται καὶ τὴν ἄλλην διαίρεσιν· τὴν γὰρ ὀργὴν ἀπένειμε τῷ θυμῷ· ὀργὴν γὰρ τὴν παιδείαν καλεῖ· τὴν δὲ ζωὴν, τῷ θελήματι· τοῦτο γάρ τοι βούλεται, οὐκ ἐκεῖνο. ἐκεῖνο γὰρ ἡμεῖς ἐπισπώμεθα· ὁ γὰρ Θεός φησι θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων· ἔκτισε γὰρ εἰς 4) τὸ εἶναι τὰ πάντα, καὶ σωτήριοι 5) αἱ γενέσεις τοῦ κόσμου· ἀκούομεν δὲ καὶ αὐτοῦ λέγοντος διὰ Ἰεζεκιὴλ τοῦ προφήτου· 6) μὴ θελήσει 7) θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ 8) ἐπιστρέψαι 9) αὐτὸν καὶ ζῆν; τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς· καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. τοῦτο δὲ οὕτω συνέβη καὶ ἐπὶ τοῦ Ἐζεκίου, καὶ ἐπὶ τῆς κοινῆς σωτηρίας. οἱ γὰρ Ἀσσύριοι ταῖς ἀπειλαῖς ἐκείναις χρησάμενοι, καὶ εἰς κλαυθμὸν τὴν πόλιν κινήσαντες, νύκτωρ ἐδέξαντο τὴν πληγὴν, καὶ ἕωθεν, οὓς δακρύειν ἠνάγκασαν, εὐθυμίας ἐνέπλησαν. καὶ ὁ θεῖος Ἡσαΐας τοῦ θανάτου τὴν ψῆφον ἑσπέρας τῷ Ἐζεκίᾳ κομίσας, ὑπὸ τὴν ἕω πάλιν ἤνεγκεν αὐτῷ τὰ τῆς ζωῆς εὐαγ-

1) Cod. 2. τὴν μνήμην. 2) ὀργή. Ita fere omnes Interpretes graeci vocem רֶגַע transtulerunt, vnde suspicio oritur, eos legisse רֹגֶז. Aptiorem sensum expressit *Hieronymus*, qui vertit, *ad momentum est ira tua.* 3) Εἰκότως — ἀφιεροῖ. Des. apud CORD. p. 505. 4) τὸ εἶναι. Cod. 2. τὸν αἰῶνα. 5) αἱ γενέσεις. Cod. 2. αἰνέσεις. 6) μή. Cod. 2. οὐ. 7) Cod. 1. 2. θέλω. 8) ἐπιστρέψαι αὐτόν. Rec. lectio l. c. est ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς. 9) αὐτὸν καὶ ζῆν. l. 1. καὶ ζῆσαι.

a) Sap. 1, 13. 14. *b*) Ezech. 18, 23. *c*) 4 Reg. 19, 35.

εὐαγγέλια· οὕτω καὶ ἐπὶ τῆς κοινῆς ἐγένετο σωτηρίας. τῶν γὰρ ἱερῶν ἀποστόλων, καὶ τῶν σὺν αὐτοῖς πεπιστευκότων, ὀδυρομένων τοῦ Κυρίου τὸ πάθος, ἧκον 1) αἱ γυναῖκες ὑπὸ τὴν ἕω, τῆς ἀναστάσεως τὴν εὐφροσύνην κομίζουσαι. ζ. Ἐγὼ δὲ 2) εἶπον ἐν τῇ 3) εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Τοῦτο καὶ ὁ Ἀδὰμ ἤλπισε, τῷ παραδείσῳ πρὸ τῆς ἀπάτης 4) ἐμπολιτευόμενος, καὶ ὁ Ἐζεκίας νενικηκὼς τὸν Ἀσσύριον· καὶ διδάσκει τοῦτο σαφῶς τῶν παραλειπομένων ἡ βίβλος, 5) λέγουσα ὑψωθῆναι τὴν καρδίαν Ἐζεκίου τοῦ βασιλέως. η. Κύριε ἐν τῷ θελήματί σου 6) παρέσχου τῷ 7) κάλλει μου δύναμιν· ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος. Ὁμοίως ἁρμόττει καὶ ταῦτα 8) καὶ τῷ Ἐζεκίᾳ, καὶ πάσῃ τῶν ἀνθρώπων τῇ φύσει· καὶ γὰρ ἐκεῖνος δι' ἀρετὴν τῆς θείας προνοίας ἀπέλαυσε, καὶ τῶν Ἀσσυρίων ἐκράτησε· καὶ πάλιν τῆς θείας χάριτος γυμνωθεὶς, νόσῳ περιέπεσε, καὶ τὸ τῆς τελευτῆς ἐδέξατο 9) δέος· καὶ ὁ Ἀδὰμ 10) δὲ ἐν τῷ παραδείσῳ, καὶ τῷ τῆς ἀρετῆς ἐκεκόσμητο κάλλει, καὶ κρείττων ἦν τῆς φθορᾶς· τῆς δὲ θείας προνοίας διὰ τὴν παράβασιν γυμνωθεὶς, 11) τὴν ἀπὸ τῆς 12) βιοτῆς ὑπέμεινε ζάλην. τοῦτο δὲ σαφῶς λίαν ὁ Σύμμαχος τέθεικε· Κύριε ἐν τῇ εὐδοκίᾳ σου 13) ἔστη-

attulit. a) Idem tempore communis salutis accidit. Cum enim sacri apostoli, et illi qui cum eis crediderunt, passionem Domini lugerent, mane mulieres venerunt resurrectionis lætitiam afferentes. b) 7. *Ego autem dixi in abundantia mea, non mouebor in æternum.* Hoc et Adam sperauit, in paradiso degens antequam deciperetur, et Ezechias, cum Assyrium vicisset. Atque hoc manifesto Paralipomenων liber docet, dicens, exaltatum esse cor Ezechiæ regis. c) 8. *Domine in voluntate tua præstitisti decori meo virtutem. Auertisti autem faciem tuam a me, et factus sum conturbatus.* Similiter et hæc conueniunt, tum Ezechiæ, tum humanæ omni naturæ. Etenim ille ob virtutem diuini auxilii compos factus fuit, et Assyrios superauit: et rursus, cum diuina gratia * destitutus esset, incidit in morbum, et mortis metu affectus est. Et Adam quoque in paradiso, et pulchritudine virtutis ornabatur, et interitu superior erat: cum autem ob transgressionem diuina ope denudatus esset, vitæ mortalis turbinem sustinuit. Hoc autem valde manifesto Symmachus posuit, Domine in beneplacito tuo primo

1) Cod. 2. ὑπὸ τὴν ἕω αἱ γυναῖκες. 2) Cod. 2. εἶπα, quæ est rec. lectio loc. cit. 3) εὐθηνίᾳ. Præstat interpretatio *Symm.* ἠρεμίᾳ. 4) Cod. 1. 2. πολιτευόμενος. 5) Cod. 1. 2. ὑψωθῆναι λέγουσα. 6) Cod. 2. παράσχου. 7) κάλλει. Pro להררי οἱ ό. legerunt להדרי, quam lectionem minus aptam *Syrus* quoque et *Arabs* secuti sunt. Rectius *Aquila* et Editio V. habent τῷ ὄρει. 8) καί. Abest a Cod. 1. 2. 9) δέος. Cod. 2. τέλος. 10) δὲ ἐν τῷ. Cod. 1. ἐν. Cod. 2. ἐν τῷ. 11) τὴν — ζάλην. CORD. p. 505. θανάτῳ κατεδικάσθη. 12) βιοτῆς. Cod. 1. 2. præm. θνητῆς, quam lectionem *Carafa* expressit. 13) ἔστησας. Cod. 2. ὤρισας.

a) 4 Reg. 20, 4. sqq. b) Ioh. 20, 1. sqq. c) 2 Par. 32, 25.

mo meo parenti potentiam statuisti: vt sit manifestum, humanæ naturæ personam ad Dominum Christum hæc loqui, qui magnum vitæ donum ei largitus est. 9. *Ad te Domine clamabo, et ad Deum meum precabor,* 10. *Quæ vtilitas in sanguine meo, si descendo in corruptionem? Numquid confitebitur tibi puluis, aut annunciabit veritatem tuam.* Et his quoque verbis beatus Ezechias vsus est, vt quartus liber regum nos docet, diuinique Esaiæ prophetia: et humana item natura, licet non omnis clamauit, tamen per sanctos ad Deum clamauit, his vtens sermonibus, Quoniam iustum est te conditorem laudare, et gratis sermonibus gratias rependere. Hoc proprium est viuentium. Qui enim in puluerem et in cinerem resoluti sunt, et humano opere destituti, quomodo tua beneficia decantare poterunt? 11. *Audiuit Dominus, et misertus est mei, Dominus factus est adiutor meus.* 12. *Conuertisti planctum meum in gaudium mihi, conscidisti saccum meum, et circumdedisti me lætitia.* 13. *Vt cantet tibi gloria mea, et non compungar.* Et Ezechias sacco indutus, contra Assyrios preces Deo obtulit, et humana natura habitum lugubrem induit. Ac nunc etiam stulti quidam, cum mortuos deplorant,

σας τῷ 1) προπάτορί μου κράτος· ὡς εἶναι δῆλον, ὅτι ταῦτα τῆς ἀνθρωπείας φύσεως τὸ πρόσωπον 2) φθέγγεται πρὸς τὸν Δεσπότην Χριστὸν, τῆς ζωῆς αὐτῇ τὸ μέγα 3) δωρησάμενον δῶρον. θ΄. Πρὸς σὲ Κύριε κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι. ι΄. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ 4) καταβῆναί με εἰς διαφθοράν; μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; Τούτοις καὶ ὁ μακάριος Ἐζεκίας ἐχρήσατο τοῖς λόγοις, ὡς καὶ ἡ τετάρτη τῶν βασιλειῶν ἱστορία διδάσκει, καὶ τοῦ 5) θειοτάτου Ἡσαΐου ἡ προφητεία· καὶ μέντοι καὶ ἡ ἀνθρωπεία φύσις, εἰ καὶ μὴ πᾶσα βεβόηκεν, 6) ἀλλὰ διὰ τῶν ἁγίων βεβόηκε πρὸς τὸν Θεὸν, τούτοις κεχρημένη τοῖς λόγοις, ὅτι δίκαιον ὑμνεῖν σε τὸν ποιητὴν, καὶ λόγοις εὐγνώμοσιν ἀμείβεσθαί σου τὰς χάριτας. τοῦτο ζώντων ἴδιον· οἱ γὰρ εἰς χοῦν καὶ κόνιν διαλυόμενοι, καὶ τὸ σωματικὸν 7) ἔργον ἀπολέσαντες, πῶς ἂν δυνηθεῖεν τὰς σὰς ᾄδειν εὐεργεσίας; ια΄. Ἤκουσε Κύριος, καὶ 8) ἠλέησέ με, Κύριος ἐγενήθη βοηθός μου. ιβ΄. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί. διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. ιγ΄. Ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα μου, 9) καὶ οὐ μὴ κατανυγῶ. Καὶ Ἐζεκίας σάκκον περιζωσάμενος προσήνεγκε τῷ Θεῷ τὴν κατὰ τῶν Ἀσσυρίων εὐχήν· καὶ ἡ ἀνθρωπεία φύσις τὸ πένθιμον περιεβέβλητο σχῆμα· 10) καὶ νῦν δέ τινες τῶν ἀνοήτων, τοὺς τεθνηκότας ὀλοφυρόμενοι,

ἐπὶ

1) προπάτορί μου. Non spernenda est coniectura MONTF. ad h. l. *Symmachum* legisse לדורי. 2) φθέγγεται — Χριστόν. Cod. 2. πρὸς τὸν Χριστὸν φθέγγεται. 3) Cod. 1. δῶρον δωρησάμενον. 4) Cod. 2. καταβαίνειν. 5) Cod. 2. θείου. 6) ἀλλὰ — βεβόηκε. Des in Cod. 2. 7) ἔργον. Cod. 1. 2. ac CORD. p. 506. ...ον. 8) Cod. 2. ἔλεησε. 9) καὶ οὐ μὴ κατανυγῶ. Hebr. ולא ידם *nec sileat.* 10) καὶ νῦν — χαρὰν ἐμοί. Des. apud CORD. l. c.

ἐπὶ σάκκου καθήμενοι, κακῶς τῶν προφητικῶν ῥημάτων ἐπαΐειν οὐκ ἐθέλουσι, διαῤῥήδην βοώντων· διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην, καὶ ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί· καθάπερ γὰρ ὁ Ἐζεκίας τῶν πεντεκαίδεκα 1) ἐνιαυτῶν τὴν ἐπαγγελίαν δεξάμενος εὐφροσύνης ἐνεπλήσθη πολλῆς, οὕτω δίκαιον 2) ἡμᾶς τὴν ἐλπίδα δεξαμένους τῆς ἀναστάσεως, μὴ θρηνεῖν τοὺς 3) τελευτῶντας, ἀλλ' ἐκείνην μετ' 4) εὐθυμίας προσμένειν. τὸ δὲ, ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἵνα ᾄδῃ σε δόξα, καὶ 5) οὐ μὴ ἀποσιωπήσῃ· ἀντὶ τοῦ, προσήκει ταύτης ἕνεκα τῆς εὐεργεσίας διηνεκῶς ᾄδειν σε καὶ ὑμνεῖν τοὺς τοσαύτης δόξης τετυχηκότας, ἐν μηδενὶ καιρῷ σιωπῶντας. καὶ ἡ κατάνυξις δὲ σιγὴν ἐμποιεῖ. οἱ ἑβδομήκοντα τοίνυν ἀντὶ 6) σιγῆς τεθείκασι τὴν κατάνυξιν· δόξης δὲ ὁ μὲν Ἐζεκίας τετύχηκε, τοσούτων δι' αὐτὸν μυριάδων θεήλατον δεξαμένων πληγὴν, καὶ 7) μέντοι καὶ τοῦ ἡλίου 8) ἀναστρέψαντος· ἡμεῖς δὲ πολλῆς εὐκλείας ἔχομεν ἀφορμὴν, τοσαύτην περὶ ἡμᾶς τοῦ Θεοῦ τῶν ὅλων ἐπιδεξαμένου φιλοστοργίαν. οὕτω γάρ φησιν ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Κύριε ὁ Θεός μου εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι. οὐ γὰρ μόνον κατὰ τὸν παρόντα βίον, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν, ὕμνους σοι προσοίσω, διηνεκῶς τὰς ὑπερφυεῖς σου καὶ ἀῤῥήτους διηγούμενος δωρεάς.

et in sacco turpiter sedent, prophetiæ verba audire nolunt, quæ aperte clamant, *Conscidisti saccum meum, et circumdedisti me lætitia, et conuertisti luctum meum in gaudium mihi.* Nam quemadmodum Ezechias cum quindecim annorum promissionem accepisset, multo gaudio impletus est: sic nos æquum est: qui resurrectionis spem accepimus, mortuos non lugere, sed illam cum lætitia exspectare. Hoc autem, *Vt cantet tibi gloria mea, non compungar*, Symmachus sic interpretatus est: *Vt cantet te gloria, et non taceat:* quasi dicat, ob hoc beneficium decet continuo te decantare et laudare eos qui talem gloriam consecuti sunt, et nunquam reticere. Compunctio certe silentium inducit. Septuaginta igitur, pro *silentio*, *compunctionem* posuerunt. Ezechias quidem gloriam consecutus est, cum eius causa tot millia plagam a Deo inflictam sustinuerint, atque etiam cum sol præpostero ordine cucurrerit: nos autem admodum magnam lætitiæ causam habemus, cum talem Dei vniuersorum amorem circa nos experti simus. Sic enim, ait, Deus dilexit mundum, vt filium suum vnigenitum daret, vt omnis qui credit in illum non pereat, sed habeat vitam æternam. *Domine Deus mi in æternum confitebor tibi.* Non enim modo in hac vita, verum etiam post resurrectionem hymnos tibi semper offeram, summa et inexplicabilia tua dona enarrans.

INTERP.

1) ἐνιαυτῶν. Cod. 1. ἐτῶν. 2) ἡμᾶς. Cod. 1. præm. καί. 3) Cod. 1. τελευτήσαντας. 4) εὐθυμίας. Cod. 1. 2. εὐφημίας. 5) οὐ. Abest a Cod. 1. 2. 6) σιγῆς. Perperam in ed. *sirm.* legebatur δόξης. Emendatiorem lectionem e Cod. 1. et 2. *aug.* restituimus. 7) μέντοι. Cod. 1. 2. μὲν δή. 8) ἀναστρέψαντος. Cod. vterque addit εἰς τοὐπίσω καὶ ἀναζεύξαντος.

INTERP. PSALMI XXX.

1. *In finem psalmus Dauidi, ecstasis.* Hunc titulum nec apud Hebræos, nec apud reliquos interpretes inueni, verum in aliquibus exemplaribus. Ceterum mihi videtur ea quæ circa Vriam facta fuere innuere. Dicit enim in ipso psalmo, a) *Ego autem dixi in excessu mentis meæ, proiectus sum a facie oculorum tuorum:* hoc est, putaui, postquam peccaui, tuo auxilio me destitutum fuisse. Videtur autem hic psalmus a beato Dauide dictus esse, cum ab Absalomo persecutionem pateretur. Et hoc apertius verborum interpretatio docebit. 2. *In te Domine speraui, non confundar in æternum.* Multo dedecore, ait, peccatum me circumdedit: obsecro autem, ne diu hoc mecum permaneat, propter spem quam in te collocaui. *Pro iustitia tua libera me, et eripe me.* Ne meum, inquit, peccatum respicias, sed iniquitatem eorum, qui me persequuntur. Sic enim iusta sententia vtens, ab imminentibus calamitatibus me liberabis. 3. *Inclina ad me aurem tuam, ac-*
* *celera, vt eruas me.* * Cum meas preces exaudieris, celerem opem concede. *Esto mihi Deus protector, et domus refugii, vt saluum me facias.* 4. *Quoniam fortitudo mea, et refugium meum tu es.* Hæc

ΕΡΜΗΝ. ΤΟΥ λ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ, ἐκστάσεως. 1) Τοῦτο δὲ οὔτε παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς λοιποῖς εὗρον ἑρμηνευταῖς, ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων. αἰνίττεσθαι δέ μοι τὰ κατὰ τὸν Οὐρίαν δοκεῖ. λέγει γὰρ ἐν αὐτῷ τῷ ψαλμῷ· ἐγὼ δὲ 2) εἶπον ἐν τῇ ἐκστάσει μου, ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου· τουτέστιν, ᾠήθην ἡμαρτηκὼς τῆς σῆς γεγυμνῶσθαι προνοίας. εἰρῆσθαι δὲ ἔοικεν ὁ ψαλμὸς οὗτος ὑπὸ τοῦ 3) μακαρίου Δαβὶδ, καθ' ὃν καιρὸν ὑπὸ τοῦ Ἀβεσσαλὼμ ἐδιώκετο· καὶ τοῦτο σαφέστερον ἡ τῶν ῥητῶν ἑρμηνεία διδάσκει. β'. Ἐπὶ σοὶ Κύριε ἤλπισα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Αἰσχύνη με, φησὶν, ἡ ἁμαρτία περιέβαλε πολλή· ἱκετεύω δὲ μὴ μέχρι πολλοῦ ταύτην ἐπιμεῖναί μοι, διὰ τὴν ἐπὶ σοί μοι γεγενημένην πεποίθησιν. ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ 4) ἐξελοῦ με. μὴ εἰς τὴν ἐμὴν 5) φησιν ἀποβλέψῃς ἁμαρτίαν, ἀλλ' εἰς τὴν τῶν διωκόντων με παρανομίαν· ταύτῃ γὰρ τῇ δικαίᾳ ψήφῳ χρησάμενος, τῶν ἐπικειμένων ἀπαλλάξεις με συμφορῶν. γ'. Κλῖνον πρός με τὸ οὖς σου· τάχυνον τοῦ ἐξελέσθαί με. Ἀκούσας μου τῆς ἱκετείας, ταχεῖαν δὸς τὴν βοήθειαν. γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς, τοῦ σῶσαί με. δ'. Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ σύ. 6) Ταῦτα καὶ

1) Τοῦτο — ἀντιγράφων. Similem obseruationem habet ad hunc loc. EVSEBIVS, cuius etiam hæc est sententia, vt pars ista inscriptionis e vers. 23. petita sit. 2) Cod. 2. εἶπα. 3) μακαρίου. Cod. 2. θείου. 4) ἐξελοῦ με. Ita emendanda fuit lectio corrupta ἐξελοῦμαι. 5) φησίν. Abest a Cod. 2. 6) Huc pertinent quæ in Cod. *flor.* exstant, quæ tamen Textui inserere dubitauimus, cum non satis constet, an Nostri sint vel *Theodori mopsu.* Ὑπεράσπιστον καὶ ἐπάμυνον ἐν τοῖς κακοῖς· ἰδίωμα καὶ τοῦτο ἑβραϊκὸν, τὸ ὑπεράσπιστον, γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν· ὡς καὶ ἀλλαχοῦ, καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγὴν, ἀντὶ τοῦ κατέφυγον

a) vers. 23.

καὶ ἐν τῷ ἑπτακαιδεκάτῳ εἶπε ψαλμῷ, τὴν παντοδαπὴν τῦ Θεῦ κηδεμονίαν παραδηλῶν· τὸ δὲ κραταίωμά μου, Ἀκύλας καὶ Σύμμαχος, πέτρα μου ἡρμήνευσαν. 1) ἔοικε δὲ ὁ προφητικὸς λόγος τῷ εὐαγγελικῷ συμφωνεῖν, ὃς τὸν φρόνιμον ὑποδείκνυσιν ἐπὶ τῆς πέτρας την οἰκίαν οἰκοδομήσαντα, ἣν οὔτε πνευμάτων, ὔτε ὑετῶν καὶ ποταμῶν 2) προσβολὴ διὰ τὸ στεῤῥὸν 3) ἐλωβήσατο. καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με. τὸ δὲ διαθρέψεις ὁ Σύμμαχος τημελήσεις με τέθεικεν· λέγει δὲ, ὅτι παντοδαπῆς με προνοίας ἀξιώσεις, διὰ τὸ ὄνομά σου ἐφ' ᾧ πέποιθα. διὰ πάντων δέ γε τῶν 4) ἑρμηνευμένων ῥητῶν τὸ μέτριον αὐτῦ τῦ φρονήματος μεμαθήκαμεν· οὐ γὰρ ἤτησε διὰ τὴν οἰκεῖαν ἀρετὴν τῆς θείας ἐπικυρίας τυχεῖν, ἀλλὰ διὰ τὸ τοῦ Θεοῦ ὄνομα, καὶ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ ὅτι ἐπ' αὐτῷ ἤλπισεν. ε'. Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι· ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου Κύριε. 5) Τὴν βουλὴν τοῦ Ἀχιτόφελ διὰ τούτων ἐδήλωσεν, ἣν εἰσηγήσατο κατ' αὐτοῦ, ὡς καὶ ἤδη 6) προειρήκαμεν. ς'. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά

et in decimo septimo psalmo dixit, omnis generis prouidentiam diuinam significans. Hoc autem, *fortitudo mea*, Aquila et Symmachus *petra mea* interpretati sunt. Videtur autem propheticus sermo illi euangelico a) dicto quadrare, quod prudentem illum esse significat, qui domum aedificauit supra petram, quam nec ventorum, nec pluuiae, nec fluminum impetus ob soliditatem laesit. *Et propter nomen tuum deduces me, et enutries me* Pro *enutries*, Symmachus *curabis me* posuit. Dicit autem, quoniam me omni ope dignaberis propter nomen tuum, cui confisus sum. Porro per omnia haec dicta quae exposita sunt, modestiam mentis eius didicimus. Non enim petiit ob propriam virtutem diuini auxilii compos fieri, verum propter Dei nomen, et Dei iustitiam, et quoniam in ipso sperauit. 5. *Educes me de laqueo hoc, quem absconderunt mihi, quoniam tu es protector meus Domine.* Achitophelis consilium per haec ostendit, b) quod contra ipsum suggessit, vt iam superius diximus. 6. *In manus tuas commendabo spiritum meum,*

φυγον ἐπ' αὐτόν. „ Protege et a malis defende. Per Idiotismum linguae hebraicae hoc quoque in loco *protege me* sic effertur, *sis mihi Deus protector*: vt alibi quoque dicitur, *fuit mihi Dominus refugium*, pro *fuga me recepi ad eum*. „ 1) ἔοικε — ἐλωβήσατο. Des. apud CORD. p. 534. 2) Cod. 1. 2. προσβολαί. 3) Cod. vterque ἐλωβήσαντο. 4) Legendum esse videtur ἑρμηνευομένων. Cod. 1. 2. habent ἡρμηνευμένων. 5) Τὴν — προειρήκαμεν. Horum loco Codex *flor*. habet quae sequuntur: Παγίδα ἐκάλεσε τὴν αἰχμαλωσίαν ἐφ' ἣν συνείληπτο, ὥσπερ εἰς τινα κίνδυνον προφανῆ. τὸ δὲ ἧς ἔκρυψάν μοι ἀκολούθως εἶπε τῷ παραδείγματι. ἐπειδὴ παγίδα τὴν αἰχμαλωσίαν ἐκάλεσεν. ἴδιον δὲ τῆς παγίδος τὸ λανθανόντως κρυπτομένην τίθεσθαι· οὕτω τε ἀπροόπτως λανθάνειν τοὺς θηρωμένους. „ *Laqueum* vocauit captiuitatem, qua tanquam periculo aperto detentus fuerat. Illud autem *quem absconderunt mihi* satis apposite dixit, cum captiuitatem laqueo comparauerit. Solet enim laqueus clam occultari, venatores autem, vbi nemo putaret, latitant. „ 6) προειρήκαμεν. Conf. p. 437. Qu. 32.

a) Matth. 7, 24. b) 2 Reg. 17.

meum, redemisti me Domine Deus veritatis. Cum in multas sæpius calamitates incidissem, ab his per tuum auxilium liberatus sum: propterea animam meam tuo auxilio commendo. Nam *manus* hîc iterum nominauit auxilium. 7. *Odisti omnes obseruantes vanitates inaniter.* Illi quidem, ait, non tibi confisi sunt, verum vanis cogitationibus suis vsi fuerunt: tales vero penitus auersari soles. *Ego autem in Domino speraui.* 8. *Exultabo, et lætabor in misericordia tua.* Etenim cum in calamitatibus sim, tuam opem imploro, et hanc consecutus, tuæ benignitati horum bonorum causam adscribo. *Quoniam respexisti humilitatem meam, saluasti ex angustiis animam meam.* 9. *Nec conclusisti me in manibus inimici, statuisti in loco spatioso pedes meos.* His cogitationibus semper vtens, minime frustratus sum. Nam sæpius cum in hostium insidias et laqueos incidissem, atque intra retia contra me extensa versarer, venatores subterfugi. Hoc enim dixit: *Non conclusisti me in manibus inimici.* Docet autem historia sæpius ipsum a Saule comprehensum, atque etiam in spelunca inclusum, illius manus declinasse.

μου, ἐλυτρώσω με Κύριε ὁ Θεὸς τῆς ἀληθείας. Πολλαῖς πολλάκις περιπεσὼν συμφοραῖς, τούτων διὰ τῆς σῆς ἠλευθερώθην ῥοπῆς· οὗ δὴ χάριν τὴν ἐμαυτοῦ ψυχὴν τῇ σῇ 1) παρατίθημι προμηθείᾳ. χεῖρας γὰρ πάλιν ἐνταῦθα τὴν προμήθειαν ὀνομάζει. ζ'. Ἐμίσησας 2) πάντας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς. Ἐκεῖνοι μὲν οὖν, φησὶν, οὐ σοὶ τεθαῤῥήκασιν, ἀλλὰ τοῖς ματαίοις αὐτῶν κέχρηνται λογισμοῖς· εἴωθας δὲ τοὺς τοιούτους παντελῶς ἀποστρέφεσθαι. ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα. η'. Ἀγαλλιάσομαι, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου. Καὶ γὰρ 3) ἐν συμφοραῖς ὢν τὴν σὴν ἐπικουρίαν 4) καλῶ, καὶ ταύτης ἀπολαύων, τῇ σῇ φιλανθρωπίᾳ τῶν ἀγαθῶν ἀνατίθημι τὴν αἰτίαν. ὅτι ἐπεῖδες 5) τὴν ταπείνωσίν μου, 6) ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. θ'. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν· ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Οὐ διήμαρτον δὲ τούτοις ἀεὶ χρησάμενος τοῖς λογισμοῖς· ἐνέδραις γὰρ πολεμίων πολλάκις, καὶ 7) λόχοις περιπεσὼν, καὶ εἴσω τῶν 8) περιταθέντων μοι δικτύων γενόμενος, διέφυγον τοὺς 9) θηρεύοντας. τοῦτο γὰρ εἶπεν, οὐ συνέκλεισάς με εἰς χεῖρας 10) ἐχθροῦ. 11) διδάσκει δὲ καὶ ἡ ἱστορία, ὅτι πολλάκις καταληφθεὶς ὑπὸ τοῦ Σαοὺλ, καὶ μέντοι καὶ ἐν τῷ σπηλαίῳ καθειρχθεὶς, τὰς ἐκείνου χεῖρας διέφυγε·

1) Cod. 1. προστίθημι. Cod. 2. περιτίθημι. 2) πάντας. Def. in Textu τῶν ό. et in Cod. 1. 3) ἐν. Cod. 1. ἐπί. 4) καλῶ. Cod. 1. παρακαλῶ. 5) τήν. Cod. 2. præm. ἐπί, vt in edit. *ald.* et *compl.* 6) ἔσωσας — ψυχήν μου. *Hebr.* agnouisti in angustiis animam meam. 7) λόχοις. Cod. *flor.* λόγοις. 8) Cod. 2. περισταθέντων. 9) Cod. *flor.* θηρευτάς. 10) Cod. 1. 2. et *flor.* ἐχθρῶν. 11) διδάσκει — χρησάμενος. Sic quoque leg. apud CORD. p. 535; eadem autem exstant apud EVSEB. in MONTF. Coll. noua PP. p. 116. Cod. *flor.* ἡ γὰρ ἱστορία διδάσκει, ὅπως καὶ τὰς χεῖρας διέφυγε Σαοὺλ καὶ τοὺς Γετθαίους παραπληξίᾳ χρησάμενος.

γε· καὶ ἄλλοτε τοὺς Γετθαίους, παραπληξίαν σχηματισάμενος. ι΄. Ἐλέησόν με Κύριε ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου. ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου. Τοῦτο ὁ Σύμμαχος οὕτως εἴρηκεν· ἐθολώθη διὰ παροργισμὸν ὁ ὀφθαλμός μου· παροργίσας γάρ σε διὰ τῆς ἁμαρτίας, δακρύειν διηνεκῶς ἀναγκάζομαι· καὶ μὲν δὴ καὶ ἡ ψυχή μου ζάλης καὶ θορύβου ἐμπέπλησται· γαστέρα δὲ ἐνταῦθα τὸ τῶν λογισμῶν ταμιεῖον ἐκάλεσεν· οἱ λογισμοὶ γάρ, ἀλλ' οὐχ ἡ γαστὴρ, ἐταράττετο. ια΄. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς. Πάντα μου, φησὶ, τὸν βίον εἰς ὀδύνας καὶ δάκρυα δεδαπάνηκα. ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. 1) καὶ ἡ ἔνδεια δὲ, καὶ τῶν ἀναγκαίων ἡ σπάνις, 2) κατέτηξέ μου τὸ σῶμα· ταύτης δὲ τῆς ἐνδείας καὶ ἡ ἱστορία μέμνηται, καὶ 3) φησὶν, 4) Οὐνησβὶ ὁ τοῦ 5) Ναὰς υἱὸς, ὁ Ἀμμανίτης, καὶ Βερζελλεὶ ὁ Γαλααδίτης, ἤνεγκαν πυροὺς καὶ κριθὰς, καὶ 6) ἄλευρον· καὶ κύαμον, καὶ φακὸν, καὶ ἕτερά τινα τῷ Δαβὶδ 7) προσήνεγκαν καὶ τῷ λαῷ, ὅτι ἔλεγον 8) τὸν λαὸν πεινᾶν καὶ ἐκλελύσθαι διψήσαντα ἐν τῇ ἐρήμῳ. ιβ΄. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. Οἱ ἐχθροί μου, φησὶν, ἐν εὐθυμίᾳ, ἐγὼ δὲ καταγέλαστός εἰμι, καὶ τοῖς ὁμόροις ἐπίχαρτος, καὶ τοῖς γνωρίμοις ἐπίφοβος. καὶ

se, et alio quoque tempore Gethæos, cum amentiam simulasset. 10. *Miserere mei Domine, quoniam tribulor: conturbatus est in ira oculus meus, et anima mea, et venter meus.* Hoc Symmachus sic dixit: *Ob irritationem oculus meus turbatus est.* Cum enim te irritauerim per peccatum, lacrymari continue cogor, atque etiam anima mea tempestate et tumultu impleta est. *Venter* vero hîc cogitationum promtuarium vocatur. Cogitationes enim, non venter, turbabantur. 11. *Quoniam defecit in dolore vita mea, et anni mei in gemitibus.* Omnem meam, inquit, vitam in doloribus et lacrymis consumsi. *Infirmata est in paupertate virtus mea, et ossa mea conturbata sunt.* Porro inopia et rerum necessariarum penuria corpus meum aridum reddiderunt. Huius autem inopiæ historia quoque meminit, et ait: a) Vnesbi filius Naas Ammanites, et Berzellai Galaadites, attulerunt triticum, et hordeum, et farinam, et fabam, et lentes, et alia quædam Dauidi, et populo, quoniam dixerunt populum esurire, et sitiendo defatigatum esse in solitudine. 12. *Super omnes inimicos meos factus sum opprobrium vicinis meis valde, et timor familiaribus meis.* Inimici mei, ait, in lætitia sunt, ego autem ridiculus, et finitimis ludibrio sum, familiaribus autem terrorem incutio. Et hoc

1) καὶ — τὸ σῶμα. Def. apud CORD. p. 535. 2) κατέτηξε. Cod. 1. et 2. κατεσκήλιτευσε (sic). 3) φησίν. Cod. 1. 2. addunt ὡς. Magna est h. l. lectionum diuersitas. 4) Οὐνησβί. In Textu τῶν ό. l. c. leg. Οὐεσβί. Cod. aug. 1. habet Σεφεεί, sicque apud CORD. p. 535. leg. Ὀσεφεεί. Cod. 2. Ἐφεεί. Cod flor. habet Σεμεεί. 5) Cod. flor. Ναώς. 6) Cod. 1. 2. ἄλευρα. Cod. flor. ἀμβρά. 7) Cod. 1. 2. et flor. καὶ προσήνεγκαν. 8) τὸν — ἐρήμῳ. Cod. flor. ὅτι ἔλεγον πεινῶντα καὶ διψήσαντα ἀπόλλυθαι ἐν τῇ ἐρήμῳ.

a) 2 Reg. 17, 27-29.

hoc manifestius docens, subiunxit: *Qui videbant me foras, fugerunt a me.* Refugiunt enim mecum versari, ne in manus meorum inimicorum incidant. 13. *Obliuioni datus sum tanquam mortuus a corde: factus sum tanquam vas perditum.* Reiecerunt me, ait, omnes, instar vasis perditi, et mortui sepulchrum incolentis. „ Extremam obliuionem „ describit sub imagine ignobilis „ vasis. Sicut enim, inquit, id „ quod perditum est, ob vilitatem suam illico excidit memoria eorum qui perdiderunt illud, „ ita ego quoque ab illis reputor „ pro eo qui non est, nec vnquam „ æstimatione dignus fuerit. „

* 14. *Quoniam audiui vituperationem multorum commorantium in circuitu.* Ceterum hæc non suspicando dico, verum quod propriis auribus conuitia audiuerim. Significat autem per ista Semei maledicta. *Dum congregarentur ipsi simul aduersus me, vt auferrent animam meam consilium inierunt.* 15. *Ego autem in te speraui Domine: dixi, Deus meus es tu.* 16. *In manibus tuis sortes meæ.* Illi quidem congregati meam mortem moliuntur, ego vero te Deum et gubernatorem noui. Hoc enim dicit, *In manibus tuis sortes meæ*, vel vt reliqui dixerunt, *in manibus tuis tempora mea.* Quasi diceret, tribuis vt volueris, cuilibet, et lætitiam et mœrorem: et hæc rursus commutas, vt tibi videtur. *Tempora* enim, vel *sortes*, nuncupat rerum vicissitudines, diuitias et paupertatem, seruitutem et dominatum, pacem et

σαφέστερον τοῦτο διδάσκων ἐπήγαγεν· οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ. δεδίασι γὰρ 1) συγγενέσθαι μοι, 2) ἵνα μὴ τοῖς ἐμοῖς ἐχθροῖς περιπέσωσιν. ιγ'. Ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός. 3) Ἀπέγνωσάν με, φησὶν, ἅπαντες, δίκην σκεύους ἀπολωλότος, καὶ νεκροῦ τάφον οἰκοῦντος. „ 4) Ἔδειξε τὴν ὑπερβολὴν τῆς ἐπιλησμονῆς ἀπὸ τῆς τοῦ „ σκεύους ἀτιμίας· ὥσπερ γὰρ, φησὶν, „ ἀπολλύμενον ἐκεῖνο ταχέως τῆς τῶν „ ἀπολωλεκότων ἐξορίζεται μνήμης διὰ „ τὸ εὐτελὲς, οὕτω κἀγὼ λελόγισμαι „ αὐτοῖς ὡς οὐδὲν ὢν οὐδὲ γεγονώς ποτε „ λόγου τινὸς ἄξιος. „ ιδ'. Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. Ταῦτα δὲ οὐ τοπάζων λέγω, ἀλλὰ ταῖς ἀκοαῖς τὰ ὀνείδη δεξάμενος. σημαίνει δὲ διὰ τούτων καὶ τὰς τοῦ Σεμεεὶ λοιδορίας. ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο. ιε'. Ἐγὼ δὲ ἐπὶ 5) σὲ Κύριε ἤλπισα· 6) εἶπον σὺ εἶ ὁ Θεός μου. ιϛ'. Ἐν ταῖς χερσί σου οἱ 7) κλῆροί μου. Ἐκεῖνοι μὲν οὖν 8) ἀθροισθέντες τὸν ἐμὸν καττύουσι θάνατον, ἐγὼ δὲ σε Θεὸν οἶδα καὶ πρύτανιν. τοῦτο γὰρ λέγει ἐν ταῖς χερσί σου οἱ κλῆροί μου, 9) ἢ ὡς οἱ λοιποὶ, ἐν ταῖς χερσί σου οἱ καιροί μου· ἀντὶ τοῦ, σὺ ἀποκληροῖς ὡς ἐθέλεις ἑκάστῳ καὶ ἀθυμίας καὶ θυμηδίας, καὶ μεταβάλλεις ταῦτα πάλιν πρὸς τὸ δοκοῦν· καιροὺς γὰρ, ἢ κλήρους, καλεῖ τὰς τῶν πραγμάτων μεταβολὰς, πλοῦτον καὶ πενίαν, δουλείαν καὶ δεσποτείαν, εἰρήνην καὶ πόλε-

1) Cod. 1. συνεγγενέσθαι. 2) ἵνα. Abest a Cod. 1. 2. 3) Cod. 2. ἐπέγνωσαν. 4) Ἔδειξε κ. τ. λ. E Cod. *flor.* desumta. 5) σέ. Cod. 2. σοί, quæ est rec. lectio τῶν ό. 6) Cod. 2. εἶπα. 7) κλῆροι. Ita leg. in vers. τῶν ό. pro καιροί, vt videtur. Textus enim hebr. habet עתתי *tempora mea.* 8) Cod. 2. συναθροισθέντες. 9) ἢ — ὁμοίως. Des. apud CORD. p. 524.

πόλεμον, καὶ τἄλλα τὰ τοιαῦτα ὁμοίως. ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με. εἶτα δείκνυσι 1) καὶ τὸν τῆς λυτρώσεως τρόπον. ιζ'. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου· σῶσόν με ἐν τῷ ἐλέει σου. Τῆς γὰρ σῆς μοι γενομένης ἐπιφανείας, τὰ σκυθρωπὰ παραυτίκα λυθήσεται. ιη'. Κύριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε, αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου. 2) Καὶ ἐντεῦθεν μανθάνομεν, ὡς πολλὴν διαφορὰν ἁμαρτία πρὸς ἀσέβειαν ἔχει. διὸ καὶ ὁ μέγας παρακαλεῖ Δαβὶδ, 3) αὐτὸν μὲν τῆς διὰ τὴν ἁμαρτίαν γεγενημένης αἰσχύνης ἀπαλλαγῆναι, τοὺς δὲ δυσσεβείᾳ συζῶντας, μετ' αἰσχύνης τῷ θανάτῳ παραπεμφθῆναι. ιθ'. Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. 4) Τοῦ Ἀχιτόφελ ἐνταῦθα προλέγει τὸν θάνατον, 5) ὃς φίλος ὢν τοῦ Δαβὶδ καὶ σύμβουλος, τὸν παλαιὸν ἐγύμνωσε δόλον, καὶ κατὰ τοῦ μηδὲν ἠδικηκότος τὴν γλῶτταν ἐκίνησεν· ὑπερηφανίαν δὲ καὶ ἐξουδένωσιν τὴν συμβουλὴν ἐκείνην εἰκότως ἐκάλεσεν· ἐπειδὴ παῖδα κατὰ 6) τοῦ πατρὸς διήγειρεν εἰς 7) σφαγήν. κ'. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου 8) Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε. 9) Πάλιν

bellum, et alia id genus similiter. *Eripe me de manu inimicorum meorum, et a persequentibus me.* Deinde ostendit et liberationis modum. 17. *Illustra faciem tuam super seruum tuum, saluum me fac in misericordia tua.* Nam cum tua facies mihi apparuerit, omnia tristia illico dissoluentur. 18. *Domine non confundar, quoniam inuocaui te. Erubescant impii, et deducantur in infernum.* Et hinc discimus multam differentiam inter peccatum et impietatem esse. Propterea et magnus Dauid obsecrat, se ipsum quidem a pudore, quem ob peccatum habuit, liberari, impios vero cum dedecore morte affici. 19. *Muta fiant labia dolosa, quae loquuntur aduersus iustum iniquitatem, in superbia et contemtu.* Hoc in loco Achitophelis mortem prædicit, qui cum Dauidis amicus et consiliarius esset, antiquum patefecit dolum, et contra eum, qui ipsi minime nocuerat, linguam mouit. Superbiam autem, et contemtum, consilium illud iure appellauit, quoniam filium ad cædem patris concitauit. 20. *Quam magna multitudo dulcedinis tuæ Domine, quam abscondisti timentibus te!* Rursus hîc,

1) καὶ. Abest a Cod. 1. 2. 2) Καὶ — παραπεμφθῆναι. Cod. *flor.* Διαφέρει ἁμαρτία ἀσεβείας. ἁμαρτία μὲν γάρ ἐστιν ἡ τυχοῦσα ἁμαρτία, παρανομία, πορνεία, κλεψία καὶ αἱ λοιπαί· ἀσέβεια δὲ ἡ ἀθεΐα, ἢ καὶ ἡ πολυθεΐα. διὰ τοῦτο τοὺς ἀσεβεῖς μετ' αἰσχύνης παραπεμφθῆναι παρακαλεῖ. „Differt peccatum ab iniquitate. *Peccatum* enim dicitur quæcunque transgressio legis, scortatio, furtum et quæ reliqua sunt. *Impietas* autem est Atheismus vel etiam Polytheismus. Propterea rogat, vt impii cum pudore tradantur (morti).„ 3) αὐτόν. Cod. 2. αὐτῶν. 4) Τοῦ — θάνατον. Cod. 3. χείλη δόλια γινόμενα ἄλαλά φησι, τὰ τοῦ Ἀχιτόφελ, προμηνύων αὐτοῦ τὸν θάνατον. 5) ὅς. Cod. 3. ὡς. 6) τοῦ. Abest a Cod. 3. 7) σφαγήν. Hanc lectionem substituimus in locum prioris, quæ erat φαγήν. 8) Κύριε — σε. Def. in Cod. 3. 9) Πάλιν — παραβολικῶς. Cod. 3. Πάλιν οὐ παραβολικῶς τὸ ὡς ἐνταῦθα.

hîc, *quam*, non ad comparationem, sed ad exaggerationem posuit. * Quapropter Aquila et Symmachus sic verterunt, *Quam multa est bonitas tua, quam repositam timentibus te occultasti.* Ceterum hic est sensus: timentium te, inquit, Domine, mercedes et præmia occultas, quamuis multa sint, et magna, et admirabilia; cum sudoribus autem et miseriis colluctari finis. Veruntamen aliquando victoriæ præmia ostendis, athletas audaciores reddens. Hoc enim subiunxit: *Perfecisti eis, qui sperant in te, in conspectu filiorum hominum.* Deinde prouidentiam, quæ erga illos se exserit, sigillatim exponit. 21. *Abscondes eos in abscondito faciei tuæ, a conturbatione hominum. Proteges eos in tabernaculo a contradictione linguarum.* Sufficit, ait, vt appareas, (hoc enim *faciem* vocat,) vt ipsos liberes ab omni perturbatione et humanis fluctibus, et protegas eos veluti quodam tabernaculo in medio comprehensos, et reddas eos inuisibiles. Hanc autem prouidentiam et ipse consecutus est, cum Saulem fugeret. Nam intra pericula comprehensus salutem adeptus est. Eodem modo magnus Elissæus, circumuallantes Syros effugit, illorum oculis offusa caligine. Et alia similia multa in diuinis voluminibus inueniri possunt. 22. *Benedictus Dominus, quoniam mirificauit misericordiam suam mibi in ciuitate*

τὸ, ὡς, ἐνταῦθα οὐ παραβολικῶς, ἀλλ᾽ ἐπιτατικῶς τέθεικε. διόπερ Ἀκύλας καὶ Σύμμαχος οὕτως ἡρμήνευσαν 1) τί πολὺ τὸ ἀγαθόν σου, ὃ ἔκρυψας 2) ἀπόθετον τοῖς φοβουμένοις σε. ταύτην δὲ τὸ ῥητὸν τὴν διάνοιαν ἔχει· τῶν φοβουμένων σε, φησὶ, Δέσποτα, τοὺς μὲν μισθοὺς καὶ τὰ ἔπαθλα κρύπτεις· καὶ ταῦτα πολλὰ ὄντα, καὶ μεγάλα, καὶ θαυμαστά· ἱδρῶσι δὲ καὶ ταλαιπωρίαις 3) προσπαλαίειν ἐᾷς. ἀλλ᾽ ὅμως ἔστιν ὅτε καὶ γυμνοῖς τὰ βραβεῖα, παραθαῤῥύνων τοὺς ἀθλητάς· τοῦτο γὰρ 4) ἐπήγαγεν. ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. εἶτα τὴν 5) γινομένην αὐτῶν κατὰ μέρος διέξεισι 6) πρόνοιαν. κα΄. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων. σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν. 7) Ἀρκεῖ σου, φησὶν, ἡ ἐπιφάνεια· τοῦτο γὰρ καλεῖ πρόσωπον· πάσης αὐτοὺς ταραχῆς καὶ ζάλης ἀνθρωπίνης ἐλευθερῶσαι, καὶ ἀποληφθέντας ἐν μέσῳ καθάπερ τινὶ καλύψαι σκηνῇ, καὶ ἀφανεῖς ἀποφῆναι. ταύτης δὲ καὶ αὐτὸς τῆς προνοίας 8) ἀπήλαυσεν ὑπὸ τοῦ Σαοὺλ διωκόμενος. ἐν μέσοις γὰρ 9) ὑποληφθεὶς τοῖς δεινοῖς, τῆς σωτηρίας τετύχηκεν. 10) οὕτως ὁ μέγας Ἐλισσαῖος κυκλώσαντας τοὺς 11) Σύρους διέφυγεν, ἀχλὺν αὐτῶν τοῖς ὀφθαλμοῖς ἐπιπάσσας· καὶ ἕτερα δὲ πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν παρὰ τῇ θείᾳ γραφῇ. κβ΄. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιο-

1) τί. Cod. 2. ὅτι. 2) ἀπόθετον. Hoc idem est cum illo ὃ ἔκρυψας, vtriusque enim Interpretis versionem coniunxit Noster. Vid. MONTF. in Hexapl. ad h. l. 3) Cod. 3. προσπαλαίειν. 4) ἐπήγαγεν. Cod. 3. addit εἰπών. 5) γινομένην. Abest a Cod. 3. 6) πρόνοιαν. Cod. 3. addit εἰπών. 7) Ἀρκεῖ. Cod. 3. ὡς. 8) Cod. 1. 2. ἀπέλαυσεν. 9) Codd. tres aug. ἀποληφθείς. 10) οὐ. αφῆ. Des. apud CORD. p. 525. 11) Σύρους. Cod. 3. Ἀσσυρίους.

περιοχῆς. Ὁ δὲ Σύμμαχος οὕτως εἴρηκε τοῦτο· εὐλογητὸς Κύριος ὁ 1) παραδοξάσας τὸ ἔλεος αὐτοῦ ἐμοὶ, ὡς ἐν πόλει περιπεφραγμένῃ· οὕτω γάρ με, φησὶ, περιέβαλέ τε καὶ περιέφραξε τῇ οἰκείᾳ φιλανθρωπίᾳ, ὡς πόλιν ὀχυρῷ περιβόλῳ περιφράττουσιν οἱ οἰκήτορες. κγ. Ἐγὼ δὲ 2) εἶπον ἐν τῇ ἐκστάσει μου, ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου· διὰ τοῦτο 3) εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ. ᾤμην δέ φησι, τῇ ἁμαρτίᾳ περιπεσὼν, πόῤῥω τῆς σῆς γεγενῆσθαι κηδεμονίας· ἀλλὰ τοὺς ταπεινούς μου θεασάμενος λόγους, οὐ παρεῖδες δεόμενον. 4) ἔκστασιν δὲ εἰκότως τὴν ἁμαρτίαν ἐκάλεσε· τὴν γὰρ τῆς δικαιοσύνης ὁδεύων ὁδὸν ἐξέστη μὲν ἐκείνης, καὶ ἐξετράπη· προσέπταισε δὲ, καὶ περιέπεσε τοῖς 5) ὠμοβόροις λῃσταῖς. καὶ 6) τοῦτο αὐτὸ δείκνυσι τὴν τοῦ Δαβὶδ ἀρετήν. οὐ γὰρ ἔθας ἦν τῆς ἁμαρτίας, ἀλλ' ἔξω μικρὸν τῆς οἰκείας γενόμενος προαιρέσεως, τὸν ὄλισθον ἐκεῖνον ὑπέμεινεν. ἐντεῦθεν ἐπὶ παραίνεσιν μεταφέρει τὸν λόγον, ἐκ τῶν 7) κατ' αὐτὸν τὴν θείαν ὑποδεικνὺς φιλανθρωπίαν καὶ πρόνοιαν. κδ'. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. Προσήκει, φησὶν, 8) ὑμᾶς ἅπαντας, τοὺς τὴν θείαν ὁδὸν ὁδεύειν προαιρουμένους, ἐκθύμως ἀγαπᾶν τῶν ὅλων τὸν πρύτανιν, οἷόν τινι κανόνι τῇ ἀληθείᾳ χρώμενον,

munita. Sic autem Symmachus hoc dixit: *Benedictus Dominus, qui mirabilem misericordiam suam fecit mihi, tanquam in ciuitate munita.* Sic enim me, ait, propria benignitate circumdedit et muniuit, vt ciues valido aggere vrbem vallant. 23. *Ego autem dixi in excessu mentis meae, proiectus sum a facie oculorum tuorum: ideo exaudisti vocem orationis meae, cum clamarem ad te.* Putabam me, ait, cum in peccatum incidissem, procul a tua prouidentia abiectum esse: verum sermones meos humiles conspicatus, me deprecantem minime despexisti. *Ecstasin* vero iure peccatum appellauit. Nam iustitiae viam incedens, excessit quidem ab illa, et aberrauit, offendit autem, et in crudeles latrones incidit. Et hoc ipsum Dauidis virtutem ostendit. Non enim * solitus erat delinquere, sed cum paulum a suo instituto aberrasset, lapsum illum passus est. Hinc sermonem ad exhortationem transfert, ex rebus suis diuinam ostendens benignitatem et prouidentiam. 24. *Diligite Dominum omnes sancti eius, quoniam requiret veritatem Dominus, et retribuet abundanter facientibus superbiam.* Decet, inquit, vos omnes, qui diuinum iter incedere elegistis, ex animo vniuersorum moderatorem diligere, qui veluti quadam regula veritate vtitur,

atque

1) παραδοξάσας. Apud EVSEB. ad h. l. legitur παραδείξας. Minus bene. Vid. MONTF. Hexapla ad h. l. 2) Cod. 3. εἶπα, quae est rec. lectio h. l. 3) εἰσήκουσας. In vers. τῶν ό. sequitur Κύριε. 4) ἔκστασιν — ἐκάλεσε. Rectius בחפזי ab *Aquila* vertitur ἐν θαμβήσει μου, et a *Symm.* ἐν τῇ ἐκπλήξει μου. Haec ἔκστασιν — ὑπέμεινεν des. apud CORD. p. 525. 5) ὠμοβόροις. Cod. 2. αἱμοβόροις. 6) τοῦτο. Cod. 1. 2. addunt δέ. 7) Cod. 1. καθ' ἑαυτόν. Cod. 2. καθ' αὐτόν. 8) Cod. 1. ἅπαντας ὑμᾶς. Cod. 2. ἡμᾶς.

atque eos, qui immensa superbia laborant, suppliciis afficit. Non enim simpliciter dixit: *Facientibus superbiam*, verum *abundanter facientibus*. Valet enim hoc quoque ad diuinam bonitatem ostendendam. Nam suffert eos, qui mediocri fastu quodam vtuntur: superbientes vero, et insatiabiliter elatos, condigna pœna plectit. 25. *Viriliter agite, et confortetur cor vestrum, omnes qui speratis in Domino.* Vos igitur hæc scientes, qui diuina spe freti præsentem vitam agitis, vestras animas fortitudine armate, et gubernatoris nutibus obtemperate, ferentibus vos quo ille dirigit. Porro etiam nobis hoc monitum congruit, qui per spem consolationem habemus.

καὶ τοὺς ἄμετρον ἀλαζονείαν κεκτημένους κολάζοντα. 1) οὐχ ἁπλῶς γὰρ εἶπε, τοῖς ποιοῦσιν ὑπερηφανίαν, ἀλλὰ τοῖς περισσῶς ποιοῦσιν. ἱκανὸν γὰρ καὶ τοῦτο τὴν θείαν ἀγαθότητα 2) δεῖξαι. φέρει μὲν γὰρ τοὺς οὕτω πως μείζονι φρονήματι κεχρημένους· τοὺς δὲ τυφουμένους, καὶ ἀπλήστως 3) ἐξογκουμένους, ταῖς 4) καταλλήλοις παραδίδωσι τιμωρίαις. κέ. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον. Ταῦτα τοίνυν εἰδότες οἱ τῇ ἐλπίδι τῇ θείᾳ τὸν παρόντα 5) διαπλέοντες βίον, κρατύνατε τῇ ἀνδρείᾳ τὰς ὑμετέρας ψυχὰς, καὶ τοῖς τοῦ κυβερνήτου 6) πείθεσθε νεύμασι, 7) φερομένοις ὡς ἂν ἐκεῖνος ἰθύνῃ. αὕτη δὲ καὶ ἡμῖν ἁρμόδιος ἡ παραίνεσις, 8) τὴν δι᾽ ἐλπίδος παραψυχὴν κεκτημένοις.

INTERP. PS. XXXI.

ΕΡΜΗΝ. ΤΟΥ λα′ ΨΑΛΜΟΥ.

1. Intelligentiæ Dauidi. Hic psalmus eundem sensum habet; nam hic quoque post peccatum in illis calamitatibus editus est. Ceterum prophericis oculis noui testamenti gratiam præuidens, atque remissionem, quæ per sanctum baptisma credentibus suppeditatur, hos beatos esse prædicat, vt qui sine labore peccatorum remissionem recipiant: et exordiens in hæc verba erumpit. *Beati quorum remissæ sunt iniquitates, et quorum tecta sunt peccata.* 2. *Beatus*

α′. 9) Τῷ Δαβὶδ συνέσεως. Τῆς αὐτῆς ἔχεται καὶ οὗτος ὁ ψαλμὸς διανοίας· καὶ οὗτος γὰρ μετὰ τὴν ἁμαρτίαν ἐν ἐκείναις 10) ἐῤῥήθη ταῖς συμφοραῖς· τοῖς δὲ προφητικοῖς ὀφθαλμοῖς προορῶν τῆς καινῆς διαθήκης τὴν χάριν, καὶ τὴν διὰ τοῦ παναγίου βαπτίσματος χορηγουμένην τοῖς πιστεύουσιν ἄφεσιν, μακαρίζει τούτους, ἅτε 11) δὴ δίχα πόνων τὴν τῶν 12) ἁμαρτάδων δεχομένους ἀπαλλαγήν· καί φησιν 13) ἀρξάμενος τοῦ ψαλμοῦ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν 14) ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. β′. Μακάριος ἀνὴρ,

1) οὐχ — τιμωρίαις. Def. apud CORD. p. 525. 2) Cod. 1. ὑποδεῖξαι. 3) Cod. 2. ἐξωγκωμένους. 4) Cod. 2. κατ᾽ ἀλλήλων. 5) Cod. 1. διαπλεύσαντες. 6) πείθεσθε. CORD. l. c. φέρεσθε. 7) Cod. 1. 2. φερόμενοι. CORD. πειθόμενοι. 8) τὴν δι᾽ ἐλπίδος. Cod. 1. τοῖς τῆσδε τῆς ἐλπίδος τήν. Cod. 2. τοῖς τῆς ἐλπίδος τήν. 9) Codex *alex.* et quædam editiones τῶν ό. præmittunt Ψαλμός. 10) Cod. 1. ἐῤῥέθη. 11) δή. Abest a Cod. 2. 12) Cod. 1. ἁμαρτωλῶν. Cod. 2. ἁμαρτημάτων. 13) Cod. 1. ἀρχόμενος. 14) Cod. 2. ἀπεκαλύφθησαν.

ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. Ὀδυρμοῖς 1) ἐγὼ καὶ δάκρυσι θαμινοῖς διὰ τὴν ἁμαρτίαν προστετηκὼς, καὶ παντοδαπαῖς συμφοραῖς ταύτης χάριν 2) περιπεσὼν, ζηλωτοὺς ἐκείνους καὶ μακαρίους ἀποκαλῶ, τοὺς ἀταλαιπώρως τῇ τοῦ 3) Δεσπότου φιλανθρωπίᾳ τῶν ἁμαρτημάτων δεξαμένους τὴν ἄφεσιν. τοσαύτῃ γὰρ περὶ αὐτοὺς χρῆται φιλοτιμίᾳ, ὡς μὴ μόνον ἀφεῖναι, ἀλλὰ καὶ καλύψαι τὰς ἁμαρτίας, καὶ μηδὲ 4) ἴχνη τούτων καταλιπεῖν. γ΄. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν 5) ἡμέραν. Ἡνίκα τὴν ἁμαρτίαν ἐκείνην εἰργάσατο, οὐ παραχρῆμα τοῖς τῆς μετανοίας φαρμάκοις ἐχρήσατο, ἀλλὰ μετὰ τὸν ἔλεγχον τοῦ 6) Νάθαν. τοῦτο τοίνυν ἐνταῦθα 7) βοᾷ· 8) ἐπειδὴ παραυτίκα δεξάμενος τὴν πληγὴν, οὐχ ὑπέδειξα τὸ ἕλκος τῷ ἰατρῷ, ἀλλ᾽ ἐσίγησα 9) τοῦτο κρύψαι 10) πειρώμενος, 11) κατεγήρασα βοῶν, καὶ τῆς ἁμαρτίας κατηγορῶν. δ΄. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ᾽ ἐμὲ ἡ χείρ σου. Ὀλοφύρομαι δὲ, καὶ ποτνιῶμαι, ταῖς παντοδαπαῖς παιδείαις καὶ τιμωρίαις βαλλόμενος· τὸ γὰρ, ἐβαρύνθη ἐπ᾽ ἐμὲ ἡ χείρ σου, ἐκ μεταφορᾶς τέθεικε τῶν 12) τῇ χειρὶ παιόντων, καὶ ἐπιμενόντων μέχρι πολλοῦ. 13) ἐστράφην εἰς ταλαιπωρίαν, 14) ἐν τῷ 15) ἐμπα-

vir, cui non imputauit Dominus peccatum: nec est in spiritu eius dolus. Cum ego luctibus et crebris lacrymis ob peccatum confectus sim, atque in multas calamitates hac de causa inciderim, felices illos atque beatos nuncupo, qui absque molestia peccatorum * veniam * Domini benignitate adepti sunt. Nam erga ipsos tanta liberalitate vtitur, vt non modo remittat, verum etiam obtegat peccata, vt ne vestigia quidem horum remaneant. 3. *Quoniam tacui, inueterauerunt ossa mea, dum clamarem toto die.* Cum peccatum illud perpetrasset, non statim pœnitentiæ remediis vsus est, sed post Nathanis reprehensionem. Hoc igitur hîc exclamat, quoniam accepta plaga non statim medico vulnus ostendi, sed conticui tentans illud occultare, vociferando et peccatum accusando consenui. 4. *Quoniam die ac nocte grauata est super me manus tua.* Omnibus autem castigationibus atque suppliciis percussus, lugeo et obsecro. Nam hoc, *Grauata est manus tua super me*, dixit per Metaphoram ab iis desumtam, qui manu feriunt, et in hoc diutius perseuerant. *Conuersus sum in ærumnam, dum configeretur*

1) ἐγώ. Cod. 3. præm. φησίν. 2) Cod. 2. πεσών. 3) δεσπότου. Cod. 3. Θεοῦ. 4) Cod. 2. ἴχνος. 5) ἡμέραν. Cod. 3. addit, διάψαλμα. 6) Νάθαν. Cod. 2. θανάτου. 7) βοᾷ. Cod. *flor.* λέγει. 8) ἐπειδή. Cod. *flor.* add. φησίν. 9) Cod. 1. 2. et *flor.* κρύψαι τοῦτο. 10) πειρώμενος. Cod. 2. βουλόμενος. 11) κατεγήρασα βοῶν καί. Cod. 2. habet tantum βοᾷ. 12) τῇ. Abest a Cod. 2. 13) ἐστράφην εἰς ταλαιπωρίαν. Non græci modo, sed reliqui etiam, præter Chaldæum, Interpretes, aberrarunt a vero sensu vocis לְשַׁד *succus, humor.* 14) ἐν — ἄκανθαν. Felicius in explicando Textu hebr. h. l. versati sunt *Aquila*, *Symm.* et *Theod.* quorum interpretationes recensuit MONTF. in Hexaplis ad h. l. 15) ἐμπαγῆναι. Hanc lectionem substituimus pro ἐκπαγῆναι, vt habebat ed. *firm.*

retur mibi spina. Non iniusta, inquit, castigatio tua est, sed admodum iusta. Nam causa malorum meorum peccatum fuit, quod vuæ loco produxi: pungor autem semper ab ipso. *Spinam* enim peccatum nominauit, tanquam inutile germen, et ad pungendum quasi natum. 5. *Delictum meum cognitum tibi feci, et iniustitiam meam non abscondi. Dixi, confitebor aduersus me iniustitiam meam Domino, et tu abstulisti impietatem peccati mei.* Cum primum peccaui, tacui: verum postea dies noctesque me ipsum accusaui: ex accusatione autem magnos percepi fructus: peccatorum enim veniam mihi concessisti. Notandum est, quod non dixerit, *remisisti mibi peccatum*, sed *impietatem peccati:* hoc est, non condigna pœna peccatorum me puniisti, verum excessum quidem peccati remisisti, mediocri autem animaduersione medicinam adhibuisti. Hoc et historia docet. Cum enim dixisset Dauid, a) Peccaui Domino, respondit Nathan, Dominus quoque abstulit peccatum tuum, non morieris. Minatus est tamen, se omnibus calamitatibus illius domum impleturum. Eodem modo et hoc loco, *Et tu remisisti impietatem peccati mei.* Oportebat me, ait, cum illa perpetrare ausus essem, statim secundum legem morte * mulctari: verum benignitate

γῆναί μοι 1) ἄκανθαν. οὐκ ἄδικος δὲ σοῦ, φησὶν, ἡ παιδεία, ἀλλὰ καὶ μάλα δικαία. αἰτία γάρ μοι τῶν κακῶν ἡ ἁμαρτία, ἣν ἀντὶ σαφύλης μὲν ἐβλάστησα· κεντοῦμαι δὲ διηνεκῶς ὑπ' αὐτῆς· 2) ἄκανθαν γὰρ τὴν ἁμαρτίαν ἐκάλεσε, καὶ ὡς ἄχρηστον βλάστημα, καὶ ὡς κεντεῖν πεφυκός. ε'. Τὴν 3) ἁμαρτίαν ἐγνώρισα, καὶ τὴν 4) ἀνομίαν μου οὐκ ἐκάλυψα· εἶπον ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ 5) ἀφεῖλες τὴν ἀσέβειαν τῆς 6) ἁμαρτίας μου. 7) Εὐθὺς μὲν ἁμαρτήσας ἐσίγησα· ἀλλὰ μετὰ 8) ταῦτα τὴν κατ' 9) ἐμοῦ κατηγορίαν νύκτωρ καὶ μεθ' ἡμέραν πεποίημαι. ἐκ 10) δὲ τῆς κατηγορίας μεγάλους ἐδρεψάμην καρπούς· ἔδωκας γάρ μοι τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· ἐπισημήνασθαι δὲ προσήκει, ὅτι οὐκ ἔφη ἀφῆκας μοι τὴν ἁμαρτίαν, ἀλλὰ τὴν ἀσέβειαν τῆς ἁμαρτίας· τουτέστιν, οὐ πρὸς ἀξίαν με τῆς παρανομίας ἐκόλασας, ἀλλὰ τὴν 11) μὲν ὑπερβολὴν τῆς ἁμαρτίας συνεχώρησας, 12) συμμέτρῳ δὲ παιδείᾳ τὴν θεραπείαν 13) ἐπέθηκας· τοῦτο καὶ ἡ ἱστορία διδάσκει. εἰρηκότι γὰρ τῷ Δαβὶδ, ἡμάρτηκα τῷ Κυρίῳ, ἀπεκρίνατο ὁ Νάθαν, καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς. ἠπείλησε μέντοι παντοδαπῶν ἐμπλήσειν τὴν οἰκίαν συμφορῶν· οὕτω κἀνταῦθα, καὶ σὺ ἀφεῖλες τὴν ἀσέβειαν τῆς ἁμαρτίας μου. ἔδει με, φησὶν, ἐκεῖνα τετολμηκότα εὐθὺς κατὰ τὸν νόμον θανάτῳ παραδοθῆναι· ἀλλὰ φιλανθρωπίᾳ χρησά-

1) Cod. 1. 2. ἄκανθα. Cod. 3. addit διάψαλμα. 2) Cod. 2. ἄκανθα. 3) ἁμαρτίαν. Cod. 1. ἀνομίαν, vt leg. in Cod. *alex.* Cod. *aug.* 1. et 2. addunt μου. 4) ἀνομίαν. Cod. 1. ἁμαρτίαν, pariter secundum Codicem *alex.* 5) Cod. 2. ἀφῆκας, quæ est rec. lectio h. l. 6) ἁμαρτίας. Cod. 1. 2. καρδίας, quæ etiam est rec. lectio h. l. 7) Εὐθὺς — τὴν ἄφεσιν. Def. in Cod. 3. 8) Cod. 2. ταύτην. 9) Cod. 1. 2. ἐμαυτοῦ. 10) δέ. Abest a Cod. 1. 11) μέν. Abest a Cod. 2. 12) συμμέτρῳ δὲ παιδείᾳ. Cod. 2. σύμμετρον δέ. 13) Cod. 3. ἐπέδωκας.

a) 2 Reg. 12, 13.

χρησάμενος θανάτῳ μὲν οὐ παρέδωκας, μετρίαις δὲ παιδείαις ἰάτρευσας. ς'. Ὑπὲρ ταύτης 1) προσεύξεται πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ. 2) Καιρὸν εὔθετον λέγει τῆς καινῆς διαθήκης τὴν πολιτείαν, ἐν ᾗ κατὰ πᾶσαν γῆν καὶ θάλασσαν ταῖς τοῦ Δαβὶδ ὑμνῳδίαις οἱ πεπιστευκότες γεραίρουσι τὸν Θεόν· τοῦτο τοίνυν ἐνταῦθα προαγορεύει καί φησι τῷ Δεσπότῃ, ὅτι οὐ μόνος ὑπὲρ ταύτης ἀντιβολῶ σε τῆς ἁμαρτίας, ἀλλὰ καὶ πάντες οἱ κατὰ τὴν οἰκουμένην 3) τὴν θεογνωσίαν 4) δεξάμενοι, ταύτην ὑπὲρ ἐμοῦ προσοίσουσι τὴν εὐχήν· καὶ γάρ πως ἐοίκαμεν τὰ τοῦ Δαβὶδ φθεγγόμενοι ῥήματα, τὴν ἐκείνου γλῶτταν ἀναλαμβάνειν 5) ἐπὶ τῷ τὸν Θεὸν 6) ἀνυμνεῖν. πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι. τοῦτο δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· περὶ τούτου προσεύξεται πᾶς ὅσιος, καιρὸν εὑρών, ὥστε ἐπικλύζοντα ὕδατα πολλὰ πρὸς αὐτὸν μὴ ἐγγίσαι. ὁ σπουδαίαν 7) σοι προσφέρων τὴν ἱκετείαν παντοδαπῆς ἀπολαύσεται προμηθείας, ὥστε κἂν διαφόροις συμφοραῖς περιπέσῃ, δίκην αὐτὸν ὑδάτων περικλυζούσαις, περιγενέσθαι τούτων, καὶ κρείττονα 8) δειχθῆναι τῶν λυπηρῶν. ζ'. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. 9) Ἐκεῖνα περὶ τῆς ἁμαρτίας εἰρηκώς, ἱκετεύει τῶν διὰ ταύτην ἐπενεχθέντων ἀπαλλαγῆναι κακῶν· καὶ μέντοι καὶ τυγχάνει τῆς ἀποκρίσεως. 10) λέγει γὰρ πρὸς αὐτὸν ὁ 11) Κύριος· η'. Συνετιῶ σε, καὶ

vsus, morte quidem non affecisti, mediocribus vero flagellis me castigasti. *6. Pro hac orabit ad te omnis sanctus in tempore opportuno. Tempus opportunum* dicit noui testamenti statum, in quo terra marique dauidicis hymnis, qui crediderunt, Deum honorant. Hoc igitur hîc prædicens, ait Domino, Quoniam non solus ego pro hac impietate te deprecor: sed omnes qui per totum orbem diuinam cognitionem accipient, has pro me tibi offerent preces. Etenim quodammodo videmur, Dauidis verba loquentes, illius linguam assumere ad Deum laudandum. *Veruntamen in diluuio aquarum multarum, ad eum non appropinquabunt.* Hoc Symmachus sic interpretatus est, Pro hoc orabit omnis sanctus opportunitate inuenta, ne aquæ multæ inundantes ad ipsum appropinquent. Qui studiosam deprecationem tibi offert, omne auxilium consequetur. Itaque licet in diuersas calamitates incidat, quæ veluti aquæ ipsum inundent, superior tamen his erit, et potentior calamitatibus euadet. *7. Tu es refugium meum a tribulatione, quæ circumdedit me: exultatio mea erue me a circumdantibus me.* His de peccato dictis, supplicat a malis per hoc illatis liberari: atque etiam responsum consequitur. Nam ipsi dicit Dominus, *8. Intellectum tibi dabo, et in-*

1) προσεύξεται. Cod. 3. addit πρὸς σέ, et sic quoque in vers. τῶν ό. leg. 2) Καιρόν. Abest a Cod. 3. 3) τήν. Cod. 3. addit σήν. 4) Cod. 1. δεξάμενοι. 5) ἐπὶ τῷ. Codd. tres aug. καί. 6) Cod. 2. et 3. ὑμνεῖν. 7) σοί. In Codd. 3. sequ. φησί. 8) δειχθῆναι. Cod. 2. μεῖναι. 9) Cod. 2. ἐκεῖνος. 10) λέγει — Κύριος. Des. in Cod. 2. et apud CORD. p. 544. 11) Κύριος. Cod. 1. præm. φιλάνθρωπος.

instruam te in via hac qua gradieris, firmabo super te oculos meos. Te, inquit, qui a via recta aberrasti, et errorem agnouisti, reducam iterum in rectam viam, et cognitionem eius tibi, ac scientiam dabo: reddam autem tibi etiam pristinam beneuolentiam. Hoc namque dixit, *Firmabo super te oculos meos*, Metaphora ducta ab iis, qui erga aliquem bene affecti sunt, et in ipsum respicere continuo volunt. Nam quemadmodum qui irascitur, faciem auertere videtur, ita beneuolentiam suam conuertendo faciem ostendit. Propterea et alibi propheta ait, *a)* Respice in me, et miserere mei. Et rursus, *b)* Ne auertas faciem tuam a me. Et ipse Deus per prophetam Ieremiam inquit, *c)* Conuertimini * ad me, et ego conuertar ad vos. Hinc propheticus sermo consulit, impiis quidem, ne ferarum vitam rationis expertem imitentur, iustis vero, vt diuinum gaudium semper habeant. Dicit autem sic: *9. Nolite fieri sicut equus et mulus, in quibus non est intellectus. Camo et fræno maxillas eorum constringe, qui non appropinquant ad te.* Ego quidem, inquit,

συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. Ἐκτραπέντα, φησὶ, καὶ ἐπιγνόντα τὴν πλάνην, ἐπανάξω πάλιν εἰς τὴν εὐθείαν ὁδὸν, καὶ γνῶσίν σοι ταύτης 1) καὶ εἴδησιν ἐνθήσω· μεταδώσω δέ σοι καὶ τῆς προτέρας εὐνοίας· τοῦτο γὰρ εἶπεν, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου· ἐκ μεταφορᾶς τῶν φιλικῶς περί τινα διακειμένων, καὶ ἀποβλέπειν εἰς 2) αὐτὸν 3) ἐθελόντων διηνεκῶς· 4) ὥσπερ γὰρ ὁ ὀργιζόμενος τὸ πρόσωπον δοκεῖ ἀποστρέφειν, οὕτω τὴν οἰκείαν εὐμένειαν διὰ τοῦ προσέχειν δηλοῖ· διὸ καὶ ἑτέρωθι ὁ προφήτης ἔφη, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. καὶ πάλιν, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· καὶ αὐτὸς ὁ Θεὸς διὰ Ἱερεμίου 5) τοῦ προφήτου, ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. ἐντεῦθεν ὁ προφητικὸς παραινεῖ λόγος, τοῖς μὲν παρανομίᾳ συζῶσι, 6) μὴ μιμεῖσθαι τὴν τῶν κτηνῶν ἀλογίαν· τοῖς δὲ δικαίοις, τὴν θείαν εὐφροσύνην ἔχειν ἀεί. λέγει δὲ οὕτως· θ'. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. 7) Ἐγὼ μὲν ὑμῖν, φησὶ,

1) καί. Abest a Cod. 1. 2) Cod. 3. αὐτούς. 3) Cod. 2. θελόντων. 4) ὥσπερ κ. λ. Des. apud CORD. p. 545. 5) τοῦ προφήτου. Des. in Cod. 1. 2. 6) μή. Abest a Cod. 1. 2. 7) Ἐγὼ — παραπλησίως. Horum loco in Catena quam Codex 3. *aug.* exhibet, alia leguntur, quæ etsi illis quæ e *Theodoreto* præcedunt adiuncta sint, tamen in Textum inserere dubitauimus, *tum* quia hæc in reliquis Codd. Nostro non vindicantur, ea vero quæ proxima sunt, διὰ — ἐπήγαγεν, in ipso hoc Codice Nostri nomine distinguuntur, *tum* quia ex illis quæ apud CORD. p. 549. et 552. expressa videmus, suspicio oritur, hæc BASILIO potius esse tribuenda. Ista autem in Cod. nostro sic legimus. *Primo* post verba Textus Μὴ — σύνεσις hæc sequuntur: τουτέστι, μὴ τὸ λογικῶς ἐνεργεῖν ἀποβαλόντες εἰς ἄλογον πέσητε κατάστασιν, ὥστε ἵππῳ διὰ τὸ θηλυμανὲς ὁμοιωθῆναι, ἢ ἡμιόνῳ, διὰ τὸ ἐστερεῶσθαι πρὸς τὰ κακά· μὴ ἐχόντων γὰρ σύνεσιν ἡ τοιαύτη ὁρμή. „Hoc est, ne reiecto rationali agendi modo in statum rationis expertem incidatis, ita vt quoad insanum feminæ amorem equo

a) Ps. 24, 16. 85, 16. b) Ps. 26, 9. c) Ier. 15, 19.

φησὶ, παραινῶ τὴν τούτων μὴ ζηλοῦν ἀλογίαν. εἰ δὲ μὴ πείθεσθε, δέξεσθε χαλινὸν καὶ κημὸν τούτοις παραπλησίως. διὰ 1) δὲ τούτων τὰς παιδείας δηλοῖ· οὗ 2) χάριν ἐπήγαγεν· ι. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ. 3) Οὕτω ταύτην τούτοις εἰσενεγκὼν τὴν εἰσήγησιν, ἐπὶ τὸν ἕτερον μεταβαίνει χορόν. τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει. ἅπαντες γὰρ ἄνθρωποι, 4) εἰ καὶ τοῖς τῆς ἀρετῆς καλλωπίζονται κατορθώμασι, τῆς θείας προσδέονται χάριτος· 5) διὸ δὴ καὶ ὁ θεῖος ἀπόστολος 6) βοᾷ· χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον. ια. Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Μηδεὶς τοίνυν ἐπὶ τοῖς οἰκείοις κατορθώμασιν 7) ἀγαλλέσθω, ἀλλ' ἐπὶ τῷ Θεῷ μέγα φρονείτω, καὶ τὴν ἐντεῦθεν θυμηδίαν καρπούσθω. καὶ τοῦτο τοῖς ἀποστολικοῖς ἔοικε ῥητοῖς, ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω, καὶ ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. διὰ τοῦτο καὶ πνεύματι πρᾳότητος παιδεύειν παρεγγυᾷ· σκοπῶν, φησὶ, σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς.

vos commonefacio, ne istorum rationis defectum æmulemini: si vero non obtemperatis, accipietis frænum et camum illorum more. Porro per hæc animaduersiones designat: propterea subdit: *10. Multa flagella peccatoris.* Post admonitionem hanc illis propositam ad alium chorum transfert narrationem. *Sperantem autem in Domino misericordia circumdabit.* Omnes namque homines licet virtutibus et recte factis ornati sint, diuina tamen indigent gratia. Propterea et diuinus apostolus exclamat, *a*) Gratia saluati estis per fidem, et hoc non ex vobis, nam Dei donum est. *11. Lætamini in Domino, et exultate iusti, et gloriamini omnes recti corde.* Nemo igitur suis recte factis lætetur, sed in Deo exultet, et hinc voluptatem capiat. Et hoc verbis apostolicis conuenit, *b*) Qui gloriatur, in Domino glorietur. Et, *c*) Qui stat, videat ne cadat. Propterea docet nos spiritu lenitatis corripere; Considerans, ait, *d*) te ipsum, ne et tu tenteris.

INTERP.

equo similes sitis, aut mulo, omni malorum destitutì sensu. Talis enim impetus eorum est, qui intellectu carent.„ *Deinde* verbis Textus ἐν κημῷ — πρὸς σὲ hic adiicitur Commentarius: πρὸς τὸν Θεὸν ὁ προφήτης φησὶ, τοὺς γενομένους ὡς ἵππους διὰ τὸ σκιρτητικὸν καὶ ἀφηνιαστικὸν καὶ ἡμίονον (leg. puto ἡμιόνων) σκληρόστομον, ἐν χαλινῷ τῷ σῷ λόγῳ καὶ κημῷ τῇ κατάλληλῳ προτροπῇ τὰς σιαγόνας αὐτῶν ἄγξαις δαμάζων καὶ ἕλκων τῷ σῷ χαλινῷ, ᾧ ἄξεις ὑπὸ ζυγὸν τὸν σόν. „Eos, Deo dicit Propheta, qui instar equorum recalcitrant et frenum non admittunt, aut mulorum instar os durum habent, verbo tuo quasi freno coërceas, et exhortatione tua tanquam capistro maxillas eorum contineas, freno tuo eos compescens et ducens, quo sub iugum tuum eos mittes. „

1) δὲ. Abest a Cod. 3. 2) χάριν. Cod. vterque præm. δή. 3) Οὕτω — χορόν. Def. in Cod. 3. 4) εἰ καί. Codd. tres κἄν. 5) διὸ δὴ καί. Cod. 3. ὅθεν. Cod. 1. omittit δή. 6) Cod. 2. βοῶν. 7) Cod. 2. ἀγαλλιάσθω.

a) Eph. 2, 8. *b*) 2 Cor. 10, 17. *c*) 1 Cor. 10, 12. *d*) Gal. 6, 1.

INTERP. PSALMI XXXII.

Sine titulo apud Hebræos. Hunc psalmum Septuaginta interpretantes, Ne quæras, dixerunt, interpretationem inscriptionis, quia inscriptionem non invenimus. Ceterum hic psalmus a beato Dauide editus est super iis, quæ de admirabili Ezechia feruntur. Formatur autem in persona ipsius Ezechiæ, qui ad hymnos cantandos populum excitat, post admirabilem victoriam, Assyriorumque internecionem. 1. *Exultate iusti in Domino.* Multis in locis pro *exultate*, Aquila habet *laudate*, et Symmachus similiter vertit, *Rectos decet laudatio.* Iis conuenit, qui Deum cognouerunt, atque ab errore vindicati sunt, simul semper Deum laudare. Deinde docet, quomodo conueniat ipsos hymnos canere. 2. *Confitemini Domino in cithara, et in psalterio decem chordarum psallite illi.* 3. *Cantate ei canticum nouum, bene psallite ei in vociferatione.* Omnia autem hæc secundum cultum lege præscriptum perficiebantur. Etenim citharis, et cymbalis, et tympanis, aliisque musicis instrumentis vtebantur. Ceterum *vociferatio* est victoriæ clamor, qui contra fugientes a victoribus editur. Ca-

ΕΡΜΗΝ. ΤΟΥ λβ΄ ΨΑΛΜΟΥ.

Ἀνεπίγραφος 1) παρ' Ἑβραίοις. 2) Τοῦτο οἱ ἑβδομήκοντα τεθείκασι, τὸν ψαλμὸν ἑρμηνεύσαντες. μὴ ζητήσῃς, φησὶν, ἑρμηνείαν ἐπιγραφῆς· ἐπιγραφὴν γὰρ οὐχ εὕρομεν. εἴρηται 3) δὲ ὁ ψαλμὸς οὗτος 4) ὑπὸ τοῦ 5) μακαρίου Δαβὶδ, εἰς τὴν 6) κατὰ τὸν 7) θαυμάσιον Ἐζεκίαν ὑπόθεσιν· ἐσχημάτισαι δὲ ὡς ἐξ αὐτοῦ τοῦ Ἐζεκίου, εἰς ὑμνῳδίαν τὸν λαὸν παροτρύνοντος, μετὰ τὴν παράδοξον νίκην καὶ 8) τῶν Ἀσσυρίων 9) τὸν ὄλεθρον. α΄. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ. 10) Πολλαχοῦ τὸ ἀγαλλιᾶσθε ὁ μὲν Ἀκύλας, αἰνεῖτε καὶ ὁ Σύμμαχος ὁμοίως ἡρμήνευσεν, τοῖς εὐθέσι 11) πρέπει αἴνεσις. τοῖς τὸν Θεὸν 12) ἐπεγνωκόσι, καὶ πλάνης ἀπηλλαγμένοις, ἁρμόττει τὸν Θεὸν διηνεκῶς ἀνυμνεῖν· εἶτα διδάσκει καὶ πῶς αὐτοὺς προσήκει τὴν ὑμνῳδίαν 13) ποιεῖσθαι. β΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. γ΄. ᾄσατε αὐτῷ ᾆσμα καινὸν, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ. Ταῦτα δὲ πάντα κατὰ τὴν νομικὴν 14) ἐπετελεῖτο λατρείαν· καὶ γὰρ κιθάραις, καὶ κυμβάλοις, καὶ τυμπάνοις, καὶ ἑτέροις μουσικοῖς ὀργάνοις ἐκέχρηντο. ἀλαλαγμὸς δέ ἐστιν ἐπινίκιος 15) βοὴ, κατὰ τῶν φευγόντων ὑπὸ τῶν 16) νικώντων γινομένη. 17) ἁρμόττει

1) παρ' Ἑβραίοις. Immo etiam, vt EVSEB. ad h. l. testatur, apud reliquos Interpretes. In Bibliis græcis autem habetur Inscriptio Τῷ Δαβὶδ, cui in Cod. *alex.* præmittitur Ψαλμός. 2) Τοῦτο — ἑρμηνεύσαντες. Des. in Cod. *flor.* 3) δὲ. Abest a Cod. 2. 4) ὑπὸ — Δαβίδ. Des. in Cod. *flor.* 5) μακαρίου. Cod. 2. θείου. 6) κατά. Cod. *flor.* præm. τῶν. 7) θαυμάσιον. Cod. 2. μέγαν. 8) τῶν. Cod. *flor.* præm. τήν. 9) τὸν ὄλεθρον. Cod. *flor.* πανωλεθρίαν. 10) Πολλαχοῦ — ἡρμήνευσαν. Cod. 1. 2. pro πολλαχοῦ habent πανταχοῦ, et pro ὁμοίως rectius εὐφημεῖτε. Easdem lectiones habet Codex iste ex quo idem Scholion ad h. l. attulit MONTF. in Hexaplis. 11) πρέπει αἴνεσις. *Aquila* ὡραιοῦται ἡ ὕμνησις. 12) Cod. 1. ἐγνωκόσι. 13) Cod. 1. 2. ποιήσασθαι. 14) Cod. 1. 2. ἐτελεῖτο. 15) βοή. Cod. 2. φωνή. 16) νικώντων. Cod. 2. διωκόντων. 17) ἁρμόττει — ἀνυμνῆσαι. Hæc apud CORD. p. 576. leguntur.

μόττει δὲ καὶ ἡμῖν τὰ 1) εἰρημένα πνευματικῶς νοούμενα· καὶ δυνατὸν ἡμᾶς εὔηχον καὶ παναρμόνιον ὄργανον 2) ἡμᾶς αὐτοὺς ἀποφῆναι, καὶ διὰ τῶν αἰσθητηρίων ἁπάντων τῶν αἰσθητῶν τε καὶ νοητῶν τὸν Θεὸν ἀνυμνῆσαι. δ΄. Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Δικαίως, φησὶν, ἅπαντα πρυτανεύει ὁ τῶν ὅλων Κύριος· καὶ προὔθηκεν ἡμῖν τῶν ἔργων αὐτοῦ τὴν θεωρίαν, 3) πιστεύειν παρακαλῶν, ἀλλ' οὐ πολυπραγμονεῖν, πῶς 4) γεγένηται. έ΄. Ἀγαπᾷ ἐλεημοσύνην, καὶ κρίσιν 5) ὁ Κύριος. 6) Τὰ μὲν γὰρ ὑπ' αὐτοῦ γινόμενα, ἀπεριέργως ἅπαντας ἄνευ τινὸς διχονοίας, παρακελεύεται δέχεσθαι· βίου μέν τοι ἐπιμελεῖσθαι, καὶ τοῦτον ἐλέῳ καὶ κρίσει κατακοσμεῖν. τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ. μιμεῖσθαί φησι προσήκει τὸν ποιητήν· ὥσπερ γὰρ αὐτὸς ἐλέῳ κεχρημένος οἰκονομεῖ, καὶ τοὺς ἠδικημένους οἰκτείρει· οὕτω 7) δεῖ καὶ ἡμᾶς τοῖς μὲν ἀδίκοις ἀπονέμειν τὴν κρίσιν, τοῖς δὲ ἠδικημένοις, τὸν ἔλεον. καὶ γὰρ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης τῇ μὲν κρίσει κατὰ τῶν Ἀσσυρίων 8) ἐχρήσατο· ἡμᾶς δὲ φειδοῦς καὶ φιλανθρωπίας ἠξίωσεν. οὕτω τὰ περὶ τῆς θείας προνοίας διεξελθὼν, ἐπὶ τὴν δημιουργίαν μεταφέρει τὸν λόγον, καὶ διδάσκει ὡς δημιουργήσας τὰ σύμπαντα, πρυτανεύει 9) τὰ σύμπαντα, καὶ προμηθεῖται ὡς ποιημάτων οἰκείων, οὐκ ἀλλοτρίων. ς΄. Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ 10) ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ 11) δύναμις αὐτῶν. 12) Οὐ πόνου φησὶν ἐδεήθη, καὶ

dunt autem etiam in nos quæ dicta sunt, si secundum spiritum intelligantur: et fieri potest, vt nos canorum et concinnum organum nos ipsos reddamus, et Deum celebremus per instrumenta omnium sensuum, tum interiorum, tum exteriorum. 4. *Quoniam rectum est verbum Domini, et omnia opera eius in fide.* Iuste, ait, omnia vniuersorum Dominus moderatur, et proposuit nobis suorum operum contemplationem, commonefaciens nos vt credamus, non vt curiose quæramus quomodo facta sint. 5. *Diligit misericordiam, et iudicium Dominus.* Nam quæ ab ipso facta sunt, simpliciter et sine vlla dubitatione omnes recipere iubet: de vita vero curam gerere, et hanc misericordia et iudicio ornare. *Misericordia Domini plena est terra.* Par est, inquit, creatorem imitari. Nam vt ille misericordia vtens gubernat, et iniuria affectorum miseretur, eodem modo oportet et nos iniustis quidem iudicium reddere, iniuria vero affectis misericordiam. Etenim benignus Dominus noster iudicio quidem contra Assyrios vsus est, nos vero misericordia et benignitate dignatus est. Sic iis quæ ad diuinam prouidentiam pertinent explicatis, ad creationem transfert sermonem, et docet, quomodo cum crearit omnia, vniuersa gubernet, et curam de his gerat, tanquam de propriis operibus, non alienis. 6. *Verbo Domini cæli firmati sunt, et spiritu oris eius omnis virtus eorum.* Non labore, inquit, et tem-

1) Cod. 1. *προειρημένα.* 2) *ἡμᾶς αὐτούς.* Cod. 2. *ἑαυτούς.* 3) *πιστεύειν.* Abest a Cod. 2. 4) Cod. 2. *γεγένηνται.* 5) *ὁ Κύριος.* Additur in Cod. *alex.* et nonnullis libris impressis. 6) Τὰ — *κατακοσμεῖν.* Des. apud CORD. 7) *δεῖ.* Cod. 1. 2. *χρή.* 8) Cod. 2. *ἐκέχρητο.* 9) *τὰ σύμπαντα.* Cod. 2. *αὐτοῖς.* 10) *ἐστερεώθησαν.* *Aquila*, *ἐποιήθησαν.* *Symm.* *ἐγένοντο.* 11) *δύναμις.* Rectius *Aqu.* *στρατιά.* *Symm.* *διακόσμησις.* 12) Οὐ — *δυνάμεως αὐτῶν.* Des. in Cod. 3.

* tempore ad * creandum indiguit: sed ad faciendum satis illi fuit verbum. Nam ait, a) fiat firmamentum, et factum est sic: fiant luminaria in firmamento cæli, et factum est ita. Adspectus igitur literæ superficie tenus hunc sensum demonstrat: hoc enim antiquis Iudæis congruit. Vera autem Theologia ostendit nobis, Deum Verbum cum sancto Spiritu et cælos et cælestes virtutes fecisse. Euangelicamque doctrinam prophetia anticipat. Et sicut diuinus Ioannes, tonitru filius, totum orbem docuit, dicens, b) in principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum: omnia per ipsum facta sunt, et sine ipso factum est nihil, quod factum est: sic beatus Dauid prædicat, inquiens, Verbo Domini cæli firmati sunt, et spiritu oris eius omnes virtutes eorum. Porro non attribuit Deo quidem Verbo cælorum fabricationem, sancto vero Spiritui virtutum creationem: verum et hæc et alia Deum Verbum et sanctum Spiritum effecisse ait. *Virtutes* vero *cælorum*, alii quidem cæli luminaria, alii vero virtutes, quæ minime cernuntur, esse dixerunt. Ceterum mihi videtur secunda expositio magis esse vera. Cum enim Deum opificem demonstraret, omnino non de sola creatura quæ cernitur, mentionem fecit.

7. *Congregans sicut utrem aquas ma-*

χρόνου δημιουργῶν, ἀλλ' ἤρκεσεν αὐτῷ λόγος εἰς ποίησιν· 1) εἶπε γὰρ, γενηθήτω στερέωμα, καὶ ἐγένετο οὕτως. 2) γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ἐγένετο οὕτως. τὸ μὲν οὖν ἐξ ἐπιπολῆς νόημα 3) ἡ τοῦ γράμματος ἐπιφάνεια τοῦτο δηλοῖ· τοῦτο γὰρ τοῖς πάλαι ἥρμοττεν Ἰουδαίοις. ἡ δὲ ἀληθὴς θεολογία τὸν Θεὸν ἡμῖν ὑποδείκνυσι λόγον, σὺν τῷ παναγίῳ πνεύματι, καὶ τοὺς οὐρανοὺς, καὶ τὰς οὐρανίους πεποιηκότα δυνάμεις. καὶ τὴν εὐαγγελικὴν διδασκαλίαν προλαμβάνει ἡ προφητεία. καὶ ὥσπερ ὁ 4) θεσπέσιος Ἰωάννης, ὁ τῆς βροντῆς υἱὸς, πᾶσαν τὴν οἰκουμένην ἐδίδαξεν, ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ 5) γέγονεν οὐδὲ ἕν, ὃ γέγονεν. οὕτως ὁ 6) μακάριος Δαβὶδ προκηρύττει λέγων, τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ 7) πᾶσαι αἱ δυνάμεις αὐτῶν. οὐκ ἀπονέμει 8) δὲ τῷ μὲν Θεῷ λόγῳ τὴν τῶν οὐρανῶν δημιουργίαν, τῷ δὲ παναγίῳ πνεύματι τὴν τῶν δυνάμεων ποίησιν· ἀλλὰ καὶ ταῦτα 9) κἀκεῖνα τὸν Θεὸν λόγον καὶ τὸ ἅγιον Πνεῦμα πεποιηκέναι φησί· 10) δυνάμεις δὲ οὐρανῶν οἱ μὲν τοὺς κατ' οὐρανὸν φωστῆρας, οἱ δὲ τὰς ἀοράτους ἔφασαν εἶναι δυνάμεις. ἐμοὶ δὲ τὸ δεύτερον ἀληθέστερον εἶναι δοκεῖ. δημιουργὸν γὰρ ὑποδεικνὺς τὸν Θεὸν, οὐκ ἂν μόνης τῆς ὁρωμένης ἐμνημόνευσε κτίσεως.

ζ'. Συνάγων ὡσεὶ 11) ἀσκὸν ὕδατα θαλάσσης·

1) εἶπε — Ἰουδαίοις. Def. apud CORD. p. 559. 2) γενηθήτωσαν — οὕτως. Def. in Cod. 2. 3) ἡ. Cod. 1. 2. præm. καί. 4) θεσπέσιος. Cod. 2. θεῖος. 5) γέγονεν. Cod. 1. 2. ἐγένετο, quæ est rec. lectio h. l. 6) μακάριος. Cod. 2. μέγας. 7) πᾶσαι αἱ δυνάμεις. Cod. 1. 2. πᾶσα ἡ δύναμις. 8) δέ. Abest a Cod. 3. 9) κἀκεῖνα. Def. in Cod. 3. 10) δυνάμεις — κτίσεως. Def. in Cod. 3. 11) ἀσκόν. Ita omnes fere Interpretes ex permutatione vocis נד cum נאד.

a) Gen. 1. b) Ioh. 1, 1. 3.

σης· τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. Πᾶσαν μὲν γὰρ 1) τῶν ὑδάτων τὴν φύσιν, ὥσπερ ἐν ταμιείοις τισὶ τοῖς ἀφωρισμένοις χωρίοις καθειργμένην ἔχει· ἕλκει δὲ ταύτην εἰς τὸν ἀέρα μετέωρον, ὅτ' ἂν 2) θέλῃ, καὶ ὡς ἐν ἀσκῷ τινὶ ταῖς νεφέλαις 3) συνάγει. 4) διὸ λέγει· ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς· 5) καὶ ἀλλαχοῦ δὲ πάλιν ἡ θεία γραφή· ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ 6) πρόσωπον πάσης τῆς γῆς. η΄. Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ· ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. θ΄. Ὅτι αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Τῶν οὐρανῶν μνημονεύσας, καὶ τῶν ἀοράτων δυνάμεων, ἔπειτα τῆς τῶν ὑδάτων οὐσίας, ἄγει καὶ τὴν γῆν εἰς μέσον, καὶ τοὺς ταύτην κατοικοῦντας, ποιήματα 7) αὐτοῦ εἶναι διδάσκων, καὶ παρεγγυῶν δεδιέναι καὶ τρέμειν τὸν ποιητὴν, καὶ 8) τοῖς αὐτοῦ νεύμασι πείθεσθαι· 9) τὸ γὰρ σαλευθήτωσαν, ὁ 10) μὲν Σύμμαχος εὐλαβείσθωσαν, ὁ δὲ Ἀκύλας 11) ὑποσταλήσονται εἴρηκε, τῷ ἐπιόντι χρόνῳ τὴν τῆς οἰκουμένης παραπέμψας εὐλάβειαν. οὐδὲ γὰρ ἡνίκα τούσδε τοὺς λόγους ἐποιήσατο, ταύτην εἶχον οἱ ἄνθρωποι, ἀλλὰ μετὰ τὴν ἐνανθρώπησιν, καὶ τὸ πάθος, καὶ τὴν ἀνάστασιν τοῦ Δεσπότου Χριστοῦ. ι΄. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν· καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. ια΄. Ἡ δὲ βουλὴ τοῦ

ris, *ponens in thesauris abyssos.* Nam omnem quidem aquarum naturam, velut in quodam penu, definitis in locis conclusam continet: trahit vero hanc in aëra sublimem cum voluerit, et tanquam in vtre quodam eam in nubibus congregat. Propterea ait, a) Adducens nubes a finibus terræ. Et alibi diuina scriptura inquit, b) Qui euocat aquam maris, et effundit ipsam super faciem vniuersæ terræ. *8. Timeat Dominum omnis terra, ab eo autem commoueantur omnes inhabitantes terram. 9. Quoniam ipse dixit, et facta sunt, ipse mandauit, et creata sunt.* Cum de cælis, atque de inuisibilibus virtutibus, deinde de aquarum natura mentionem fecisset, in medium quoque profert terram et habitatores eius, opera eius esse docens, et adhortans, vt timeant et perhorrescant creatorem, et eius nutibus obtemperent. Nam pro * *commoueantur*, Symmachus quidem *uereantur*, Aquila vero *formidabunt* dixit, in futurum tempus orbis metum transmittens. Neque enim cum hæc verba faceret, hunc timorem homines habebant, verum post incarnationem, et passionem, et resurrectionem Christi Domini. *10. Dominus dissipat consilia gentium, reprobat autem cogitationes populorum, et reprobat consilia principum. 11. Consilium autem* Domi-

1) τῶν. Cod. 2. præm. τήν. 2) Cod. 1. ἐθέλῃ. 3) συνάγει. Def. in Cod. 2. In Cod. 3. leg. συνωθεῖ. 4) διὸ λέγει. Cod. 1. λέγει γάρ. Cod. 2. ἐπέρωθι δὲ λέγει. 5) καὶ — γῆς. Def. in Cod. 2. 6) Cod. 1. προσώπου. 7) αὐτοῦ. Cod. 1. 2. καὶ αὐτούς. 8) τοῖς. Cod. 2. αὐτοῖς. 9) τὸ γὰρ κ. λ. Def. apud CORD. p. 560. 10) μέν. Abest a Cod. 1. 2. 11) Cod. 2. ὑποσταλήσεται. MONTF. in Hexaplis ad h. l. huic verbo significationem *coërcendi* tribuit, priorem tamen interpretationem retinendam esse duximus.

a) Ps. 134, 7. b) Am. 5, 8.

Domini in aeternum manet, cogitationes cordis eius in generationem et generationem. Geminam habent explanationem quae dicta sunt. Nam non modo Assyriorum, et Sennacheribi, et Rapsacis consilia dissipauit, et proprii consilii potentiam et veritatem ostendit: verum etiam gentium impetus per orbem contra apostolos factos irritos reddidit, et potentiae suae robur notum omnibus fecit: quandoquidem hoc propheticus sermo subinnuit, inquiens, *Cogitationes cordis eius in generationem et generationem.* Duarum aetatum mentio docet, tum ea quae tunc acciderunt, tum illa quae post haec futura sunt. 12. *Beata gens, cuius est Dominus Deus; populus, quem elegit in hereditatem sibi.* Oportet, inquit, beatos praedicare, non eos qui diuitiis affluunt, sed qui in Deo suas spes collocant, et eius auxilii compotes facti sunt. Porro populus electus, Dei hereditas nominatus, olim quidem iudaicus populus erat: postea vero qui ex gentibus electus fidei radios recepit. Nam postula, inquit, a) a me, et dabo tibi gentes hereditatem tuam, et possessionem tuam terminos terrae. 13. *De caelo respexit Dominus, vidit omnes filios hominum.* 14. *De praeparato habitaculo suo respexit super omnes, qui habitant terram.* Haec et in decimo tertio psalmo dixit, idem vaticinatus. Et quoniam dixit, *respexit*, ne quis opinetur ipsum ignorare ea, quae

Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ 1) εἰς γενεὰν καὶ γενεάν. Διπλῆν ἔχει τὴν ἑρμηνείαν τὰ εἰρημένα· οὐ γὰρ μόνον τῶν Ἀσσυρίων, καὶ τοῦ Σενναχηρεὶμ, καὶ τοῦ Ῥαψάκου διεσκέδασε τὰς βουλὰς· καὶ τῆς οἰκείας βουλῆς τὴν δύναμιν, καὶ τὴν ἀλήθειαν ἔδειξεν· ἀλλὰ καὶ τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν τὰς κατὰ τῶν ἀποστόλων ἐπαναστάσεις διέλυσε, καὶ τῆς οἰκείας δυνάμεως τὸ κράτος δῆλον πεποίηκεν ἅπασι· 2) τοῦτο γὰρ ὁ προφητικὸς ᾐνίξατο λόγος, εἰπὼν, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. 3) τῶν δύο γενεῶν ἡ μνήμη διδάσκει καὶ τὰ τηνικαῦτα γενόμενα, καὶ τὰ μετὰ ταῦτα ἐσόμενα. ιβ΄. Μακάριον τὸ ἔθνος, οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ· λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ. Δεῖ, φησὶ, μακαρίζειν, οὐ τοὺς πλούτῳ κομῶντας, ἀλλὰ τοὺς τῷ Θεῷ πεποιθότας, καὶ τῆς παρ' αὐτοῦ ῥοπῆς ἀπολαύοντας· ἐκλεκτὸς δὲ λαὸς κληρονομία Θεοῦ προσαγορευόμενος, πάλαι μὲν ὁ Ἰουδαϊκὸς, μετὰ δὲ ταῦτα, ὁ ἐκ τῶν ἐθνῶν ἐκλεγεὶς, καὶ τῆς πίστεως τὰς ἀκτῖνας 4) δεχόμενος· αἴτησαι γάρ φησι, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ιγ΄. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. ιδ΄. 5) Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. 6) Ταῦτα καὶ ἐν τῷ τρίτῳ καὶ δεκάτῳ ἔφη ψαλμῷ, τὴν αὐτὴν ποιούμενος πρόῤῥησιν. καὶ ἐπειδὴ εἶπεν ἐπέβλεψεν, ἵνα μή τις αὐτὸν ἀγνοεῖν οἰηθῇ τὰ

1) εἰς — γενεάν. Ita h. l. in Cod. *alex.* legitur. Cod. *vatic.* habet ἀπὸ γενεῶν εἰς γενεάς. 2) τοῦτο — ἐσόμενα. Def. apud CORD. p. 560. 3) τῶν. Cod. 1. 2. add. δέ. 4) Cod. 2. δεξάμενος. 5) ἐξ — αὐτοῦ. Aptior est *Symmachi* versio ἀπὸ ἑδραίας κατοικίας αὐτοῦ. 6) Ταῦτα — ἐπήγαγεν. Horum locum in Cod. *flor.* occupant ea quae ad sequentem versic. adposita sunt.

a) Ps. 2, 8.

τὰ παρὰ τῶν ἀνθρώπων τολμώμενα, εἰς καιρὸν ἐπήγαγεν· ιε΄. Ὁ πλάσας 1) κατὰ μόνας τὰς καρδίας αὐτῶν· ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν. Εἶπον φησὶν ἐπιβλέψαι τὸν τῶν ὅλων Θεὸν, οὐχ ὡς ἀγνοοῦντα, καὶ μαθεῖν ἐφιέμενον, ἀλλ' ὡς κρίνοντα, καὶ δικάζοντα. πῶς γὰρ οἷόν τε ἀγνοεῖν τῆς ψυχῆς τὰ κινήματα τὸν ταύτην πεποιηκότα; τὰς καρδίας γὰρ ἐπὶ 2) τοῦ λογικοῦ τέθεικεν. ιϛ΄. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. ιζ΄. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. 3) Δι' αὐτῶν μεμαθήκαμεν τῶν πραγμάτων, ὡς οὐ δεῖ θαῤῥεῖν, οὐ ῥώμῃ σώματος, οὐκ ἀνδρείᾳ ψυχῆς, οὐχ ἵππων ὀξύτητι, οὐχ ὑπηκόων πλήθει· ἐν τούτοις γὰρ ἅπασιν ὁ Σενναχηρεὶμ πλουτῶν, οὐδὲν ἐντεῦθεν ἀπώνατο, ἀλλὰ τὴν πανωλεθρίαν ἐδέξατο· τί οὖν ποιητέον, ὑπόδειξον ὦ προφῆτα. ιη΄. Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ. ιθ΄. Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν· καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Ἁπάντων, φησὶ, τῶν ἀγαθῶν πρόξενος ἡ εὐσέβεια· τὴν γὰρ θείαν προμήθειαν ἐφέλκεται, αὕτη δὲ καὶ θάνατον τὸν ἐπιόντα κωλύει, καὶ 4) ἔνδειαν· χαρίζεται 5) δὲ τῶν ἀγαθῶν τὴν φοράν· 6) εἰκὸς δὲ ἐπὶ τῆς πολιορκίας ἐκείνης, ἐν σπάνει γενέσθαι τῶν ἀναγκαίων τοὺς 7) καθειργμένους. εἶτα τῷ τῶν πολεμίων ὀλέθρῳ καὶ ταύτης ἀπαλλαγῆναι τῆς συμφορᾶς. κ΄. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ· ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστίν.

ab hominibus perpetrantur, opportune subdidit, 15. *Qui finxit sigillatim corda eorum, qui intelligit omnia opera eorum.* * Dixi, inquit, Deum vniuersorum de cælo respicere, non tanquam ignorantem, et discere cupientem, verum vt dicentem ius, et iudicantem. Quomodo enim potest fieri, vt qui animam fecit, eius motus ignoret? *Corda* enim pro *ratione* posuit. 16. *Non saluatur rex per multam virtutem, et gigas non saluabitur multitudine virtutis suæ.* 17. *Fallax equus ad salutem, abundantia autem virtutis suæ non saluabitur.* Ex rerum euentu didicimus, non esse confidendum corporis robori, non animi fortitudini, non equorum velocitati, non subditorum multitudini: omnibus enim his Sennacherib affluens, nihil adiumenti inde percepit, verum extremam perniciem passus est. Quid igitur faciendum est, o propheta? demonstra. 18. *Ecce oculi Domini super metuentes eum, et in eis, qui sperant super misericordia eius.* 19. *Vt eruat a morte animas eorum, et alat eos in fame.* Omnium, inquit, bonorum pietas est conciliatrix: nam diuinam opem ad se attrahit, et ipsa mortem imminentem prohibet, atque inopiam, largitur autem bonorum affluentiam. Ceterum verisimile est, obsidione illa obsessos in egestate rerum necessariarum fuisse, deinde ob hostium internecionem ab hac calamitate liberatos esse. 20. *Anima autem nostra exspectabit Dominum, quoniam adiutor et protector noster est.*

1) κατὰ μόνας. *Aqu.* et Edit. *quinta*, ἅμα. 2) τοῦ λογικοῦ. Cod. *flor.* τῶν λογισμῶν. 3) Cod. *flor.* Διὰ τούτων. 4) ἔνδειαν. Cod. 1. habet ἐνδείᾳ, omisso Colo, ita vt cum sequentibus cohæreat. Haud multum differt lectio CORD. p. 561. ἐν ἐνδείᾳ. 5) δὲ. Abest a Cod. 1. et apud CORD. l. c. 6) εἰκὸς — συμφορᾶς. Def. apud CORD. l. c. 7) Cod. 2. καθειρχθέντας.

21. *Quia in eo lætabitur cor nostrum, et in nomine sancto eius sperauimus.* Cum igitur tot tantaque bona consecuti simus, firmam in Deo spem habemus, et ab ipso semper auxilium exspectabimus: ipse enim nobis præsentem lætitiam largitus est. Deinde cum dixisset, *Quoniam in nomine sancto eius sperauimus*, obsecrat, vt consequatur misericordiam æqualem spei. Dicit enim: 22. *Fiat misericordia tua Domine super nos, quemadmodum sperauimus in te.* Sermo autem hic est summæ fiduciæ, et insolens hominibus huius seculi. Quis enim sic sperauit, vt audacter dicat, metire misericordiam mea spe? Hoc quidem et sacris in euangeliis Dominus docuit, a) Qua mensura mensi fueritis, iterum mensurabitur vobis. Spem igitur perfectam et * sinceram possideamus, et reliquam vitam spei conformem agamus, vt multam misericordiam consequamur.

κα'. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν· καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. Τοσούτων τοίνυν ἀγαθῶν ἀπολαύσαντες, βεβαίαν ἔχομεν εἰς τὸν Θεὸν τὴν ἐλπίδα καὶ τὴν παρ' αὐτοῦ βοήθειαν προσμένουμεν ἀεί. αὐτὸς γὰρ ἡμῖν καὶ τὴν παροῦσαν θυμηδίαν δεδώρηται· εἶτα εἰρηκὼς ὅτι ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν, ἱκετεύει λαβεῖν ἰσόμετρον τῇ ἐλπίδι τὸν ἔλεον. κβ'. Γένοιτο 1) (γάρ φησι) Κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Παῤῥησίας δὲ μεγίστης ὁ λόγος, καὶ τοῖς καθ' ἡμᾶς 2) τολμηρός· τίς γὰρ οὕτως ἤλπισεν, ὡς 3) θαῤῥαλέως εἰπεῖν, τῇ ἐμῇ ἐλπίδι τὸν ἔλεον μέτρησον; 4) τοῦτο μέντοι καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὁ Δεσπότης ἐδίδαξεν· ᾧ μέτρῳ μετρεῖτε 5) ἀντιμετρηθήσεται ὑμῖν· 6) καὶ τὴν ἐλπίδα τοίνυν τελείαν καὶ γνησίαν κτησώμεθα, καὶ τὸν ἄλλον βίον τῇ ἐλπίδι κατάλληλον, ἵνα ἔλεον πολὺν καρπωσώμεθα.

INTERP. PSALMI XXXIII.

1. *Psalmus Dauidi, quando mutauit faciem suam coram Abimelecho, et dimisit illum, et abiit.* Cum diuinus Dauid acerbum illud Saulis propositum & inuidiam perspexisset, admirabilis Ionathæ consilio vsus aufugit, et Nobem ciuitatem peruenit. Hic

ΕΡΜΗΝ. ΤΟΥ λγ' ΨΑΛΜΟΥ.

α'. Τῷ Δαβίδ, 7) ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον 8) Ἀβιμέλεχ, 9) καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν. Τοῦ Σαοὺλ τὴν πικρὰν γνώμην καὶ βάσκανον θεασάμενος ὁ θεῖος Δαβίδ, καὶ συμβούλῳ χρησάμενος τῷ θαυμασίῳ Ἰωνάθαν, ἀπέδρα, καὶ 10) Νομβὰν τὴν πόλιν κατέλαβεν. ἐκεῖ τοίνυν

1) γάρ φησι. Abest a Cod. 2. 2) τολμηρός. Cod. 1. τολμίας (leg. esse videtur τόλμης) ἀνώτερος. 3) Cod. 3. θαρσαλέως. 4) τοῦτο — ὑμῖν. Des. apud CORD. 5) Cod. 3. μετρηθήσεται. 6) καὶ τὴν κ. λ. Des. in Cod. 3. 7) Cod. 1. ὅτε. 8) Ἀβιμέλεχ. Quidam libri veteres 1 Reg. c. 21. habent Ἀχιμέλεχ. Alia est diuersitas Marc. 2, 26. vbi Abiathar vocatur. Fuerunt quoque qui eum permutarunt cum rege Achis, cuius 1 Reg. c. 28. mentio iniicitur. Vid. EVSEB. ad h. l. 9) καὶ ἀπέλυσε — ἀπῆλθεν. Des. in Cod. 1. 2. 10) Νομβάν. Codex *vatic.* 1 Reg. 21, 1. habet Νομβᾶ. Cod. *alex.* autem et quidam libri impressi, Νοβᾶ.

a) Matth. 7, 1.

τοίνυν Ἀβιμέλεχ τῷ ἱερεῖ συγγενόμενος, 1) ἔκρυψε τὴν φυγὴν, ἀπεστάλθαι δὲ 2) εἴρηκεν ὑπὸ τοῦ βασιλέως εἴς τινα χρείαν σπουδαίαν, καὶ ζητήσας ἄρτους, ἑτέρους μὲν οὐχ εὗρε, μόνους δὲ τοὺς τοῖς ἱερεῦσιν 3) ἀπονενεμημένους, καὶ τούτους ἔλαβεν, δεδωκότος τοῦ ἱερέως παρὰ τὸ δόγμα τοῦ νόμου. μόνοις γὰρ τοῖς ἱερεῦσιν ἀπονενέμητο ἡ τοιαύτη τροφή· ἀλλ᾽ ὅμως 4) προδιεγράφη τῆς χάριτος τὰ μυστήρια, καὶ προανεῴγει τοῖς πιστεύουσι τῆς θείας φιλοτιμίας ἡ θύρα· οὐκ ἔτι γὰρ μόνοις τοῖς ἱερεῦσιν ἀφώρισται ἡ θεία τροφὴ, ἀλλὰ πρόκειται τοῖς βουλομένοις ἡ 5) τῶν θείων μετάληψις· ἔλαβε μέντοι κατ᾽ ἐκεῖνον τὸν καιρὸν ὁ μέγας Δαβὶδ καὶ τοῦ Γολιὰθ τὴν ῥομφαίαν, ἣν ὥσπερ ἀκροθίνιον ἐξ ἐκείνης τῆς παρατάξεως ἀνέθηκε τῷ 6) Θεῷ· Ἀβιμέλεχ δὲ τὸν 7) Ἀβιάθαρ 8) προσηγόρευσε, ὡς διώνυμον· ἐπειδὴ τοίνυν φεύγων, οὐκ ἐγνώρισε τῷ ἱερεῖ τὴν φυγὴν, ἀλλὰ βασιλικὴν ἔφη χρείαν ἐξανύειν 9) τινὰ, ἠλλοιῶσθαι τὸ πρόσωπον λέγεται, ὡς μὴ τῇ συνήθει χρησάμενος ἀληθείᾳ, 10) „ἕτερον δὲ πρόσωπον ἀντὶ τοῦ εἰωθότος „ἀνειληφώς.„ τινὲς δὲ τῶν συγγραφέων ἑτέραν ἔδωκαν ὑπόθεσιν τῷ ψαλμῷ 11) ἔφασαν γὰρ ἠλλοιωκέναι τὸ πρόσωπον τὸν Δαβὶδ, ἡνίκα πρὸς τὸν Ἀγχοὺς εἰσελήλυθεν. εἶτα φοβηθεὶς τὰς τῶν ἀλλοφύλων ἐπιβουλὰς, κορυβαντιᾷν ἐσκήψατο, καὶ τούτῳ τῷ τρόπῳ τῆς σωτηρίας τετύχηκεν. ἀλλ᾽ οὐδεμίαν ἔχει πρὸς τήνδε τὴν ὑπόθεσιν τοῦ ψαλμοῦ συμφωνίαν τὰ ῥήματα· ἁρμόττει δὲ τοῖς εἰρημένοις, ὡς αὐτίκα σὺν Θεῷ φᾶναι

igitur cum esset congressus cum Abimelech sacerdote, fugam occuluit, missum autem se esse dixit a rege ob quoddam serium negotium. Et cum panes quæsiuisset, nec alios inuenisset, quam solos sacerdotibus repositos, et hos accepit, præbente sacerdote contra praeceptum legis: nam solis sacerdotibus talis cibus tribuebatur. Veruntamen gratiæ mysteria adumbrabantur, et ianua diuinæ liberalitatis credentibus reserata est: quandoquidem non amplius solis sacerdotibus diuinus cibus destinatus est, sed diuinorum communicatio volentibus omnibus proponitur. Accepit quidem eo tempore magnus Dauid et Goliathi gladium, quem tanquam opima spolia ex illo conflictu Deo consecrauit. Abimelechum autem Abiatharem nominauit, tanquam geminum nomen habentem. Quoniam igitur fugiens sacerdoti fugam minime significauit, sed regium quoddam negotium se perficere dixit, *mutasse faciem* dicitur, tanquam solita veritate minime vsus, „ sed aliam, quam agere so„lebat, personam simulans. „ Porro aliqui scriptores aliud argumentum dederunt huic psalmo. Dixerunt enim, Dauidem faciem mutasse, quando ad regem Anchus accessit a), deinde cum alienigenarum insidias timeret, insaniam simulauit, et hoc modo saluti consuluit. Verum nullam conuenientiam cum hoc sensu verba psalmi habent: respondent autem iis, quæ paulo ante dicta sunt, vt illico Deo fauente demon-

1) ἔκρυψε. Cod. 1. 2. addunt μὲν. 2) Cod. 2. εἰρηκέναι. 3) Cod. 2. ἀπονεμημένους. 4) Cod. 1. 2. προδιαγράφει. 5) τῶν θείων. Cod. 2. θεῖα. 6) Θεῷ. Cod. 1. Κυρίῳ. 7) Ἀβιάθαρ. Cod. 2. Ἀχιμέλεχ. 8) προσηγόρευσε. Abiathar vocatur Marc. c. 2, 26. 9) τινά. Abest a Cod. 1. 10) E Cod. 1. et 2. suppl. 11) ἔφασαν γὰρ κ. λ. Contra hos disputat EVSEB. ad h. l. a) 1 Reg. 21.

demonstrabitur. 2. *Benedicam Domino omni tempore, semper laus eius in ore meo.* Et fugiens, inquit, et persequens, et in secundis rebus, et in aduersis, meum Dominum laudo. 3. *In Domino laudabitur anima mea.* Ipse et illustrem me fecit, et conspicuum reddet. *Audiant mansueti et lætentur.* 4. *Magnificate Dominum mecum, et exaltemus nomen eius pariter.* Non solus hymnum contexere vult, sed eis, qui eiusdem mansuetudinis participes sunt, hymnorum cantum communicat. Deinde huius gratiarum actionis causam demonstrat. 5. *Exquisiui Dominum, et exaudiuit me, et ex omnibus tribulationibus meis eripuit me.* Supplicaui, ait, ipsi, et calamitates superaui. 6. *Accedite ad eum, et illuminamini, et facies vestræ non confundentur.* Qui enim cum fide ad ipsum accedit, spiritualis lucis radios suscipit. Sic et magni Mosis facies externa gloriosa reddita est. Et hoc magnus Dauid superius dixit, a) Signatum est super nos lumen vultus tui Domine. Sic adhortatus huiusmodi homines, se ipsum exemplar ipsis proposuit. 7. *Iste pauper clamauit, et Dominus exaudiuit eum, et de omnibus tribulationibus illius saluauit eum.* Ex rebus meis, inquit, discite Deo vniuersorum confidere. Cum enim vilis et ouium pastor essem, sua pro-

δειχθήσεται. 1) β΄. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ· διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Καὶ φεύγων, φησὶ, καὶ διώκων, καὶ ἐν εὐκληρίᾳ καὶ δυσκληρίᾳ, τὸν ἐμὸν Δεσπότην ὑμνῶ. γ΄. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. Αὐτὸς ἐμὲ καὶ πεποίηκε περιφανῆ, καὶ ποιήσει περίβλεπτον. ἀκουσάτωσαν πρᾳεῖς καὶ εὐφρανθήτωσαν. δ΄. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ 2) ἐπὶ τὸ αὐτό. Οὐκ 3) ἀνέχεται μόνος ὑφῆναι τὸν ὕμνον, ἀλλὰ τοὺς κοινωνοὺς τῆς πρᾳότητος κοινωνοὺς ποιεῖται τῆς ὑμνῳδίας· εἶτα τῆς εὐχαριστίας ὑποδείκνυσι τὴν 4) αἰτίαν. ε΄. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν 5) θλίψεών μου ἐῤῥύσατό με. Ἱκέτευσά φησιν αὐτὸν, καὶ κρείττων ἐγενόμην τῶν συμφορῶν. ϛ΄. 6) Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Ὁ γὰρ μετὰ πίστεως αὐτῷ προσιὼν, φωτὸς ἀκτῖνας δέχεται νοεροῦ· οὕτω καὶ 7) Μωσῆς ὁ μέγας τὸ ὁρώμενον πρόσωπον ἐδοξάσθη· τοῦτο 8) καὶ ἤδη προείρηκεν ὁ 9) Δαβίδ· ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. 10) οὕτω προτρέψας τοὺς ὁμοτρόπους, 11) ἀρχέτυπον αὐτοῖς 12) προτίθησιν ἑαυτόν. ζ΄. Οὗτος ὁ πτωχὸς ἐκέκραξε· καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ· καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. Μάθετέ φησιν ἐκ τῶν κατ᾽ ἐμὲ, θαῤῥεῖν τῷ τῶν ὅλων Θεῷ· εὐτελῆ 13) γὰρ ὄντα με καὶ προβατέα, τῆς οἰκείας

1) Alii de Ezechia hæc explicare voluerunt. Vid. CORD. p. 588. 2) ἐπὶ τὸ αὐτό. *Aqu.* ὁμοθυμαδόν. 3) Cod. 2. ἀνέχομαι. 4) αἰτίαν. Cod. 2. addit ἐπήγαγεν. 5) θλίψεων. Ita leg. in Cod. *alex.* sed Cod. *vatic.* habet παροικιῶν. 6) προσέλθετε. Præstat versio *Aquilæ* ἀποβλέψατε. 7) Cod. 1. 2. Μωϋσῆς. 8) καὶ ἤδη. Abest a Cod. 2. 9) Δαβίδ. Cod. 1. 2. præm. μέγας. 10) οὕτω — ἑαυτόν. Des. in Cod. 2. 11) ἀρχέτυπον. Cod. 1. ἄρχεται τύπου. 12) Cod. 1. προτιθείς. 13) γάρ. Abest a Cod. 2. a) Ps. 4, 6.

κείας προμηθείας ἠξίωσε, καὶ κρείττονα τῶν πολεμούντων ἀπέφηνεν. η'. Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, 1) καὶ ῥύσεται αὐτούς. Τούτοις συμφωνεῖ καὶ τοῦ ἀποστόλου τὰ ῥήματα· περὶ γὰρ τῶν ἀγγέλων οὕτω φησίν· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; οὕτω καὶ ὁ 2) μακάριος Ἰακὼβ προσευχόμενος ἔφη· ὁ ἄγγελος ὁ 3) ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. οὕτω καὶ ὁ πατριάρχης Ἀβραὰμ πρὸς τὸν θαυμάσιον οἰκέτην ἔφη, Κύριος ὁ Θεὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν. οὕτως ὁ 4) μακάριος 5) λέγει Ζαχαρίας, ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί. θ'. Γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος, μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ' αὐτόν. Εἰρηκὼς προσέλθετε 6) πρὸς αὐτὸν καὶ φωτίσθητε, προτρέπει καὶ γεύσασθε. τῇ πείρᾳ, φησὶ, μάθετε τὴν ἀγαθότητα τοῦ Δεσπότου· μακαρισμὸν 7) γὰρ ἐντεῦθεν 8) τρυγήσετε. ἰστέον μέν τοι ὡς τοῖς πάλαι Ἰουδαίοις ἡ εἰρημένη ἁρμόττει διάνοια. ὁ δέ γε ἐν τῷ βάθει 9) τοῦ γράμματος κρυπτόμενος νοῦς, τῶν θείων μυστηρίων τὴν χάριν αἰνίττεται· διὰ γὰρ τοῦ παναγίου βαπτίσματος ὁ ἀληθὴς φωτισμὸς τοῖς προσιοῦσι προσγίνεται, καὶ τῆς ζωοποιοῦ τροφῆς ἡ γεῦσις τὴν ἀγαθότητα τοῦ σωτῆρος δείκνυσιν ἐναργῶς. τί γὰρ οὕτως αὐτοῦ 10) σαφῶς τὴν φιλανθρωπίαν

pria prouidentia me dignatus eſt, et hoſtibus ſuperiorem reddidit. 8. *Caſtra metabitur Angelus Domini in circuitu timentium eum, et eripiet eos.* Verba Apoſtoli his conſonant. De Angelis enim ſic dicit, *a*) Nonne omnes ſunt adminiſtratorii ſpiritus in miniſterium miſſi, propter eos, qui hereditatem capturi ſunt ſalutis? Sic et beatus Iacob deprecans ait, *b*) Angelus, qui liberat me ex omnibus malis. Sic et patriarcha Abraham admirabili ſeruo dixit, *c*) Dominus Deus mittet Angelum ſuum ante faciem tuam, et ſumes inde vxorem filio meo Iſaac. Sic beatus Zacharias dicit, *d*) Angelus, qui in me loquebatur. 9. *Guſtate, et videte, ſuauem eſſe Dominum; beatus vir, qui ſperat in eo.* Cum dixiſſet, *Accedite ad eum et illuminamini*, hortatur, *et guſtate.* Experientia, inquit, diſcite bonitatem Domini: nam hinc beatitudinem acquiretis. Sciendum eſt autem, antiquis Iudæis hunc ſenſum, quem diximus, congruere. Senſus autem, qui * in profunditate literæ latet, diuinorum myſteriorum gratiam innuit. Nam per ſanctum baptiſma vera illuminatio accedentibus acquiritur, et vitalis cibi guſtus bonitatem ſaluatoris manifeſto oſtendit. Quid enim ſic dilucide eius benignitatem oſten-

1) καὶ — αὐτούς. Deſ. in Cod. 1. 2) μακάριος. Cod. 2. θεῖος. 3) Cod. 2. ῥυσάμενος. 4) μακάριος. Cod. 2. θεῖος. 5) λέγει. Abeſt a Cod. 2. 6) πρὸς — φωτίσθητε. Deſ. in Cod. 1. 2. 7) γάρ. Abeſt a Cod. 2. 8) Cod. 2. et CORD. p. 605. τρυγήσατε. 9) τοῦ γράμματος. Abeſt a Cod. 1. 10) σαφῶς. Abeſt a Cod. 1. In Cod. 2. ponitur poſt οὕτως.

a) Hebr. 1, 14. *b*) Gen. 48, 16. *c*) Gen. 24, 7. *d*) Zach. 1, 9.

dit, vt crux, et passio, et mors pro nobis suscepta, et quod ipse suarum ouium cibus simul et fons factus sit? 10. *Timete Dominum omnes sancti eius, quoniam non est inopia timentibus eum.* 11. *Diuites eguerunt, et esurierunt: quærentes autem Dominum non minuentur omni bono.* Hæc autem pariter iis, quæ superius dicta sunt, consonant. Admonet enim eos, qui per baptisma sanctimoniam acceperunt, vt timore amorem temperent, et bonorum affluentiam a solo Deo exspectent. Diuitiæ enim multas habent vicissitudines, et qui hodie diues est, paulo post in inopiam incidit. Et Iudæi, cum olim Dei gubernatione ditati essent, pauperes facti sunt, „et fame laborarunt, cum non „crediderint.„ Gentes vero, quæ crediderunt, bonorum affluentiam a Deo acceperunt. 12. *Venite filii, audite me, timorem Domini docebo vos.* 13. *Quis est homo, qui vult vitam, diligit dies videre bonos?* Postquam proposuit, tanquam præmium quoddam amatu dignum, vitam dolore carentem, et maxime desiderabilem, ad certamina adhortatur. 14. *Cobibe linguam tuam a malo, et labia tua, ne loquantur dolum.* 15. *Diuerte a malo, et fac bonum, inquire pacem, et sectare eam.* Primum dissuadet malitiam, deinde sic virtutis species sectari iubet. Primum quidem monet, vt linguam, veluti labile membrum, omni dolo et iniquitate purgemus: linguæ vero

ὑποδείκνυσιν, ὡς 1) ςαυρὸς, καὶ τὸ πάθος, καὶ ὁ ὑπὲρ ἡμῶν γενόμενος θάνατος, καὶ τὸ γενέσθαι τῶν οἰκείων προβάτων τροφὴν ὁμοῦ, καὶ πηγήν; ί. Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔςιν ὑςέρημα τοῖς φοβουμένοις αὐτόν. ια΄. Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Σύμφωνα δὲ καὶ ταῦτα τοῖς 2) ἄνω ῥηθεῖσι· παραινεῖ γὰρ τοῖς ἤδη 3) τὸν ἁγιασμὸν διὰ τοῦ βαπτίσματος δεξαμένοις, φόβῳ τὴν ἀγάπην κεράσαι, καὶ τῶν ἀγαθῶν τὴν ἀφθονίαν 4) ἀναμένειν παρὰ 5) μόνου Θεοῦ. ὁ γὰρ πλοῦτος πολλὰς ἔχει μεταβολάς· καὶ ὁ σήμερον πλούσιος, εἰς πενίαν μετ' ὀλίγον μετέπεσε· καὶ Ἰουδαῖοι δὲ πάλαι τοῦ Θεοῦ τὴν κηδεμονίαν πλουτήσαντες, ἐπτώχευσαν, 6) „καὶ ἐπείνασαν ἀπιςήσαντες·„ τὰ δὲ πιςεύσαντα ἔθνη, παρὰ τοῦ Θεοῦ τῶν ἀγαθῶν τὴν ἀφθονίαν 7) ἐδέξατο. ιβ΄. Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. ιγ΄. Τίς ἐςιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Καὶ προτεθεικὼς, οἷόν τι ἆθλον ἀξιέραςον, τὴν ζωὴν τὴν ἄλυπον, καὶ τὴν τριπόθητον, ἐπὶ τοὺς ἀγῶνας προτρέπει. ιδ΄. Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. ιε΄. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Πρότερον ἀποτρέπει κακίας, εἶθ' οὕτω τὰ 8) εἴδη τῆς ἀρετῆς μετιέναι κελεύει· καὶ πρῶτον μὲν τὴν γλῶτταν, ὡς εὐόλισθον μόριον, καθαρεύειν παντὸς δόλου καὶ πονηρίας παρεγγυᾷ· τῇ γλώττῃ δὲ

τὰ

1) ςαυρός. Cod. 1. 2. præm. ὁ. 2) ἄνω ῥηθεῖσι. Cod. 1. ἄνωθεν ῥηθεῖσι. Cod. 2. ἄνω θεωρηθεῖσι. 3) τόν. Abest a Cod. 1. 4) Cod. 1. 2. προσμένειν. 5) μόνου. Cod. 2. præm. τοῦ. 6) E Cod. 1. 2. suppl. 7) Cod. 1. 2. ἐδέξαντο. 8) εἴδη. Abest a Cod. 1. 2.

τὰ χείλη συνάπτει, ὡς καὶ αὐτὰ συνεργοῦντα τοῖς ἐκείνης κινήμασι· δεύτερον 1) τῆς κακίας ἀπαγορεύει τὴν πρᾶξιν· ἔκκλινον γάρ φησιν ἀπὸ κακοῦ. 2) εἶτα τὴν ἀγαθὴν ἐνέργειαν νομοθετεῖ. ποίησον 3) γάρ φησιν ἀγαθόν. τί δὲ τὸ κεφάλαιον τῶν ἀγαθῶν; ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν· ὁ γὰρ εἰρηνικὸς εἰρήνην πρὸς ἅπαντας ἀσπαζόμενος, οὔτε 4) κρύβδην τὰ τοῦ πέλας ὑφαιρεῖται· οὐ μιαιφονίας κατατολμᾷ, οὐ γάμοις ἐπιβουλεύει, οὐ λέγει κακῶς, οὐ πράττει κακῶς· εὐεργετεῖ, προμηθεῖται, μεταδίδωσι, συνηγορεῖ, συγκινδυνεύει, συναγωνίζεται· τοιαύτη γὰρ ἡ εἰλικρινὴς ἀγάπη, καὶ γνησία φιλία. εἶτα πάλιν δείκνυσι τὸν τούτων καρπόν. ιϛ'. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. 5) Ἐποπτεύονται γάρ φησιν οἱ ταῦτα δρῶντες ὑπὸ τοῦ Δεσπότου Θεοῦ, καὶ αἰτοῦντες ἀγαθὰ τυγχάνουσι τῶν αἰτήσεων. ἔπειτα ἀπὸ τοῦ ἐναντίου τὰ εἰρημένα κρατύνει. ιζ. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ὁρᾷ δέ φησι καὶ τοὺς τἀναντία τολμῶντας, καὶ τῆς πανωλεθρίας κατ' αὐτῶν ἐκφέρει τὴν ψῆφον. ιη'. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν· καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. ιθ'. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις 6) τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πάρεστί φησι τοῖς δικαίοις ὁ Δεσπότης, καὶ τὰς τούτων ἀσμένως δέχεται προσευχάς. διαφερόντως δὲ κήδεται τῶν μετρίῳ φρονήματι κεχρημένων· τούτους γὰρ τῇ καρδίᾳ

labia connectit, vt quae cum eius motibus concurrant. Deinde mali perpetrationem prohibet, *Declina enim*, inquit, *a malo.* Tum bona opera praecipit, dicens *Fac bonum.* Quaenam vero est summa bonorum operum? *Quaere pacem, et sectare eam.* Nam qui pacificus homo est, pacem in omnes amplectitur, nec occulte ea, quae sunt proximi, subtrahere quaerit, nec caedes patrat, * nec nuptiis insidiatur, nec verbo laedit, nec facto: benefacit, consulit, aliis impertit, defendit, simul periclitatur, simul certat. Talis enim est vera charitas, et sincera amicitia. Deinde rursus horum fructum ostendit. 16. *Oculi Domini super iustos, et aures eius in preces eorum (intentae sunt).* Qui, inquit, haec faciunt, a Domino Deo respiciuntur, et postulantes bona, suas petitiones obtinent. Deinde ex contrario quae dicta erant confirmat. 17. *Vultus autem Domini super facientes mala, vt perdat de terra memoriam eorum.* Adspicit, ait, etiam eos, qui contraria committere audent, et mortis sententiam contra ipsos pronunciat. 18. *Clamauerunt iusti, et Dominus exaudiuit eos, et ex omnibus tribulationibus eorum liberauit eos.* 19. *Propinquus est Dominus his qui contriti sunt corde, et humiles spiritu saluabit.* Adest, inquit, iustis Dominus, et eorum preces libenter admittit: praecipue autem curat eos, qui modesta sunt mente. Hos enim *corde*

 con-

1) τῆς. Cod. 1. praem. δέ. 2) εἶτα — νομοθετεῖ. Cod. 1. habet tantum καί. 3) γάρ φησιν. Abest a Cod. 1. 4) κρύβδην. Cod. 2. κρύφα. 5) Cod. 2. ὑποπτεύονται. 6) Rec. lectio h. l. est τὴν καρδίαν.

contritos nuncupauit. Hoc autem et in alio psalmo dicit, a) Cor contritum et humiliatum Deus non despiciet. 20. *Multae sunt tribulationes iustorum, sed ex omnibus his liberabit eos Dominus.* 21. *Custodit Dominus omnia ossa eorum, vnum ex his non conteretur.* Etenim sinit quidem ipsos in afflictionum palaestram descendere, subuenit autem, et ingruentium calamitatum victores reddit, corroborans et solidas reddens eorum cogitationes, quas *ossa* appellauit. Vt enim per ossa tanquam solida reliquum corpus sustentatur: sic per cogitationes anima salutem consequitur. 22. *Mors peccatorum mala, et qui oderunt iustum delinquent.* 23. *Redimet Dominus animas seruorum suorum, et non delinquent omnes, qui sperant in eo.* Qui igitur virtutis studiosi sunt, tantis bonis fruentur. Qui vero vitiis sunt dediti, finem recipient suae vitae congruentem, et malos mores malus finis *terminabit. Ceterum qui Deum colere statuerunt, quique spem suam in eo collocarunt, ab ipso salutem consequentur: quippe qui noluerunt penitus delinquere in leges ab eo positas.

συντετριμμένους ἐκάλεσε. τοῦτο δὲ καὶ ἐν ἑτέρῳ λέγει 1) ψαλμῷ· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. κʹ. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. καʹ. Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Συγχωρεῖ μὲν 2) γὰρ αὐτοὺς εἰς τὸ τῶν θλίψεων κατιέναι γυμνάσιον· ἐπαρκεῖ δὲ, καὶ κρείττους ἀποφαίνει τῶν προσπιπτουσῶν συμφορῶν, κρατύνων αὐτῶν τοὺς λογισμοὺς, 3) καὶ στεγανοὺς ἐργαζόμενος· ὀστᾶ 4) γὰρ τοὺς λογισμοὺς ἀπεκάλεσε· καθάπερ γὰρ 5) ὑπὸ τῶν ὀστῶν, 6) ὡς στερεμνίων, τὸ λοιπὸν φέρεται σῶμα· οὕτω διὰ τῶν λογισμῶν ἡ ψυχὴ τὴν σωτηρίαν καρποῦται. κβʹ. 7) Θάνατος ἁμαρτωλῶν πονηρός· καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν. κγʹ. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτόν. Οἱ μὲν οὖν τῆς ἀρετῆς 8) ἐρασταὶ, τοσούτων ἀγαθῶν 9) ἀπολαύσουσιν· οἱ δὲ πονηρίᾳ συζῶντες προσφυᾶ δέξονται τὴν τελευτὴν 10) τῇ ζωῇ· καὶ πονηρᾶς βιοτῆς πονηρὸν ἔσται τὸ τέλος. οἱ δὲ τοῦ Θεοῦ τὴν θεραπείαν ἑλόμενοι, καὶ τὴν εἰς αὐτὸν ἐλπίδα κτησάμενοι, τῆς παρ᾽ αὐτοῦ τεύξονται σωτηρίας· ἅτε δὴ πλημμελῆσαι παντελῶς εἰς τοὺς ὑπ᾽ αὐτοῦ τεθέντας οὐκ ἀνασχόμενοι νόμους.

1) ψαλμῷ. Abest a Cod. 2. 2) γάρ. Cod. 2. καί. 3) καὶ — ἐργαζόμενος. Cod. 2. ὅθεν καί. 4) γὰρ τοὺς λογ. Des. in Cod. 2. 5) ὑπό. Cod. 1. 2. ἐπί. 6) ὡς. Cod. 2. ὥσπερ. 7) Θάνατος — πονηρός. Hebr. תמותת רשע רעה *Interficiet malum malitia.* Ita quoque *Syrus.* 8) ἐρασταί. Cod. 1. ἐργάται, adscripta tamen lectione altera. 9) Cod. 1. 2. ἀπολαύουσιν. 10) Cod. 2. τῆς ζωῆς.

a) Ps. 50, 17.

ΕΡΜΗΝ. ΤΟΥ λδʹ ΨΑΛΜΟΥ.

Ψαλμὸς τῷ Δαβὶδ. Καὶ τοῦτον ὡσαύτως τὸν ψαλμὸν εἴρηκεν ὁ 1) μακάριος Δαβὶδ, ὑπὸ τοῦ Σαοὺλ διωκόμενος· μέμνηται δὲ καὶ τῆς τοῦ Δωὴκ πονηρίας. αὐτὸς γὰρ ἐμήνυσε τῷ Σαοὺλ τὰ κατὰ τὸν 2) Ἀβιμέλεχ τὸν ἱερέα, καὶ πρόξενος τῆς πολλῆς ἐκείνης μιαιφονίας ἐγένετο· μέμνηται δὲ καὶ τῶν Ζιφαίων, καὶ τῶν ἄλλων, οἳ τῷ Σαοὺλ τὸν Δαβὶδ κατεμήνυον, ὡς αὐτὰ διδάξει τὰ ῥήματα. αʹ. Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με· πολέμησον τοὺς πολεμοῦντάς με. Καλὴ τῶν εἰρημένων ἡ τάξις, καὶ τῇ τοῦ δικαίου πρέπουσα 3) εὐχῇ. ᾔτησε γὰρ πρότερον δικάσαι τὸν τῶν ὅλων Θεὸν, 4) εἶθ᾽ οὕτως 5) ἐπαγαγεῖν τῆς τιμωρίας τὴν ψῆφον. βʹ. Ἐπιλαβοῦ ὅπλου, καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. γʹ. 6) Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με. Πολέμου μνημονεύσας, ἀναγκαίως καὶ τῶν ὅπλων τὰ εἴδη προστέθεικε, τῷ σχήματι 7) τῆς πανοπλίας 8) ἐκδειματῶν τοὺς πονηρία συζῶντας. οὐδὲ γὰρ 9) τοσούτοις 10) ὅπλοις 11) ἐκέχρητο ὁ Θεὸς κολάζων τοὺς ἀδικοῦντας· ἀρκεῖ δὲ αὐτῷ λόγος εἰς τιμωρίαν ἐσχάτην. εἶπον τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ. ἀρκεῖ μοι ὁ σὸς λόγος εἰς σωτηρίαν. ἐπειδὴ γὰρ ὅπλων 12) ὁ προφήτης ἐμνημόνευσεν, εἰκότως 13) ἐδίδαξεν, ὡς οὐ χρῄζει 14) τοιούτων 15) ὑπουργῶν ὁ Θεός, ἀλλὰ λόγῳ μόνῳ

INTERP. PS. XXXIV.

Psalmus Dauidi. Hunc etiam psalmum eodem modo beatus Dauid protulit, cum Saulem fugeret. Meminit autem et malitiæ Doëgi. Ipse enim nuntiauit Sauli ea, quæ de Abimelecho sacerdote feruntur, et auctor fuit illius maximæ internecionis. Mentionem autem et Ziphæorum, et reliquorum facit, qui Dauidem Sauli indicarunt, vt ipsa verba docebunt. 1. *Iudica Domine eos qui iniuste agunt mecum, et pugna contra impugnantes me.* Pulcherrimus est verborum ordo, et precibus viri iusti conuenit. Petiit enim prius a Deo rerum omnium conditore, vt iudicaret, deinde sic sententiam supplicii proferret. 2. *Apprehende arma, et scutum, et exsurge in auxilium mihi.* 3. *Effunde gladium, et conclude ex aduerso eos, qui persequantur me.* Cum belli meminisset, necesse erat vt armorum quoque species apponeret, armaturæ specie exterrens homines inique viuentes. Neque enim Deus tot armis indiget, vt impios castiget: satis est enim ipsi solum verbum ad infligendam extremam pœnam. *Dic animæ meæ, salus tua ego sum.* Sufficit mihi tuus sermo, vt saluus sim. Quoniam enim armorum meminit propheta, merito docuit Deum ministris eiusmodi non indigere, sed verbo solo, et

1) *μακάριος.* Cod. 2. *θεῖος.* 2) Cod. 2. *Ἀχιμέλεχ.* 3) *εὐχῇ.* Cod. 1. 2. et *flor.* *προσευχῇ.* 4) *εἶθ᾽ οὕτως.* Cod. *flor.* *καὶ τότε.* 5) Cod. *flor.* *ἐπενεγκεῖν.* 6) *Ἔκχεον.* Præstat reliquorum Interpretum versio *γύμνωσον.* 7) *τῆς πανοπλίας.* Abest a Cod. *flor.* 8) *ἐκδειματῶν.* Cod. *flor.* *ἐκφοβῶν.* 9) *τοσούτοις.* Cod. 1. et *flor.* *τοιούτοις.* 10) Cod. 2. *ὅπλῳ.* 11) Cod. 1. 2. et *flor.* *κέχρηται.* 12) *ὁ προφήτης.* Abest a Cod. 2. 13) *ἐδίδαξεν.* Cod. *flor.* *ἐμνημόνευσεν.* 14) Cod. 1. 2. *τούτων.* 15) *ὑπουργῶν.* Cod. 2. *εἰς ὑπουργίαν.*

et illos suppliciis, et hos beneficiis afficere. 4. *Confundantur, et reuereantur quærentes animam meam. Auertantur retrorsum, et confundantur cogitantes contra me mala.* Aberrent, inquit, ab his quæ contra me parant, et fructus malitiæ sit ipsis opprobrium. 5. *Fiant tanquam puluis coram vento, et Angelus Domini coarctet eos.* * Hoc et in primo psalmo posuit, a) Non sic impii, non sic, sed tanquam puluis, quem proiicit ventus a superficie terræ. 6. *Fiat via illorum tenebræ, et lapsus, et Angelus Domini persequatur eos.* Verte ipsos in fugam, committens tuis Angelis, qui cerni nequeunt, persecutionem. Sic inuenimus etiam Assyrios ab Angelo occisos: et primogenitos Ægyptiorum exterminator de medio sustulit. *Tenebras* autem, et *lapsum*, vocat *ruinam.* Qui enim offendunt, et qui labuntur, corruere solent. Et ostendens suarum precum iustitiam, subiungit: 7. *Quoniam sine caussa absconderunt mihi interitum laquei sui: temere exprobrauerunt animam meam.* Iniustis enim, inquit, insidiis in me vsi sunt. Hoc autem *exprobrarunt*, Symmachus exposuit, *suffoderunt.* Innuit autem mortem, quæ clanculum præparabatur. 8. *Veniat illi laqueus, quem ignorat, et*

1) κἀκείνους κολάζει, 2) καὶ τούτους εὐεργετεῖ. δ'. Αἰσχυνθήτωσαν, καὶ 3) ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου, 4) ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά. 5) Διαμάρτωσί φησιν, ὧν τυρεύουσι, καὶ 6) γένηται αὐτοῖς αἰσχύνη τῆς πονηρίας ἐπικαρπία. ε'. Γενηθήτωσαν ὡσεὶ 7) χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς. Τοῦτο καὶ ἐν τῷ πρώτῳ ψαλμῷ τέθεικεν· οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως· ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. ϛ'. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος, καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς. 8) Τρέψον αὐτοὺς εἰς φυγὴν, τοῖς ἀοράτοις ἀγγέλοις ἐπιτρέπων τὴν δίωξιν· οὕτως εὑρίσκομεν καὶ τοὺς Ἀσσυρίους ὑπ' ἀγγέλου ἀναιρεθέντας, καὶ τῶν Αἰγυπτίων τὰ πρωτότοκα ὁ ὀλοθρευτὴς διέφθειρε. σκότος δὲ καὶ ὀλίσθημα τὴν κατάπτωσιν λέγει. οἵτε γὰρ προσπταίοντες, καὶ οἱ τὸν ὄλισθον ὑπομένοντες, 9) καταπίπτουσιν· καὶ δεικνὺς τῆς εὐχῆς τὸ δίκαιον, ἐπάγει· ζ'. Ὅτι 10) δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν. μάτην ὠνείδισαν τὴν ψυχήν μου. Ἀδίκοις γάρ φησιν ἐπιβουλαῖς κέχρηνται 11) κατ' ἐμοῦ. τὸ δὲ ὠνείδισαν, ὑπώρυξαν ὁ Σύμμαχος εἴρηκεν. αἰνίττεται δὲ τὸν κρύβδην 12) κατασκευαζόμενον ὄλεθρον. η'. Ἐλθέτω 13) αὐτῷ παγὶς ἣν οὐ 14) γινώσκει·

καὶ

1) κἀκείνους. Cod. 2. καὶ τούτους. 2) καὶ τούτους. Cod. 2. κἀκείνους. 3) ἐντραπήτωσαν. BOSIVS legit ἐντραπείησαν. 4) Cod. *vatic.* habet ἀποστραφείησαν. 5) Cod. 2. διαμάρτοιεν. 6) Cod. 2. γένοιτο. 7) Cod. *vatic.* χοῦς. 8) Τρέψον. CORD. p. 618. Στρέψον. 9) καταπίπτουσιν. In Cod. 1. ponitur post προσπταίοντες. 10) δωρεάν. *Symm.* ἀναιτίως. 11) κατ' ἐμοῦ. Quædam h. l. inseruntur a CORD. p. 636. 12) Cod. 2. κατασκευασμένον. 13) αὐτῷ. Ita leg. teste BOSIO in ed. *ald.* et *compl.* quarum lectiones etiam in sequentibus expressas videmus. Rec. lectio est αὐτοῖς, quæ in Cod. *aug.* 2. adscripta est. 14) γινώσκει. In Cod. 2. adscr. lectio rec. γινώσκουσι. a) Ps. 1, 5.

καὶ ἡ θήρα ἣν 1) ἔκρυψε συλλαβέτω 2) αὐτόν· 3) καὶ ἐν τῇ παγίδι 4) πεσεῖται ἐν αὐτῇ. Οἷς κατασκευάζουσι φησι περιπέσοιεν, καὶ τοῖς 5) οἰκείοις δικτύοις ἐμπέσοιεν· 6) ἀπροσδόκητον ὑπομείνειεν 7) θήραν. τοῦτο γὰρ εἶπε, παγὶς ἣν οὐ γινώσκει. θ'. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ· τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. ι'. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε 8) Κύριε, τίς ὅμοιός σοι; Ἐγὼ δὲ καὶ θυμηδίαν καὶ εὐφροσύνην ἐπὶ τοῖς σοῖς ἀγαθοῖς καρπώσομαι Δέσποτα, καὶ διὰ πάντων μου τῶν μορίων μόνον σε εἶναι βοήσω Θεόν. τὸ γὰρ, 9) τίς ὅμοιός σοι; τοῦτο δηλοῖ, ὅτι μόνος ὑπάρχεις Θεὸς, κατὰ πάντων ἔχων τὸ κράτος. ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν. οὐκ ἐᾷς γὰρ ὑπὸ τῶν δυνατωτέρων πολιορκεῖσθαι τοὺς πενεστέρους· ἀλλὰ κἀκείνους ἄγχεις, καὶ τούτοις ἐπαμύνεις. ια'. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἠρώτων με. Συκοφαντίαν, φησὶν, ὑπέμεινα, 10) ἃ μηδὲ ἐλογισάμην, κατηγορούμενος. ἐπειδὴ γὰρ ὑπὸ τοῦ φθόνου βαλλόμενος ὁ Σαοὺλ, τυραννήσειν αὐτὸν ὑπώπτευε, καὶ τούτου χάριν πολέμων διετέλει· χώραν λαβόντες οἱ βασκαίνοντες, τὰς κατ' αὐτοῦ συκοφαντίας οὐκ ἔληγον ῥάπτοντες. τούτους μάρτυρας ὀνομάζει ψευδεῖς· ἐκ τούτων ἦν ὁ Δωὴκ, ἐκ 11) τούτων οἱ Ζιφαῖοι, καὶ ἕτεροι πρὸς τούτοις πολλοί. ιβ'. 12) Ἀντα-

captio, quam abſcondit, apprehendat eum, et in laqueum iſtum incidat. In ea quæ contra me moliuntur, inquit, incidant, et in proprios caſſes cadant; inopinatam patiantur captionem: hoc enim dixit, *laqueus quem ignorat.* 9. *Anima autem mea exſultabit in Domino, et delectabitur ſalute eius.* 10. *Omnia oſſa mea dicent, Domine Domine, quis ſimilis tibi?* Ego autem et voluptatem et lætitiam ob tua bona conſequar o Domine, et omnibus membris meis clamabo, te ſolum eſſe Deum. Hæc enim verba, *Quis ſimilis tibi?* ſignificant, ſolus Deus es, in omnes poteſtatem habens. *Eripiens inopem de manu fortiorum eo, egenum et pauperem a diripientibus eum.* Non enim ſinis a potentioribus circumueniri tenuiores: ſed et illos opprimis, et his ſubuenis. 11. *Surgentes teſtes iniqui, quæ ignorabam interrogabant me.* Calumniam, inquit, paſſus ſum, accuſatus his de rebus, quas ne cogitaui quidem. Quoniam enim Saul inuidia compunctus, ipſum tyrannidem occupaturum ſuſpicabatur, et propterea in bello perſiſtebat, occaſione hinc arrepta, eius æmuli non deſinebant * calumnias contra ipſum ſtruere. Huiusmodi homines, teſtes falſos nominat. Ex numero iſtorum erat Doëg, erant et Ziphæi, et alii inſuper multi. 12. *Re-*

1) ἔκρυψε. adſcr. lectio rec. ἔκρυψαν. 2) αὐτόν. Ibid. adſcr. lectio In Cod. 2. Cod. *vatic.* αὐτούς. 3) καί. Omiſſum erat in edit. *firm.* 4) πεσεῖται. In Cod. 2. adſcr. lectio Cod. *vatic.* πεσοῦνται. 5) οἰκείοις. Cod. 2. ἰδίοις. 6) ἀπροσδόκητον. Cod. 1. 2. præm. καί. 7) θήραν. Cod. 1. ὄλεθρον, adſcripta tamen lectione altera. 8) Κύριε. Non repetitur in Cod. *vatic.* 9) τίς. Abeſt a Cod. 2. 10) ἅ. Cod. 2. ἦν. 11) τούτων. Cod. 1. add. ἦσαν. 12) Cod. 1. 2. ἀνταπεδίδοσαν, quæ eſt lectio Cod. *vatic.*

12. *Retribuebant mihi mala pro bonis, sterilitatem animæ meæ:* Ego etenim Goliathum de medio sustuli, superbientem et iuueniliter exsultantem contra omnem populum, et alienigenas sæpius expugnaui, et spiritualibus pulsibus ipsum a dæmonum insania liberaui: ipse autem non cessat a bello, volens me morte afficere, et obliuione delere. *Sterilitatem* enim obliuionem vocauit, quippe quod per filios memoria conseruatur. Idcirco Deus rerum omnium auctor per Esaiam prophetam inquit, *a*) Ne dicat eunuchus, ego sum lignum aridum: quoniam hæc dicit Dominus eunuchis electis, quæ ego volo, dabo ipsis in domo mea, in pariete meo locum admirabilem, et nomen bonum, quod est præstantius filiis & filiabus. 13. *Ego autem, cum mihi molesti essent, induebar cilicio: humiliabam in ieiunio animam meam, et oratio mea in sinu meo conuertetur.* Hinc discimus, quomodo finiendæ sint calamitates. Ciliciò enim ait præcinctus, et inedia consumtus, Deo preces offerebam, et percepi fructus precationis meæ. Illud enim, *Oratio*

ἐδίδουν μοι πονηρὰ ἀντὶ 1) τῶν ἀγαθῶν, καὶ 2) ἀτεκνίαν τῇ ψυχῇ μȣ. Ἐγὼ μὲν 3) γὰρ τὸν Γολιὰθ ἀνεῖλον θρασυνόμενον, καὶ κατὰ παντὸς νεανιευόμενον τοῦ λαοῦ, καὶ ἀλλοφύλους κατηγωνισάμην 4) πολλάκις, καὶ τοῖς 5) πνευματικοῖς κρούμασι τῆς δαιμονικῆς αὐτὸν ἠλευθέρουν μανίας· αὐτὸς δὲ μοι πολεμῶν οὐ παύεται, θανάτῳ παραδοῦναι καὶ λήθη βουλόμενος. ἀτεκνίαν γὰρ τὴν λήθην ὠνόμασεν, 6) ὡς διὰ τῶν παίδων φυλαττομένης τῆς μνήμης. διὸ 7) δὲ καὶ ὁ τῶν ὅλων Θεὸς διὰ Ἡσαΐου τοῦ προφήτου φησὶ, 8) μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι ἐγώ εἰμι ξύλον ξηρόν· ὅτι τάδε λέγει Κύριος τοῖς εὐνούχοις τοῖς ἐκλεγομένοις, ἃ ἐγὼ θέλω, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, ἐν τῷ τείχει μου τόπον θαυμαστὸν, καὶ ὄνομα ἀγαθὸν, κρεῖττον υἱῶν καὶ θυγατέρων. ιγ'. Ἐγὼ δὲ 9) ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον, καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μȣ εἰς κόλπον μου ἀποστραφήσεται. Ἐντεῦθεν παιδευόμεθα πῶς δεῖ λύειν τὰς συμφοράς· σάκκον γάρ φησιν ἀμπεχόμενος, καὶ νηστείᾳ κατατηκόμενος, τῷ Θεῷ τὴν 10) ἱκετηρίαν προσέφερον· καὶ ἐδεχόμην τῆς αἰτήσεως τοὺς καρπούς· τὸ γὰρ, καὶ

1) τῶν ἀγαθῶν. Cod. 2. omittit τῶν, sicque consentit cum lect. Cod. *Alex.* In Cod. *vatic.* leg. ἀντὶ καλῶν. 2) ἀτεκνίαν — μου. *Symm.* neglecta Metaphora vertit ἀνεστραμμένα κατὰ τῆς ψυχῆς μου, *peruersa contra animam meam.* 3) γάρ. Abest a Cod. 1. 4) πολλάκις. Abest a Cod. 2. 5) πνευματικοῖς κρούμασι. Cod. 2. πυκνοῖς κρούσμασι. 6) ὡς — μνήμης. Cod. 2. οὐ διὰ τῶν παίδων μόνον φυλαττομένης τῆς μνήμης, ἀλλὰ μᾶλλον διὰ τῶν ἀγαθῶν πράξεων. 7) δὲ. Cod. 1. 2. δή. 8) μὴ λεγέτω κ. λ. Aliæ sunt lectiones apud Esaiam l. c. Ad marginem Cod. 2. adscripta est notula in Codd. frequens, ϹΗ (quam MONTF. Palæogr. p. 346. per σημαίνει vel σημείωσαι explicat,) his additis verbis, περὶ εὐνούχου. 9) ἐν — παρενοχλεῖν μοι. *Theodotion* et Editio V. consentiunt h. l. cum LXX. Interpretibus. *Aquila*, EVSEBIO quidem iudice σφόδρα θαυμαστῶς, ad Textum tamen hebraicum satis accommodate, interpretatus est ἐν ἀρρωστίᾳ αὐτῶν. *Symmachus*, ἐν ταῖς ἀρρωστίαις αὐτῶν. 10) Cod. 1. 2. et *flor.* ἱκε-

a) Es. 56, 3 sq.

καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται, τοῦτο σημαίνει, ἀντὶ τοῦ, προσευχόμενος ἐδεχόμην παρὰ τοῦ Θεοῦ τὰς αἰτήσεις, καὶ τὸν κόλπον 1) μου ἐπλήρουν. ιδ΄. 2) Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν· 3) ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην. Πᾶσαν αὐτῷ 4) φησὶ θεραπείαν, ὡς ἀδελφῷ γνησίῳ προσέφερον, καὶ ἀχάλλοντος καὶ πενθοῦντος ἐμιμούμην ταπείνωσιν, οὐκ 5) ἀναχόμενος μεγαφρονεῖν ἐπὶ τοῖς κατορθώμασι. τοῦτο καὶ ἡ ἱστορία διδάσκει. τοῦ 6) γὰρ Σαοὺλ εἰρηκότος ἐκεῖ, σὺ τέκνον Δαβίδ; ἀπεκρίνατο λέγων· δοῦλος σὸς Κύριέ 7) μου βασιλεῦ. καὶ πάλιν· ἵνα τί διώκει ὁ Κύριός μου ὁ βασιλεὺς ὀπίσω κυνὸς τεθνηκότος, καὶ ὀπίσω ψύλλου ἑνός; ιε΄. Καὶ 8) κατ᾽ ἐμοῦ ηὐφράνθησαν, καὶ συνήχθησαν· συνήχθησαν ἐπ᾽ ἐμὲ 9) μάστιγες, καὶ οὐκ ἔγνων. 10) Αὐτοὶ δὲ μετὰ πλήθους ἐπῄεσαν, ἀνελεῖν 11) με προσδοκῶντες, καὶ ἐξαπιναίως προσέβαλλον, ἑλεῖν ἀγνοοῦντα πειρώμενοι. τὸ γὰρ, συνήχθησαν ἐπ᾽ ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων, οὕτως ἡρμήνευσεν ὁ Σύμμαχος, συνήγοντο 12) κατ᾽ ἐμοῦ πλῆκται, καὶ οὐκ ᾔδειν. 13) διεσχίσθησαν, καὶ οὐ κατενύγη-

mea in sinu meo conuertetur, hoc denotat, pro precibus recepi a Deo postulata, et gremium meum impleui. 14. *Quasi proximum, et quasi fratrem nostrum sic complacebam, quasi lugens et contristatus, sic humiliabar.* Omne, inquit, officii genus ipsi exhibui, tanquam fratri legitimo, atque imitatus sum humilitatem hominis dolentis, et lugentis, nolens ob recte facta superbire. Hoc et historia docet. Nam cum illic dixisset Saul, Tu fili Dauid? respondit dicens, seruus tuus domine mi rex. Et rursus, a) Cur persequitur dominus meus rex canem mortuum, et pulicem vnum? b) 15. *Et aduersus me laetati sunt, et conuenerunt, et congregata sunt super me flagella, et ignoraui.* Ipsi autem cum multitudine inualuerunt, se interfecturos me sperantes, et derepente impetum fecere, * tentantes me inscium comprehendere. Hoc enim, *Congregata sunt super me flagella, et ignoraui*, Symmachus *Congregati sunt contra me percussores, et ignorabam*, interpretatus est. *Dissipati sunt, nec compuncti.*

1) μου. Abest a Cod. 2. 2) Ὡς — εὐηρέστουν. Praestat versio *Symm.* ὡς πρὸς ἑταῖρον ὡς πρὸς ἀδελφὸν ἀνεστράφην. 3) ὡς — ἐταπεινούμην. Propius ad hebr. veritatem accedit Anonymi interpretatio apud MONTF. in Hexaplis ad h. l. ὡς πενθῶν ὁμομήτριον σκυθρωπῶς ἐκύφην. 4) φησί. Abest a Cod. 2. 5) Cod. 2. ἀνεχόμενος. 6) γάρ. Abest a Cod. 2. 7) μου. Abest a Cod. 2. 8) κατ᾽ ἐμοῦ — συνήχθησαν. *Symm.* σκάζοντος δέ μου ηὐφραίνοντο καὶ ἠθροίζοντο. Ita quoque *Aquila* Textum hebraicum felicius expressit, quam οἱ ό. 9) μάστιγες. Hebr. נכים *claudi*, conf. 2 Sam. 4, 4. 9, 3. 10) Αὐτοὶ — πειρώμενοι. Cod. 3. ita habet: Ὁ δὲ Σύμμαχος οὕτως ἐξέδωκεν· συνήγοντο ἐπ᾽ ἐμὲ πλῆκται καὶ οὐκ ᾔδειν· ἀντὶ τοῦ αὐτοὶ μετὰ πλήθους ἐπῄεσαν ἀνελεῖν με προσδοκῶντες καὶ ἐξαπιναίως προσέβαλλον ἑλεῖν ἀγνοοῦντα πειρώμενοι. In Cod. 1. desunt ista, Αὐτοὶ — ἔγνων. 11) με. Abest a Cod. 2. 12) κατ᾽ ἐμοῦ. Cod. 3. ἐπ᾽ ἐμέ. 13) διεσχίσθησαν — κατενύγησαν. Felicius in his interpretandis versati sunt *Aquila* et *Symm.* quorum versiones exhibet MONTF. in Hexaplis.

a) 1 Reg. 26, 17. b) Ibid. c. 24, 15.

puncti. Et sua spe, inquit, frustrati, et dissipati, non sunt pœnitentia ducti ob iniqua consilia inita, sed iterum eadem aggressi sunt. 16. *Tentauerunt me, subsannauerunt me subsannatione, frenduerunt super me dentibus suis.* Omnia, inquit, experti sunt, volentes iram suam explere: quandoque enim fallacibus vtentes verbis, me capere conati sunt: quandoque autem leonino more frenduerunt, clamantes. 17. *Domine quando respicies?* Hoc autem non increpans dixit, sed opem desiderans. Quando, inquit, appares, et opitularis mihi iniuria affecto? 18. *Restitue animam meam a malignitate eorum.* Superiorem animam meam omnibus illorum machinationibus reddito. *Libera a leonibus vnicam meam.* Cum superius dixisset, *Frenduerunt aduersus me dentibus suis*, propriumque sit leonum frendere, merito ipsos etiam leones appellauit, animi crudelitatem feritatemque redarguens. *Vnicam* autem *meam* Symmachus *solitudinem meam* dixit, hoc est, omni humano auxilio destitutam. 19. *Confitebor tibi Domine in ecclesia magna, in populo graui laudabo te.* Quod ait *In populo graui* Symmachus

σαν. καὶ διαμαρτόντες, φησὶ, τῆς ἐλπίδος, καὶ 1) σκεδασθέντες, οὐ 2) μετεμελήθησαν ἐφ᾽ οἷς κακῶς ἐβουλεύσαντο· ἀλλ᾽ αὖθις τοῖς αὐτοῖς ἐπεχείρησαν. ιϛ΄. 3) Ἐπείρασάν με, ἐξεμυκτήρισάν με 4) μυκτηρισμῷ· ἔβρυξαν ἐπ᾽ ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Διὰ πάσης, φησὶν, ὥδευσαν πείρας τὸν οἰκεῖον θυμὸν ἐμπλῆσαι βουλόμενοι· ποτὲ μὲν γὰρ ἀπατηλοῖς χρώμενοι λόγοις ἀγρεύειν ἐπειρῶντο, ποτὲ δὲ λεόντειον 5) ἐβρύχοντο φωνῶντες. ιζ΄. Κύριε πότε ἐπόψῃ; Τοῦτο δὲ οὐκ ἐγκαλῶν εἴπεν, ἀλλὰ ποθῶν τὴν βοήθειαν. πότε, φησὶν, 6) ἐπιφαίνῃ, καὶ ἐπαμύνεις ἠδικημένῳ; ιη΄. Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας 7) αὐτῶν. Κρείττονά μου τὴν ψυχὴν τῶν μηχανημάτων 8) αὐτῶν ἀπόφηνον. 9) ῥῦσαι ἀπὸ λεόντων τὴν μονογενῆ μου. 10) εἰρηκὼς ἄνω, ἔβρυξαν ἐπ᾽ ἐμὲ τοὺς ὀδόντας αὐτῶν· ἴδιος δὲ τῶν λεόντων ὁ 11) βρυχμός· εἰκότως αὐτοὺς καὶ λέοντας προσηγόρευσε, τὸ 12) ὠμοβόρον καὶ θηριῶδες ἐξελέγχων τῆς γνώμης. 13) τὴν μονογενῆ δέ μου ὁ Σύμμαχος τὴν μονότητά μου εἴρηκεν, ἀντὶ τοῦ, τὴν πάσης ἀνθρωπίνης ἔρημον βοηθείας. ιθ΄. Ἐξομολογήσομαί σοι 14) Κύριε ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε. Τὸ δὲ ἐν λαῷ 15) βαρεῖ, 16) ὁ Σύμμαχος

ἐν

1) Prior lectio erat σχεδασθέντες. 2) Cod. 1. μετεβλήθησαν. 3) ἐπείρασαν — μυκτηρισμῷ. Hæc ab hebr. veritate recedunt. Melior est *Symmachi* versio, quam dedit MONTF. l. c. 4) Cod. 2. μυκτηρισμόν. 5) Cod. 2. ἐβρυχῶντο. 6) Cod. 1. ἐπιφανῇ. 7) αὐτῶν. In Cod. 1. sequuntur verba Textus τῶν ό. ἀπὸ λεόντων τὴν μονογενῆ μου. 8) αὐτῶν. Abest a Cod. 3. 9) ῥῦσαι. Abest a Textu τῶν ό. Cod. 1. præm. καί. 10) εἰρηκὼς — γνώμης. Des. in Cod. 3. 11) Cod. 1. 2. βρυχηθμός. 12) ὠμοβόρον. Cod. 2. αἱμοβόρον. Conf. p. 799. n 5. 13) τὴν — βοηθείας. Cod. 3. ita habet: μονογενῆ μου δὲ εἴρηκεν ἀντὶ τοῦ τὴν μονότητα κατὰ Σύμμαχον· τὴν πάσης ἀνθρωπίνης ἔρημον βοηθείας. 14) Κύριε. Abest a Cod. 1. et a versione τῶν ό. 15) βαρεῖ. Cod. 2. addit αἰνέσω σε. In Cod. 1. autem hæc præmittuntur verbo εἴρηκε. 16) ὁ — εἴρηκε. *Aquila* ἐν λαῷ ὀστείνῳ.

ἐν λαῷ παμπληθεῖ εἴρηκε. πρόῤῥησις δὲ ἦν αὕτη, καὶ πρόῤῥησις δεξαμένη τέλος. ἐν πάσῃ γὰρ γῇ καὶ θαλάσσῃ ὑμνεῖ τὸν Θεὸν 1) καὶ διὰ τῶν πεπιστευκότων ὁ θεῖος Δαβίδ· ἐκκλησίαν γὰρ πολλὴν, καὶ παμπληθῆ λαὸν, τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας καλεῖ. κ'. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι 2) ἀδίκως· οἱ μισοῦντές με δωρεὰν, καὶ διανεύοντες ὀφθαλμοῖς. Ἐνταῦθα 3) πάλιν τῶν 4) Σαοὺλ παροξυνόντων ἐποιήσατο μνήμην, ὡς φιλίαν μὲν ὑποκρινομένων, τὰ πολεμίων δὲ δρώντων. τοῦτο δὲ 5) καὶ διὰ τῶν ἑξῆς σαφέστερον εἴρηκεν. κα'. Ὅτι 6) ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν· καὶ 7) ἐπ' ὀργὴν δόλους διελογίζοντο. Φιλικοῖς γὰρ χρώμενοι λόγοις, ὡς ἐν γῇ τινι 8) κρύπτειν τὴν ὀργὴν ἐπειρῶντο, δόλου πλήρη τὴν διάνοιαν 9) ἔχοντες. κβ'. 10) Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, εἶπον, εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. Θεασάμενοι δέ με τῆς ἐπιβουλῆς αἰσθόμενον, ἐγύμνωσαν 11) λοιπὸν τὴν κεκρυμμένην δυσμένειαν, μετὰ φωνῆς ἐφηδόμενοι ταῖς ἐμαῖς συμφοραῖς. κγ'. Εἶδες Κύριε, μὴ παρασιωπήσῃς, Κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ. κδ'. Ἐξεγέρθητι Κύριε, καὶ πρόσχες τῇ κρίσει μου ὁ Θεός μου, καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου. Κριτὴς εἶ Δέσποτα, ἐφορᾷς ἅπαντα,

dixit, *in populo maximo.* Hæc autem prædictio est, et prædictio ista euentum sortita est. In omni enim terra et mari diuinus Dauid Deum celebrat per ora eorum, qui iam crediderunt. *Ecclesiam* namque *multam*, et *populum numerosum*, ecclesias vocat, quæ per orbem terrarum erectæ fuerunt. 20. *Non gaudeant de me, qui aduersantur mihi inique, qui oderunt me gratis, et annuunt oculis.* Hic rursus mentionem fecit eorum qui Saulem incitabant; qui quidem amicitiam simulabant, sed hostili modo se gerebant. Hoc autem apertius dixit in sequentibus. * 21. *Quoniam ad me quidem pacifice loquebantur, sed in iracundia dolos cogitabant.* Nam amicis verbis vtentes, veluti in quadam terra iram occulere conabantur, mentem doli plenam habentes. 22. *Et dilatauerunt super me os suum, dixerunt, euge, euge, viderunt oculi nostri.* Cum autem vidissent me insidias sensisse, exseruerunt deinceps occultum odium, cum clamore lætantes ob meas calamitates. 23. *Vidisti Domine, ne sileas, Domine, ne discedas a me.* 24. *Exsurge, et attende ad iudicium meum Deus mi, et Domine mi, ad causam meam.* Iudex es Domine, omnia inspicis, et

1) *καί.* Abest a Cod. 1. 2) *ἀδίκως.* Ita habet Cod. *alex.* Sed in Cod. *vatic.* leg. *ματαίως.* 3) *πάλιν.* Abest a Cod. 3. 4) *Σαούλ.* Cod. 3. præm. *τόν.* 5) *καί.* Abest a Cod. 1. 6) *ἐμοί.* Hebr. est לא, quam lectionem Syrus expressit. 7) *ἐπ' ὀργήν.* Rec. lectio in vers. *τῶν ό.* est *ἐπ' ὀργῇ*, cui nonnulli adiiciunt vocem *γῆς.* *Symm.* *περὶ συναρπαγῆς ἐν τῇ γῇ λόγους δολίους λογίζονται.* Sunt qui nominis רגעי significationem ex arab. lingua petunt. 8) Cod. 1. 2. *κατακρύπτειν.* Sic quoque leg. in Scholio quod BOSIVS ad h. l. attulit. 9) *ἔχοντες.* Abest a Cod. 1. 10) *καί.* Abest a Cod. 2. 11) *λοιπόν.* Def. in Cod. 2.

et nihil tuum conspectum effugit: ne despicias ea, quæ facta sunt, nec me tua ope destituas, verum iudica, et celeriter sententiam profer. Hoc autem ea quoque quæ sequuntur declarant. 25. *Iudica me secundum iustitiam tuam Domine Deus mi: non gaudeant de me inimici mei.* 26. *Non dicant in cordibus suis euge, euge, animæ nostræ, nec dicant, deuorauimus eum.* Si enim iudicium procrastines, o Domine, irridebunt rursus illi, et pro occasione lætitiæ dolores meos arripient, et aduersam fortunam meam propriam felicitatem existimabunt. 27. *Erubescant, et pudore suffundantur simul, qui lætantur de malis meis: induantur pudore et confusione, qui magnifice loquuntur super me.* Dedecus congruens est iis qui proximum cauillantur: propterea elatis et grandiloquis hoc propheta imprecatus est. 28. *Exsultent et lætentur qui volunt iustitiam meam, et dicant semper, magnificetur Dominus, qui volunt pacem serui eius.* Exsultare autem et lætari non desinant qui bene mihi cupiunt, et qui meam pacem expetunt: et cum viderint me hanc assecutum, te Dominum laudent. 29. *Et lingua mea meditabitur iustitiam tuam, toto die laudem tuam.* Porro tuam opem consecutus, dies noctesque omnia

καὶ οὐδέν σου διαφεύγει τὴν ἐποψίαν· μὴ παρίδῃς τὰ πεπραγμένα, μηδὲ τῆς σῆς με προνοίας ἔρημον καταστήσῃς. 1) ἀλλὰ δίκασον, καὶ δὸς τὴν ψῆφον ταχέως. τοῦτο 2) δὲ καὶ τὰ ἐπαγόμενα δηλοῖ. κε'. Κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην 3) σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι 4) οἱ ἐχθροί μου. κϛ'. Μὴ 5) εἴποισαν ἐν 6) καρδίαις αὐτῶν εὖγε, εὖγε, τῇ ψυχῇ ἡμῶν, μηδὲ εἴποιεν 7) κατεπίομεν αὐτόν. Εἰ γὰρ 8) ἀναβάλῃ τὴν δίκην, ὦ Δέσποτα, ἐπιτωθάσουσι πάλιν ἐκεῖνοι, καὶ πρόφασιν θυμηδίας τὰς ἐμὰς ὀδύνας ποιήσονται, καὶ οἰκείαν εὐημερίαν ἡγήσονται τὴν ἐμὴν δυσκληρίαν. κζ'. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου· ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ. Κατάλληλος ἡ αἰσχύνη τοῖς ἐπικερτομοῦσι 9) τοῖς πέλας· διὸ τοῖς ἀλαζόσι καὶ μεγαλοῤῥήμοσι ταύτην ὁ προφήτης ἐπηύξατο. κη'. 10) Ἀγαλλιάσθωσαν καὶ 11) εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου, καὶ εἰπάτωσαν διαπαντός, 12) μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ. Ἀγαλλόμενοι 13) δὲ καὶ χαίροντες διατελέσοιεν οἱ τὰ ἀγαθά 14) μοι βουλόμενοι, καὶ τῆς εἰρήνης τῆς ἐμῆς ἐφιέμενοι, καὶ ταύτης τυχόντα θεασάμενοι, σὲ τὸν Δεσπότην ὑμνήσαιεν. κθ'. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου. Ἐγὼ δὲ τῆς σῆς προνοίας ἀπολαύσας, νύκτωρ καὶ μεθ' ἡμέραν τὰς

1) ἀλλά. Cod. 1. 2. addunt καί. 2) δέ. Abest a Cod. 1. 3) σου. Cod. 3. μου.
4) οἱ ἐχθροί μου. Des. in Cod. 1. et 3. Abest etiam a Textu hebr. et versione
5) Cod. 1. 2. εἴποιεν. 6) Cod. 1. 2. καρδίᾳ. 7) Cod. 2. καταπίωμεν.
1. 1. ἀναβάλοιο. 9) Cod. 1. 2. τούς. 10) Cod. 1. ἀγαλλιάσαιντο. 11) Cod.
νθήτωσαν. 12) μεγαλυνθήτω. Ita habet Cod. alex. 13) δέ. Abest a
14) Cod. 1. μου.

τὰς σὰς ἐντολὰς μελέτην ποιήσομαι, καὶ διηνεκῶς σου τὰς εὐεργεσίας ὑμνήσω. τὸ γὰρ ὅλην τὴν ἡμέραν, πᾶσαν ἡμέραν ὁ Σύμμαχος εἴρηκε, τὸ διηνεκὲς διὰ τούτων σημαίνων. ὁ μὲν οὖν ψαλμὸς τοῦτο ἔχει τὸ τέλος. παρακαλῶ δὲ τοὺς ἐντευξομένους, μηδὲ μίαν βλάβην ἐκ τῆς τοῦ δικαίου δέξασθαι προσευχῆς, μηδὲ πρόφασιν εἰς τὰς κατὰ τῶν ἐχθρῶν ἀρὰς ἐντεῦθεν 1) κομίζεσθαι· 2) συνιδεῖν δέ, ὡς νομικὴν πολιτείαν, οὐκ εὐαγγελικὴν ὁ προφήτης μετῄει. ὁ 3) δὲ 4) νόμος διαγορεύει ἀγαπῆσαι τὸν πλησίον, καὶ τὸν ἐχθρὸν μισῆσαι. 5) ὁ δὲ δεσπότης Χριστὸς τὴν τελειοτάτην 6) δεικνὺς ἀρετήν, 7) ἔφη, ἐῤῥέθη τοῖς ἀρχαίοις, ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου· ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, 8) εὐλογεῖτε τοὺς διώκοντας 9) ὑμᾶς. συνῳδὰ δὲ τούτοις καὶ ὁ θεῖος ἀπόστολος ἔφη· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε. εἰς ταύτην τοίνυν τὴν διαφορὰν ἀποβλέποντες, γνῶτε τί μὲν ἁρμόττει τῷ νόμῳ, τί δὲ τῇ χάριτι. ἄλλως τε δὲ καὶ ὁ μακάριος Δαβὶδ οὐκ ἐπαρώμενος ταῦτα ἔλεγεν, ἀλλὰ προφητικῶς προὔλεγε τὰ πάντως ἐσόμενα. ὅτι δὲ καὶ αὐτὸς κατὰ τὴν εὐαγγελικὴν νομοθεσίαν οὐκ ἠμύνατο τοὺς ἀδικοῦντας, ἀκούσατε αὐτοῦ λέγοντος, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός, καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ 10) καταπατή-

tua praecepta meditabor, * et semper tua beneficia laudabo.* Nam pro *toto die*, Symmachus dixit, omnem diem, continuationem significans. Psalmus igitur hunc habet finem. Ceterum moneo eos, qui haec legerint, ne vllam ex iusti hominis precibus offensionem accipiant, nec ansam inimicis imprecandi hinc arripiant. Sciant autem, legis statum, et non euangelicum viuendi modum prophetam sectatum esse. Lex vero imperat vt proximum diligamus, et inimicum odio habeamus. Dominus autem Christus perfectam virtutem ostendens ait: *a)* Dictum est antiquis, diliges proximum tuum, et odio habebis inimicum tuum: ego autem dico vobis, diligite inimicos vestros, et benedicite iis qui maledicunt vobis. Consonantia vero his diuinus quoque apostolus dicit: *b)* Benedicite, et non maledicite. In hanc igitur differentiam inspicientes, cognoscite quid legi congruat, quid gratiae. Praeterea beatus Dauid non maledicens haec dixit, sed prophetantis more praedixit ea, quae plane futura sunt. Quod autem et idem, secundum euangelii legem, iniuria afficientes non vltus sit, audite ipsum dicentem: *c)* Si reddidi retribuentibus mihi mala, decidam merito ab inimicis meis vacuus; persequatur inimicus animam meam, et comprehendat, et concul-

cet

1) Cod. 1. 2. κομίσασθαι. 2) συνιδεῖν — μετῄει. Cod. 3. ὁ δὲ νομικήν, φησί, καὶ οὐκ εὐαγγελικὴν ζῆν τὸν Δαβὶδ πολιτείαν. 3) δέ. Cod. 3. γάρ. 4) νόμος. Cod. 3. add. φησί. 5) ὁ δὲ δεσπότης κ. λ. Cod. 3. haec pauca tantum habet: κακῶς τε λέγων· εὐαγγελικῶς γὰρ πολιτευόμενος ὁ Δαβὶδ ἔφασκεν· εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. τελευταῖον μέντοι καὶ οὗτος προφητικῶς ἔφη ταῦτα εἰρῆσθαι ὡς πάντως ἐσόμενα. 6) Cod. 1. 2. ὑποδεικνύς. 7) ἔφη. Cod. 1. 2. praem. οὕτως. 8) εὐλογεῖτε — ὑμᾶς. Cod. 2. praem. εὐλογεῖτε τοὺς ἐχθροὺς ὑμῶν. 9) ὑμᾶς. Cod 1. addit, εὐλογεῖσθε, μὴ καταρᾶσθε. 10) Cod. 2. καταπατήσει.

a) Matth. 5, 43. 44. *b)* Rom. 10, 14. *c)* Ps. 7, 5. 6.

cet in terra vitam meam, et gloriam meam in puluerem deducat. Neque vero dixit quidem hæc, non perfecit autem: sed verba ad exitum perduxit, et clariores sunt res ipsæ, quam verba. Bis enim quidem, cum hostem captiuum accepisset, non modo ipsum non occidit, verum etiam eos, qui interficere volebant, prohibuit: atque in prælio occumbentem amare fleuit, et eum, qui mortem nunciauit, tanquam gaudentem, et iuueniliter iactantem se illum occidisse, morte mulctauit. Hæc autem persequi coactus fui ob illos, qui imprecantur, et diuinum Dauidem in medium proferunt, vt magnam Dauidis philosophiam vtilitatis exemplar habeant.

σαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν 1) κατασκηνῶσαι. καὶ οὐκ εἶπε 2) μὲν ταῦτα, οὐκ ἔπραξε δέ. 3) τοῖς γὰρ λόγοις τὸ πέρας 4) ἐπέθηκε, καὶ σαφέστερα τῶν ῥημάτων τὰ πράγματα. δὶς μὲν γὰρ ὑποχείριον λαβὼν τὸν πολέμιον, οὐ μόνον αὐτὸς οὐκ ἀνεῖλεν, ἀλλὰ καὶ τοὺς ἀνελεῖν βουληθέντας ἐκώλυσεν· ἐν πολέμῳ δὲ πεσόντα πικρῶς 5) ὠλοφύρατο, καὶ τὸν μεμηνυκότα τὸν θάνατον, ὡς ἐφηδόμενον καὶ ἀνῃρηκέναι νεανιευσάμενον, τῷ θανάτῳ παρέπεμψε. ταῦτα δὲ διεξελθεῖν ἠναγκάσθην διὰ τοὺς ἐπαρωμένους, καὶ τὸν θεῖον Δαβὶδ εἰς μέσον παράγοντας, ἵνα τὴν μεγίστην τοῦ Δαβὶδ φιλοσοφίαν ἀρχέτυπον ἔχωσιν ὠφελείας.

INTERP. PS. XXXV.

1. *In finem, seruo Domini Dauidi.* Quando diuinus David, a) Saulem captiuum habens, non solum ipse * non interemit, verum etiam interimere conantes prohibuit, prima luce in quodam monte constitutus, obiurgat Saulem, et iniustas inimicitias redarguit, demonstrans, quod nocte ipsum dormientem inueniens, non vt hostem interfecerit, sed vt beneficum seruauerit: et ostendit oram chlamydis, et scyphum aquæ, et lanceam, quam ad demonstrandam rei veritatem sumserat. Ad hæc Saul respondit, verbis vtens beneuolentia coloratis, et amicitiæ personam præ se ferentibus. Apposuit autem etiam sermonibus iusiurandum, pœnitentiam simulans. Tunc

ΕΡΜΗΝ. ΤΟΥ λε΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, τῷ δούλῳ Κυρίου, τῷ Δαβίδ. Ἡνίκα τὸν Σαοὺλ ὁ θεῖος Δαβὶδ λαβὼν ὑποχείριον, οὐ μόνον 6) αὐτὸς οὐκ 7) ἀνεῖλεν, ἀλλὰ καὶ τοὺς ἀνελεῖν πειραθέντας ἐκώλυσεν, ἡμέρας γενομένης, ἐπί τινος ἀκρωρείας γενόμενος, ἐπιμέμφεται τῷ Σαοὺλ καὶ τῆς δυσμενείας ἐλέγχει τὸ ἄδικον· διδάσκων ὡς καθεύδοντα νύκτωρ εὑρὼν, οὐχ ὡς πολέμιον ἀνεῖλεν, ἀλλ' ὡς εὐεργέτην διέσωσε· καὶ δείκνυσι τὸ πτερύγιον τῆς διπλοΐδος, καὶ τὸν φακὸν τοῦ ὕδατος, καὶ τὸ δόρυ, 8) ὅπερ εἰς ἀπόδειξιν εἰλήφει τῆς τῶν ῥημάτων ἀληθείας· πρὸς ταῦτα ὁ Σαοὺλ ἀπεκρίνατο, ῥήμασι χρησάμενος 9) κεχρωσμένοις εὐνοίᾳ, καὶ 10) τὸ τῆς φιλίας προσωπεῖον περικειμένοις. προστέθεικε δὲ τοῖς λόγοις καὶ ὅρκους, 11) σκηψάμενος μεταμέλειαν. τηνικαῦ-

τα

1) Cod. 3. κατασκηνώσει. 2) Cod. 2. μέντοι. 3) τοῖς γάρ. Cod. 2. ἀλλὰ τοῖς. 4) Cod. 2. τέθεικε. 5) Cod. 2. ὀλοφύρετο. 6) αὐτός. Abest a Cod. 2. 7) ἀνεῖλεν. Cod. 2. ἠμύνατο. 8) ὅπερ. Cod. 3. ἅπερ. 9) Cod. 1. ἐκεχρωσμένοις. 10) τὸ — περικειμένοις. Cod. 2. τῷ — προσωπείῳ περικειμένῳ. 11) Cod. 2. σκεψάμενος.

a) 1 Reg. 24.

τα τοίνυν τὸν ψαλμὸν τοῦτον ὁ 1) μακάριος ἔφη Δαβίδ, κατηγορίαν ποιούμενος τῶν πονηρίᾳ συζώντων, καὶ τὴν διὰ πάντων διήκουσαν τοῦ Θεοῦ προμήθειαν ἀνακηρύττων· ἀνέμιξε δὲ καὶ θεολογίαν τοῖς λόγοις, καὶ προφητείαν· οὗ δὴ χάριν καὶ ἡ ἐπιγραφὴ εἰς τὸ τέλος παραπέμπει τὸν ἐντυγχάνοντα. β΄. Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ. Οἴεται, φησιν ὁ κακίᾳ συντεθραμμένος, μηδένα θεωρεῖν 2) τῆς ψυχῆς αὐτοῦ τὰ κεκρυμμένα βουλεύματα. τὸ γὰρ φησὶν ἀντὶ τοῦ ἡγεῖται καὶ ὑπολαμβάνει τέθεικεν. οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. αἴτιον δὲ τῆς τοιαύτης ἀναλγησίας, τὸ μὴ δεδιέναι τὸν πάντα ἐφορῶντα Δεσπότην. γ΄. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι. „3) Οὕτω, „φησὶν, ἑαυτὸν διέτρεψεν καὶ τὸν φό„βον τοῦ Θεοῦ τῶν ἑαυτοῦ ἀπέρριψεν ὀ„φθαλμῶν, ὡς τὴν ἀνομίαν αὐτοῦ προ„φανῆ τυγχάνουσαν καὶ πᾶσιν ὁρᾶσθαι „καὶ εὑρίσκεσθαι καὶ διὰ τοῦτο μίσους „ἀξίαν εἶναι. ἀκάμπτως ἐξέδωκεν ἑαυ„τὸν τῇ ἀνομίᾳ.„ Ἑκὼν δὲ ταύτην ἔχει τὴν ἄγνοιαν, 4) ὡς μὴ βουλόμενος 5) λογιστεῦσαι τὰ πεπραγμένα, καὶ μισῆσαι 6) κακῶς 7) πεπραγμένα. δ΄. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος· οὐκ ἐβουλήθη συνιέναι τοῦ ἀγαθῦναι. ε΄. Ἀνομίαν 8) διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ· κακίᾳ δὲ οὐ προσώχθισεν. 9) Λόγοις μὲν 10) γὰρ κέχρηται τῆς ἀληθείας γεγυμνωμένοις, καὶ δόλῳ συμπε-

igitur hunc psalmum beatus Dauid dixit, accusans eos qui inique viuunt, et Dei prouidentiam quoquouersus pertingentem prædicans. Admiscuit autem verbis theologiam et prophetiam. Idcirco et inscriptio *in finem* transmittit lectorem. 2. *Dicit iniustus apud se, vt delinquat.* Putat, inquit, malitiæ alumnus, occulta eius animæ consilia neminem intueri. Nam *dicit*, pro eo quod est *existimat* et *opinatur*, posuit: *Non est timor Dei ante oculos eius.* Porro causa huius stupiditatis est, quod non timeat Dominum, qui omnia inspicit. 3. *Quoniam dolose egit in conspectu eius, vt inueniat iniquitatem suam et odio habeat.* „ Adeo, inquit, corrupit sese, „ et timorem Dei ab oculis suis „ remouit, vt iniquitas eius quæ „ manifesta est ab omnibus con„ spici ac inueniri possit, ideo„ que odio digna sit. Ita enim „ iniquitati se tradidit, vt flecti „ nequeat. „ Ille autem vltro habet hanc ignorantiam, vt nolens ea quæ fecit expendere, atque odio habere iniquos actus. 4. *Verba oris eius iniquitas, et dolus: noluit intelligere, vt bene ageret.* 5. *Iniquitatem meditatus est in cubili suo, adstitit omni viæ non bonæ, malitiam autem non odiuit.* Nam verbis quidem vsus est veritate carentibus, et dolo contextis:

1) μακάριος. Cod. 2. μέγας. 2) Cod. 1. τὰ κεκρυμμένα τῆς ψυχῆς αὐτοῦ βουλεύματα. 3) E Cod. *flor.* suppl. Cum his conferenda sunt, quæ habet CORD. p. 659. 4) ὡς μή. Cod. 1. 3. οὐ. 5) Cod. 2. λογίσασθαι. 6) κακῶς. Cod. 3. præm. τά. 7) πεπραγμένα. Cod. 2. γενόμενα. 8) διελογίσατο. Ita leg. in Cod. *alex.* Cod. *vatic.* habet ἐλογίσατο. 9) λόγοις. Cod. 1. λογισμοῖς. 10) γάρ. Abest a Cod. 2.

textis: ea vero quæ decent minime ſcire vult, ſed et nocte mala proximo ſtruit, et interdiu cogitata perficere aggreditur. Huius vero cauſa eſt, quod ipſe ſpecies malitiæ non execratur, nec penitus auerſatur. Hoc autem, *malitiam non odiuit*, pro *non abominatus eſt*, poſuit. Etenim idola aliquando quidem abominationes, aliquando vero offendicula, diuina ſcriptura nuncupat. Hoc vero Aquila, *non abiecit* interpretatus eſt; „ Symmachus vero, *non reprobauit*; „ * Theodotio autem, *non repulit*. 6. * *Domine in cælo miſericordia tua, et veritas tua vsque ad nubes*. 7. *Iuſtitia tua ſicut montes Dei*. Illi igitur, veluti nemine adſpiciente, hæc facere conantur. Tu vero Domine, et miſericordiam immenſam habes, et veritatem immenſam, et iuſtitiam maximis montibus comparatam. Veritas autem tua ad homines vſque peruenit, per prophetas, veluti per quaſdam nubes, ſalutarem imbrem ipſis ſuppeditans. *Iudicia tua abyſſus multa.* Ceterum cum tanta ſit veritas et

πλεγμένοις· συνιδεῖν δὲ τὸ 1) πρέπον οὐ βούλεται, ἀλλὰ καὶ νύκτωρ πονηρὰ τυρεύει τῷ πέλας, καὶ 2) μεθ᾽ ἡμέραν πληροῦν ἐπιχειρεῖ τὰ βουλεύματα. 3) τούτου δὲ αἴτιον, τὸ μὴ βδελύτεσθαι 4) αὐτὸν, καὶ παντελῶς ἀποστρέφεσθαι τῆς πονηρίας τὰ εἴδη. 5) τὸ γὰρ κακίᾳ οὐ προσώχθισεν, ἀντὶ τοῦ οὐκ ἐβδελύξατο τέθεικεν· καὶ γὰρ τὰ εἴδωλα ποτὲ μὲν βδελύγματα, ποτὲ δὲ προσοχθίσματα ἡ θεία προσαγορεύει γραφή. τοῦτο δὲ ὁ Ἀκύλας, οὐκ ἀπέῤῥιψεν ἡρμήνευσεν· 6) „ ὁ δὲ Σύμμαχος, οὐκ ἀπεδοκίμασεν· „ ὁ δὲ Θεοδοτίων, οὐκ ἀπώσατο. 7) ϛʹ. Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν. ζʹ. Καὶ ἡ δικαιοσύνη σου, ὡς ὄρη Θεοῦ. Ἐκεῖνοι μὲν οὖν, ὡς μηδενὸς ἐφορῶντος, 8) τοιαῦτα πράττειν ἐπιχειροῦσι· σὺ 9) δὲ Δέσποτα καὶ ἔλεον ἔχεις ἀμέτρητον, καὶ ἀλήθειαν ἀστάθμητον, καὶ δικαιοσύνην ὄρεσι παραβαλλομένην μεγίστοις· χωρεῖ δέ σου καὶ μέχρι τῶν ἀνθρώπων ἡ ἀλήθεια, διὰ τῶν προφητῶν, οἷον διά τινων νεφελῶν, τὸν σωτήριον αὐτοῖς ὑετὸν χορηγοῦσα. τὰ κρίματά σου 10) ἄβυσσος πολλή. τοσαύτην δὲ ἔχων ἀλήθειαν καὶ δικαιο-

1) πρέπον. Cod. 2. δέον. 2) μεθ᾽. Cod. 2. καθ᾽. 3) Cod. 2. τοῦτο. 4) Cod. 2. αὐτά. 5) τὸ γὰρ — τέθεικεν. Ad marginem Cod. 1. idem ſignum quod ſupra p. 822. n. 8. exhibuimus, adſcriptum eſt, additis verbis τί δηλοῖ τὸ προσώχθισεν. 6) ὁ — ἀπεδοκίμασεν. E Cod. 1. et 2. ſuppl. Alii Symmacho tribuunt lectionem ἀποδοκιμάσει teſte MONTF. in Hexaplis. 7) Ad hunc locum pertinent quæ in Cod. *flor.* leguntur: Τὸ ἄυπνον αὐτῶν τῆς εἰς Χριστὸν ἐπιβουλῆς σημαίνει. τοιοῦτόν ἐστι τὸ οὐαὶ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν καὶ ποιοῦντες κακὸν ἐπὶ τῆς κοίτης αὐτῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά. οὗτος οὖν ἀνομίαν λογισάμενος ἐπὶ τῆς κοίτης αὐτοῦ τυγχάνων παρίσταται πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, τουτέστι πάσῃ πράξει πονηρᾷ. „ Vigilantiam eorum in parandis Chriſto inſidiis ſignificat. Tale eſt illud, Væ illis qui operantur iniqua et malum faciunt ſuper cubili ſuo, et ſimulac illuxerit dies perficiunt illa. Qui igitur hoc modo malum cogitat ſuper cubili aſſiſtit omni viæ non bonæ, h. e. omni actioni malæ. „ Prima ex iſtis, Τὸ — σημαίνει, ATHANASIO [tri]buuntur in MONTF. Coll. noua PP. T. II. p. 90. Reliqua ORIGENI [..]at CORD. p. 659. 8) τοιαῦτα. Cod. 2. ταῦτα, poſitum poſt ἐπιχειροῦσι. Abeſt a Cod. 2. 10) ἄβυσσος. Cod. vatic. præm. ὡσεί.

δικαιοσύνην, τίνος ἕνεκα μακροθυμεῖς, ἀγνοῶ· τὸ τῆς 1) ἀβύσσου ἀθεώρητον μιμεῖταί σου τὰ κρίματα. καθάπερ γὰρ ἐκείνης ἀνθρώποις ἀθεώρητος ὁ βυθὸς, οὕτως ἀνέφικτος τῶν σῶν κριμάτων ἡ κατανόησις. ἀνθρώπους καὶ κτήνη σώσεις Κύριε. καὶ τί τούτου τὸ αἴτιον; ἤ, Ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ Θεός. Μέχρι γὰρ 2) καὶ τῶν 3) κτηνῶν 4) ἡ σὴ διήκει φιλανθρωπία, καὶ οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ τὰ 5) διὰ τὸν ἄνθρωπον γεγενημένα τρέφεις, τοὺς ἀνθρώπους καὶ διὰ τούτων εὐεργετῶν. οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσιν. πρόῤῥησιν ὁ λόγος ἔχει τῆς μετὰ τὴν ἐνανθρώπησιν τοῦ σωτῆρος ἡμῶν γεγενημένης μεταβολῆς. οὐ γὰρ εἶπεν 6) ἤλπισαν, ἀλλὰ ἐλπιοῦσιν. θ΄. Μεθυσθήσονται ἀπὸ 7) τῆς πιότητος 8) τοῦ οἴκου σου, καὶ 9) χειμάῤῥους τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. Καταφεύξεται δὲ πρός σε τῶν ἀνθρώπων ἡ φύσις, 10) ἀναβλαστάνουσαν ἐν τῷ οἴκῳ σου τῶν ἀγαθῶν τὴν φορὰν θεωροῦσα· αἰνίττεται δὲ διὰ τούτων, οὐ μόνον τῆς θείας διδασκαλίας τὰ νάματα, ἀλλὰ καὶ τῆς μυστικῆς τροφῆς τὴν ἀπόλαυσιν· χειμάῤῥῳ δὲ τῶν τοσούτων ἀγαθῶν 11) τὴν χορηγίαν ἀπείκασε· πρῶτον μὲν διὰ τὸ μὴ ἐξ ἀρχῆς ταύτην τοῖς ἀνθρώποις δοθῆναι· ἔπειτα μέν τοι καὶ προτρέπων πάντας ἀνθρώπους προσελθεῖν καὶ πιεῖν, ὡς 12) τοῦ ποταμοῦ 13) οὐκ ἀενάου ὄντος, ἀλλὰ χειμάῤῥου, καὶ πρὸς καιρὸν φερομένου. οἱ γὰρ κατὰ τὸν παρόντα καιρὸν μὴ προσιόντες, μετὰ τὴν

iuſtitia tua, qua de cauſa procraſtines, ignoro. Iudicia tua abyſſum imitantur, quæ viſu penetrari non poteſt. Quemadmodum enim illius fundus ab hominibus perſpici nequit, ſic tuorum iudiciorum cognitionem comprehendere non poſſumus. *Homines et iumenta ſaluabis Domine.* Et quænam huius rei eſt cauſa? 8. *Quemadmodum multiplicaſti miſericordiam tuam Deus.* Nam vsque ad iumenta ipſa tua benignitas peruenit, et non modo homines, verum etiam ea quæ propter homines facta fuere, nutris, etiam per hæc homines beneficiis afficiens. *Filii autem hominum ſub tegmine alarum tuarum ſperabunt.* Sermo prædictionem continet, mutationem ſcilicet, quæ poſt incarnationem ſaluatoris noſtri facta fuit. Non enim dixit, *ſperauerunt*, ſed *ſperabunt.* 9. *Inebriabuntur vbertate domus tuæ, et torrentibus voluptatis tuæ potabis eos.* Ad te hominum natura confugiet, contemplans bonorum affluentiam, quæ in domo tua progerminat. Per hæc autem innuit non ſolum diuinæ doctrinæ flumina, ſed et myſtici cibi perceptionem. Largitionem vero horum bonorum torrenti aſſimilauit. Primum quidem, quoniam a principio hæc hominibus data non fuit: deinde omnes homines adhortans, vt accedant et bibant, quod non ſit perenne flumen, ſed torrens, et ad tempus fluens. Qui enim in hac vita non acceſſerunt, poſtquam hinc diſceſ-

1) ἀβύσσου. Cod. 1. 2. addunt γάρ. 2) καί. Abeſt a Cod. 1. 2. 3) κτηνῶν. Cod. 2. addit δή. 4) ἡ σὴ διήκει. Cod. 1. σοι διήκει ἡ. 5) διὰ τὸν ἄνθρωπον. Cod. 1. δι' ἀνθρώπους. 6) Cod. 3. ἠλπίσαμεν. 7) τῆς. Abeſt a Cod. 1. 2. et a verſ. τῶν ό. 8) τοῦ. Pariter abeſt ll. cc. 9) Cod. 1. 2. τὸν χειμάῤῥουν. Sic quoque οἱ ό. 10) Cod. 1. 2. ἀναβλυστάνουσαν. Lectio tamen ſuſpecta eſt. 11) τήν. Abeſt a Cod. 1. 2. 12) τοῦ. Abeſt a Cod. 1. 13) οὐκ ἀεννάου. Cod. 3. μὴ ἀενάου.

ſerint ſacris aquis minime perfruentur. Et cum oſtendiſſet natura quidem ſua bonorum collationem perpetuam eſſe, ſed ob diſpenſationes torrentem fieri, opportune ſubiunxit: 10. *Quoniam apud te eſt fons vitae.* * Hoc in loco aperte nobis ſanctae Trinitatis myſterium aperit. Nam *fontem vitae* vnigenitum Dei verbum nominauit. Sic enim et ipſe per Ieremiam prophetam ſe nuncupat, *a)* Me dereliquerunt fontem aquae vitae, et abierunt, et effoderunt ſibi ciſternas fractas, quae continere aquam non valent. Dicit igitur fontem hunc apud patrem eſſe, ſecundum euangelii doctrinam, dicentem: *b)* Ego in patre, et pater in me eſt. *In lumine tuo videbimus lumen.* Nam per ſanctum Spiritum illuminati, vnigeniti tui radios contuemur. Nemo enim, inquit, *c)* dicere poteſt Dominum Ieſum, niſi per Spiritum ſanctum. Et *d)* nobis Deus manifeſtauit per Spiritum ſuum. Didicimus igitur exacte per prophetica verba, tres vnius diuinitatis proprietates. 11. *Protende miſericordiam tuam ad eos qui norunt te, et iuſtitiam tuam ad illos qui recto ſunt corde.* Largire itaque continue tuam manſuetam et iuſtam prouidentiam his, qui diuina cognitione donati ſunt, et his, qui recte agendi viam elegerunt. Vtrumque enim de iisdem dixit, ſecundum linguae proprietatem diuiſione vſus. Non enim alios dicit ſcientes ipſum, alios

ἐντεῦθεν ἐκδημίαν τῶν ἱερῶν ναμάτων οὐκ ἀπολαύσονται. καὶ δεικνὺς ὡς φύσει μὲν 1) ἀένναός ἐστι 2) τῶν ἀγαθῶν ἡ φορὰ, 3) χειμάῤῥους δὲ πρὸς τὰς οἰκονομίας γίνεται, εἰς καιρὸν ἐπήγαγεν· ι΄. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. Ἐνταῦθα δὲ σαφῶς ἡμῖν ἀποκαλύπτει τὸ τῆς 4) ἁγίας τριάδος μυστήριον. πηγὴν γὰρ ζωῆς, τὸν μονογενῆ τοῦ Θεοῦ λόγον ὠνόμασεν. οὕτω γὰρ καὶ αὐτὸς ἑαυτὸν διὰ Ἱερεμίου τοῦ προφήτου καλεῖ· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζωῆς, 5) καὶ ἐπορεύθησαν, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ 6) συχεῖν· λέγει τοίνυν τὴν πηγὴν ταύτην παρὰ τῷ πατρὶ 7) εἶναι, κατὰ τὴν εὐαγγελικὴν διδασκαλίαν τὴν λέγουσαν, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. ὑπὸ γὰρ τοῦ παναγίου πνεύματος, φωτιζόμενοι τὰς τοῦ μονογενοῦς σου θεωροῦμεν ἀκτῖνας. οὐδεὶς γάρ φησι δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. καὶ ἡμῖν ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. μεμαθήκαμεν τοίνυν ἀκριβῶς 8) διὰ τῶν προφητικῶν λόγων τὰς τρεῖς τῆς μιᾶς θεότητος ἰδιότητας. ια΄. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε· καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοιγάρτοι διηνεκῶς τῆς ἡμέρου σου καὶ δικαίας μετάδος κηδεμονίας, 9) τῆς θεογνωσίας ἠξιωμένοις, καὶ ἀγαθὰ πράττειν προαιρουμένοις. ἀμφότερα γὰρ περὶ τῶν αὐτῶν εἴρηκε, 10) κατὰ τὸ οἰκεῖον ἰδίωμα τῇ διαιρέσει χρησάμενος. οὐ γὰρ ἄλλους λέγει τοὺς εἰδότας αὐτὸν, ἄλλους δὲ

1) Cod. 3. ἀέναος. 2) τῶν. Cod. 3. praem. ἡ. 3) Cod. 2. χείμαῤῥος. 4) ἁγίας. Abeſt a Cod. 1. 5) καὶ ἐπορεύθησαν. Deſ. in Cod. 2. 6) συχεῖν. Cod. 1. χεῖν. Rec. lectio l. c. eſt συνέχειν. 7) εἶναι — ἐν ἐμοί. Cod. 2. habet tantum haec pauca, Colo ad πατρὶ poſito, καὶ ἐν αὐτῷ τὸν πατέρα. 8) διά. Cod. 2. praem καί. 9) τῆς. Cod. 1. τοῖς. Cod. 3. τοῖς τῆς. 10) κατὰ τό. Cod. 1. κατ'.

a) Ier. 2, 13. b) Ioh. 14, 10. c) 1 Cor. 12, 3. d) Ib. c. 2, 10.

δὲ τοὺς εὐθεῖς τῇ καρδίᾳ, οὐδὲ τοῖς μὲν τὸν ἔλεον, τοῖς δὲ τὴν δικαιοσύνην 1) ἐζήτησεν· ἀλλὰ τὴν τελείαν ἀρετὴν ἐν ἀληθέσι δόγμασι καὶ 2) πράγμασιν ἀγαθοῖς ὁρισάμενος, τοῖς ταύτην κεκτημένοις τὸν ἔλεον καὶ τὴν δικαιοσύνην ἐπήγγειλεν. ιβ´. Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ 3) σαλεύσῃ με. ιγ´. Ἐκεῖ ἔπεσον 4) πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ἐξώθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι. Τὸ ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι 5) τὴν ἀνομίαν, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ὅπου πίπτουσιν οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὠθοῦνται καὶ οὐ δυνήσονται στῆναι. αἰτεῖ δὲ ὁ προφήτης τῆς φύσεως τὰ μέτρα φυλάττειν, καὶ τῆς εὐθείας ὁδοῦ μὴ 6) παρατραπῆναι ταῖς τῶν παρανόμων ἐπιβουλαῖς· ἅτε δὴ γινώσκων τῆς ἐναντίας ὁδοῦ τὸ τέλος. οἱ γὰρ εἰς ἐκεῖνό φησι καταπίπτοντες, ἀναστῆναι λοιπὸν, καὶ εἰς τὴν ἑτέραν δραμεῖν οὐ δυνήσονται. τούτοις ἔοικε τὰ εἰρημένα ἐν τῷ ἕκτῳ ψαλμῷ· ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι.

vero rectos corde: neque pro his quidem misericordiam, pro illis vero iustitiam petiit: sed perfectam virtutem veris dogmatibus et rectis actionibus definiens, his qui hanc possident, misericordiam et iustitiam promisit. 12. *Non veniat mihi pes superbiae, et manus peccatoris non moveat me.* 13. *Ibi ceciderunt omnes, qui operantur iniquitatem: expulsi sunt, nec poterunt stare.* Verba ista, *Ibi ceciderunt, qui operantur iniquitatem*, Symmachus sic interpretatus est, *Vbi cadunt operantes iniquitatem, impelluntur, et non poterunt stare.* Petit autem propheta, vt possit naturae mensuram seruare, neque a via recta per sceleratorum insidias diuertatur, vt qui contrarii itineris finem cognosceret. Qui enim, ait, in illum incidunt, non poterunt deinceps resurgere, et in aliam viam currere. His autem consona sunt, quae dicta fuerunt in sexto psalmo: *a*) Quoniam non est in morte, qui memor sit tui, in inferno autem quis confitebitur tibi?

ΕΡΜΗΝ. ΤΟΥ λς´ ΨΑΛΜΟΥ.

α´. Ψαλμὸς τῷ Δαβίδ. Μὴ παραζήλου ἐν πονηρευομένοις· μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν. 7) Τῇ πείρᾳ μαθὼν ὁ θεῖος Δαβὶδ, ὅσων ἀγαθῶν πρόξενος ἡ πρᾳότης, καὶ ὅτι τῶν ἀδικίᾳ συζώντων καὶ ἀλαζονείᾳ χρωμένων, τὸ τέλος ἀνιαρὸν καὶ τῷ βίῳ κατάλληλον· 8) ἐμεμαθήκει δὲ ταῦτα ἔκ τε τῶν κατὰ

* INTERP. PS. XXXVI. *

1. *Psalmus Dauidi. Noli aemulari erga malignos, neque zelo exardescas erga facientes iniquitatem.* Experientia doctus diuinus Dauid, quam multorum bonorum conciliatrix sit mansuetudo, et quod eorum, qui iniuste viuunt superbiaque vtuntur, finis sit tristis et vitae congruens, (haec autem ex iis didicerat, quae circa Saulem

1) ἐξήτησεν. Cod. 2. ἐζήτησεν. 2) πράγμασιν. Cod. 1. 2. πράξεσιν. 3) Cod. 2. σαλεῦσαι, quae est lectio Cod. *vatic.* Codex *alex.* habet σαλεύσει. 4) πάντες. Abest a Cod. 1. 2. nec in Textu hebr. locum habet. 5) τὴν ἀνομίαν. Abest a Cod. 1. 6) Cod. 2. τραπῆναι. 7) Τῇ — παραπλήσια. Des. apud CORD. p. 666. Alia Nostro tribuit Idem p. 679. 8) Cod. 2. μεμαθήκει.

a) Ps. 6, 6.

Saulem et Absalomum acciderant, et ex aliis quicumque similia fecerunt,) admonitionem profert omnibus hominibus, commonefaciens, vt æquo animo ferant res molestas, quæ accidere solent: felicitates vero malorum hominum et prosperitates nequaquam beatas existiment, immo miseras potius nuncupent. Quocirca psalmum exordiens statim ait, *Noli æmulari erga malignos, neque zelo exardescas erga facientes iniquitatem.* Hoc autem, *noli æmulari*, Symmachus, *ne contendas*, Theodotio vero, *ne irriteris*, interpretatus est, hoc est, noli incitari ad imitationem iniquorum hominum, cum secundas res, quæ ipsis accidunt, videris. Et ostendens inconstantiam felicitatis, statim subdidit: 2. *Quoniam tanquam fœnum cito arescent, et quemadmodum olera herbarum cito decident.* Hæc et beatus Esaias dixit, *a*) Omnis caro fœnum, et omnis gloria hominis quasi flos fœni. Exsiccatum est fœnum, et cecidit flos, verbum autem Domini manet in æternum. Hoc et beatus ait David: 3. *Spera in Domino, et exerce bonitatem, et inhabita terram, et pasceris diuitiis eius.* 4. *Delectare Domino, et det tibi petitiones cordis tui.* Per omnia docuit spei in Deo collocatæ vtilitatem. Qui enim, ait, in illo spem fixam habet, et ab

τὸν Σαὺλ καὶ τὸν Ἀβεσσαλὼμ, καὶ τῶν ἄλλων, ὅσοι τούτων δεδράκασι παραπλήσια· παραίνεσιν εἰσφέρει πᾶσιν ἀνθρώποις· φέρειν μὲν 1) καλῶς παρακαλῶν τὰ προσπίπτοντα λυπηρὰ, τὰς δὲ τῶν πονηρῶν ἀνθρώπων εὐημερίας, καὶ 2) εὐπραξίας, μὴ μακαρίας νομίζειν, ἀθλίας δὲ μᾶλλον 3) ἀποκαλεῖν· 4) οὗ δὴ 5) χάριν εὐθὺς ἀρξάμενος τοῦ ψαλμοῦ, φησὶ, μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν. τὸ δὲ μὴ παραζήλου ὁ μὲν Σύμμαχος, μὴ φιλονείκει· ὁ δὲ Θεοδοτίων, μὴ παρερεθίζου ἡρμήνευσεν· ἀντὶ τοῦ, μὴ παροξύνου εἰς μίμησιν τῶν παρανομίᾳ συζώντων, τὴν προσγενομένην αὐτοῖς εὐκληρίαν θεώμενος. καὶ δεικνὺς τῆς εὐποτμίας τὸ πρόσκαιρον, 6) εὐθὺς ἐπήγαγεν· β΄. Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Ταῦτα 7) καὶ ὁ 8) μακάριος Ἡσαΐας ἔφη· πᾶσα σὰρξ 9) χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος 10) αὐτοῦ ἐξέπεσε, τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα. τοῦτο δὲ καὶ ὁ 11) μακάριος ἔφη Δαβίδ· γ΄. Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα, καὶ κατασκήνου τὴν γῆν, καὶ 12) ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. δ΄. Κατατρύφησον τοῦ Κυρίου, καὶ 13) δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου. Διὰ πάντων ἐδίδαξε τῆς εἰς Θεὸν ἐλπίδος τὸ κερδαλέον· ὁ γὰρ εἰς αὐτόν φησιν ἐλπίζων, καὶ ὑπ᾽ αὐτοῦ ποι-

1) καλῶς. Abest a Cod. 1. 2. 2) Cod. 1. εὐπραγίας. 3) ἀποκαλεῖν. Cod. 1. νομίζειν, adscripta tamen lectione altera. 4) οὗ — ἀνομίαν. Des. apud CORD. 5) χάριν εὐθύς. Cod. 2. μᾶλλον. 6) εὐθύς. Abest a Cod. 1. 7) καί. Abest a Cod. 2. 8) μακάριος. Cod. 2. θεῖος. 9) χόρτος. Cod. 1. præm. ὡς. 10) αὐτοῦ. Abest a Cod. 2. 11) μακάριος. Cod. 2. μέγας. 12) ποιμανθήσῃ — αὐτῆς. Rectius *Aquila* sic interpretatus est ista, καὶ νέμου πίστιν. 13) δώῃ. Ita leg. in Cod. *alex.* sed *vatic.* habet δώσει.

a) Es. 40, 6. sq.

ποιμαινόμενος, τῶν ὑπ' αὐτοῦ 1) χορηγουμένων ἀπολαύσεται. διαφερόντως δὲ τεύξονται τούτων οἱ τρυφὴν ἡγούμενοι τὴν διηνεκῆ πρὸς αὐτὸν ὁμιλίαν. ε΄. 2) Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει. ϛ΄. Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου, ὡς μεσημβρίαν. Τῷ Θεῷ φησὶ καὶ σαυτόν, καὶ τὰς σὰς πράξεις ἀνάθου, καὶ τὴν παρ' αὐτοῦ πρόσμενε ῥοπήν. αὐτὸς γὰρ οἷα δικαστὴς ἐξοίσει δικαίαν τὴν ψῆφον, καὶ ἀνακηρύξει σε, καὶ λαμπρὸν ἀπεργάσεται, ὡς εἶναι δῆλον ἅπασι, καθὼς τῆς μεσημβρίας τὸ φῶς. ζ΄. 3) Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ 4) ἱκέτευσον 5) αὐτόν. Ταῦτα τοίνυν εἰδώς, πείθου τῷ Θεῷ κυβερνῶντι, καὶ αἰτῶν παρ' αὐτοῦ τὰ ἀγαθὰ 6) διατέλει. μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ· ἐν ἀνθρώπῳ ποιοῦντι 7) παρανομίαν. 8) Κἂν τινα ἴδῃς πονηρὰ προαιρούμενον, καὶ τοῦ σκοποῦ μὴ διαμαρτάνοντα, ἀλλὰ κατὰ ῥοῦν φερόμενον, μὴ δυσχέραινε, μηδὲ δυσφόρει, ὡς μηδενὸς τὴν κτίσιν ἰθύνοντος. τοῦτο γὰρ δηλοῖ τὰ ἐπαγόμενα· η΄. Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν. μὴ παραζήλου ὥστε πονηρεύεσθαι. θ΄. Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται. Μὴ ἴδῃς αὐτῶν τὴν εὐημερίαν, ἀλλὰ πρόσμενον τὸ 9) τέλος, καὶ ὄψει τὸν ὄλεθρον. οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν. ι΄. 10) Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς. ια΄. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατα-

illo pascitur, bonis ab ipso suppeditatis perfruetur: plena vero manu, hæc consequentur, qui veras delicias putant esse, habere perennem cum illo consuetudinem. * *5. Reuela Domino viam tuam, et spera in eo, et ipse faciet. 6. Et educet vt lumen iustitiam tuam, et iudicium tuum tanquam meridiem.* * Deo, inquit, et te ipsum, et tuas actiones offer, et ab ipso auxilium exspecta: nam ipse vt iudex iustam sententiam proferet, et celebrabit te, et illustrem te reddet, vt omnibus sis clarus veluti meridiana lux. *7. Subditus esto Domino, et ora eum.* Hæc igitur sciens, obtempera Deo gubernanti, et perge ab ipso bona necessaria petere. *Noli æmulari erga eum, qui prosperatur in via sua, erga hominem facientem iniustitiam.* Quod si quempiam videris praue agentem, et spe sua non deiici, sed secundo flumine ferri, noli indignari, neque moleste ferre, tanquam huiusce mundi machinam nemine gubernante. Hoc enim quæ sequuntur demonstrant: *8. Desine ab ira, et derelinque furorem: noli æmulari vt maligneris. 9. Quoniam qui malignantur, exterminabuntur.* Ne respicias secundas res illorum, sed exspecta finem, et videbis interitum. *Exspectantes autem Dominum ipsi hereditabunt terram. 10. Et adhuc parum superest, et non erit peccator, et quæres locum eius, et non inuenies. 11. Mansueti autem hereditabunt terram, et delecta-*

1) χορηγουμένων. Cod. 1. et 2. ac CORD. p. 666. addunt ἀγαθῶν. 2) Ἀποκάλυψον. Præstat versio *Aquilæ* κύλιε, et *Symmachi* ἐπικύλισον. 3) Ὑποτάγηθι. *Aquila* σίγησον. *Symm.* ἡσύχαζε. 4) ἱκέτευσον. *Aquila* ἀποκαραδόκει. 5) Cod. 2. αὐτῷ. 6) διατέλει. Hoc loco quædam adduntur apud CORD. p. 680. 7) Cod. Vatic. παρανομίας. 8) κἂν. Cod. 2. ἐάν. 9) τέλος. Cod. 2. ἔλεος. 10) Καὶ ἔτι — κληρονομήσουσι γῆν. Def. in Cod. 1.

lectabuntur multitudine pacis. Scito enim, fore vt hi, qui a diuina spe pendent, et qui mansuetam vitam elegerunt, in otio et pace degant, delicias habentes æternas, conscientiæ scilicet puritatem. Hi vero qui fluxæ felicitati confidunt, celerem mutationem percipient, et perpetuæ obliuioni tradentur. 12. *Obseruabit peccator iustum, et stridebit super eum dentibus suis.* 13. *Dominus autem irridebit eum, quoniam prospicit fore vt veniat dies eius.* Per hæc etiam consolationem iniuria affectis affert. Ostendit enim peccatorem quidem rabie percitum, et furentem contra eos, qui quietam vitam amplexi sunt: iustum vero iudicem audaces illorum conatus irridentem, vt qui celerem eorum finem præuideat. * 14. *Gladium euaginauerunt peccatores, intenderant arcum suum, vt decipiant pauperem et inopem, vt iugulent rectos corde.* 15. *Gladius eorum intret in corda ipsorum, et arcus eorum confringantur.* Eundem sensum hæc habent, quem superiora. Nam docet peccatorem quidem omnibus machinationibus contra eos qui nihil peccarunt vsum fuisse, verum intra propria retia transfodiendum esse. Gladium namque et arcum vocauit diuersas insidias. Hæc respondent iis, quæ in septimo psalmo dicta fuere, a) Lacum aperuit, et effodit eum, et incidit in foueam, quam fe-

τρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. Εὖ γὰρ ἴσθι, ὅτι οἱ μὲν τῆς θείας ἐλπίδος σφᾶς αὐτοὺς ἀναρτήσαντες, καὶ τὸν ἐπιεικῆ προαιρούμενοι βίον, ἐν ἀπραγμοσύνῃ καὶ εἰρήνῃ 1) διατελέσουσι, τρυφὴν ἔχοντες μόνιμον τοῦ συνειδότος τὴν καθαρότητα. οἱ δὲ τῇ προσκαίρῳ εὐημερίᾳ θαῤῥοῦντες ταχεῖαν δέξονται τὴν μεταβολὴν, καὶ λήθῃ παραδοθήσονται παντελεῖ. ιβ΄. 2) Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον. καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ. ιγ΄. Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτὸν, ὅτι προβλέπει, ὅτι ἥξει 3) ἡ ἡμέρα αὐτοῦ. Καὶ διὰ τούτων παραψυχὴν τοῖς ἀδικουμένοις προσφέρει. δείκνυσι γὰρ τὸν μὲν παράνομον, λυττῶντα καὶ μεμηνότα κατὰ τῶν 4) τὸν ἀπράγμονα βίον ἀσπαζομένων· τὸν δὲ δίκαιον κριτὴν καταγελῶντα τῆς ἐγχειρήσεως· ἅτε δὴ τὴν ταχεῖαν 5) αὐτῶν τελευτὴν προορῶντα. ιδ΄. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ, ἐνέτειναν τόξον αὐτῶν, τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ. ιε΄. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη. Τὴν αὐτὴν ἔχει τοῖς προειρημένοις καὶ ταῦτα 6) διάνοιαν. διδάσκει γὰρ ὡς παντοδαποῖς μὲν ὁ 7) ἁμαρτωλὸς κατὰ τῶν οὐδὲν ἠδικηκότων κέχρηται μηχαναῖς, ταῖς δὲ οἰκείαις 8) περιπαρήσεται πάγαις. 9) καὶ ῥομφαίαν γὰρ καὶ τόξον κέκληκε τὰς διαφόρους ἐπιβουλάς. ἔοικε 10) ταῦτα τοῖς ἐν τῷ ἑβδόμῳ εἰρημένοις ψαλμῷ· λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν, 11) καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο.

1) Cod. 1. 2. διατελοῦσι. 2) Παρατηρήσεται — τὸν δίκαιον. Symm. ἐννοεῖ ὁ ἀσεβὴς περὶ τοῦ δικαίου. 3) ἡ. Abest a Cod. 2. 4) τόν. Abest a Cod. 2. 5) Cod. 1. 2. αὐτοῦ. 6) διάνοιαν. Cod. 1. præm. τήν. 7) ἁμαρτωλός. Cod. 1. 2. ἄδικος. 8) Cod. 1. 2. περιπαγήσεται. CORD. p. 668. περιπεσεῖται. 9) καί. Abest a Cod. 2. 10) ταῦτα. Cod. 1. 2. præm. δέ. 11) καὶ — εἰργάσατο. Horum in locum substituit CORD. p. 682.

a) Ps. 7, 16.

σατο. ιϛ΄. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. Ἄμεινόν φησι· μετὰ δικαιοσύνης αὐτάρκεια, παρανόμου πλούτου καὶ περιουσίας ἀδίκου. εἶτα 1) δεικνὺς τὴν ἀμφοτέρων ἐπικαρπίαν, 2) φησίν· ιζ΄. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος. Βραχίονας 3) τροπικῶς τὴν δύναμιν ἀπεκάλεσεν. 4) ἐπειδὴ διὰ τούτων ἐργάζεσθαι πεφύκασιν ἄνθρωποι. προσφυῶς δὲ ἄγαν τὸ ὑποστηρίζει 5) τοὺς δικαίους, τέθεικεν. ὑπὸ δαιμόνων γὰρ 6) καὶ ἀνθρώπων ὠθέμενοι, ὑπὸ δὲ τῆς θείας ἐρειδόμενοι χάριτος, 7) ἵστανται, καὶ τῶν ἐπιόντων περιγίνονται δυσχερῶν. ιη΄. Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται. ιθ΄. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται. Πάσης ἀπολαύουσι προνοίας οἱ ἄμεμπτον βίον αἱρούμενοι. κἂν γὰρ συμφοραῖς περιπέσωσι κρείττους 8) ἀποφαίνονται τούτων· καὶ κοινῆς γενομένης ἐνδείας, παρὰ τοῦ Θεοῦ δέξονται τὴν αὐτάρκειαν, καὶ πρὸς τούτοις τῶν αἰωνίων ἀπολαύσουσιν ἀγαθῶν. λιμὸν δὲ 9) ἡγοῦμαι ἐνταῦθα παραδηλοῦσθαι τὸν πάλαι Ἰουδαίοις ἀπειληθέντα· ἐπάξω λιμὸν ἐπὶ τὴν γῆν· οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. κ΄. Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται· οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου, 10) ἅμα 11) τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον. Ἡ τοῦ συνδέσμου ἐναλλαγὴ διαφορὰν προσώπων εἰργάσατο· καὶ ἀλ-

cit. *16. Melius est modicum quod est iusto, diuitiis peccatorum multis.* Melior est, inquit, sufficientia cum iustitia, quam diuitiæ iniquæ, et affluentia iniusta. Deinde ostendens vtrorumque fructum ait: *17. Quoniam brachia peccatorum conterentur, confirmat autem iustos Dominus. Brachia* per Metaphoram appellauit potentiam: quoniam per hæc insitum est a natura hominibus vt operentur. Præclare vero *confirmat iustos* dixit: nam a dæmonibus et ab hominibus agitati, a diuina vero gratia confirmati, consistunt, et ingruentibus calamitatibus superiores fiunt. *18. Nouit Dominus vias immaculatorum, et hereditas eorum in æternum erit. 19. Non confundentur tempore malo, et diebus famis saturabuntur.* Omni fruuntur prouidentia, qui inculpatam vitam elegerint. Licet enim in calamitates incidant, his superiores redduntur, et communi inopia grassante, a Deo sufficientem victum accipient, et præterea sempiternis bonis perfruentur. Porro famem opinor hîc significari eam, quæ antiquis Iudæis intentata fuit, *a)* Ducam famem super terram, non famem panis, neque sitim aquæ, sed famem audiendi verbum Dei. *20. Quia peccatores peribunt: inimici vero Domini, simulac honorificati fuerint et exaltati, deficientes quemadmodum fumus deficiunt.* Mutatio coniunctionis differentiam personarum induxit, et ansam

1) Cod. 1. 2. δείκνυσι. 2) φησίν. Abest a Cod. 1. 2. 3) τροπικῶς. Cod. 1. 2. præm. δέ. 4) Cod. 2. ἐπεί. 5) τούς. Cod. 2. præm. δέ. 6) καὶ ἀνθρώπων. Cod. 2. οἱ ἄνθρωποι. 7) Cod. 1. 2. ἑστᾶσι. 8) Cod. 1. 2. ἀποφαίνονται. 9) Cod. 1. 2. ἐνταῦθα ἡγοῦμαι. Pro ἡγοῦμαι Cod. 2. habet οἶμαι. 10) ἅμα — ὑψωθῆναι. Hebr. *vt gloria pascuorum.* 11) τῷ. Cod. 2. τοῦ.

a) Amos 8, 11.

ſam præbet interpretandi, alios eſſe peccatores, alios inimicos Domini. Aquila vero et Symmachus pro * *vero* coniunctionem *et* * ponentes, eosdem eſſe peccatores et Dei inimicos oſtenderunt. Dicit autem homines ob propria peccata Dei inimicos, cum parum temporis floruiſſent, atque illuſtres et clari viſi eſſent, vt fumum diſſolutos fuiſſe. 21. *Mutuatur peccator, et non ſoluet: iuſtus autem miſeretur, et tribuit.* Talis fuit Saul, qui ſemper beneficiis affectus a diuino Dauide, bona benefactori rependere noluit. At beatus Dauid, proprium Dominum imitans, *a*) qui oriri facit ſolem ſuum ſuper bonos et malos, de illo bene mereri non ceſſabat. Tales fuerunt Iudæi, qui omnia ſtudiorum genera a ſacris apoſtolis accipientes, ſanguinolentum animum contra eos oſtendebant. Attamen diuini apoſtoli diuina dona ipſis liberaliter diſtribuebant. 22. *Quoniam benedicentes ei hereditabunt terram, maledicentes autem ei diſperibunt.* Hoc patriarchæ Abrahamo Deus vniverſorum promiſit, *b*) Benedicam benedicentibus tibi, et maledicentibus tibi maledicam. 23. *A Domino greſſus hominis diriguntur, et via eius valde delectabitur.* 24. *Cum ceciderit, non collidetur, quia Dominus confirmat manum eius.* Hac enim de cauſa laudat quidem laudantem iuſtum, maledi-

λȣς μὲν ὑποβάλλει νοεῖν τȣ̀ς ἁμαρτωλȣ̀ς, ἄλλȣς δὲ 1) ἐχθρȣ̀ς τȣ̃ Κυρίȣ. 2) Ἀκύλας δὲ, καὶ ὁ Σύμμαχος, ἀντὶ τȣ̃ ΔΕ τὸν ΚΑΙ σύνδεσμον τεθεικότες, τȣ̀ς αὐτȣ̀ς ἔδειξαν ἁμαρτωλȣ̀ς, καὶ τȣ̃ Κυρίȣ ἐχθρȣ́ς. λέγει δὲ ὅτι οἱ θεομισεῖς διὰ τὰς οἰκείας παρανομίας ἄνθρωποι, ὀλίγον ἀνθήσαντες χρόνον, καὶ δόξαντες εἶναι περιφανεῖς καὶ περίβλεπτοι, δίκην καπνȣ̃ διελύθησαν. κα΄. Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ ȣ̓κ ἀποτίσει· ὁ δὲ δίκαιος οἰκτείρει, καὶ 3) δίδωσιν. Τοιȣ̃τος ἦν ὁ Σαȣ̀λ, ἀεὶ μὲν εὐεργετȣ́μενος ὑπὸ τȣ̃ 4) θειοτάτȣ Δαβὶδ, ἀμείψασθαι δὲ ἀγαθοῖς τὸν εὐεργέτην ȣ̓κ ἀνεχόμενος. ὁ δὲ 5) μακάριος Δαβὶδ, τὸν οἰκεῖον Δεσπότην μιμȣ́μενος, ἀνατέλλοντα τὸν ἥλιον αὐτȣ̃ ἐπὶ πονηρȣ̀ς καὶ ἀγαθȣ̀ς, εὐεργετῶν διετέλει. τοιȣ̃τοι ἦσαν οἱ Ἰȣδαῖοι, τὰς παντοδαπὰς θεραπείας παρὰ τῶν ἱερῶν ἀποστόλων δεχόμενοι, καὶ τὴν μιαιφόνον ἐπιδεικνύμενοι γνώμην· ἀλλ᾽ ὅμως οἱ θεῖοι ἀπόστολοι τὰς θείας αὐτοῖς δωρεὰς φιλοτίμως διένεμον. κβ΄. Ὅτι οἱ εὐλογȣ̃ντες αὐτὸν κληρονομήσȣσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται. Τȣ̃το τῷ πατριάρχῃ Ἀβραὰμ ὁ τῶν ὅλων Θεὸς ἐπηγγείλατο, εὐλογήσω τȣ̀ς εὐλογȣ̃ντάς σε, καὶ τȣ̀ς καταρωμένȣς σε καταράσομαι. κγ΄. Παρὰ Κυρίȣ τὰ διαβήματα ἀνθρώπȣ κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτȣ̃ θελήσει 6) σφόδρα. κδ΄. 7) Ὅτ᾽ ἂν πέσῃ ȣ̓ καταῤῥαχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα 8) αὐτῷ. Τȣ́τȣ γάρ τοι χάριν εὐλογεῖ μὲν 9) τὸν εὐλογȣ̃ντα τὸν δίκαιον, τὸν δὲ καταρώ-

1) ἐχθρȣ́ς. Cod. 1. 2. præm. τȣ́ς. 2) Ἀκύλας — ἐχθρȣ́ς. Hoc Scholion exſtat in edit. *rom.* τῶν ό. 3) δίδωσιν. Ita leg. in Cod. *alex.* ſed Cod. *vat.* habet διδοῖ. 4) Cod. 2. θείȣ. 5) μακάριος. Cod. 2. θεῖος. 6) σφόδρα. Additur in Cod. *alex.* 7) Rec. lectio eſt ὅταν. 8) Cod. 1. 2. αὐτοῦ, quæ etiam eſt rec. lectio in Verſ. græca. 9) Cod. 2. τȣ̀ς εὐλογȣ̃ντας.

a) Matth. 5, 45. *b*) Gen. 12, 3.

ταρώμενον τοῖς ἴσοις ἀμείβεται· ἐπειδὴ αὐτὸς κατευθύνει τὰς τῶν δικαίων ὁδούς· ἀδύνατον γὰρ δίχα τῆς αὐτοῦ χάριτος ἀμέμπτως ὁδεῦσαί τινα τὴν τῆς ἀρετῆς ὁδόν. συνεργεῖ 1) μέντοι τοῖς 2) τοῦτον ἔχουσι τὸν σκοπόν· καὶ χρεία κατὰ ταὐτὸν συνδραμεῖν εἰς τὴν κτῆσιν τῆς ἀρετῆς προθυμίαν ἀνθρωπίνην, καὶ θείαν προμήθειαν. οὕτω γὰρ κἂν ὀλισθήσῃ ποτὲ ὁ τήνδε τὴν πορείαν ποιούμενος, τῆς θείας ἀντιλήψεως τεύξεται. οὕτως ὁ 3) μακάριος προσπταίσας Δαβὶδ, καὶ κατενεχθῆναι κινδυνεύσας εἰς γῆν, ὑπὸ τῆς θείας 4) χάριτος ἀνωρθώθη. κε'. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον· οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. κϛ'. Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει 5) ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. Καὶ νέος ὢν, καὶ εἰς γῆρας ἐλθὼν, οὐκ 6) οἶδα θεασάμενος 7) δίκαιον τῆς θείας 8) ἔρημον προνοίας γενόμενον. ὁ γάρ τοι δίκαιος κριτὴς, οὐ μόνον αὐτῶν, ἀλλὰ καὶ τῶν ἐξ αὐτῶν φυομένων πᾶσαν ποιεῖται κηδεμονίαν. οὕτω τοῦ Ἰσραὴλ καὶ 9) ταῦτα παρανομοῦντος, διὰ τὴν προγονικὴν ἀρετὴν προὐνοήθη. οὕτω τοῦ Σολομῶντος ἠσεβηκότος ἠνέσχετο διὰ τὴν πατρῴαν φιλοθεΐαν. τὸ δὲ ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος, τὰς παντοδαπὰς τοῦ δικαίου εὐεργεσίας δηλοῖ, τὰς διὰ 10) χρημάτων, τὰς διὰ 11) πραγμάτων, τὰς διὰ λόγων καὶ συμβούλων. ταῦτα δὲ ποιῶν, ἐλεεῖ μὲν τοὺς ἀπολαύοντας· δανείζει δὲ τῷ 12) τού-

centem vero æquali lance remuneratur, quoniam ipse iustorum vias dirigit. Fieri enim non potest, vt quis absque ipsius gratia sine culpa in virtutis via incedat. Fauet igitur his, qui tale propositum habent: et necesse est ad virtutis acquisitionem, humanam promtitudinem et diuinam opem vna concurrere. Sic enim etsi aliquando prolabatur qui hoc iter facit, diuinam tamen opem consequitur. Eodem modo beatus Dauid, cum offendisset, et ne in terram procideret periclitaretur, per divinam gratiam erectus est. 25. *Iunior fui, quin etiam consenui, et non vidi iustum derelictum, nec semen eius quærens panem.* 26. *Toto die miseretur, et commodat iustus, et semen illius in benedictione erit.* Nec cum essem iunior, neque senio confectus, noui, nec vidi iustum diuina prouidentia destitutum esse. Etenim iustus iudex non modo ipsorum, sed * etiam illorum, qui ex ipsis nascuntur, omnem curam gerit. Sic Israelis etiam hæc impie agentis, ob maiorum virtutem rationem habuit. Eodem modo Salomonem impie peccantem ob paternam pietatem pertulit. Hoc autem, *Toto die miseretur et commodat iustus*, omnis generis beneficia iusti designat: videlicet, per opes, per negotia, per verba et consilia. Hæc vero faciens, miseretur quidem eorum, qui hæc consequuntur: commodat autem horum

1) Cod. 2. *μέν.* 2) *τοῦτον.* Abest a Cod. 2. 3) *μακάριος.* Cod. 2. *θεῖος.* 4) *χάριτος ἀνωρθώθη.* Cod. 2. *ἐπανεκλήθη χάριτος.* CORD. p. 669. *χάριτος ἠξιώθη.* 5) *ὁ δίκαιος.* Additur in Cod. *alex.* 6) Cod. 2. *εἶδον*, omisso *θεασάμενος.* 7) *δίκαιον τῆς.* Cod. 2. *δίκαιον ἐγκαταλελειμμένον ἤγουν τῆς.* 8) Cod. 2. *προνοίας γενόμενον ἔρημον.* 9) *ταῦτα.* Cod. 1. *τοιαῦτα.* 10) *χρημάτων.* Cod. 1. 2. *πραγμάτων.* 11) *πραγμάτων.* Cod. 1. *χρημάτων.* 12) *τούτων.* Cod. 2. *τῶν ὅλων.*

rum Deo. Qui enim miseretur, ait, a) pauperis, commodat Deo: vt idem sit misericordia ac mutuum. 27. *Declina a malo, et fac bonum, et habita in seculum saeculi.* Cum haec igitur noueritis vos omnes homines, cumque praemia virtutis et malitiae didiceritis, fugite quidem sceleris species, ambulate vero contrariam viam, vt sempiternis bonis perfruamini. 28. *Quia Dominus amat iudicium, et non derelinquet sanctos suos, quia in aeternum conseruabuntur; iniusti autem punientur, et semen impiorum peribit.* 29. *Iusti autem hereditabunt terram, et habitabunt in saeculum saeculi super ea.* Recto et iusto iudicio vtens vniuersorum Dominus, remunerationes studiis accommodatas dabit. Iustitiae quidem cultores omni cura dignabitur: contraria vero eligentes radicitus euellet. Sic vtrorumque fructu patefacto, docet deinceps, quomodo possit Deo accepta iustitia exerceri. 30. *Os iusti meditabitur sapientiam, et lingua eius loquetur iudicium.* 31. *Lex Dei eius in corde ipsius, et non supplantabuntur gressus eius.* Decorum est, inquit, et lingua et mente diuina eloquia circumferre, et haec semper meditari. Sic enim virtutis studiosus quid agendum sit discens, intrepidus et immobilis manebit, superior factus iis, qui illum de statu suo deiicere conantur.

τῷ Θεῷ· ὁ γὰρ ἐλεῶν φησι πτωχὸν, δανείζει Θεῷ, 1) ὡς τὸ 2) αὐτὸ ἔλεον εἶναι καὶ δάνεισμα. κζ΄. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος. Ταῦτα τοίνυν εἰδότες ἅπαντες ἄνθρωποι, καὶ μεμαθηκότες τῆς ἀρετῆς καὶ τῆς κακίας τὰ ἐπίχειρα, 3) φεύγετε μὲν τῆς κακίας τὰ εἴδη, ὁδεύσατε δὲ τὴν ἐναντίαν ὁδὸν, ἵνα τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσητε. κη΄. Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ 4) ἐγκαταλείπει τοὺς ὁσίους αὐτοῦ, 5) ὅτι εἰς τὸν αἰῶνα φυλαχθήσονται. 6) ἄνομοι δὲ ἐκδιωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται. κθ΄. Δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ᾽ αὐτῆς. Ὀρθῇ καὶ δικαίᾳ 7) κρίσει χρώμενος τῶν ὅλων ὁ Κύριος προσφυεῖς τοῖς ἐπιτηδεύμασι τὰς ἀντιδόσεις ποιήσεται· καὶ τοὺς μὲν τῆς δικαιοσύνης ἐραστὰς πάσης ἀξιώσει κηδεμονίας· τοὺς δὲ τἀναντία προαιρουμένους ἀνασπάσει πρόῤῥιζους. 8) οὕτω τοὺς ἑκατέρων δείξας καρποὺς, διδάσκει λοιπὸν, πῶς ἔνεστι τὴν τῷ Θεῷ φίλην κατορθῶσαι δικαιοσύνην. λ΄. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. λα΄. Ὁ νόμος τοῦ 9) Θεοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται διαβήματα αὐτοῦ. Προσήκει φησὶ, κἂν τῇ γλώττῃ, κἂν τῇ διανοίᾳ τὰ θεῖα λόγια περιφέρειν, καὶ τὴν τούτων μελέτην ποιεῖσθαι διηνεκῶς. οὕτω γὰρ τὸ πρακτέον μανθάνων ὁ τῆς ἀρετῆς ἐραστὴς, ἀτρεμὴς 10) μενεῖ καὶ ἀσάλευτος, τῶν καταβαλεῖν ἐπιχειρούντων περιγινόμενος.

1) Cod. 1. 2. ὥστε. 2) αὐτό. Cod. 1. addit καί. 3) Cod. 1. 2. φύγητε. 4) Cod. 2. ἐγκαταλείψει, quae est rec. lectio. 5) ὅτι. Abest a vers. τῶν ὀ. 6) ἄνομοι δὲ ἐκδιωχθήσονται. Des. in Textu hebr. In Cod. vatic. leg. ἄμωμοι ἐκδικηθήσονται. 7) κρίσει. Cod. 2. χρήσει. 8) οὕτω. Cod. 2. addit καί. 9) Θεοῦ. Cod. 2. addit αὐτοῦ. Sicque etiam leg. in vers. τῶν ὀ. 10) Cod. 1. 2. μένει.

a) Prov. 19, 17.

μενος. ταῦτα καὶ ἐν τῷ πρώτῳ ἔφη ψαλμῷ· 1) ἀλλ' ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, 2) καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· καὶ τὰ ἑξῆς. λβ'. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν. λγ'. Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλείπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, 3) οὐδὲ μὴ 4) καταδικάσηται αὐτὸν ὅταν κρίνηται 5) αὐτῷ. Διαφόρως 6) τὰ αὐτὰ λέγει, τῇ πλείονι μελέτῃ μονιμωτέραν κατασκευάζων τὴν μνήμην. λέγει δὲ ὡς οὐ περιόψεται τὸν δίκαιον ὁ Δεσπότης ἐπιβουλευόμενον ὑπὸ τῶν πονηρῶν, οὐδὲ συμψηφιεῖται αὐτοῖς τὰ τοιαῦτα τολμῶσι, ἀλλ' ὑπερπηδῆσαι παρασκευάσει τὰ δίκτυα. 7) ταύτης ἀπέλαυσεν Ἀβραὰμ τῆς προνοίας, 8) δὶς ἁρπαγείσης τῆς Σάῤῥας· ταύτης ὁ Ἰσαὰκ 9) αὐτὸ τοῦτο παθών· ταύτης ὁ Ἰακὼβ ὑπ' ἀδελφοῦ καὶ κηδεστοῦ φθονηθείς· ταύτης ὁ Ἰωσὴφ ὑπὸ φθόνου καὶ συκοφαντίας πολεμηθείς. καί τι δεῖ καταλέγειν πάντα; ῥᾴδιον γὰρ τοῖς φιλομαθέσι, καὶ τὰ πάλαι συλλέξαι, καὶ θεωρῆσαι τὰ νέα. λδ'. Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε, τοῦ κατακληρονομῆσαι τὴν γῆν, ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει. Ταῦτα τοίνυν μεμαθηκὼς, τὴν θείαν περίμενε ψῆφον, καὶ τοὺς κειμένους φύλαττε νόμους. οὕτω γὰρ 10) καὶ ἐν τῷ παρόντι βίῳ γενήσῃ περίβλεπτος, καὶ ἐν τῷ μέλλοντι τῶν μονίμων ἀγαθῶν ἀπολαύσῃ, καὶ ὄψει τῶν ἁμαρτωλῶν τὸ τρισάθλιον τέλος. εἶτα 11) ἐπειδὴ πολλοὺς

nantur. Hæc et in primo psalmo dixit, a) Sed in lege Domini voluntas eius, et in lege eius meditabitur die ac nocte, et quæ sequuntur. 32. *Insidiose obseruat peccator iustum, et quærit vt occidat eum.* 33. * *Dominus autem non derelinquet eum in manibus eius, nec damnabit eum, quum iudicium feretur de illo.* Diuersis modis eadem dicit, maiori meditatione tenaciorem memoriam faciens. Dicit autem, Dominum minime despecturum esse hominem iustum, cum ab iniquis hominibus insidiis petitur, neque adhæsurum ipsis qui talia audent, sed effecturum, vt retia transsiliat. Hanc opem consecutus est Abraham, Sara eius vxore bis rapta; hanc et Isaac hoc idem passus; hanc Iacob a fratre et a socero innidia appetitus; hanc Ioseph per inuidiam et calumniam oppugnatus. Et quid opus est omnia percurrere? Facile enim est studiosis, et antiqua colligere, et noua considerare. 34. *Exspecta Dominum, custodi viam eius: exaltabit te, vt hereditate capias terram; cum perierint peccatores, videbis.* Hæc igitur edoctus, diuinam sententiam exspecta, et leges impositas custodi. Sic enim et in hac vita illustris eris, et in futura permanentibus bonis perfrueris, et videbis miserrimum peccatorum finem. Deinde quoniam mul-

1) Cod. 1. 2. ἀλλ' ἤ. 2) καὶ — νυκτός. Abest a Cod. 2. 3) οὐδὲ μή. Cod. 2. οὐδ' οὐ μή. 4) καταδικάσηται. Ita in Cod. alex. leg. Cod. vatic. καταδικάσαι. 5) Cod. 1. 2. αὐτόν. 6) Cod. 1. ταῦτα. 7) ταύτης — τὰ νέα. Des. apud CORD. p. 671. 8) Cod. 1. διαρπαγείσης. 9) Cod. 1. ταὐτό. Cod. 2. ἀντὶ τούτου. 10) καὶ ἐν. Cod. 1. 2. κἀν. Ita quoque post pauca. 11) Cod. 2. ἐπεί.

a) Ps. 1, 2.

multos contristat, quod nunc non videant sceleratos homines pœnas pendere, sed longo tempore persistere, merito ex præteritis futura confirmat. 35. *Vidi impium exaltatum, et eleuatum sicut cedros Libani.* 36. *Et transiui, et ecce non erat: quæsiui eum, et non est inuentus locus eius.* Vidit enim magnus Dauid et finem regni Saulis, et euersionem tyrannidis Absalomi, et superbiam atque interitum Naasi Ammanitæ, et cum fastu mortem Goliathi alienigenæ, et aliorum præter hos non paucorum arrogantiam et superbiam, et vltimam perniciem. Merito igitur illorum felicitatem sterilibus arboribus comparauit. Vanos autem esse dicit, non solum ipsos, verum etiam eorum loca: per hæc autem memoriam significauit. Deinde rursus admonitionem et consilium affert. 37. *Custodi innocentiam, et vide æquitatem, quoniam sunt reliquiæ homini pacifico.* Hoc Symmachus sic vertit: *custodi simplicitatem, * et vide rectum, * quoniam sunt futura homini pacifico.* Ne respicias, ait, in præsentes calamitates, sed futura exspecta. Erit enim tempus, quo iis, qui simplicitatem et rectitudinem excoluerint, merces congruens rependetur. 38. *Iniusti autem dispersibunt simul, reliquiæ impiorum interibunt.* Hoc rursus Sym-

ἀνιᾷ τὸ μὴ νῦν ὁρᾷν τῶν ἀδίκων τὴν τιμωρίαν, 1) ἀλλ' ἀναμένειν χρόνον μακρὸν, εἰκότως ἀπὸ τῶν γεγενημένων πιςοῦται τὰ μέλλοντα. λέ. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου. λς'. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Εἶδε γὰρ ὁ μέγας Δαβὶδ, καὶ τῆς τοῦ Σαοὺλ βασιλείας τὸ τέλος, καὶ τῆς τοῦ Ἀβεσσαλὼμ τυραννίδος τὸν ὄλεθρον, καὶ Ναὰς τοῦ Ἀμμανίτου 2) καὶ τὴν ὑπερηφανίαν καὶ τὴν ἀπώλειαν, καὶ τοῦ ἀλλοφύλου Γολιὰθ σὺν τῷ τύφῳ τὸν θάνατον· καὶ ἄλλων αὖ πρὸς τούτοις οὐκ ὀλίγων καὶ τὴν ἀλαζονείαν, 3) καὶ τὴν ὑπερηφανίαν, καὶ τὴν πανωλεθρίαν. εἰκότως τοίνυν τοῖς ἀκάρποις δένδροις τὴν ἐκείνων εὐημερίαν ἀπείκασε. Φρούδους δὲ ἔφη γεγενῆσθαι οὐ μόνον αὐτοὺς, ἀλλὰ καὶ τοὺς ἐκείνων τόπους. διὰ τούτων δὲ τὴν μνήμην ἐδήλωσεν. εἶτα πάλιν εἰσήγησιν εἰσφέρει καὶ συμβουλήν. λζ'. Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, 4) ὅτι ἐςὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ. 5) Τοῦτο δὲ ὁ Σύμμαχος οὕτως ἔφη· Φύλασσε ἁπλότητα, καὶ ὅρα εὐθὺ, ὅτι ἔςι μέλλοντα ἀνθρώπῳ εἰρηνικῷ. μὴ ἀποβλέψῃς, φησὶν, εἰς τὰ παρόντα λυπηρὰ, ἀλλὰ προσδέχου τὰ μέλλοντα. ἔςι γὰρ καιρὸς, ἐν ᾧ τοῖς ἁπλότητι καὶ εὐθύτητι κεχρημένοις ἀποδοθήσεται ὁ προσήκων μισθός. λή. Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό. τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν 6) ἐξολοθρευθήσεται. Τοῦτο πάλιν ὁ Σύμμαχος οὕτως

1) ἀλλ'. Abest a Cod. 1. 2) καί. Abest a Cod. 2. 3) καὶ τὴν ὑπερηφανίαν. Abest a Cod. 1. 2. 4) ὅτι — εἰρηνικῷ. Hebr. *quia finis viro* sc. tali, *pax* erit. Hunc sensum expressisse videtur *Aquila*, cuius tamen interpretatio h. l. manca est, cum nihil præter vocem ἔσχατον de illa supersit. 5) Τοῦτο — εἰρηνικῷ. Des. in Cod. 1. 6) Cod. 2. ἐξολοθρευθήσονται quæ est rec. lectio h. l.

οὕτως εἴρηκεν· οἱ δὲ ἀθετοῦντες ἐξαλειφθήσονται ὁμοῦ, τὰ ἔσχατα τῶν ἀνόμων 1) ἐκκοπήσεται. ἐν ἐκείνῳ, φησὶ, τῷ καιρῷ, καὶ οὗτοι τὰ ἐπίχειρα δέξονται, 2) καὶ κοινὸν 3) ὑπομενοῦσιν ὄλεθρον. λθ'. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως. μ'. Καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτοὺς, 4) καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. Οἱ δὲ τῆς δικαιοσύνης ἐργάται τῆς θείας ῥοπῆς 5) ἀπολαύσονται, καὶ σωτηρίας τεύξονται, καὶ τῶν ἀδικεῖν πειρωμένων περιγενήσονται, ἅτε δὴ ἀκραιφνῆ τὴν περὶ 6) αὐτῶν ἐλπίδα κτησάμενοι.

Symmachus sic expressit: *Praeuaricatores autem simul delebuntur, nouissima iniquorum excidentur.* Illo, inquit, tempore hi etiam suæ malitiæ præmia habebunt, et communem interitum patientur. 39. *Salus autem iustorum a Domino, et protector eorum est in tempore tribulationis.* 40 *Et adiuuabit eos Dominus. Et liberabit eos, et eruet eos a peccatoribus, et saluabit eos, quia sperauerunt in eo.* Qui autem iustitiam exercent, diuino auxilio perfruentur, et salutem consequentur, et superabunt eos, qui offendere conantur, quippe qui in eo totam spem fixam habuerint.

ΕΡΜΗΝ. ΤΟΥ λζ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβὶδ, εἰς ἀνάμνησιν 7) περὶ τοῦ σαββάτου. 8) Τὴν σπουδαίαν μετάνοιαν τοῦ 9) θειοτάτου Δαβὶδ τὸ τῆς ἐξομολογήσεως κηρύττει διάφορον. ἐν πολλοῖς γὰρ ψαλμοῖς μέμνηται τῆς ἁμαρτίας, 10) τὸ ἕλκος οὐκ ἀνεχόμενος, ἀλλὰ καὶ τὴν νόσον, καὶ τὴν θεραπείαν εἰς μέσον προτίθησι, διδασκαλίας ὑπόθεσιν τοῖς ἀνθρώποις προσφέρων· καὶ τούτῳ τοιγαροῦν τῷ ψαλμῷ, καὶ τῆς ἁμαρτίας μέμνηται, καὶ τῆς διὰ τὴν 11) θεραπείαν τῆς ἁμαρτίας ἐπενεχθείσης παιδείας. ἐπηνέχθη δὲ αὐτῷ πολλὰ καὶ διάφορα δυσχερῆ· τοῦ Ἀμνὼν ἡ σφαγὴ, ἡ τοῦ Ἀβεσσαλὼμ τυραννὶς, Ἀχι-

INTERP. PSALMI XXXVII.

1. *Psalmus Dauidi, in commemorationem de sabbato.* Confessionis varietas demonstrat sinceram diuini Dauidis pœnitentiam. In multis enim psalmis peccati meminit, vt qui vulnus ferre non poterat. Immo etiam morbum, et curationem in medium profert, doctrinæ argumentum hominibus afferens. In hoc igitur etiam psalmo peccati mentionem facit, et pœnæ inflictæ ob peccati expiationem. Acciderunt autem ipsi multæ et variæ molestiæ, nimirum Amnonis cædes, Absalomi tyrannis, Achitophel consi-

1) Cod. 1. 2. ἐκκοπήσονται. 2) καί. Abest a Cod. 1. 2. 3) Cod. 1. 2. ὑπομένοντες. 4) καὶ ἐξελ. αὐτούς. Abest a Cod. 2. 5) Cod. 1. 2. ἀπολαύοντες. 6) Cod. 1. 2. αὐτόν. 7) περὶ τοῦ σαββάτου. Abest a Cod. 1. 2. 8) Τὴν — διάφορον. Hæc apud CORD. p. 704. ad vers. sequentem relata sunt. Eorum autem locum p. 695. hæc occupant: Τοῦτον ᾄδει τὸν ψαλμὸν, ἀναμιμνήσκων ἑαυτὸν τῆς ταλαιπωρίας ἧς ὑπέμεινε διὰ τὴν ἁμαρτίαν, καὶ ἀξιοῖ σαββατισμοῦ τυχεῖν, ἤτοι ἀναπαύσεως ἐκ τῶν συμφορῶν. „Hunc Psalmum canit, in memoriam sibi reuocans miseriam quam propter peccatum sustinuerat, et petit vt Sabbatismum seu quietem a calamitatibus nanciscatur.„ 9) Cod. 2. θείου. 10) τὸ ἕλκος. Cod. 1. 2. præm. κρύπτειν. CORD. κρυπτόν. 11) θεραπ. τῆς ἁμαρτ. Cod. 1. ἁμαρτίαν.

consiliarius, qui contra ipsum consilium agitabat, Semei contumeliosus, et cetera, quæ historia docet. 2. *Domine ne in furore tuo arguas me, neque in ira tua corripias me.* Hoc etiam sexti psalmi exordium fecit, orans vt more medici, non iudicis castigetur, neque vt amarioribus medicamentis, sed lenibus curetur. 3. *Quoniam sagittæ tuæ infixæ sunt mihi, et confirmasti super me manum tuam.* * Hoc, inquit, non frustra obsecro, sed videns imbrem sagittarum in me delatum, tuamque manum mihi valde imminentem, meque vehementer cædentem. Hoc enim, *Confirmasti super me manum tuam*, dixit per Metaphoram ductam a cædentibus, multasque plagas incutientibus. 4. *Non est sanitas in carne mea propter iram tuam: non est pax ossibus meis propter peccata mea.* Supplicio, inquit, affectus peccati mei recordor: illius autem recordatio querelas mihi et ploratus inducit, ex his vero ærumnæ mihi et miseriæ nascuntur. 5. *Quoniam iniquitates meæ superarunt caput meum, et sicut onus graue grauatæ sunt super me.* 6. *Putruerunt et corruptæ sunt cicatrices meæ propter insipientiam meam.* 7. *Miser factus sum et curuatus sum in perpetuum, toto die contristatus ingrediebar.* Inflexit me,

τόφελ 1) ὁ σύμβουλος κατ' αὐτοῦ βουλευόμενος, Σεμεεὶ 2) λοιδορούμενος, καὶ τὰ ἄλλα, ὅσα ἡ ἱστορία διδάσκει. β'. Κύριε μὴ τῷ θυμῷ σου 3) ἐξελέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. 4) Τοῦτο καὶ τοῦ ἕκτου ψαλμοῦ προοίμιον ἐποιήσατο, 5) παρακαλῶν ἰατρικῶς μὴ δικαστικῶς παιδευθῆναι, μὴ δριμυτέροις, ἀλλ' ἠπίοις φαρμάκοις ἰατρευθῆναι. γ'. Ὅτι τὰ βέλη 6) σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Τοῦτο, φησὶν, οὐ μάτην ἀντιβολῶ, ἀλλ' ὁρῶν ἐπιφερομένας μοι νιφάδας βελῶν, καὶ τὴν χεῖρά σου λίαν ἐπικειμένην, καὶ σφόδρα 7) με μαστιγοῦσαν. 8) τὸ γὰρ, ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου, ἐκ μεταφορᾶς τέθεικε τῶν αἰκιζομένων, καὶ πολλὰς 9) ἐπιφερόντων πληγάς. δ'. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου. οὐκ ἔστιν εἰρήνη 10) ἐν τοῖς ὀστέοις μου 11) ἀπὸ προσώπου τῶν ἁμαρτιῶν 12) μου. Νυττόμενός φησι τῇ τιμωρίᾳ τῆς ἁμαρτίας ἀναμιμνήσκομαι· ἡ δὲ αὐτῆς μνήμη θρήνους μοι, καὶ ὀδυρμοὺς ἐργάζεται· ἐκ δὲ τούτων κακουχία μοι καὶ ταλαιπωρία προσγίνεται. ε'. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. ς'. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, 13) καὶ ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. ζ'. Ἐταλαιπώρησα, καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Κατέκαμψέ με, φησὶ

1) ὁ σύμβουλος — βουλευόμενος. Cod. 2. ἡ συμβουλὴ — βουλευομένου. 2) Cod. 2. ἡ λοιδορία. 3) Cod. 1. 2. ἐλέγξῃς, quæ est rec. lectio h. l. 4) Τοῦτο — ἰατρευθ. Def. in Cod. 2. 5) παρακ. — ἰατρευθ. Def. apud CORD. p. 704. 6) σου. Abest a Cod. 2. 7) με. Abest a Cod. 1. 8) τὸ γὰρ — πληγάς. Def. apud CORD. p. 696. 9) Cod. 1. ἐπιφερομένων. 10) ἐν. Abest a Cod. vatic. 11) ἀπὸ — ἁμαρτιῶν μου. Ab Hebraismo pura est *Symm.* versio διὰ τὰς ἁμαρτίας μου. 12) μου. Abest a Cod. 1. 13) καί. Abest a Cod. 2.

φησὶ, τὸ βαρὺ τῆς ἁμαρτίας φορτίον, ἀνιᾷ δέ με καὶ τῶν σεσηπότων ἐκείνων τραυμάτων ἡ δυσοσμία, ἃ τὴν φρόνησιν ἀποβαλὼν καὶ τῇ ἀφροσύνῃ δουλεύσας ἀπεδεξάμην. οὗ δὴ χάριν πάσης θυμηδίας ἐστερημένος, ἀχάλλω καὶ ἀλύω διηνεκῶς, καὶ τῆς σκυθρωπότητος μεταβολὴν οὐχ εὑρίσκω. ή. 1) Ὅτι αἱ 2) ψόαι με ἐπλήσθησαν ἐμπαιγμάτων, 3) καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Διὰ 4) τῶν ψοῶν τὴν ἐπιθυμίαν ἠνίξατο. ταύταις γὰρ ἔγκεινται οἱ νεφροὶ, δι᾽ ὧν αἱ ὀρέξεις κινεῖσθαι πεφύκασι. λέγει τοίνυν, ὅτι 5) τούτων αἴτιόν μοι γεγένηται τῶν κακῶν τὸ μὴ εἰς δέον, ἀλλ᾽ εἰς ἀσωτίαν, τῇ ἐπιθυμίᾳ προσχρήσασθαι. θ΄. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Ἐξ ἐκείνης, φησὶ, τῆς ἐπιθυμίας ἐτρύγησα τὸ 6) κύπτειν εἰς γῆν, καὶ διηνεκῶς ὀλοφύρεσθαι διὰ τὰς πικρὰς τῆς καρδίας ὀδύνας. τούτου χάριν τῆς ἐπιθυμίας μεταβαλὼν τὴν ἐνέργειαν, ὑπουργὸν αὐτὴν κατέστησα τοῦ θείου βουλήματος. τοῦτο γὰρ ἐπήγαγε· ί. 7) Κύριε ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου. 8) Ἐπειδὴ 9) γὰρ ἅπαξ ἐχρησάμην αὐτῇ κακῶς, ἀεὶ τοῖς σοῖς 10) αὐτὴν ἐπιτάγμασιν ἀναθήσω. καὶ ὁ στεναγμός μου ἀπό σου οὐκ ἀπεκρύβη. ιά. Ἡ καρδία μου ἐταράχθη· ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν με, 11) καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ. 12) Ὁρᾷς με, φησὶ, Δέσποτα τοὺς ὀδυρ-

inquit, graue peccati onus: mœrore autem me afficit grauis odor illorum vulnerum iam putridorum, quæ accepi, cum prudentiam abieci et insipientiæ seruiui. Qua de causa omni voluptate priuatus, mœreo et perpetuo tristis sum, et mœroris vicissitudinem non inuenio. 8. *Quoniam lumbi mei impleti sunt illusionibus, et non est sanitas in carne mea.* Per *lumbos*, concupiscentiam innuit. His enim inhærent renes, per quos appetitus excitari solent. Istorum igitur malorum, inquit, causa mihi fuit, quod non ad rectum, sed ad lasciuiam concupiscentia abusus sim. 9. *Afflictus sum, et humiliatus sum valde, rugiebam ob gemitum cordis mei.* Ex illa, inquit, concupiscentia hoc percepi, quod in terram incuruatus sim, et semper lugeam propter acerbos cordis mei dolores. Quapropter mutata concupiscentiæ opera, illam diuinæ voluntatis effeci ministram. Hoc enim subiunxit: 10. *Domine ante te omne desiderium meum.* Quoniam enim semel ipsa abusus sum, semper deinceps illam tuis mandatis addicam. *Et gemitus meus a te non est absconditus.* * 11. *Cor meum conturbatum est, dereliquit me virtus mea et lumen oculorum meorum, et illud non est mecum.* Vides, inquit, o Domine, meos plan-

1) Ὅτι — ἐμπαιγμάτων. Cod. *vatic.* habet ὅτι ἡ ψυχή μου ἐπλήσθη ἐμπαιγμῶν. 2) ψόαι. Cod. *alex.* et *Symmach.* similem habent lectionem, est ψύαι. 3) καὶ — μου. Def. in Cod. 2. 4) τῶν ψοῶν. Cod. 1. 2. τούτων. 5) τούτων. Cod. 1. 2. addunt ἁπάντων. 6) Cod. 2. κρύπτειν. 7) Κύριε. Ita in Cod. *alex.* leg. Cod. *vatic.* habet καί. 8) Ἐπειδὴ — ἀναθήσω. Hæc apud CORD. p. 707. ad vers. praeced. relata sunt. 9) γάρ. Abest a Cod. 2. 10) Cod. 2. αὐτοῖς. 11) καὶ αὐτό. Additur in Cod. *alex.* 12) Ὁρᾷς — ὠνόματεν. Hæc apud CORD. l. c. ad vers. 9. relata sunt.

planctus et lacrymas, vides me agitatum, et viribus destitutum, consuetoque lumine priuatum, et in meridie tanquam in tenebris degentem. Duo autem simul per hæc significat, et mœroris immensitatem, per quam lux non videtur esse lux, et defectum diuinæ prouidentiæ, quam *lumen oculorum* merito nuncupauit. 12. *Amici mei et proximi mei aduersus me appropinquauerunt et steterunt: et qui iuxta me erant, e longinquo steterunt.* Hoc autem Symmachus sic interpretatus est: *Amici mei, et socii mei ex aduerso in plaga mea contra me steterunt.* Nam ex amicis, inquit, alii quidem meam plagam cernentes, hostilia egerunt, et manifesto contra me steterunt: alii vero veriti secesserunt, nec sui auxilii me participem fecerunt. Tacite autem innuit in prima parte Achitophelem, qui non modo discessit, verum etiam perniciosa consilia attulit. Alii porro, vt verisimile est, eadem quæ ille fecerunt: immo vero plurima pars Israelis, atque ipsa tribus Iudæ pro Absalomo bellum gesserunt. Subito igitur post parricidæ cædem inuicem se hortabantur, vt alias tribus præueni-

μούς, καὶ τὰ δάκρυα, ὁρᾷς με κλονούμενον, 1) καὶ τῆς ἰσχύος γεγυμνωμένον, καὶ τοῦ φωτὸς τοῦ συνήθους ἐστερημένον, καὶ μεσούσης ἡμέρας 2) ὡς ἐν σκότῳ διάγοντα. δύο 3) δὲ κατὰ ταυτὸν 4) διὰ τούτων σημαίνει, καὶ τὴν τῆς ἀθυμίας 5) ὑπερβολήν, δι᾽ ἣν οὐδὲ τὸ φῶς εἶναι δοκεῖ φῶς, καὶ τῆς θείας κηδεμονίας τὴν γύμνωσιν· ἣν φῶς ὀφθαλμῶν εἰκότως 6) ὠνόμασεν. ιβ΄. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίας 7) μου ἤγγισαν καὶ ἔστησαν· καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν. 8) Τοῦτο δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· οἱ φίλοι καὶ 9) οἱ ἑταῖροί μου ἐξεναντίας 10) ἐν τῇ πληγῇ μου ἀντέστησαν. οἱ μὲν γάρ φησι τῶν φίλων, τὴν ἐμὴν θεασάμενοι πληγήν, τὰ πολεμίων ἔδρασαν, καὶ προφανῶς μοι ἀντέστησαν· οἱ δὲ δείσαντες ἐχωρίσθησαν, τῆς οἰκείας μοι συμμαχίας οὐ μεταδόντες. αἰνίττεται δὲ 11) διὰ τοῦ προτέρου τὸν Ἀχιτόφελ, οὐ μόνον χωρισθέντα, ἀλλὰ καὶ τὰς ὀλεθρίους εἰσενεγκόντα βουλάς. καὶ ἄλλοι δέ, ὡς εἰκός, 12) ταῦτα δεδράκασιν 13) ἐκείνῳ· μᾶλλον δὲ τὸ πλεῖστον τοῦ Ἰσραήλ, καὶ 14) αὕτη δὲ ἡ τοῦ Ἰούδα φυλὴ σὺν τῷ Ἀβεσσαλὼμ 15) ἐστρατεύσατο. αὐτίκα τοίνυν μετὰ τὴν τοῦ πατραλοίου σφαγήν, 16) ἀλλήλοις παρεκελεύοντο 17) φθάσαι τὰς ἄλλας φυλάς,

1) καὶ — ἐστερημένον. Def. in Cod. 2. 2) ὡς. Abest a Cod. 2. 3) δὲ. Abest a Cod. 3. 4) διά. Cod. 1. præm. καί. 5) ὑπερβολήν. Cod. 3. in quo hæc Sectio incipit a verbis δύο δὲ κ. λ. addit, quæ sequuntur: καὶ τῆς ἰσχύος τὴν γύμνωσιν· τοῦ γὰρ συνήθους φωτὸς ἐστερημένος καὶ μεσούσης ἡμέρας ὡς ἐν σκότῳ διῆγον, φησί, ὑπὸ τῆς ἀθυμίας· καὶ θρηνῶν καὶ στένων διηνεκῶς ἐκλονούμην, καὶ τῆς ἰσχύος ἐνδεὴς ἐγενόμην. „ et roboris defectum. Consueto enim lumine priuatus, medio, inquit, die vt in tenebris versatus sum, propter mœrorem: perpetuoque luctu ac gemitu agitabar, ab omni robore destitutus. „ 6) ὠνόμασεν. Pauca subiuncta vid. apud CORD. p. 707. 7) μου. Def. in Cod. 3. 8) Τοῦτο — μεταδόντες. Def. in Cod. 3. 9) οἱ. Abest a Cod. 1. 10) ἐν. Cod. 2. præm. μου. Cod. 1. habet ἐπί. 11) διὰ τοῦ προτ. Def. in Cod. 3. 12) ταῦτα. Cod. 1. ταὐτά. 13) ἐκείνῳ. Abest a Cod. 3. 14) Codd. aug. αὐτή. 15) Cod. 3. ἐστρατεύετο. 16) Cod. 2. ἀλλήλους. 17) φθάσαι — φυλάς. Cod. 2. τὰς ἄλλας φθάσαι φυλάς.

φυλάς, καὶ ἐπαναγαγεῖν εἰς τὰ βασίλεια τὸν βασιλέα Δαβίδ. ιγ΄. Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν 1) ματαιότητα, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Γεγυμνωμένον 2) με τῶν φίλων οἱ πολέμιοι θεασάμενοι τὰς κατ' ἐμοῦ ῥάπτοντες διετέλουν ἐπιβουλὰς, τῆς ἐμῆς σφαγῆς ἐφιέμενοι. ιδ΄. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. ιε΄. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος 3) οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Τοῦτο 4) ἡ ἱστορία διδάσκει σαφέστερον. καὶ γὰρ τοῦ Ἀβεσσαλὼμ τοῦ πατρὸς αἰτιωμένου τὰς ψήφους, καὶ πρὸς 5) ἑαυτὸν ἐφελκομένου τῶν δικαζομένων τοὺς ἡττωμένους, ὁ 6) μακάριος ἐμακροθύμει Δαβίδ. καὶ τοῦ Σεμεεὶ λοιδορουμένου, καὶ γλώττῃ καὶ χειρὶ βάλλοντος, σιγῶν τὰς ὕβρεις ἐδέχετο· καὶ τὸν 7) Ἀβεσσὰ πειραθέντα δίκας τὸν ἀλιτήριον 8) πράξασθαι 9) διεκώλυεν, εἰρηκὼς, ἄφετε αὐτὸν 10) καταρᾶσθαί με, ὅτι Κύριος προσέταξεν 11) αὐτὸν καταρᾶσθαι τὸν Δαβίδ. ιϛ΄. 12) Ὅτι ἐπὶ σοὶ Κύριε ἤλπισα, σὺ εἰσακούσῃ Κύριε ὁ Θεός μου. ιζ΄. Ὅτι εἶπον μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν. Ταύτῃ δέ φησι χρώμενος τῇ καρτερίᾳ διετέλουν εἰς σὲ τὴν ἐλπίδα ἔχων, καὶ σοὶ τὴν ἐμαυτοῦ κρίσιν διδοὺς, καὶ ἱκετεύων, μὴ ἐπίχαρτος γενέσθαι τοῖς πολεμίοις, μηδὲ τὴν ἐμὴν ἧτταν πρόφασιν αὐτοῖς ἀ-

rent, et in domum regiam regem Dauidem reducerent. 13. *Et vim faciebant, qui quærebant animam meam: et qui quærebant malum meum, locuti sunt vanitates, et dolos toto die meditabantur.* Cum hostes me destitutum ab amicis viderent, contra me insidias struere non cessarunt, meam cædem desiderantes. 14. *Ego autem tanquam surdus non audiebam, et sicut mutus non aperiens os suum.* 15. *Et factus sum sicut homo non audiens, et non habens in ore suo redargutiones.* Hoc dilucide historia docet. Nam cum Absalom sententias patris damnaret, et eos qui in iudicio causa ceciderant ad se alliceret, beatus Dauid patienter ferebat. Ac Semei maledictis lacessente, manuque et lingua feriente, silens iniurias sustinebat, et Abessam conantem ab improbo exigere *pœnas prohibebat, dicens, a) Sinite ipsum vt maledicat mihi, quia Dominus iussit ei, vt maledicat Dauidi. 16. *Quoniam in te Domine speraui, tu exaudies me Domine Deus mi.* 17. *Quia dixi, ne aliquando gaudeant de me inimici mei, et dum commouentur pedes mei, contra me magna locuti sunt.* Hac vero, inquit, vtens tolerantia spem in te continuam habebam, tibi mei ipsius iudicium committens, et obsecrans, ne inimicis ludibrio fierem, nec meæ causæ iactura ipsis arrogantiæ et iactan-

1) Cod. 1. 2. ματαιότητας, quæ est rec. lectio h. l. 2) μέ. Cod. 3. præm. δέ. 3) οὐκ ἀκούων. Cod. 3. ἀβοήθητος. 4) ἡ. Cod. 3. præm. καί. 5) Cod. 1. αὐτόν. 6) μακάριος. Cod. 2. θεῖος. 7) Cod. 1. Ἀβεσσαλώμ. Cod. 2. Ἀβεσσᾶ. 8) Cod. 2. et 3. ac CORD. p. 708. εἰσπράξασθαι. 9) Cod. 3. διεκώλυσεν. 10) Cod. 3. καταράσασθαι. 11) Codd. tres *aug.* αὐτῷ. 12) ὅτι — ἤλπισα. Def. in Cod. 3.

a) 2 Reg. 16, 10.

stantiæ ansa foret. 18. *Quoniam ego ad flagella paratus sum, et dolor meus in conspectu meo semper.* Peccatum, ait, me flagellis dignum fecit: idcirco suppliciis me ipsum subiicio, quia curationem desidero, cum peccati doloribus stimuler. 19. *Quoniam iniquitatem meam annunciabo, et cogitabo pro peccato meo.* Propterea vero accusator mei ipsius fio, et vt sanus sim, omnem diligentiam adhibebo. 20. *Inimici autem mei viuunt, et roborati sunt super me, et multiplicati sunt, qui oderunt me inique.* 21. *Qui retribuunt mihi mala pro bonis.* Tibi enim soli, ait, a) peccaui Domine, et malum coram te feci. At illi, cum multa a me beneficia sæpius acceperint, contrariis remunerantur, et robur maius meo adepti sunt. *Detraxerunt mihi, quoniam sequutus sum bonitatem.* Rursus per hæc Absalomum ipsius iudicia calumniantem, et iniustos accersentem designat. Et quoniam filius parricida esse studebat, merito adiecit: *Et proiecerunt me dilectum, vt mortuum abominatum.* Quem enim diligere oportebat secundum leges naturæ, hunc tanquam mortuum grauiter olentem detestabatur. Congruit autem hoc et populo ingrato, qui cum a Dauide infinita beneficia accepisset, et

λαζονείας γενέσθαι. ιη΄. Ὅτι ἐγὼ εἰς 1) μάστιγας ἕτοιμος· καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Ἄξιόν με, φησὶ, μαστίγων ἡ ἁμαρτία πεποίηκε· διόπερ ἐμαυτὸν ὑποτίθημι ταῖς τιμωρίαις· ἐφίεμαι γὰρ τῆς θεραπείας ταῖς τῆς ἁμαρτίας ὀδύναις κεντούμενος. ιθ΄. Ὅτι τὴν ἀνομίαν μου 2) ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. 3) Διὰ 4) δὲ τοῦτο καὶ κατήγορος ἐμαυτοῦ γίνομαι, καὶ πᾶσαν φροντίδα τῆς ὑγιείας ποιήσομαι. κ΄. Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ. καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. κα΄. Οἱ ἀνταποδιδόντες 5) μοι κακὰ ἀντὶ ἀγαθῶν. Σοὶ γάρ φησι μόνῳ ἥμαρτον Δέσποτα, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. ἐκεῖνοι δὲ πολλὰς 6) πολλάκις παρ᾽ ἐμοῦ εὐεργεσίας δεξάμενοι, τοῖς ἐναντίοις ἀμείβονται, καὶ μείζονά μου προσεκτήσαντο ῥώμην. ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον 7) ἀγαθωσύνην. 8) πάλιν τὸν Ἀβεσσαλὼμ διὰ τούτων παραδηλοῖ τὰς κρίσεις αὐτοῦ διαβάλλοντα, καὶ ἀδίκους ἀποκαλοῦντα. καὶ ἐπειδὴ υἱὸς ἦν πατροκτόνος γενέσθαι φιλονεικῶν, εἰκότως ἐπήγαγε· 9) καὶ ἀπέῤῥιψάν 10) με τὸν ἀγαπητὸν, ὡς νεκρὸν ἐβδελυγμένον. 11) ὃν γὰρ ἀγαπᾶν 12) ἔδει κατὰ τοὺς τῆς φύσεως νόμους, τοῦτον ὡς δυσώδη νεκρὸν ἐμυσάττετο. ἁρμόττει δὲ τοῦτο καὶ 13) τῷ ἀχαρίστῳ λαῷ, ὃς μυρίας εὐεργεσίας 14) παρὰ τοῦ Δαβὶδ δεξάμενος, καὶ τῶν

1) μάστιγας. Symm. τὸ σκάζειν. Hebr. לְצֶלַע. 2) ἐγώ. Additur in Cod. *alex.* 3) Διὰ — ποιήσομαι. Def. apud CORD. p. 709. 4) δέ. Cod. 1. 2. δή. 5) μοί. Additur in Cod. *alex.* 6) πολλάκις. In Cod. 1. ponitur post παρ᾽ ἐμοῦ. 7) ἀγαθωσύνην. Rec. lectio h. l. est δικαιοσύνην. 8) πάλιν — ἐπήγαγε. Def. in Cod. 3. 9) καὶ — ἐβδελυγμένον. Hæc in Textu hebr. et versione græca desid. 10) με. Abest a Cod. 1. 2. 11) ὃν γὰρ κ. λ. Cod. 3. præm. κατὰ δὲ τὸ ῥητόν. 12) ἔδει. In Cod. 3. sequitur κατὰ τὸν Ἀβεσσαλώμ. 13) τῷ ἀχαρίστῳ λαῷ. Cod. 3. περὶ τοῦ ἀχαρίστου λαοῦ τῶν Ἰουδαίων. 14) παρὰ — εὐεργέτην. Cod. 3. ἔχων τοῦ Δαβὶδ, δι᾽ αὐτὸν πολλάκις κρείττων τῶν πολεμίων γενόμενος, ἀγνώμων ὤφθη περὶ τὸν εὐεργέτην.

a) Ps. 50, 4.

τῶν ἀλλοφύλων δι' αὐτοῦ 1) κρείττων γενόμενος πολλάκις, ἀγνώμων ἐδείχθη περὶ τὸν εὐεργέτην. κβ'. Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. κγ'. 2) Πρόσχες εἰς τὴν βοήθειάν μου Κύριε τῆς σωτηρίας μου. Ὑπὸ τοσούτων φησὶ περικλυζόμενος ἀλγεινῶν, σὲ τὸν ἐμὸν Θεὸν καὶ Δεσπότην ἀντιβολῶ, μὴ γυμνῶσαί με τῆς συνήθους προνοίας, ἀλλὰ μεταδοῦναι ῥοπῆς, καὶ σωτηρίαν χαρίσασθαι.

per eum alienigenas superasset saepius, erga benefactorem ingratum se exhibuit. 22. *Ne derelinquas me Domine Deus mi, ne discedas a me.* 23. *Intentus sis in auxilium meum Domine salutis meae.* Tot, inquit, doloribus circumclusus, * te Deum * et Dominum meum obsecro, ne tua solita prouidentia me destituas, sed opem impertias, et salutem largiaris.

ΕΡΜΗΝ. ΤΟΥ λη' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, τῷ Ἰδιθοὺμ ᾠδὴ τῷ Δαβίδ. Τινὲς τῶν συγγραφέων τῷ Ἰδιθοὺμ ἀνέθεσαν τὸν ψαλμόν, καὶ ἔφασαν αὐτὸν γεγραφέναι τοῦτον. ἡ δὲ ἐπιγραφὴ τοὐναντίον διδάσκει, ὅτι τοῦ μὲν Δαβὶδ ὁ ψαλμός, τῷ δὲ Ἰδιθοὺμ, ὡς τὸν 3) τῶν ᾀδόντων πεπιστευμένῳ χορόν, εἰς τὸ ψάλλειν ἐδόθη. εἰς τὸ τέλος δὲ ἡμᾶς παραπέμπει, ἐπειδὴ τῆς 4) ἀνθρωπίνης φύσεως τραγῳδεῖ τὴν εὐτέλειαν, καὶ 5) τὸ ταύτης ὑποδείκνυσι τέλος. εἴρηκε δὲ τοῦτον τὸν ψαλμὸν ὁ μέγας Δαβίδ, ὑπὸ τοῦ Ἀβεσσαλὼμ διωκόμενος, καὶ ὑπὸ τοῦ Σεμεεὶ λοιδορούμενος, καὶ πρὸς τὸν προτεταγμένον πολλὴν ἔχει τὴν συμφωνίαν. β'. Εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν 6) με ἐν γλώσσῃ μου. 7) ἐθέμην τῷ στόματί μου φυλακήν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου. γ'. Ἐκωφώθην καὶ ἐταπεινώθην, 8) καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. 9) Φεύγοντα τὸν μέγαν Δαβίδ

INTERP. PS. XXXVIII.

1. *In finem, ipsi Idithum. Canticum Dauidi.* Nonnulli auctores psalmum Idithumo adscripserunt, et dixerunt ipsum hunc conscripsisse. Titulus autem contrarium docet: videlicet psalmum esse Dauidis, et Idithumo ad canendum datum fuisse, cui canentium chorus commissus erat. *In finem* autem nos transmittit, quoniam humanae naturae vilitatem deplorat, et huius finem demonstrat. Porro magnus Dauid hunc psalmum dixit, cum Absalomum fugeret, a) et a Semei conuiciis afficeretur, et cum praecedente psalmo multam conuenientiam habet. 2. *Dixi, custodiam vias meas, vt non delinquam lingua mea: posui ori meo custodiam, cum consisteret peccator aduersus me.* 3. *Obmutui et humiliatus sum, et silui a bonis, et dolor meus renouatus est.* Cum Semei magno Dauidi, fugien-

1) Cod. 1. 2. πολλάκις κρείττων γενόμενος. 2) Πρόσχες. Reliqui Interpr. σπεῦσον. Hebr. חושה. 3) τῶν. Abest a Cod. 2. 4) Cod. 1. 2. ἀνθρωπείας. 5) τὸ ταύτης. Cod. 2. τοσαύτης. 6) με. Add. in Cod. *alex.* 7) ἐθέμην — φυλακήν. Symm. φυλάξω τὸ στόμα μου φιμῷ. 8) καὶ — ἀγαθῶν. Symm. ἐσιωπήθην μὴ ὢν ἐν ἀγαθῷ. 9) Φεύγοντα κ. λ. Cod. 3. praem. Καὶ οὕτως νοήσεις καθ' ἱστορίαν.

a) 2 Reg. 16.

fugienti parricidae filii tyrannidem, in via occurrisset, et glebis impetebat, et verbis maledicebat, peccatorem et sanguinarium virum vocans. Verum diuinus David; sapientissima, vt solebat, agendi ratione vsus, non modo ipse vltus non est, verum vnum ex ducibus iaculis confodere conantem prohibuit, dicens: a) Sinite eum, quoniam maledicit mihi: etenim Dominus dixit illi, vt malediceret Dauidi, et quis dicet ipsi, quare fecisti sic? vt videat Dominus humilitatem meam, et mihi Dominus bona pro eius maledictis hodie retribuat. Psalmi ergo istius verba multam conuenientiam habent cum historia. Nam ait, se magnam curam gessisse linguae, cum sciret hoc membrum admodum esse labile: et hanc semper munisse veluti quodam muro, praecipue vero quando Semei nulla iniuria affectus obstitit. Ipsum enim peccatorem, tanquam iniustum nominat. Tunc enim *Obmutui, et humiliatus sum, et silui a bonis.*
* Haec autem simillima sunt * iis, quae ab ipso in historia dicta sunt: b) Sinite ipsum maledictis lacessere, quoniam Dominus praecepit ei, vt malediceret Dauidi; an forsitan Dominus viderit humilitatem

τῷ πατραλοίῳ παιδὸς τὴν τυραννίδα, ὁ Σεμεεὶ κατὰ τὴν ὁδὸν 1) ὑπαντήσας, καὶ βώλοις ἔβαλλε, καὶ λόγοις 2) ἐλοιδόρει τὸν ἄνδρα, παράνομον καὶ ἄνδρα αἱμάτων ἀποκαλῶν. ἀλλὰ τῇ συνήθει φιλοσοφίᾳ χρώμενος ὁ 3) θεῖος Δαβὶδ, οὐ μόνον 4) αὐτὸς οὐκ ἠμύνατο, ἀλλὰ καὶ τῶν στρατηγῶν ἕνα πειραθέντα 5) κατακοντίσαι 6) διεκώλυσεν, εἰρηκώς, ἄφετε αὐτὸν, 7) διότι καταρᾶται με· διότι Κύριος εἶπεν αὐτῷ κακολογεῖν τὸν Δαβὶδ, καὶ τίς ἐρεῖ αὐτῷ, τί πεποίηκας οὕτως; ὅπως ἴδοι Κύριος τὴν ταπείνωσίν μου, καὶ 8) ἀνταποδώσῃ μοι 9) Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ 10) ἐν τῇ ἡμέρᾳ ταύτῃ. πολλὴν τοίνυν συμφωνίαν πρὸς τήνδε τὴν ἱστορίαν 11) ἔχει τοῦδε τοῦ ψαλμοῦ τὰ 12) ῥήματα. πολλὴν γάρ 13) φησι προμήθειαν τῆς 14) γλώττης ἐποιήσατο· εὐόλισθον τοῦτο διαφερόντως τὸ μόριον ἐπιστάμενος, καὶ 15) οἷόν τινι τειχίῳ ταύτην ἀεὶ 16) περιβάλλων. οὐχ ἥκιστα δὲ, ἡνίκα Σεμεεὶ οὐδὲν ἠδικημένος ἀντέστη· αὐτὸν γὰρ ἁμαρτωλὸν, ὡς ἄδικον ὀνομάζει. 17) τηνικαῦτα γὰρ ἐκωφώθην 18) καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν. σφόδρα δὲ ταῦτα ἔοικε τοῖς ἐν τῇ ἱστορίᾳ 19) ὑπ' αὐτοῦ εἰρημένοις, 20) ἄφετε αὐτὸν 21) καταράσασθαι, ὅτι Κύριος προσέταξεν αὐτῷ κακολογεῖν τὸν Δαβὶδ· εἴπερ ἴδοι Κύριος τὴν ταπείνωσίν μου,

1) Cod. 3. ὑπαπαντήσας. 2) Codd. tres *august.* ἐλοιδορεῖτο. Cod. 1. 2. adponunt Colon, et omittunt τόν. 3) θεῖος. Cod. 3. μέγας. 4) Codd. tres *aug.* αὐτός. 5) Cod. 2. κοντίσαι. 6) Cod. 3. ἐκώλυσεν. 7) διότι καταρᾶταί με. Cod. 1. 2. καταρᾶσθαί με. 8) Cod. 1. 2. ἀνταποδώσει. 9) Κύριος. Def. in Cod. 2. 10) ἐν. Codd. 3. *aug.* praem. τῆς. 11) ἔχει τοῦδε τοῦ. Cod. 3. ἔχει· τοῦτο δὲ τοῦ. 12) Codd. tres *aug.* ῥητά. 13) φησί. In Cod. 3. sequitur post προμήθειαν. 14) γλώττης ἐποιήσατο. Cod. 3. γλώσσης ἐποιησάμην. 15) Cod. 1. οἱονεί. 16) Cod. 3. περιέβαλλον. 17) τηνικαῦτα γάρ. Abest a Cod. 2. 18) καὶ ἐταπεινώθην. Def. in Cod. 1. 19) ὑπ' αὐτοῦ. In Cod. 1. ponitur post εἰρημένοις. 20) ἄφετε — ἐχθρῶν μου. Aliae sunt huius loci lectiones, quam supra lin. 10. 21) Cod. 1. 2. καταρᾶσθαι.

a) 2 Reg. 16, 10-12. b) Ibid.

μου, καὶ ἐξελῆταί με σήμερον ἐκ χειρὸς τῶν ἐχθρῶν μου. τοῦτο κἀνταῦθα λέγει, ὅτι κωφῷ ἐῴκειν παντελῶς οὐκ ἀκούοντι, καὶ ἐταπείνωσα ἐμαυτὸν, 1) τὸ ἐντεῦθεν κέρδος προσμένων. καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. ὑπ' ἐκείνου, φησὶ, λοιδορούμενος, τῆς ὑπ' 2) ἐμοῦ τολμηθείσης ἁμαρτίας 3) ἦλθον εἰς μνήμην, καὶ ταῖς 4) ἐντεῦθεν ἀκίσιν ἐβαλλόμην, λογιζόμενος ὅτι ταύτης ἕνεκα καὶ λοιδοροῦμαι, καὶ τυραννοῦμαι, καὶ τῶν βασιλειῶν ἐξελαθεὶς, φεύγειν ἀναγκάζομαι. καὶ ταῦτα δὲ πολλὴν ἔχει πρὸς τὴν ἱστορίαν συγγένειαν. τὸ γὰρ, Κύριος προσέταξεν αὐτῷ κακολογεῖν τὸν Δαβὶδ, μνήμην ἔχει τῆς ἁμαρτίας, ἐπειδὴ διὰ ταύτην ἡ παιδεία γεγένηται. δ'. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. 5) Τοῦτο ὁ Σύμμαχος οὕτως 6) ἡρμήνευσεν· ἐξεθερμάνθη ἡ καρδία μου ἐντός μου, ἐν τῷ 7) ἀναπολεῖν με, 8) ἀνεκαιόμην πυρί. 9) ἀναμιμνησκόμενος, φησὶ, τῆς ἁμαρτίας 10) μου, τῷ τῆς ἀθυμίας ἐνεπιμπράμην 11) πυρί. ε'. Ἐλάλησα ἐν γλώσσῃ μου, γνώρισόν μοι Κύριε τὸ πέρας μου· καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν· ἵνα γνῶ τί ὑστερῶ ἐγώ. Πρὸς μὲν οὖν τὸν λοιδορούμενον ἀπεκρινάμην οὐδὲν, τὸν δὲ τῶν ὅλων ἱκέτευσα Κύριον, δηλόν μοι ποιῆσαι τῆς ζωῆς μου τὸ τέλος, σφόδρα τῆς τελευτῆς ἐφιέμενος. ς'. Ἰδοὺ 12) παλαιστὰς ἔθου τὰς ἡμέρας μου, καὶ 13) ἡ ὑπόστασίς μου ὡσεὶ οὐδὲν ἐνώπιόν σου.

meam, vt eripiat me hodie ex manu inimicorum meorum. Sic etiam hîc dicit, surdo similis factus sum, plane nihil audienti, et humiliaui me, lucrum inde exspectans. *Et dolor meus renouatus est.* Ab illo, ait, conuiciis affectus, peccati a me ex audacia commissi recordabar, et stimulis a peccato inflictis configebar, reputans hanc esse caussam, cur maledictis afficerer, et tyrannide opprimerer, et a regiis domibus exactus, fugere cogerer. Hæc vero etiam multam cum historia cognationem habent. Illud enim, Præcepit illi Dominus maledicere Dauidi, peccati mentionem complectitur, quoniam propter illud castigatio euenit. 4. *Concaluit cor meum intra me, et in meditatione mea exardescet ignis.* Hoc Symmachus sic interpretatus est: *calefactum est cor meum intra me, et dum animo expenderem, comburebar igne.* Reuocans in memoriam, inquit, peccatum meum, mœroris igne ardebam. 5. *Locutus sum lingua mea, notum fac mihi Domine finem meum. Et numerum dierum meorum, quis sit; vt sciam, quid desit mihi.* Conuiciatori igitur nihil respondi, Domino autem vniuersorum supplicaui, vt notum mihi finem meum faciat, valde mortem desiderans. 6. *Ecce mensurabiles posuisti dies meos, et substantia mea tanquam nihilum coram te.* Hoc

1) τό. Cod. 3. præm. ἀντὶ τοῦ. 2) ἐμοῦ. Cod. 2. ἐκείνου. 3) ἦλθον εἰς μνήμην. Cod. 1. 2. εἰς μνήμην ἦλθον. Cod. 3. εἰς ἀνάμνησιν ἦλθον. 4) ἐντεῦθεν. Cod. 1. ἐκεῖθεν. 5) Τοῦτο ὁ. Cod. 3. ὁ δέ. 6) Cod. 3. ἑρμήνευσεν. 7) Cod. 1: ἀναλάμποντι. Cod. 3. ἀναπολεῖν, quam posteriorem lectionem etiam MONTF. in Codd. nonnullis inuenit, vt in Hexaplis ad h. l. refert. 8) Cod. 2. ἂν ἐκαιόμην. 9) ἀναμιμνησκόμενος — πυρί. Des. in Cod. 1. 10) μου τῷ. Des. in Cod. 3. 11) πυρί. Cod. 3. addit, ὑπ' αὐτῆς πυρσούμενος τῆς συνειδήσεως. 12) Quidam libri veteres habent παλαιάς, quæ est lectio Cod. *vatic.* h. l. 13) ἡ ὑπόστασίς μου. Hebr. חלדי cui *Symmachi* versio satis bene respondet.

Hoc rurſus Symmachus ſic expreſſit: *Ecce dediſti mihi dies, vt palmos, et vita mea vt nihil ante te.* Deſidero autem mortem, ſciens humanam naturam minime longæuam eſſe. Noſtra enim vita ne conſiſtere quidem videtur vitæ tuæ comparata. Tu enim ſine principio es, et fine: noſtra vero vita menſuratur, vt quibusdam menſuris palmi et cubiti. Per hoc autem demonſtrauit breuitatem temporis humanæ vitæ. Sic et alibi dicit: *a*) Quoniam mille anni ante oculos tuos, tanquam dies heſternus, qui præteriit, et cuſtodia in nocte. Et alibi, cum de cælis et terra mentionem feciſſet: Ipſi, inquit, *b*) peribunt, tu autem permanes, * et omnes ſicut veſtimentum veteraſcent. Et ſicut amictum mutabis eos, et mutabuntur: tu autem idem ipſe es, et anni tui non deficient. *Veruntamen vniuerſa vanitas, omnis homo viuens.* Quare omnis, ait, hominum natura, et diuites, et pauperes, vapori ſimiles ſunt, qui diſſoluitur, et temere ac fruſtra ædificant, plantant, diuitias et facultates congregant. 7. *Veruntamen in imagine tranſit homo, immo fruſtra conturbatur. Theſauros colligit, et ignorat, cui congregaturus ſit eos.* Nihil, ait, viuentes homines differunt ab iis, qui in pictura expreſſi ſunt: æqualiter enim et horum et illorum natura tempore labitur, et corrum-

Τοῦτο πάλιν ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἰδοὺ ὡς σπιθαμὰς ἔδωκας τὰς ἡμέρας μου, καὶ ἡ βίωσίς μου ὡς οὐδὲν ἀντικρύς σου. ἐφίεμαι δὲ 1) τελευτῆς, 2) οὐ μακρόβιον τὴν ἀνθρωπείαν ἐπιστάμενος φύσιν. ἡ γὰρ ἡμετέρα βιοτὴ 3) οὐδὲ συνεστάναι δοκεῖ τῇ σῇ παραβαλλομένῃ ζωῇ. σὺ μὲν γὰρ ἄναρχος καὶ ἀπέραντος, ὁ δὲ ἡμέτερος βίος οἷον 4) τισι σπιθαμαῖς καὶ παλαισταῖς ἐκμετρεῖται. διὰ 5) τούτου δὲ παρεδήλωσε τὸ ὀλιγοχρόνιον τῆς ἀνθρωπείας ζωῆς. οὕτω καὶ ἑτέρωθι λέγει, ὅτι 6) χίλια ἔτη 7) ὑπὸ ὀφθαλμοῖς σου Κύριε, 8) ὡς ἡμέρα ἡ 9) ἐχθὲς, ἥτις 10) διῆλθε, καὶ φυλακὴ 11) ἐν νυκτί. καὶ ἀλλαχοῦ τῶν οὐρανῶν καὶ τῆς γῆς μνημονεύσας, αὐτοὶ φησὶν ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος 12) ζῶν. ὥστε πᾶσα, φησὶ, τῶν ἀνθρώπων ἡ φύσις, καὶ οἱ πλουτοῦντες, καὶ οἱ πενόμενοι, ἀτμῷ ἐοίκασι διαλυομένῳ, καὶ εἰκῇ καὶ μάτην οἰκοδομοῦσι, 13) φυτεύουσι, πλοῦτον καὶ 14) περιουσίαν ἀθροίζουσιν. ζ'. Μέντοι γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται· θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. Οὐδὲν 15) φησι τῶν ἐν εἰκόνι γεγραμμένων οἱ ζῶντες διαφέρουσιν ἄνθρωποι· ὁμοίως γὰρ καὶ τούτων κἀκείνων ἡ φύσις ὑποῤῥεῖ τῷ χρόνῳ, καὶ διαφθείρε-

1) Cod. 2. τελευτῆσαι. 2) οὐ. Abeſt a Cod. 2. 3) Cod. 2. οὐδέν. 4) Cod. 2. τι. 5) Cod. 2. τοῦτο. 6) χίλια. Cod. 1. 2. præm. τά. 7) ὑπό. Cod. 1. 2. ἐν. 8) Cod. 2. ὡσεί. 9) Cod. 2. χθές. 10) Cod. 2. παρῆλθε. 11) ἐν. Cod. 2. præm. ἡ. 12) ζῶν. Abeſt a Cod. 2. 13) φυτεύουσι. Cod. 1. addit Colon, Cod. 2. autem hoc verbum iungit ſequenti nomini πλοῦτον, cui Comma adponitur. Vterque Codex præm. καί. 14) Cod. 2. περιουσίας. 15) φησί. Abeſt a Cod. 3.

a) Pſ. 89, 4. *b*) Pſ. 101, 26. 27.

φθείρεται. ἀλλ᾽ ὅμως οὐδὲν ἧττον 1) διαταράττονται φιλονεικοῦντες, διαμαχόμενοι, πολεμοῦντες, ἐμπορευόμενοι· καὶ ζάλης ἅπας ὁ βίος μεστὸς, τέλος ἔχων τὸν θάνατον. σὺν πόνῳ δὲ πολλῷ καὶ ἱδρῶτι τὸν πλοῦτον ἀθροίζοντες, τὸν ἐσόμενον οὐκ ἴσασι κληρονόμον. τοῦτο δὲ καὶ ὁ 2) μακάριος Δαβὶδ καὶ ἐκ τῶν καθ᾽ ἑαυτὸν κινούμενος γέγραφε. τοῖς γὰρ ἐκ τῶν 3) πολέμων λαφύροις, καὶ τῷ παρὰ τῶν ἀλλοφύλων φερομένῳ δασμῷ, μεγίστην καὶ περιφανῆ λίαν ἀποφήνας τὴν βασιλείαν, ἠγνόει τοῦ παιδὸς τὴν δυσσεβῆ καὶ παράνομον γνώμην. εἶτα θεασάμενος αὐτὸν ἐγκρατῆ τῶν βασιλειῶν 4) γινόμενον, καὶ τὸν ἀποκείμενον σφετερισάμενον πλοῦτον, τὴν θαυμασίαν ἀφῆκε φωνὴν, πλὴν μάτην 5) ταράσσεται, 6) θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. η΄. Καὶ νῦν τίς 7) ὑπομονή μου; οὐχὶ Κύριος; καὶ ἡ 8) ὑπόστασίς μου παρὰ 9) σοῦ ἐστιν. Πᾶσιν ἐκείνοις ἐῤῥῶσθαι φράσας, τὴν παρὰ σοῦ προσμένω βοήθειαν. τὴν δὲ ὑπόστασιν Ἀκύλας καραδοκίαν εἴρηκεν· ἀντὶ τοῦ, σε καραδοκῶ περισκοπῶν, τὴν σὴν εὐμένειαν ἀναμένω· εἶτα τὴν αἰτίαν τῶν ἀλγεινῶν ὑποδείκνυσιν. θ΄. Ἀπὸ πασῶν τῶν 10) ἀνομιῶν ῥῦσαί με. Καὶ 11) τοῦ Σεμεεὶ πάλιν φέρει τὴν μνήμην. ὄνειδος ἄφρονι 12) ἔδωκάς 13) με. σφόδρα καὶ τοῦτο τοῖς ἐν τῇ ἱστορίᾳ εἰρημένοις συμβαίνει· Κύριος εἶπεν αὐτῷ κακολογεῖν τὸν Δα-

pitur. Veruntamen nihilominus homines contendentes perturbantur, dimicantes, bellum gerentes, negotiantes: et omnis humana vita tempestate et fluctibus referta est, finem habens mortem: cum labore vero multo et sudore opes congerentes, nesciunt futurum heredem. Hoc vero beatus Dauid his, quæ expertus erat, permotus scripsit. Etenim cum regnum maximum et valde illustre reddidisset per spolia ab hostibus reportata, atque tributum, quod ab alienigenis pendebatur, nesciebat impiam et iniquam mentem filii. Deinde cum vidisset ipsum regias ædes occupasse, atque diuitias ibi repositas sibi vindicasse, in admirabilem hanc vocem erupit: Veruntamen frustra conturbatur; thesauros colligit et ignorat cui congregaturus sit eos. 8. *Et quæ nunc est exspectatio mea? nonne Dominus? et substantia mea apud te est.* Cum omnibus illis vale dixerim, a te exspecto opem. *Substantiam* autem Aquila *exspectationem* dixit: quasi dicat, te exspecto circumspiciens; nimirum tuam benignitatem præstolor. Deinde tristium causam ostendit. 9. *Ab omnibus iniquitatibus meis erue me.* Et Semei rursus mentionem inducit: *Opprobrium insipienti dedisti me.* Valde hoc etiam congruit iis, quæ in historia dicuntur: a) Dominus dixit illi, vt malediceret Dauidi.

1) Cod. 1. διαπράττονται. 2) μακάριος. Cod. 2. θεῖος. 3) Cod. 3. πολεμίων. 4) Cod. 3. γενόμενον. 5) Cod. 2. ταράσσονται. 6) θησαυρίζει — αὐτά. Des. in Cod. 2. 7) ὑπομονή. Codd. tres *aug.* præm. ἡ. 8) ὑπόστασίς μου. Hebr. תוחלתי, quod *Symm.* bene interpretatus est ἡ ἀναμονή μου. Ita quoque fere *Aquila*, cuius versionem Noster ad h. l. attulit. 9) σοῦ. Rec. lectio est σοί, quam etiam tres Codd. *aug.* tuentur. 10) ἀνομιῶν. Cod. 1. 2. addunt μου, vt in vers. τῶν 6. leg. 11) τοῦ. Cod. 2. præm. τοῦτο. 12) ἔδωκάς με. Hebr. אל־תשימני quæ *Aquila* rectius expr. μὴ θῇς με. *Symm.* μὴ τάξῃς με. 13) με. Cod. 2. μοί. Cod. 1. habet quidem με, adscripta tamen lectione μοί.

a) 2 Reg. 16, 10.

uidi. Quæ vero ſequuntur, ſimiliter cum his quæ dicta ſunt cohærent. 10. *Obmutui, et non aperui os meum, quoniam feciſti.* ** Te enim, inquit, permittente, ille debacchatus eſt: et ille quidem ſimilis erat flagello, tu vero per illud caſtigationem inferebas. Propterea ſilens flagella excepi, illum quidem deſpiciens, te vero in me animaduertentem perſpiciens. Valde autem apposite ea quoque quæ ſequuntur poſuit. 11. *Amoue a me plagas tuas.* 12. *A fortitudine manus tuæ ego defeci.* Supplico igitur, et obſecro te Domine, ceſſa deinceps a caſtigatione: multitudine enim plagarum conſumtus ſum. *Increpationibus propter iniquitatem corripuiſti hominem, et tabeſcere feciſti ſicut araneam animam eius.* Non temere, nec fruſtra, inquit, animaduerſionibus vſus es, ſed redarguens errata mea, et medici more ſecans, atque extrahens occultam ſaniem: et crucias quidem me doloribus ex curatione inflictis, ſed ſanitatem his qui ſecantur procuras. *Veruntamen vane conturbatur omnis homo.* Hæc igitur mecum ipſe conſiderans, video homines nequaquam debere turbari propter res temporaneas. 13. *Exaudi orationem meam Domine, et deprecationem meam: auribus percipe fletum meum: ne ſileas, quoniam aduena ego ſum, et peregrinus ſicut omnes patres mei.* 14. *Remiſſionem indulge mibi, vt recreem*

βίδ. καὶ τὰ ἐπαγόμενα δὲ 1) ὁμοίως τοῖς εἰρημένοις ἀκόλουθα. ί. Ἐκωφώθην, καὶ οὐκ ἤνοιξα τὸ ςόμα μου, ὅτι σὺ 2) ἐποίησας. Σοῦ γάρ φησι συγχωρήσαντος, πεπαρῴνηκεν ἐκεῖνος· καὶ ὁ μὲν ἐῴκει μάςιγι, σὺ δὲ δι᾽ ἐκείνης τὴν παιδείαν ἐπέφερες. διά τοι τοῦτο, σιγῶν ἐδεξάμην τὰς μάςιγας, 3) ἐκεῖνον μὲν παρορῶν, σὲ δὲ ὁρῶν παιδεύοντα. προσφυῶς δὲ μάλα καὶ τὰ ἐπαγόμενα τέθεικεν. ιά. Ἀπόςησον ἀπ᾽ ἐμοῦ τὰς μάςιγάς σου. ιβ΄. Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον. Ἱκετεύω τοίνυν καὶ ἀντιβολῶ σε Δέσποτα, παῦσον λοιπὸν τὴν παιδείαν· τῷ πλήθει γὰρ τῶν μαςίγων κατηναλώθην. ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας 4) ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ. οὐκ εἰκῆ, φησὶ, καὶ μάτην κέχρησαι ταῖς παιδείαις, ἀλλὰ διελέγχων τὰ ἐπταισμένα, καὶ ἰατρικῶς τέμνων, καὶ ἐξάγων τὸν κεκρυμμένον ἰχῶρα· καὶ 5) ταῖς μὲν 6) ἐκ τῆς θεραπείας κατατήκεις 7) ὀδύναις, 8) ὑγίειαν δὲ πραγματεύῃ τοῖς τεμνομένοις. πλὴν μάτην 9) ταράσσεται πᾶς ἄνθρωπος. ταῦτα τοίνυν παρ᾽ ἐμαυτῷ λογιζόμενος, εἰς οὐδὲν 10) δέον ὁρῶ τοὺς ἀνθρώπους 11) ὑπὲρ προσκαίρων ταραττομένους πραγμάτων. ιγ΄. Εἰσάκουσον τῆς προσευχῆς μου Κύριε, καὶ τῆς δεήσεώς μου· ἐνώτισαι τῶν δακρύων μου· μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ 12) εἰμι, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. ιδ΄. Ἄνες μοι, ἵνα ἀποψύξω

1) ὁμοίως. Abeſt a Cod. 2. 2) ἐποίησας. Videtur ſupplendum eſſe *με*, ſecundum Codicis *alex.* lectionem. Codex *vatic.* habet ὅτι σὺ εἶ ὁ ποιήσας με. 3) Cod. 2. ἐκείνου. 4) ὡς ἀράχνην. Hebr. כעש *inſtar tineæ.* 5) Cod. 1. 2. τάς. 6) ἐκ. Abeſt a Cod. 1. 2. 7) Cod. 1. 2. ὀδύνας. 8) Cod. 1. 2. ὑγείαν. 9) ταράσσεται. Abeſt a Cod. 1. 2. 10) δέον. Abeſt a Cod. 2. 11) ὑπέρ. Cod. 1. addit τῶν. 12) εἰμι. Cod. *vatic.* addit ἐν τῇ γῇ, *alex.* παρὰ σοί. Vtrumque coniungitur in quibusdam libris veteribus.

ξω πρὸ τȣ͂ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω. Ἱκετεύω 1) σέ φησι Δέσποτα, εἰσάκουσον ποτνιωμένου καὶ μετὰ δακρύων 2) ἀντιβολοῦντος· οὐδὲ γὰρ κατοικῶ 3) τὴν γῆν, ἀλλὰ παροικῶ, καὶ τοῖς πατράσι παραπλησίως, ὀλίγον βιώσας χρόνον, τὸν θάνατον δέξομαι· μικρᾶς τοίνυν ἀνακωχῆς μοι μετάδος, ἵνα ὀλίγας γοῦν ἡμέρας δίχα ὀδύνης βιώσω, πρὶν τόνδε τὸν βίον ὑπεξελθεῖν· ἐξελθὼν γὰρ οὐκ 4) ἀναστρέψω. 5) τȣ͂το γὰρ εἶπεν, οὐκέτι οὐ μὴ ὑπάρξω, τουτέστι πρὸς τὸν φθαρτὸν τȣ͂τον οὐκ ἀναστρέψω βίον. Θαυμάσαι δὲ ἄξιον, τὸν μέγαν Δαβὶδ ἐν βασιλείᾳ, καὶ πλούτῳ, καὶ 6) δυναστείᾳ, πάροικον ἑαυτὸν ἀποκαλȣ͂ντα καὶ παρεπίδημον, καὶ τῇ εὐκληρίᾳ θαῤῥῆσαι μὴ ἀνεχόμενον· τῷ ὄντι γὰρ σοφίας μεστὰ 7) τὰ ῥήματα, καὶ τὴν φύσιν τῶν ὄντων ἐπισταμένης, καὶ τȣ͂τȣ χάριν τῆς παρούσης εὐημερίας καταφρονούσης.

me priusquam abeam, et amplius non ero. Tibi Domine, inquit, supplico, exaudi me obsecrantem, et cum lacrimis deprecantem. Non enim inhabito terram vt propriam, sed tanquam peregrinus incolo, et sicut omnes patres mei, postquam parum temporis vixero, mortem obibo. Breues itaque inducias indulge, vt paucos dies sine doloribus vita fruar, priusquam e vita auolem. Egressus enim non reuertar. Hoc enim dixit, *amplius non ero*, hoc est, in hanc corruptam vitam non reuertar. Ceterum æquum est magnum Dauidem admirari, qui cum esset in regno, et copiis, atque potentia, se ipsum aduenam et peregrinum nominat, et felicitati confidere minime vult. Nam reuera hæc verba cum sapientia dicta sunt, quæ rerum naturam scit, et hac de causa præsentem felicitatem despicit.

ΕΡΜΗΝ. ΤΟΥ λθʹ ΨΑΛΜΟΥ.

αʹ. Εἰς τὸ τέλος, τῷ Δαβὶδ ψαλμός. Τινὲς εἰς τὸν 8) μακάριον Ἱερεμίαν τοῦτον ἔλαβον τὸν ψαλμὸν, τινὲς εἰς τὸν θαυμάσιον Δανιήλ· ἐπειδὴ κἀκεῖνος καὶ οὗτος εἰς λάκκον ἐβλήθησαν, μέμνηται δὲ λάκκου τοῦ ψαλμοῦ τὸ προοίμιον· καὶ τῷ ἑνὶ προσεσχηκότες ῥητῷ, εἰς ἐκείνην ἐτράποντο τὴν διάνοιαν. Τινὲς δὲ τοῖς οἰκήσασι τὴν Βαβυλῶνα δορυαλώτοις ἁρμόττειν ἔφασαν τὸν ψαλμόν. ἐγὼ δὲ τυπικῶς μὲν εἰς τὰ συμβεβηκότα τῷ Δαβὶδ 9) τοῦτον συγγεγράφθαι νομίζω· ἀναφέρεσθαι δὲ καὶ εἰς 10) ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν,

* INTERP. PS. XXXIX. *

1. *In finem, Psalmus Dauidi.* Quidam de beato Ieremia hunc psalmum interpretati sunt, alii de admirabili Daniele, quoniam hic et ille in lacum coniectus fuit, exordium autem psalmi lacus mentionem facit. Hoc vnum itaque verbum attendentes, in illum sensum delati sunt. Porro aliqui captiuis Babylonem habitantibus psalmum quadrare dixerunt. Ego autem secundum figuram de illis quidem, quæ ipsi Dauidi acciderunt, hunc conscriptum esse opinor, referri vero etiam ad omnem hominum naturam, quæ spem resurgen-

1) σέ. Abest a Cod. 2. 2) ἀντιβολοῦντος. Cod. 1. παρακαλοῦντος. 3) τὴν γῆν. Cod. 2. ἐνταῦθα. 4) ἀναστρέψω. Cod. 2. addit βιοῦν. 5) τοῦτο — βίον. Def. in Cod. 2. 6) δυναστείᾳ. Cod. 2. addit ὄντα. 7) τά. Abest a Cod. 1. 8) μακάριον. Cod. 2. μέγαν. 9) Cod. 2. τοῦτο. 10) ἅπασαν. Cod. 1, 2. ἁπάντων.

resurgendi a Deo saluatore nostro accepit. In hanc vero sententiam diuinus Paulus nos ducit, qui in epistola ad Hebræos, aliquorum ex iis quæ hîc dicuntur meminit. 2. *Exspectans exspectaui Dominum, et attendit ad me.* 3. *Et exaudiuit preces meas, et eduxit me e lacu miseriæ, et e luto fæcis.* Congruunt hæc etiam beato Dauidi: et consona sunt præcedenti psalmo. Nam in illo quidem dixit: *Exaudi Domine orationem meam, et deprecationem meam: auribus percipe fletum meum: ne sileas, remissionem indulge mihi, vt recreem me priusquam abeam, et amplius non ero.* Et paulo superius ait: *Et quæ nunc est exspectatio mea? nonne Dominus? et substantia mea apud te est.* Hîc vero, tanquam deprecatione admissa, et petitione concessa, dicit: *Exspectans exspectaui Dominum, et attendit ad me.* Cum enim peccatum auersatus esset, beneuolam faciem mihi ostendit, et preces meas exaudiuit. Et quid fecit, cum exaudisset? *Eduxit me e lacu miseriæ, et e luto fæcis.* Sic autem sacræ literæ maxima discrimina nuncupare solent, sicut superius diximus. Cum autem a periculis te liberasset, quid tibi rursus largitus est? *Et statuit super petram pedes meos.* Non enim me moueri et circumferri permisit: sed fecit vt mihi stabilis esset et firma statio. Super hanc enim, ait, *a)* petram ædificabo ecclesiam meam: et portæ inferni non præualebunt aduersus

ὑπὸ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὰς τῆς ἀναστάσεως δεξαμένην ἐλπίδας· 1) εἰς δὲ ταύτην ἡμᾶς ποδηγεῖ τὴν διάνοιαν ὁ θεσπέσιος Παῦλος, ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ῥητῶν ἐνίων μνησθείς. β΄. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. γ΄. Καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος. Ἁρμόττει δὲ καὶ τῷ 2) μακαρίῳ Δαβὶδ τὰ ῥήματα. σύμφωνα γάρ ἐστι τῷ προτεταγμένῳ ψαλμῷ. ἐν ἐκείνῳ μὲν γὰρ ἔλεγεν, εἰσάκουσον τῆς προσευχῆς μου Κύριε, 3) καὶ τῆς δεήσεώς μου· ἐνώτισαι τῶν δακρύων μου· μὴ παρασιωπήσῃς, καὶ ἄνες μοι ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω. καὶ ἀνωτέρω δὲ ἔφη· καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν. ἐνταῦθα δὲ, ὡς τῆς ἱκετείας δεχθείσης, καὶ τῆς αἰτήσεως δοθείσης, ὑπομένων, φησὶν, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. ἀπεστραμμένος γὰρ 4) τὴν ἁμαρτίαν, εὐμενές μοι πρόσωπον 5) ἔδειξε, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. καὶ τί πεποίηκεν εἰσακούσας; 6) καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος. οὕτω δὲ τοὺς μεγίστους κινδύνους 7) σύνηθες ὀνομάζειν τῇ θείᾳ γραφῇ, καθὰ καὶ ἤδη προειρήκαμεν. τῶν δὲ κινδύνων ἀπαλλάξας, τί σοι πάλιν κεχάρισται; 8) καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. οὐ γὰρ εἴασέ με κλονεῖσθαι καὶ περιφέρεσθαι, ἀλλ' ἑδραίαν μοι τὴν στάσιν εἰργάσατο. 9) ἐπὶ ταύτῃ γάρ φησι πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν

1) εἰς — μνησθείς. Des. apud CORD. p. 734. 2) μακαρίῳ. Cod. 2. θείῳ. 3) καὶ — ἀναψύξω. Des. in Cod. 1. 4) τήν. Præstat lectio Cod. 2. διὰ τὴν ἐμήν. 5) Cod. 1. ἔδειξας. 6) καί. Abest a Cod. 2. 7) σύνηθες ὀνομάζειν. Cod. 1. 2. ὀνομάζειν ἔθος. 8) καί. Abest a Cod. 1. 9) ἐπὶ — αὐτῆς. Des. in Cod. 1. 2.

a) Matth. 16, 18.

κύσαυσιν αὐτῆς. καὶ κατεύθυνε τὰ διαβήματά μου. ἀκωλύτως 1) με τρέχειν εἰς τὴν τῆς δικαιοσύνης ὁδὸν παρεσκεύασε. 2) τῆς γὰρ πλάνης ἐλευθερώσας, τὴν εὐθεῖαν ὑπέδειξε τῆς ἀληθείας ὁδόν. δ'. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινὸν, ὕμνον τῷ Θεῷ ἡμῶν. 3) Ἀντὶ γὰρ τῆς δυσσεβοῦς τῶν εἰδώλων λατρείας τὸν ὄντα Θεὸν ἐδιδάχθην ὑμνεῖν, καὶ προσφέρειν ᾆσμα, οὐ παλαιὸν, ἀλλὰ καινὸν, καὶ ταῖς καιναῖς εὐεργεσίαις συμβαῖνον. οὐκέτι γὰρ θρηνωδῶν ἱκετεύω, ἀλλ' ἐπὶ ταῖς εὐεργεσίαις ὑμνῶ. ταῦτα μὲν 4) οὖν, 5) ὡς ἔφην, τυπικῶς 6) ἁρμόττει τοῖς τοῦ Δαβὶδ παθήμασι, καὶ ταῖς εἰς αὐτὸν γεγενημέναις εὐεργεσίαις. ἁρμόττει δὲ διαφερόντως τῇ φύσει τῶν ἀνθρώπων, εἰς αὐτὸν κατενεχθείσῃ τὸν τῆς ἁμαρτίας πυθμένα, καὶ τῷ θανάτῳ παραπεμφθείσῃ, καὶ διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως ἀνιμηθείσῃ, καὶ δεξαμένῃ τῆς ἀναστάσεως τὰς ἐλπίδας, 7) λέγειν, ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι· 8) καὶ εἰσήκουσέ μου, καὶ ἀνήγαγέ με ἐκ λάκκου 9) ταλαιπωρίας. λάκκος 10) δὲ ταλαιπωρίας εἰκότως ὁ θάνατος ἐκλήθη, φθορᾶς ὑπάρχων μεστός. πηλὸς δὲ 11) ἰλύος, ἡ ἁμαρτία, 12) ὡς δυσοσμίαν 13) ἀφιεῖσα πολλὴν, καὶ τὸν 14) εὐθυτενῆ τῶν ἀνθρώπων ἐπέχουσα 15) δρόμον. ὄψονται πολλοὶ,

eam. *Et direxit gressus meos.* Effecit vt absque vllo impedimento currerem in via * iustitiæ.* Cum enim ab errore me liberasset, rectam veritatis viam ostendit. 4. *Et immisit in os meum canticum nouum, carmen Deo nostro.* Nam pro impio idolorum cultu, verum Deum celebrare doctus sum, et canticum non vetus, sed nouum offerre, nouis beneficiis accommodatum. Non enim amplius lamentando precor, sed propter accepta beneficia cano. Hæc igitur vt dixi, per figuram conueniunt calamitatibus Dauidis, et iis quæ in ipsum collata sunt beneficiis; inprimis autem naturæ quoque humanæ apta sunt, quæ in ipsum peccati profundum deiecta et morti tradita, per Saluatorem nostrum cum homo factus sit, educta est, et accepta spe resurrectionis dicit: *Exspectans exspectaui Dominum et attendit mihi. Et exaudiuit me, et eduxit me e lacu miseriæ. Lacus* vero *miseriæ* merito dicta est mors, vt quæ interitu plena sit: *lutum* vero *fæcis* peccatum, vt quod plurimum tetri odoris emittit, et rectum hominum cursum cohibet. *Videbunt multi,* et

1) μοι. Cod. 2. μοί. 2) τῆς — ὁδόν. Hæc alium locum occupant in Cod. 1. 3) Ἀντὶ — συμβαῖνον. Hæc transposita sunt in Cod. 1. et 3. 4) οὖν. Abest a Cod. 1. 5) ὡς ἔφην. Abest a Cod. 3. 6) Cod. 1. 2. τοῖς τοῦ Δαβὶδ ἁρμόττει. 7) λέγειν — ταλαιπωρίας. Des. in Cod. 3. et apud CORD. p. 744. 8) καὶ εἰσήκουσέ μου. Abest a Cod. 1. sed Cod. 2. habet καὶ εἰσήκουσε τῆς δεήσεώς μου. 9) ταλαιπωρίας. Cod. 1. 2. addunt καὶ ἀπὸ πηλοῦ ἰλύος. 10) δὲ. Codd. tres aug. et CORD. l. c. μὲν γάρ. 11) ἰλύος. Cod. 2. et 3. ὕλεως. 12) ὡς. Abest a Cod. 1. 13) Cod. 3. ἀναφιεῖσα. 14) Prior lectio erat εὐθυγενῆ. Cod. 2. εὐγενῆ. 15) δρόμον. In Cod. 2. sequuntur quæ in superioribus præcedunt, καὶ ἔστησεν — πόδας μου, cum Commentario isto, ἐπὶ ταύτῃ — κατισχ. αὐτῆς. Hæc excipiunt, καὶ κατεύθυνε τὰ διαβ. μου,

et timebunt, et sperabunt in Domino. Quia autem in persona eorum, qui salutem nacti sunt, hæc disserit, merito ait propheta, eos qui nondum bona gustauerunt, visuros esse, et formidaturos, vt qui hactenus non accesserint, et postea spe corroborati, a Deo salutem consequentur. 5. *Beatus vir, cuius spes est nomen Domini, et non respexit ad vanitates, et insanias falsas.* Harum vanitatum propheta mentionem fecit etiam in præcedente psalmo, dicens: *Veruntamen vniuersa vanitas, omnis homo viuens.* Et rursus: *Verumtamen vane conturbatur.* Et hîc igitur eum iudicat beatum, qui præsentia quidem despicit, diuinam vero spem omnibus præponit. 6. *Multa fecisti tu Domine Deus mi mirabilia tua, et cogitationibus tuis non est qui similis sit tibi. Annunciaui, et locutus sum, multiplicati sunt super numerum.* Miracula, inquit, quæ per tuam potentiam facta sunt, numerum et narrationem omnem superant. Non enim est qui facere possit similia tibi, quandoquidem opera * tua, maxima et perpulcra * sunt: vincunt autem humanas laudes ea, quæ singulis temporibus a tua

καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον. ἐπειδὴ 1) εἰς τῶν τῆς σωτηρίας ἀπολελαυκότων τὸ πρόσωπον ταῦτα διέξεισιν, εἰκότως ὁ προφήτης ἔφη, 2) ὅτι 3) οἱ μηδέπω γεγευμένοι τῶν ἀγαθῶν, 4) θεωροῦντες καὶ φοβηθήσονται, ὡς ἤδη μὴ προσεληλυθότες, καὶ 5) τῇ ἐλπίδι κρατυνθέντες, τῆς παρὰ τοῦ Θεοῦ τεύξονται σωτηρίας. έ. Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς 6) ματαιότητας καὶ μανίας ψευδεῖς. Τῶν ματαιοτήτων τούτων ἐμνημόνευσεν ὁ προφήτης, καὶ ἐν τῷ πρὸ τούτου ψαλμῷ· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. καὶ πάλιν, πλὴν μάτην 7) ταράσσεται· κἀνταῦθα τοίνυν μακαρίζει τὸν τῶν μὲν παρόντων καταφρονήσαντα, τὴν ἐλπίδα δὲ τὴν θείαν ἀντὶ πάντων κτησάμενον. ς'. Πολλὰ ἐποίησάς σὺ Κύριε ὁ Θεός μου τὰ θαυμάσιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τις ὁμοιωθήσεταί σοι. ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. Νικᾷ, φησὶν, ἀριθμὸν, καὶ πᾶσαν διήγησιν, τὰ ὑπὸ τῆς σῆς δυνάμεως 8) γενόμενα θαύματα. οὐ γάρ ἐστιν ὁ τὰ ὅμοιά σοι δρᾶσαι δυνάμενος. μέγιστα 9) μὲν γὰρ καὶ περικαλλῆ σου τὰ ποιήματα. νικᾷ δὲ τοὺς ἀνθρωπίνους ἐπαίνους τὰ καθ' ἕκαστον καιρὸν 10) ὑπὸ τῆς 11) σῆς προμη-

μου, addito Commentario τῆς γὰρ πλάνης — ἀληθ. ὁδόν. Deinde repetuntur verba vers. 4. additis iis quæ suo loco desid. Ἀντὶ — συμβαῖνον, vbi tamen leg. ἐδιδάχθη. Eadem fere verborum series obseruatur in Cod. 3. In illo tamen post verba ista Ἀντὶ — συμβαῖνον sequuntur hæc, καὶ οἱ μηδέπω — τεύξονται, quæ in *firm.* edit. sunt vltima ad vers. 4. Hunc ordinem tenuit etiam Codex quo vsus est CORD. quem vide p. 744. 1) εἰς. Abest a Cod. 1. 2. 2) ὅτι. Cod. 3. καί. 3) οἱ. Abest a Cod. 2. 4) θεωροῦντες. Codd. tres *aug.* θαῤῥοῦντες. 5) Cod. 2. τὴν ἐλπίδα. 6) Cod. 2. ματαιότητα. 7) Cod. 2. ταράσσονται. 8) Cod. 1. γεγενημένα. 9) μὲν. Abest a Cod. 2. 10) ὑπὸ τῆς κ. λ. In Cod. 3. nonnulla præcedunt, quæ tamen Nostro vindicare dubitamus, *tum* quia cum illis quæ h. l. præmissa sunt, non cohærent, *tum* quia simul CYRILLI nomen adscriptum habent. 11) σῆς. Cod. 3. αὐτοῦ.

προμηθείας οἰκονομούμενα, τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐρήμῳ, 1) τὰ ἐπὶ 2) Μωσοῦ, τὰ ἐπὶ 3) Ἰησοῦ, τὰ ἐπὶ Σαμουήλ, καὶ τὰ τούτων πρεσβύτερα, τὰ κατὰ τὸν Ἀβραάμ, 4) τὰ κατὰ τὸν Ἰσαάκ, τὰ κατὰ τὸν Ἰακώβ, ἡ διὰ δουλείας τοῦ Ἰωσὴφ βασιλεία, καὶ τὰ ἄλλα, ἵνα μὴ καθ᾽ ἕκαστον διεξέρχωμαι· ἀλλὰ τὸ νῦν γεγενημένον τούτων ἁπάντων θαυμασιώτερον. 5) οὐδὲ γὰρ ἑνὸς ἀνδρὸς, 6) ἢ ἑνὸς ἔθνους, ἀλλὰ τῶν ἐθνῶν ἁπάντων πραγματεύῃ τὴν σωτηρίαν, καὶ τὴν νομικὴν λατρείαν καταπαύσας, 7) τῇ τῶν Ἰουδαίων ἀσθενείᾳ συμβαίνουσαν, τὴν καινὴν ἔδωκας χάριν, τὴν 8) λογικὴν λατρείαν 9) νομοθετοῦσαν. ζ΄. Θυσίαν 10) καὶ προσφορὰν οὐκ ἠθέλησας, 11) σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. η΄. Τότε εἶπον, ἰδοὺ ἥκω. Τούτοις ἡ ἀποστολικὴ συνᾴδει παραίνεσις· παρακαλῶ ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν 12) λατρείαν. ἀντὶ γὰρ τῶν νομικῶν ἱερείων τὰ ἡμέτερα μέλη καθιεροῦν ὁ Δεσπότης προσέταξε. 13) ταύτην δέ σου 14) φησὶ τὴν χάριν ἰδὼν, ἐμαυτόν σοι προσήγαγον, λέγων, ἰδοὺ πάρειμι: ταύτην μέντοι τὴν φωνὴν ὁ 15) μακάριος λαμβάνει Παῦλος εἰς τὸν δεσπότην Χρι-

prouidentia dispensata fuere, quæ in Aegypto, quæ in deserto, quæ tempore Mosis, Iosuæ, Samuelis, et quæ his antiquiora; quæ acciderunt Abrahamo, Isaaco, Iacobo, et Iosepho, qui regnum per seruitutem obtinuit, et alia, ne singula percurram. Verum quod nunc factum est, omnibus his est admirabilius. Non enim vnius hominis, vel vnius gentis, sed omnium gentium salutem procuras, et legis cultum cessare faciens, ad Iudæorum imbecillitatem accommodatum, nouam gratiam dedisti, quæ rationalem cultum præscribit. 7. *Sacrificium et oblationem noluisti, corpus autem aptasti mihi. Holocausta, et sacrificia pro peccato non postulasti.* 8. *Tunc dixi, ecce venio.* His apostoli admonitio concinit: a) Obsecro vos fratres per misericordiam Dei, vt exhibeatis corpora vestra hostiam viuentem, sanctam, Deo placentem, rationalem cultum vestrum. Nam pro legalibus sacrificiis Dominus imperauit, vt nostra membra consecremus. Hanc autem, ait, tuam gratiam perspiciens, me ipsum tibi obtuli, dicens: Ecce adsum. Hanc igitur vocem beatus Paulus de Christo Domi-

no

1) τὰ ἐπὶ Μωσοῦ. Def. in Cod. 3. 2) Cod. 1. Μωϋσοῦ. Cod. 2. Μωϋσέως. 3) Ἰησοῦ. Cod. 1. addit τοῦ Ναυῆ. 4) τὰ — καὶ τὰ ἄλλα. Cod. 3. καὶ τοὺς ἐξ αὐτοῦ πατριάρχας. 5) οὐδέ. Cod. 3. οὐ. 6) ἤ. Cod. 3. οὐδέ. 7) τῇ — συμβαίνουσαν. Def. in Cod. 2. Pro τῇ τῶν Cod. 1. habet τὴν τῇ. 8) λογικήν. Cod. 1. νομικήν. 9) νομοθετοῦσαν. Multa etiam h. l. in Cod. 3. sequuntur, de quibus tamen ex argumentis iam adductis dubitamus, an ad Nostrum pertineant. 10) καί. Cod. 1. 2. præm. γὰρ ἔφη. 11) σῶμα. Hebr. אזנים. Sicque reliqui Interp. græci habent ὠτία, vnde culpa Librariorum ortum esse videtur σῶμα. Vid. LAMB. BOS Animadv. crit. ad h. l. 12) λατρείαν. Cod. 3. addit ὑμῶν. 13) ταύτην — σάρκα. Def. in Cod. 3. 14) φησί. In Cod. 2. ponitur post χάριν. 15) μακάριος. Cod. 2. θεῖος.

a) Rom. 12, 1.

no adhibuit, *a)* idque satis bene. Nostræ enim naturæ habuit primitias et illi omnium primo nostra dicere conuenit, et in seipso prius adumbrare ea, quæ a nobis fieri decet. Eodem modo ipse primus ad baptisma accessit, nobis tacite ostendens baptismatis gratiam: eodem modo pedes discipulorum lauit, humilitatis exemplar nobis proponens. Propterea Ioanni dicit: *b)* Permitte modo, sic enim decet nos, implere omnem iustitiam. Congruit igitur illi et nostra dicere, vt capiti corporis, vt primogenito multorum fratrum secundum carnem. *In capite libri scriptum est de me.* Olim, inquit, in libris propheticis hæc de me prædicta sunt. *In capite* Aquila et Symmachus *in inuolucro libri* dixerunt: sic autem scripturas diuinas vsque in hodiernum diem Iudæi concinnare solent. 9. *Vt facerem voluntatem tuam Deus mi volui, et legem tuam, in medio ventris mei.* Postquam accessi ad te, ait, omne studium adhibeo, vt tua præcepta impleam, et vt secundum tuam voluntatem viuam. Hoc autem *In medio ventris* * *mei*, dixit per Metaphoram sumtam ab illis, qui aliquem amore prosequuntur, et desiderant illum quasi in sua viscera coniicere. Porro hæc nec Ieremiæ, nec Danieli, nec beato Dauidi congruunt. Durante enim lege, holocausta et sacrificia offerebantur Deo. Propheticus vero sermo, omnibus his

στὸν, καὶ μάλα εἰκότως. τῆς γὰρ ἡμετέρας φύσεώς ἐστιν ἀπαρχὴ, καὶ πρώτῳ 1) πρέπει τὰ ἡμέτερα λέγειν, καὶ ἐν αὐτῷ προτυποῦν ἃ παρ' ἡμῶν προσήκει γενέσθαι. οὕτω πρῶτος τῷ βαπτίσματι προσελήλυθεν, ἡμῖν ὑποδεικνὺς τὴν τοῦ βαπτίσματος χάριν· οὕτως ἔνιψε τοὺς πόδας τῶν μαθητῶν, ταπεινοφροσύνης ἡμῖν ἀρχέτυπον προτιθείς. διὰ τοῦτο πρὸς τὸν Ἰωάννην ἔφη· ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. ἁρμόττει τοίνυν αὐτῷ καὶ τὰ ἡμέτερα λέγειν, ὡς κεφαλῇ σώματος, ὡς πολλῶν ἀδελφῶν πρωτοτόκῳ κατὰ τὴν σάρκα. ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ. 2) ἄνωθέν φησιν ἐν ταῖς προφητικαῖς βίβλοις ταῦτα περὶ ἐμοῦ προηγόρευται. 3) τὴν κεφαλίδα, εἴλημα εἰρήκασιν Ἀκύλας καὶ 4) Σύμμαχος. οὕτω δὲ τὰς θείας γραφὰς μέχρι καὶ τήμερον Ἰουδαῖοι κατασκευάζειν εἰώθασι. θ'. Τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ Θεός μου 5) ἠβουλήθην· καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς 6) κοιλίας μου. Προσελθών σοι, φησὶ, πᾶσαν ἔχω σπουδὴν τὰς σὰς πληροῦν ἐντολὰς, καὶ κατὰ τὸ σὸν πολιτεύεσθαι θέλημα. τὸ δὲ, ἐν μέσῳ τῆς κοιλίας μου, ἐκ μεταφορᾶς εἴρηκε τῶν εὖ περί τινα διακειμένων, καὶ ἔνδον 7) ἐφιεμένων ἐμβαλεῖν τὸν ποθούμενον. ταῦτα δὲ οὔτε τῷ Ἱερεμίᾳ, οὔτε τῷ Δανιὴλ, 8) οὔτε τῷ 9) μακαρίῳ ἁρμόττει Δαβίδ. τοῦ νόμου γὰρ κρατοῦντος, ὁλοκαυτώματα καὶ θυσίαι προσεφέροντο τῷ Θεῷ. ὁ δὲ προφητικὸς λόγος, ἐκβαλὼν πάντα τὰ τοιαῦτα,

1) *πρέπει.* Abest a Cod. 1. 2) *ἄνωθεν — προηγόρευται.* Des. in Cod. 3. 3) *τὴν — εἰρήκασιν.* Cod. 3. *κεφαλίδα φασὶν εἴλημα.* 4) *Σύμμαχος.* Aliam eius interpretationem dedit MONTF. in Hexaplis ad h. l. 5) Cod. 1. 2. *ἐβουλήθην.* 6) *κοιλίας.* Rec. lectio τῶν ὁ. est *καρδίας.* 7) *ἐφιεμένων.* In Cod. 1. ponitur post *ποθούμενον.* 8) *οὔτε.* Cod. 1. 2. addunt *μήν.* 9) *μακαρίῳ.* Cod. 2. *θείῳ.*

a) Hebr. 10, 5-9. *b)* Matth. 3, 15.

αὐτα, τὴν λογικὴν θυσίαν ὑπέδειξεν. οὐ δὴ χάριν, τυπικῶς ἔφην ἁρμόττειν τῷ Δαβὶδ τὸν ψαλμόν· ἐπειδὴ κἀκεῖνος προφητικῶς προεώρα τὰ μέλλοντα, καὶ κατ' ἐκεῖνα ζῆν ἐπεθύμει. ἀληθῶς δὲ τοῖς τῆς σωτηρίας ἀξιωθεῖσιν ἔθνεσι, καὶ τῆς πλάνης ἀπαλλαγεῖσιν. ι. Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω· Κύριε σὺ ἔγνως. ια. Τὴν δικαιοσύνην 1) σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα. οὐκ ἔκρυψα τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς. Καὶ ὁ 2) μακάριος Δαβὶδ ὑπισχνεῖται ἐν ἐκκλησίᾳ μεγάλῃ, τῇ κατὰ πᾶσαν τὴν οἰκουμένην ὑπὸ τῆς θείας χάριτος συλλεγείσῃ, τὴν τοῦ Θεοῦ δικαιοσύνην κηρύττειν, καὶ τὴν τῆς προφητείας ἀλήθειαν, καὶ τὴν ἀξιάγαστον σωτηρίαν, καὶ τὸν ἀμέτρητον ἔλεον. καὶ αὐτὴ ἡ 3) σεσωσμένη φύσις ταύτην ὑπὲρ τῆς σωτηρίας ὑπισχνεῖται τὴν ἀντίδοσιν 4) δώσειν, τὸ συντρέχειν εἰς ἐκκλησίαν, καὶ τὰ χείλη κινεῖν εἰς ὑμνῳδίαν, καὶ τοῦ Θεοῦ τὴν δικαίαν κρίσιν ἀνακηρύττειν, καὶ τὴν ἄρρητον διεξιέναι κηδεμονίαν, καὶ τῶν προφητικῶν ὑποσχέσεων ὑποδεικνῦναι τὸ ἀληθές. τὸ δὲ, ἀπὸ συναγωγῆς πολλῆς, ὁ Σύμμαχος ἐν πληθύϊ, ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων, ἐν ἐκκλησίᾳ μεγάλῃ τεθείκασιν· ὡς εἶναι δῆλον, ὅτι περὶ τῆς αὐτῆς εἴρηκεν ἐκκλησίας. ιβ. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου διὰ παντὸς 5) ἀντελάβοντό μου. Καὶ τυχοῦσα τῆς σωτηρίας ἡ τοῦ Θεοῦ ἐκκλησία, δεῖται πάλιν τῆς αὐτῆς προμηθείας, διὰ τὰς παντοδαπὰς τῶν ἀνθρώπων καὶ δαιμόνων

eiectis, rationale sacrificium ostendit. Idcirco per figuram dixi psalmum Dauidi congruere, quoniam ille ex prophetiæ dono futura præuidebat, et secundum illa viuere desiderabat. Vere autem hæc gentibus, quæ salute donatæ sunt, et ab errore liberatæ fuerunt, conueniunt. *10. Annunciaui iustitiam in ecclesia magna, ecce labia mea non prohibebo, Domine tu scis. 11. Iustitiam tuam non abscondi in corde meo: veritatem tuam et salutem tuam dixi. Non abscondi misericordiam tuam, et veritatem tuam a cœtu multo.* Beatus Dauid promittit, se in ecclesia magna per totum orbem terrarum per diuinam gratiam collecta Dei iustitiam prædicaturum esse, et prophetiæ veritatem, atque salutem admiratione dignam, immensamque misericordiam: et ipsa natura seruata hanc pro salute remunerationem se daturam esse spondet, nimirum in ecclesiam confluere, et labia in hymnorum cantilenam mouere, atque iustum Dei iudicium celebrare, inexplicabilemque Dei prouidentiam enarrare, et propheticarum promissionum veritatem ostendedere. Hoc autem, *A cœtu multo*, Symmachus, *In multitudine*, Aquila vero et Theodotion, *In ecclesia magna* posuerunt, vt de eadem ecclesia illum dixisse manifestum sit. *12. Tu autem Domine, ne longe remoueas miserationes tuas a me, misericordia tua, et veritas tua semper susceperunt me.* Dei ecclesia, salutem licet consecuta, eadem prouidentia indiget ob varios hominum dæmonumque insul-

1) *σου.* Hæc lectio Cod. *alex.* præferenda est illi, quam habet *vatic.* in quo est *μου.* 2) *μακάριος.* Cod. 2. *θεῖος.* 3) *σεσωσμένη.* Cod. 2. *ἐσομένη.* 4) *δώσειν.* Abest a Cod. 1. 2. 5) Cod. 1. *ἀντελάβετό μου*, adscripta tamen lectione *ἀντελάβοντό μου*, quam etiam habet Cod. 2.

insultus, quorum in sequentibus mentionem fecit. 13. *Quoniam circumdederunt me mala, quorum non est numerus: comprehenderunt me iniquitates meæ, et non potui videre. Plures sunt capillis capitis mei, et cor meum dereliquit me.* ** Quæ hîc dicuntur, nemo pugnantia existimet cum his, quæ modo exposita sunt. Etenim tres pueri summa virtute præditi, atque triumphali corona ornati, in camino orantes dixerunt: Peccauimus, inique egimus, deliquimus, et recessimus a mandatis tuis, nec obseruauimus instituta tua. Sic admirabilis Daniel, sic diuinus Ieremias, sic diuinus Esaias, sic sapientissimus Paulus. Christus enim, inquit, a) Iesus venit in hunc mundum, vt peccatores saluos faceret, quorum primus ego sum. Et rursus, b) Non sum dignus vocari apostolus. Sic igitur in hoc loco Dei ecclesia, impiorum fluctibus concussa, non effertur, tanquam pugnare volens, sed quæ accidunt, peccatis et delictis tribuit, et a Saluatore opem consequi obsecrat. Præterea nec Dei ecclesia ex hominibus perfectis tota constat, sed habet etiam ignauos, et qui remissam vitam amplexi sunt, et qui voluptatibus seruire decreuerunt. Et quoniam vnum est corpus, tanquam ex vna persona et hæc et illa proferuntur. 14. *Placeat tibi Domine, vt eruas me: Domine ad adiuuandum me respice.* 15. *Confundantur, et pudore suffundantur simul, qui quærunt animam meam, vt auferant*

ἐπαναστάσεις, ὧν ἐν τοῖς ἑξῆς τὴν μνήμην πεποίηται. ιγ΄. Ὅτι περιέσχον με κακὰ, ὧν οὐκ ἔστιν ἀριθμός· κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν. ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς 1) μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με. Μηδεὶς δὲ ἀνάρμοστα τοῖς ἡρμηνευμένοις ἡγείσθω τὰ εἰρημένα· καὶ γὰρ οἱ τρεῖς παῖδες τῆς ἄκρας ἀρετῆς ἐπειλημμένοι, καὶ τὸν νικηφόρον 2) ἀναδησάμενοι στέφανον, ἐν τῇ καμίνῳ προσευχόμενοι ἔλεγον, ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, καὶ ἀπέστημεν ἀπὸ τῶν ἐντολῶν σου, καὶ οὐκ ἐφυλάξαμεν τὰ δικαιώματά σου. οὕτως ὁ 3) θαυμάσιος Δανιὴλ, οὕτως ὁ 4) θεσπέσιος Ἱερεμίας, οὕτως ὁ θεῖος Ἡσαΐας, οὕτως ὁ 5) σοφώτατος Παῦλος. Χριστὸς γάρ φησιν 6) Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον, ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. καὶ πάλιν, οὐκ εἰμὶ ἄξιος καλεῖσθαι ἀπόστολος. οὕτω 7) τοίνυν ταῖς παρὰ τῶν δυσσεβῶν τρικυμίαις βαλλομένη ἡ τοῦ Θεοῦ ἐκκλησία, οὐ μεγαφρονεῖ, ὡς ἀγωνιζομένη, ἀλλὰ ἁμαρτίαις καὶ πλημμελείαις 8) ἀνατίθησι τὰ γινόμενα, καὶ τῆς παρὰ τοῦ σωτῆρος ἐπικουρίας ἀπολαῦσαι παρακαλεῖ. ἄλλως τε οὐδὲ ἐκ τελείων πᾶσα συνέστηκεν ἡ τοῦ Θεοῦ ἐκκλησία· ἀλλ᾽ ἔχει καὶ τοὺς ῥαστώνῃ συζῶντας, καὶ τὸν ἀνειμένον βίον ἀσπαζομένους, καὶ ἡδοναῖς δουλεύειν αἱρουμένους. καὶ ἐπειδὴ ἕν ἐστι σῶμα, ὡς ἐξ ἑνὸς προσώπου καὶ ταῦτα κἀκεῖνα προφέρεται. ιδ΄. Εὐδόκησον Κύριε τοῦ ῥύσασθαί με, Κύριε εἰς τὸ βοηθῆσαί μοι 9) πρόσχες. ιε΄. Καταισχυνθείησαν, καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου, τοῦ ἐξᾶραι αὐτήν.

1) μου. Abest a Cod. 1. 2) Cod. 2. ἀνενδυσάμενοι. 3) θαυμάσιος. Cod. 2. θεῖος. 4) θεσπέσιος. Cod. 2. μέγας. 5) Cod. 2. σοφός. 6) Ἰησοῦς. Abest a Cod. 1. 7) τοίνυν. Cod. 1. 2. addunt κἀνταῦθα. 8) ἀνατίθησι. In Cod. 2. ponitur post γινόμενα. 9) πρόσχες. Cod. 1. σπεῦσον.

a) 1 Tim. 1, 15. b) 1 Cor. 15, 9.

αὐτήν. Οὐ γὰρ τρῶσαι βούλονται, ἀλλὰ τῷ αἰωνίῳ παραπέμψαι θανάτῳ. ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά. 1) τρέψον 2) αὐτοὺς εἰς φυγὴν, καὶ διαμαρτεῖν ὧν ἐφίενται παρασκεύασον· κακὰ γάρ μοι καττύουσιν. ις΄. Κομισάσθωσαν 3) αἰσχύνην παραχρῆμα οἱ λέγοντές μοι εὖγε, εὖγε. Καὶ τοῖς ἐπιτωθάζουσι 4) δὲ καὶ ἐπιγελῶσί μοι, 5) γενέσθω τούτοις καρπὸς ἡ αἰσχύνη. ιζ΄. 6) Ἀγαλλιάσθωσαν, καὶ 7) εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε Κύριε, καὶ 8) εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου 9) διαπαντός. Τοὺς δὲ ζητοῦντάς σε, φησὶ, καὶ ὑμνοῦντας, καὶ διαπαντὸς ἀγαπῶντας, διηνεκοῦς ἔμπλησον εὐφροσύνης, 10) καὶ 11) τῆς σῆς ἀγάπης μεταβολὴν 12) μὴ 13) δεχόμενοι, 14) μὴ δεξάσθωσαν θυμηδίας μεταβολήν. οὐ γὰρ τοῖς ἁπλῶς ἀγαπῶσιν ᾔτησε τὴν θυμηδίαν, ἀλλὰ τοῖς ἀεὶ καὶ διηνεκῶς ἔχουσι τὸν ἀξιέραστον ἔρωτα. ιη΄. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, Κύριος φροντιεῖ μου· βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ 15) Κύριε, μὴ 16) χρονίσῃς. Ὥσπερ ἁμαρτιῶν ἐμνημόνευσεν ἄνω, οὕτω καὶ πτωχὸν 17) ἑαυτὸν ἀποκαλεῖ, ὡς 18) βοηθείας 19) σπανίζοντα, καὶ τῆς θείας 20) δεόμενον ἐπικουρίας· 21) καὶ ταύτης ὅτι τάχιστα ἱκετεύει τυχεῖν. ἁρμόττει δὲ ταυ-

eam. Non enim vulnerare volunt, sed sempiternæ morti tradere. *Convertantur retrorsum, et confundantur, qui volunt mala mea.* Verte ipsos in fugam, et aberrare fac ab his quæ desiderant: mala enim contra me struunt. *16. Illico reportent confusionem, qui dicunt mihi euge, euge.* His, qui insultant, et irrident me, fructus sit pudor. *17. Exsultent, et lætentur super te omnes quærentes te Domine, et dicant semper, magnificetur Dominus, qui diligunt salutem tuam.* At quærentes te, inquit, et laudantes, et semper diligentes, perpetua lætitia imple. Et qui tui amoris mutationem non habent, neque gaudii mutationem sentiant. Non enim simpliciter amantibus gaudium precatus est, sed his, qui semper et continue beneuolentia dignum amorem habent.

* *18. Ego autem mendicus sum, et pauper, Dominus solicitus erit mei. Adiutor meus, et protector meus tu es Domine, ne tardaueris.* Sicut superius peccatorum meminit, sic et pauperem seipsum nuncupat, tanquam auxilio egentem, et diuina ope carentem; et hanc quidem vt celerrime consequatur supplicat. Congruunt autem hæc potissi-

1) Cod. 2. στρέψον. 2) αὐτούς. Cod. 1. 2. addit φησί. 3) Cod. 1. 2. παραχρῆμα αἰσχύνην. Vterque Cod. addit αὐτῶν. 4) δέ. Abest a Cod. 2. 5) γενέσθω — αἰσχύνη. Def. in Cod. 2. 6) Cod. 1. ἀγαλλιάσοιντο, quæ est lectio Cod. *alex.* 7) Cod. 1. εὐφρανθείησαν. 8) εἰπάτωσαν. Cod. 2. λεγέτωσαν. 9) διαπαντός. Abest a Cod. 1. 2. et a versione τῶν ό. 10) καί. Abest a Cod. 2. 11) τῆς. Cod. 1. præm. οἱ. 12) μή. Abest a Cod. 1. 13) Cod. 2. δεχομένους. 14) μή — μεταβολήν. Def. in Cod. 2. 15) Κύριε. Rec. lectio h. l. est ὁ Θεός μου. 16) χρονίσῃς. Cod. 3. addit τὰ τῆς βοηθείας μου καὶ ὑπερασπιστείας μου δωρούμενος. 17) ἑαυτόν. Abest a Cod. 1. 2. 18) βοηθείας σπανίζοντα καί. Def. in Cod. 3. 19) Cod. 1. σπανίζοντα. 20) Cod. 1. δεομένην. 21) καὶ — τυχεῖν. Def. in Cod. 3.

potissimum beato Dauidi. Opinor enim eum, cum vaticinationem illam et gratiæ liberalitatem cerneret, pauperem se ipsum ac egenum appellasse, atque vt diuina prouidentia perfrueretur esse deprecatum. Orat porro ne salus prædicta procrastinetur, neue in longum tempus prorogetur, sed vt celeriter hominibus concedatur.

τα διαφερόντως τῷ 1) μακαρίῳ Δαβίδ. ἡγοῦμαι γάρ, ὅτι τὴν πρόῤῥησιν ἐκείνην θεασάμενος, καὶ τὴν φιλοτιμίαν τῆς χάριτος, πτωχὸν ἑαυτὸν καὶ πένητα προσηγόρευσε, καὶ τῆς θείας καὶ αὐτὸς ἀπολαῦσαι προνοίας ἱκέτευσεν. 2) ἀντιβολεῖ δὲ μὴ χρονίσαι τὴν τεθεσπισμένην σωτηρίαν, μηδὲ εἰς μακροὺς ἀναβληθῆναι χρόνους, ἀλλὰ τάχιστα τοῖς ἀνθρώποις ταύτην παρασχεθῆναι.

INTERP. PSALMI XL.

1. In finem. *Psalmus Dauidi.* Præsentem psalmum quidam Dauidi, quidam vero Ezechiæ adscripserunt: diuinum vero euangelium neutrum ex illis accipi sinit. Nam Christus Dominus colloquio cum sanctis discipulis habito, hæc subdidit: a) Si hæc scitis, beati eritis, si feceritis ea. Non de omnibus vobis dico: ego scio quos elegerim: sed vt impleatur scriptura, Qui manducat panem mecum, eleuauit contra me calcaneum suum, ex hoc inde tempore dico vobis priusquam fiat, vt cum factum fuerit, credatis, quod ego sim. Domino igitur dicente, Vt scriptura impleatur, et demonstrante præsentem psalmum sibi et non alii congruere, rem audaciæ ac temeritatis plenam iudico, aliud argumentum huic psalmo minime congruens affingere. 2. *Beatus qui attendit ad egenum et pauperem.* Hoc et pauperem, in quibusdam exemplaribus inueni: sed nec apud Hebræum legitur, nec apud Syrum, nec apud

ΕΡΜΗΝ. ΤΟΥ μ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Τινὲς μὲν τῷ Δαβὶδ ἀνέθεσαν, τινὲς δὲ τῷ Ἐζεκίᾳ τὸν παρόντα ψαλμόν· οὐκ ἐᾷ δὲ ἡμᾶς τὸ θεῖον εὐαγγέλιον οὐδέτερον δέξασθαι. ὁ γὰρ Δεσπότης Χριστὸς διάλεξίν τινα πρὸς τοὺς ἱεροὺς ποιησάμενος μαθητάς, ἐπήγαγε καὶ ταῦτα· εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε 3) ταῦτα. οὐ περὶ πάντων ὑμῶν λέγω, 4) οἶδα οὓς ἐξελεξάμην· ἀλλ᾽ ἵνα ἡ γραφὴ πληρωθῇ, ὁ τρώγων μετ᾽ ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν πτέρναν αὐτοῦ. ἀπ᾽ ἄρτι λέγω ὑμῖν. 5) πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε, ὅτι ἐγώ εἰμι. τοῦ Κυρίου τοίνυν λέγοντος, ἵνα ἡ γραφὴ πληρωθῇ· καὶ δεικνύντος τὸν παρόντα ψαλμὸν αὐτῷ καὶ οὐκ ἄλλῳ τῳ προσήκοντα, θρασὺ νομίζω καὶ τολμηρὸν, ἄλλην αὐτῷ καὶ μὴ προσήκουσαν ὑπόθεσιν διαπλάσαι. β΄. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα. 6) Τὸ καὶ πένητα ἐν ἐνίοις εὗρον ἀντιγράφοις· οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, 7) οὔτε παρὰ τῷ Σύρῳ, οὔτε παρὰ τοῖς ἄλλοις

1) μακαρίῳ. Cod. 2. θείῳ. 2) ἀντιβολεῖ δέ. Codd. tres aug. ἀντιβολήσας. 3) ταῦτα. Cod. 1. 2. αὐτά, quæ est rec. lectio l. c. 4) οἶδα. Præcedit ἐγὼ l. c. 5) πρὸ τοῦ γενέσθαι. Abest a Cod. 2. 6) Τὸ — ἑρμηνευταῖς. Idem Scholion ex CHRYSOST. desumtum exstat in edit. rom. τῶν ό. 7) οὔτε — Σύρῳ. Hæc in Cod. 1. ponuntur post ἑρμηνευταῖς.

a) Ioh. 13, 17 - 19.

ἄλλοις 1) ἑρμηνευταῖς. πτωχὸν μέν τοι καλεῖ τὸν τῶν ὅλων Κύριον. ἐπειδὴ πλούσιος ὤν, 2) ὥς φησιν ὁ θεῖος ἀπόστολος, δι' ἡμᾶς ἐπτώχευσεν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. καὶ ὁρατῶν καὶ ἀοράτων δεσπόζων, οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλῖναι, καὶ γεννηθεὶς ἐκ παρθένου, διὰ σπάνιν κλίνης ἐπὶ φάτνης ἐτέθη. 3) μακαρίζει τοίνυν ὁ προφητικὸς λόγος τὸν ταύτην συνιέναι τὴν πτωχείαν δυνάμενον, καὶ εἰς δύναμιν ἀνυμνῆσαι προθυμούμενον τὸν ταύτην ἀναδεξάμενον· εἶτα δείκνυσι τοῦ μακαρισμοῦ τοὺς καρπούς. ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. τὴν δὲ πονηρὰν ἡμέραν κακώσεως ἡμέραν ὁ Σύμμαχος εἴρηκεν. αἰνίττεται δὲ, ὡς οἶμαι, τὴν τῆς κρίσεως ἡμέραν, φοβερὰν οὖσαν, καὶ τῶν παρανόμων κακωτικήν· καὶ ὑπισχνεῖται τὴν εἰλικρινῆ γνῶσιν τῆς πτωχείας ἐκείνης τῶν τῆς φοβερᾶς αὐτὸν ἡμέρας ἀπαλλάξαι κακῶν. γ'. Κύριος 4) διαφυλάξαι αὐτὸν καὶ 5) ζῆσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ 6) παραδῷ αὐτὸν 7) εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. Οὐ μόνον δὲ τῶν μελλόντων ἀγαθῶν 8) ἀπολαύσει, ἀλλὰ καὶ κατὰ τὸν παρόντα βίον τῆς θείας τεύξεται προμηθείας, περιφανής τε γενόμενος καὶ περίβλεπτος, καὶ τὰς τῶν δυσμενῶν διαφεύγων ἐπιβουλάς. καὶ ἐπειδὴ

alios interpretes. *Egenum* igitur nuncupat vniuersorum Dominum, quoniam cum esset diues, vt ait divinus apostolus, *a*) propter nos egenus factus est, vt illius inopia diuites essemus. Et, *b*) Cum haberet formam Dei, non rapinam arbitratus est, se esse æqualem Deo: sed se ipsum exinaniuit, formam serui accipiens. Et qui visibilibus et inuisibilibus * dominabatur, non habebat vbi caput suum reclinaret, et natus ex virgine, ob inopiam cubilis, in præsepi positus est. Hinc propheticus sermo beatum prædicat eum, qui hanc paupertatem intelligere potest, et qui pro viribus celebrandum curat eum, qui hanc paupertatem amplexus est. Deinde beatitudinis fructus demonstrat. *Die malo liberabit eum Dominus.* Sed *malum diem*, *vexationis diem* Symmachus dixit. Tacite vero innuit, vt opinor, futurum diem terribilem iudicii, et peccatoribus infestum: et promittit sinceram illius paupertatis cognitionem a terribilis diei malis ipsum liberaturam. 3. *Dominus conseruet eum, et in vita conseruet eum, et beatum faciat eum in terra, et non tradat eum manibus inimicorum eius.* Non solum autem futuris bonis perfruetur, sed etiam in hac vita diuinam opem consequetur, illustris et clarus factus, inimicorumque insidias effugiens. Et quoniam veri-

1) ἑρμηνευταῖς. MONTF. Hexapl. p. 524. addit ἐμφέρεται, cum notula ista, *ex Theodoreto*. Abest autem hoc additamentum a Codd. nostris. 2) ὡς. Abest a Cod. I. 2. 3) μακαρίζει κ. λ. Alias lectiones exhibet CORD. p. 765. 4) διαφυλάξαι. Ita leg. in Cod. *alex.* pro φυλάξαι vt habet Cod. *vatic.* 5) ζῆσαι. *Aqu.* et *Theodot.* habent ζωῶσαι, vel vt apud MONTF. in Hexaplis ad h. l. leg. ζωώσει. 6) Cod. *alex.* habet παραδῴη, *vatic.* παραδοῖ. 7) εἰς χεῖρας. Hebr. בנפש sicque reliqui Interpretes græci posuerunt εἰς ψυχὴν vel ἐν ψυχῇ. 8) Cod. I. 2. ἀπολαύσεται.

a) 2 Cor. 8, 9. *b*) Phil. 2, 6. 7.

verisimile est, vt is qui corpus interitui obnoxium habet, in morbum aliquando incidat, spondet ab hoc liberationem. 4. *Dominus opem feret illi super lecto doloris eius: vniuersum stratum eius vertis in infirmitate eius.* Ab omni, inquit, ægritudine liberabit eum, et in bonam corporis valetudinem morbum permutabit. Hoc enim, *Vertis in infirmitate stratum*, pro *mutasti* posuit. Sic post expositas remunerationes eius, qui hanc paupertatem admirabilem intelligit, ostendit nobis, quis sit qui hanc habuerit, et quomodo se in ipsa gesserit: ipsum docentem inducens, et sua enarrantem. 5. *Ego dixi, Domine miserere mei, sana animam meam, quia peccaui contra te.* Ego autem, ait, sum pauper, qui voluntariam paupertatem suscepi, et sum agnus Dei, qui peccatum mundi tollo, qui hominum infirmitates mihi vindico, qui peccatum non feci, et hanc precationem pro humana natura, vt primitiæ ipsius naturæ, offero. Porro notandum est, Symmachum non dixisse, *Quoniam peccaui contra te*, sed, *etiamsi peccauerim contra te.* 6. *Inimici mei dixerunt mala mihi, quando morietur, et peribit nomen eius?* * *Inimicos* Iudæos vocat, inuidentes, et mortem machinantes. Hoc vero sacrorum euangeliorum historia docet; Consilium

τὸν φθαρτὸν ἔχοντα σῶμα εἰκὸς καὶ νόσῳ περιπεσεῖν, ὑπισχνεῖται καὶ 1) τὴν ταύτης ἀπαλλαγήν. δ΄. Κύριος 2) βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ· ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ. Πάσης 3) αὐτὸν, φησὶν, ἀπαλλάξει τῆς ἀῤῥωστίας, καὶ εἰς ὑγίειαν τὴν νόσον μεταβαλεῖ. τὸ γὰρ, ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ 4) τὴν κοίτην, ἀντὶ τοῦ 5) μετέβαλες τέθεικεν. οὕτω τοῦ συνιέντος τὴν ἀξιάγαστον ἐκείνην πτωχείαν τὰς ἀντιδόσεις διεξελθὼν, ὑποδείκνυσιν ἡμῖν, τίς ὁ ταύτην ἐσχηκὼς, καὶ 6) πῶς αὐτὴν μετελήλυθεν, αὐτὸν 7) εἰσάγων διδάσκοντα, καὶ 8) τὰ καθ᾽ ἑαυτὸν διηγούμενον. ε΄. Ἐγὼ εἶπα Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Ἐγὼ 9) δέ εἰμι, φησὶν, ὁ πτωχὸς, ὁ τὴν ἑκούσιον πτωχείαν ἀναδεξάμενος, ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὰ τῶν ἀνθρώπων 10) οἰκειούμενος πάθη, ὁ ἁμαρτίαν 11) μὲν μὴ πεποιηκὼς, τὴν 12) δὲ ὑπὲρ τῆς ἀνθρωπείας φύσεως, ὡς ἀπαρχὴ τῆς φύσεως, 13) εἰσφέρων παράκλησιν. ἐπισημήνασθαι δὲ προσήκει, ὡς ὁ Σύμμαχος οὐκ εἶπεν, ὅτι ἥμαρτόν σοι, ἀλλὰ, καὶ 14) εἰ ἥμαρτόν σοι. ϛ΄. Οἱ ἐχθροί μου εἶπον κακά μοι, πότε ἀποθανεῖται, καὶ ἀπολεῖται 15) ὄνομα αὐτοῦ; Ἐχθροὺς τοὺς Ἰουδαίους καλεῖ, βασκαίνοντας καὶ 16) τὸν θάνατον κατλύοντας, τοῦτο δὲ 17) καὶ ἡ τῶν ἱερῶν εὐαγγελίων ἱστορία διδάσκει. 18) καὶ συμβούλιον γὰρ

1) τήν. Abest a Cod. 2. 2) βοηθήσει. Hæc est lectio Cod. *alex.* sed Cod. *aug.* 2. habet lectionem Cod. *vatic.* βοηθήσαι. 3) αὐτόν. Abest a Cod. 2. 4) τὴν κοίτην. Cod. 2. præm. αὐτοῦ. 5) μετέβαλες τέθεικεν. Cod. 2. μετέθηκεν. 6) πῶς. Cod. 1. 2. ὅπως. 7) Cod. 1. εἰσαγαγών. 8) τά. Abest a Cod. 2. 9) δέ. Abest a Cod. 1. 2. 10) οἰκειούμενος. Cod. 2. ἰώμενος. 11) μέν. Abest a Cod. 2. 12) δέ. Abest a Cod. 2. 13) εἰσφέρων. Cod. 1. 2. προσφέρων. 14) εἰ. Abest a Cod. 1. 2. 15) ὄνομα. Cod. 1. 2. præm. τὸ, vt in vers. τῶν ό. 16) Cod. 2. τοῦ θανάτου. 17) καί. Abest a Cod. 2. h. l. et post pauca. 18) καὶ — ἀπολέσωσιν. Hæc a recepta lectione l. c. recedunt.

γὰρ φησιν ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. ἐντεῦθεν ἐπὶ τὸν Ἰούδαν μεταφέρει τὴν πρόῤῥησιν. ζ. Καὶ 1) εἰσεπορεύετο τοῦ ἰδεῖν· μάτην ἐλάλει 2) ἡ καρδία αὐτοῦ· συνήγαγεν ἀνομίαν ἑαυτῷ· ἐξεπορεύετο ἔξω, καὶ 3) ἐλάλει. Οὕτω 4) δὲ καὶ οἱ θεῖοι ἡμᾶς διδάσκουσιν εὐαγγελισαὶ, ὅτι τοῖς μὲν Ἰουδαίοις εἶπε, τί 5) μοι δίδοτε, κἀγὼ ὑμῖν 6) αὐτὸν παραδώσω; ἐζήτει δὲ 7) καιρὸν, ὥστε παραδοῦναι αὐτόν. 8) ταῦτα καὶ ἡ πρόῤῥησις λέγει, καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν 9) μάτην· ἐξεπορεύετο ἔξω καὶ ἐλάλει· εἰσιὼν γὰρ καὶ ἐξιὼν συνέῤῥαπτεν ἐκείνοις τὸν 10) θάνατον· εἶτα τὴν κακὴν αὐτῶν συμφωνίαν προλέγει. η΄. 11) Ἐπὶ τὸ αὐτὸ κατ᾽ ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ᾽ ἐμοῦ ἐλογίζοντο κακά μοι. θ΄. Λόγον παράνομον 12) κατέθεντο κατ᾽ ἐμοῦ. 13) Τούτοις δὲ μαρτυρεῖ τῶν πραγμάτων τὸ τέλος. ἡσυχῇ γὰρ πρὸς ἀλλήλους διαλεγόμενοι, τῆς ἐπιβουλῆς 14) ἐπεζήτουν τὸν τρόπον. εἶτα τυραννίδος 15) γραφὴν 16) ἐποιήσαντο, εἰρηκότες τῷ Πιλάτῳ, ὡς βασιλέα μὲν ἑαυτὸν ἀποφαίνει, κωλύει δὲ διδόναι τῷ Καίσαρι 17) φόρον. τοῦτο καὶ ἡ προφητεία 18) λέγει· λόγον 19) παράνομον 20) κατέθεντο κατ᾽ ἐμοῦ, ἀντὶ τοῦ, παρανομίας κατηγορίαν ἐποιήσαντο κατ᾽

enim, inquit, *a*) inierunt, quomodo illum perderent. Hinc in Iudam prædictionem transfert. 7. *Et ingrediebatur, vt videret: vana loquebatur cor eius, congregauit iniquitatem sibi: egrediebatur foras, et loquebatur.* Hoc autem sacri euangelistæ nos docent, Iudam Iudæis dixisse, *b*) Quid mihi datis, et ego vobis tradam? quærebat autem opportunitatem, vt traderet illum. Hæc etiam vaticinatio dicit, Et ingrediebatur, vt videret frustra: egrediebatur foras, et loquebatur. Ingressus enim et egressus simul cum illis mortem struebat. Deinde malam eorum conspirationem prædicit. 8. *In id ipsum aduersus me susurrabant omnes inimici mei, aduersus me cogitabant mala mihi. 9. Verbum iniquum constituerunt aduersus me.* Ceterum rerum euentus hæc testatur. Tacite enim inuicem colloquentes, insidiarum modum quærebant. Deinde tyrannidis criminationem contra eum instituerunt, cum Pilato dicerent, *c*) Se ipsum regem fecit, et prohibet tributum dari Cæsari. Hoc et prophetia dicit: Verbum iniquum constituerunt aduersus me, hoc est, iniquitatis accusationem contra me

1) εἰσεπορεύετο. Præstat lectio Cod. *vatic.* qui præm. εἰ. 2) ἡ καρδία. Cod. 2. ἐν τῇ καρδίᾳ. 3) ἐλάλει. Cod. 1. addit ἐπὶ τὸ αὐτό. Sicque leg. in vers. τῶν ό. 4) δέ. Abest a Cod. 1. 2. 5) μοι δίδοτε. Cod. 2. θέλετέ μοι δοῦναι, quæ est rec. lectio l. c. 6) αὐτόν. In Cod. 1. 2. ponitur post παραδώσω. 7) καιρόν. Rec. lectio l. c. est εὐκαιρίαν. 8) ταῦτα — λέγει. Def. in Cod. 2. 9) μάτην. Cod. 1. 2. addunt ἐλάλει 10) θάνατον. Cod. 2. præm. τοῦ Χριστοῦ. 11) Ἐπὶ τὸ αὐτό. Hæc in vers. τῶν ό. finem faciunt vers. præcedentis. 12) κατέθεντο. Hebr. יצוק. *Symm.* ἐκκέχυτο. 13) Τούτοις. Cod. 1. 2. præm. καί. 14) Cod. 1. ἐζήτουν. 15) Cod. 1. ἀπογραφήν. 16) ἐποιήσαντο. In Cod. 3. hæc sequuntur: λόγον δὲ παράνομον τὴν γραφὴν ἣν κατ᾽ αὐτοῦ ἐποιήσαντο εἴποις ἄν. „ *Verbum* autem *iniquum* accusationem dixeris quam contra eum instituerunt. „ 17) φόρον. Cod. 3. præm. τόν. 18) Cod. 1. 2. προλέγει, 19) παράνομον. Cod. 3. præm. τοίνυν. 20) κατέθεντο κατ᾽ ἐμοῦ. Def. in Cod. 3.

a) Matth. 26, 4. *b*) Ibid. v. 15. 16. *c*) Luc. 23, 2.

me instituerunt. *Numquid qui dormit, non iterum resurget?* Etsi mortem oppetam, inquit, non iterum resurgo, et dissipo eos, qui hanc mihi pararunt? Hoc autem congruit euangelico dicto, *a*) Soluite templum hoc, et trium dierum spatio excitabo illud. Et rursus, *c*) Ecce adscendimus Hierosolymam, et filius hominis tradetur manibus peccatorum, et occident ipsum, et tertio die resurget. Quamobrem merito *somnum* mortem nuncupauit. *10. Etenim homo pacis meæ, in quo speraui, qui edebat panes meos, magnificauit super me supplantationem.* Hoc Aquila et Theodotio clarius dixerunt, *Etenim vir pacis meæ, cui confisus sum.* Symmachus vero sic, *Sed etiam homo, qui mecum pacem gerebat, quo fretus eram.* Non solum enim inimici mei machinati sunt mihi mortem; sed etiam homo, qui mecum consuetudinem habebat, et beneuolentiam * pacemque simulabat, quique vna mecum mensæ accumbebat, et vescebatur, dolum, quem intus cohibebat, patefecit. Dolum enim *calcaneum* nominauit, Metaphora ducta ab illis, qui de celeritate contendunt, et calcaneo moliuntur, vt concurrens impingat simul, et cadat. Hoc etiam Esau a Iacobo deceptus dixit, *a*) Iuste vocatum est nomen eius Iacob: nam me iam bis supplantauit:

ἐμοῦ. 1) μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; κἂν τὸν θάνατον ὑπομείνω, φησὶν, 2) οὐκ ἀνίσταμαι πάλιν, 3) καὶ σκεδάννυμι τοὺς τοῦτον κατασκευάσαντας; καὶ τοῦτο ἔοικε τῷ εὐαγγελικῷ ῥητῷ, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ πάλιν· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου 4) παραδοθήσεται εἰς χεῖρας ἁμαρτωλῶν, καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται· διὸ δὴ εἰκότως ὕπνον τὸν θάνατον προσηγόρευσεν. ί. Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ᾽ ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ 5) πτερνισμόν. 6) Τοῦτο ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων σαφέστερον εἰρήκασι· καί γε ἀνὴρ εἰρήνης μου, ᾧ ἐπεποίθησα. ὁ δὲ Σύμμαχος οὕτως· ἀλλὰ καὶ ἄνθρωπος ὃς εἰρήνευέ μοι, ᾧ ἐπεποίθειν. οὐ γὰρ μόνον οἱ ἐχθροί μου κατεσκεύασάν μοι τὸν θάνατον, ἀλλὰ καὶ ὁ συνών μοι ἄνθρωπος, καὶ τὴν εὔνοιαν, καὶ τὴν εἰρήνην ὑποκρινόμενος, ὁμοτράπεζός ὤν μοι, καὶ σύσσιτος, ὃν εἶχε δόλον ἐγύμνωσε. 7) δόλον γὰρ 8) τὴν πτέρναν ὠνόμασεν, ἐκ μεταφορᾶς τῶν περὶ τάχους ἀγωνιζομένων, καὶ τῇ πτέρνῃ 9) τοὺς συνθέοντας 10) πταίειν καὶ πίπτειν μηχανωμένων. τοῦτο καὶ Ἡσαῦ ἀπατηθεὶς ὑπὸ τοῦ Ἰακὼβ, 11) ἔφη· δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακὼβ, ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο·

τά-

1) μὴ — ἀναστῆναι; Nimium hoc loco ab hebr. veritate recedit τῶν ό. interpretatio, cui præferenda est ista *Symmachi* versio, καὶ πεσὼν οὐκέτι ἀναστήσεται. 2) οὐκ ἀνίσταμαι. Cod. 2. ἀναστήσομαι. 3) καὶ σκεδάννυμι. Cod. 2. σκεδανῶ. 4) Cod. 1. παραδίδοται. 5) *Aquila* et *Theodotion* πτέρναν. 6) Τοῦτο — ἐγύμνωσε. Def. in Cod. 3. 7) δόλον — ὠνόμασεν. Cod. 3. τὸν δόλον πτέρναν ἐκάλεσεν. 8) τὴν πτέρναν. Ita *Aquila* et *Theodot.* *Symmachus* autem aliam amplexus est sententiam, vertens κατεμεγαλύνθη μου ἀκολουθῶν. 9) Cod. 1. 2. τοῦ συνθέοντος. 10) Codd. tres *aug.* προσπταίειν ὁμοῦ καί. 11) ἔφη. Abest a Cod. 1.

a) Ioh. 2, 19. *b*) Matth. 20, 18. 19. *c*) Gen. 27, 36.

1) τότε πρωτοτόκιά μου εἴληφε, 2) καὶ τὴν εὐλογίαν μου. ιαʹ. Σὺ δὲ Κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. ιβʹ. Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, 3) ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ. Καὶ ταῦτα πάντα ὡς ἀπὸ τῆς ληφθείσης εἴρηται φύσεως, περὶ ἣν καὶ τὸ πάθος ἐγένετο. οὕτω καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, ἀκούομεν τοῦ Δεσπότου 4) Χριστοῦ προσευχομένου, πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης. καὶ πάλιν· πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. ιγʹ. Ἐμοῦ δὲ διὰ τὴν 5) ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. Ἁρμόττει καὶ ταῦτα τῇ τοῦ δούλου μορφῇ, ἣν ὁ μονογενὴς 6) τοῦ Θεοῦ ἀνέλαβεν. οὐ γὰρ δήπου ἀγγέλων 7) ἐπελάβετο, ἤ φησιν ὁ θεῖος ἀπόστολος, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπελάβετο, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν. ἐπειδὴ τοίνυν πάσης κακίας ἡ ληφθεῖσα φύσις ἐλευθέρα διέμεινεν, εἰκότως λέγει, ἐμοῦ δὲ διὰ τὴν 8) ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. βεβαίαν γὰρ ἐδεξάμην τὴν ἕνωσιν, καὶ ἄτμητος ἡ συνάφεια, καὶ ἡ δόξα αἰώνιος. ιδʹ. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο. 9) Ταῦτα ὁ θεσπέσιος προαγορεύσας προφήτης, καὶ τὴν ἄῤῥητον τοῦ Δεσπότου φιλανθρωπίαν θαυμάσας, καὶ 10) συνιεὶς 11) ἐπὶ τὸν τὴν ἐθελουσίαν πτω-

et iura primogeniturae meae accepit, et benedictionem meam. *11. Tu autem Domine miserere mei, et resuscita me, et retribuam eis. 12. Ex hoc cognoui te bene cupiuisse mihi, quoniam non gaudebit inimicus meus super me.* Et haec omnia tanquam ab assumta natura dicta sunt, quae crucem passa est. Sic etiam in sacris euangeliis audimus Dominum Christum precantem, *a*) Pater salua me ex hac hora. Et rursus, *b*) Pater, si fieri potest, transeat calix hic a me. *13. Me autem propter innocentiam suscepisti, et confirmasti me in conspectu tuo in aeternum.* Conueniunt etiam haec seruili formae, quam vnigenitus Deus suscepit. Non enim vtique Angelos assumsit, vt ait diuinus apostolus, *a*) sed semen Abrahae assumsit: vnde debuit per omnia fratribus similis fieri, vt misericors fieret, et fidelis pontifex apud Deum. Quoniam igitur assumta natura libera permansit ab omni malitia, merito dicit, *Me autem propter innocentiam suscepisti, et confirmasti me in conspectu tuo in aeternum.* Nam firmam accepi coniunctionem, et fuit copula indiuidua, et gloria sempiterna. *14. Benedictus sit Dominus Deus Israel a seculo et in seculum, fiat, fiat.* Cum diuinus propheta haec praedixisset, et inexplicabilem Dei benignitatem admiratus esset, et intellexisset, quis sit ille, qui voluntariam pauper-

1) *τότε — εὐλογίαν μου.* Des. in Cod. 3. 2) *καί.* Cod. 1. addit *νῦν εἴληφε.* Cod. 2. *νῦν ἔλαβε.* 3) *ὅτι — ἐπιχαρῇ.* *Symm. ἐὰν μὴ καταλαλήσῃ.* 4) *Χριστοῦ.* In Cod. 1. ponitur post *προσευχομένου.* 5) *ἀκακίαν.* Cod. 2. addit *μου.* 6) *τοῦ Θεοῦ.* Cod. 1. *Θεός*, Cod. 2 praem. *υἱός.* 7) Cod. 1. *ἀντελάβετο.* Ita quoque post pauca. 8) *ἀκακίαν.* Cod. 2. iterum addit *μου.* 9) *Ταῦτα — κομίσηται τέλος.* Des. apud CORD. p. 768. 10) Cod. 1. 2. *συνεὶς.* 11) *ἐπί.* Abest ab vtroque Cod.

a) Ioh. 12, 27. *b*) Matth. 26, 42. *c*) Hebr. 2, 16. 17.

[illegible] suscepit, hymnum ipsi per linguam pronunciat, vt et ipse beatum reportet finem. Merito autem post cruciatus hymnum retulit, docens, non modo hominem fuisse, qui prædictus est, sed etiam Deum æternum, natura præditum indissolubili et immortali.

χεῖαν ἀναδεξάμενον, 1) ὕμνον αὐτῷ διὰ τῆς γλώττης 2) προφέρει, ἵνα τὸ μακάριον καὶ αὐτὸς κομίσηται τέλος· εἰκότως δὲ μετὰ τὰ πάθη 3) ὕμνον προσήνεγκε, διδάσκων ὡς οὐ μόνον ἄνθρωπος ὁ προφητευόμενος, ἀλλὰ καὶ Θεὸς προαιώνιος, ἀνώλεθρον ἔχων τὸ εἶναι, καὶ ἀτελεύτητον. 4)

*INTERP. PSALMI XLI.

1. In *finem. In intellectum filiis Core.* Cum populus peccasset, Babyloniis eum Dominus tradidit, ad septuagenariam seruitutem condemnatum. Quapropter tanquam ex persona eorum dictus est psalmus, qui plorabant et libertatem desiderabant. Quia enim erant inter illos nonnulli viri pii, vt diuinus Daniel, vt mirabilis Ezechiel, vt victores martyres, Ananias, Azarias, et Misaël, qui vehementissime Deum amabant, et legitimum ipsius cultum cupiebant, merito propheticus *sermo suscepta eorum persona, quæ par erat ab illis dici tempore calamitatis, multis ante sæculis docet, vt vaticinatione oblectentur, et doctrina erudiantur. Propterea enim *in finem* hic psalmus inscriptus est: siquidem post longissimam temporis seriem, ea quæ dicit finem acceperunt. Additum est autem, *in intellectum*, quandoquidem eo maxime

ΕΡΜΗΝ. ΤΟΥ μα' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ. Ἡμαρτηκότα τὸν λαὸν Βαβυλωνίοις παρέδωκεν ὁ Θεὸς, ἑβδομηκοντοῦτιν αἰχμαλωσίαν 5) αὐτῶν καταψηφισάμενος. ὡς ἐκ προσώπου 6) οὖν τούτων εἴρηται ὁ ψαλμὸς, ὀλοφυρομένων καὶ τὴν ἐλευθερίαν ποθούντων. ἐπειδὴ γὰρ ἦσαν ἐν αὐτοῖς εὐσεβεῖς, ὡς ὁ θεῖος Δανιὴλ, ὡς ὁ 7) θαυμάσιος Ἰεζεκιὴλ, ὡς οἱ καλλίνικοι μάρτυρες Ἀνανίας, Ἀζαρίας, 8) καὶ 9) Μιζαὴλ, θερμῶς μάλα τὸν Θεὸν ἀγαπῶντες, καὶ τὴν ἔννομον αὐτοῦ λατρείαν ποθοῦντες· τὸ τούτων ὁ προφητικὸς λόγος ἀναλαβὼν πρόσωπον, 10) ἃ χρὴ παρ' ἐκείνων ἐν τῷ τῆς συμφορᾶς 11) ῥηθῆναι καιρῷ, πρὸ πολλῶν γενεῶν 12) προδιδάσκει, 13) ἵνα τῇ προῤῥήσει ψυχαγωγῶνται, καὶ τῇ διδασκαλίᾳ παιδεύωνται. διὰ τοῦτο καὶ εἰς τὸ τέλος ὁ ψαλμὸς ἐπιγέγραπται, ἐπειδὴ μετὰ πλείστην χρόνου περίοδον τὰ λεγόμενα 14) τέλος ἐλάμβανε. πρόσκειται δὲ καὶ εἰς σύνεσιν, ἐπειδὴ ταύτης μάλιστα

1) ὕμνον. Cod. 2. præm. τόν. 2) Cod. 2. προσφέρει. 3) ὕμνον. Cod. 2. iterum præm. τόν. 4) ἀτελεύτητον. CORD. p. 768. addit: Τὸ δὲ γένοιτο, γένοιτο, ὁ μὲν Ἀκύλας πεπιστωμένως, πεπιστωμένως, ὁ δὲ Σύμμαχος, ἀμὴν, ἀμήν. „ Illud autem *Fiat, fiat*, Aquila quidem *fideliter, fideliter*, Symmachus vero *Amen Amen* transtulit.„ 5) αὐτῶν. Abest a Cod. 1. 6) οὖν. Abest a Cod. 1. 2. In Cod. 3. ponitur post τούτων. 7) θαυμάσιος. Cod. 2. θεῖος. 8) καί. Abest a Cod. 1. et 3. 9) Cod. 1. 2. Μισαήλ. 10) ἃ χρή. Cod. 1. 2. ἄχρι. 11) ῥηθῆναι. Cod. 2. ᾐδῆναι. 12) Cod. 2. διδάσκει. 13) ἵνα. Cod. 1. et 3. addunt καί. 14) τέλος. Cod. 3. præm. τό.

λεῖα δεῖ τοῖς περιπίπτουσι 1) συμφοραῖς. β. Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. Φασὶ τὰς ἐλάφους τὰ ἰοβόλα θοινᾶσθαι θηρία, καὶ σφοδρότερον ἐντεῦθεν εἰς δίψαν ἐκκαίεσθαι, καὶ θερμότερον τῶν ὑδάτων 2) ὀρέγεσθαι. Βαβυλωνίοις τοίνυν οἱ προειρημένοι συνόντες, ἀνδράσι δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶσι, καὶ ἀτεχνῶς τοῖς ἑρπυστικοῖς ἐοικόσι θηρίοις, εἰκότως ταῖς ἐλάφοις παραπλησίως 3) διψᾶν ἔλεγον τὸν Θεὸν, τὴν ἐκεῖθεν ποθοῦντες ἀπαλλαγὴν, καὶ προσμένοντες τὴν θείαν ῥοπήν. γ. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν 4) τὸν ἰσχυρὸν τὸν ζῶντα· πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; Ποθῶ δέ φησι, καὶ διψῶ τὴν τοῦ 5) ζῶντος Θεοῦ 6) μου λατρείαν. τὸ γὰρ 7) ὀφθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ, τὸ 8) λατρεύειν 9) αὐτῷ κατὰ τὸν νόμον λέγει· τῇ δὲ Ἱερουσαλὴμ ἡ τοιαύτη 10) περιώριστο λατρεία. καὶ 11) ταῦτα οὐ μόνος ὁ 12) μακάριος διδάσκει Μωσῆς, ἀλλὰ καὶ οἱ 13) τρεῖς μακάριοι μάρτυρες, Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ, ἐν τῇ καμίνῳ τὸν Θεὸν ἀντιβολοῦντες. μάλα δὲ ἁρμοδίως ἰσχυρὸν καὶ ζῶντα τὸν Θεὸν ὀνομάζουσι, τοῖς ἀψύχοις καὶ ἀκινήτοις 14) τῶν Βαβυλωνίων εἰδώλοις 15) προσέχοντες. δ. Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός· ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; ε. Ταῦ-

egent, qui in calamitates incidunt. 2. *Quemadmodum desiderat ceruus fontes aquarum, ita desiderat anima mea te o Deus.* Aiunt ceruos feras venenosas deuorare, et hinc in sitim vehementer accendi, et aquas magnopere desiderare. Cum igitur supradicti captiui consuetudinem cum Babyloniis habuissent, hominibus impiis et iniquis, et vere reptilibus bestiis similibus, non sine causa dicebant se instar ceruorum, Deum sitire, desiderantes illinc liberari, et diuinam opem exspectantes. 3. *Sitiuit anima mea Deum fortem, viuum: quando veniam, et comparebo ante faciem Dei?* Cupio, inquit, et sitio cultum Dei mei viuentis. Nam *comparere ante faciem Dei*, nihil aliud dicit, quam ipsum secundum legem colere: huiusmodi autem cultus Hierosolyma circumscriptus erat. Et hæc non solus beatus Moses docet, sed etiam tres beati martyres Ananias, Azarias, et Misael, in camino Deum precantes. Admodum concinne autem *fortem* et *viuentem* Deum nominant, ad inanimata et immobilia Babyloniorum idola spectantes. 4. *Fuerunt mihi lacrymæ meæ panes die ac nocte, dum dicitur mihi quotidie, vbi est Deus tuus?* 5. *Hæc* recor-

1) συμφοραῖς. In Cod. 3. sequuntur ista Βαβυλωνίοις — θείαν ῥοπὴν, quæ *Sirm.* deinde ad vers. 2. exhibuit. 2) ὀρέγεσθαι. Cod. 1. ἐφίεσθαι. 3) Cod. 1. διψῆν. 4) τὸν ἰσχυρόν. Additur in Cod. *alex.* deest autem in Cod. *vatic.* 5) ζῶντος. Codd. tres *aug.* ὄντος. Cod. 3. addit καὶ δυνατοῦ. 6) μου. Abest a Cod. 1. 2. 7) Cod. 2. ἐφθήσομαι. 8) Cod. 3. λατρεῦσαι. 9) Cod. 1. αὐτόν. 10) Cod. 3. περιώριστο. 11) Codd. tres *aug.* τοῦτο. 12) μακάριος. Cod. 2. θεῖος. 13) Cod. 1. et 3. τρεῖς μακάριοι. Cod. 2. τρεῖς, omisso sequente μακάριοι. 14) τῶν. Abest a Cod. 3. 15) προσέχοντες. Cod. 2. præm. ἤκιστα.

recordatus sum, et effudi in me animam meam. Dies noctesque, ait, lugendi satietas nunquam cepit me, sed veluti quendam cibum lacrymas facio, cum propter te opprobria recipio. Hostes enim derident me, tuam gubernationem proferentes, vt imbecillem, et quæ eorum potentia superior esse non potuerit. Idcirco continue hæc cogitans lugere non desino. Hoc enim, *Effudi in me animam meam*, significat, effusus sum et commotus in eiulatus. *Quoniam transibo in locum tabernaculi admirabilis vsque ad domum Dei, in voce exsultationis, et confessionis, soni festum celebrantis.* Tabernaculum appellat Dei protectionem. Post tristia igitur læta narrat, et docet quod celerem reuocationem consecuturi sint, ac diuina gratia duce, in desideratam terram redituri, et diuinam domum instauraturi, consuetasque solennitates celebraturi, atque festiuum sonum et spiritualem concentum suis auribus percepturi. Prædicit etiam beatus Esaias, a) cum multo honore ipsos reuersuros esse, mulorum curribus vectos, et vmbraculis tectos, caloris molestia reiecta. Hoc autem A-

τα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου. 1) Νύκτωρ, φησὶ, καὶ μεθ' ἡμέραν ὀλοφυρόμενος κόρον οὐκ ἔλαβον, ἀλλ' οἷόν τινα τροφὴν ποιοῦμαι τὰ δάκρυα, τὰ περὶ σοῦ ὀνείδη δεχόμενος. οἱ γὰρ δυσμενεῖς ἐπιτωθάζουσί μοι, τὴν σὴν κηδεμονίαν προσφέροντες ὡς ἀσθενῆ, καὶ τῆς αὐτῶν ῥώμης περιγενέσθαι μὴ δυνηθεῖσαν. τοιγάρτοι ταῦτα διηνεκῶς λογιζόμενος, 2) ἄπαυστον ἔχω τὸν θρῆνον. τὸ 3) γὰρ, ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου, τοῦτο 4) σημαίνει, ἀντὶ τοῦ, διεχύθην καὶ ἐκινήθην εἰς ὀδυρμούς. ὅτι διελεύσομαι 5) ἐν τόπῳ σκηνῆς 6) θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου 7) ἑορτάζοντος. σκηνὴν καλεῖ τὴν τοῦ Θεοῦ σκέπην. μετὰ τὰ σκυθρωπὰ τοίνυν, τὰ θυμήρη 8) διαγορεύει, καὶ προδιδάσκει ὡς τάχιστα τῆς ἀνακλήσεως 9) τεύξονται, καὶ ὑπὸ τῆς θείας ποδηγούμενοι χάριτος, εἰς τὴν ποθουμένην ἐπανήξουσι γῆν, καὶ τὸν θεῖον 10) ἀνοικοδομήσουσιν οἶκον, καὶ τὰς συνήθεις ἐπιτελέσουσι πανηγύρεις, καὶ τὸν ἑορτασικὸν ἦχον, καὶ τὴν πνευματικὴν μελῳδίαν ταῖς ἀκοαῖς εἰσδέξονται. προθεσπίζει 11) δὲ καὶ ὁ 12) μακάριος Ἡσαΐας, ὡς μετὰ πλείστης ἐπανήξουσι τιμῆς, 13) ἐν λαμπήναις ἡμιόνων ὀχούμενοι, καὶ 14) σκιαδίοις σκεπόμενοι, καὶ τῆς ἀκτῖνος τὸ λυποῦν 15) ἀποθέμενοι. τοῦτο δὲ καὶ ὁ Ἀκύλας

1) Νύκτωρ — θρῆνον. Des. in Cod. 3. 2) ἄπαυστον. Cod. 2. ἀπ' αὐτῶν. 3) γάρ. Des. in Cod. 3. 4) σημαίνει ἀντὶ τοῦ. Cod. 3. δηλοῖ τό. 5) ἐν — σκηνῆς. Hebr. בַּסָּךְ sed plerique Interpretes legerunt בַּסֹּךְ. 6) θαυμαστῆς. Propius ad lectionem Textus hebr. אֶדַּדֵּם accedit versio *Aquilæ* προβιβάζων αὐτούς. *Symmachus* autem sensu passiuo interpretatus est διαβασταχθήσομαι. 7) Cod. *vatic.* habet ἑορταζόντων. 8) Cod. 3. προαγορεύει. 9) Cod. 3. τεύξεται. 10) Cod. 3. οἰκοδομήσουσιν. 11) δέ. Abest a Cod. 3. 12) μακάριος. Cod. 2. θεῖος. 13) ἐν λαμπήναις. Cod. 1. ἐν ἀπήναις. Cod. 2. ἐλαπίναις. 14) Cod. 1. σκιαδείοις. 15) Cod. 1. et 3. ἀπωθούμενοι. a) Es. 66, 20.

κύλας ἠνίξατο, 1) εἰσελεύσομαι ἐν 2) συσκίῳ, 3) παραβιβάζων αὐτοὺς ἕως 4) οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ 5) αἰνέσεως καὶ εὐχαριστίας ὄχλου ἑορτάζοντος. χορεύοντες, φησὶ, καὶ τὸν σωτῆρα Θεὸν ἀνυμνοῦντες, καὶ σκιᾶς κατὰ τὴν πορείαν ἀπολαύοντες, οὕτω τὸν θεῖον οἶκον καταληψόμεθα, ὡς ἐν πομπῇ τινι ποιούμενοι τὴν ἐπάνοδον. ταύτης ἀκούσαντες τῆς προῤῥήσεως, σφᾶς αὐτοὺς ψυχαγωγοῦσι λέγοντες· ϛ΄. Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἱνατί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, 6) σωτήριον τοῦ προσώπου μου, ζ΄. Καὶ ὁ Θεός μου. Ταύτας, φησὶν, ὦ ψυχὴ, δεξαμένη τὰς ὑποσχέσεις, 7) παῦσαι μὲν 8) ἀλύουσα καὶ ἀχάλλουσα· τῇ δὲ ἐλπίδι στηριζομένη, πρόσμενον τὸ τῆς προῤῥήσεως τέλος· ἐν ᾧ τὴν γεγενημένην ὁρῶσα σωτηρίαν, ὕμνους προσοίσεις τῷ σεσωκότι Θεῷ. 9) πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ Ἑρμωνιεὶμ, ἀπὸ ὄρους μικροῦ. Ἠθοποιΐα τίς ἐστι τῆς ψυχῆς πρὸς ἑαυτὴν διαλεγομένης. ἐπειδὴ γὰρ εἶπε, παῦσαι ἀθυμοῦσα τῶν ἀγαθῶν δεξαμένη τὰς ὑποσχέσεις, ἀποκρίνεται πρὸς ταῦτα λέγουσα, ὅτι οὐ μάτην ἀλύω, καὶ τοῖς 10) εἰρημένοις κέχρημαι θρήνοις. ἡ γὰρ μνήμη τῆς πατρῴας γῆς κινεῖ μοι τὰ δάκρυα· γῆν γὰρ Ἰορδάνου τὴν 11) γῆν τῆς

quila tacite innuit, vertens: Ingrediar in vmbrosum, deducens ipsos vsque ad domum Dei cum voce laudis, et gratiarum actionis multitudinis festiuitatem celebrantis. Tripudiantes, inquit, et Deum saluatorem laudantes, et in via vmbra perfruentes, sic in diuinam domum perueniemus, tanquam cum pompa reuertentes. Hac autem vaticinatione consolantur se ipsos, dicentes: 6. *Quare tristis es anima mea, et quare conturbas me? spera in Deo, quoniam adhuc confitebor illi, salutare vultus mei,* 7. *Et Deus meus.* Has inquit, promissiones, o anima, cum acceperis, quiesce quidem a mœrore et a dolore: spe autem corroborata, vaticinationis euentum exspecta; in quo salutem impetratam videns, hymnos Deo saluatori offeres. *Ad me ipsum anima mea conturbata est: propterea memor ero tui de terra Iordanis, et Hermoniim, a * monte modico.* Imitatio est quædam sermonis animæ secum colloquentis. Quoniam enim dixit, conquiesce a mœrore, cum bonorum pollicitationes acceperis, respondet ad hæc dicens, Non temere tristitia afficior, et lamentationibus supradictis vtor: quia paternæ terræ memoria excutit mihi lacrymas. *Terram* enim *Iordanis*, promissionis terram

1) εἰσελεύσομαι. Cod. 3. ὅτι ἐλεύσομαι. 2) συσκίῳ. Cod. 2. σκιᾷ. 3) Cod. 3. προβιβάζων. 4) οἴκου. Cod. 2. præm. τοῦ. 5) αἰνέσεως. Cod. 1. ἀγαλλιάσεως. 6) σωτήριον — Θεός μου. In Hebr versus 6. in hæc verba exit ישׁוּעוֹת פָּנָיו versus 7. autem incipit a verbo אֱלֹהַי. Sed οἱ ό. pro פָּנָיו legerunt פָּנַי litera (ו) ad sequentem vocem translata. Ita fere Syrus quoque et Arabs. Rectius autem *Symmachus* interpretatus est ἐξομολογήσομαι αὐτῷ τὰς σωτηρίας τοῦ προσώπου αὐτοῦ. Ad eundem fere modum vertit *Aquila.* 7) Cod. 2. παῦσον. 8) ἀλύουσα. Cod. 2. ἀναλύουσα. 9) πρὸς ἐμαυτόν. Præstat versio *Symmachi*, ἐπ' ἐμέ. 10) Codd. tres *aug.* προειρημένοις. 11) γῆν. Abest a Cod. 1.

terram nuncupat, et *Hermoniim*, montem Aërmon vocat. Per montem autem et flumen, omnem illam terram significauit. Sic autem Symmachus interpretatus est, anima mea tabesit, quando recordor tui a terra Iordanis, et ab Hermoniim monte minimo. 8. *Abyssus abyssum vocat ad vocem cataractarum tuarum. Omnia excelsa tua, et fluctus tui super me transierunt.* In illa autem, inquit, terra degens, hostium multitudini traditus sum, et veluti in quadam abysso submersus sum. *Abyssos* enim vocat militares acies, multitudinisque excessum immensis aquis assimilat, et quæ ab his facta sunt, antiquo diluuio comparauit, quod totam terram vastauit. Hæc magis dilucide Symmachus interpretatus est, *Abyssus abysso occurrebat a strepitu scatebrarum tuarum.* Tu enim eos illuc adduxisti, transgressionis a me pœnas exigens. *Procellæ tuæ et fluctus tui super me transierunt.* Quoniam enim abysso exercitum comparauit, perstitit in figura, et incursiones factas ab exercitu, *fluctus* et *procellas* nuncupauit. Propterea, inquit, doleo; horum enim memoria pungit me: veruntamen tuam benignitatem habeo consolationem. Hoc enim subiunxit: 9. *Interdiu mandabit Dominus misericordiam suam*, et *noctu can-*

ἐπαγγελίας καλεῖ. καὶ Ἑρμωνιείμ, τὸ ὄρος τὸ Ἀερμών. διὰ δὲ τοῦ ὄρους καὶ τοῦ ποταμοῦ, πᾶσαν ἐκείνην τὴν γῆν παρεδήλωσεν. 1) οὕτω δὲ καὶ ὁ Σύμμαχος ἡρμήνευσεν· ἡ ψυχή 2) μου κατατήκεται, ὅταν 3) ἀναμιμνήσκωμαι σου 4) ἀπὸ γῆς Ἰορδάνου, καὶ ἀπὸ Ἑρμωνιεὶμ ὄρους 5) μικροτάτου. ή. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρακτῶν σου. πάντες οἱ 6) μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ᾽ ἐμὲ διῆλθον. Ἐν ἐκείνῃ δὲ, φησὶ, διάγων τῇ γῇ, πλήθει δυσμενῶν παρεδόθην, καὶ ὡς ἐν ἀβύσσῳ τινὶ ὑποβρύχιος ἐγενόμην. ἀβύσσους γὰρ καλεῖ, τὰ στρατιωτικὰ τάγματα, καὶ τὴν τοῦ πλήθους ὑπερβολὴν ὕδασιν ἀμετρήτοις ἀπεικάζει· καὶ τὰ ὑπὸ τούτων γεγενημένα, τῷ πάλαι κατακλυσμῷ, 7) ὃς τὴν οἰκουμένην διέφθειρεν ἅπασαν. καὶ 8) ταῦτα σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· ἄβυσσος ἀβύσσῳ 9) ἀπήντα, ἀπὸ ἤχου τῶν κρουνῶν σου. σὺ γὰρ αὐτοὺς ἐπήγαγες, ποινήν με τῆς παρανομίας 10) εἰσπραττόμενος. 11) αἱ καταιγίδες σου καὶ τὰ κύματά σου ἐπάνω μου παρῆλθον. ἐπειδὴ γὰρ ἀβύσσῳ τὴν στρατιὰν ἀπείκασεν, ἐπέμεινε τῇ τροπῇ, καὶ τὰς γεγενημένας 12) τῆς στρατιᾶς προσβολὰς, κύματα καὶ καταιγίδας ἐκάλεσε. διὰ 13) ταῦτα, φησὶν, ὀδυνῶμαι· ἡ γὰρ τούτων μνήμη κεντεῖ με. ἀλλ᾽ ὅμως τὴν σὴν φιλανθρωπίαν 14) ἔχω παραψυχήν. τοῦτο γὰρ ἐπήγαγεν· θ. Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, 15) καὶ νυκτὸς ᾠδὴ αὐτοῦ

1) οὕτω — μικροτάτου. Def. in Cod. 3. 2) μου. Abest a Cod. 1. 2. 3) Cod. 1. 2. ἀναμιμνήσκωμαι. 4) ἀπό. Cod. 2. ἐκ. 5) Cod. 2. μικροῦ. 6) μετεωρισμοί σου. Hebr. מִשְׁבָּרֶיךָ *fluctus tui.* 7) ὃς — καταιγίδας ἐκάλεσε. Def. in Cod. 3.

8) ταῦτα. Cod. 3. addit δέ. 9) ἀπήντα. MONTF. in Hexaplis et EVSEB. ad h. l. habent ἀπαντᾷ. 10) Cod. 1. 2. πραττόμενος. 11) αἱ. MONTF. l. c. et EVSEB. præm. πᾶσαι. 12) Cod. 3. τῇ στρατείᾳ. 13) Cod. 3. τοῦτο. 14) ἔχω. Cod. 1. ἀνέχω. 15) καὶ — αὐτοῦ. Hæc lectio quam habet Codex *alex.* respondet

αὐτοῦ παρ' ἐμοί. προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου. Ἀεὶ, φησὶ, χορηγούμενον ὑπὸ τοῦ Θεοῦ τὸν ἔλεον ἐπιστάμενος, καὶ νύκτωρ τοῦτο 1) ἐμαυτῷ λογιζόμενος, ᾄδω καὶ ὑμνῶ τὸν οὕτω 2) τῶν καθ' ἡμᾶς 3) προμηθούμενον. προσφέρω δὲ αὐτῷ καὶ δεήσεις, ταύτης τυχεῖν τῆς φιλανθρωπίας ἀντιβολῶν. εἶτα διδάσκει καὶ τῆς προσευχῆς τὰ ῥήματα· ί. Ἐρῶ τῷ Θεῷ, 4) ἀντιλήπτωρ μου εἶ. διατί μου ἐπελάθου, καὶ ἱνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν 5) ἐχθρόν; ιά. 6) Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, 7) ὠνείδιζόν με οἱ 8) ἐχθροί μου· ἐν τῷ αὐτούς λέγειν μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; Ταῦτα, φησὶ, πρὸς τὸν ἐμὸν 9) λέγων Δεσπότην, τῆς σῆς ἀεὶ προνοίας τετύχηκα. 10) τί δήποτέ με 11) νῦν ταύτης ἐγύμνωσας, ὡς ἀπαύστως ἀλύειν τε καὶ θρηνεῖν, διὰ τὰ παρὰ τῶν δυσμενῶν ὀνείδη; αἰκιζόμενοι γάρ με, καὶ πληγαῖς καὶ δεσμοῖς τὰ ὀστᾶ μου συντρίβοντες, ἐπικερτομοῦσι λέγοντες, ποῦ ἐστιν ὁ Θεός σου; διὰ 12) τὴν σὴν ἀσθένειαν ταῦτά με πάσχειν ὑπολαμβάνοντες. τὸ δὲ ἐπελάθου μου, 13) τουτέστι τῆς σῆς 14) μοι προνοίας οὐ μεταδίδως. λήθη γὰρ πάθος ἀνθρώπινον, ἴδιον δὲ Θεοῦ 15) ἀπάθεια. ιβ'. Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἱνατί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, 16) σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

ticum eius apud me eſt. Oratio ad Deum vitae meae (directa eſt). Semper, inquit, miſericordiam quam Deus ſuppeditat agnoſcens, et noctu hanc mecum conſiderans, cano, et laudo eum, qui ita noſtri rationem habet. Offero autem illi et preces, hanc aſſequi benignitatem poſtulans. Deinde docet obſecrationis verba: 10. *Dicam Deo, auxiliator meus es, quare oblitus es mei, et quare contriſtatus incedo, dum affligit inimicus?* * 11. *Dum confringuntur oſſa mea, probro affecerunt me inimici mei, dum dicunt mihi per ſingulos dies, vbi eſt Deus tuus?* Haec, inquit, ad meum Dominum dicens, tua ſemper prouidentia potitus ſum. Cur me nunc hac nudaſti, vt aſſidue mœream et lugeam ob inimicorum opprobria? Caedentes enim me, et plagis ac vinculis oſſa mea conterentes, irrident dicentes, *Vbi eſt Deus tuus?* ob tuam imbecillitatem haec me pati ſuſpicantes. Hoc autem, *Oblitus es mei*, idem eſt ac tui auxilii me compotem non facis. Obliuio enim humana affectio eſt: proprium autem Dei, ſine affectionibus eſſe. 12. *Quare triſtis es anima mea, et quare conturbas me? Spera in Deo, quoniam adhuc confitebor illi, ſalutare vultus mei, et Deus meus*

det Hebraico. Codex autem *vatic.* habet, καὶ νυκτὸς δηλώσει. Sequens παρ' ἐμοὶ ibi iungitur ſequenti προσευχή.

1) ἐμαυτῷ. Cod. 3. praem. ἐν. 2) τῶν. Cod. 1. τά. 3) Cod. 3 προθυμούμενον. 4) ἀντιλήπτωρ. Hebr. סלעי. *Symm.* et *Aqu.* πέτρα μου. 5) ἐχθρόν. In verſ. τῶν ό. add. μου, quod tamen rectius h. l. abeſt. 6) Ἐν — ὀστᾶ μου. Praeſtat *Symm.* interpretatio ὡς σφαγὴν διὰ τῶν ὀστέων μου. 7) Cod. *vatic.* ὠνείδισαν. 8) ἐχθροί μου. Cod. *vatic.* habet οἱ θλίβοντές με. 9) λέγων Δεσπότην. Codd. tres *aug.* λέγω Θεόν. 10) τί — νῦν. Deſ. in Cod. 3. 11) νῦν. Cod. 1. οὖν. 12) Cod 2. τῆς σῆς ἀσθενείας. 13) τουτέστι. Deſ. in Cod. 3. 14) μοι. Abeſt a Cod. 2. 15) ἀπάθεια. Cod. 3. praem. ἡ. 16) σωτήριον. Cod. *vatic.* ἡ σωτηρία.

Ne desperes, inquit, o anima de salute. Habes enim saluatorem Deum, cuius spem firmam habens, exstingue mœrorem, et accipe consolationem.

INTERP. PSALMI XLII.

1. *Psalmus Dauidi. Sine titulo est apud Hebræos. Indica me o Deus, et vindica caussam meam a gente non sancta, ab homine iniquo et doloso erue me.* Sine titulo est apud Hebræos psalmus hic, tanquam eundem sensum habens, quem præcedens. Obsecrant autem Deum ii, qui superius verba fecerunt, vt iudex sit inter ipsos et Babylonios, qui multa crudelitate et ferina mente vsi erant. Idcirco ipsos *gentem non sanctam* nominant, atque etiam eorum regem *hominem dolosum et iniquum.* Hæc vero etiam de illo prophetia admirabilis Danielis docet. 2. *Quia tu es Deus fortitudo mea, quare me repulisti, et quare tristis incedo, dum affligit me inimicus?* Easdem rursus preces offerunt, obsecrantes vt ab hostium acerbitate liberentur, propter quam tristes et mœsti semper erant. Hoc autem *quare* non tanquam increpantes dicunt, sed tanquam ipsi participes minime fuerint aliorum transgressionis, et cum illis destituti sint diuina * prouidentia, communem tamen pro omnibus obsecrationem offerunt. 3. *Emitte*

Μὴ 1) ἀπαγορεύῃς, φησὶν, ὦ ψυχὴ, τὴν σωτηρίαν· ἔχεις γὰρ σωτῆρα Θεόν· οὗ τὴν ἐλπίδα κεκτημένη βεβαίαν, σβέσον τὴν ἀθυμίαν, καὶ δέξαι παραψυχήν.

ΕΡΜΗΝ. ΤΟΥ μβ΄ ΨΑΛΜΟΥ.

α΄. Ψαλμὸς τῷ Δαβίδ. ἀνεπίγραφος παρ᾽ Ἑβραίοις. Κρῖνόν 2) μοι ὁ Θεὸς, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ 3) ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με. 4) Ἀνεπίγραφός ἐστιν ὁ ψαλμὸς παρ᾽ Ἑβραίοις, ὡς τὴν αὐτὴν ἔχων τῷ προτεταγμένῳ διάνοιαν. ἀντιβολοῦσι 5) δὲ τὸν Θεὸν οἱ τοὺς προειρημένους 6) ποιησάμενοι λόγους, δικάσαι αὐτοῖς καὶ Βαβυλωνίοις, 7) ὠμότητι 8) πολλῇ κεχρημένοις, καὶ θηριώδει γνώμῃ· 9) διὸ καὶ ἔθνος αὐτοὺς ἀνόσιον ὀνομάζουσι. καὶ μὲν δὴ καὶ τὸν τούτων βασιλέα, ἄνδρα δόλιόν τε καὶ ἄδικον. ταῦτα δὲ περὶ αὐτοῦ καὶ ἡ τοῦ θαυμασίου Δανιὴλ προφητεία διδάσκει. β΄. Ὅτι 10) σὺ ὁ Θεὸς κραταίωμά μου. ἱνατί 11) ἀπώσω με; καὶ ἱνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν 12) ἐχθρόν; 13) Πάλιν τὴν αὐτὴν προσφέρουσι δέησιν, λιπαροῦντες ἀπαλλαγῆναι τῆς τῶν πολεμίων ὠμότητος, δι᾽ 14) ἣν σκυθρωποὶ καὶ κατηφεῖς ἦσαν ἀεί. τὸ δὲ, ἱνατί, οὐχ ὡς ἐγκαλοῦντες λέγουσιν, ἀλλ᾽ ὡς αὐτοὶ τῆς τῶν ἄλλων παρανομίας οὐ κοινωνήσαντες, καὶ σὺν ἐκείνοις ἔρημοι τῆς ἄνωθεν προνοίας γενόμενοι· κοινὴν δὲ ὅμως ὑπὲρ ἁπάντων ποιοῦνται τὴν 15) ἱκετείαν. γ΄. Ἐξαπόστειλον τὸ φῶς

1) Cod. 1. 2. ἀπαγορεύσῃς. 2) μοι. Cod. vatic. με. 3) ἀνθρώπου. Cod. 2. ἀνδρός. 4) Ἀνεπίγραφος — διάνοιαν. Des. in Cod. 3. Conf. EVSEB. ad h. l. 5) δέ. Abest a Cod. 3. 6) Cod. 3. λόγους ποιησάμενοι. 7) ὠμότητι. Cod. 2. ἀσεμνότητι. 8) πολλῇ. Abest a Cod. 1. 9) Cod. 3. διόπερ. 10) σύ. Cod. vatic. addit εἶ. 11) Cod. 1. ἀπώσωμαι. 12) ἐχθρόν. In vers. τῶν ό. sequitur μου. 13) Πάλιν τὴν αὐτήν. Cod. 3. Τὴν αὐτὴν δὲ πάλιν. 14) ἥν. Cod. 1. 2. οὗ. Cod. 3. οὗς. 15) Cod. 3. ἱκετηρίαν.

φῶς σου, καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὡδήγησαν, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου. Ἐνταῦθα τὸν χρόνον ἐνήλλαξαν οἱ ἑβδομήκοντα, καὶ ὡς γεγενημένα εἰρήκασι τὰ ἐσόμενα· οἱ δὲ ἄλλοι σαφεστέραν ἐποιήσαντο τὴν ἑρμηνείαν· ἀπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου, ἅτινα ὁδηγήσει με, καὶ ἄξει 1) με εἰς τὸ ὄρος τὸ ἅγιόν σου, καὶ εἰς 2) τὰς σκηνώσεις σου. τῆς 3) θείας ἐπικουρίας 4) ἀπολαῦσαι παρακαλῶ. διὰ ταύτης 5) με γὰρ δυνατὸν καὶ τῆς πικρᾶς ἀπαλλαγῆναι δουλείας, καὶ εἰς τὴν γῆν τὴν πατρῴαν 6) ἐπανελθεῖν, καὶ ἐν τῷ ἀφιερωμένῳ ναῷ τὴν νενομισμένην λατρείαν προσενεγκεῖν. σκηνώματα γὰρ 7) τοῦ Θεοῦ, τὸν ναὸν προσηγόρευσεν. ὄρος δὲ ἅγιον, 8) τὴν Σιών. φῶς δὲ καὶ ἀλήθειαν, τὴν δικαίαν καὶ σωτήριον ἐπιφάνειαν. ὥσπερ γὰρ σκότος τὰς συμφορὰς ὀνομάζει, οὕτω φῶς τὴν τούτων ἀπαλλαγήν. αἰτοῦσι δὲ μετὰ τοῦ φωτὸς τὴν ἀλήθειαν· ἅτε δὴ κρῖναι τὸν Θεὸν αὐτοῖς καὶ Βαβυλωνίοις ἐξαιτήσαντες· καὶ σαφῶς εἰδότες, ὡς ἀληθείᾳ καὶ μὴ μακροθυμίᾳ χρώμενος ὁ Θεὸς, ἐκείνων μὲν καταψηφιεῖται, αὐτοὺς δὲ τῆς ἐκείνων δουλείας ἐλευθερώσει. δ΄. Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεὸν 9) τὸν εὐφραίνοντα τὴν νεότητά μου. ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεὸς, ὁ Θεός μου. Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἵνα 10) ἔλθω πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεὸν τὴν εὐφροσύνην τῆς εὐθυμίας μου, καὶ ἐξομολογήσομαί σοι ἐν ψαλτηρίῳ ὁ

lucem tuam, et veritatem tuam: ipsa me deduxerunt, et adduxerunt in montem sanctum tuum, et in tabernacula tua. Hoc in loco Septuaginta tempus mutarunt, et futura tanquam præterita dixerunt. Alii autem distinctius interpretati sunt: *Emitte lucem tuam, et veritatem tuam, quæ deducent me, et adducent in montem sanctum tuum, et in tabernacula tua.* Diuina ope perfrui supplico: per hanc enim fieri potest, vt a durissima seruitute liberer, et in paternam terram reuertar, et in consecrato templo consuetum cultum offeram. *Tabernacula* enim *Dei*, templum nominauit: *montem* vero *sanctum*, Sionem: *lucem* autem et *veritatem*, iustam et salutarem Dei apparitionem. Nam quemadmodum *tenebras* calamitates nuncupat, sic *lucem* ab his liberationem. Ceterum veritatem cum luce postulant, tanquam expetentes, vt Deus iudicet ipsos et Babylonios, & manifesto scientes, Deum si veritate et non patientia vtatur, illos quidem condemnaturum, ipsos vero ab illorum seruitute liberaturum esse. 4. *Et introibo ad altare Dei, ad Deum qui lætificat iuuentutem meam. Confitebor tibi in cithara, Deus, Deus mi.* Hoc Symmachus sic interpretatus est: Vt veniam ad altare Dei, ad Deum lætitiam iucunditatis meæ, et confitebor tibi in psalterio

Deus,

1) με. Abest a Cod. 2. 2) Cod. 1. 2. τὰ σκηνώματα. 3) θείας. Cod. 1. 2. τῆς, φησίν. 4) ἀπολαῦσαι. In Cod. 2. ponitur post παρακαλῶ. 5) με. In Cod. 1. 2. ponitur post γάρ. 6) ἐπανελθεῖν. Cod. 2. διελθεῖν. 7) τοῦ. Abest a Cod. 1. 2. 8) τήν. Cod. 1. 2. τό. 9) τὸν — νεότητά μου. Hebr. שִׂמְחַת גִּילִי *gaudium exsultationis meæ.* 10) Cod. 2. ἐλθών.

Deus, Deus mi. Cupio autem reditum, inquit, desiderans optatissimum tuum altare videre, et per illud te Dominum intueri, qui omnis generis lætitiæ et voluptatis ansas mihi præbes. Illic vero cum cithara solitos hymnorum cantus faciam: Babylone enim in salicibus suspendimus organa nostra, existimantes transgressionem legis esse, si extra tuum locum te coleremus. 5. *Quare tristis es anima mea, et quare conturbas me? Spera in Deo, quoniam adhuc confitebor illi, salutare vultus mei, et Deus meus.* Hinc etiam manifestum est, vtrumque psalmum eundem sensum habere. Se ipsos autem adhortantur qui hæc dicunt, vt optimam spem * habeant, et vincant mœroris affectum, atque a Deo salutem exspectent, tanquam sine vlla dubitatione concedendam.

Θεός, ὁ Θεός μου. ἱμείρομαι δὲ τῆς ἐπανόδου, φησὶ, τὸ τριπόθητόν σου θυσιαστήριον ἰδεῖν ἐφιέμενος, καὶ δι᾽ ἐκείνου σὲ τὸν Δεσπότην θεάσασθαι, ὃς εὐφροσύνης 1) παντοδαπῆς, καὶ θυμηδίας ἀφορμάς μοι παρέχεις. ἐκεῖ δὲ μετὰ κιθάρας τὰς συνήθεις ὑμνῳδίας ποιήσομαι. ἐν Βαβυλῶνι γὰρ, ἐπὶ τῶν ἰτεῶν ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν, παράβασιν τοῦ νόμου τὴν ἔξω τοῦ σοῦ τόπου λατρείαν ἡγούμενοι. ε. Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, 2) καὶ ὁ Θεός μου. Καὶ ἐντεῦθεν δῆλον, ὡς ἀμφότεροι οἱ ψαλμοὶ μίαν διάνοιαν ἔχουσι. σφίσι δὲ αὐτοῖς παρεγγυῶσιν οἱ τοῖς λόγοις τοῖσδε χρησάμενοι, τὰς χρηστοτέρας ἔχειν ἐλπίδας, καὶ νικῆσαι τῆς ἀθυμίας τὸ πάθος, καὶ προσμεῖναι τὴν παρὰ τοῦ Θεοῦ σωτηρίαν, ὡς ἀναμφιβόλως δοθησομένην.

INTERP. PS. XLIII.

ΕΡΜΗΝ. ΤΟΥ μγ´ ΨΑΛΜΟΥ.

1. In finem. Filiis Core, ad intelligentiam. Hic etiam psalmus futurarum rerum prædictionem continens ad exspectandum finem hortatur. Apponitur autem inscriptioni, *in intelligentiam*, vt illi intelligentes quæ scripta sunt, de quibus propheticus sermo vaticinatur, hinc vtilitatem reportent. Prædicit autem psalmus macedonicam crudelitatem, illustrisque Antiochi impium et ferinum animum, atque Maccabæorum fortitudinem et pietatem. *a*) Nam beatus et ter bea-

α. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν. Καὶ 3) οὗτος πραγμάτων ἐσομένων πρόῤῥησιν ἔχων, ἀναμεῖναι τὸ τέλος παρεγγυᾷ. πρόσκειται δὲ τῇ ἐπιγραφῇ εἰς σύνεσιν, ἵνα συνιέντες ἐκεῖνοι τὰ γεγραμμένα, περὶ ὧν ὁ προφητικὸς 4) προθεσπίζει λόγος, τὴν ἐντεῦθεν ἁρπάσωσιν ὠφέλειαν. προαγορεύει 5) δὲ ὁ ψαλμὸς τὴν Μακεδονικὴν ὠμότητα, καὶ τὴν Ἀντιόχου τοῦ Ἐπιφανοῦς δυσσεβῆ καὶ θηριώδη γνώμην, καὶ τὴν τῶν Μακκαβαίων ἀνδρείαν τε καὶ εὐσέβειαν. 6) Ματταθίας γὰρ ὁ 7) μακάριος

1) παντοδαπῆς. In Cod. 2. ponitur post θυμηδίας. 2) καί. Abest a Cod. vatic. 3) οὗτος. Cod. 1. addit ὁ ψαλμός. 4) προθεσπίζει. Cod. 2. præm. ταῦτα. 5) δὲ ὁ ψαλμός. Def. in Cod. 3. 6) Codd. tres aug. Ματθίας. 7) μακάριος. Cod. 2. [illegible]

a) 1 Macc. 2.

ριος καὶ 1) τρισμακάριστος, καὶ τοῦτο πολλάκις ζήλῳ θείῳ μετὰ τῶν παίδων χρησάμενος, καὶ τὰς πολλὰς τῶν Μακεδόνων μυριάδας, καὶ τῶν ἐλεφάντων τὸ πλῆθος 2) ἀσθενὲς ἡγησάμενος, ὡς τῆς θείας 3) ἔρημον προμηθείας, μετὰ ὀλίγων κατὰ τούτων στρατεύσας ἐνίκησε· καὶ τοὺς τῶν εἰδώλων ἀνασπάσας βωμοὺς, τὸν θεῖον νεὼν ἐξεκάθηρε, καὶ τὴν συνήθη λατρείαν τοῖς ὁμοφύλοις ἀπέδωκεν. οὐ 4) μόνον δὲ αὐτὸς, ἀλλὰ καὶ οἱ τούτου παῖδες μετὰ τὴν τούτου τελευτὴν, προσευχόμενοι τοὺς πολεμίους 5) ἐτρέποντο, καὶ τῆς θείας ῥοπῆς ἀπολαύσαντες ἵστων τὰ τρόπαια. ἐκ προσώπου τοίνυν αὐτῶν, ἡ προφητικὴ χάρις ὑπηγόρευσε τὸν ψαλμὸν, προδιδάσκουσα οἵοις αὐτοὺς ἐν τοῖς κινδύνοις προσήκει χρήσασθαι λόγοις. β'. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, 6) καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν, ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. Αὐτόπται μὲν ἡμεῖς τῶν σῶν θαυμάτων οὐ γεγενήμεθα Δέσποτα, παρὰ δὲ τῶν ἡμετέρων μεμαθήκαμεν πατέρων, ὅσα θαύματα κατ' ἐκείνους εἰργάσω τοὺς χρόνους, τὰς πρὸς τοὺς ἡμετέρους προγόνους γεγενημένας ἐπαγγελίας πληρῶν. γ'. Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς· ἐκάκωσας λαοὺς, καὶ ἐξέβαλες αὐτούς. δ'. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς· ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ 7) ὁ φωτισμὸς τοῦ προσώπου σου· ὅτι εὐδόκησας ἐν αὐτοῖς. 8) Σὺ, φησὶν, ὦ

tus Mattathias, qui sæpius hoc diuino zelo cum filiis vsus est, et multa millia vicit Macedonum, et multitudinem elephantum imbecillem reputans, tanquam diuina gratia destitutam, cum paucis contra hos expeditione facta victoriam reportauit, sublatisque idolorum altaribus diuinum templum purgauit, et vsitatum cultum suis gentilibus restituit. Non solum autem ipse, verum etiam filii post ipsius obitum, hostes in fugam orando vertebant, et diuina ope adiuti erigebant trophæa. Ex persona igitur illorum prophetica gratia psalmum dixit, præmonens quibus verbis in discriminibus eos vti conueniat. 2. *O Deus auribus nostris audiuimus, patres nostri annunciauerunt nobis opus, quod operatus es in diebus eorum, et in diebus antiquis.* Nos, o Domine, non fuimus quidem ipsi spectatores tuorum miraculorum, a nostris vero patribus didicimus, quot miracula ea tempestate feceris, promissiones nostris maioribus factas implens. 3. *Manus tua gentes disperdidit, et plantasti eos, afflixisti populos, et expulisti eos.* 4. *Nec enim gladio suo possederunt terram, et brachium eorum non saluauit eos, sed dextera tua et brachium tuum, et illuminatio vultus tui, quoniam complacuisti in eis.* * Tu, inquit, o * Domi-

1) τρισμακάριστος — πολλάκις. Def. in Cod. 3. In Cod. 1. 2. leg. τρισμακάριος. 2) ἀσθενές. Cod. 3. ἀσθενῆ. 3) Cod. 3. ἐρήμων. 4) Cod. 3. μόνος. 5) Cod. 2. ἔτρεπον. 6) καί. Abest a Cod. 2. et a vers. τῶν ὁ. 7) ὁ φωτισμός. Quidam libri veteres habent τὸ φῶς. 8) Σὺ — ηὐδόκησας ἐν αὐτοῖς. Def. in Cod. 3.

Domine, Cananæos cum aliis gentibus hinc exegisti, et patres nostros pro illis habitare fecisti. Nec enim robori fidentes, nec armis instructi, tot hostibus superiores fuerunt: verum tuæ gratiæ ductu, hos quidem interfecerunt, illos vero seruire coëgerunt, quoniam tua familiaritate illos dignatus es. Hoc enim dixit: *Complacuisti in eis. Dexteram* autem vocat auxilium: *illuminationem vultus*, apparitionem. 5. *Tu es ipse rex meus, et Deus meus, qui mandas salutes Iacobi.* Idem es, ait, et nunc, Domine, similiter regnans, similiter potens, eandem potentiam habens: tua vero natura nullam recipit mutationem. Satis est tibi et verbum ad salutem: annue, et hanc populus consequetur. Sic et Symmachus interpretatus est: Manda de salute Iacobi. 6. *Tecum inimicos nostros feriemus cornu, et in nomine tuo spernemus insurgentes in nos.* Animalia cornigera pro armis cornua a natura acceperunt: nos vero cornu salutis, victriciaque arma tuum nomen habemus, et hoc vtentes hostes superabimus. 7. *Non enim in arcu meo sperabo, et gladius meus non saluabit me.* 8. *Saluasti enim nos de*

Δέσποτα, τοὺς Χαναναίους μετὰ τῶν ἄλλων ἐθνῶν ἐντεῦθεν ἐξελάσας, τοὺς ἡμετέρους πατέρας ἀντ᾽ ἐκείνων κατῴκισας. οὔτε γὰρ ῥώμῃ θαῤῥοῦντες, οὔτε πανοπλίᾳ χρώμενοι, 1) τοσούτων ἀπεφάνθησαν κρείττους, ἀλλ᾽ ὑπὸ τῆς σῆς στρατηγούμενοι χάριτος, 2) τοὺς μὲν κατηκόντισαν, τοὺς δὲ δουλεύειν ἠνάγκασαν, ἐπειδὴ τῆς σῆς αὐτοὺς ἠξίωσας οἰκειότητος. τοῦτο γὰρ εἶπεν, 3) ηὐδόκησας 4) ἐν αὐτοῖς. δεξιὰν 5) δὲ καλεῖ τὴν βοήθειαν· φωτισμὸν δὲ προσώπου, τὴν ἐπιφάνειαν. ε΄. Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου, 6) ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. 7) Ὁ αὐτὸς εἶ, φησὶ, καὶ νῦν 8) Δέσποτα, ὁμοίως βασιλεύων, 9) ὁμοίως κρατῶν, τὴν αὐτὴν δύναμιν ἔχων, ἀλλοίωσιν 10) οὐδὲ μίαν ἡ σὴ δέχεται φύσις. ἀρκεῖ σοι 11) καὶ λόγος εἰς σωτηρίαν. 12) νεῦσον, καὶ ταύτης ὁ 13) λαὸς ἀπολαύσεται. οὕτως καὶ ὁ Σύμμαχος ἡρμήνευσεν, 14) ἔντειλαι περὶ τῆς σωτηρίας 15) Ἰακώβ. ϛ΄. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου 16) ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. Τὰ κερασφόρα ζῶα ὅπλον τὸ κέρας παρὰ τῆς φύσεως 17) ἔλαβεν· ἡμεῖς δὲ κέρας σωτηρίας, καὶ νικηφόρον ὅπλον, τὸ σὸν ἔχομεν ὄνομα, καὶ τούτῳ χρώμενοι τῶν πολεμίων περιεσόμεθα. ζ΄. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. η΄. Ἔσωσας γὰρ ἡμᾶς ἐκ

1) τοσούτων. Cod. 1. 2. addunt ἐθνῶν. 2) τοὺς — ἠνάγκασαν. Def. in Cod. 3. 3) Cod. 1. 2. εὐδόκησας. 4) ἐν. Abest a Cod. 2. 5) δέ. Def. in Cod. 3. 6) ὁ ἐντελλόμενος. MONTF. in Hexaplis ad h. l. habet ὁ ἐντειλάμενος. 7) Ὁ — φύσις. Def. in Cod. 3. 8) δέσποτα. Cod. 2. præm. ὦ. 9) ὁμοίως κρατῶν. Def. in Cod. 2. 10) οὐδέ. Cod. 1. præm. γάρ. 11) καί. Cod. 3. γάρ. 12) νεῦσον — Ἰακώβ. Def. in Cod. 3. 13) λαός. Cod. 1. 2. præm. σός. 14) ἔντειλαι — Ἰακώβ. Satis apta est hæc versio et Textui hebr. conueniens. 15) Ἰακώβ. Cod. 1. præm. τοῦ. 16) ἐξουδεν. Hebr. נָבוּס. *Aqu.* et *Symm.* συμπατήσομεν. 17) Cod. 3. ἔλαβεν.

ἐκ τῶν θλιβόντων ἡμᾶς· καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας. Οὔτε γὰρ τόξοις, οὔτε ἄλλοις ὅπλοις θαῤῥῶ· πεῖραν γὰρ τῆς σῆς δυνάμεως ἔλαβον, διά σου τῶν ἐναντίων ἤδη κρατήσας. θ'. Ἐν τῷ Θεῷ 1) ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. 2) Ἱκετεύομεν δὲ ἀεὶ τῆς σῆς ἀπολαῦσαι ῥοπῆς, καὶ διηνεκῶς τῶν σῶν εὐεργεσιῶν διεξιέναι τὸ πλῆθος. τὸ γὰρ ὅλην τὴν ἡμέραν, ἀντὶ τοῦ ἀεὶ τέθεικεν. 3) οὕτω 4) γὰρ καὶ ὁ Σύμμαχος 5) ἡρμήνευσεν. ἀντὶ γὰρ τοῦ ὅλην τὴν ἡμέραν, κατὰ πᾶσαν ἡμέραν τέθεικεν. ι'. Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ 6) ὁ Θεὸς 7) ἐν ταῖς δυνάμεσιν ἡμῶν. Ταῦτα μὲν οὖν ἐν τοῖς ἄνω χρόνοις γεγένηται παρὰ σοῦ. ἐπὶ δὲ τοῦ παρόντος ἔρημοι τῆς σῆς ἀπεφάνθημεν προμηθείας, καὶ ἐν αἰσχύνῃ διάγομεν ὑπὸ τῆς σῆς οὐ στρατηγούμενοι χάριτος. τὸ γὰρ, οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν, ἀντὶ τοῦ οὐ στρατηγεῖς 8) ἡμῶν, καὶ συνήθως παρέχεις τῶν πολεμίων κρατεῖν. ια'. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν· καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς. 9) Τῆς γὰρ σῆς προνοίας 10) οὐκ ἀπολαύοντες, ἡμεῖς μὲν νῶτα διδόντες ἀποδιδράσκομεν· 11) πορθοῦσι δὲ οἱ πολέμιοι τὰ ἡμέτερα. ιβ'. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. Δίκην δὲ προβάτων ἐρήμων ποιμένος, ὑπὸ τῶν σῶν δαπανώμεθα πολε-

affligentibus nos, et odio habentes nos confudisti. Nec enim arcubus, nec aliis telis confido: periculum enim de tua potentia feci, cum per te hostes iam expugnauerim. 9. *In Deo laudabimur toto die, et in nomine tuo confitebimur in saeculum.* Precamur autem semper, vt tuum auxilium consequamur, vtque continuo tuorum beneficiorum multitudinem enarremus. Nam *toto die* pro *semper* posuit. Symmachus etiam sic expressit, qui pro *toto die*, posuit *per omnem diem.* 10. *Nunc autem repulisti, et confudisti nos, et non egredieris Deus cum virtutibus nostris.* Hæc igitur superioribus temporibus a te facta fuere: nunc autem tua prouidentia destituti sumus, et in pudore degimus, sub tuæ gratiæ ductu minime bellantes. Hoc enim, *Non egredieris cum virtutibus nostris*, idem valet quod non * es dux nostri exercitus, et de hostibus vt referamus victoriam non efficis, vt solebas. 11. *Auertisti nos retrorsum post inimicos nostros, et qui oderunt nos diripuerunt sibi.* Nam tua prouidentia non potientes, nos quidem terga dando aufugimus: depopulantur vero hostes res nostras. 12. *Dedisti nos tanquam oues escarum, et inter gentes dispersisti nos.* Porro vt oues pastore destitutæ a tuis inimicis consumimur,

1) ἐπαινεθησόμεθα. Hebr. נְהַלֵּל sensu actiuo. Sicque *Symm.* ὑμνοῦμεν. *Aqu.* καυχησόμεθα. 2) Ἱκετεύομεν — πλῆθος. Def. in Cod. 3. 3) οὕτω — τέθεικεν. Def. apud CORD. p. 812. 4) γάρ. Abest a Cod. 1. 2. 5) ἡρμήνευσεν et post pauca τοῦ, def. in Cod. 2. 6) ὁ Θεός. Additur in Cod. *alex.* 7) *Symm.* ἐν τοῖς στρατεύμασιν. 8) ἡμῶν. Cod. 2. praem. μεθ'. 9) Τῆς — ἡμέτερα. Hæc apud CORD. p. 813. ad praec. versic. relata sunt. 10) οὐκ. Abest a Cod. 2. 11) Cod. 2. ποθοῦσι.

mimur, et qui mortem declinauimus, huc et illuc agitati seruire cogimur. 13. *Vendidisti populum tuum sine pretio, et non fuit multitudo in commutationibus nostris.* Hoc Symmachus sic interpretatus est: *Vendidisti populum tuum sine substantia, et non multum pretium illorum fecisti.* Similia per prophetam Esaiam dicit Deus: *a)* Qualis est hic liber repudii „matris vestræ„? aut cui debitor cum essem vendidi vos? Ecce in iniquitatibus vestris venditi estis, et in peccatis vestris dimisi matrem vestram. Et rursus: *b)* Gratis venundati estis, et sine argento redimemini. Et diuinus Apostolus: *c)* Scimus enim, legem spiritualem esse, ego autem carnalis sum, venundatus sub peccato. Et hic igitur admirabiles viri dicunt, quoniam nullo pretio ab hostibus accepto, vendidisti nos, verum ob peccata tradidisti. 14. *Posuisti nos opprobrium vicinis nostris, subsannationem, et derisionem his, qui sunt in circuitu nostro.* Vicinos in circuitu incolentes Allophylos vocat, et Idumæos, et Moabitas, et Ammonitas, et

μιῶν· καὶ οἱ τὸν θάνατον 1) διαφυγόντες, τῇδε κἀκεῖσε ἀπεμπολούμενοι, δουλεύειν ἀναγκαζόμεθα. ιγ΄. Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς 2) ἀλλάγμασιν 3) ἡμῶν. 4) Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἀπέδου τὸν λαόν σου οὐχ ὑπάρξεως, καὶ οὐ πολλὴν ἐποίησας τὴν τιμὴν αὐτῶν. τοιαῦτα καὶ διὰ τοῦ προφήτου Ἡσαΐου φησὶν ὁ Θεός· ποῖον τοῦτο 5) τὸ βιβλίον τοῦ ἀποστασίου 6) „τῆς „μητρὸς ὑμῶν„; 7) ἢ τίνι ὑποχρέως ὢν πέπρακα ὑμᾶς; ἰδοὺ ταῖς ἀνομίαις ὑμῶν ἐπράθητε, 8) καὶ ταῖς ἁμαρτίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν· καὶ πάλιν, δωρεὰν ἐπράθητε, καὶ 9) οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε. καὶ ὁ θεῖος ἀπόστολος· οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν, ἐγὼ δὲ 10) σαρκικός εἰμι, 11) πεπραμένος ὑπὸ τῆς ἁμαρτίας. κἀνταῦθα 12) τοίνυν οἱ 13) θαυμάσιοι λέγουσιν ἄνδρες, ὅτι οὐδεμίαν τιμὴν παρὰ τῶν πολεμίων λαβὼν ἀπέδου ἡμᾶς, ἀλλὰ τῶν 14) ἁμαρτιῶν ἕνεκα 15) παραδέδωκας. ιδ΄. Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν· μυκτηρισμὸν καὶ 16) χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. 17) Γείτονας κύκλῳ κατοικοῦντας τοὺς ἀλλοφύλους καλεῖ, 18) καὶ Ἰδουμαίους, καὶ Μωαβίτας, καὶ Ἀμμανίτας, καὶ τοὺς

1) Cod. 1. 2. *διαφεύγοντες.* 2) Cod. 2. *ἀλαλάγμασιν*, quam lectionem, etsi minus aptam, habet Codex *vatic.* æque ac *alex.* Sed legendum esse *ἀλλάγμασιν*, bene iam monuit LAMB. BOS in Animadu. crit. ad h. l. 3) *ἡμῶν.* Præstat lectio Cod. *vatic.* *αὐτῶν.* 4) *Τοῦτο — τιμὴν αὐτῶν.* Des. in Cod. 3. Post *τοῦτο* in Cod. 2. sequitur *καί.* 5) *τό.* Abest a Cod. 2. 6) Hæc quæ l. c. proxima sunt, autoritate trium Codd. *aug.* inserenda esse duximus. 7) *ἤ.* Cod. 3. *καί.* 8) *καὶ — ἐπράθητε.* Des. in Cod. 2. 9) *οὐ.* Abest a Cod. 1. 10) *σαρκικός.* Cod. 2. *σωματικός.* 11) Cod. 2. *πεπραγμένος.* 12) *τοίνυν.* Abest a Cod. 2. 13) *θαυμάσιοι.* Cod. 2. *θεῖοι.* 14) Cod. 2. *ἁμαρτιῶν.* Cod. 3. *ἁμαρτημάτων.* 15) Cod. 1. 2. *παρέδωκας*, adscripta tamen in Cod. 1. lectione altera. Codex 3. addit *ἡμᾶς.* 16) *χλευασμόν.* Hanc Codicis *alex.* lectionem tuentur *Theodotion* et Editio V. Codex autem *vatic.* habet *καταγέλωτα.* 17) *Γείτονας — πολεμούμενοι.* Des. in Cod. 3. 18) *καί.* Abest a Cod. 1. 2.

a) Es. 50, 1. b) Ib. c. 52, 3. c) Rom. 7, 14.

τοὺς ἄλλους πλησιοχώρους, οἷς ἐπίχαρτοι γεγόνασι πολεμούμενοι. ιε'. Ἔθου ἡμᾶς εἰς παραβολὴν 1) τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. 2) Τὰς μεγάλας συμφορὰς καὶ διηγούμενοι καὶ ἀκούοντες, κινεῖν τὰς κεφαλὰς εἰώθαμεν, ὑπ' ἐκπλήξεως τοῦτο δρᾷν βιαζόμενοι. εἰώθαμεν δὲ καὶ πάθη πάθεσι παραβάλλειν, καὶ λέγειν 3) ὅτι τοιαῦτα ἔπαθεν ὁ δεῖνα, οἷα ὁ δεῖνα. τοῦτο κἀνταῦθα 4) ὀδύρονται, ὅτι παραβολὴ γεγενήμεθα τοῖς ἀνθρώποις, καὶ κινοῦσιν ἐφ' ἡμῖν τὰς κεφαλάς. οἱ μὲν ἐφηδόμενοι, οἱ δὲ τὴν ὑπερβολὴν τῶν γεγενημένων θαυμάζοντες. ιϛ'. Ὅλην τὴν ἡμέραν 5) ἐντροπή μου κατεναντίον μου ἐστί, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με. ιζ'. Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ 6) καταλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. Ἐγὼ δὲ τοὺς μὲν πολεμοῦντας, τοὺς δὲ γελῶντας καὶ ἐπιτωθάζοντας βλέπων, αἰσχύνης ἀναπίμπλαμαι, καὶ πᾶσαν ἡμέραν 7) ὀδυνῶμαι. 8) εἶτα τὴν οἰκείαν 9) διεξίασιν ἀρετὴν οἱ τὰς Ἀντιόχου πάγας διαφυγόντες, καὶ τῆς ἀσεβείας τὰς ἄρκυς ὑπερπηδήσαντες. ιη'. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν 10) διαθήκῃ σου. ιθ'. Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν. Ὑπὸ τοσούτων δὲ περικλυσθέντες δεινῶν, 11) οὐκ

alios finitimos, quibus ludibrio facti sunt debellati. 15. *Posuisti nos parabolam gentibus, commotionem capitis in populis.* Maxima discrimina et narrantes et audientes, capita mouere solemus, ob stuporem hoc facere coacti. Solemus etiam cruciatus cruciatibus comparare, et dicere, talia is passus est, qualia ille. Hoc et in hoc loco deplorant. Quoniam hominibus parabola facti sumus, et capita propter nos mouent; hi quidem lætantes, illi vero magnitudinem eorum quæ patimur admirantes. * 16. *Toto die verecundia mea contra me est, et confusio faciei meæ cooperuit me.* 17. *A voce exprobrantis et obloquentis, a facie inimici et persequentis.* Ego vero alios bellum inferentes, alios deridentes et illudentes conspiciens, verecundia impleor, et totum diem doleo. Deinde, qui Antiochi laqueos subterfugerunt, et qui impietatis retia transilierunt, propriam virtutem narrant. 18. *Hæc omnia venerunt super nos, et non obliti sumus tui, et inique non egimus contra fœdus tuum.* 19. *Et non recessit retro cor nostrum.* Porro tot malis obruti, tuorum manda-

1) τοῖς. Cod. 1. 2. præm. ἐν, sicque in vers. τῶν ό. leg. 2) Τὰς — θαυμάζοντες. Hæc apud CORD. p. 815. ad præc. vers. referuntur. 3) ὅτι. Abest a Cod. 2. 4) ὀδύρονται — θαυμάζοντες. Des. in Cod. 3. 5) ἐντροπή. Cod. 1. 2. præm. ἡ. 6) καταλαλοῦντος. Ita leg. in Cod. *alex.* sed *vat.* habet παραλαλοῦντος. *Symm.* βλασφημοῦντες. 7) ὀδυνῶμαι. Codd. tres *aug.* ὀδύρομαι. In Cod. 3. sequuntur hæc: ταῦτα ὁ μὲν ἐπὶ Ἀντιόχου γεγενῆσθαι φησί. ὁ δὲ μετὰ τὴν κατὰ τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τόλμαν τε καὶ παροινίαν. φέρεται δὲ καὶ γραφὴ ἑτέρα ἀντὶ τοῦ καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν. Ex verbis vltimis colligitur, hæc potius ad v. 13. quam ad hunc pertinere. 8) εἶτα — ὑπερπηδήσαντες. Des. in Cod. 3. 9) Cod. 2. διέξεισιν. 10) διαθήκῃ. Cod. 2. præm. τῇ. 11) οὐκ — ἐντολῶν. Des. in Cod. 2.

mandatorum minime obliti sumus, nec tuam legem transgredi ausi sumus, neque a pristino proposito destitimus. *Et declinasti semitas nostras a via tua.* 20. *Quoniam humiliasti nos in loco afflictionis, et cooperuit nos vmbra mortis.* Quod ait: *Declinasti semitas nostras a via tua*, Symmachus ita expressit: Non transposita sunt a via tua ea quæ dirigebant nos. Vt autem sensum ac mentem Septuaginta interpretemur, sic intelligendum est: Multis, inquit, et omnis generis malis nos circumdedisti, quæ potuissent auertere nos a via tua: tradidisti vero nos in seruitutem impiis hominibus, qui crudelitate contra nos vsi sunt, et internecinas pœnas inflixerunt. *Vmbram* enim *mortis* vocauit discrimina, quæ ad interitum ducunt. 21. *Si obliti sumus nominis Dei nostri, et si expandimus manus nostras ad Deum alienum.* 22. *Nonne Deus requiret ista? Ipse enim nouit abscondita cordis, quoniam propter te morti tradimur toto die, æstimati sumus sicut oues occisionis.* Hanc virtutem præ se tulerunt Maccabæi, et Mattathias, et septem iuuenes cum matre et Eleazaro sacerdote. Neque enim illecebris se demulceri passi sunt, neque suppliciis succu-

ἐδεξάμεθα λήθην τῶν σῶν ἐντολῶν, 1) οὔτε παραβῆναι τὸν σὸν ἐτολμήσαμεν νόμον, οὐδὲ τῆς προτέρας ἐξετράπημεν γνώμης. 2) Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. κ'. Ὅτι ἐταπείνωσας ἡμᾶς 3) ἐν τόπῳ κακώσεως. καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου. 4) Τὸ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν, οὐ μετεκλίθη τὰ ὑπορθοῦντα ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου. ἵνα δὲ καὶ τῶν ἑβδομήκοντα τὴν διάνοιαν ἑρμηνεύσωμεν, οὕτω 5) νοήσωμεν. πολλοῖς 6) ἡμᾶς φησὶ, καὶ παντοδαποῖς περιέβαλες ἀλγεινοῖς, ἅπερ ἱκανὰ ἦν καὶ ἐκτρέψαι 7) τῆς ὁδοῦ σου· παρέδωκας δὲ καὶ εἰς δουλείαν ἡμᾶς δυσσεβέσιν ἀνθρώποις, ὠμότητι καθ' ἡμῶν κεχρημένοις, καὶ θανατηφόρους ἡμῖν τιμωρίας ἐπάγουσιν. σκιὰν γὰρ θανάτου τοὺς πρὸς θάνατον 8) ἄγοντας κινδύνους ἐκάλεσεν. κα'. Εἰ ἐπελαθόμεθα 9) ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον. κβ'. Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας. ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. 10) Ταύτην ἐπεδείξαντο τὴν ἀρετὴν, οἱ Μακκαβαῖοι, καὶ οἱ περὶ τὸν 11) Ματταθίαν, καὶ οἱ ἑπτὰ νεανίαι σὺν τῇ μητρὶ καὶ Ἐλεαζάρῳ τῷ ἱερεῖ. οὔτε γὰρ κολακείαις κατεθέλχθησαν, οὔτε τιμωρίαις ἐκάμφθησαν,

1) Cod. 1. 2. οὐδὲ. 2) Καὶ — ὁδοῦ σου. Falsum sensum in Textum intulerunt οἱ ὁ. cum Verbum וַתֵּט in 2. pers. expresserint, quod tamen in 3. pers. sumendum est. Saniorem sensum dat *Symmachi* interpretatio a Nostro allegata. 3) ἐν τόπῳ κακώσεως. Hebr. בִּמְקוֹם תַּנִּים quod *Aquila* bene vertit ἐν τόπῳ ἀοικήτῳ. 4) Τὸ — νοήσωμεν. Des. in Cod. 3. 5) Cod. 1. νοήσομεν. 6) Cod. 3. φησὶ ἡμᾶς. 7) τῆς. Cod. 2. præm. ἀπό. 8) ἄγοντας. Abest a Cod. 2. 9) ὀνόματος. Cod. 1. 2. præm. τοῦ. 10) Ταύτην — κινήματα. Des. in Cod. 3. 11) Cod. 2. Ματθίαν, linea imposita.

φθησαν, ἀλλὰ τοῦ ἀληθοῦς Θεοῦ τὸ σέβας ἀνέπαφον διετήρησαν, καὶ τῶν εἰδώλων τὴν θεραπείαν ὡς μυσαρὰν ἐβδελύξαντο. καὶ ταῦτα φησὶ σὺ οἶδας Δέσποτα. σοὶ γὰρ οὐ μόνα τὰ πράγματα δῆλα, ἀλλὰ καὶ τὰ τῆς ἐννοίας κινήματα. ἐπισημήνασθαι δὲ 1) προσήκει, ὅτι δυάδα προσώπων ὁ λόγος ἠνίξατο. εἰρηκὼς γὰρ, οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας· ἐπήγαγεν, ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ταύτην δὲ τὴν τῆς ἀντωνυμίας ἐναλλαγὴν καὶ ὁ Ἑβραῖος ἔχει, καὶ οἱ λοιποὶ τεθείκασιν ἑρμηνευταί. κγ'. Ἐξεγέρθητι, ἱνατί ὑπνοῖς Κύριε; 2) ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος. Ὕπνον 3) τὴν μακροθυμίαν καλεῖ· καθάπερ γὰρ ὁ καθεύδων οὐκ αἰσθάνεται τῶν γιγνομένων, οὕτως ὁ μακροθυμίᾳ χρώμενος, καὶ παροινούμενος, καὶ προπηλακιζόμενος φέρει. ἀνάστασιν δὲ τὴν ἐπὶ 4) τιμωρίαν κίνησιν ὀνομάζει. 5) εἶτα τὰ αὐτὰ πάλιν ἑτέρως λέγει. κδ'. Ἱνατί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πτωχείας 6) ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν. 7) Παρορᾷς, φησὶ, τὰ καθ' ἡμῶν γινόμενα, Δέσποτα, καὶ ἔοικας ἀποστρεφομένῳ, καὶ οὐ θεωμένῳ, ἀλλ' ἐπιλελησμένῳ, καὶ τούτου χάριν οὐ κηδομένῳ. ἡμεῖς δὲ πτωχεύομεν, τῆς ἐπικουρίας τὸν πλοῦτον οὐκ ἔχοντες. κε'. Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν. ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ 8) ἡμῶν. 9) Μέχρι τῆς γῆς αὐτῆς κατεκάμφθημεν, ὡς τὴν γαστέρα ἡμῶν αὐτῇ πελάσαι τῇ γῇ. διὰ

buerunt, sed verum Dei cultum intactum conseruarunt, et idolorum * cultum vt detestandum respuerunt. Et hæc, inquit, tu nosti Domine. Tibi enim non solum res sunt manifestæ, sed etiam mentis motus. Ceterum notandum est, sermonem duas personas ostendere. Cum enim dixisset: *Nonne Deus requiret ista? Ipse enim nouit abscondita cordis;* subdidit, *Quoniam propter te morti tradimur toto die.* Hanc vero pronominis mutationem Hebræus etiam habet, et ceteri quoque interpretes posuerunt. 23. *Exsurge, quare obdormis Domine? exsurge, ne repellas in finem.* Somnum patientiam vocat. Quemadmodum enim qui dormit, non sentit ea quæ fiunt, sic etiam homo patiens, cum iniuria afficitur, et conuiciis lacessitur, tolerat. Exsurgendi vero actum, motum ad vindictam nominat. Deinde eadem rursus aliter narrat. 24. *Quare faciem tuam auertis? obliuisceris inopiæ nostræ, et tribulationis nostræ.* Despicis, inquit, Domine, ea quæ contra nos patrantur, et similis es auersanti, et non respicienti, sed oblito, et hac de caussa non curanti: nos vero egemus, auxilii diuitias non habentes. 25. *Quoniam humiliata est in puluere anima nostra, et adhæret terræ venter noster.* Vsque ad terram ipsam inflexi sumus, vt venter noster ipsi terræ adpropinquauerit: per hæc

1) προσήκει. Cod. 3. δεῖ. 2) ἀνάστηθι. Hebr. הָקִיצָה, quod *Symm.* bene transtulit ἐξύπνισον. 3) τήν. Cod. 3. præm. δέ. 4) Cod. 1. 2. τιμωρίᾳ. 5) εἶτα — λέγει. Des. in Cod. 3. 6) ἡμῶν. Abest a Cod. 3. 7) Παρορᾷς — ἔχοντες. Hæc et quæ deinde ad vers. 25. leguntur, apud CORD. p. 818. ad præc. vers. relata sunt. 8) ἡμῶν. Cod. 3. addit τοῦτο βούλονται λέγειν. 9) μέχρι. Cod. 1. addit γάρ.

hæc autem multam humilitatem ostendit, hostiumque potentiam. 26. *Exsurge Domine, adiuua nos, et redime nos propter nomen tuum.* Propterea obsecramus te Domine, vt appareas, et nostras calamitates finias, vtque inimicis superiores nos efficias. Ceterum omnia hæc Spiritus sancti gratia prædixit, docens eos, qui futuri erant in illis ærumnis, ea quæ acciderent viriliter ferre, et a Deo vniuersorum liberationem ab his postulare. Quod vtique admirabiles illi viri fecerunt. Nam verbis Deum placarunt, et sub ipsius ductu bellantes, hostes profligarunt, et pristinam libertatem contribulibus pepererunt.

δὲ τούτων τὴν πολλὴν 1) σημαίνει ταπείνωσιν, καὶ τῶν πολεμίων τὸ κράτος. κϛ. Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου. 2) Οὗ δὴ χάριν ἀντιβολοῦμέν σε, Δέσποτα, ἐπιφανῆναι, καὶ λῦσαι τὰς συμφορὰς, καὶ κρείττους 3) ἀποφανῆναι τῶν δυσμενῶν. ταῦτα δὲ ἅπαντα προεῖπεν ἡ τοῦ πνεύματος χάρις, τοὺς 4) ἐν ἐκείνοις τοῖς δεινοῖς ἐσομένους διδάσκουσα, καὶ γενναίως ἐνεγκεῖν τὰ προσπίπτοντα, καὶ παρὰ τοῦ Θεοῦ τῶν ὅλων αἰτῆσαι τὴν τούτων ἀπαλλαγήν· ὅπερ 5) δὴ καὶ δεδράκασιν οἱ θαυμάσιοι ἄνδρες ἐκεῖνοι· τοῖς γὰρ λόγοις τὸν Θεὸν ἱλεώσαντο, καὶ ὑπ᾽ αὐτοῦ στρατηγούμενοι τοὺς πολεμίους ἐτρέψαντο, καὶ τὴν 6) προτέραν ἐλευθερίαν 7) ὁμοφύλοις 8) προὐξένησαν.

* INTERP. PSALMI XLIV.

1. *In finem. Pro his qui mutabuntur, filiis Core, in intellectum, Canticum pro dilecto.* Postquam molesta propheticus sermo prædixit in proxime præcedente psalmo, iucunda deinceps vaticinatur, mœrentes consolans, et docens, eos victuros, atque in victoria perseueraturos, auxiliumque a Deo consecuturos, quousque dilectus filius ex ipsis secundum carnem exoriatur, et mutationem illam nouam gentibus præstet. *Dilectum* enim, Dei filium vocat. Sic enim diuinus Esaias ait, a) Vinea fuit dilecto in cornu,

ΕΡΜΗΝ. ΤΟΥ μδ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ. Τὰ λυπηρὰ προειρηκὼς ὁ προφητικὸς λόγος ἐν τῷ πρὸ τούτου ψαλμῷ, τὰ θυμήρη λοιπὸν προαγορεύει, τοὺς ἀθυμοῦντας ψυχαγωγῶν, καὶ διδάσκων, ὅτι καὶ νικήσουσι, καὶ διαρκέσουσι, καὶ τῆς παρὰ τοῦ Θεοῦ τεύξονται βοηθείας, ἕως ἂν ἐξ αὐτῶν ὁ ἀγαπητὸς 9) υἱὸς κατὰ σάρκα βλαστήσῃ, καὶ τὴν καινὴν ἀλλοίωσιν τοῖς ἔθνεσι πραγματεύσηται. ἀγαπητὸν γὰρ καλεῖ 10) τοῦ Θεοῦ τὸν υἱόν· οὕτω γὰρ καὶ ὁ θεῖος Ἡσαΐας 11) φησίν. ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι,

ἐν

1) σημαίνει. Cod. 2. αὐτῶν φησί. 2) Οὗ — δυσμενῶν. Def. in Cod. 3. 3) Cod. 1. 2. ἀποφῆναι. 4) Cod. 1. ἐσομένους ἐν ἐκείνοις τοῖς δεινοῖς. 5) δὴ καί. Abest a Cod. 2. 6) προτέραν. Abest a Cod. 1. 7) ὁμοφύλοις. Codd. tres august. præm. τοῖς. 8) Cod. 2. προὐξένησε. Cod. 3. προεξένησαν. 9) υἱός. Cod. 1. Κύριος. 10) τοῦ Θεοῦ. In Cod. 2. ponitur post υἱόν. 11) φησίν. Abest a Cod. 2.

a) Es. 5, 1.

ἐν τόπῳ πίονι. τοῦτο καὶ αὐτὸς ὁ πατὴρ εἰς τὸν υἱὸν ἀνεκήρυξεν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ 1) ηὐδόκησα. οὗτος τὴν διὰ τοῦ ἁγίου 2) βαπτίσματος ἀλλοίωσιν τοῖς ἔθνεσιν ἐδωρήσατο. περὶ τούτων δὲ ὁ ψαλμὸς προθεσπίζει· οἷς καὶ παρεγγυᾷ τῶν μὲν πατρῴων ἐπιλαθέσθαι θεῶν, τὸν δὲ ἀληθινὸν ἀληθῶς γεραίρειν Θεόν. 3) τοὺς δὲ ἀλλοιωθησομένους ὁ μὲν Σύμμαχος ἄνθη κέκληκεν· Ἀκύλας δὲ 4) καὶ ὁ Θεοδοτίων, κρίνα. 5) ἄνθη δὲ καὶ κρίνα τοῦ ἦρος 6) βλαστοί. ἔαρ δὲ πνευματικὸν, τοῦ σωτῆρος ἡ παρουσία· ἐν ᾗ εὐφράνθη, κατὰ τὴν Ἡσαΐου προφητείαν, ἡ πάλαι ἔρημος, καὶ ἤνθησεν ὡς κρίνον. περὶ 7) τούτων ἡ παροῦσα προφητεία προαγορεύει· πάντων 8) ὑποδεικνῦσα φυτουργόν τε καὶ γεωργὸν, τὸν 9) ἀλλοιώσαντα καὶ ἀποφήναντα καρποφόρον. β. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. Πνευματικοῖς γὰρ ἐντρεφόμενος λόγοις, τοιαύτας ἐρυγὰς ἀναπέμπω, καὶ τοιούτους λόγους 10) προΐεμαι. λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. ὃν ἀγαπητὸν ἡ προγραφὴ κέκληκε, βασιλέα καλεῖ τοῦ ψαλμοῦ τὸ προοίμιον. ἔργα δὲ τῆς προφητείας ὁ ἀληθὴς λόγος, ὁ τὰ ἐσόμενα προθεσπίζων· λέγει τοίνυν, ὅτι περὶ αὐτοῦ τοῦ βασιλέως ποιοῦμαι τοὺς λόγους. καὶ διδάσκων ὡς οὐκ ἀνθρωπίνοις, ἀλλὰ θείοις κέχρηται λόγοις, ἐπήγαγεν· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. οὐδέν φησιν οἰκεῖον φθέγγομαι, οὐδὲ τῆς ἐμῆς διανοίας ὠδῖνας 11) προσφέρω. ἑτέρας δὲ ὑπουργὸς ἐνεργείας ἡ γλῶττα. καὶ 12) αὐ-

in loco vberi. Hoc et ipſe pater de filio prædicauit, a) Hic eſt filius meus dilectus, in quo beneplacitum habeo. Hic per ſanctum baptiſma gentibus mutationem donauit. De his autem pſalmus prædicit, quos adhortatur, vt patriorum deorum obliuiſcantur, et verum Deum vere laudent. Porro *eos qui mutandi ſunt*, Symmachus vocauit *flores*, Aquila vero et Theodotio *lilia*. Flores autem, et lilia veris ſunt germina. Spirituale ver, Saluatoris eſt aduentus, in quo læta eſt, ſecundum Eſaiæ vaticinationem, b) quæ olim erat ſolitudo, et floruit vt lilium. De his præſens prophetia prædicit, omnium ſatorem et agricolam tacite oſtendens eum, qui ſolitudinem immutauit et reddidit fœcundam. 2. *Eructauit cor meum verbum bonum.* Nam ſpiritualibus verbis nutritus, tales quaſi fructus emitto, et talia verba effundo. *Dico, opera mea regi.* Quem titulus *dilectum* vocauit, pſalmi exordium *regem* nuncupat: opus vero prophetiæ verus ſermo eſt, qui futura prædicit. Ait igitur, ſe de ipſo rege verba facturum eſſe: et docens, non humanis, verum diuinis verbis ſe vti, ſubdidit. *Lingua mea calamus ſcribæ velociter ſcribentis.* Nihil, ait, proprium loquor, neque meæ mentis partus affero: alius vero efficaciæ lingua miniſtra eſt, et ipſa qui-

1) Cod. 1. 2. εὐδόκησα. 2) βαπτίσματος. Cod. 2. πνεύματος. 3) τοὺς δὲ — καρποφόρον. Deſ. apud CORD. p. 824. 4) καὶ ὁ Θεοδοτίων. De Theodotione hoc non ſatis certum eſt. 5) ἄνθη δὲ καὶ κρίνα. Deſ. in Cod. 2. 6) Cod. 2. βλαστόν. 7) Cod. 2. τούτου. 8) Cod. 2. ὑποδεικνύουσα. 9) ἀλλοιώσαντα. Cod. 1. 2. addunt τὴν ἔρημον, quam lectionem *Caraſa* habuiſſe videtur. 10) Cod. 1. προσίεμαι. 11) Cod. 1. προσφέρω. 12) Cod. 1. 2. αὐτή.

a) Matth. 3, 17. b) Eſ. 35, 1.

quidem calamum imitatur, gratia vero spiritus velocem scribam, per hanc quæcunque voluerit scribens. Sic propheta, postquam significauit quis per ipsum loqueretur, ita incipit vaticinationem. * 3. *Speciosus es forma præ filiis hominum, diffusa est gratia in labiis tuis, propterea benedixit tibi Deus in æternum.* Tu, inquit, quem *regem* nominaui, quem per inscriptionem *dilectum* appellavi, pulchritudine quidem hominum naturam superas, sapientiæ vero fontes per linguam profundis, et hæc non temporanea tibi sunt, sed perennia habes. Sciendum est autem, propheticum sermonem non diuina, sed humana Domini Christi demonstrasse: non enim hominibus Deum verbum comparauit, neque hunc a Deo benedictionem accepisse dixit, Hic enim abyssus bonorum est, benedictionem fidelibus effundens. Humana igitur Christi Domini his verbis prædixit. Ceterum nemo suspicetur prophetas sibi inuicem contradixisse, Esaiam audiens exclamantem, a) Vidimus ipsum, et non habebat speciem, neque pulchritudinem: sed species eius despecta, deterior filiis hominum. Illa enim crucem et cruciatus prædicunt, quæ violentia et contumeliis referta sunt. Vnde subiunxit propheta, Homo percussus, et sciens ferre infirmitatem, despectus est, et non reputatus est, et alia, quæ sequuntur, quæ passionem indicant. Psalmus autem eius pulchritudinem vocat, non corporis, sed virtutis, et totius iustitiæ, quæ non admisit labem peccati, sed fuit omnis maculæ ex-

τῇ μὲν μιμεῖται κάλαμον· ἡ δὲ χάρις τοῦ πνεύματος, γραμματέα ταχὺν, διὰ ταύτης ἃ βούλεται γράφουσα. οὕτως ὁ προφήτης τὸν δι' αὐτοῦ φθεγγόμενον ὑποδείξας, ἄρχεται τῆς προῤῥήσεως 1) οὕτως. γ'. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἐξεχύθη 2) χάρις ἐν χείλεσί σου, διὰ τοῦτο 3) ηὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Σὺ, φησὶν, ὃν ὠνόμασα βασιλέα, ὃν διὰ τῆς προγραφῆς ἀγαπητὸν προσηγόρευσα, κάλλει μὲν νικᾷς τῶν ἀνθρώπων τὴν φύσιν, σοφίας δὲ προχέεις διὰ τῆς γλώσσης πηγάς· καὶ ταῦτα οὐ πρόσκαιρα, ἀλλ' αἰώνια ἔχεις. ἰστέον δὲ, 4) ὅτι οὐ τὰ θεῖα, ἀλλὰ τὰ ἀνθρώπεια τοῦ Δεσπότου Χριστοῦ ὁ 5) προφητικὸς παρεδήλωσε λόγος. οὐ γὰρ 6) ἂν ἀνθρώποις τὸν Θεὸν λόγον ἀπείκασεν, οὐδ' ἂν τοῦτον ἔφη παρὰ Θεοῦ 7) δεδέχθαι τὴν εὐλογίαν. οὗτος γὰρ ἄβυσσος ἀγαθῶν εὐλογίαν τοῖς πιστοῖς ἀναβλύζουσα. 8) τὰ ἀνθρώπεια τοίνυν διὰ τῶνδε τῶν λόγων τοῦ Δεσπότου Χριστοῦ προεθέσπισε. μηδεὶς δὲ ἀντικρὺς ἐναντία τοὺς προφήτας ἀλλήλοις εἰρηκέναι λεγέτω, Ἡσαΐου ἀκούων βοῶντος· εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐκεῖνα γὰρ τὸν σταυρὸν καὶ τὸ πάθος προαναφωνεῖ, ἃ παροινίας καὶ ὕβρεως 9) ἐστὶ μεστά. διὸ δὴ καὶ ἐπήγαγεν ὁ προφήτης· ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη, καὶ τὰ ἄλλα ἑξῆς, τὰ τὸ πάθος μηνύοντα. ὁ δὲ ψαλμὸς κάλλος αὐτοῦ καλεῖ, οὐ τὸ τοῦ σώματος, ἀλλὰ τῆς ἀρετῆς καὶ πάσης δικαιοσύνης, τὸ ἁμαρτίας οὐ δεξάμενον σπῖλον, τὸ πάσης κηλῖδος ἐλεύθερον.

1) οὕτως. Abest a Cod. 2. 2) χάρις. Cod. 2. præm. ἡ. 3) Cod. 2. εὐλόγησε. 4) ὅτι. Cod. 1. 2. ὡς. 5) προφητικός. Cod. 2. δεσποτικός. 6) ἄν. Abest a Cod. 1. 2. 7) δεδέχθαι. Cod. 2. δὲ δέχεσθαι. 8) τά. Cod. 3. addit δέ. 9) ἐστι. Cod. 1. 2. ὑπῆρχε.

a) Es. 53, 2. 3.

ϱον. δ'. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. ε'. 1) Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ 2) ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε. Τὴν ὥραν διαγράψας, καὶ τὴν σοφίαν, ὑποδείκνυσι καὶ τὴν δύναμιν καὶ τὴν πανοπλίαν, ᾗ χρησάμενος τοὺς ἐναντίους κατέλυσε. καὶ τὸ πάντων ἡμᾶς παραδοξότατον πρᾶγμα διδάσκει. αὐτὴν γὰρ αὐτοῦ τὴν ὥραν, καὶ πανοπλίαν λέγει, καὶ δύναμιν. περίζωσαι γάρ φησι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατὲ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. καὶ εἰρηκὼς, ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε, εὐθὺς ἐπήγαγεν· ἕνεκεν ἀληθείας, καὶ 3) πραότητος, καὶ δικαιοσύνης. σαφῶς διὰ τούτων διδάσκων, ὡς ἡ ἀλήθεια, καὶ ἡ πραότης, καὶ ἡ δικαιοσύνη, καὶ κάλλος αὐτοῦ καὶ δύναμις καὶ πανοπλία 4) ἐστι, καὶ νίκη. ἔστι δὲ ἀκοῦσαι 5) αὐτοῦ τοῦ Κυρίου λέγοντος, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. 6) καὶ πάλιν, ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. καὶ πρὸς τὸν 7) θεσπέσιον Ἰωάννην· ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. καὶ διὰ τούτων τοῦ ἀλάστορος τὴν τυραννίδα κατέλυσε, καὶ τὸν θάνατον ἔλυσε, καὶ τοῖς πεπιστευκόσι παρέσχε τὴν σωτηρίαν. 8) καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. ἐπειδὴ γὰρ ῥομφαίας ἐμνημόνευσεν, ἀκολούθως καὶ δεξιᾶς ἐποιήσατο μνήμην· δεξιὰ δὲ αὐτοῦ, τὰ δεξιὰ βουλεύματα, οἷς κεχρημένος

pers. 4. *Accinge te gladio tuo super femur tuum, potentissime.* 5. *Specie tua et pulchritudine tua. Intende, prospere procede, et regna.* Descripta specie et sapientia, ostendit et potentiam, et arma, quibus vsus aduersarios profligauit, docetque nos rem omnium maxime admirabilem. Ipsam enim eius speciem, et arma esse dicit, et potentiam. Nam *accinge te*, inquit, *gladio tuo super femur tuum, potentissime, specie tua et pulchritudine.* Et cum dixisset, *Intende, prospere procede, et regna,* statim subiunxit: *Propter veritatem, mansuetudinem, et iustitiam.* Manifesto per hæc docens, veritatem et mansuetudinem et iustitiam, eius esse pulchritudinem, et potentiam, et arma, et victoriam. Licet autem ipsum Dominum audire dicentem, a) Discite a me, * quoniam mitis sum, * et humilis corde, et inuenietis requiem animabus vestris. Et rursus, b) Ego sum via, veritas et vita. Et ad diuinum Ioannem, c) Sine nunc, sic enim conuenit nos implere omnem iustitiam. Per hæc autem dæmonis tyrannidem euertit, et mortem dissoluit, et credentibus salutem largitus est. *Et ducet te mirabiliter dextera tua.* Postquam enim gladii meminit, iure dexteræ mentionem fecit. *Dextera* vero eius, dextera consilia, quibus vsus pec-

1) Τῇ — κάλλει σου. Hæc ad præc. versic. fuissent referenda. 2) Cod. 2. ἔντεινε. 3) Rec. lectio h. l. est πραΰτητος. 4) ἐστι. Abest a Cod. 1. 2. 5) αὐτοῦ. Cod. 1. præm. καί. 6) καὶ πάλιν — σωτηρίαν. Des. apud CORD. p. 846. 7) θεσπέσιον. Cod. 2. θεῖον. 8) καὶ — δεξιά σου. Hebr. docebit te terribilia dextera tua, quem sensum felicius expresserunt *Aquila* et *Symm.*

a) Matth. 11, 29. b) Ioh. 14, 6. c) Matth. 3, 15.

peccati incursum non est passus. 6. *Sagittæ tuæ acutæ, potentissime, populi sub te cadent in corde inimicorum regis.* Ordo verborum perplexus est: dicit autem sic, Tu acutis sagittis contra hostes vtens, illos quidem recta configes, et eorum corda vulnerabis, populos vero ab illis tyrannide oppressos tuum cultum perdocebis. Sagittæ enim tuæ acutæ, o potentissime, in corde inimicorum regis. His autem vulneratis, populi sub te cadent, debitum honorem tibi exhibentes. Cum per hæc propheticus sermo ea quæ ad incarnationem spectant prædixisset, post hæc naturam ipsius Dei verbi, qui humanitatem suscepit, docet. 7. *Sedes tua o Deus in sæculum sæculi, virga æquitatis, virga regni tui.* Quoniam quæ superius dicta sunt, infra diuinam dignitatem erant, *Speciosus forma præ filiis hominum, propterea benedixit tibi Deus in æternum*, merito per hæc docet, et Deum esse eum, et æternum regem, qui nec principium accepit, nec finem accepturus est. Hoc autem declarat *in sæculum.* Idcirco et Symmachus æternum ipsum dixit, *Thronus tuus, o Deus, æternus.* Ceterum regni æquitatem etiam docet. *Virga* enim, inquit, *æquitatis, virga regni tui.* Deinde rursus ad ea quæ humanitatem spectant descendit. 8. *Dilexisti iustitiam, et odisti iniquitatem: propterea vnxit te Deus, Deus tuus, oleo læti-*

τὴν τῆς ἁμαρτίας οὐκ ἐδέξατο προσβολήν. ϛ'. Τὰ βέλη σου ἠκονημένα, 1) δυνατέ. λαοὶ ὑποκάτω σου πεσοῦνται 2) ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. Μεθυπέρβατά ἐστι τὰ 3) ῥήματα. λέγει δὲ, ὅτι τοῖς ὀξέσι βέλεσι κατὰ τῶν πολεμίων χρώμενος, ἐκείνους μὲν εὐθυβόλως 4) βαλεῖς, καὶ τὰς καρδίας αὐτῶν κατατρώσεις. τοὺς δὲ ὑπ' ἐκείνων τυραννουμένους λαοὺς τὴν σὴν διδάξεις προσκύνησιν. τὰ βέλη σου γὰρ ἠκονημένα, δυνατὲ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. τούτων δὲ τρωθέντων, λαοὶ ὑποκάτω σου πεσοῦνται, προσφέροντές σοι τὴν ὀφειλομένην προσκύνησιν. διὰ τούτων τὰ κατὰ τὴν ἐνανθρώπησιν γεγενημένα προαγορεύσας ὁ προφητικὸς λόγος, αὐτοῦ τοῦ ἐνανθρωπήσαντος Θεοῦ λόγου μετὰ ταῦτα διδάσκει τὴν φύσιν. ζ'. Ὁ θρόνος σου ὁ Θεὸς, εἰς τὸν αἰῶνα 5) τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἐπειδὴ ταπεινότερα τῆς θείας ἦν ἀξίας τὰ ἄνω εἰρημένα, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ διὰ τοῦτο 6) ηὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα, εἰκότως διὰ τούτων διδάσκει, ὅτι καὶ Θεός ἐστιν, καὶ αἰώνιος βασιλεὺς, καὶ οὔτε ἀρχὴν εἰληφὼς, οὔτε τέλος ληψόμενος. 7) τοῦτο δηλοῖ τὸ αἰώνιον. 8) διὸ δὴ καὶ ὁ Σύμμαχος αἰώνιον αὐτὸν 9) προσηγόρευσεν, ὁ θρόνος σου, ὁ Θεὸς, αἰώνιος. διδάσκει δὲ καὶ τῆς βασιλείας τὸ δίκαιον· ῥάβδος γὰρ εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. εἶτα πάλιν ἐπὶ τὰ 10) ἀνθρώπεια καταβαίνει. η'. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως

1) δυνατέ. Abest a Textu hebr. 2) ἐν — βασιλέως. Rectius *Aqu.* et *Symm.* κατὰ καρδίας οἱ ἐχθροὶ τοῦ βασιλέως. 3) Cod. 1. εἰρημένα. 4) Cod. 1. καταβαλεῖς. 5) τοῦ αἰῶνος. Des. in Cod. 1. 6) Cod. 1. 2. εὐλόγησε. 7) τοῦτο. Cod. 1. 2. addunt γάρ. 8) διὸ δή. Cod. 1. δι' ὃ καί. Cod. 2. διὸ καί. 9) προσηγόρευσεν. Cod. 2. ἐκάλεσεν. 10) Cod. 1. ἀνθρώπινα.

σεως, παρὰ τοὺς μετόχους σου. 1) ἢ κατὰ τὸν Σύμμαχον, παρὰ τοὺς ἑταίρους σου. μέτοχοι δὲ αὐτοῦ εἰσι, καὶ ἑταῖροι, καὶ ἀδελφοὶ, κατὰ τὴν ἀνθρωπότητα, οἱ 2) πιστεύσαντες. οὕτω καὶ ὁ θεῖος ἀπόστολος λέγει, μέτοχοι 3) γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν 4) ἀπαρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν. καὶ πάλιν, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. οὕτω καὶ τῷ παναγίῳ κέχρισαι πνεύματι, οὐχ ὡς Θεὸς, ἀλλ᾽ ὡς ἄνθρωπος. ὡς γὰρ Θεὸς, ὁμοούσιον ἔχει τὸ πνεῦμα· ὡς δὲ ἄνθρωπος, οἷόν τι 5) χρίσμα λαμβάνει τοῦ πνεύματος τὰ χαρίσματα. οὕτω καὶ ἠγάπησε δικαιοσύνην, καὶ ἐμίσησεν ἀνομίαν. γνωμικῆς γὰρ ταῦτα 6) αἱρέσεως, οὐ φυσικῆς δυνάμεως. ὡς δὲ Θεὸς, ῥάβδον εὐθύτητος ἔχει τὴν ῥάβδον τῆς βασιλείας. θ΄. Σμύρνα, καὶ στακτὴ, καὶ 7) κασσία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν 8) εὔφρανάν σε. ι΄. Θυγατέρες 9) βασιλέων ἐν 10) τιμῇ σου. Ἀντὶ δὲ βάρεων ἐλεφαντίνων, 11) Ἀκύλας καὶ Σύμμαχος, ἀπὸ ναῶν ἐλεφαντίνων εἰρήκασιν. ἱμάτιον δὲ αὐτοῦ τὸ σῶμα καλεῖ, ὥσπερ καὶ ὁ θεῖος ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ καταπέτασμα τοῦτο προσαγορεύει. ἔχοντες γάρ φησι παῤῥησίαν, 12) ἀδελφοὶ, εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι τοῦ 13) Ἰησοῦ ἣν 14) ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος 15) αὐτοῦ, τουτέστι, τῆς σαρκὸς αὐτοῦ. σμύρ-

tiæ præ sociis tuis. Vel secundum Symmachum, *præ amicis tuis.* Socii autem eius, et amici, et fratres, secundum humanitatem sunt, qui crediderunt. Sic et diuinus apostolus ait, a) Participes enim * Christi facti sumus, si tamen initium substantiæ vsque ad finem firmum retineamus. Et rursus, b) Vt sit ipse primogenitus inter multos fratres. Eodem modo sancto Spiritu vnctus est, non vt Deus, sed vt homo. Nam vt Deus Spiritum habet consubstantialem: vt homo autem, veluti quandam vnctionem, cælestis Spiritus dona accipit. Eodem modo etiam dilexit iustitiam, et odit iniquitatem. Nam hæc ad animi electionem pertinent, non ad naturalem potentiam: vt Deus autem, virgam æquitatis et virgam regni habet. 9. *Myrrha, et gutta, et casia a vestimentis tuis, a domibus eburneis, ex quibus delectauerunt te.* 10. *Filiæ regum in honore tuo.* Porro pro *domibus eburneis*, Aquila et Symmachus, *a templis eburneis* dixerunt. *Vestem* autem eius corpus vocat: quemadmodum et diuinus apostolus in epistola ad Hebræos velamen hoc nuncupat. Habentes enim, ait, c) fiduciam, fratres, in introitu sanctorum in sanguine Christi, quam initiauit nobis viam nouam, et viuentem per velamen eius, id est, carnem suam. *Myr-*

1) ἢ. Abest a Cod. 2. 2) πιστεύσαντες. Cod. 2. addit εἰς αὐτόν. 3) γάρ. Abest a Cod. 1. 4) ἀπαρχήν. Cod. 2. ἀρχὴν, quæ est rec. lectio l. c. 5) χρίσμα. Cod. 2. præm. καί. 6) Cod. 1. προαιρέσεως. 7) Cod. 2. κασία. 8) Rec. lectio est ηὔφραναν. 9) Cod. 2. βασιλέως. 10) τιμῇ. Cod. 2. præm. τῇ. 11) Ἀκύλας: EVSEB. et MONTF. in Hexapl. ad h. l. *Aquilæ* tribuunt versionem ἀπὸ ναῶν ὀδόντος. 12) ἀδελφοί. Cod. 2. ἀγαπητοί, præm. voci παῤῥησίαν. Rec. lectio l. c. est ἀδελφοί. 13) Ἰησοῦ. Cod. 1. υἱοῦ. 14) ἐνεκαίνισεν. Cod. 1. ἐκαίνισεν. 15) αὐτοῦ. Abest a l. c. et a Cod. 2.

a) Hebr. 3, 14. b) Rom. 8, 29. c) Hebr. 10, 19 20.

rbam vero dicit passionem: hæc enim mortuis potissimum applicatur. *Guttam* autem et *casiam*, suauem odorem, qui e passione emanat. *Domos eburneas*, vel secundum Symmachum et Aquilam *templa eburnea*, pulcherrimas et splendidas ecclesias, quas principes et reges vbique per terram et mare erexerunt. Prædicit igitur, passionem circa corpus futuram, et odoris suauitate totum orbem impleturam: adeo vt, populi, qui olim errabant, templa ipsi erigant pulcherrime elaborata, et regio ornatu micantia. Postquam autem de ecclesiis vaticinatus est, quæ thalamorum et nuptialium cubiculorum loco sunt, merito sponsæ quoque ornamentum exponit, et speciem, et genus, et congruentem admonitionem adhibet. *Adstitit regina a dextris tuis, vestitu deaurato amicta, variegata.* Cum in his magnificentiam ornamenti et eximium eius honorem ostendisset, reginam appellando, eamque a dextra tanti regis collocando, instituit et admonet ea quæ vtilia sunt. 11. *Audi filia, et vide, et inclina aurem tuam, et obliuiscere populi tui, et domus patris tui.* * Porro hæc nequaquam Iudæis congruunt, qui ob maiorum pietatem efferuntur, propter quos diutissime a diuina prouidentia protecti sunt. Nam Iudæos iubet parentum pietatem sequi, hortaturque ne maiorum obliuiscantur: gentium autem ecclesia parentes et maiores idolis

γαν δὲ καλεῖ τὸ πάθος· νεκροῖς γὰρ 1) αὕτη διαφερόντως προσφέρεται· στακτὴν δὲ καὶ κασσίαν, τὴν ἀπὸ τοῦ πάθους εὐωδίαν· βάρεις ἐλεφαντίνας, ἢ κατὰ τὸν Σύμμαχον καὶ τὸν Ἀκύλαν, ναοὺς ἐλεφαντίνους, τὰς περικαλλεῖς καὶ λαμπρὰς ἐκκλησίας, ἃς ἄρχοντες καὶ βασιλεῖς πανταχοῦ γῆς καὶ θαλάσσης ἐδείμαντο. προλέγει τοίνυν, ὅτι τὸ μὲν πάθος κατὰ τὸ σῶμα 2) γενήσεται, εὐωδίας δὲ πᾶσαν τὴν οἰκουμένην 3) ἐμπλήσει, ὡς τοὺς πάλαι πλανωμένους λαοὺς, 4) ἐγεῖραι αὐτῷ εἰς κάλλος ἐξησκημένους ναοὺς, καὶ βασιλικῷ διαλάμποντας κόσμῳ. τῶν δὲ ἐκκλησιῶν τὴν πρόῤῥησιν ποιησάμενος, αἳ παστάδων καὶ νυμφώνων ἐπέχουσι τάξιν, εἰκότως καὶ τῆς νύμφης προαγορεύει τὸν κόσμον, καὶ τὴν ὥραν, καὶ τὸ γένος, καὶ τὴν ἁρμόττουσαν αὐτῇ προσφέρει παραίνεσιν. παρέστη 5) βασίλισσα ἐκ δεξιῶν σου, 6) ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. διὰ τούτων καὶ τοῦ κόσμου τὴν πολυτέλειαν καὶ τὴν ἄκραν αὐτῆς ὑποδείξας τιμὴν, τῷ τε βασιλίδα καλέσαι, καὶ τῷ στῆναι 7) τοῦ τοσούτου βασιλέως ἐκ δεξιῶν, εἰσηγεῖται καὶ παραινεῖ τὰ συμφέροντα. ια'. Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου· καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. Ταῦτα δὲ οὐδαμῶς Ἰουδαίοις ἁρμόττει ἐπ' εὐσεβείᾳ προγόνων σεμνυνομένοις, δι' 8) οὓς καὶ ἐπὶ πλεῖστον τῆς θείας κηδεμονίας ἀπέλαυσαν. Ἰουδαίοις γὰρ τῇ τῶν πατέρων ἀκολουθεῖν εὐσεβείᾳ κελεύει, οὐκ ἐπιλανθάνεσθαι τῶν πατέρων παρεγγυᾷ. ἡ δὲ ἐξ ἐθνῶν ἐκκλησία, πατέρας ἔχε καὶ προγόνους εἰδώλοις δεδου-

1) Cod. 2. αὐτή. 2) Cod. 1. 2. γεγένηται. 3) ἐμπλήσει. Cod. 2. πληρώσει. 4) ἐγεῖραι. Cod. 1. 2. præm. ναοὺς, quod deinde omissum post ἐξησκημένους. 5) βασίλισσα. Cod. 1. 2. præm. ἡ. 6) ἱματισμῷ. Cod. 1. 2. præm. ἐν. 7) τοῦ. Abest a Cod. 2. 8) οὕς. Cod. 2. ἧς, omisso sequente καί.

δεδουλευκότας. 1) ταύτην τοιγαροῦν συμβουλεύει μηδὲν τῶν 2) πατρῴων ἐθῶν 3) ἐν τῇ μνήμῃ καταλιπεῖν. καὶ θυγατέρα δὲ αὐτὴν ὀνομάζει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς τὴν πνευματικὴν ἀναγέννησιν δεξαμένην. ὑπισχνεῖται δὲ αὐτῇ φυλαττούσῃ τὰς ὑποθήκας τοῦ βασιλέως τὸν ἔρωτα. ιβ΄. 4) Καὶ 5) ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. Εἶτα καὶ τὴν αὐτῆς φύσιν, καὶ 6) τὴν τοῦ βασιλέως ἀξίαν διδάσκει. Ὅτι αὐτός ἐστι Κύριός σου, 7) καὶ προσκυνήσεις αὐτῷ. ιγ΄. Καὶ θυγάτηρ Τύρου ἐν δώροις. Οἱ μὲν οὖν ἄλλοι τρεῖς ἑρμηνευταὶ, αὐτὴν ἐκέλευσαν ποιήσασθαι τὴν προσκύνησιν. καὶ ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν· καὶ προσκύνησον αὐτῷ. ὁ δὲ Σύμμαχος· αὐτὸς γὰρ Κύριός σου, καὶ 8) προσκύνει 9) αὐτόν. οἱ δὲ ἑβδομήκοντα τὴν βασιλίδα διδάσκουσιν, ὅτι οὐκ 10) αὐτῆς ἐστι μόνος Κύριος ὁ νυμφίος, ἀλλὰ καὶ τῶν ἔτι ἀντιλέγειν τολμώντων· ὡς καὶ τῆς Τύρου τὰς θυγατέρας δῶρα προσοῖσαι, καὶ τὴν δουλείαν 11) δηλῶσαι. διὰ τούτων δὲ πᾶσαν ᾐνίξατο τὴν ἀσέβειαν. σύνηθες γὰρ τῇ 12) γραφῇ, τὸ πᾶν ἀπὸ μέρους δηλοῦν. 13) οὕτως ἀλλαχοῦ διὰ τοῦ Λιβάνου πᾶσαν τῆς δεισιδαιμονίας τὴν παῦλαν προαγορεύει. ὁ γὰρ Λίβανός φησι σὺν τοῖς ὑψηλοῖς πεσεῖται. ἐν δὲ τοῖς ἑξῆς, καὶ πλειόνων μέμνηται. τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ 14) αὐτοῦ. πρόσωπον δὲ τῆς 15) ἐκκλησίας κυρίως μὲν

seruientes habuit. Idcirco huic suadet, ne vllum vestigium paternæ consuetudinis in memoria relinquat: et filiam ipsam nominat Spiritus sanctus, eo quod spiritualem regenerationem acceperit. Promittit autem ipsi mandata custodienti regis amorem. Sic enim ait: 12. *Et concupiscet rex decorem tuum.* Deinde et eius naturam, et regis dignitatem edocet. *Quoniam ipse est Dominus Deus tuus, et adorabis eum.* 13. *Et filia Tyri cum muneribus.* Alii quidem tres interpretes iubent vt ipsa filia adoret. Aquila sane et Theodotio sic ediderunt, *Et adorato ipsum:* Symmachus vero sic, *Ipse enim Dominus tuus, et adora ipsum.* Septuaginta autem docent reginam, non ipsius solum Dominum esse sponsum, sed etiam eorum qui adhuc contradicere audent: sic vt filiæ quoque Tyri dona offerant et seruitutem ostendant. Per has autem vniversam innuit impietatem. Mos enim est scripturæ sacræ a parte totum demonstrare. Sic alibi per Libanum omnem superstitionis cessationem prædicit. Nam Libanus, inquit, cum excelsis cadet. Porro in sequentibus de pluribus mentionem facit. *Vultum tuum deprecabuntur diuites plebis.* Vultus autem ecclesiæ proprie quidem ipse

1) Cod. 1. ταύτῃ. 2) Cod. 2. πατέρων. 3) ἐν. Abest a Cod. 1. 4) Καὶ ἐπιθυμήσει. Cod. vatic. ὅτι ἐπεθύμησεν. 5) ἐπιθυμήσει. Cod. 1. addit γάρ φησι. 6) τήν. In Cod. 1. 2. ponitur ante ἀξίαν. 7) καὶ — δώροις. Propius ad hebr. veritatem accedit hæc lectio, quam recepta, καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις. 8) Cod. 2. προσκυνήσεις. MONTF. in Hexaplis ad h. l. habet προσκύνησον. 9) Cod. 1. 2. αὐτῷ. 10) Cod. 2. αὐτός. 11) Cod. 2. δουλῶσαι. 12) γραφῇ. Cod. 1. 2. præm. θείᾳ. 13) οὕτως — μέμνηται. Def. apud CORD. p. 854. 14) αὐτοῦ. Abest a Cod. 1. Cod. 2. autem habet σου. Cod. vat. τῆς γῆς. 15) ἐκκλησίας. In Cod. 2. sequitur ὁ Χριστὸς addito Colo.

ipse Dominus est. Est enim caput corporis: Ipsum enim, ait, a) constituit caput super omnia ecclesiæ. Deinde sacerdotum etiam ordo veluti quædam facies est ecclesiæ, tanquam maiori spirituali dignitate exornatus. Ceterum prophetiæ huius euentum licet intueri: quandoquidem homines diuitiis affluentes, et maximarum dignitatum splendore illustres, honorant ecclesiæ faciem quæ dicitur. Quoniam autem dixit reginam vestitu deaurato indutam esse, vilitas autem vestimentorum decorat virtutis athletas, et ideo huiusmodi vestibus vtuntur; ornatus pompam interpretatur. 14. *Omnis gloria filiæ regis intus, in fimbriis aureis.* 15. *Amicta, variegata.* Intus, inquit, habet virtutis decorem, et variis Spiritus sancti gratiis effulget. Quoniam enim diuersæ sunt diuini Spiritus operationes: b) (nam diuersa quidem sunt donorum gratiæ genera, sed idem est spiritus, et huic quidem per spiritum datus sermo sapientiæ, alii autem scientiæ secundum eundem spiritum, alii vero data est fides in eodem spiritu, alii prophetia, alii

1) αὐτὸς ὁ Δεσπότης· 2) κεφαλὴ γάρ ἐστι τοῦ σώματος. αὐτὸν γάρ φησιν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ. ἔπειτα δὲ καὶ τὸ ἱερατικὸν τάγμα, οἷον τι πρόσωπον ὑπάρχει τῆς ἐκκλησίας, ἅτε δὴ πλείονα 3) πνευματικὴν περιβεβλημένον ἀξίαν. 4) ἔστι δὲ ἰδεῖν καὶ τήνδε τὴν προφητείαν δεξαμένην τὸ πέρας. οἱ γὰρ πλούτῳ κομῶντες, καὶ τῶν μεγίστων ἀξιωμάτων τὴν περιφάνειαν ἔχοντες, τὸ καλούμενον τῆς ἐκκλησίας γεραίρουσι πρόσωπον. 5) ἐπειδὰν δὲ ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλῆσθαι ἔφη τὴν βασιλίδα· εὐτέλεια δὲ περιβολαίων 6) κοσμεῖ τοὺς τῆς ἀρετῆς ἀθλητάς· διὸ δὴ καὶ 7) τοιούτοις κεχρημένοι διατελοῦσιν, 8) ἑρμηνεύει τοῦ κόσμου τὴν πολυτέλειαν. ιδʹ. Πᾶσα ἡ δόξα 9) τῆς θυγατρὸς τοῦ βασιλέως 10) ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς. ιεʹ. Περιβεβλημένη, πεποικιλμένη. Ἔνδοθεν ἔχει, φησὶ, τῆς ἀρετῆς τὴν εὐπρέπειαν, καὶ τοῖς παντοδαποῖς τοῦ 11) ἁγίου πνεύματος διαλάμπει χαρίσμασιν. 12) ἐπειδὴ γὰρ διάφοροι τοῦ θείου πνεύματος αἱ ἐνέργειαι, 13) διαιρέσεις γὰρ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ ᾧ μὲν διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ 14) γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ 15) πνεύματι· ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ

1) αὐτὸς ὁ. Cod. 2. ὁ αὐτός. 2) κεφαλὴ — ἐκκλησίᾳ. Des. apud CORD. p. 854. 3) πνευματικήν. Abest a Cod. 2. 4) ἔστι — πέρας. Hæc, et quæ deinde sequuntur, ἐπειδὰν — πολυτέλειαν, des. apud CORD. l. c. 5) Cod. 1. ἐπεί. Cod. 2. ἐπειδή. 6) Cod. 1. κοσμεῖται. 7) Cod. 2. τούτοις. 8) ἑρμηνεύει. Cod. 2. præm. εἶτα. 9) τῆς. Cod. *vatic.* αὐτῆς, literam enim vltimam vocis כבודה nonnulli Suffixum femin. esse putarunt. 10) ἔσωθεν. Præferenda est hæc lectio Cod. *alex.* illi quam habet *vatic.* Ἐσεβών. 11) ἁγίου. Cod. 1. παναγίου. 12) ἐπειδὴ — γλωσσῶν. Des. apud CORD. p. 854. vbi hæc adhuc ad vers. 11. relata sunt. 13) διαιρέσεις — γένη γλωσσῶν. Hæc quasi Epitomen exhibent eorum quæ 1 Cor. 12, 4—10. pluribus exponuntur. 14) γνώσεως. Cod. 1. 2. præm. λόγος. 15) πνεύματι. Cod. 1. 2. addunt, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι. Hæc ob ὁμοιοτέλευτα excidisse videntur, et ad v. 9. l. c. pertinent.

a) Eph. 1, 22. b) 1 Cor. 12, 4. sqq.

δὲ γένη γλωσσῶν· ἐκ πολλῶν δὲ πνευματικῶν ἀνθρώπων δεξαμένων διάφορα χαρίσματα ἡ ἐκκλησία συνέστηκεν· εἰκότως κροσσοῖς ἀπείκασε χρυσοῖς τὴν τῶν χαρισμάτων διαίρεσιν. διῄρηνται γὰρ ἀπ' ἀλλήλων οἱ κροσσοὶ, καὶ πάλιν ἥνωνται, ὡς τῆς αὐτῆς ἐξηρτημένοι στολῆς. 1) Ἀπενεχθήσονται 2) παρθένοι τῷ βασιλεῖ ὀπίσω αὐτῆς, 3) αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. ιε'. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς ναὸν βασιλέως. Ἐπειδὴ γὰρ οὐχ ἅπαντες τὴν ἄκραν ἔχουσι τελειότητα, τοὺς μὲν καλεῖ νύμφην, ὡς τελείους ἐν ἀρετῇ, τοὺς δὲ παρθένους, ὡς ἀκήρατον φυλάξαντας ἣν παρέλαβον πίστιν. λέγει δὲ ὅμως καὶ ταύτας ἀκολούθους εἶναι τῆς βασιλίδος, καὶ εἰς τὸν βασιλικὸν σὺν αὐτῇ 4) εἰσιέναι νεών. ταύτην ἡμᾶς τὴν διαφορὰν 5) ὁ Κύριος ἐν τοῖς 6) ἱεροῖς εὐαγγελίοις ἐδίδαξε, φήσας· πολλαὶ μοναὶ παρὰ τῷ πατρί μου. 7) συνῳδὰ καὶ ὁ 8) μακάριος ἔφη Παῦλος, ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' 9) ἀνθρώπου ἀνάστασις νεκρῶν. 10) ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. ιζ'. Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν 11) οἱ υἱοί σου, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. Εἰπάτωσαν Ἰουδαῖοι, τίνας ἔχον υἱοὺς πάσης ἄρξαντας τῆς οἰκουμένης. 12) ἀλλ' οὐκ ἂν 13) δείξαντο. οὔτε γὰρ ἦρξαν, οὔτε ἄρχουσιν, ἀλλὰ τὴν

genera linguarum:) ex multis autem hominibus, qui varia spiritus dona acceperunt, ecclesia conflata est: merito fimbriis aureis comparat gratiarum diuisionem. Fimbriae enim a se inuicem diuisae sunt, et rursus coniunguntur, quippe quae ex eadem stola dependent. *Adducentur regi virgines post eam, proximae eius afferentur tibi.* 16. *Afferentur in laetitia et exsultatione, adducentur in templum regis.* Quoniam enim non omnes summam habent perfectionem, alios quidem vocat *sponsam*, vt virtute perfectos, alios vero vocat *virgines*, vt fidem quam acceperunt sinceram conseruantes. Dicit tamen etiam has pedissequas esse reginae, atque in regium templum simul cum ipsa ingredi. Hanc nos differentiam docuit Christus in sacris euangeliis dicens, a) Multae mansiones apud patrem meum. His similia dixit etiam beatus Paulus, b) Quoniam enim per hominem mors, per hominem etiam resurrectio mortuorum: sicvt enim in Adamo omnes moriuntur, sic et in Christo omnes reuiviscent, vnusquisque autem in suo ordine. 17. *Pro patribus tuis nati sunt tibi filii, constitues eos principes super omnem terram.* Dicant Iudaei, quosnam habuerint filios, qui toti terrarum orbi imperarint? Certe hoc ostendere non possunt: neque enim imperarunt, neque imperant, sed

 extre-

1) Cod. 2. ἐπενεχθήσονται. 2) παρθένοι. In Cod. 1. 2. ponitur post βασιλεῖ, quae est recepta lectio h. l. 3) αἱ πλησίον αὐτῆς. Anonymus apud MONTF. et DRVS. ad h. l. habet αἱ φίλαι αὐτῆς. 4) Cod. 2. συνιέναι. 5) ὁ. Cod. 1. 2. praem. καί. 6) ἱεροῖς. Abest a Cod. 1. 7) συνῳδὰ — τάγματι. Def. apud CORD. p. 856. 8) μακάριος. Cod. 2. θεῖος. 9) Cod. 1. ἄνθρωπον. 10) ὥσπερ — ζωοποιηθήσονται. Cod. 2. καὶ κατωτέρω. 11) οἱ υἱοί σου. Cod. vatic. σοι υἱοί. CHRYS. ad h. l. ἔσονταί σοι υἱοί σου. 12) ἀλλ' — ἄρχουσιν. Def. apud CORD. l. c. 13) Cod. 1. 2. δείξαιεν.

a) Ioh. 14, 2. b) 1 Cor. 15, 21 - 23.

extremam seruitutem seruiunt. Diuini autem apostoli, cum patres habuerint patriarchas, terra marique etiam post mortem dominantur, velut quidam præfecti et magistri militum a Christo omnium rege constituti. Et qui post illos secuti sunt, quos qui ecclesiæ filios nominarit non errabit, triumphatores inquam martyres, præpositi sunt, vt idem imperium * gerant, et omnes nunc habent subditos, hos quidem amore vltro hoc facientes, illos vero timore coactos.
18. *Memor ero nominis tui in omni generatione, et generatione.* 19. *Propterea populi confitebuntur tibi in sæculum sæculi.* Hæc vaticinando prædicit Psalmista, et pollicetur, se in vnaquaque generatione per homines pios, qui quocunque tempore erunt, diuinum nomen esse celebraturum. Sic enim etiam tres interpretes ediderunt, *Cantabo nomen tuum per singulas generationes, propterea populi celebrabunt te in sæculum semper.* Vtentes enim carminibus a me compositis omnes populi qui vbique terrarum habitant, et per hæc carmina salutem ipsis concessam multo ante prædictam discentes, te beneficii auctorem, et bonorum largitorem celebrare non desinent.

ἐχάτην δȣλείαν 1) δȣλεύȣσιν. οἱ δὲ θεῖοι ἀπόστολοι, πατέρας ἐχηκότες τȣ̀ς πατριάρχας, γῆς καὶ θαλάτ]ης καὶ μετὰ θάνατον ἄρχȣσιν, 2) οἷόν τινες ὕπαρχοι, καὶ στρατηγοὶ, καταστάντες ὑπὸ τȣ̃ παμβασιλέως Χριστȣ̃· καὶ οἱ μετ' ἐκείνȣς δὲ, ȣ̂ς ȣ̓κ ἄν τις ἁμάρτοι καλέσας τῆς ἐκκλησίας υἱȣ̀ς, οἱ νικηφόροι φημὶ μάρτυρες τὴν αὐτὴν ἐτάχθησαν διέπειν ἀρχὴν, καὶ πάντας ἔχȣσι 3) νῦν ὑπηκόους· τȣ̀ς μὲν πόθῳ τοῦτο ποιεῖν αἱρουμένους, τȣ̀ς δὲ τῷ φόβῳ βιαζομένους. ιη΄. 4) Μνησθήσομαι 5) ὀνόματός 6) σου ἐν πάσῃ γενεᾷ, καὶ γενεᾷ. ιθ΄. Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν 7) αἰῶνα τȣ̃ αἰῶνος. Ταῦτα προθεσπίσας ὁ ψαλμῳδὸς, ἐν ἑκάστῃ γενεᾷ διὰ τῶν κατὰ καιρὸν εὐσεβῶν τὸ ὄνομα τὸ θεῖον ἀνυμνεῖν ὑπισχνεῖται. ȣ̂τω γὰρ καὶ οἱ τρεῖς ἐξέδωκαν· 8) ἀνυμνήσω τὸ ὄνομά σου καθ' ἑκάστην γενεὰν, διὰ τȣ̂το λαοὶ ὑμνήσουσί σε εἰς 9) αἰῶνα διηνεκῶς. τῇ γὰρ ὑπ' ἐμȣ̃ συγγραφείσῃ χρώμενοι μελῳδίᾳ πάντες οἱ κατὰ τὴν οἰκουμένην λαοὶ, καὶ διὰ ταύτης τὴν παρασχεθεῖσαν αὐτοῖς 10) σωτηρίαν ἄνωθεν προῤῥηθεῖσαν μανθάνοντες, σὲ τὸν εὐεργέτην, καὶ χορηγὸν τῶν ἀγαθῶν, ἀνυμνȣ̃ντες 11) διατελέσουσι.

INTERP. PS. XLV.

1. *In finem. Pro filiis Core, pro occultis.* Quæ

ΕΡΜΗΝ. ΤΟΥ με΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορὲ, 12) ὑπὲρ τῶν κρυφίων. 13) Τὰ μετὰ

1) Cod. 1. δȣλεύσȣσιν. 2) οἷόν — βιαζομένȣς. Apud CORD. l. c. hæc pauca tantum leg. καὶ μετ' ἐκείνȣς οἱ θεῖοι μάρτυρες. 3) νῦν. Abest a Cod. 2. 4) Μνησθήσομαι. Rec. lectio h. l. est μνησθήσονται, sed singularem numerum, quem etiam ed. *ald*, et *complut*. exprimunt, postulat Textus hebr. 5) ὀνόματος. Cod. 1. 2. præm. τȣ̃. 6) σȣ̃. Abest a Cod. 1. 7) αἰῶνα. Cod. 2. addit καὶ εἰς τὸν αἰῶνα, secundum rec. lectionem τῶν ό. 8) Cod. 1. ἀναμνήσω. Sicque MONTF. in Hexaplis ad h. l. lectionem trium istorum Interpretum exhibet. 9) αἰῶνα. Cod. 1. præm. τόν. 10) σωτηρίαν. In Cod. 1. ponitur post ἄνωθεν. 11) Cod. 2. διατελȣ̃σι. 12) ὑπὲρ τῶν κρυφίων. Hebr. עַל־עֲלָמוֹת quod *Symm.* offert ὑπὲρ τῶν αἰωνίων. *Aqu.* ὑπὲρ τῶν νεανιοτήτων. 13) Τὰ — διάνοιαν. Def. in Cod. 3.

μετὰ πολλὴν χρόνου περίοδον 1) ἔνθεν ἐσόμενα προαγορεύων προφητικὸς λόγος, πάλιν εἰς τὸ τέλος ἐπέγραψε τὸν ψαλμὸν, ἀναμεῖναι τῆς προφητείας τὸ τέλος παρεγγυῶν. προλέγει δὲ τὰς κατὰ τῆς ἐκκλησίας γεγενημένας ἐπαναστάσεις, καὶ τὴν μετὰ ταῦτα παρασχεθεῖσαν οὐρανόθεν βοήθειαν, καὶ τὴν 2) νῦν πολιτευομένην εἰρήνην. ἰστέον μέν τοι, ὥς τινες εἰς τὸν Γὼγ καὶ Μαγὼγ ὑπέλαβον 3) εἰρῆσθαι τὸν προκείμενον ψαλμόν. τινὲς δὲ εἰς τὸν Ἄχαζ, καὶ τὸν Φακεὲ ἄλλοι δὲ εἰς τὸν Ἐζεκίαν, καὶ τὸν Ἀσσύριον. δείξει δὲ σὺν Θεῷ φάναι ἡ κατὰ μέρος ἑρμηνεία, ὡς οὐδενὶ τῶν εἰρημένων ἁρμόττει ἡ τοῦ ψαλμοῦ διάνοια. β'. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι 4) ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Προθεσπίσας ὁ προτεταγμένος ψαλμὸς περὶ τῆς ἐκ δυσσεβῶν ἐθνῶν συλλεγείσης ἐκκλησίας, καὶ βασιλίδος γεγενημένης, καὶ δείξας τοὺς 5) υἱοὺς αὐτῆς ἄρχοντας πάσης 6) ἀποφανθέντας τῆς γῆς, ὑποδείκνυσιν ἐνταῦθα τοὺς γεγενημένους θορύβους ἐν ἀρχῇ τοῦ κηρύγματος, τῶν ἀντιλεγόντων ἐπανισταμένων, καὶ τοῖς πιστεύουσι πολεμούντων· εἶτα προδιαγράφει τῷ λόγῳ, ὅπως ὁ τῶν διωκομένων χορὸς τῇ εἰς τὸν Θεὸν ἐλπίδι πεφραγμένος, τῶν 7) προσβαλλόντων 8) καταφρονήσει κυμάτων. περίβολον γάρ 9) φησιν ὀχυρὸν ἔχοντες τὸν τῶν ὅλων Θεὸν, τῶν παντοδαπῶν οὐκ αἰσθανόμεθα θλίψεων. γ'. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

post longam temporis seriem futura sunt, vaticinans sermo propheticus, rursus *in finem* inscripsit psalmum, admonens vt prædictionis finis exspectetur. Prædicit autem insultus contra ecclesiam factos, et auxilium e cælo post hæc exhibitum, et pacem, qua nunc fruitur. Sciendum sane est, nonnullos existimasse præsentem psalmum in Gogum et Magogum compositum esse; alios vero in Achasum et Pekam; alios in Ezechiam, et Assyrium. Verum interpretatio singulorum ostendet, Deo duce, sensum psalmi nemini e supradictis conuenire. 2. *Deus noster refugium et virtus, adiutor in tribulationibus, quæ inuenerunt nos, valde.* Postquam prædixit superior psalmus ecclesiam ex impiis gentibus collectam reginam fore, ostenditque eius filios totius orbis principes futuros: declarat hoc loco tumultus, qui in principio prædicationis facti sunt, consurgentibus aduersariis, et fideles impugnantibus. Deinde verbis adumbrat, quo pacto cœtus eorum, qui persecutionem passuri erant, fretus et munitus spe diuina * irruentes procellas despecturus sit. Habentes enim, inquit, pro inexpugnabili vallo Deum omnium conditorem, afflictiones quascumque minime sentimus. 3. *Propterea non timebimus, dum turbabitur terra, et transferentur montes in cor maris.* Simi-

1) ἔνθεν. Abest a Cod. 2. 2) νῦν. Abest a Cod. 1. 3) εἰρῆσθαι. In Cod. 1. 2. ponitur post ψαλμόν. 4) ταῖς εὑρούσαις ἡμᾶς. Præstat *Anonymi* interpretatio εὑρισκόμενος, quam CHRYSOST. ad h. l. attulit. Alius habet εὑρέθη. 5) υἱούς. Abest a Cod. 3. 6) ἀποφανθέντας. In Cod. 3. ponitur post τῆς γῆς. 7) Cod. 2. προβαλλόντων. 8) Cod. 3. καταφρονεῖ. 9) φησίν. Abest a Cod. 1.

Similia quædam et diuinus prædixit Esaias: a) *Omnis vallis implebitur, et omnis mons et collis humiliabitur, et redigentur obliqua in rectum, et aspera in vias planas.* Et *vallem* quidem vocat cauas et humiles gentes altitudine carentes, quas sermone doctrinæ implendas esse vaticinatus est. *Montes* vero et *colles*, nominauit dæmonum delubra: et illorum varias fallacesque artes deprimendas et ad nihilum redigendas prædixit. Quapropter etiam hic propheticus sermo eos, qui saluatori crediderint, vociferantes inducit, quasi dicerent, nullam timoris tempestatem animo admissuri sumus, cum viderimus terram turbari, et in abyssum dæmones expelli, conantes perturbare homines ab ipsis vexatos. Prædicit autem eadem opera propheticus sermo, impietatem immundorum spirituum, quæ antiquitus dominabatur, vanam fore, tanquam ad quandam abyssum demersam, licet prius celsitudini montium æquata fuerit, et plurimum roboris per orbem terrarum obtinuerit. 4. *Sonuerunt et turbatæ sunt aquæ eorum: conturbati sunt montes fortitudine eius.* Docet autem nos etiam Actuum historia, quemadmodum sacris apostolis terram obeuntibus ciuitates agitatione et tumultu implebantur. Etenim apud Ephesios Demetrius totam vrbem commouit; et hoc idem Ly-

1) Τοιαῦτά τινα καὶ ὁ θεῖος προηγόρευσεν Ἡσαΐας· πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται τὰ σκολιὰ εἰς 2) εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. καὶ φάραγγα μὲν 3) καλεῖ τὰ κοῖλα καὶ ταπεινὰ ἔθνη, τὰ τοῦ ὕψους ἐστερημένα· ἃ τῷ διδασκαλικῷ πληρωθήσεσθαι προεθέσπισε λόγῳ. ὄρη δὲ καὶ βουνοὺς ὠνόμασε τὰ τῶν δαιμόνων τεμένη· καὶ τὰς παντοδαπὰς ἐκείνων καὶ ἀπατηλὰς ἐνεργείας 4) ταπεινωθήσεσθαι, καὶ 5) ἀφανεῖς ἔσεσθαι παντελῶς προηγόρευσε. τοιγάρτοι κἀνταῦθα ὁ προφητικὸς δείκνυσι λόγος τοὺς τῷ σωτῆρι πεπιστευκότας βοῶντας, ὡς εὐδεμίαν δέους ἐν τῇ ψυχῇ δεξόμεθα ζάλην, τὴν γῆν ὁρῶντες ταραττομένην, καὶ τοὺς 6) ἐξελαυνομένους εἰς τὴν ἄβυσσον δαίμονας, 7) κυκᾷν πειρωμένους τοὺς ὑπ' αὐτῶν ἐνεργουμένους ἀνθρώπους· προλέγει δὲ κατὰ ταὐτὸν ὁ λόγος, ὅτι φροῦδος ἔσται καθάπερ τινὶ παραπεμφθεῖσα βυθῷ ἡ πάλαι 8) κρατήσασα τῶν δαιμόνων ἀσέβεια, ἡ τῶν ὀρῶν μιμουμένη τὸ ὕψος, καὶ τῆς οἰκουμένης ἐπὶ 9) πλεῖον ἐσχηκυῖα τὸ 10) κράτος. δ'. Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν. ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. Διδάσκει δὲ ἡμᾶς καὶ ἡ τῶν πράξεων ἱστορία, ὅπως τῶν ἱερῶν ἀποστόλων τὴν οἰκουμένην περινοστούντων, ζάλης 11) ἐμπίπλαντο καὶ 12) θορύβου αἱ πόλεις. καὶ γὰρ ἐν Ἐφέσῳ Δημήτριος πᾶσαν τὴν πόλιν 13) ἐκύκησεν· καὶ ἐν Λύστροις,

1) Τοιαῦτα — βοῶντας. Des. in Cod. 3. Ad pauca hæc videas reducta apud CORD. T. I. p. 874. 2) Cod. 2. εὐθεῖα. 3) καλεῖ. Abest a Cod. 1. 4) ταπεινωθήσεσθαι. Cod. 1. 2. præm. ὡς. 5) ἀφανεῖς ἔσεσθαι. Cod. 1. ἀφανισθήσεσθαι. 6) Cod. 2. ἐλαυνομένους. 7) κυκᾷν — ἀνθρώπους. Des. in Cod. 3. 8) Cod. 1. κρατοῦσα. 9) Cod. 3. πλεῖστον. 10) κράτος. Quæ in Cod. 3. sequuntur, Εἶτα λέγει ὁ προφητικὸς λόγος κ. λ. eadem sunt cum illis quæ deinde ad vers. 4. leguntur. 11) Cod. 1. ἐνεπίμπλαντο. 12) Cod. 3. θορύβων. 13) ἐκύκησεν. Cod. 2. ἐκίνησεν.

a) Es. 40, 4.

στρας, καὶ Δέρβῃ, ταὐτὸ τοῦτο γεγένηται· καὶ πάλιν ἐν 1) Φιλιππησίοις, καὶ Θεσσαλονίκῃ, καὶ Ἀθήναις, καὶ Κορίνθῳ, τῶν τῆς ἀπάτης πνευμάτων ταῦτα διεγειρόντων τὰ κύματα. ὑπὸ τούτων τινὲς ἐνεργούμενοι κατὰ τῶν ἱερῶν ἐβόων ἀποστόλων, οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισι. ταῦτα καὶ ὁ 2) μακάριος προηγόρευσεν 3) Ἀββακούμ. ἐπεβίβασας γάρ φησιν, εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλά. ἵππους 4) δὴ προσηγόρευσεν, 5) ὡς ὄχημα θεῖον 6) γεγενημένους τοὺς ἱεροὺς ἀποστόλους. ἐπ' αὐτῶν γὰρ 7) ἐποχούμενος ὁ Δεσπότης, τὰ πολλὰ καὶ διάφορα τῆς ἀσεβείας δόγματα, 8) οἷά τινα ὕδατα διεσκέδασε. 9) λέγει τοίνυν κἀνταῦθα ὁ προφητικὸς λόγος, ὡς καὶ τὰ ὕδατα ζάλην 10) ἐδέξατο, καὶ τὰ ὄρη 11) κλόνους ὑπέμεινε, τοῦ εὐαγγελικοῦ διαπορθμευομένου κηρύγματος. ἐνταῦθα δὲ ὄρη τὸ τῶν δαιμόνων προσηγόρευσε στῖφος, διὰ τὸν τῆς ἀλαζονείας ὄγκον, καὶ τοῦ τύφου τὸ ὑψηλόν· ὕδατα δὲ 12) τὰς τῶν ἀνθρώπων γνώμας, τὰς δίκην ὑδάτων τῇδε κἀκεῖσε φερομένας ῥᾳδίως, καὶ ὑπὸ τῶν τῆς ἀπάτης κυκω-

ſtris et Derbæ accidit; et rurſus Philippis, et Theſſalonicæ, et Athenis, et Corinthi hoc euenit, fallacibus ſpiritibus hos fluctus excitantibus. Ab his quidam agitati, contra ſacros apoſtolos clamabant: a) Qui orbem terrarum ſubuerterunt, hi etiam hîc adſunt. Hæc et beatus Habacuc prædixit: Duxiſti, enim inquit, b) in mare equos tuos turbantes aquas multas. Equos autem appellauit ſacros apoſtolos, vt qui diuinum vehiculum facti ſunt. His enim vectus Dominus, multa et varia impietatis dogmata, veluti quasdam aquas diſſipauit. Dicit igitur * etiam hîc prophe- *
ticus ſermo aquas fluctibus agitatas, et *montes* terræ motu concuſſos fuiſſe, cum euangelii prædicatio aduenisſet. Hoc autem in loco *montes* dæmonum agmen nominauit, ob ſuperbiæ faſtum, et inſolentiæ elationem: *aquas* vero, hominum mentes, quæ aquarum more huc et illuc facile feruntur, et a fallacibus ſpiritibus

1) Codd. tres *aug.* Φιλίπποις. 2) μακάριος. Cod. 2. μέγας. 3) Cod. 1. Ἀμβακούμ. 4) δή. Codd. tres *aug.* δέ. 5) ὡς. Abeſt a Codd. *aug.* 6) γεγενημένους. In Cod. 2. ponitur poſt ἀποστόλους. 7) Cod. 3. ὀχούμενος. 8) οἷα — ὕδατα. Deſ. in Cod. 3. 9) λέγει — πνευμάτων. Hæc fere eadem ſunt cum illis quæ EVSEB. ad h. l. habet. Apud Eundem (in MONTF. Coll. noua PP. T. I. p. 193 ſq.) deprehendi locum iſtum ſatis prolixum, qui in Cod. noſtro 3. ſine vlla diſtinctione ſequitur poſt ἐσκέδασε. Prima eius verba, quæ ſtatim ſuſpicionem mouebant, hæc ad alium quendam pertinere, hæc ſunt: νοήσεως δὲ καὶ ἄλλως τὴν σύγχυσιν τῆς γῆς. καὶ τὴν ταραχὴν αὐτῆς, ἀκούων τοῦ σωτῆρος λέγοντος, πῦρ ἦλθον καλεῖν κ. λ. Quæ ſequuntur, eadem ſunt cum iis apud EVSEB. vsque ad verba iſta ἥ τε ἀνατροπὴ τῆς πολυθέου πλάνης. Hæc in Cod. *aug.* excipiunt pauca iſta, quæ quia apud EVSEB. deſiderantur, adponenda eſſe duxi: ταῦτα γὰρ οὐ μόνον τὴν δόξαν τοῦ Σωτῆρος παρίστησιν, ἀλλὰ καὶ τὴν κραταιότητα αὐτοῦ καὶ τὴν ἔνθεον ἰσχύν. „ Hæc enim non modo gloriam Saluatoris ſignificant, ſed etiam fortitudinem eius ac diuinam virtutem. „ 10) Cod. 2. ἐδέξατο. 11) Cod. 3. κλόνον. 12) τάς. In Cod. 3. ponitur poſt τῶν ἀνθρώπων.

a) Act. 17, 6. b) Hab. 3, 15.

tibus commouentur. 5. *Fluminis impetus lætificant ciuitatem Dei.* Fluuium vero euangelicam prædicationem dixit: *ciuitatem*, piorum vitam, quæ fluuii fluxibus irrigatur, vt fructum ferat. Hoc apertius tres interpretes exposuerunt, *Fluuii diuisiones lætificant ciuitatem Dei.* Sicut enim paradisi fons in quatuor flumina diuisus est: sic etiam hic Dei fluuius infinitos habuit et innumerabiles riuos, qui ad omnes hominum gentes peruaserunt. Hic enim cucurrit ad Indos, hic vero ad Hispanos; ille rursus Aegyptum, hic Græciam occupauit; et aliis Iudæam irrigare commissum est, aliis Syriam et Ciliciam, aliis denique aliarum gentium cultura mandata est. Et hoc ipsum beatus prædixit Habacuc. *a)* Fluuiorum enim, inquit, scindetur terra, hoc est, diuidetur per riuos terra, recipiens magni fluminis fluenta. Huius enim diuisiones, *fluuios* nuncupauit. *Sanctificauit tabernaculum suum Altissimus.* Quam vocauit ciuitatem, hanc nominauit *tabernaculum.* *b)* Inhabitabo enim, inquit, in ipsis, et inambulabo, et ero illorum Deus, et ipsi erunt mihi populus, dicit Dominus omnipotens. Eosdem

μένας 1) πνευμάτων. ε΄. 2) Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. 3) Ποταμὸν δὲ ἐνταῦθα τὸ εὐαγγελικὸν προσηγόρευσε κήρυγμα· πόλιν δὲ, τῶν εὐσεβῶν πολίτευμα, 4) τὸ τοῖς τοῦ ποταμοῦ ῥεύμασιν εἰς καρπογονίαν ἀρδόμενον. τοῦτο σαφέστερον οἱ τρεῖς ἡρμηνεύκασιν· τοῦ ποταμοῦ αἱ διαιρέσεις εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. καθάπερ 5) γὰρ ἡ τοῦ παραδείσου πηγὴ εἰς τέσσαρας ποταμοὺς διῃρέθη· οὕτως οὗτος ὁ τοῦ Θεοῦ ποταμὸς μυρίας ἔχει καὶ ἀριθμοῦ κρείττους 6) διώρυγας, εἰς 7) πάντα τῶν ἀνθρώπων τὰ φῦλα 8) διαδραμούσας. ὁ μὲν γὰρ ἔδραμε πρὸς Ἰνδοὺς, ὁ δὲ 9) πρὸς Ἰσπανούς· καὶ ὁ μὲν τὴν Αἴγυπτον, ὁ δὲ τὴν Ἑλλάδα κατέλαβε· καὶ ἑτέροις μὲν τὴν Ἰουδαίαν ἐπιστεύθησαν ἄρδειν, ἕτεροι δὲ Συρίαν καὶ 10) Κιλικίαν, 11) ἄλλοι δὲ ἄλλων ἐθνῶν τὴν γεωργίαν ἐνεχειρίσθησαν. καὶ τοῦτο δέ γε ὁ 12) μακάριος προεθέσπισεν Ἀββακούμ. ποταμῶν γάρ φησι ῥαγήσεται γῆ, ἀντὶ τοῦ, διανεμηθήσεται κατὰ διώρυγας ἡ γῆ, τοῦ μεγάλου ποταμοῦ δεχομένη τὰ ῥεῖθρα. τὰς γὰρ τούτου διαιρέσεις ὠνόμασε ποταμούς. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος. ἣν ἐκάλεσε πόλιν, ταύτην ὠνόμασε σκήνωμα· ἐνοικήσω γάρ 13) φησιν ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοί ἔσονταί μοι λαὸς, 14) λέγει Κύριος παντοκράτωρ. τοὺς αὐτοὺς

1) *πνευμάτων.* In Cod. 3. sequuntur quæ in Textu nostro præc. *Ταῦτα διδάσκει ἡμᾶς κ. λ.* Ita quoque apud EVSEB. ad h. l. 2) *Τοῦ — ὁρμήματα.* Hebr. נהר פלגיו *Ad fluuium quod attinet, riuuli eius* cet. 3) *Ποταμὸν — πόλιν τοῦ Θεοῦ.* Des. in Cod. 3. 4) *τὸ — ὠνόμασε ποταμούς.* Des. apud CORD. p. 877. 5) *γάρ.* Abest a Cod. 3. 6) *διώρυγας.* In Cod. 3. sequ. *ποταμὸν δ᾽ ἐνταῦθα φησὶ τὸ εὐαγγελικὸν κήρυγμα.* 7) *πάντα.* Cod. 3. addit *γάρ.* 8) Cod. 3. *διέδραμεν.* 9) *πρός.* Cod. 2. *εἰς.* 10) *Κιλικίαν.* Cod. 2. *Λυκίαν.* 11) *ἄλλοι.* Cod. 2. præm. *καί.* 12) *μακάριος.* Cod. 2. *μέγας.* 13) *φησίν.* In Cod. 1. ponitur post *ἐν αὐτοῖς.* 14) *λέγει Κύριος παντοκράτωρ.* Hæc e vers. 18. l. c. adduntur.

a) Hab. 3, 9. *b)* 2 Cor. 6, 16.

τοὺς τοίνυν ἔφη καὶ ἄρδεσθαι, καὶ ἁγιάζεσθαι ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ. ϛ΄. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται. Τοῦτο καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὑπέσχετο. ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ ὅπου δύο ἢ τρεῖς εἰσὶ συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ 1) εἰμι ἐν μέσῳ αὐτῶν. Βοηθήσει 2) αὐτῷ ὁ Θεὸς τὸ 3) πρωῒ πρωΐ. ταχεῖαν, φησὶ, καὶ ὀξεῖαν τῇ 4) ἑαυτοῦ πόλει παρέξει βοήθειαν τῶν ὅλων ὁ Κύριος. πρωῒ 5) γὰρ πρωῒ, τὸ ταχὺ καὶ ὀξὺ προσηγόρευσεν. ζ΄. Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ 6) ὁ ὕψιστος, ἐσαλεύθη ἡ γῆ. Τῆς θείας, 7) φησὶ, βοηθείας ἐπιφανείσης, νῶτα ἔδωκαν οἱ πολέμιοι, καὶ αἱ πάλαι τἀναντία φρονοῦσαι βασιλεῖαι, 8) ὑπέκλινον τὸν αὐχένα, καὶ τὸν σωτήριον ζυγὸν ὑπεδέξαντο. τῇ γὰρ ἀληθείᾳ, καὶ τῇ τῶν πραγμάτων μαρτυρίᾳ, καὶ ταῖς παντοδαπαῖς 9) θαυματουργίαις, οἷόν τινι φωνῇ χρησάμενος ὁ Θεὸς, τὸ οἰκεῖον ὕψος τοῖς ἀνθρώποις ὑπέδειξε, καὶ δέους αὐτῶν ἐνέπλησε τὰς ψυχάς. η΄. 10) Κύριος 11) ὁ Θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. 12) Κρείττους τοίνυν τῶν 13) πολεμούντων ἀπεφάνθημεν, ἐπίκουρον ἐσχηκότες τὸν τῶν ἐπουρανίων δυνάμεων Κύριον· ὃς τὸν Ἰακὼβ διωκόμενον ἀμείνω τῶν πολεμούντων ἀπέφηνε, καὶ 14) τῆς Ἡσαῦ καὶ τοῦ Λάβαν ἐπιβουλῆς ἠλευθέρωσε.

igitur ait et irrigari, et sanctos reddi a Deo vniuersorum. 6. *Deus in medio eius, et non commouebitur.* Hoc et Dominus in sacris euangeliis promisit: *a)* Ecce ego vobiscum sum omnibus diebus, vsque ad consummationem saeculi. Et, *b)* Vbi duo vel tres sunt congregati in nomine meo, ibi sum in medio illorum. *Adiuuabit eam Deus mane sub diluculo.* Celerem, ait, et velocem suae ciuitati opem feret vniuersitatis Dominus. Nam *mane sub diluculo*, celeriter et velociter dixit. 7. *Conturbatae sunt gentes, et inclinata sunt regna: dedit vocem suam Altissimus, et mota est terra.* * Cum, ait, diuinum auxilium apparuisset, terga hostes dederunt, et regna, quae olim aduersabantur, ceruices inclinarunt, et salutare iugum susceperunt. Deus enim veritate, rerumque ipsarum testimonio, et omnis generis miraculis, velut quadam voce vtens, propriam altitudinem hominibus ostendit, et timore eorum animos impleuit. 8. *Dominus Deus virtutum nobiscum: auxiliator noster Deus Iacobi.* Superiores igitur inimicis facti sumus, adiutorem habentes caelestium virtutum Dominum, qui Iacobum lacessitum hostibus potentiorem reddidit, atque ab Esaui et Labanis insidiis liberauit.

1) εἰμι. Cod. 2. addit κἀγώ. 2) Cod. 2. αὐτῇ, quae est rec. lectio h. l. 3) πρωΐ. Cod. 1. 2. praem. πρός. Codex *vatic.* habet τῷ προσώπῳ. 4) ἑαυτοῦ. Cod. 2. αὐτοῦ. 5) γὰρ πρωΐ. Des. in Cod. 1. In Cod. 2. legitur tantum γάρ. 6) ὁ ὕψιστος. Abest a Textu hebr. exstat vero in Cod. *alex.* 7) φησί. Abest a Cod. 2. 8) Codd. tres *aug.* ὑπέκλιναν. 9) θαυματουργίαις. Cod. 1. μαρτυρίαις, adscripta tamen lectione altera. 10) Cod. 2. Κύριε. 11) ὁ Θεός. Abest a Cod. 1. 12) Κρείττους — ἠλευθέρωσε. Des. in Cod. 3. 13) Cod. 2. πολεμίων, adscripta vero est lectio altera. 14) τῆς. Cod. 1. 2. addunt τοῦ.

a) Matth. 28, 20. *b)* Ib. 18, 20.

rauit. Iacobi autem non frustra propheticus sermo mentionem fecit: sed quoniam ille primus gentium vocationem prædixit. Non deficiet enim, inquit, a) princeps de Iuda, et dux de femore eius, donec veniat, cui repositum est, et ipse exspectatio gentium. Itaque hîc etiam gentium mutationem vaticinans, merito Deum Iacobi, qui hæc prædixerat, hæc effecisse inquit. 9. *Venite et videte opera Domini, prodigia quæ posuit super terram.* 10. *Cessare faciens bella vsque ad finem terræ: arcum conteret, et confringet arma, et scuta comburet igne.* 11. *Otiamini, et videte, quoniam ego sum Deus: exaltabor in gentibus, et exaltabor in terra.* Hoc igitur meum robur, o homines, et frequentem rerum mutationem cernentes, et e maximis fluctibus secutam tranquillitatem, et belli cessationem, atque pacis donum, discite e rebus ipsis, me vniuersorum Dominum esse, et omnium opificem, non tantum Iudæis, sed etiam gentibus omnibus potentiæ celsitudinem ostendentem. His verbis auditis apostolorum chorus, contra aduersarios exsultans exclamat: 12. *Dominus Deus virtutum nobiscum, auxiliator noster Deus Iacobi.* Dicant igitur, qui referunt psalmum ad Gogum, vel qui hunc Achaso congruere dixe-

θέρωσε. τοῦ δὲ Ἰακὼβ τὴν μνήμην οὐχ ἁπλῶς ὁ προφητικὸς ἐποιήσατο λόγος, ἀλλ' ἐπειδὴ πρῶτος ἐκεῖνος τὴν τῶν ἐθνῶν προεθέσπισε κλῆσιν. οὐκ ἐκλείψει γάρ φησιν ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως 1) ἂν ἔλθη 2) ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν. τῶν ἐθνῶν δὲ κἀνταῦθα τὴν μεταβολὴν 3) προθεσπίζων, εἰκότως τὸν τοῦ Ἰακὼβ τοῦ ταῦτα προειρηκότος Θεὸν ταῦτα ἔφη κατωρθωκέναι. θ'. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ 4) Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς. ι'. Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. τόξον συντρίψει, καὶ 5) συνθλάσει ὅπλον, καὶ 6) θυρεοὺς κατακαύσει ἐν πυρί. ια'. 7) Σχολάζετε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. Ταύτην μου τοίνυν ὁρῶντες, ὦ ἄνθρωποι, τὴν ἰσχὺν, καὶ θεώμενοι τὴν ἀθρόαν τῶν πραγμάτων μεταβολὴν, καὶ τὴν ἀπὸ ζάλης μεγίστης γεγενημένην γαλήνην, καὶ τοῦ πολέμου τὴν παῦλαν, καὶ τῆς εἰρήνης τὸ δῶρον, δι' αὐτῶν μάθετε τῶν πραγμάτων, ὡς ἐγὼ τῶν ὅλων εἰμὶ Θεὸς, καὶ τῶν ἁπάντων δημιουργὸς, οὐκέτι μόνοις Ἰουδαίοις, ἀλλὰ γὰρ καὶ πᾶσιν ἔθνεσι, τὸ τῆς δυνάμεως 8) ὕψος ἐπιδεικνύς. τούτων ὁ ἀποστολικὸς χορὸς ἐπακούσας τῶν λόγων, παιανίζων κατὰ τῶν ἀντιπάλων βοᾷ. ιβ'. Κύριος 9) ὁ Θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν· ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. 10) Εἰπάτωσαν τοίνυν οἱ τὸν ψαλμὸν εἰς τὸν Γὼγ εἰληφότες, ἢ οἱ τῷ Ἄχαζ 11) τοῦτον 12) ἁρμόττειν εἰρηκότες,

1) ἄν. Cod. 2. οὖν. 2) ᾧ. Cod. 2. ὅ. Vid. supra p. 113. n. 6. 3) Cod. 3. προθεσπίζει. 4) Θεοῦ. Cod. vatic. Κυρίου. 5) Rec. lectio h. l. est συγκλάσει. 6) θυρεούς. Hebr. עגלות quod alii rectius expr. ἅρματα vel ἁμάξας. 7) Rec. lectio est σχολάσατε. 8) ὕψος. Abest a Cod. 1. Cod. 2. habet κράτος. 9) ὁ Θεός. Abest a Cod. 1.2. 10) Εἰπάτωσαν — δειμαίνουσαι. Des. apud CORD. p. 880. 11) τοῦτον. Abest a Cod. 2. 12) Cod. 1. ἁρμόζειν.

a) Gen. 49.

κότες, πῶς ἐκείναις ἁρμόττει ταῖς ἱστορίαις τὸ ἀντανταιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. οὐ γὰρ δὴ ἐπ' ἐκείνων πάντας ἔπαυσε τοὺς πολέμους, ἀλλ' ἐπὶ μὲν τοῦ Γὼγ καὶ Μαγὼγ, ἡ Παλαιστίνη μόνη εἰρήνης ἀπήλαυσεν. ἐπὶ δὲ τοῦ Ἄχαζ οὐδὲ πᾶσα ἡ Παλαιστίνη, 1) ἀλλ' Ἰούδα 2) μία φυλή. Φακεὲ γὰρ ὁ τοῦ Ῥωμελίου τὴν τῶν Ἀσσυρίων ἐδέξατο προσβολήν. ἐπὶ δὲ τοῦ δεσπότου Χριστοῦ ἔσχε τὸ πέρας ἡ προφητεία. πρῶτον μὲν γὰρ αἱ τοπαρχίαι, καὶ αἱ μερικαὶ κατελύθησαν βασιλεῖαι· δι' ἃς οὐδὲ βραχείας εἰρήνης ἀπήλαυσαν 3) ἄνθρωποι, ἀλλὰ πᾶσα πόλις ἔνοπλος ἦν, τὰς ἐξαπιναίως γινομένας ἐφόδους δειμαίνουσαι. 4) ἐπὶ δὲ τοῦ σωτῆρος ἡμῶν 5) Χριστοῦ, ἡ Ῥωμαίων βασιλεία, τὰς μερικὰς καταλύσασα βασιλείας, 6) τὰς τῶν ἁπάντων ἀνθρώπων ἀκοὰς ηὐτρέπισε τοῖς κηρύττουσιν. ἀδεῶς γὰρ, ὡς ἐν μιᾷ βασιλείᾳ διέδραμον, καὶ τὴν σωτήριον διδασκαλίαν τοῖς ἀνθρώποις προσήνεγκαν. κατὰ 7) μὲν τὴν ἱστορίαν οὕτω 8) συμβέβηκε τὸ, ἀντανταιρῶν πολεμίους μέχρι τῶν περάτων τῆς γῆς, καὶ τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. 9) τροπικώτερον δὲ εἴ τις ἐθέλοι νοῆσαι, ὄψεται τοῦ κατὰ τῆς ἐκκλησίας πολέμου τὴν παῦλαν, καὶ τὴν παραχεθεῖσαν 10) αὐτοῖς θεόθεν εἰρήνην, καὶ 11) θεωρήσει τὴν τῆς προφητείας ἀλήθειαν.

runt, quomodo illis historiis hæc quadrent, *Cessare faciens bella vsque ad finem terræ.* Non enim eorum * tempestate omnia bella sedauit, sed temporibus Gogi et Magogi sola Palæstina pace potita est. Sub Achaso vero nec tota Palæstina, sed sola tribus Iuda: nam Pekah filius Romeliæ Assyriorum impetum passus est. Tempore autem Domini Christi vaticinatio euentum habuit. Primum quidem toparchiæ, et particularia regna euersa fuerunt, ob quæ homines nec modica quidem pace fruebantur, verum omnis ciuitas in armis erat pertimescens incursiones repentinas. Ceterum tempore Saluatoris nostri Christi, Romanorum Imperium cum singula regna subuertisset, omnium hominum aures euangelii præconibus aptauit. Securi enim velut in vnico regno excurrerunt, salutaremque doctrinam hominibus attulerunt. Ac secundum historiam quidem sic illud accidit, *Cessare faciens bella vsque ad finem terræ, et arcum conteret, et confringet arma, et scuta comburet igne.* Si quis vero per figuram hæc intelligere velit, videbit belli contra ecclesiam cessationem, pacemque hominibus a Deo præstitam, et prophetiæ euentum contemplabitur.

1) ἀλλ'. Cod. 1. 2. addunt ἡ. 2) μία. Abest a Cod. 1. 2. 3) ἄνθρωποι. Cod. 1. 2. præm. οἱ. 4) ἐπὶ — προφητείας ἀλήθειαν. Horum Epitomen vid. apud CORD. p. 880. 5) Χριστοῦ. Cod. 1. 2. præm. Ἰησοῦ. 6) τὰς τῶν. In Cod. 1. omissum τῶν, in Cod. 2. τάς. 7) μὲν. Cod. 1. 2. addit οὖν. 8) συμβέβηκε. Cod. 1. 2. ἐκβέβηκε. 9) τροπικώτερον. Cod. 2. καθολικώτερον. 10) Cod. 1. αὐτῇ. Cod. 2. αὐτήν. 11) Cod. 1. θεωροίη. Cod. 2. θεωρεῖται.

INTERP. PS. XLVI.

1. *In finem. Pro filiis Core.* Hic etiam psalmus omnium gentium salutem prædicit, atque contra hostes victoriam vaticinatur. 2. *Omnes gentes plaudite manibus, iubilate Deo voce exsultationis.* 3. *Quoniam Dominus excelsus, terribilis, rex magnus super omnem terram.* Propheticus quidem sermo hæc prædixit: tacite vero apostolorum chorum ostendit, qui omnes gentes ad hymnos canendos adhortatur. Proprius autem victoriæ est plausus, et iubilus vincentium est vox. Sensus igitur huius psalmi superiori congruit. Ille enim post tempestatem et tumultus significatam pacem prædixit. Et hic similiter eos, qui victoriam consecuti sunt, vt hymnum victoriæ largitori offerant cohortatur: quandoquidem, inquit, excelsus, et terribilis rex omnibus vobis demonstratus est. Et hæc quidem Iudæis tantum olim nota erant, in præsentia vero toti hominum naturæ propalata sunt. * 4. *Subiecit populos nobis, et gentes sub pedibus nostris.* 5. *Elegit nobis hereditatem suam, speciem Iacobi, quam dilexit.* Pro *populis*, Symmachus *reges* dixit: et pro *specie Iacobi*, Aquila *elationem Iacobi.* Apostolorum igitur chorus dicit, par

ΕΡΜΗΝ. ΤΟΥ μϛ΄ ΨΑΛΜΟΥ.

α΄. 1) Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορέ. Καὶ οὗτος ὁ ψαλμὸς τῶν ἐθνῶν ἁπάντων προλέγει τὴν σωτηρίαν, καὶ τὴν κατὰ τῶν πολεμίων νίκην προαγορεύει. β΄. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ, ἐν φωνῇ ἀγαλλιάσεως. γ΄. Ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὁ μὲν προφητικὸς ταῦτα προηγόρευσε λόγος· τὸν δὲ ἀποστολικὸν ὑποδείκνυσι χορὸν, ἅπαντα τὰ ἔθνη εἰς ὑμνῳδίαν προτρέποντα. νίκης δὲ ἴδιος ὁ κρότος· καὶ ὁ ἀλαλαγμὸς, νικώντων φωνή. ἕπεται τοίνυν τῷ προτεταγμένῳ τοῦδε τοῦ ψαλμοῦ ἡ διάνοια. καὶ γὰρ ἐκεῖνος, μετὰ τὴν ζάλην καὶ τοὺς θορύβους, τὴν 2) μηνυομένην προηγόρευσε νίκην. καὶ οὗτος ὡσαύτως τοῖς τετυχηκόσι τῆς νίκης παρεγγυᾷ τῷ χορηγῷ τῆς νίκης τὸν ὕμνον προσενεγκεῖν. ὕψιστος γάρ φησι, καὶ φοβερὸς βασιλεὺς πᾶσιν ὑμῖν ἀπεδείχθη. καὶ ταῦτα μὲν πάλαι γνώριμα μόνοις 3) ἦν Ἰουδαίοις· ἐπὶ δὲ τοῦ παρόντος, καὶ πάσῃ τῇ φύσει τῶν ἀνθρώπων δεδήλωται. δ΄. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ε΄. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν 4) ἑαυτῷ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. Ἀντὶ 5) τῶν λαῶν βασιλεῖς ὁ Σύμμαχος εἴρηκεν, ἀντὶ δὲ τῆς καλλονῆς Ἰακὼβ, 6) ὁ Ἀκύλας τὸ 7) ὑπερήφανον Ἰακώβ. ὁ ἀποστολικὸς τοίνυν 8) λέγει χορὸς, ὅτι δίκαιον

1) Εἰς — Κορέ. Dest. in Cod. 1. 2) μηνυομένην. Cod. 1. 2. γενομένην. 3) ἦν. In Cod. 1. 2. ponitur post Ἰουδαίοις. 4) ἑαυτῷ. Hanc minus aptam lectionem habet ed. *ald.* et *compl.* Codex *alex.* habet ἑαυτοῦ, *vatic.* αὐτοῦ. Rectius autem *Aqu.* et *Symm.* habent ἡμῶν. Hebr. נחלתנו. 5) τῶν λαῶν. Cod. 1. τοῦ λαοῦς. 6) ὁ Ἀκύλας. In Cod. 1. ponitur post ὑπερήφανον Ἰακώβ. 7) ὑπερήφανον. MONTF. in Hexaplis *Aquilæ* tribuit lectionem τὸ ὑπερφερές. 8) λέγει. In Cod. 1. ponitur post χορός.

καιον κροτοῦντας καὶ χορεύοντας τὸν ἐπινίκιον ὕμνον τῷ τῶν ὅλων 1) προσφέρειν Θεῷ, καὶ βασιλεῖς ἡμῖν ὑποτάξαντι, καὶ τῶν ἐθνῶν ἁπάντων ἡμῖν τὴν ἀρχὴν δεδωκότι. καὶ πρὸς τούτοις, τὴν καλλονὴν, καὶ τὸ 2) ὑπερφερὲς Ἰακὼβ ἐγχειρίσαντι. οὐ γὰρ πάντα τὸν 3) Ἰουδαῖον τὸν καλούμενον Ἰακὼβ, ἀλλὰ τὴν καλλονὴν Ἰακὼβ καὶ τὸ ὑπερφερὲς, 4) τὸ ἐξαίρετον τοῦ Ἰακὼβ, τοὺς τῇ πίστει κεκοσμημένους, τοὺς ἀναμφιβόλως τὸ κήρυγμα δεξαμένους, τοὺς τὸν χρηστὸν τοῦ σωτῆρος 5) ὑπελθόντας ζυγόν. τούτους γὰρ, καὶ ἐξελέξατο, καὶ ἠγάπησε, καὶ 6) τοὺς ἀποστολικοὺς ἐνεπίστευσεν οἴακας. δυνατὸν δὲ καὶ τοῖς ὀφθαλμοῖς θεάσασθαι τὴν τῆς προφητείας ἀλήθειαν. ἔστι γὰρ ἰδεῖν τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν πεπιστευκότας, τῶν ἀποστολικῶν 7) προκαλινδουμένους θηκῶν, καὶ τὴν ὀλίγην κόνιν μετὰ πολλοῦ τοῦ πόθου γεραίροντας, ὥστε κατ᾽ αὐτὸν καὶ 8) βλέπειν, καὶ ψάλλειν τὸ, ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ϛʹ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Ὁ δὲ ταῦτά φησιν ἅπαντα κατορθώσας Δεσπότης, πρότερον μὲν ἐνηνθρώπησε, καὶ τὴν τοῦ ἀλάστορος κατέλυσε τυραννίδα, ἔπειτα εἰς οὐρανοὺς ἀνελήλυθε τῶν ἐπουρανίων ἡγουμένων δυνάμεων, 9) καὶ χορῶν ἀγγελικῶν, τῶν μὲν κάτω βοώντων, 10) οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν, οὕτως ἐλεύσεται ὃν τρόπον 11) ἐθεάσασθε

esse, nos exultantes et tripudiantes triumphalem hymnum Deo omnium conditori offerre, qui et reges nobis subiecit, et omnium gentium principatum nobis donauit: et praeterea speciem et excellentiam Iacobi nobis in manus tradidit. Non enim omnes Iudaeos, qui vocantur Iacob, sed pulchritudinem Iacobi, et praestantiam, atque excellentiam Iacobi, eos nempe qui fide ornati sunt, qui sine cunctatione praedicationem susceperunt, qui suaue saluatoris iugum subierunt: hos enim et elegit, et dilexit, apostolatusque gubernacula eis credidit. Prophetiae porro veritas oculis perspici potest. Licet enim videre eos, qui ex omnibus gentibus crediderunt, ante apostolorum sepulchra supplices prosterni, et illum pusillum puluerem cum multo amore venerari, vt simul et videant, et psallant illud, *Subiecit populos nobis, et gentes sub pedibus nostris.* 6. *Adscendit Deus cum iubilo, et Dominus cum voce tubae.* Qui autem, inquit, haec omnia praestitit Dominus, primum quidem homo factus est, hostisque tyrannidem euertit, deinde in caelos adscendit, caelestibus virtutibus praeeuntibus, et angelorum choris, his quidem deorsum clamantibus: a) Hic Iesus, qui assumtus est a vobis, sic veniet, quemadmodum vidistis eum euntem

1) προσφέρειν. In Cod. 1. ponitur ante τῷ τῶν ὅλων. 2) Cod. 2. ὑπερφυές. 3) Ἰουδαϊκόν. Cod. 1. 2. addunt λαόν. 4) τό. Cod. 1. 2. καί. 5) Cod. 1. ὑπεξελθόντας. 6) τοὺς ἀποστολικοὺς — οἴακας. Cod. 1. 2. τοῖς ἀποστολικοῖς — τάξιν. 7) Cod. 2. προκυλινδουμένους. 8) βλέπειν. Cod. 2. λέγειν. 9) καὶ χορῶν — τῆς δόξης. Haec paucis istis complectitur CORD. p. 892. καὶ τὸ ἄρατε πύλας προσφωνούντων. 10) οὗτος. Cod. 1. addit ἐστίν. 11) ἐθεάσασθε. In Cod. 3. ponitur post αὐτόν.

a) Act. 1, 11.

euntem in cælum, illis vero sursum adhortantibus: *a)* Tollite, principes, portas vestras, et eleuamini portæ æternæ, et introibit rex gloriæ. Has enim voces, iubilum tubarumque clangorem vocauit, vt quæ per totum orbem terrarum peruagatæ sint. 7. *Psallite Deo nostro, psallite, psallite regi nostro, psallite.* 8. *Quoniam rex omnis terræ Deus, psallite sapienter.* 9. *Regnauit Deus super gentes, Deus sedet super throno sancto suo.* Honorate igitur vniuersorum regem hymnorum * cantibus, et cælestibus tripudiis; quandoquidem imperium suum omnibus hominibus ostendit, omnibusque gentibus persuasit, se Deum et Dominum esse, in regalibus sedibus sedentem. Hoc autem, *Deus sedet super throno sancto suo,* Apostoli sententiæ quadrat, *b)* Sedet ad dexteram maiestatis in excelsis, tanto melior angelis factus, quanto excellentius præ illis nomen hereditauit. Porro, *Psallite sapienter*, præclare posuit, docens non sola lingua hymnos proferendos esse, verum etiam mentem in eorum, quæ dicuntur, intelligentiam excitandam. 10. *Principes populorum congregati sunt cum Deo Abrahami, quoniam fortes Dei vehementer super terram eleuati sunt.* Promissiones, inquit, quæ patriarchæ A-

αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν· τῶν δὲ ἄνω παρεγγυώντων, ἄρατε πύλας οἱ ἄρχοντες 1) ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. τὰς γὰρ τοιαύτας φωνὰς ἀλαλαγμὸν ὠνόμασε, καὶ σαλπίγγων φωνὴν, ὡς εἰς ἅπασαν 2) διαδραμούσας τὴν γῆν. ζ'. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε. η'. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, ψάλατε συνετῶς. θ'. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Ὑμνῳδίαις τοίνυν, καὶ πνευματικαῖς χορείαις, τὸν παμβασιλέα τῶν ὅλων 3) γεραίρετε. ἅπασι γὰρ ἀνθρώποις τὴν οἰκείαν ἔδειξε βασιλείαν, καὶ τὰ ἔθνη 4) πέπεικεν ἅπαντα, ὡς αὐτός ἐστι Θεός τε καὶ Κύριος, τοῖς βασιλικοῖς ἐγκαθήμενος θώκοις. τὸ δὲ, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ, τῷ ἀποστολικῷ συνᾴδει ῥητῷ. ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, ἐν 5) ὑψηλῷ· τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' 6) αὐτοῖς κεκληρονόμηκεν ὄνομα. καλῶς δὲ καὶ τὸ ψάλατε συνετῶς τέθεικε 7) διδάσκων μὴ μόνῃ τῇ γλώττῃ προφέρειν τὴν ὑμνῳδίαν, ἀλλὰ καὶ τὴν διάνοιαν εἰς κατανόησιν τῶν λεγομένων 8) ἐγείρειν. ι'. Ἄρχοντες λαῶν συνήχθησαν 9) μετὰ τοῦ Θεοῦ Ἀβραάμ. ὅτι τοῦ Θεοῦ 10) οἱ κραταιοὶ 11) τῆς γῆς σφόδρα ἐπήρθησαν. Πέρας, φησὶν, αἱ 12) πρὸς τὸν πατριάρχην Ἀβραὰμ

1) Cod. 2. ἡμῶν. 2) Cod. 2. δραμούσας. 3) γεραίρετε. Cod. 1. addit Κύριον. 4) πέπεικεν. Cod. 2. πεπίστευκεν. 5) Cod. 1. 2. ὑψηλοῖς. 6) Cod. 1. 2. αὐτούς. 7) διδάσκων. Abest a Cod. 1. 8) Cod. 1. διεγείρειν. 9) μετά. Hebr. עִם, pro quo οἱ ό. et *Theodot.* עַם legisse videntur. Præstat autem *Symmachi* versio, λαὸς τοῦ Θεοῦ Ἀβραάμ. 10) οἱ κραταιοί. Hebr. מָגִנֵּי. *Aqu.* θυρεοί. *Symm.* *Theodot.* et Edit. V. ὑπερασπισμοί. 11) τῆς γῆς. Abest a Cod. 1. 12) πρός. Cod. 2. περί.

a) Ps. 23, 7. 9. *b)* Hebr. 1, 4.

βραὰμ ἔλαβον ὑποσχέσεις. ὑπέσχετο δὲ τῶν ὅλων ὁ Κύριος, ἐν τῷ σπέρματι αὐτοῦ 1) εὐλογήσειν πάντα τὰ ἔθνη. τοιγάρτοι καὶ ταῦτα, καὶ οἱ τούτων ἄρχοντες, τοὺς πατρῴους καταλιπόντες Θεοὺς, μετὰ τοῦ Θεοῦ Ἀβραὰμ συναθροίζονται, καὶ τοῦτον οἰκεῖον Θεὸν ὀνομάζουσιν. ὑπουργοὶ δὲ τῆς τούτων κλήσεως οἱ θεῖοι ἀπόστολοι, τῇ θαυματουργίᾳ τὸ τῆς θεολογίας βεβαιώσαντες ὕψος. τούτους γὰρ οἱ μὲν ἑβδομήκοντα κραταιοὺς, ὁ δὲ Ἀκύλας θυρεοὺς, 2) ὁ Θεοδοτίων καὶ ὁ Σύμμαχος 3) ὑπερασπισμοὺς προσηγόρευσαν. διὰ πάντων δὲ οὐ μόνον αὐτῶν τὸ 4) ἄναρχον καὶ ἀήττητον, ἀλλὰ καὶ τὸ τῶν ἄλλων δηλοῦται φυλακτικόν. οἷον γάρ τινες θυρεοὶ καὶ πρόμαχοι τῶν πεπιστευκότων γενόμενοι, οὐκ εἴασαν ἐν τῇ τῶν δεινῶν προσβολῇ ῥαγῆναι τὴν φάλαγγα· 5) ἀλλὰ τοὺς πολεμίους 6) τρεψάμενοι, 7) παιανίζειν τοῖς ὁμοπίστοις παρεγγυῶσι φάσκοντες, πάντα τὰ ἔθνη κροτήσατε χεῖρας· ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

brahamo factæ erant, suum finem sortitæ sunt. Promiserat autem Dominus omnium rerum, se in semine eius omnibus gentibus esse benedicturum. Idcirco et hæ gentes, et earum principes; paternos Deos derelinquentes, cum Deo Abrahami congregantur, et hunc proprium Deum nominant. Ministri autem vocationis harum gentium diuini apostoli fuerunt, miraculis theologiæ altitudinem firmantes. Hos enim Septuaginta *fortes* nuncuparunt, Aquila vero *scuta*, Theodotio et Symmachus *protectiones* appellarunt. Per omnia autem ita non solum ostenditur eorum potentia nemini subiecta et inexpugnabilis, sed etiam custodia quam aliis exhibuerunt. Nam velut quædam scuta, et propugnacula credentium facti, phalangem in calamitatum impressione frangi non permiserant, sed hostibus in fugam versis, adhortantur eiusdem fidei participes, vt pæana decantent, dicentes: Omnes gentes plaudite manibus, iubilate Deo voce exsultationis: quoniam Dominus excelsus, terribilis, rex magnus super omnem terram.

ΕΡΜΗΝ. ΤΟΥ μζʹ ΨΑΛΜΟΥ.

αʹ. 8) Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ. 9) δευτέρα σαββάτου. Καὶ οὗτος ὁ ψαλμὸς ὡσαύτως τὴν αὐτὴν νίκην προαγορεύει, καὶ 10) τῆς τοῦ Θεοῦ 11) πόλεως τὴν 12) ἰσχύν. βʹ. Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. Καὶ ἤδη προειρήκαμεν, ὡς πόλιν πολλά-

INTERP. PS. XLVII.

1. *Psalmus Cantici. Filiis Core. Secundo die Sabbati.* Et hic psalmus eandem victoriam prædicit, atque Dei ciuitatis robur. 2. *Magnus Dominus, et valde laudabilis, in ciuitate Dei nostri, in monte sancto suo.* * Et iam supra diximus, diuinam scripturam

1) Cod. 3. εὐλογεῖν. 2) ὁ Θεοδοτίων. Abest a Cod. 3. 3) Cod. 2. ὑπερασπισμόν. 4) ἄναρχον. Cod. 1. 2. ἄμαχον. 5) ἀλλά. Cod. 2. addit καί. 6) τρεψάμενοι. Abest a Cod. 2. 7) Cod. 3. παιωνίζειν. 8) Ψαλμὸς ᾠδῆς. Cod. 2. ᾠδή. 9) δευτέρα Σαββάτου. Deest in Cod. 2. Tota inscriptio abest a Cod. 1. 10) τῆς. Abest a Cod. 1. 11) πόλεως. Cod. 1. πόλιν. 12) ἰσχύν. In Cod. 1. sequitur, ᾠδὴ τοῖς υἱοῖς Κορέ. δευτέρα σαββάτου.

ram non ædificia, sed reipublicæ statum, sæpe *ciuitatem* nominare: propterea et nunc asserit omnium Dominum magnum ostensum esse per ea, quæ ab ipso circa eius ciuitatem facta sunt: quam insignem reddidit altitudo dogmatum, tanquam in edito et excelso monte positam. Non enim potest, inquit Dominus, *a*) abscondi ciuitas supra montem posita. 3. *Bene radicans in exsultatione uniuersæ terræ.* Hanc autem, inquit, in lætitia vniuersæ terræ bene et optime et solide ædificauit. Aedificauit enim ipsam, ait diuinus apostolus, *b*) super fundamento apostolorum et prophetarum, cum sit petra angularis eius Christus Iesus. Et ipse Dominus beato Petro dixit, *c*) Et super hanc petram ædificabo ecclesiam meam, et portæ inferni non præualebunt aduersus eam. Hoc igitur, *bene-radicans*, pro *solide fundans* posuit, vt ipsa intrepida et inconcussa permaneat. *Montes Sion latera Aquilonis, ciuitas regis magni.* Atque etiam montibus ipsam circumdedit, vt Aquilonis damnum declinet. Ab Aquilone enim, inquit, *d*) accendentur mala super omnem terram: et rursus, Aquilonem expellam a vobis. Sionis porro nomen de cælesti ciuitate diuinus apostolus accepit. Accessistis enim, inquit, *e*) ad montem Sion, et ciuitatem Dei viuentis, Hierosolymam cælestem. Montes autem, qui Boream expel-

κις ἡ θεία γραφὴ, οὐ τὴν οἰκοδομίαν, ἀλλὰ τὴν πολιτείαν καλεῖ. τοιγάρτοι καὶ νῦν μέγαν ἀποδεδεῖχθαι λέγει τῶν ὅλων τὸν 1) Κύριον, διὰ τῶν ὑπ' αὐτοῦ περὶ τὴν αὐτοῦ πόλιν γεγενημένων· ἣν ἐπίσημον ἀπέφηνε τῶν δογμάτων τὸ ὕψος, ὡς ἐπ' ὄρους ὑψηλοῦ καὶ μεγίστου κειμένην. οὐ 2) δύναται γὰρ, φησὶν ὁ Δεσπότης, κρυβῆναι 3) πόλις ἐπάνω ὄρους 4) κειμένη. γ'. 5) Εὐριζῶν ἀγαλλιάματι πάσης τῆς γῆς. Ταύτην δέ φησιν ἐπ' εὐφροσύνῃ πάσης τῆς γῆς, εὖ καὶ καλῶς καὶ παγίως ἐδείματο. 6) ᾠκοδόμησε γὰρ αὐτήν, 7) φησιν ὁ θεῖος ἀπόστολος, ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων 8) καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ. καὶ αὐτὸς δὲ ὁ Κύριος πρὸς τὸν μακάριον 9) ἔφη Πέτρον· 10) καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. τὸ 11) οὖν εὐριζῶν, ἀντὶ τοῦ παγίως θεμελιῶν· ὥστε αὐτὴν ἀτρεμῆ καὶ ἀσάλευτον 12) διαμεῖναι. ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βοῤῥᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. καὶ μέντοι καὶ ὄρεσιν αὐτὴν περιέβαλεν, ὥστε τοῦ βοῤῥᾶ τὴν βλάβην διαφυγεῖν. ἀπὸ βοῤῥᾶ γάρ φησιν ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πᾶσαν τὴν γῆν. καὶ πάλιν, τὸν βοῤῥᾶν ἐκδιώξω ἀφ' ὑμῶν· καὶ τὸ Σιὼν δὲ ὄνομα ἐπὶ τῆς πνευματικῆς ὁ θεῖος ἀπόστολος ἐδέξατο πόλεως. προσεληλύθατε γάρ φησιν ὄρει Σιὼν, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ. ὄρη δὲ τὰ τὸν βοῤῥᾶν ἐξελαύνοντα,

1) Κύριον. Cod. 2. Θεόν. 2) Cod. 2. δυνατόν. 3) Cod. 2. πόλιν. 4) Cod. 2. κειμένην. 5) Εὐριζῶν. Cod. 1. εὐρίζων, Cod. 2. εὐρίζῳ, quam vtramque lectionem notauit etiam SAVILIVS edit. CHRYSOST. T. I. p. 658. Hebr. יפה נוף *pulcher situ* sc. est mons Zion. Hunc sensum non assecuti sunt Interpretes græci, quorum valde diuersæ sunt versiones, quas recenset MONTF. in Hexapl. ad h. l. EVSEBIVS ad h. l. legit εὐρίζῳ, illudque ad præc. vers. retulit, ita vt sensus sit: *In monte sancto suo bene radicato.* 6) φησίν. Cod. 1. 2. præm. ἦ. 7) καί. Cod. 1. addit τῶν. 8) καί. Cod. 1. addit τῶν. 9) ἔφη. In Cod. 1. ponitur post Πέτρον. 10) καί. Cod. 2. om. σὺ εἶ Πέτρος. 11) οὖν εὐριζῶν. Cod. 1. εὐρίζων δέ. 12) διαμεῖναι. Cod. 2. εἶναι.

a) Matth. 5, 14. *b*) Eph. 2, 20. *c*) Matth. 16, 18. *d*) Ier. 1, 14. *e*) Hebr. 12, 22.

νοῦντα, καὶ φυλάττοντα τὴν πόλιν ἀλώβητον, εἴποι ἄν τις εἰκότως ἀποστόλους καὶ προφήτας, καὶ τὰς παντοδαπὰς ἐκείνων διδασκαλίας, καὶ πρὸς τούτοις τοὺς ἐφεστῶτας τοῖς πεπιστευκόσιν ἀγγέλους. παρεμβαλεῖ γάρ φησιν ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. δʹ. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, 1) ὅταν ἀντιλαμβάνηται αὐτῆς. Μία μέν ἐστι κατὰ πᾶσαν γῆν καὶ θάλασσαν ἐκκλησία· 2) διὸ προσευχόμενοι λέγομεν, ὑπὲρ ἁγίας καὶ μόνης καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης. διῄρηται δὲ πάλιν 3) αὕτη κατὰ πόλεις, καὶ κώμας, καὶ ἀγρούς. ἃς βάρεις ὁ προφητικὸς προσηγόρευσε λόγος. 4) ὥσπερ ἑκάστη πόλις 5) πολλὰς ἔνδοθεν οἰκίας ἔχει διῃρημένας, μία δὲ 6) ὅμως ὀνομάζεται πόλις· οὕτω μυρίαι καὶ ἀριθμοῦ κρείττους εἰσὶν ἐκκλησίαι, καὶ ἐν νήσοις, καὶ ἐν ἠπείροις· εἰς μίαν δὲ κοινῇ πᾶσαι τελοῦσι 7) τῇ συμφωνίᾳ τῶν ἀληθῶν ἡνωμέναι δογμάτων. ἐν ταύταις ἔφη τὸν τῶν ὅλων Θεὸν ἐπιφαίνεσθαι, τὴν οἰκείαν ἐπικουρίαν ὀρέγοντα. ὁ γὰρ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. εἶτα τὰς ἐσομένας ἐπαναστάσεις προλέγει, καὶ τὴν τῶν πολεμίων μεταβολήν. εʹ. Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, 8) διῆλθοσαν ἐπὶ τὸ αὐτό. ϛʹ. Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν. Συνέδραμον μὲν 9) γὰρ ὡς 10) πολεμήσοντες· θεασάμενοι δὲ τῆς πολεμουμένης τὸ ἄμαχον κατεπλάγησαν. Ἐταράχθησαν γάρ,

lunt, et ciuitatem incolumem custodiunt, iure dixerit quis apostolos et prophetas esse, et varias eorum doctrinas, et praeterea angelos credentibus praefectos. Castra metabitur enim, inquit, a) angelus Domini circa timentes eum, et eripiet eos. 4. *Deus in domibus eius cognoscitur, cum susceperit eam.* Vna quidem per totum orbem atque mare est ecclesia, propterea orantes dicimus, Pro sancta et vnica catholica et apostolica ecclesia, a finibus vsque ad fines terrae. Rursus vero diuisa est ipsa per ciuitates, et oppida, et villas, quas propheticus sermo *domos* nuncupauit. Quemadmodum quaelibet ciuitas intus multas habet domos inter se diuisas, et vna tamen ciuitas nominatur: sic infinitae et innumerabiles sunt ecclesiae in insulis et in continenti: simulque omnes in vnam rediguntur, verorum dogmatum * vnitae consonantia. * In his ait Deum vniuersitatis auctorem apparere, proprium auxilium porrigentem: *Deus enim in domibus eius cognoscitur, cum susceperit eam.* Deinde futuros incursus praedicit, hostiumque mutationem. 5. *Quoniam ecce reges terrae congregati sunt, conuenerunt in vnum.* 6. *Ipsi videntes sic admirati sunt.* Nam concurrerunt quidem tanquam bellum illaturi, conspicati vero inexpugnabile robur bello impetitae, consternati sunt. *Conturbati sunt enim,* ait

1) ὅταν — αὐτῆς. Hebr. למשגב, *Symm.* et Edit. V. εἰς ὀχύρωμα. 2) διό. Cod. 1. 2. addunt καί. 3) Cod. 1. 2. αὐτή. 4) ὥσπερ. Cod. 1. 2. addunt γάρ. 5) πολλάς. Abest a Cod. 2. 6) ὅμως. Abest a Cod. 1. 7) Cod. 1. τὴν συμφωνίαν. 8) Rec. lectio h. l. est ἦλθοσαν. 9) γάρ. Abest a Cod. 3. 10) πολεμήσοντες. In Cod. 3. sequ. οἱ τῆς ἐκκλησίας ἐχθροί.

a) Ps. 33, 8.

ait, *commoti ſunt.* 7. *Tremor apprehendit eos.* 8. *Ibi dolores vt parturientis: vento vehementi conteres naues Tharſis.* Cum, inquit, vidiſſent infracta eccleſiæ fundamenta, et prædictionis veritatem didiciſſent, timuerunt et exhorruerunt, ſicut qui maris terga transmittunt, et a fluctibus et procellis agitati, extremam perniciem exſpectant. Hac de cauſa a bello et incurſionibus ceſſantes, ipſi potentiam eius, quæ oppugnabatur, prædicant et clamant. 9. *Sicut audiuimus, ſic vidimus, in ciuitate Domini virtutum, in ciuitate Dei noſtri.* Nam prædictiones de ipſa nolentes admittere per ipſum rerum euentum veritatem illarum vidimus. *Deus fundauit eam in æternum.* Ipſius enim eſt vox, a) Et ſuper hanc petram ædificabo eccleſiam meam, et portæ inferni non præualebunt aduerſus eam. Sic ſermo propheticus, hoſtium mutatione demonſtrata, deinceps prædicit quibus verbis vſuri ſint qui ſalutem conſecuti ſunt, beneficii auctorem collaudantes. 10. *Suſcepimus o Deus miſericordiam tuam in medio populi tui.* Exſpectamus, inquit,

φησιν, 1) ἐσαλεύθησαν. ζ΄. Τρόμος 2) ἐπελάβετο 3) αὐτῶν. η΄. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης· ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς. 4) Θεασάμενοι, φησὶ, τὰ ἀῤῥαγῆ τῆς ἐκκλησίας θεμέλια, καὶ καταμαθόντες τὸ τῆς προῤῥήσεως ἀψευδὲς, δέος καὶ φρίκην ἐδέξαντο καθάπερ οἱ τὰ τῆς θαλάσσης διαπεραιούμενοι νῶτα, καὶ καταιγίσι βαλλόμενοι, καὶ πανωλεθρίαν προσμένοντες. 5) οὗ δὴ χάριν τοῦ πολεμεῖν καὶ βάλλειν παυσάμενοι, 6) αὐτοὶ κηρύττουσι τῆς πολεμουμένης τὴν δύναμιν, καὶ βοῶσι. θ΄. Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν· ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. Τὰς γὰρ περὶ αὐτῆς προῤῥήσεις οὐ βουλόμενοι δέχεσθαι, δι' 7) αὐτῶν 8) ἐθεασάμεθα 9) τῶν πραγμάτων τὴν ἐκείνων 10) ἀλήθειαν. ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. αὐτοῦ γὰρ 11) ἐστι φωνὴ, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω 12) τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. οὕτω δείξας ὁ προφητικὸς λόγος τὴν τῶν πολεμίων μεταβολὴν, προλέγει λοιπὸν ὁποίοις οἱ τῆς σωτηρίας τετυχηκότες χρήσονται λόγοις, τὸν εὐεργέτην ὑμνοῦντες. ι΄. 13) Ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. 14) Προσδεχόμεθά φησι ταύτην

1) ἐσαλεύθησαν. Abeſt a Cod. 1. 2) Cod. 2. ὑπελάβετο. 3) Cod. 2. αὐτούς. 4) Θεασάμενοι — προσμένοντες, Deſ. in Cod. 3. 5) οὗ δὴ χάριν. Cod. 3. καί. 6) αὐτοὶ — καί. Deſ. in Cod. 3. 7) αὐτῶν. Cod. 3. ἑαυτῶν. 8) Cod. 2. θεασόμεθα. 9) τῶν πραγμάτων. Deſ. in Cod. 3. 10) ἀλήθειαν. In Cod. 3. ſequuntur hæc: πῶς δὲ λέγειν ἐδύναντο ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, μὴ πιστοὶ γεγονότες. οἱ γὰρ Θεόν τε ὁμοῦ καὶ τῶν δυνάμεων Κύριον ὁμολογοῦντες ὑπάρχειν αὐτὸν, ἱδρυμένην πάντως που τὴν πίστιν ἐν ἑαυτοῖς ἐσχήκαμεν. „ Quomodo autem dicere poterant *in ciuitate Dei noſtri*, qui fidem non habebant? Nos enim qui Deum ſimul et virtutum Dominum illum eſſe confitemur, firmam omnino fidem in nobis habemus. „ Hæc ad marginem reiecimus, quia CYRILLI nomen æque ac THEODORETI adſcriptum habent. 11) Cod. 2. ἐστιν ἡ. 12) τήν. Cod. 1. 2. præm. μου. 13) ὑπελάβομεν. Hebr. דִּמִּינוּ *cogitamus*, ſ. *conſideramus.* 14) Προσδεχόμεθα — αἰῶνος. Hæc apud CORD. p. 907. tribuuntur Cyrillo.

a) Matth. 16, 18.

ταύτην σου τὴν ἐπικουρίαν, ὦ Δέσποτα, τῶν σῶν ἐπαγγελιῶν εἰδότες τὸ ἀψευδές. σὺ γὰρ εἶπας· μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ 1) αἰῶνος. ια'. Κατὰ τὸ ὄνομά σου ὁ Θεὸς, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς. Οἱ ψευδώνυμοι θεοὶ οὐκ ἔχουσι συμβαίνουσαν τῇ προσηγορίᾳ τὴν δύναμιν. οὐ γάρ εἰσιν ὃ καλοῦνται. τῷ δὲ σῷ ὀνόματι, Δέσποτα, ἕπεται τὰ ἔργα κηρύττοντα τὴν τῆς προσηγορίας ἀλήθειαν. οὗ δὴ χάριν δικαίως σοι παρὰ πάσης τῆς 2) οἰκουμένης ὁ ὕμνος προσφέρεται. 3) ὡς γὰρ ἁπάντων Θεὸς, οὕτω παρὰ πάντων 4) ὑμνεῖται. δικαιοσύνης πλήρης ἡ δεξιά σου. δικαίᾳ γὰρ ψήφῳ χρησάμενος, τοὺς καθ' ἡμῶν ἐπαναστάντας πολεμίους ἐσκέδασας. ιβ'. Εὐφρανθήτω ὄρος Σιὼν, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας, 5) ἕνεκα τῶν κριμάτων σου Κύριε. Ὄρος Σιὼν τοὺς τὸ ὕψος τῆς θεολογίας πεπιστευμένους ἐκάλεσε· θυγατέρας δὲ τῆς Ἰουδαίας, τὰς κατὰ τὴν οἰκουμένην 6) ἐκκλησίας, ὡς 7) ἀπὸ τῶν ἀποστόλων παγείσας, οἱ ἐξ Ἰουδαίων 8) κατῆγον τὸ γένος. παρεγγυᾷ δὲ 9) καὶ τοῖς κηρύττουσι, καὶ τοῖς ἀκούουσιν, εὐφραίνεσθαι καὶ γανύεσθαι, 10) ἕνεκα τῶν δικαίων 11) τοῦ Θεοῦ κριμάτων, οἷς χρησάμενος τὴν τῆς οἰκουμένης ἐπραγματεύσατο σωτηρίαν. ιγ'. Κυκλώσατε Σιὼν, καὶ 12) περιλάβετε αὐτὴν, 13) διηγήσασθε ἐν τοῖς πύργοις αὐ-

hoc tuum auxilium, o Domine, tuarum promissionum veritatem scientes. Tu enim dixisti, a) Vobiscum sum omnibus diebus vsque ad consummationem seculi. 11. *Quale est nomen tuum o Deus, talis etiam est laus tua ad fines terræ.* Falsi dii non habent potentiam appellationi respondentem: non enim sunt quod vocantur. Nomen autem tuum, o Domine, opera sequuntur, * quæ appellationis veritatem prædicant. Idcirco iuste a toto orbe hymnus tibi offertur. Vt enim omnium Deus est, sic ab omnibus laudatur. *Iustitiæ plena est dextera tua.* Iusta enim sententia prolata dissipasti hostes, qui contra nos assurrexerunt. 12. *Lætetur mons Sion, et exsultent filiæ Iudæ, propter iudicia tua o Domine.* Montem Sionis vocauit eos, quibus theologiæ altitudo commissa est. *Filias* autem *Iudæ*, nuncupauit ecclesias, quæ per orbem terrarum sunt, tanquam ab apostolis fundatas, qui quidem ex Iudæis originem duxerunt. Admonet autem et euangelii præcones et auditores, vt lætentur et exsultent ob iusta Dei iudicia, quibus vsus orbis salutem operatus est. 13. *Circumdate Sionem et complectimini eam, narrate in turribus eius.*

1) *αἰῶνος.* Cod. 2. addit *ἀμήν.* 2) *οἰκουμένης.* Cod. 1. *κτίσεως*, adscripta tamen lectione altera. 3) *ὡς — ἐσκέδασας.* Des in Cod. 3. 4) Cod. 3. *ὑμνῇ.* 5) Cod. 2. et 3. *ἕνεκεν*, quæ est lectio Cod. *alex.* 6) *ἐκκλησίας.* Cod. 3. addit *ἐκάλεσεν.* 7) *ἀπό.* Cod. 3. *ὑπό.* 8) Cod. 2. *κατήγοντο.* 9) *καί.* Abest a Cod. 2. 10) Cod. 3. *ἕνεκεν.* 11) *τοῦ Θεοῦ.* Abest a Cod. 3. 12) *περιλάβετε.* Hebr הַקִּיפוּה quod ab Interprete græco anonymo bene expr. *περιέλθετε circuite.* Conf. MONTF. Hexapla ad h. l. 13) *διηγήσασθε — πύργοις.* Præstat *Symm.* versio *ἀριθμήσατε τοὺς πύργους. Aqu. ψηφίσατε τοὺς πύργους.*

a) Matth. 28, 20.

eius. 14. *Ponite corda vestra ad virtutem eius, et distribuite domos eius.* *Sionem* rursus vocat piorum rempublicam, hoc est, ecclesiam, quæ per totum terrarum orbem est. *Turres* autem ipsius, appellat homines summa virtute præditos, et angelorum conuersationem imitantes in terra, qui turrium instar cingunt et custodiunt ipsam. *Domos* vero rursus, vt iam superius diximus, ecclesias nominat, quæ per vrbes, et oppida, et villas diuisæ sunt: nam eandem et vnam vocat, et multas. Iubet itaque sermo propheticus, seu Spiritus sancti gratia, vt illi, quibus salutaris prædicatio credita est, circumeant et concursent, et turres doctrina stabiliant, et reliquum ipsius robur confirment, et insuper distribuant ecclesiarum curam: quod quidem quadragesimo quinto psalmo diximus. Hoc enim et hoc in loco iubet, *Distribuite domos eius.* Nimirum vt hic quidem hanc gubernet ecclesiam, ille vero illam, et suus cuilibet agricola præsit, et congruentem ipsius curam gerat. Et hoc non semel, atque iterum, sed omnibus seculis faciendum iubet; propterea subiunxit: *Vt enarretis in progenie altera.* 15. *Quoniam hic est Deus noster in æternum, et in seculum seculi: ipse pascet*

τῆς. ιδ´. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν 1) δύναμιν αὐτῆς, καὶ 2) καταδιέλεσθε τὰς βάρεις αὐτῆς. 3) Σιὼν 4) πάλιν 5) καλεῖ τὸ εὐσεβὲς πολίτευμα, τουτέστι τὴν κατὰ τὴν οἰκουμένην ἐκκλησίαν. πύργους δὲ αὐτῆς, τοὺς τῆς ἄκρας ἀρετῆς ἐπειλημμένους, καὶ τὴν τῶν ἀγγέλων 6) πολιτείαν ἐπὶ γῆς μιμουμένους, οἳ πύργων δίκην κυκλοῦσιν αὐτὴν καὶ φυλάττουσι. βάρεις δὲ πάλιν, ὡς καὶ ἤδη προειρήκαμεν, τὰς κατὰ 7) πόλεις, καὶ κώμας, καὶ ἀγροὺς διῃρημένας ἐκκλησίας. τὴν γὰρ αὐτὴν καὶ μίαν λέγει, καὶ πολλάς. παρεγγυᾷ τοίνυν ὁ προφητικὸς λόγος, 8) ἡ τοῦ παναγίου πνεύματος χάρις, τοῖς τὸ σωτήριον κήρυγμα πιστευθεῖσι, περινοστεῖν καὶ 9) διατρέχειν, καὶ τούς τε πύργους στηρίζειν τῇ διδασκαλίᾳ, τήν τε ἄλλην αὐτῆς δύναμιν βεβαιοῦν. πρὸς δὲ τούτοις καὶ διανέμεσθαι τὴν τῶν ἐκκλησιῶν ἐπιμέλειαν· 10) ὃ δὴ καὶ ἐν τῷ τεσσαρακοστῷ πέμπτῳ ψαλμῷ 11) προειρήκαμεν. τοῦτο γὰρ καὶ ἐνταῦθα παρεγγυᾷ· καταδιέλεσθε τὰς βάρεις αὐτῆς· ὥστε τοῦτον 12) μὲν ταύτης, ἐκεῖνον δὲ ἐκείνης προμηθεῖσθαι τῆς ἐκκλησίας, καὶ ἑκάστῃ ἐπιστῆναι τὸν 13) γεωργοῦντα, καὶ τὴν προσήκουσαν ποιμενικὴν ἐπιμέλειαν. καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καθ᾽ ἑκάστην γενεὰν ἐπιτελεῖσθαι κελεύει. 14) διὸ δὴ καὶ ἐπήγαγεν· Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. ιε´. Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. αὐτὸς ποιμανεῖ ἡμᾶς

1) δύναμιν. Hebr. לחילה. *Symm.* bene εἰς τὸν περίβολον. 2) καταδιέλεσθε — αὐτῆς. Hebr. פסגו ארמנותיה. *Symm.* διαμετρήσατε τὰ βασίλεια αὐτῆς. 3) Σιὼν — πνεύματος χάρις. Hæc pauca tantum in Cod. 3. exstant, ἄλλος δὲ οὐ τοῖς ἀγγέλοις φησὶ ταῦτα λέγεσθαι, ἀλλὰ τοῖς κ. λ. 4) πάλιν. Cod. 2. præm. δέ. 5) καλεῖ τὸ εὐσεβές. Cod. 1. 2. τὸ εὐσεβὲς λέγει. 6) πολιτείαν. In Cod. 1. ponitur post ἐπὶ γῆς. 7) Cod. 1. πόλιν. 8) ἡ. Cod. 1. præm. ὡς. 9) Cod. 1. περιτρέχειν. 10) ὃ — ἐπιμέλειαν. Def. in Cod. 3. 11) προειρήκαμεν. Vid. p. 903. 12) μέν. Cod. 2. δέ. 13) γεωργοῦντα. Cod. 1. 2. addunt καὶ φυτουργοῦντα. 14) διὸ — ἐπήγαγεν. Def. in Cod. 3.

ἡμᾶς 1) εἰς τοὺς αἰῶνας. Χρὴ γὰρ γενεὰν ἑκάστην τῇ μετ' αὐτὴν παραδιδόναι, ἃ παρὰ τῆς προτέρας 2) παρειλήφαμεν, ὥστε ἐν ἁπάσαις ταῖς γενεαῖς διαπορθμευθῆναι τὸ σωτήριον κήρυγμα, 3) καὶ γνῶναι πάντας ἀνθρώπους, ὅτι οὗτος ἡμῶν 4) καὶ Θεὸς καὶ Κύριος, καὶ ποιμὴν ἀγαθὸς, καὶ αἰώνιος. 5) ἐπειδὴ γὰρ εἶπε, καταδιέλεσθε τὰς βάρεις αὐτῆς, 6) καὶ τὸ ποιμαίνειν αὐτοῖς ἐνεχείρισεν, ἀναγκαίως ἐδίδαξεν, ὅτι 7) εἷς ὁ ποιμὴν ὁ καλὸς, ὁ τὴν ψυχὴν αὐτοῦ τεθεικὼς ὑπὲρ τῶν προβάτων, 8) εἰς αἰῶνα 9) ποιμαίνων, 10) καὶ ποιμαίνων οὐ 11) μόνον τὰ πρόβατα, ἀλλὰ καὶ τοὺς τῶν προβάτων 12) καλουμένους νομέας.

nos in sæcula. * Oportet enim, vt sæculum vnumquodque tradat sequenti sæculo ea, quæ nos accepimus a priori. Adeo vt in omnes ætates salutis præconium transmittatur, omnesque homines cognoscant, hunc nostrum esse et Deum et Dominum, et pastorem bonum, et sempiternum. Quia enim dixit, *Distribuite domos ipsius*, et pascendi officium ipsis tradidit, apposite docuit, vnum esse pastorem bonum, qui animam suam posuit pro ouibus, in æternum pascens, et pascens non modo oues, verum etiam eos, qui ouium pastores nuncupantur.

ΕΡΜΗΝ. ΤΟΥ μη' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός. Ὁ θεῖος τῶν ἀποστόλων χορὸς, καὶ ἤδη τοῖς ἔθνεσι παρηγγύησε τὸν ἐπινίκιον ὕμνον προσενεγκεῖν τῷ Θεῷ, καὶ νῦν ὡσαύτως τοῖς 13) αὐτοῖς ἔθνεσι προσφέρει παραίνεσιν, προσθεῖναι τῇ πίστει τοῦ βίου τὴν ἀρετήν. καὶ διδάσκει τοῦ πλούτου τὸ μάταιον, καὶ τῆς τοῦ κόσμου σοφίας τὸ ἀκερδές. προλέγει δὲ καὶ τὴν ἐσομένην κρίσιν, καὶ τὴν ἀξίαν ἀντίδοσιν. διὰ τοῦτο καὶ εἰς τὸ τέλος ὁ ψαλμὸς ἐπιγέγραπται, ὡς παντὸς τοῦ βίου τὸ τέλος προαγορεύων. β'. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Ὅτι μόνοις Ἰουδαίοις οἱ προφῆται 14) διδασκαλίαν προσέφερον, παντί που δῆλον. ἀλλ' ἐγ-

INTERP. PS. XLVIII.

1. *In finem, filiis Core psalmus.* Diuinus apostolorum chorus et iam admonuit gentes, vt triumphalem hymnum Deo afferrent: et nunc similiter easdem gentes hortatur, vt fidei virtutem vitæ adiungant, et docet diuitiarum vanitatem, et mundi sapientiæ inutilitatem. Prædicit autem, et futurum iudicium, et condignam remunerationem. Quocirca et *in finem* psalmus inscriptus est, quippe qui totius vitæ finem prædicit. 2. *Audite hæc omnes gentes, auribus percipite omnes, qui habitatis orbem.* Sane omnibus manifestum est, sanctissimos prophetas solis Iudæis doctrinam obtulisse: sed hoc in

1) εἰς τοὺς αἰῶνας. Hebr. עלמות quam lectionem præferendam esse putamus illi על־מות. Sensus est, *ducit nos* instar pastoris, *cum tibiis*. 2) Cod. 3. παρείληφεν. 3) καὶ — βάρεις αὐτῆς. Def. in Cod. 3. 4) καί. Cod. 2. ὁ. 5) ἐπειδή κ. λ. Def. apud CORD. p. 908. 6) καί. Cod. 3. ἐπειδὴ δέ. 7) εἷς — καλός. Cod. 3. εἷς ποιμήν. 8) εἰς. Cod. 1. præm. καί. 9) ποιμαίνων. Cod. 1. προβάτων. 10) καὶ ποιμαίνων. Def. in Cod. 3. 11) Cod. 1. 2. μόνα. 12) καλουμένους. Abest a Cod. 2. 13) αὐτοῖς. Abest a Cod. 1. 13) ἀξίαν. Cod. 1. 2. præm. πρός. 14) διδασκαλίαν. Cod. 1. 2. præm. τήν.

in loco prophetica vox vniuersam terram ad audiendum excitat. Hoc autem proprium est gratiæ apostolicæ: ipsis enim Dominus Christus salutem omnium gentium commisit, Euntes enim, inquit, a) docete omnes gentes. Patet ergo, eorum sermones afferri non solum Iudæis, neque his, vel illis gentibus, sed omni hominum generi. 3. *Quique terrigenæ, et filii hominum.* Quidam *terrigenas* Adamum et Euam nuncuparunt, tanquam ex terra formatos, non autem ex coitu natos. Sed a veritate hoc est alienum. Non enim admonent eos, qui iam mortui sunt, sed illos qui adhuc viuunt. Diuersos itaque vitæ modos innuit. Nam alii vrbes incolunt: alii villas et vicos, agriculturæ studentes. Et ex hominibus quidam sunt mansuetiores, quidam agrestiores; et hi quidem * rationi congruentius viuunt, hi vero ferino more solitudines habitant; alii rursus Hamaxobii nuncupantur, qui in curribus degunt: alii pro domibus vtuntur tentoriis. Hos puto *terrigenas* nominari, tanquam rationabilioris vitæ expertes. Quasi diceret, Vniuersi homines ea quæ dicuntur audite, vrbani et ruricolæ, mansuetiores et agrestiores, et in commune omnes, et sigillatim. Sic enim et Symmachus interpretatus est. Nam pro *terrigenæ et filii hominum*, dixit, *Humanitas et insu-*

ταῦθα ὁ προφητικὸς λόγος τὴν οἰκουμένην πᾶσαν εἰς ἀκρόασιν 1) συνεγείρει. τοῦτο δὲ τῆς ἀποστολικῆς χάριτος ἴδιον. αὐτοῖς γὰρ τὴν τῶν ἁπάντων ἐθνῶν 2) ὁ 3) Δεσπότης Χριστὸς ἐνεχείρισε σωτηρίαν. πορευθέντες γάρ φησι μαθητεύσατε πάντα τὰ ἔθνη. δῆλον τοίνυν ὡς ἐξ αὐτῶν οἱ λόγοι προσφέρονται, 4) οὐκ Ἰουδαίοις μόνοις, οὐδὲ τοῖσδε ἢ τοῖσδε 5) τοῖς ἔθνεσιν, ἀλλὰ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει. γ'. Οἵ τε γηγενεῖς, καὶ 6) υἱοὶ τῶν ἀνθρώπων. Τινὲς γηγενεῖς τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἐκάλεσαν, ὡς ἐκ γῆς διαπλασθέντας, καὶ οὐκ ἐκ συνουσίας φύντας· ἀλλὰ 7) πόῤῥω τῆς 8) ἀληθείας ὁ λόγος. οὐ γὰρ τοῖς ἤδη τετελευτηκόσιν, ἀλλὰ τοῖς ἔτι ζῶσι 9) προσφέρουσι τὴν παραίνεσιν. τοὺς διαφόρους τοίνυν αἰνίττεται βίους. οἱ μὲν γὰρ τὰς πόλεις οἰκοῦσιν, οἱ 10) δὴ ἀγροὺς καὶ κώμας, περὶ 11) τὴν γεωργίαν ἐσχολακότες. καὶ οἱ μὲν ἡμερώτεροι τῶν ἀνθρώπων, οἱ δὲ ἀγριώτεροι· καὶ οἱ μὲν λογικώτερον ζῶσιν, οἱ δὲ 12) θηριωδέστερον τὰς ἐρήμους οἰκοῦσιν· 13) οἱ μὲν ἁμαξόβιοι προσαγορευόμενοι, οἱ δὲ σκηναῖς ἀντ' οἰκιῶν κεχρημένοι. τούτους οἶμαι γηγενεῖς ὀνομάζεσθαι, ὡς τῆς λογικωτέρας ἀφεστηκότας ζωῆς. ἀντὶ τοῦ, ἅπαντες ἄνθρωποι 14) τῶν λεγομένων ἀκούσατε, ἀστοὶ καὶ χωριτικοὶ, ἡμερώτεροι καὶ ἀγριώτεροι, καὶ κοινῇ πάντες καὶ ἰδίᾳ. οὕτω γὰρ 15) καὶ ὁ Σύμμαχος ἡρμήνευσεν, ἀντὶ γὰρ τοῦ, οἱ γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων, ἡ ἀνθρωπότης, εἶπε, καὶ προσ-

ἔτι

1) Cod. 1. συναγείρει. 2) ὁ — συνεχείρησε. In Cod. 1. ponitur post σωτηρίαν. 3) δεσπότης. Abest a Cod. 2. 4) οὐκ — φύσει. Des. apud CORD. p. 930. 5) τοῖς. Abest a Cod. 1. 2. 6) υἱοί. Cod. 1. præm. οἱ. 7) πόῤῥω. Abest a Cod. 2. 8) ἀληθείας. Cod. 1. 2. ἐκκλησίας, quam lectionem *Carafa* in versione sua expresserat. 9) Cod. 2. προσφέρει. 10) Cod. 1. 2. δέ. 11) τήν. Abest a Cod. 2. 12) Cod. 2. θηριωδέστεροι. 13) οἱ μὲν — κεχρημένοι. Des. apud CORD. p. 931. 14) τῶν λεγομένων. Abest a Cod. 2. 15) καί. Abest a Cod. 1. 2.

a) Matth. 28, 19.

ἔτι υἱοὶ ἑκάστου ἀνδρὸς, ἀντὶ τοῦ, καὶ κοινῇ ἡ φύσις ἀκουσάτω τῶν λεγομένων, καὶ ἰδίᾳ ἕκαστος τὴν ὠφέλειαν καρπούσθω. ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης. κατὰ 1) ταὐτὸ καὶ οἱ πλούτῳ κομῶντες, καὶ οἱ πενίᾳ συζῶντες, τὴν παραίνεσιν 2) δέξασθαι. πλούτου γὰρ καὶ πενίας ὁ διδασκαλικὸς λόγος οὐκ οἶδε διαφοράν. δ'. Τὸ στόμα μου λαλήσει σοφίαν· καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. ε'. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου· ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. 3) Σοφίας, φησὶ, μεστὰ τὰ παρ' ἐμοῦ προσφερόμενα ῥήματα· μεμάθηκα δὲ ταῦτα 4) τοῖς ἐν βάθεσι κεκρυμμένοις 5) τοῦ Κυρίου λόγοις τὴν ἀκοὴν 6) ὑποθείς. ἃ δὲ διὰ τῆς ἀκοῆς ἐδεξάμην, ταῦτα ὡς δι' ὀργάνου προσφέρω τῆς γλώττης. βούλεται δὲ εἰπεῖν, ὅτι οὐδὲν ἴδιον φθέγγομαι, ἀλλὰ τῆς θείας εἰμὶ χάριτος ὄργανον. 7) παραβολὰς δὲ καλεῖ τοὺς αἰνιγματώδεις λόγους. καὶ 8) γὰρ ὁ Κύριος παραβολικῶς τοῖς ὄχλοις 9) διαλεγόμενος, τοῖς ἀποστόλοις κατ' οἶκον 10) τούτων τὰς ἑρμηνείας προσέφερεν. „ 11) διὸ ἐξ αὐτῶν τοῦ προσώπου καὶ οἱ ἔμπροσθεν ἀνεφωνοῦντο ψαλμοί. ὁ τοίνυν χορὸς ὁ ἀποστολικὸς τὴν σοφίαν τοῦ Θεοῦ δηλαδὴ τὸν Χριστόν· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· διὰ στόματος φέρων, ἔλεγε, τὸ στόμα μου λαλήσει σοφίαν. ἐπειδὴ τὸν Χριστὸν θεολογοῦντες εἰς πᾶν γένος ἀνθρώπων ἐκήρυττον τῷ ἑαυτῶν στόματι.

per filii cuiuslibet hominis, pro eo quod est, In commune humana natura audiat quæ dicuntur, et quilibet sigillatim percipiat. *Simul diues et pauper.* Simul et vos qui diuitiis affluitis, et vos qui paupertie pressi estis, admonitionem accipite. Nam doctrina huius sermonis diuitiarum et paupertatis differentiam non nouit. 4. *Os meum loquetur sapientiam, et meditatio cordis mei prudentiam.* 5. *Inclinabo ad parabolam aurem meam, aperiam in psalterio propositionem meam.* Verba mea, inquit, plena sapientiæ sunt. Hæc autem didici, verbis Domini, quæ in profundo demersa sunt, aurem accommodans. Quæ vero auribus percepi, per linguam velut per instrumentum profero. Vult autem dicere, se nihil proprium loqui, sed diuinæ gratiæ instrumentum esse. Porro *parabolas*, sermones ænigmate inuolutos appellat. Nam et Dominus per similitudines turbis locutus, harum interpretationes domi apostolis afferebat. „Propterea præcedentes etiam Psalmi ex eorum persona recitati sunt. Chorus itaque apostolicus sapientiam Dei, scilicet Christum, (Christus enim Dei virtus et Dei sapientia,) a) ore suo ferens, dixit, os meum loquetur sapientiam: siquidem Theologiam docentes Christum toti humano generi ore suo prædicarunt.

„In-

1) Cod. 2. τ' αὐτόν. 2) Cod. 1. 2. δέξασθε. 3) Σοφίας — χάριτος ὄργανον. Horum loco in Cod. 3. vbi EVSEBII nomen simul adscriptum est, pauca ista tantum exstant: Ταῦτα δὲ καὶ ἀπὸ τῶν ἁγίων ἀποστόλων δύναται λέγεσθαι. Ita quoque apud EVSEB. ad h. l. legitur. 4) τοῖς ἐν βάθεσι. Cod. 1. εἰς βάθος. Cod. 2. τοῖς βάθεσι τοῖς. 5) τοῦ. Cod. 2. præm. ἐν τοῖς. 6) Cod. 2. ἐπιθείς. 7) παραβολὰς — προσέφερεν. Hæc fere eadem sunt cum illis quæ EVSEB. ad h. l. habet. 8) Cod. 2. præm. ἅ. 9) διαλεγόμενος. Cod. 2. addit ἦν. 10) τούτων. Abest a Cod. 2. 11) E Cod. 3. suppl. Pauca illorum habet EVSEB. in Commentario ad h. l.

a) 1 Cor. 1, 24.

„ Intellectus vero eorum nihil aliud quam prudentiam meditabatur. Mens eorum autem adeo acuta erat, vt Parabolas Seruatoris noſtri omnes in ſacris euangeliis propoſitas intelligerent, antequam ipſe eas interpretaretur. Simulac itaque Saluator parabolas expoſuiſſet, interrogauit eos dicendo, a) num intellexiſtis hæc omnia? illi vero reſponderunt, Ita. Cor itaque eorum meditabatur prudentias. Deinde aperiam, inquit, in pſalterio propoſitionem meam. Ego enim, inquit, qui intellectum meum acui, vt ſenſum ſalutarium oraculorum perſpiciat, mentem quæ illis ineſt, aſſequi potui: iſtis autem qui ob intellectus imbecillitatem hoc non poſſunt, aperiam occulta, et exponam illis problemata ac parabolas, idque per Pſalterium meum faciam, ſcilicet per corporeum inſtrumentum; vtpote quod eſt inſtrumentum animæ intus habitantis, illi loco Pſalterii datum, vt ſuper illo hymnos in honorem Dei pulſet, ſenſuumque organa excitet, membra et partes corporis omnes ſcite movens. „ Hæc tanquam in exordio præfatus, exorditur deinceps admonitionem. *6. Cur timebo die malo? iniquitas calcanei mei circumdabit me.* Timeo et perhorreſco retributionis diem, in quo iuſtus iudex cuilibet

„ τὰ δὲ τῆς διανοίας αὐτῶν οὐδὲν ἕτερον ἢ συνέσεις ἐμελέτα. οὕτω δὲ αὐτῶν ἠκονῆτο πρὸς σύνεσιν ὁ νοῦς, ὡς τὰς παραβολὰς τοῦ σωτῆρος ἡμῶν τὰς ἐν τοῖς εὐαγγελίοις φερομένας συνεῖναι πάσας, καὶ πρὸ τῆς αὐτοῦ ἑρμηνείας. αὐτίκα γοῦν μετὰ τὴν ἔκθεσιν τῶν παραβολῶν ὁ μὲν σωτὴρ ἠρώτα αὐτοὺς λέγων, συνήκατε ταῦτα πάντα; οἱ δὲ λέγουσιν αὐτῷ, ναί. ἡ καρδία τοίνυν αὐτῶν ἐμελέτα συνέσεις. εἶτ' ἐπὶ τούτοις ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου· ἐγὼ μὲν γάρ, φησί, ἀκονήσας τὸ διανοητικόν μου εἰς σύνεσιν τῶν σωτηρίων παραβολῶν δεδύνημαι ἐπακολουθῆσαι τῇ ἐμφερομένῃ ἐν αὐταῖς διανοίᾳ· τοῖς δὲ μὴ τοῦτο πράττειν δυναμένοις διὰ νηπιότητα, ἀνοίξω τὰ 1) κεκρυμμένα καὶ διασαφήσω τὰ προβλήματα καὶ τὰς παραβολάς. καὶ ταῦτα πράξω διὰ τοῦ ἐμοῦ ψαλτηρίου τοῦ σωματικοῦ δηλαδὴ ὀργάνου· ὅπερ ὄργανον τῆς ἐνοικούσης ἐν αὐτῷ ψυχῆς τυγχάνον ἀντὶ ψαλτηρίου αὐτῇ παραδέδοται, πρὸς τὸ ἀνακρούεσθαι ἐν αὐτῷ τῷ Θεῷ τοὺς ὕμνους καὶ ἀναπέμπειν ἕκαστον αἰσθητήριον, καὶ μέλος καὶ μέρος τοῦ σώματος ἐπιστημόνως κινοῦσαν. „ 2) ταῦτα ὡς ἐν προοιμίῳ 3) διεξελθών, 4) ἄρχεται λοιπὸν τῆς παραινέσεως. ϛʹ. Ἱνατί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία 5) τῆς πτέρνης μου κυκλώσει με. 6) Δέδια καὶ τρέμω τὴν ἡμέραν τῆς 7) ἀνταποδόσεως, ἐν ᾗ ὁ δίκαιος κριτὴς 8) ἀνταποδώσει ἑκάστῳ κατὰ

1) κεκρυμμένα. Ita leg. eſſe videtur pro κεκλιμένα, quæ eſt lectio Codicis. 2) ταῦτα. Cod. 3. τὰ πρῶτα. 3) Cod. 3. διαλαλήσας. 4) ἄρχεται — παραινέσεως. Cod. 3. ἐντεῦθεν ἄρχεται τοῦ διδασκαλικοῦ λόγου. In Cod. ſequitur: καὶ δὴ πεῦσιν τίθησι καὶ τὴν πρὸς ταύτην ἀπόκρισιν συνάπτει. 5) τῆς πτέρνης μου. Hebr. עֲקֵבַי, quod in verſ. Syr. ſatis bene per ܒܥܩܒ̈ܬܝ expr. 6) Δέδια. Cod. 3. addit φησί. 7) Cod. 3. ἀντιδόσεως. 8) Codd. tres aug. ἀποδώσει.

a) Matth. 13, 51.

κατὰ τὰ ἔργα αὐτοῦ. 1) „τοῦτο δὲ γνόν-
„τες καὶ αὐτοὶ τὸν τοιοῦτον πρὸ ὀφθαλ-
„μῶν ἀναλάβετε φόβον. εἰ γὰρ ἐγὼ ὁ
„δεδυνημένος εἰπεῖν, τὸ στόμα μου λαλήσει
„σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου
„συνέσεις, κλινῶ εἰς παραβολὴν τὸ οὖς
„μου, μετὰ ταῦτα ἔμφοβός εἰμι καὶ ἔν-
„τρομος· διατί οὐχὶ καὶ ὑμεῖς; εἰ δέ τις
„πυνθάνοιτο ἱνατί φοβοῦμαι, ἀκουέτω με-
„τὰ παῤῥησίας· ἔστι τις ἡμέρα πονηρὰ
„περὶ ἧς μυρία ἐν ταῖς προφητικαῖς ἀ-
„ναφωνεῖται γραφαῖς." 2) αἴτιος δέ
μοι τοῦ δέους ὁ παράνομος βίος, δι' ὃν τῆς
εὐθείας ἐξετράπην ὁδοῦ. 3) τὴν γὰρ πτέρ-
ναν ἔνιοι μὲν τοῦ βίου τὴν ὁδὸν προσηγό-
ρευσαν· ἐγὼ δὲ οἶμαι, τὴν ἀπάτην αἰνίτ-
τεσθαι, ἐκ μεταφορᾶς τῶν δρομέων, 4) ὡς
καὶ ἤδη προειρήκαμεν, οἱ τῇ πτέρνῃ πολ-
λάκις τοὺς ἀνταγωνιστὰς καταβάλλουσι.
τοῦτο ἡμᾶς καὶ ὁ Ἡσαῦ ἐδίδαξεν ὀδυρό-
μενος· δικαίως γάρ, φησιν, ἐπεκλήθη τὸ
ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε 5) με γὰρ
ἤδη δεύτερον τοῦτο· 6) τά τε πρωτοτόκιά
μου εἴληφε, καὶ νῦν 7) ἔλαβε τὴν εὐλο-
γίαν μου. πονηρὰν δὲ 8) ἡμέραν τὴν τῆς κρί-
σεως προσηγόρευσε, κατὰ τὸ παρ' ἡμῖν
πολιτευόμενον ἔθος. εἰώθασι γὰρ πολλοὶ
κακὴν ὀνομάζειν ἡμέραν, ἐν ᾗ λυπηροῖς
τισὶν αὐτοὺς συμβαίνει περιπεσεῖν.
„9) εἰκότως τοίνυν οὕτως προσαγορεύεται,
„ὡς ἂν τῆς ἑκάστου πονηρίας οὖσα ἐλεγ-
„κτική. καὶ ὡς τὰς κολάσεις τοῖς ἀσε-
„βέσι διὰ τῆς περιμενούσης αὐτοῖς ὀργῆς
„ἐπάγουσα. διὰ τοῦτο κἀγὼ φρίττω ὁ
„ταῦτα φθεγγόμενος· ἡ γὰρ ἀνομία
„τῆς πτέρνης μου κατ' αὐτὴν ἐκείνην τὴν

secundum opera eius retribuet. „Hoc autem scientes eundem „præ oculis habeatis timorem. „Cum enim ego, qui dicere „potui, os meum loquetur sa- „pientiam, et meditatio cordis „mei prudentias, inclinabo ad „parabolam aurem meam, post- „ea timore et terrore correptus „fuerim, quidni etiam vos? Si „quis autem quæsiuerit, cur ti- „meam, audiat ingenue, esse „diem quendam malum, de quo „innumera in Scriptis Prophe- „tarum exstant testimonia." Causa autem timoris mihi est iniqua vita, per quam a recto tramite diuerti. *Calcaneum* enim quidam vitæ iter nuncuparunt: ego vero opinor, fraudem signi- ficare, ex translatione cursorum, vt iam superius diximus, qui cal- caneo sæpe aduersarios deiiciunt. Hoc et Esau lugens docuit nos, *a*) Iuste enim, inquit, vocatum est nomen eius Iacob: nam supplan- tauit me iam altera vice: pri- mogenita mea abstulit, et nunc surripuit benedictionem meam. Ceterum *diem malum*, iudicii diem vocauit, vsitato more no- stro. Diem enim malum multi nominare solent, quo accidit ipsis vt in aliquas calamitates incide- rent. „Merito itaque sic voca- „tur, vtpote qui vniuscuiusque „mala facta redarguet, et im- „pios pœnis propter iram illis „incumbentem afficiet. Propter- „ea etiam ego qui hæc loquor, „perhorresco. Iniquitas enim „calcanei mei eo ipso die „malo

1) E Cod. 3. suppl. Cum his conferenda sunt, quæ CORD. T. 1. p. 934. Nostro tribuit. 2) αἴτιος — ὁδοῦ. Def. in Cod. 3. 3) τὴν — εὐλογίαν μου. Hæc alium locum nacta sunt in Cod. 3. 4) ὡς — προειρήκαμεν. Def. in Cod. 3. 5) με. In Cod. 3. ponitur post γάρ. 6) Cod 3. τά. 7) ἔλαβε. Abest a Cod. 2. In Cod. 1. leg. εἴληφε. 8) ἡμέραν. In Cod. 3. ponitur post κρίσεως. 9) E Cod. 3. etiam suppl.

a) Gen. 27, 36.

„ malo me circumdabit. *Ini-
„ quitas* autem *calcanei* dicitur
„ viæ, qua incedentes hanc vi-
„ tam tranſigimus, declinatio ſi-
„ ve fraus. „ Sic et diuinus
apoſtolus iudicii diem vocat, a)
Secundum duritiam tuam au-
tem, et impœnitens cor, inſtar
theſauri reponis tibi iram die
iræ, et reuelationis et iuſti iu-
dicii Dei, qui retribuet cuilibet
ſecundum opera ſua. 7. *Qui
confidunt in virtute ſua, et in
multitudine diuitiarum ſuarum
gloriantur.* Ego quidem, inquit,
horreo et contremiſco diem qui
exſpectatur. Vos vero, qui di-
vitiis affluitis, illius diei nullam
geritis curam, ſed diuitiarum ſu-
perbia elati, rebus fluxis, tan-
quam ſtabilibus, confiditis. 8. *Fra-
ter non redimit; redimet homo?
non dabit Deo placationem ſuam.*
9. *Et pretium redemtionis animæ
ſuæ.* Scire autem vos oportebat,
nec maiorum aut fratrum pieta-
tem ac virtutem iis qui his ca-
rent prodeſſe: nec poſt exceſ-
ſum ex hac vita ſalutem opi-
bus comparari. In hac enim
vita pretium redemtionis viri,
(vt ait ſapiens,) b) propriæ di-
vitiæ ſunt. Hoc conſilio eos
qui opibus abutuntur exhor-
tatus, ad virtutis operarios
ſermonem transfert, dicens:
Et laborauit in æternum. 10. *Et*

„ πονηρὰν κυκλώσει με. Ἀνομία δὲ πτέρ-
„ νης λέλεκται ἡ τῆς ὁδοῦ, καθ' ἣν τὸν
„ παρόντα βίον διανύομεν, παρεκτροπὴ
„ ἤγουν 1) ἀπάτη. „ οὕτω καὶ ὁ θεῖος ἀ-
πόστολος τὴν τῆς κρίσεως ἡμέραν καλεῖ.
κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετα-
νόητον καρδίαν, θησαυρίζεις 2) ἑαυτῷ
ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύ-
ψεως 3) καὶ δικαιοκρισίας Θεοῦ, ὃς ἀπο-
δώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ζ'. Οἱ
πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ
ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώ-
μενοι. Ἐγὼ μέν, φησι, δέδια καὶ τρέ-
μω τὴν προσδοκωμένην ἡμέραν· ὑμεῖς δὲ
οἱ τῷ πλούτῳ κομῶντες, ἐκείνης μὲν οὐδε-
μίαν 4) ποιεῖσθε φροντίδα, τῇ δὲ ὑπερη-
φανίᾳ τῆς περιουσίας μεγαλαυχούμε-
νοι, ὡς μονίμοις θαῤῥεῖτε τοῖς ῥέουσιν.
η'. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται
ἄνθρωπος; οὐ δώσει τῷ Θεῷ 5) ἐξίλα-
σμα ἑαυτοῦ. θ'. 6) Καὶ τὴν τιμὴν τῆς λυ-
τρώσεως τῆς ψυχῆς αὐτοῦ. Ἔδει δὲ
συνιδεῖν 7) ὑμᾶς, ὡς οὔτε προγόνων καὶ ἀ-
δελφῶν ἀρετή, καὶ εὐσέβεια, τοὺς τούτων
γεγυμνωμένους ὀνίνησιν, οὔτε μετὰ τὴν ἐν-
τεῦθεν ἐκδημίαν δυνατὸν διὰ χρημάτων
πορίσασθαι σωτηρίαν. κατὰ γὰρ τὸν
παρόντα βίον λύτρον ἀνδρὸς, ἡ φησὶν ὁ
σοφὸς, ὁ ἴδιος πλοῦτος. ταύτην προσενεγ-
κὼν τοῖς 8) πλούτῳ κακῶς κεχρημένοις
τὴν συμβουλὴν, πρὸς τοὺς τῆς ἀρετῆς ἐρ-
γάτας μεταφέρει τὸν λόγον, καί φησι·
Καὶ 9) ἐκοπίασεν εἰς τὸν αἰῶνα. ι'. Καὶ
ζή-

1) ἀπάτη. In Cod. ſequitur ἐκ μεταφορᾶς — εὐλογίαν μου. Hæc in Codicibus reliquis, vt in Textu *firm.* locum in ſuperioribus obtinuerunt. 2) Cod. 1. σεαυτῷ. 3) καί. Abeſt quidem a Cod. 1. exſtat autem in Cod. 2. 4) ποιεῖσθε. Abeſt a Cod. 1. 5) ἐξίλασμα ἑαυτοῦ. Hebr. כָּפְרוֹ *pretium redemtionis ſuæ.* 6) τὴν τιμήν. Hebr. יְקַר quod Syrus adiectiue expoſuit, *pretioſa*, ſ. pretioſior *eſt.* 7) ὑμᾶς. Cod. 2. ἡμᾶς. 8) πλούτῳ. Cod. 1. 2. præm. τῷ. 9) ἐκοπίασεν. Niſi Codices et editiones, quantum ſcimus, omnes, in hac le-
ctione

a) Rom. 2, 5. b) Prov. 13, 8.

ζήσεται εἰς τέλος. ια΄. 1) Οὐκ ὄψεται καταφθορὰν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας. 2) Ὁ γὰρ τοὺς ὑπὲρ 3) εὐσεβείας καὶ δικαιοσύνης ὑπομείνας 4) ἱδρῶτας, καὶ τοὺς ὑπὲρ τῶν αἰωνίων ἀγαθῶν ἀναδεξάμενος 5) πόνους, τὴν ἀνώλεθρον ἔχει ζωὴν τῶν πόνων καρπόν· καὶ τοῖς τοῦ κόσμου σοφοῖς, οὓς μωροὺς ὁ ἀποστολικὸς ὀνομάζει λόγος, οὐ κοινωνήσει τῆς αἰωνίου φθορᾶς, καὶ τῆς ἀεὶ τιμωρίας. ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται. 6) Οὗτοι γάρ φησιν οἱ καλούμενοι σοφοὶ, οὐδεμίαν ἐκ τῆς σοφίας ὠφέλειαν 7) εὑράμενοι, τὸν αὐτὸν τοῖς ἀμαθέσι τίσουσιν ὄλεθρον. 8) Οὕτω γὰρ ὁ Σύμμαχος ἡρμήνευσεν. ὁμοῦ ἀνόητος καὶ ἀμαθὴς ἀπολοῦνται. καὶ καλεῖ μὲν ἀνόητον τὸν καλούμενον σοφὸν, ὡς συνεῖναι τὸ δέον οὐκ ἐθελήσαντα· ἀμαθῆ δὲ τὸν τῆς μὲν σοφίας ἀμύητον, κακίᾳ δὲ ὅμως συζήσαντα. Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. ιβ΄. Καὶ 9) οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα· σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν. 10) Οὐ μόνης δὲ τῆς σοφίας, ἀλλὰ καὶ τῆς δυναστείας, καὶ τῆς περιουσίας γυμνωθέντες ἁπάσης, δέξονται τοῦ βίου τὸ τέλος, ἀπὸ τῶν περιφανῶν οἰκιῶν τοῖς τάφοις παραπεμπόμενοι, καὶ 11) ταύτας οἰκεῖν δι' αἰῶνος ἀναγκαζόμενοι. ἐπεκαλέσαν-

viuet in finem. 11. *Et non videbit interitum, cum viderit sapientes morientes.* Qui enim pro pietate et iustitia sudores sustinuit, et pro sempiternis bonis labores suscepit, immortalem vitam, tanquam laborum fructum habet, et cum huiusmodi sapientibus, quos stultos apostoli sententia nominat, sempiterni interitus æternique supplicii particeps non erit. *Simul insipiens et stultus peribunt.* Nam, inquit, isti qui vocantur sapientes, nullam ex hac sapientia vtilitatem nacti, eandem mortem subibunt, quam insipientes. Sic enim Symmachus interpretatus est, *Simul fatuus et imperitus peribunt.* Et vocat quidem *fatuum* eum, qui sapiens vocatur, tanquam illum qui quod decebat scire noluerit. *Imperitum* vero eum, qui omnis sapientiæ expers est, cum malitia tamen vitam degit. *Et relinquent alienis diuitias suas.* * 12. *Et sepulcra eorum domus eorum in æternum: tabernacula eorum in progenie et progenie.* Non modo autem sapientia, verum etiam potentia, et omnibus opibus priuati, finem vitæ accipient, ab illustribus domibus ad sepulcra translati, et hæc perpetuo inhabitare cogentur. *Vocauerunt*

ctione consentirent, putaremus, legendum esse ἐκόπασεν. In Textu enim hebr. est וְחָדֵל quod *Aquila* bene vertit, ἐπαύσατο. *Symm.* παυσάμενος.

1) Οὐκ — καταφθοράν. Hæc præcedentibus adiungi debuissent. 2) Ὁ γὰρ — τιμωρίας. Des. in Cod. 3. 3) εὐσεβείας. Cod. 2. præm. τῆς. 4) ἱδρῶτας. Cod. 1. ἀγῶνας, adscripta tamen lectione altera. 5) πόνους. Cod. 1. κόπους, altera tamen lectione adscr. 6) Οὗτοι γάρ φησιν. Des. in Cod. 3. 7) Cod. 1. εὑρόμενοι. 8) Οὕτω — ἐθελήσαντα. Des. apud CORD. p. 937. 9) οἱ τάφοι αὐτῶν. Hebr. קִרְבָּם *Medium* s. interius *eorum*, h. e. ardentissimum desiderium eorum. Sed communis, quam omnes Interpretes antiquiores secuti sunt, lectio, fuisse videtur קִבְרָם. 10) Οὐ — σοφίας. Des. in Cod. 3. 11) Cod. 2. et 3. τούτους.

runt nomina sua in terris. Et quidem, inquit, ab eorum nominibus eorum prædia nominantur. Illius enim est domus, et illius est fundus, et illius est feruus. Verum cum dominio mutatur appellatio nominum. Sicut enim res ab illis derelictæ ad nouos dominos transeunt, sic etiam fiet nominum immutatio: rursus enim ab his appellationes imponentur. Omnino autem hæc verba docent nos, ne spem in rebus præsentibus collocemus, sed futurarum curam geramus. 13. *Homo cum in honore esset, non intellexit: comparatus est iumentis insipientibus, et similis factus est illis.* Porro causam huius insipientiæ dicit esse, quod nos proprium honorem intelligere nolumus, et dignitatem, quæ a Deo data est nobis, sed iumentorum, ferarumque vitam amplectimur. 14. *Hæc via illorum scandalum ipsis.* In absurditatem autem istam inciderunt, quod pessimis a principio moribus imbuti fuerint, et ad pessimas actiones diverterint. *Viam* enim actiones nominauit. *Et postea in ore suo complacebunt.* Pœnitentia vero post obitum vtentur, nihil ex ea lucri acquirentes. 15. *Sicut oues in inferno positi sunt, mors pascet eos.* Hoc apertius Symmachus interpretatus est, *Sicut oues inferorum constituerant*

το τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν 1) γαιῶν. καὶ μήν φησιν ἀπὸ τῶν ὀνομάτων αὐτῶν τὰ 2) κτήματα αὐτῶν προσηγόρευται. τοῦ δεῖνος γὰρ ἡ οἰκία, καὶ τοῦ δεῖνος ὁ ἀγρὸς, 3) καὶ τοῦ δεῖνος ὁ οἰκέτης· 4) ἀλλὰ σὺν τῇ δεσποτείᾳ 5) ἡ τῶν ὀνομάτων ἀμείβεται προσηγορία. ὥσπερ γὰρ ἕτεροι κύριοι τῶν ὑπ᾽ ἐκείνων καταλειφθέντων ἐγένοντο, οὕτω γενήσεται καὶ τῶν ὀνομάτων ἐναλλαγή. πάλιν γὰρ ἐκ τούτων αἱ προσηγορίαι τεθήσονται. διὰ πάντων δὲ ἡμᾶς ὁ λόγος 6) διδάσκει, μὴ θαῤῥεῖν τοῖς παροῦσιν, ἀλλὰ τῶν μελλόντων ἐπιμελεῖσθαι. ιγ΄. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ 7) συνῆκε. παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ 8) ὡμοιώθη αὐτοῖς. Ταύτης δέ φησιν αἴτιον τῆς ἀνοίας, τὸ μὴ θελῆσαι συνιέναι ἡμᾶς τὴν 9) οἰκείαν τιμὴν, καὶ τὴν παρὰ τοῦ Θεοῦ δοθεῖσαν ἡμῖν ἀξίαν· ἀλλὰ τὸν κτηνώδη καὶ θηριώδη βίον ἀσπάσασθαι. ιδ΄. Αὕτη ἡ ὁδὸς αὐτῶν 10) σκάνδαλον αὐτοῖς. Εἰς δὲ τὴν ἀλογίαν ἐξέπεσον, κάκιστον ἐξ ἀρχῆς ἐσχηκότες τρόπον, καὶ ἐπὶ τὰς πονηρὰς ἐκκλίναντες πράξεις. ὁδὸν γὰρ τὰς πράξεις ὠνόμασεν. καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν 11) εὐδοκήσουσιν. μεταμελείᾳ δὲ χρήσονται μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν, οὐδὲν ἐκ ταύτης λοιπὸν πορίζόμενοι κέρδος. ιε΄. Ὡς πρόβατα ἐν ᾅδῃ 12) ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς. 13) Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· ὡς 14) πρόβατα ᾅδου ἔταξαν ἑαυ-

1) γαιῶν. In verf. gr. sequ. αὐτῶν. 2) κτήματα. Cod. 2. κτήνη. 3) καὶ — οἰκέτης. Def. in Cod. 3. 4) ἀλλὰ σὺν τῇ. Cod. 2. ἀλλ᾽ αὕτη. 5) Cod. 2. τῇ. Cod. 3. καὶ ἡ. 6) Cod. 3. διδάσκων. 7) συνῆκε. Hebr. יָלִין pro quo hi Interpretes leg. יָבִין 8) ὡμοιώθη. Hebr. נִדְמוּ excisi sunt, s. exscindentur. 9) οἰκείαν. Cod. 2. ἰδίαν. 10) σκάνδαλον. Hebr. כֶּסֶל stultitia. *Aqu.* ἀνοησίας. *Symm.* ἀνοίας. 11) εὐδοκήσουσιν. Hæc est lectio Cod. *alex.* Codex *vatic.* habet εὐλογήσουσιν. 12) Cod. 2. ἔθετο. 13) Τοῦτο — νεμήσει αὐτούς. Def. in Cod. 1. et apud CORD. p. 940. 14) πρόβατα. MONTF. in Hexapl. *Symmacho* tribuit lectionem βοσκήματα. Ita quoque EVSEB. ad h. l.

1) ἑαυτοὺς, θάνατος νεμήσει αὐτούς. αὐτοὶ γὰρ ἑαυτοῖς τὰς κολάσεις προὐξένησαν, καὶ τὸν θάνατον προείλοντο τῆς ζωῆς. Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ· καὶ 2) ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ, 3) ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν. Οἱ δὲ νῦν ὑπ' αὐτῶν ἀδικούμενοι καὶ 4) καταφρονούμενοι, τὴν κατ' 5) αὐτοὺς οὐκ εἰς μακρὰν χρήσουσιν ἐξουσίαν. πάσης γὰρ τῆς προτέρας 6) εὐημερίας γεγυμνωμένοι τῷ θανάτῳ παραδοθήσονται. 7) συνᾴδει 8) δὲ τούτοις 9) καὶ ἡ τοῦ Κυρίου παραβολὴ, τὸν μὲν Λάζαρον ἐν τοῖς κόλποις δεικνῦσα τοῦ Ἀβραάμ· τὸν δὲ ἀλαζόνα πλούσιον πικρῶς κολαζόμενον, καὶ τοῦ πένητος 10) ἱκέτην γινόμενον· 11) οὕτω τὸ ἐκείνων τέλος διεξελθὼν, ἱκετείαν τῷ Θεῷ προσφέρει· ὁ τούτοις 12) δὲ χρησάμενος τοῖς λόγοις, μὴ τὴν αὐτὴν ἐκείνοις τελευτὴν ὑπομεῖναι 13) αἰτεῖ. 14) Φησὶ δὲ οὕτως· ιϛ΄. Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. Μετὰ ταῦτα τοῖς πενίᾳ συμβιοτεύουσι, καὶ διὰ τὴν 15) τῶν πλουσίων τρυχομένοις ἀλαζονείαν, εἰσήγησιν εἰσφέρει καὶ συμβουλήν. ιζ΄. Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, 16) ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐ-

se ipsos, mors depascet eos: ipsi enim supplicia sibi adsciuerunt, et mortem vitæ prætulerunt. *Et dominabuntur eis iusti in matutino, et auxilium eorum veterascet in inferno, et a gloria sua deiecti sunt.* Qui vero nunc ab ipsis iniuria afficiuntur et despiciuntur, potestatem breui contra ipsos habebunt. Nam omni pristina felicitate spoliati, morti tradentur. Consonat autem cum his Domini Christi parabola, a) Lazarum quidem in sinu Abrahami ostendens, superbum diuitem * autem acerbis cruciatibus affectum et ad pauperem illum preces suas dirigentem. Sic illorum fine declarato, petitionem Deo offert. Qui his autem verbis vtitur, petit, ne eundem cum illis finem patiatur; dicit autem sic: * *16. Veruntamen Deus redimet animam meam de manu inferni, cum acceperit me.* Post hæc iis qui inopia premuntur, et a diuitum superbia conculcantur, consilium et admonitionem affert. *17. Ne timueris, cum diues factus fuerit homo, et cum multiplicata fuerit gloria domus eius.*

1) ἑαυτούς. Cod. 2. αὐτούς. 2) ἡ βοήθεια αὐτῶν. Hebr. צירם (sec. Kth.) *figura eorum.* *Aqu.* χαρακτὴρ αὐτῶν. *Symm.* autem, qui lectionem marginalem צורם sequutus est, τὸ κρατερὸν αὐτῶν. 3) ἐκ — ἐξώσθησαν. Hebr. מִזְּבֻל לוֹ quibus illustrandis in Cod. *alex.* subiungitur ἐξώσθησαν, quod additamentum a Cod. *vatic.* quidem abest, in vers. autem *syr.* et *arab.* exstat. 4) καταφρονούμενοι. In Cod. 1. ponitur ante ἀδικούμενοι καί. 5) Cod. 1. 2. αὐτῶν. 6) εὐημερίας. In Cod. 2. sequitur post γεγυμνωμένοι. 7) συνᾴδει — διεξελθών. Def. apud CORD. p. 940. 8) δέ. Abest a Codd. *aug.* 9) καί. Def. in Cod. 3. 10) ἱκέτην. Cod. 2. οἰκέτην, ex errore, vt videtur, Librarii. 11) οὕτω — Φησὶ δὲ οὕτως, Def. in Cod. 3. 12) δὲ χρησάμενος. Cod. 1. 2. κεχρημένος. 13) αἰτεῖ. Abest a Cod. 1. 2. 14) Φησὶ δὲ οὕτως. Def. in Cod. 2. 15) Cod. 2. τοῦ πλουσίου. 16) ἤ. Cod. *vatic.* καί.

a) Luc. 16.

eius. 18. *Quoniam cum interierit, non sumet omnia: neque descendet cum eo gloria eius.* Ne magni, inquit, feceris praesentem felicitatem: non enim stabiles sunt insignes diuitiae. Nam qui propter illas supercilia contrahunt, et maxillas inflant, paulò post, omnibus derelictis, morti tradentur. 19. *Quia anima eius in vita ipsius benedicetur.* Aliqui, ait, diuitiis affluentem dum viuit beatum praedicant, at mortuum miserrimum nominant. *Confitebitur tibi, cum benefeceris ei.* Hoc manifestius Symmachus dixit, *Laudabit te, si benefeceris ipsis.* Haec enim est vera laus, non modo viuum, verum etiam mortuum celebrem et clarum esse. His autem laudibus dignus est, qui diuitiis ad sui vtilitatem vsus est: quandoquidem beneficia in alios collata ad ipsum beneficii auctorem reuertuntur. 20. *Introibit vsque ad progenies patrum suorum, et in aeternum non videbit lumen.* Pro *introibit*, tres alii interpretes *introibis* verterunt. Videbis, inquit, hunc ad quem dixi, Ne timeas cum diues factus fuerit homo, eandem mortem sustinere, quam eius maiores, et non modo hoc, verum etiam sempiterno lumine priuatum. 21. *Homo cum in honore esset, non intellexit: comparatus est iumentis*

τοῦ. ιη΄. Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ. Μὴ μέγα τί φησι νόμιζε τὴν 1) παροῦσαν εὐημερίαν. οὐ μόνιμος γὰρ ὁ περίβλεπτος πλοῦτος· οἱ γὰρ ἐπὶ τούτῳ τὰς 2) ὀφρῦς ἀνασπῶντες, καὶ τὰς γνάθους φυσῶντες, μικρὸν ὕστερον τὰ πάντα καταλείψαντες, τῷ θανάτῳ παραδοθήσονται. ιθ΄. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν 3) ζωῇ αὐτοῦ εὐλογηθήσεται. Ζῶντά φησι τὸν πλούτῳ κομῶντά τινες μακαρίζουσιν· ἀποθανόντα 4) μέντοι τρισάθλιον ὀνομάζουσιν· 5) ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς 6) αὐτῷ. τοῦτο σαφέστερον ὁ Σύμμαχος εἴρηκεν· 7) ἐπαινέσει σε 8) ἐὰν καλῶς ποιήσῃς 9) αὐτοῖς. οὗτος γὰρ ὁ ἀληθὴς ἔπαινος, τὸ μὴ μόνον ζῶντα, ἀλλὰ καὶ τετελευτηκότα ἀοίδιμον εἶναι καὶ πολυθρύλλητον. ἄξιος δὲ 10) τοιούτων ἐπαίνων ὁ εἰς οἰκείαν ὠφέλειαν τὸν πλοῦτον οἰκονομήσας. 11) ἡ γὰρ εἰς τοὺς ἄλλους εὐεργεσία εἰς αὐτὸν ἀνατρέχει τὸν εὐεργέτην. κ΄. Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ 12) ὄψεται φῶς. 13) Ἀντὶ τοῦ εἰσελεύσεται, εἰσελεύσῃ οἱ τρεῖς ἡρμήνευσαν. ὄψει, φησὶ 14) τοῦτον πρὸς ὃν εἶπον, μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, τὸν αὐτὸν τοῖς πατράσιν ὑπομένοντα θάνατον· καὶ οὐ μόνον τοῦ παρόντος φωτὸς, ἀλλὰ καὶ τοῦ αἰωνίου στερούμενον. κα΄. 15) Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, παρασυνεβλήθη τοῖς κτήνεσι

τοῖς

1) παροῦσαν. Abest a Cod. 2. 2) Cod. 1. ὀφρύας. 3) ζωῇ. Cod. 1. 2. praem. τῇ, vt in vers. τῶν ό. 4) μέντοι. Cod. 2. δέ. 5) ἐξομολογήσεται — αὐτῷ. Longe melius sensum Textus hebr. ita expr. *Symm.* teste MONTF. in Hexapl. ad h. l. ἀλλὰ τὴν ψυχὴν αὐτοῦ ἐν τῷ ζῆν αὐτὸν εὐλογήσει, λέγων ἐν ἑαυτῷ (Haec de suo ad illustranda sequentia adposuit), ἐπαινέσουσί σε ἐὰν καλῶς ποιῇς σεαυτῷ. 6) Cod. 2. αὐτόν. 7) Cod. 1. 2. ἐπαινέσουσι. 8) ἐάν. Cod. 1. ὅταν. 9) Cod. 1. ἑαυτῷ. Minus bene. 10) τοιούτων. Cod. 1. praem. τῶν. 11) ἡ γὰρ — εὐεργέτην. Des. apud CORD. p. 942. 12) ὄψεται. Hebr. יראו *videbunt.* 13) Ἀντὶ — ἡρμήνευσαν. Des. apud CORD. l. c. 14) τοῦτον. Cod. 1. 2. addunt σύ. 15) καὶ — αὐτοῖς. Vid. p. 920. n. 7. 8.

τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Αἰτία 1) δὲ τούτων ἡ κτηνώδης ζωὴ, ἣν τῶν ἀνθρώπων οἱ πλείους προείλοντο, τὴν παρὰ τοῦ Θεοῦ δεδομένην ἀποβεβληκότες τιμήν. λογικοὶ γὰρ 2) λεγόμενοι, τὴν ἀλογίαν ἠγάπησαν.

insipientibus, et similis factus est illis. Causa autem horum est vita belluina, quam plerique homines elegerunt, obliti honoris a Deo collati. Qui enim rationis participes dicuntur, sensum rationis expertem dilexerunt.

ΕΡΜΗΝ. ΤΟΥ μθ'. ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Ἀσάφ. 3) Ἄλλου χοροῦ 4) ψαλμῳδῶν χοροδιδάσκαλος οὗτος, ὡς ἡ τῶν παραλειπομένων ἐδίδαξεν ἱστορία. 5) τὰ μὲν γὰρ ἀπὸ τοῦ τεσσαρακοστοῦ 6) πρώτου 7) προηρμηνευμένα οἱ Κορὲ υἱοὶ, κορυφαῖοι καὶ αὐτοὶ χοροῦ ἑτέρου γενόμενοι, ᾄδειν ἐνεχειρίσθησαν. ἔχουσι δὲ καὶ ἄλλους ψαλμοὺς, τὴν αὐτῶν ἐπιγραφὴν ἔχοντας, οὓς, εἰ ὁ Θεὸς 8) ἐπιτρέψειεν, ἑρμηνεύσομεν. ὁ 9) δὲ παρὼν ψαλμὸς, τῷ Ἀσὰφ ἀνακείμενος, σύμφωνός ἐστι τῷ προτεταγμένῳ ψαλμῷ· καὶ αὐτὸς γὰρ τὸ μέλλον 10) προσαγορεύει κριτήριον, καὶ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐπιφάνειαν. προαγορεύει μέντοι καὶ τὴν καινὴν διαθήκην, δεικνὺς τὴν κατὰ νόμον λατρείαν οὐ θυμήρη Θεῷ. Θεὸς Θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. 11) Καὶ ὁ πρὸ τούτου ψαλμὸς πάντας ἀνθρώπους εἰς διδασκαλίαν ἐκάλεσε, καὶ οὗτος ὡσαύτως πάντα τῆς οἰκουμένης τὰ πέρατα. τὸ γὰρ ἀπὸ ἀνατολῶν ἡλίου 12) μέχρι δυσμῶν τοῦτο δηλοῖ. τὸ δὲ Θεὸς Θεῶν, οἱ τρεῖς ἑτέρως ἡρμήνευσαν, ἰσχυρὸς 13) Θεὸς λαλήσας ἐκάλεσε τὴν γῆν. οἱ

* INTERP. PS. XLIX.

1. Psalmus Asapho. Hic est magister cantorum alius chori, ut historia Paralipomenon nos docuit. Nam ea, quæ a quadragesimo primo psalmo exposita sunt, filiis Core, alius chori principibus, ad canendum commissa fuerunt. Habent vero et alios psalmos, quibus eorum inscriptio est, quos si Deus permiserit explicabimus. Præsens autem psalmus Asapho attributus, consonus est proxime præcedenti psalmo. Etenim hic etiam futurum iudicium prædicit, et Dei ac Saluatoris nostri aduentum. Vaticinatur etiam nouum testamentum, ostendens legalem cultum minime Deo gratum. *Deus deorum Dominus locutus est, et vocauit terram, a solis ortu vsque ad occasum.* Præcedens etiam psalmus cunctos homines ad doctrinam accersiuit: hic quoque itidem omnes fines orbis terrarum aduocat. Hoc enim significat, *A solis ortu ad occasum vsque.* Illud vero, *Deus deorum*, a tribus interpretibus aliter expressum est, *Fortis Deus locutus vocauit terram.*

 Cete-

1) δέ. Cod. 3. add. φησί. 2) λεγόμενοι. Cod. 3. γενόμενοι. 3) Ἄλλου. Cod. 3. Ἀλλ' οὐδέ. 4) Cod. 3. ψαλτῳδῶν. 5) τὰ — θυμήρη Θεῷ. Def. in Cod. 3. et maxima ex parte etiam apud CORD. p. 962. Pro τὰ Cod. 2. habet ταῦτα. 6) πρώτου. Cod. 2. addit ψαλμοῦ. 7) προηρμηνευμένα. Cod. 1. εἰρημένα. Cod. 2. προερμηνευθέντα. 8) Cod. 2. ἐπιτρέψει. 9) δέ. Cod. 1. 2. add. γε. 10) Cod. 1. προαναγορεύει. 11) Καὶ — δηλοῖ. Def. in Cod. 3. 12) μέχρι. Cod. 1. præm. καί. 13) Θεός. MONTF. in Hexaplis ad h. l. addit Κύριος.

Ceterum Septuaginta *deos* nominant illos, qui imperium sortiti sunt, et iudicandi officium commissum habent, quod solius Dei proprium est. Hoc nos docet octogesimus primus psalmus, qui etiam Asapho inscriptus est. Nam cum dixisset: *a)* Deus stetit in Synagoga deorum, in medio autem deos iudicat; subiunxit, *b)* Quousque iudicatis iniquitatem, et facies peccatorum respicitis? Ius dicite pupillo, et egeno: humilem, et pauperem iustificate. Porro id ad sacerdotes et ad alios pertinet, quibus mandatum est vt ius reddant. Sic etiam lex præcipit: *c)* Diis ne maledixeris, nec principi populi tui maledicas. Proprie autem *dii* vocari possunt, quicumque ad diuinam imaginem facti sunt, et sinceram imaginem conseruant. Horum enim Deus vniuersum orbem terrarum congregat in iudicium. 2. *E Zione species decoris eius.* Hic autem ipse est Deus, qui in Zione suum decorem, pulchritudinemque ostendit, et salutarem * crucem perpessus * est, qui in psalmis superius explanatis nominatus est speciosus forma præ filiis hominum. 3. *Deus manifesto veniet, Deus noster, et non silebit.* Ne enim arbitremini, aduentum secundum priori similem fore. Tunc enim propriam maiestatem humilitate et

δὲ ἑβδομήκοντα θεοὺς ὀνομάζουσι τοὺς ἄρχειν λαχόντας, καὶ κρίνειν πεπιστευμένους, ὅπερ ἴδιον μόνου Θεοῦ. τοῦτο ἡμᾶς ὁ ὀγδοηκοστὸς πρῶτος διδάσκει ψαλμὸς, καὶ αὐτὸς τῷ Ἀσὰφ ἐπιγεγραμμένος. εἰρηκὼς γὰρ, ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ· ἐπήγαγεν, ἕως πότε κρίνετε ἀδικίαν, καὶ 1) πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; κρίνατε ὀρφανῷ καὶ πτωχῷ. ταπεινὸν καὶ πένητα δικαιώσατε. τοῦτο δὲ ἱερέων ἴδιον, καὶ τῶν ἄλλων, ὅσοι τὸ δικάζειν ἐνεχειρίσθησαν. οὕτω καὶ ὁ νόμος διαγορεύει, θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· 2) κυρίως δ' ἂν θεοὶ κληθεῖεν οἱ 3) κατ' εἰκόνα 4) θείαν γεγενημένοι, καὶ ἀκήρατον τὴν εἰκόνα φυλάξαντες. ὁ 5) γὰρ τούτων Θεὸς πᾶσαν συνάγει τὴν οἰκουμένην εἰς τὸ 6) δικαστήριον. β'. Ἐκ Σιὼν 7) εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. 8) Αὐτὸς δὲ οὗτός ἐστιν ὁ ἐν τῇ Σιὼν τὴν οἰκείαν εὐπρέπειαν καὶ ὡραιότητα δείξας, καὶ τὰ σωτήρια καταδεξάμενος πάθη, 9) ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ὀνομασθεὶς ἐν τοῖς 10) ἑρμηνευθεῖσι 11) ψαλμοῖς. γ'. 12) Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. Μὴ γὰρ δὴ νομίσητε κατὰ τὴν προτέραν αὐτοῦ παρουσίαν, καὶ τὴν δευτέραν 13) γενήσεσθαι. τότε μὲν γὰρ τῇ εὐτελείᾳ καὶ τῇ πτωχείᾳ συνεκάλυ-

ψε

1) Cod. 2. πρόσωπον. 2) κυρίως. Cod. 3. εὐλόγως. 3) κατ' εἰκόνα. Cod. 3. et CORD. præm. τό. 4) θείαν — εἰκόνα. Def. in Cod. 3. et apud CORD. l. c. 5) γάρ. Def. in Codd. *aug.* 6) δικαστήριον. Codd. tres *aug.* κριτήριον. 7) εὐπρέπεια. In Codd. nostris, et in verf. τῶν ό., præc. ἡ. Hebr. מִכְלַל־יֹפִי quod *Aquila* ad Zionem transtulit, vertens, τετελεσμένης κάλλει. 8) Αὐτὸς δὲ. Def. in Cod. 3. 9) ὁ — ψαλμοῖς. Def. apud CORD. p. 964. 10) Cod. 2. προερμηνευθεῖσι. 11) ψαλμοῖς. Abest a Cod. 3. 12) ὁ Θεὸς ἐμφανῶς. Hæc ad præc. versic. referri debuissent. Hebr. הוֹפִיעַ *Aqu.* ἐπεφάνη. 13) γενήσεσθαι. Cod. 2. addit ὁμοίως.

a) Pf. 81, 1. b) Ib. v. 2. 3. c) Exod. 22, 28.

ψε τὴν οἰκείαν μεγαλοπρέπειαν· νῦν δὲ προφανῆ δείξει 1) πᾶσι τὴν δεσποτείαν, καὶ τὴν βασιλείαν, οὐκέτι μακροθυμίᾳ χρώμενος, ἀλλὰ κρίνων δικαίως. τοῦτο γὰρ εἶπεν, οὐ παρασιωπήσεται. πῦρ 2) ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά. ταῦτα 3) ὁ 4) μακάριος 5) Δανιὴλ ἐθεάσατο. ποταμὸς γάρ φησι πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. δ'. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, 6) τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. Καὶ τὴν νομοθεσίαν ποιησάμενος, τῷ 7) μακαρίῳ προσέταξε Μωσῇ συναγαγεῖν τὸν λαὸν, καὶ διαμαρτύρασθαι τὸν οὐρανὸν, καὶ τὴν γῆν. ὅπερ καὶ τῆς ᾠδῆς τοῦτο προοίμιον ἐποιήσατο· πρόσεχε οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. καλεῖ δὲ εἰς μαρτυρίαν οὐχ ὡς ἔμψυχα 8) ταῦτα, ἀλλ' ὡς τῶν ἄλλων περιεκτικὰ ποιημάτων, εἰς φόβον τῶν ἀκουόντων. οὕτως ὁ 9) μακάριος Ἀβραὰμ 10) τὰς ἑπτὰ ἀμνάδας ἔστησεν εἰς μαρτύριον, 11) καί φησιν, ὅτι ἐμόν ἐστι τὸ φρέαρ. οὕτω τὸν βουνὸν ὁ Ἰακὼβ, καὶ ὁ Λάβαν βουνὸν μαρτυρίας 12) ἐκάλεσεν. ε'. Συναγάγετε 13) αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην 14) αὐτοῦ ἐπὶ θυσίαις. ς'. Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστι. Διὰ μὲν τῶν προειρημένων τὸ φοβερὸν αὐτοῦ κριτήριον ἔδειξε· διὰ δὲ τού-

pauperie obtexit: nunc autem manifestum omnibus ostendet imperium et regnum, non amplius longanimitate vtens, sed iuste iudicans. Hoc enim innuit illud, *non silebit*. *Ignis in conspectu eius exardescet, et in circuitu eius tempestas vehemens.* Hæc beatus Daniel contemplatus est: Fluuius enim, inquit, *a*) ignis trahebat ante ipsum, solium eius flamma ignis, rotæ ipsius ignis vrens. 4. *Aduocabit cælum desuper, et terram, vt diiudicet populum suum.* Etiam cum legem promulgaret, beato Mosi imperauit, vt populum congregaret, et cælum terramque contestaretur: quod exordium cantici fecit: *b*) Attende cælum, et loquar, et audiat terra verba ex ore meo. Vocat autem hæc in testimonium, non tanquam animata, sed vt ea, quæ alias creaturas continent, ad terrorem audientium. Sic etiam beatus Abraham septem agnas statuit testes, dicens: *c*) Meus est puteus. Sic etiam collem Iacobus et Labanus vocauit *d*) collem testimonii. 5. *Congregate illi sanctos eius, qui ordinant testamentum eius super sacrificia.* 6. *Et annuntiabunt cæli iustitiam eius, quoniam Deus iudex est.* Per ea quæ supra dicta sunt, ostendit terribile ipsius iudicium: per hæc

1) πᾶσι. Abest a Cod. 2. 2) ἐνώπιον. Rec. lectio h. l. est ἐναντίον. 3) ὁ. Cod. 1. 2. præm. καί. 4) μακάριος. Cod. 2. μέγας. 5) Δανιήλ. In Cod. 1. 2. ponitur post ἐθεάσατο. 6) τοῦ. Abest a Cod. vatic. 7) μακαρίῳ. Cod. 2. θείῳ. 8) ταῦτα. Cod. 2. αὐτά. 9) μακάριος. Cod. 2. μέγας. 10) τὰς — ἀμνάδας. Def. in Cod. 2. 11) καὶ et deinde ἐστι def. in Cod. 2. 12) Cod. 2. ἐκάλεσαν. 13) αὐτῷ — αὐτοῦ. Propius ad hebr. veritatem accedit reliquorum Interpretum versio, quæ priori loco habet μοι, posteriori μου. 14) αὐτοῦ. Reliqui melius, μου.

a) Dan. 7, 9. 10. *b*) Deut. 32, 1. *c*) Gen. 21, 28 sqq. *d*) Ib. c. 31, 47.

hæc autem, et per ea, quæ sequuntur, docet imperfectum legis cultum, nullumque ex sacrificiis, quæ offerebantur, Deo gratum esse. *Sanctos* porro nominat, Mosen, Aaronem, Eleazarum, Phineasum, et quotquot post eos ex præscripto legis sacerdotio functi sunt. Iubet autem illos congregari, non vt ab eis pœnas exigeret, quasi contraria senserint, (ipsius enim est lex, et legi obsequens vnusquisque supradictorum, victimas offerebat,) sed vt ex præsentibus propriam mentem ostenderet, et vt remota doctrina infantibus congruente, perfectas afferret disciplinas. Vbi autem * hæc facta fuerint, cæli, inquit, sententiæ iustitiam mirabuntur, per *cælos* autem cælestes virtutes innuit. 7. *Audi popule mi, et loquar tibi.* Et ostendens ad quem populum verba faciat, subiunxit: *Israel, et testificabor tibi.* Deinde propriam ostendit maiestatem, *Deus, Deus tuus, ego sum.* Qui ab Aegyptiaca seruitute te liberaui, qui per mare viam aperui, qui in solitudine pastum præbui, qui legem illam tibi tradidi. Ne enim me alium putes legislatorem, cum legum videris differentiam. 8. *Non in sacrificiis tuis arguam te, holocausta autem tua in conspectu meo sunt semper.* Non accusabo, inquit, te, de neglectu sacrificiorum, (hæc enim mihi continue affers,) sed iubeo, ne hisce finibus iustitiam circumscribas. 9. *Non accipiam de domo tua vitulos,*

των, καὶ τῶν ἑξῆς, 1) διδάσκει τὸ ἀτελὲς τῆς κατὰ νόμον λατρείας, καὶ ὅτι τῶν προσφερομένων ἱερείων Θεῷ θυμήρες οὐδέν. ὁσίους δὲ καλεῖ, τὸν Μωσέα, τὸν Ἀαρὼν, τὸν 2) Ἐλεάζαρον, τὸν Φινεὲς, καὶ τοὺς μετ᾽ 3) αὐτοὺς ἅπαντας κατὰ νόμον ἱερατεύσαντας. συναχθῆναι δὲ αὐτοὺς κελεύει, οὐχ ἵνα δίκας 4) εἰσπράξηται, οἷα δὴ ἐναντία πεφρονηκότας· 5) αὐτοῦ γὰρ ὁ νόμος, καὶ τούτῳ πειθόμενος τῶν προειρημένων ἕκαστος τὰς θυσίας προσέφερεν· ἀλλ᾽ ἵνα καὶ 6) διὰ τῶν παρόντων τὸν οἰκεῖον δείξῃ σκοπὸν, καὶ τὴν νηπίοις ἁρμόττουσαν καταπαύσας διδασκαλίαν, τὰ τέλεια προσενέγκῃ μαθήματα. τούτων δέ φησι γινομένων, θαυμάσουσιν οἱ οὐρανοὶ τῆς ψήφου τὸ δίκαιον. διὰ δὲ τῶν οὐρανῶν, τὰς οὐρανίους δυνάμεις ᾐνίξατο. ζʹ. Ἄκουσον λαός μου, καὶ λαλήσω σοι. 7) Καὶ δεικνὺς πρὸς ποῖον λαὸν διαλέγεται, ἐπήγαγεν, Ἰσραὴλ, καὶ 8) διαμαρτύρομαί σοι. εἶτα τὴν οἰκείαν δείκνυσι δεσποτείαν· ὁ Θεὸς, ὁ Θεός σου εἰμὶ ἐγώ. ὁ τῆς Αἰγυπτιακῆς σε δουλείας ἐλευθερώσας, ὁ 9) τὴν διὰ τῆς θαλάττης ὁδὸν δωρησάμενος, ὁ ἐν ἐρήμῳ 10) διαθρέψας, ὁ τὸν νόμον ἐκεῖνόν σοι δεδωκώς. μὴ γὰρ δὴ ἄλλον με νομοθέτην νομίσῃς τῶν νόμων ὁρῶν τὸ διάφορον. ηʹ. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε· τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διαπαντός. Οὐκ ἀμέλειάν σοι φησὶ θυσιῶν ἐγκαλῶ· προσφέρεις γὰρ ταύτας διηνεκῶς· ἀλλὰ μὴ ταύταις ὁρίσασθαι τὴν δικαιοσύνην 11) παρεγγυῶμαι. θʹ. Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ

1) διδάσκει. In Cod. 1. 2. ponitur post ἀτελές. 2) Cod. 1. 2. Ἐλεάζαρ. 3) Cod. 1. αὐτοῦ. 4) Cod. 2. πράξηται. 5) αὐτοῦ — προσέφερεν. Hæc in Cod. 2. Parenthesin faciunt. 6) διὰ τῶν. Cod. 1. 2. τούτων. 7) Καὶ — διάφορον. Des. apud CORD. p. 968. 8) Cod. 2. διαμαρτυροῦμαι. 9) τὴν διά. Abest a Cod. 1. 2. 10) διαθρέψας. Cod. 2. præm. σέ. 11) Cod. 1. 2. παρεγγυῶ.

οὐδὲ ἐκ τῶν ποιμνίων σου 1) χειμάῤῥους. ί. Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ 2) ἀγροῦ· κτήνη ἐν τοῖς ὄρεσι, 3) καὶ βόες. ιά. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. 4) Πάντων εἰμί φησι καὶ ποιητὴς, καὶ δεσπότης, καὶ τῶν χερσαίων ζώων, καὶ τῶν ἀεροπόρων ὀρνίθων. μὴ τοίνυν ἡγοῦ τὴν ἐμὴν χρείαν πληροῦν· ἐγὼ γὰρ καὶ τούτοις τὸ εἶναι δέδωκα, καὶ τοὺς ἀπὸ γῆς φύεσθαι κελεύω καρπούς. ὡραιότητα γὰρ ἀγροῦ 5) τοὺς παντοδαποὺς καρποὺς τῆς γῆς λέγει. ἐπειδὴ γὰρ ἀπὸ τῶν χερσαίων προσεφέροντο ζώων βόες, καὶ τράγοι, καὶ πρόβατα· καὶ ἀπὸ τῶν πετεινῶν περιστεραὶ καὶ τρυγόνες· καὶ ἀπὸ τῶν καρπῶν, σεμίδαλις, καὶ οἶνος, καὶ ἔλαιον, καὶ τὰ τῶν ἀτμῶν ἡδύσματα· ἀναγκαίως ἁπάντων ἐμνημόνευσεν, ἵνα πᾶσαν τὴν τοιαύτην καταπαύσῃ λατρείαν. εἶτα 6) εἰρωνικῶς, ιβ΄. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς. Ἐάν φησι δεηθῶ τροφῆς, οὐ τῆς σῆς δέομαι χορηγίας. πάσης γὰρ ὁμοῦ τῆς κτίσεως 7) ποιητής εἰμι καὶ δεσπότης. εἶτα τῆς οἰκείας φύσεως τὴν ἀπάθειαν διδάσκει. ιγ΄. Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; Οὕτως ἐκείνων τὸ 8) ἀνόητον δείξας, καὶ διδάξας ὡς τῆς νηπίας 9) ἕνεκα διανοίας, 10) ἐκείνας αὐτοῖς τὰς θυσίας πάλαι προσφέρειν ἐνο-

neque de gregibus tuis hircos. 10. *Quoniam meæ sunt omnes feræ agrestes, iumenta in montibus, et boues.* 11. *Cognoui omnia volatilia cæli, et pulchritudo agri mecum est.* Omnium sum, ait, et conditor, et dominus, et terrestrium animantium, et aëriorum volatilium. Ne igitur existimes meæ necessitati subuenire: quandoquidem ego his omnibus id quod sunt dedi, et iubeo, inquit, fructus e terra produci. Siquidem *pulcritudinem agri* diuersa terræ fructuum genera appellat. Quoniam enim et ex terrenis animalibus offerebantur boues, hirci, et oues; et ex volatilibus, columbæ, et turtures; ex fructibus simila, et vinum, et oleum, suffituumque suaues odores, necessario de omnibus mentionem fecit, vt totum huiusmodi cultum abrogaret. Deinde per ironiam ait: 12. *Si esuriero, non dicam tibi: meus est enim orbis terræ, et plenitudo eius.* Si, inquit, cibo indiguero, tua mihi largitione opus non est. Vniuersi quippe terrarum orbis conditor sum, et dominus. Deinde propriam naturam passionis expertem esse docet. 13. *Nunquid manducabo carnes taurorum, aut sanguinem hircorum potabo?* Hoc modo cum illorum stultitiam ostendisset, docuissetque statuisse, vt antiquitus illæ victimæ ab ipsis offerrentur, * eo quod adhuc eorum mens simplex esset; *

1) χειμάρρους Alii τοῖς ό. tribuunt interpretationem τράγους. 2) ἀγροῦ. Cod. vatic. δρυμοῦ. 3) καὶ βόες. Hebr. אלף *mille*, quod cohæret cum præc. בהררי *in montibus*. Interpretes autem græci, immo Syrus etiam et Arabs pro אלף legisse videntur ואלפים *et boues*. 4) Πάντων κ. τ. λ. Hæc et quæ ad v. 12. et 13. sequuntur, des. apud CORD. 5) τοὺς — λέγει. Sic quoque *Aquila* vertit παντοδαπὰ χώρας. 6) εἰρωνικῶς. Cod. 2. εἰρηκώς. 7) ποιητής. In Cod. 2. ponitur post εἰμί. 8) Cod. 1. ἀνόνητον. 9) ἕνεκα. Cod. 1. 2. præm. αὐτῶν. 10) ἐκείνας. Abest a Cod. 2.

nunc nouum aperit teſtamentum, et hoſtiam præſcribit ſibi placentem. 14. *Immola Deo ſacrificium laudis, et redde altiſſimo vota tua.* ιε. *Et inuoca me die tribulationis tuæ, eruam te, et honorificabis me.* Tempeſtiue quoque ſanctæ Trinitatis venerandum numerum patefecit, et cum nouo teſtamento coniunxit: cum hoc enim etiam ſanctæ Trinitatis cognitionem recepimus. Diuiſit autem res, non vt diuideret indiuiduæ Trinitatis operationes, ſed vt numerum prophetico more poſteros edoceret. Dicit igitur: *Immola Deo ſacrificium laudis, et redde altiſſimo vota tua, et inuoca me die afflictionis tuæ.* Porro tres perſonas hinc diſcimus. Non quod tantum Deus, neque tantum altiſſimus, neque laudis hoſtiam recipiens, petitiones largitur. Quælibet enim proprietas, et Deus, et altiſſimus, et bonorum largitor eſt. Porro *hoſtiam laudis* dicit hymnos iuſtis congruentes: *vota* vero, promiſſiones. Sic enim in vigeſimo primo pſalmo dicit: a) Vota mea reddam in conſpectu timentium eum. Quoniam autem dixit, *Non in ſacrificiis tuis arguam te,* docet poſthac, propter quæ reprehenſus fuerit. 16. *Peccatori autem dixit Deus, quare tu enarras ſtatuta mea, et aſſumis teſtamentum meum per os tuum?* 17. *Tu vero odiſti diſciplinam, et proiecisti ſermones meos retrorſum.* Quia enim

μοθέτησε, τὴν καινὴν προανοίγνυσι διαθήκην, καὶ τὴν ἀρέσκουσαν αὐτῷ θυσίαν νομοθετεῖ. ιδʹ. Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. ιεʹ. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. Εἰς καιρὸν 1) καὶ τῆς ἁγίας τριάδος ἀπεκάλυψε τὸν τίμιον ἀριθμὸν, καὶ τῇ καινῇ διαθήκῃ συνέζευξεν. μετὰ γὰρ ταύτης καὶ τὴν τῆς ἁγίας τριάδος ἐδεξάμεθα γνῶσιν. διεῖλε δὲ τὰ πράγματα, οὐχ ἵνα τῆς ἀδιαιρέτου καὶ ἁγίας τριάδος τὰς ἐνεργείας διέλῃ, ἀλλ᾽ ἵνα τὸν ἀριθμὸν 2) προφητικῶς καὶ τοὺς μετὰ ταῦτα διδάξῃ. λέγει τοίνυν, Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. καὶ ἐπικάλεσαί με 3) ἐν ἡμέρᾳ θλίψεώς σου. τρία δὲ ἐκ τούτων ἐδιδάχθημεν πρόσωπα. οὐκ ἐπειδὴ 4) μὲν μόνον Θεὸς, οὐδὲ μόνον ὕψιστος, οὐδὲ αἰνέσεως θυσίαν δεχόμενος, τὰς αἰτήσεις χαρίζεται. ἑκάστη γὰρ ἰδιότης καὶ Θεὸς, καὶ ὕψιστος, καὶ ἀγαθῶν χορηγός. Θυσίαν δὲ αἰνέσεως καλεῖ τοὺς δικαίοις πρέποντας ὕμνους· εὐχὰς δὲ τὰς ὑποσχέσεις. 5) οὕτω γὰρ ἐν τῷ εἰκοστῷ καὶ πρώτῳ ψαλμῷ λέγει, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν. ἐπειδὴ 6) δὲ εἶπεν, οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, διδάσκει λοιπὸν ἐφ᾽ οἷς 7) ἠλέγχθη. ιςʹ. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἱνατί σὺ 8) ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; ιζʹ. Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Ἐπειδὴ γάρ εἰσι

1) καί. Cod. 1. 2. præm. δέ. 2) προφητικῶς. In vtroque Cod. ponitur poſt καί. 3) ἐν — σου. Horum locum in Cod. 1. occupant iſta: καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με. 4) μέν. Abeſt a Cod. 2. 5) οὕτω — ἠλέγχθη. Deſ. apud CORD. p. 971. 6) δέ. Abeſt a Cod. 2. 7) Cod. 1. 2. ἐλέγχει. 8) Cod. vatic. διηγῇ.

a) Pſ. 21, 26.

εἰσὶ τινες ἑτέροις μὲν πλημμελοῦσιν ἐπιμεμφόμενοι, καὶ τῶν θείων νόμων 1) ἀναμιμνήσκοντες, αὐτοὶ δὲ παραβαίνοντες ἃ διδάσκουσιν, εἰκότως πρὸς τοὺς τοιούτους ἀποτείνεται λέγων· τί δήποτε ἐπὶ τοῖς ἐμοῖς βρενθυόμενοι δικαιώμασι, καὶ ἄνω καὶ κάτω περὶ τοῦ νόμου διαλεγόμενοι, τὴν ἐντεῦθεν ὠφέλειαν οὐ προσεδέξασθε, ἀλλὰ 2) καταφρονητικῶς περὶ τοὺς ἐμοὺς 3) διετέθητε λόγους; διηγεῖται δὲ καὶ τῶν τολμωμένων τὰ εἴδη. ιη'. Εἰ ἐθεώρεις κλέπτην, 4) συνέτρεχες αὐτῷ, καὶ μετὰ 5) μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. ιθ'. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε 6) δολιότητας. κ'. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. 7) Πολλά φησι καὶ παντοδαπὰ τὰ παρά σου τολμηθέντα παρανομήματα· ἀποστολικῶς γὰρ εἰπεῖν, ὁ λέγων μὴ μοιχεύειν μοιχεύεις, καὶ τῶν τὰ τοιαῦτα τολμώντων συνεργὸς γίνῃ καὶ κοινωνός. ἀληθείας δὲ τὸ στόμα γυμνώσας, ψεύδους τοῦτο καὶ πονηρίας 8) ἐνέπλησας. δόλος δέ σοι παραθήγει τὴν γλῶσσαν· διόπερ καὶ συγγενείας καταφρονεῖς, καὶ τῆς φύσεως τοὺς νόμους πατεῖς, καὶ κρύβδην τὰς κατὰ τῶν ἀδελφῶν ἐνέδρας ὑφαίνεις, καὶ 9) διατελεῖς καὶ λόγοις διαβάλλων, καὶ ἔργοις ἐπιβουλεύων. οὕτω τῆς παρανομίας τὴν διήγησιν ποιησάμενος, καὶ ἣν ἔχει διδάσκει μακροθυμίαν, καὶ ἣν ἐποίσει τιμω-

ſunt nonnulli, qui reprehendunt alios cum peccant, et diuinas leges in memoriam reuocant, ipſi vero quæ docent minus obſeruant; merito in iſtiusmodi homines inuehitur, dicens, Cur meis iudiciis elati, et vltro citroque de lege diſputantes, nihil vtilitatis hinc percipitis, ſed verba mea deſpicitis? Narrat autem peccatorum genera.
18. *Si videbas furem, currebas cum eo, et cum adulteris portionem tuam ponebas.* 19. *Os tuum abundauit malitia, et lingua tua concinnabat dolos.* 20. *Sedens aduerſus fratrem tuum loquebaris, et aduerſus filium matris tuæ ponebas ſcandalum.*
* Multa, inquit, et varia peccata abs te audacter patrata ſunt: ſiquidem, vt apoſtoli verbis vtar, a) Qui dicis non mœchandum eſſe, mœcharis, et eorum, qui talia committere audent, ſocius es et particeps. Porro cum ab ore tuo omnem veritatem abieceris, illud mendacio et malitia impleuiſti. Dolus autem tibi linguam exacuit. Quamobrem et cognationem tuam contemnis, et naturæ leges conculcas, et clanculum inſidias contra tuos fratres ſtruis, et pergis calumniari verbis, et operibus inſidiari. Hoc pacto enumeratis iniquitatibus, et patientiam oſtendit qua vtitur, et pœnam prædicit,

1) Cod. 2. ἀναμιμνήσαντες. 2) καταφρονητικῶς περί. Deſ. in Cod. 2. 3) Cod. 2. διεθέτητε. 4) συνέτρεχές αὐτῷ. Hebr. וַתִּרֶץ Interpretes fere omnes perperam a rad. רוּץ *currere* deriuarunt, cum tamen potius ad verbum רָצָה *acceptum habuit* referri debeat. Senſus eſt, *delectabaris eo.* 5) μοιχοῦ. Rec. lectio μοιχῶν. 6) Cod. 2. δολιότητα quæ eſt rec. lectio h. l. 7) Πολλά κ. λ. Hæc et quæ ad proximum verſ. ſequuntur, deſ. apud CORD. p. 974. 8) ἐνέπλησας. Cod. 2. ἐπλήρωσας. 9) διατελεῖς καί. Deſ. in Cod. 2.

a) Rom. 2, 22.

dicit, quam irrogaturus est. 21. *Hæc fecisti, et tacui. Existimasti iniquitatem, me futurum tui similem.* Ego quidem hæc abs te patrari videns, et patientia vtens, exspecto tuam pœnitentiam. Tu vero mea patientia abuteris, hinc peccandi occasione arrepta, cum putes me tua iniquitate delectari, et ideo non punire. Quapropter *arguam te, et statuam contra faciem tuam peccata tua.* Quoniam enim blandis patientiæ medicamentis curari non potuisti, acerbiora tibi parabo, et correptionis cauterium admouebo. Consonant autem hæc illis apostoli vocibus: *a)* Ignorans, Dei bonitatem ad pœnitentiam te ducere: secundum duritiem autem tuam, et impœnitens cor, instar thesauri reponis tibi ipsi iram die iræ, et reuelationis, et iusti iudicii Dei, qui reddet vnicuique secundum opera sua. Hoc modo supplicium interminatus, rursus benignus Deus admonitionem attulit. 22. *Intelligite hæc, qui obliuiscimini Dei, ne quando rapiat, et non sit qui eripiat.* Studiose, inquit, vnumquodque ex his quæ dicta sunt intelligite. Et vos, qui Dei obliti estis, (obliuio enim Dei conciliatrix peccati est,) pœnitentiæ medicamentis vulnera curate, antequam mors rapiat,

ρίαν, προλέγει. κα'. Ταῦτα ἐποίησας, καὶ ἐσίγησα· 1) ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. 2) Ἐγὼ ταῦτα ὁρῶν ὑπὸ σοῦ τολμώμενα, μακροθυμίᾳ χρώμενος, 3) ἀναμένω 4) τὴν μεταμέλειαν· σὺ δὲ καὶ τὴν μακροθυμίαν εἰς ἀφορμὴν ἔλαβες δυσσεβείας, 5) τοπάσας ἐφηδόμενόν με τῇ σῇ παρανομίᾳ μὴ 6) ἐπάγειν 7) τιμωρίαν· 8) οὗ δὴ χάριν, ἐλέγξω σε, καὶ παραστήσω κατὰ 9) πρόσωπόν σου 10) τὰς ἁμαρτίας σου. ἐπειδὴ γὰρ τοῖς ἠπίοις τῆς μακροθυμίας οὐκ ἐθεραπεύθης φαρμάκοις, δριμύτερά σοι κατασκευάσω, καὶ τῶν ἐλέγχων τὸν καυτῆρα προσοίσω. συνᾴδει δὲ ταῦτα ταῖς ἀποστολικαῖς 11) ἐκείναις φωναῖς· ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις 12) σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. οὕτως ἀπειλήσας τὴν τιμωρίαν, πάλιν ὁ φιλάνθρωπος παραίνεσιν προσενήνοχεν. κβ'. Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ· μήποτε 13) ἁρπάσῃ, καὶ 14) οὐ μὴ ᾖ ὁ ῥυόμενος. Ἐπιμελῶς, φησὶν, ἕκαστον τῶν εἰρημένων κατανοήσατε· καὶ οἱ τοῦ Θεοῦ τὴν λήθην νενοσηκότες, λήθη γὰρ Θεοῦ πρόξενος ἁμαρτίας, 15) τοῖς τῆς μετανοίας φαρμάκοις τὰ τραύματα θεραπεύσατε, πρὶν ἁρπάσαι τὸν θάνατον· ὃς

1) ὑπέλαβες — ὅμοιος. Propius ad Textum hebr. accedit *Symm.* versio, ἐνόμισας ἔσεσθαί με ὡς σέ. *Aqu. Theodot.* et Edit. VII. ὑπέλαβες ἐσόμενος ἔσομαι ὅμοιός σοι. 2) Ἐγώ. Cod. 1. 2. add. μέν. 3) Cod. 1. 2. ἀνέμενον. 4) τήν. Abest a Cod. 1. 2. 5) Cod. 1. 2. καὶ ὑπόπτευσας. 6) Cod. 2. ἐπαγαγεῖν. 7) τιμωρίαν. Cod. 1. 2. præm. τήν. 8) οὗ δὴ χάριν. Def. in Cod. 1. 9) πρόσωπον. Cod. 2. præm. τό. 10) τὰς ἁμαρτίας σου. Abest a Textu hebr. et græco τῶν ό. in Codice *alex.* et *vatic.* Exstat autem in edit. *ald.* et *compl.* 11) ἐκείναις. Abest a Cod. 1. 12) Cod. 2. ... 13) ἁρπάσῃ. Hebr. אטרף *rapiam.* 14) οὐ. Abest a Cod. *vatic.* et 15) τοῖς. Cod. 1. 2. præm. καί.

a) Rom. 2, 4. 5.

ὅς δίκην λέοντος ἔπεισι τοῖς ἀνθρώποις, οὐδενὸς ἐπισχεῖν αὐτοῦ δυναμένου τὴν σφοδροτάτην ὁρμήν. εἶτα 1) τὴν καινὴν νομοθεσίαν λαμβάνει, καὶ ταύτῃ τοῦ ψαλμοῦ τὸ τέλος διακοσμεῖ. κγ'. 2) Θυσία αἰνέσεως δοξάσει με, καὶ 3) ἐκεῖ ὁδὸς, 4) ἣ δείξω αὐτῷ τὸ σωτήριόν 5) μου. Τοῦτο δὲ ὁ Σύμμαχος σαφέστερον ἡρμήνευσε· Θυσιάζων ὑπὲρ αἰνέσεως δοξάσει με, καὶ τῷ εὐτάκτως ὁδεύοντι δείξω σωτήριον Θεοῦ. προσήκει γὰρ μὴ μόνον ὑμνεῖν τὸν Θεὸν, καὶ τῆς αἰνέσεως αὐτῷ τὰς θυσίας προσφέρειν· ἀλλὰ καὶ εὐτάκτως 6) ὁδεύειν, καὶ τὸν οἰκεῖον βίον διαρυθμίζειν. οὕτω γὰρ δυνατὸν τῆς παρὰ τοῦ Θεοῦ σωτηρίας ἐπιτυχεῖν. κατὰ δὲ τοὺς ἑβδομήκοντα, τῇ θυσίᾳ, φησὶ, τῆς αἰνέσεως ἐφήδομαι· καὶ ταύτην ἡγοῦμαι δόξαν ἁρμόττουσαν· καὶ διὰ 7) ταύτης τὴν ἐμὴν ὁδὸν ὑποδείξω τῷ ταύτην προσφέροντι, ἧς 8) τέλος ἡ παρὰ τοῦ Θεοῦ σωτηρία. ἐπισημήνασθαι δὲ προσήκει, ὡς κἀνταῦθα δύο προσώπων ἐποιήσατο μνήμην. Θυσία γάρ φησι δοξάσει με· καὶ διὰ τούτων τὸ οἰκεῖον πρόσωπον δείξας, ἐπήγαγε· καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριον 9) τοῦ Θεοῦ. ἔδει γὰρ τῇ καινῇ διαθήκῃ παιδευούσῃ τὰ τέλεια, καὶ τῆς θεογνωσίας 10) τὴν τελείαν συνῆφθαι διδασκαλίαν.

quae instar leonis in homines grassatur, et cuius vehementem impetum cohibere nemo potest. Deinde nouam legis promulgationem aggreditur, et hac psalmi finem exornat. 23. *Sacrificium laudis honorificabit me, et illic iter, quo ostendam illi salutare meum.* Hoc Symmachus clarius interpretatus est, *Qui sacrificat pro laude honorabit* * *me, et ordinate incedenti salutem Dei ostendam.* Conuenit enim non solum hymnis Deum celebrare, et laudis hostias ipsi offerre, verum etiam ordinate incedere et propriam vitam emendare. Nam hoc pacto potest a Deo salus impetrari. At secundum Septuaginta, Sacrificio, inquit, laudis oblector; et hoc arbitror gloriam congruentem: et per hoc meum iter ostendam ei, qui mihi illud affert, cuius finis est salus a Deo. Notandum autem est, hoc etiam in loco duarum personarum mentionem fieri, *Sacrificium enim*, inquit, *honorabit me.* Et cum in his verbis propriam personam ostendisset, subiunxit, *Et illic iter, quo ostendam illi salutare Dei.* Oportebat enim cum nouo testamento, quod perfecta docet, perfectam diuinae cognitionis doctrinam coniunctam esse.

INTERP.

1) τὴν. Cod. 2. praem. καί. 2) Θυσία αἰνέσεως. Hebr. זֹבֵחַ תּוֹדָה quam lectionem *Symm.* et *Syr.* sequuti sunt. 3) ἐκεῖ. Hebr. שָׂם *posuit.* HIER. *qui ordinat viam.* Ad hanc lectionem accedit quoque *Symm.* versio a Nostro allegata. 4) ἣ. Cod. 1. ἣν. 5) μου. Rec. lectio Θεοῦ consentit cum Textu hebr. 6) ὁδεύειν — διαρυθμίζειν. Cod. 2. habet tantum ῥυθμίζειν. 7) Cod. 2. ταύτην. 8) τέλος. Cod. 2. praem. τό. 9) τοῦ Θεοῦ. Cod. 1. 2. μου. 10) τὴν τελείαν συνῆφθαι. Cod. 2. συνηφθῆναι τὴν τελείαν.

INTERP. PSALMI L.

1. *In finem. Psalmus Dauidi.* 2. *Cum ingressus esset ad eum Nathan propheta, quando intrauit ad Bersabee vxorem Vriæ.* Inscriptio quidem argumentum psalmi manifesto nos docuit, et ipsa psalmi verba sufficiunt ad sententiæ profunditatem ostendendam. Tamen sciendum est, psalmum futurorum etiam prædictionem continere. Vnde et *in finem* inscriptus est, quod declarat, prophetiam exitum esse habituram. Verum nemo ambigat, an magnus Dauid tempore pœnitentiæ prophetiæ gratia donatus fuerit: quandoquidem hoc ex aliis quoque psalmis disci potest, in quibus confitentis personam egit. In sexto enim psalmo de futuro iudicio vaticinatus est. *Non est*, inquit, *in morte, qui memor sit tui: in inferno autem quis confitebitur tibi?* Et in trigesimo primo psalmo beatos prædicat eos, qui absque labore remissionem peccatorum acceperunt, quod sola baptismatis gratia largiri potest. Iam vero in hoc psalmo palam nos docuit, se spiritus gratia non fuisse priuatum. *Spiritum enim tuum*, inquit, *bonum, ne auferas a me.* Non enim spiritus gratiam sibi præberi petiit, sed ne ab ipso auferatur, suppli-

ΕΡΜΗΝ. ΤΟΥ ν΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. β΄. Ἐν τῷ 1) εἰσελθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς 2) Βηρσαβεὲ 3) τὴν τοῦ Οὐρίου. 4) Σαφῶς 5) μὲν ἡμᾶς ἐδίδαξεν ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ τὴν ὑπόθεσιν· καὶ αὐτὰ δὲ τοῦ ψαλμοῦ τὰ ῥήματα ἱκανὰ διδάξαι τῆς διανοίας τὸ 6) βάθος. εἰδέναι μέντοι προσήκει, ὡς καὶ μελλόντων ἔχει 7) προαγόρευσιν ὁ ψαλμός. διὸ καὶ εἰς τὸ τέλος ἐπιγέγραπται, τοῦ λόγου δηλοῦντος, ὡς ἕξει τέλος ἡ προφητεία. ἀλλὰ μηδεὶς ἀμφιβαλλέτω, εἰ κατὰ τὸν τῆς μετανοίας καιρὸν προφητικῆς ἠξίωτο χάριτος 8) ὁ μέγας Δαβίδ. τοῦτο γὰρ καὶ διὰ τῶν ἄλλων ψαλμῶν, δι᾽ ὧν τὴν ἐξομολόγησιν ἐποιήσατο, καταμαθεῖν δυνατόν. καὶ γὰρ ἐν τῷ ἕκτῳ ψαλμῷ 9) περὶ τῆς μελλούσης προηγόρευσε κρίσεως. οὐκ ἔστι γάρ φησιν· ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς 10) ὁμολογήσεταί σοι; καὶ ἐν τῷ τριακοστῷ πρώτῳ 11) ψαλμῷ μακαρίζει τοὺς δίχα πόνων εἰληφότας τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ὅπερ μόνη δωρεῖσθαι πέφυκεν ἡ τοῦ βαπτίσματος χάρις. καὶ μέντοι καὶ ἐν τῷ προκειμένῳ ψαλμῷ διαῤῥήδην ἡμᾶς ἐδίδαξεν, ὡς οὐκ ἐστέρητο τῆς τοῦ πνεύματος χάριτος. τὸ πνεῦμά σου γάρ φησιν τὸ ἀγαθὸν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. οὐ γὰρ ᾔτησεν αὐτῷ παρασχεθῆναι τὴν 12) χάριν τοῦ πνεύματος, ἀλλὰ μὴ ληφθῆναι παρ᾽ αὐτοῦ ταύτην ἱκέτευσεν.

1) εἰσελθεῖν. Rec. lectio h. l. est ἐλθεῖν. 2) Βηρσαβεέ. Reliqui Interpretes, Βηθσαβεέ. Alii Βηθσαβεέθ. 3) τὴν τοῦ Οὐρίου. Def. in Cod. 1. et in Textu τῶν ό. Cod. *vatic.* et *alex.* Cod. *aug.* 2. habet τὴν γυναῖκα Οὐρίου. 4) Σαφῶς — φάρμακον. Horum Epitomen vid. apud CORD. p. 980. Prima verba vsque ad βάθος def. in Cod. 3. 5) μέν. Abest a Cod. 1. 2. 6) βάθος. Cod. 1. 2. ac CORD. p. 980. πάθος. 7) Cod. 3. προαγορεύσεις. 8) ὁ μέγας Δαβίδ. Def. in Cod. 3. 9) περί. Cod. 3. præm. τά. 10) Codd. tres *aug.* ἐξομολογήσεταί. 11) ψαλμῷ. Abest a Cod. 1. et 3. 12) χάριν. In Cod. 2. sequitur post πνεύματος.

τευσεν. 1) ὑπὸ ταύτης τοίνυν φωτιζόμενος τῆς ἀκτῖνος, καὶ προφητικοῖς προορῶν ὀφθαλμοῖς, ὡς καὶ ὁ λαὸς ὁ ὑπ' αὐτῷ βασιλευόμενος περιπεσεῖται παρανομίαις, καὶ τίνων ὑπὲρ τούτων εὐθύνας ἐξανδραποδισθήσεται, καὶ μέτοικος ἐν Βαβυλῶνι γενήσεται, συνέγραψε τὸν παρόντα ψαλμὸν, καὶ τὰ οἰκεῖα τραύματα θεραπεύων, καὶ τῷ λαῷ κατασκευάζων κατάλληλον φάρμακον, καὶ μὲν δὴ καὶ πᾶσιν ἡμῖν, ὅσοι τραυματίαι γινόμενοι θεραπείας δεόμεθα. γ'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. 2) Καὶ τῷ 3) θειοτάτῳ Δαβὶδ, καὶ τῷ δορυαλώτῳ λαῷ, καὶ τοῖς ἐν ἡμῖν διακειμένοις κακῶς, ἁρμόττει τὰ προκείμενα ῥητά. τὰ γὰρ μεγάλα τῶν τραυμάτων, ἰσομέτρων δεῖται φαρμάκων, 4) καὶ ὁ χαλεπῇ νόσῳ περιπεσὼν, πλείονος χρήζει κηδεμονίας, 5) καὶ ὁ μεγάλα πλημμελήσας μεγάλης φιλανθρωπίας δεῖται. οὗ δὴ χάριν, καὶ ὁ μέγας ἱκετεύει Δαβὶδ ὅλον εἰς αὐτὸν 6) ἐκχυθῆναι τὸν ἔλεον, 7) πᾶσαν τῶν οἰκτιρμῶν τὴν πηγὴν 8) κατακενῶσαι τῆς ἁμαρτίας τὸ ἕλκος. οὔτε γὰρ ἄλλως οἷόν τε ἦν ἐξαλειφθῆναι τῆς ἁμαρτίας τὰ ἴχνη. εἰκότως δὲ ἀνόμημα καλεῖ τὸ πλημμέλημα. διπλῆν γὰρ 9) ἔχει τοῦ νόμου παράβασιν. δ'. Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν 10) με. Ἤδη 11) γάρ φησι διὰ Νάθαν τοῦ προφήτου τὴν ἄφεσιν ἐδω-

cauit. * Hoc igitur radio illuminatus, et propheticis oculis præuidens, fore vt populus quem regebat in peccata incideret, et pro illorum expiatione in seruitutem abduceretur, Babyloneamque incoleret; conscripsit hunc psalmum, et propria vulnera curans, et accommodatum remedium populo præparans, immo omnibus nobis, quotquot vulnerati curatione indigemus. 3. *Miserere mei o Deus secundum magnam misericordiam tuam: et secundum multitudinem miserationum tuarum dele iniquitatem meam.* Et diuino Dauidi, et captiuo populo, et his qui inter nos male affecti sunt, verba hæc conueniunt. Nam magna vulnera æque magnis remediis indigent, et qui in grauem morbum incidit, maiori indiget cura, et qui magna peccata commisit, magna benignitate eget. Propterea magnus Dauid obsecrat, vt tota misericordia in ipsum effundatur, totusque miserationum fons peccati vulnus perfundat. Neque enim aliter fieri poterat, vt peccati vestigia delerentur. Merito autem *iniquitatem* vocat peccatum; duplicem enim habet legis transgressionem. 4. *Amplius ablue iniquitatem meam, et a peccato meo munda me.* Iam enim, inquit, per prophetam Nathan veniam mihi dedisti,

1) ὑπὸ — δεόμεθα. Des. in Cod. 3. 2) Καὶ — φαρμάκων. Des. in Cod. 3. Apud CORD. fere nihil e THEODOR. ad hunc psalmum allatum est. 3) Cod. 2. θείῳ. 4) καὶ ὁ. Cod. 3. ὁ γάρ. 5) καὶ — δεῖται. Des. in Cod. 3. 6) Codd. tres aug ἐκχεθῆναι. 7) πᾶσαν — τὴν πηγήν. Cod. 2. πάσῃ — τῇ πηγῇ. 8) κατακενῶσαι. Cod. 1. κατευνάσαι. Cod. 2. καθευρῆσαι, pro καθευδῆσαι, vt videtur. Cod. 3. κατωωνῆσαι, forsitan pro καταινῆσαι. 9) ἔχει. Cod. 3. εἶχε. 10) με. Abest a Cod. 1. 11) γάρ. Cod. 3. præm. μέν.

sti, et omnis generis calamitates, velut quædam cauteria et incisiones, adhibuisti: verum adhuc purgationibus indigeo, cum plurimum peccati fœtorem admiserim. Rursus igitur laua me, o Domine, vt omnes peccati sordes abstergas. „ Nam „ iuxta Prophetam *a)* absterget „ Dominus sordes filiorum filiarumque Zionis spiritu iudicii et spiritu adustionis. „ 5. *Quoniam iniquitatem meam ego agnosco, et peccatum meum coram me est semper.* Non enim post veniam abs te concessam peccati oblitus sum: verum semper malorum meorum intueor imagines, et de patratis peccatis nocte somnio, eaque interdiu mente reuoluo. Hoc autem vt faciant peccatores, Deus ipse per Esaiam iubet: *b)* Ego enim, ait, sum qui deleo iniquitates tuas, et peccatorum tuorum non recordabor: tu autem recordare, et iudicemur: dic tu prior iniquitates tuas, vt iustificeris. Consonantia his verbis etiam ipse * beatus * Dauid scripsit in psalmo XXXI: *c)* Dixi, confitebor aduersus me iniustitiam meam Domino, et tu abstulisti impietatem cordis mei. 6. *Tibi soli peccaui, et malum coram te feci.* Maximis, inquit, a te mu-

κας· καὶ συμφορὰς δέ μοι παντοδαπὰς, οἷον τινὰς καυτῆρας καὶ τομὰς, προσενήνοχας· ἀλλ' ἔτι δέομαι 1) ῥυμμάτων, πολλὴν τῆς ἁμαρτίας εἰσδεξάμενος δυσοσμίαν. καὶ αὖθίς με τοίνυν ἀπένιψον Δέσποτα, ἵνα πάντα τῆς ἁμαρτίας 2) ἀποξύσῃς τὸν ῥύπον. 3) „κατὰ „γὰρ τὸν προφήτην ἐκπλυνεῖ Κύριος „τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέ„ρων Σιὼν πνεύματι κρίσεως καὶ πνεύ„ματι καύσεως.„ έ. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός. 4) Οὐδὲ γὰρ μετὰ τὴν 5) ἀπό σου γενομένην ἄφεσιν, λήθην ἐδεξάμην τῆς ἁμαρτίας, ἀλλὰ 6) διηνεκῶς 7) ὁρῶ τῶν ἐμῶν κακῶν τὰς εἰκόνας· καὶ τὰς τολμηθείσας παρανομίας, καὶ νύκτωρ 8) ὀνειροπολῶ, καὶ μεθ' ἡμέραν φαντάζομαι. τοῦτο 9) δὲ ποιεῖν τοὺς ἁμαρτάνοντας, καὶ αὐτὸς ὁ Θεὸς διὰ Ἡσαΐου κελεύει. ἐγὼ γάρ εἰμι, φησὶν, ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθῶ τῶν 10) ἀδικιῶν σου. σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν. λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. τούτῳ 11) καὶ αὐτὸς ὁ 12) μακάριος Δαβὶδ σύμφωνα γέγραφεν 13) ἐν τῷ τριακοστῷ πρώτῳ ψαλμῷ. 14) εἶπον, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καί συ 15) ἀφεῖλες τὴν ἀσέβειαν τῆς 16) καρδίας μου. ς'. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. 17) Πολλῶν, φησὶ, καὶ μεγάλων 18) παρὰ σοῦ

1) Cod. 1. ῥυμμάτων. Cod. 2. καθάρσεως. 2) Cod. 3. ἀποξύσῃ. 3) E Cod. 3. suppl. 4) Οὐδὲ γὰρ κ. λ. Hæc fere eadem sunt cum illis quæ apud CORD. p. 995. *Apollinario* tribuuntur. 5) ἀπό. Codd. tres *aug.* ὑπό. 6) διηνεκῶς. Cod. 3. διὰ παντός. 7) Cod. 2. ὁρῶν. 8) ὀνειροπολῶ. Cod. 2. ὁρῶ. 9) δέ. Abest a Cod. 3. 10) ἀδικιῶν. Cod. 1. ἀνομιῶν. 11) καὶ αὐτός. Def. in Cod. 3. 12) μακάριος. Cod. 2. θεῖος. 13) ἐν — ψαλμῷ. Def. in Cod. 3. 14) Codd. tres *aug.* εἶπα. 15) Cod. 1. et 3. ἀφῆκας. Conf. p. 802. n. 5. 16) καρδίας. Al. ἁμαρτίας. Vid. l. c. n. 6. 17) Πολλῶν — ἠδίκημαι. Def. in Cod. 3. 18) παρὰ σοῦ. Abest a Cod. 2.

a) Es. 4, 4. *b)* Es. 43, 25. 26. *c)* Ps. 31, 5.

τοῦ δωρεῶν ἀπολαύσας, τοῖς ἐναντίοις ἠμειψάμην τὰ δῶρα· τὰ ἀπειρημένα τῷ νόμῳ δρᾶσαι τολμήσας. οὐ γὰρ τοῦτό φησιν, ὅτι τὸν Οὐρίαν 1) οὐκ ἠδίκησα. ἠδίκησε μὲν γὰρ κἀκεῖνον, καὶ τὴν ἐκείνου γυναῖκα. ἡ δὲ μεγίστη παρανομία εἰς αὐτὸν τετόλμηται τὸν Θεὸν, τὸν ἐκλεξάμενον, τὸν ἀντὶ προβατέως βασιλέα πεποιηκότα, καὶ κρείττονα τῶν ἐχθρῶν ἀποφήναντα, καὶ παντοδαποῖς ἀγαθοῖς ἐπικλύσαντα. καλῶς δὲ προστέθεικε, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. τούτου γὰρ ἡ ἱστορία μέμνηται. 2) ὤφθη γάρ φησι τὸ γεγονὸς πονηρὸν ἐνώπιον Κυρίου. εἰ μέντοι τοῦ δορυαλώτου λαοῦ τοῦτο λεγόμενον, οὕτω νοητέον, σοὶ μόνῳ ἥμαρτον, περὶ τὰς σάς φησι δωρεὰς ἐγεγένημαι ἀχάριστος, καὶ τοὺς τεθέντας μοι παραβέβηκα νόμους· καὶ παντοδαπῶν ἀγαθῶν ἀπολαύσας, ἀγνώμων περὶ ταῦτα γεγένημαι· τοὺς δὲ Βαβυλωνίους οὐδὲν ἀδικήσας, 3) μεγάλα παρ' ἐκείνων ἠδίκημαι. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ 4) νικήσῃς ἐν τῷ κρίνεσθαί σε. 5) ἐμαυτῷ φησὶ πρόξενος ἐγενόμην κακῶν· τὸ δὲ σὸν δίκαιον διαλάμπει. καὶ οὕτω κρίσεως γὰρ γινομένης, καὶ τῶν 6) εἰς ἐμὲ παρὰ σοῦ γενομένων 7) φερομένων εἰς μέσον· καὶ τῶν παρ' ἐμοῦ τετολμημένων παρεξεταζομένων ἐκείνοις, σὺ μὲν ἀποφανθήσῃ καὶ δίκαιος καὶ φιλάνθρωπος, ἐγὼ δὲ παράνομος 8) ὀφθήσομαι καὶ ἀχάριστος. τὸ τοίνυν ὅπως οὐκ ἔστιν 9) ἐνταῦθα 10) αἰτίας δηλωτικόν. οὐ γὰρ διὰ τοῦτο 11) ἥμαρτον, ἢ αὐ-

neribus affectus, rebus contrariis dona compensaui, ea quæ lege prohibita erant committere ausus. Non enim dicit, se nulla iniuria Vriam offendisse, (omnino enim et illum, et eius vxorem offenderat,) sed maximum in ipsum Deum crimen admisisse, qui eum elegerat, qui pro pastore regem fecerat, hostibus eum superiorem reddiderat, et omnis generis bonis auxerat. Præclare autem apposuit, *et malum coram te feci.* Huius enim historia quoque meminit. Malum enim, dicitur, a) visum est id quod factum erat, coram Domino. At si ex persona captiui populi hæc dicuntur, sic intelligendum est, *Tibi soli peccaui.* Pro tuis donis, inquit, ingratus fui, legesque mihi positas transgressus sum, cumque omnia bonorum genera consecutus sim, horum immemor factus sum: Babylonios autem cum plane non offenderim, ab illis magnopere offensus sum. *Vt iustificeris in sermonibus tuis, et vincas cum iudicaris.* Ego ipse, ait, meorum malorum causa fui, tua vero iustitia resplendet. Etenim si hoc modo iudicium constituatur, et beneficia a te in me collata in medium afferantur, et mala a me commissa cum illis comparentur; tu quidem iudicaberis et iustus et benignus, ego vero iniquus et ingratus videbor. Vt ergo in hoc loco non causam declarat, (non enim propter hoc peccauit, vel ipse

Dauid,

1) οὐκ. Abest a Cod. 1. 2. 2) ὤφθη — Κυρίου. Alias lectiones expressas vidimus supra p. 425. 3) Cod. 2. μεγάλως. 4) Cod. 1. νικήσαις. Hebr תזכה בשפטך quæ a Syro rectius ita expr. *et mundus sis in iudiciis tuis.* 5) ἐμαυτῷ. Codd. tres aug. addunt μέν. 6) εἰς ἐμέ. In Cod. 3. sequitur post παρὰ σοῦ. 7) φερομένων. Abest a Cod. 1. 8) ὀφθήσομαι. Abest a Cod. 2. 9) ἐνταῦθα. In Cod. 3. ponitur post αἰτίας. 10) αἰτίας. Abest a Cod. 2. 11) ἥμαρτον — μετὰ ταῦτα. Cod. 3. habet tantum ἥμαρτεν ὁ Δαβίδ. Pro ἥμαρτον in Cod. 3. etiam leg. ἥμαρτεν.

a) 2 Reg. 11, 27.

Dauid, vel populus postea, vt Deus iustus videretur,) sed contra, peccato ab his commisso Dei iustitia ostenditur. Omnem enim curam et de hoc, et de illis, et de omnibus hominibus gerit. 7. *Ecce enim in iniquitatibus conceptus sum, et in peccatis concepit me mater mea.* Olim, ait, et a principio, peccatum in naturam imperium obtinuit: quia mandati transgressio Euæ conceptionem præcessit. Post transgressionem enim, diuinamque sententiam, et paradisi priuationem, cognouit Adam vxorem suam Euam, et cum concepisset peperit Cainum. * Hoc igitur vult * dicere, quod cum peccatum maiores nostros inuasisset, viam quandam et tramitem per progeniem effecerit. Hoc et beatus ait Paulus: *a)* Quoniam enim per hominem peccatum intrauit in mundum, et per peccatum mors, siquidem omnes peccauerunt. Hoc etiam vniuersorum Deus admirabili Noacho dixit: *b)* Mens hominis ad malum propensa est inde ab adolescentia eius omnibus diebus. Ceterum per hæc omnia discimus, non peccati naturalem vim esse, (nam si ita se haberet,

τὸς ὁ Δαβὶδ, ἢ ὁ λαὸς μετὰ ταῦτα, ἵνα ὁ Θεὸς δικαιωθῇ· ἀλλὰ τοὐναντίον, καὶ τῆς ἁμαρτίας ὑπὸ 1) τούτων 2) γινομένης, τοῦ Θεοῦ τὸ δίκαιον 3) ἀναδείκνυται. πᾶσαν γὰρ 4) καὶ τούτου, κἀκείνων, καὶ πάντων ἀνθρώπων πεποίηται πρόνοιαν. ζ'. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἄνωθέν φησι καὶ ἐξ ἀρχῆς τῆς φύσεως ἡ ἁμαρτία κεκράτηκε. προὔλαβε γὰρ τῆς Εὔας τὴν σύλληψιν τῆς ἐντολῆς ἡ παράβασις. 5) μετὰ γὰρ τὴν παράβασιν, καὶ τὴν θείαν ἀπόφασιν, καὶ τοῦ παραδείσου τὴν στέρησιν, ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν. 6) τοῦτο τοίνυν εἰπεῖν βούλεται, ὅτι τῶν 7) ἡμετέρων προγόνων κρατήσασα 8) ἡ ἁμαρτία, ὁδόν τινα καὶ τρίβον διὰ τοῦ γένους εἰργάσατο. 9) τοῦτο καὶ ὁ 10) μακάριος λέγει Παῦλος· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία 11) εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, 12) ἐφ' ᾧ πάντες ἥμαρτον. τοῦτο καὶ ὁ τῶν ὅλων ἔφη Θεὸς πρὸς τὸν 13) θαυμασιώτατον Νῶε, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος πάσας τὰς ἡμέρας. διδασκόμεθα δὲ διὰ τούτων ἁπάντων, οὐχ ὅτι φυσικὴ τῆς ἁμαρτίας ἡ ἐνέργεια· 14) ἢ γὰρ ἂν, ἦμεν ἐλεύθεροι τιμωρίας, εἴπερ

1) τούτων. Cod. 3. τούτου omisso sequente γινομένης. 2) Cod. 1. 2. γεγενημένης. 3) Cod. 1. δείκνυται. 4) καὶ — πάντων. Def. in Cod. 3. In Cod. 2. def. ista καὶ πάντων ἀνθρώπων. 5) μετὰ — ἔτεκε τὸν Κάϊν. Hæc in Cod. 3. ita se habent: μετὰ γὰρ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας τὴν ἁμαρτίαν ἐξεβλήθησαν τοῦ παραδείσου· καὶ τότε, φησὶ, ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν. 6) τοῦτο — βούλεται. Cod. 3. τοῦτο βούλεται εἰπεῖν. 7) ἡμετέρων. Cod. 3. προτέρων. 8) ἡ ἁμαρτία. Def. in Cod. 3. 9) τοῦτο — πάντες ἥμαρτον. Hæc in Cod. 3. ponuntur post sequentia τοῦτο — ἡμέρας. 10) μακάριος. Cod. 2. μέγας. 11) εἰς τὸν κόσμον. In Cod. 3. sequitur post εἰσῆλθε. 12) ἐφ' ᾧ. In Codd. *aug.* præc. verba l. c. inserta, καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν ὁ θάνατος. 13) θαυμασιώτατον. Cod. 2. θεῖον. 14) ἤ. Cod. 1. ἦ. Cod. 2. ἦν.

a) Rom. 5, 12. b) Gen. 8, 21.

1) εἴπερ 2) τοῦθ' οὕτως εἶχεν. ἀλλ' ὅτι ῥέπει ἡ φύσις περὶ τὸ πταίειν, ὑπὸ τῶν παθημάτων ἐνοχλουμένη· νικᾷ δὲ ὅμως ἡ γνώμη, πόνοις συνεργοῖς κεχρημένη. 3) οὐ τοίνυν, ὥς τινες ὑπέλαβον, τοῦ γάμου κατηγορεῖ, καὶ τὴν γαμικὴν κοινωνίαν παρανομίαν καλεῖ, 4) καθάπερ τινὲς ἀνοήτως ὑπέλαβον, οὕτω νενοηκότες τὸ, ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· ἀλλὰ τὴν ἄνωθεν ὑπὸ τῶν 5) προγόνων ἀνθρώπων τολμηθεῖσαν παρανομίαν εἰς μέσον 6) προφέρει, 7) κἀκείνην λέγει 8) γεγενῆσθαι τῶν ῥευμάτων τούτων πηγήν. εἰ γὰρ ἐκεῖνοί φησι 9) μὴ ἥμαρτον, οὐκ ἂν ἐδέξαντο τῆς ἁμαρτίας τὸν θάνατον ἐπιτίμιον. θνητοὶ δὲ μὴ ὄντες, κρείττους ἂν ἦσαν φθορᾶς. τῇ δὲ ἀφθαρσίᾳ πάντως ἂν καὶ ἡ ἀπάθεια συνῆν. ἀπαθείας δὲ πολιτευομένης, χώραν 10) οὐκ εἶχεν ἡ ἁμαρτία. ἐπειδὴ δὲ ἐξήμαρτον, φθορᾷ παρεδόθησαν· φθαρτοὶ δὲ 11) γινόμενοι, τοιούτους γεγεννήκασι παῖδας· τοῖς δὲ τοιούτοις ἐπιθυμίαι καὶ φόβοι, ἡδοναὶ καὶ λῦπαι, θυμὸς καὶ φθόνος παρέπεται. πρὸς ταῦτα, καὶ τὰ ἐκ τούτων φυόμενα, ὁ λογισμὸς ἀγωνίζεται· καὶ νενικηκὼς μὲν ἀνακηρύττεται, καὶ τοῖς νικηφόροις ταινιοῦται στεφάνοις· ἡττηθεὶς δὲ, καὶ αἰσχύνην ὀφλισκάνει, καὶ δίκας εἰσπράττεται. 12) ἀντὶ μέντοι τοῦ ἐκίσσησεν, ὁ Σύμμαχος ἐκύησε τέθεικεν. η'. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας. Οὕτω δέ φησι κρίνεις, καὶ

a supplicio liberi essemus,) sed naturam ad peccatum esse procliuem, ab affectionibus turbatam: vincit tamen ratio, laborum auxilio subnixa. Non igitur, vt quidam suspicati sunt, nuptias accusat, et matrimonium iniquitatem vocat, sicut nonnulli stulte putarunt, sic illud intelligentes, *In iniquitatibus conceptus sum, et in peccatis concepit me mater mea:* sed transgressionem principio a primis parentibus patratam in medium profert, et illam harum vndarum fontem fuisse dicit. Si enim illi, inquit, non peccassent, pœnam peccati mortem non accepissent: si autem mortales non essent, corruptione superiores fuissent, et cum incorruptione coniuncta omnino esset immunitas a perturbationibus. Si autem non essent perturbationes, peccatum locum non haberet. Sed quoniam peccauerunt, interitui traditi sunt: mortales vero facti, tales procrearunt filios: talesque illos concupiscentiæ, et timores, et voluptates, et mœrores, et ira, et inuidia secutæ sunt. Cum his, et illis, quæ ex istis pullulant, ratio certat, et vincens prædicatur, triumphalibusque coronis coronatur: victa vero et ignominiam meretur, et pœnas luit. At pro *concepit*, Symmachus *vtero gessit* posuit. 8. *Ecce enim veritatem dilexisti.* Sic autem ait, iudicas, et hos

1) εἴπερ — εἶχεν. Def. in Cod. 3. 2) τοῦθ'. Cod. 1. παρὰ τοῦ Θεοῦ. Cod. 2. παρὰ τοῦθ'. 3) οὐ — εἰσπράττεται. Def. in Cod. 3. 4) Cod. 1. 2. καθά. 5) Cod. 1. πρωτογόνων. 6) Cod. 2. προσφέρει. 7) Cod. 2. κἀκείνη. 8) γεγενῆσθαι. In Cod. 2. ponitur ante πηγήν. 9) μὴ ἥμαρτον. Cod. 1. διήμαρτον. 10) οὐκ. Cod. 1. 2. addunt ἄν. 11) Cod. 1. 2. γενόμενοι. 12) ἀντὶ — τέθεικεν. Cod. 3. hæc ita effert: ἀντὶ δὲ τοῦ συνελείφθην ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος ὠδινήθην ἡρμήνευσαν· καὶ ἀντὶ τοῦ ἐκίσσησέ με ἡ μήτηρ μου, ὁ Σύμμαχος ἐκύησέ με ἡ μήτηρ μου.

hos quidem suppliciis afficis, hos vero coronas, quoniam veritatem diligis: veritatem vero diligens, naturæque imbecillitatem sciens, petentibus remedia veniam concede. *Incerta et occulta sapientiæ tuæ manifestasti mibi.* Ego quidem nulla venia me ipsum dignum puto, cum post tot dona ingratus euaserim. Non enim in regiis tantum me collocasti soliis, verum etiam prophetica gratia dignatus es, et futura longo post tempore manifestasti, et * quæ aliis ignota erant mihi nota fecisti, vt et alios docerem vnigeniti tui filii incarnationem, et salutarem passionem, et resurrectionem, et orbis salutem, et peccatorum liberalem remissionem, splendida et diuina sancti baptismatis dona. Hæc omnia a sancto tuo Spiritu edoctus, supplico vt illius gratiæ me compotem facias, quam aliis vaticinans vociferor. 9. *Adsperges me Domine hyssopo, et mundabor: lauabis me, et supra niuem dealbabor.* Sola enim baptismatis gratia hanc purgationem efficere potest, et hanc purgationem omnium Dominus per prophetam Esaiam, se daturum promisit. Nam cum dixisset, *a)* Lauamini, mundi estote, auferte mala a cordibus vestris: paulo post inquit, *b)* Si fuerint peccata vestra

τοὺς μὲν κολάζεις, τοὺς δὲ στεφανοῖς, ἐπειδὴ τὴν ἀλήθειαν στέργεις· τὴν δὲ ἀλήθειαν στέργων, καὶ τῆς φύσεως εἰδὼς τὴν ἀσθένειαν, μετάδος 1) συγγνώμην τοῖς αἰτοῦσι τὰ φάρμακα. Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ἐγὼ μέντοι 2) συγγνώμης οὐδεμιᾶς ἐμαυτὸν ἄξιον νομίζω, μετὰ τοσαύτας δωρεὰς γεγενημένος ἀχάριστος. οὐ γὰρ μόνον με τοῖς βασιλικοῖς ἐνίδρυσας θώκοις, ἀλλὰ καὶ προφητικῆς ἠξίωσας χάριτος, καὶ τὰ μετὰ μακρὸν ἐσόμενα 3) προδεδήλωκας χρόνον, καὶ τὰ τοῖς ἄλλοις ἄδηλα, ἐμοὶ 4) δὲ δῆλα πεποίηκας, ὡς καὶ τοὺς ἄλλους διδάξαι τὴν τοῦ μονογενοῦς σου υἱοῦ ἐνανθρώπησιν, καὶ τὸ σωτήριον πάθος, καὶ τὴν ἀνάστασιν, καὶ τῆς οἰκουμένης τὴν σωτηρίαν, καὶ τῶν ἁμαρτημάτων τὴν φιλότιμον ἄφεσιν, 5) τὰ μεγαλοπρεπῆ καὶ θεῖα τοῦ ἁγίου 6) βαπτίσματος δῶρα. ταῦτα πάντα παρὰ τοῦ 7) παναγίου σου προδιδαχθεὶς πνεύματος, ἱκετεύω μεταλαχεῖν ἐκείνης τῆς χάριτος, ἣν 8) προθεσπίζων τοῖς ἄλλοις 9) βοῶ. θ'. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· 10) πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. 11) Μόνη γὰρ ἡ τοῦ βαπτίσματος δωρεὰ ταύτην ἐργάσασθαι τὴν κάθαρσιν δύναται. 12) ταύτην δὲ τὴν κάθαρσιν, καὶ διὰ Ἡσαΐου τοῦ προφήτου δώσειν ὑπέσχετο τῶν ὅλων ὁ Κύριος. εἰρηκὼς γάρ, λούσασθε, 13) καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν, μετ' ὀλίγα ἔφη· ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν

ὡς

1) Cod. 1. 2. συγγνώμης. 2) συγγνώμης. Cod. 1. γνώμης. 3) Cod. 2. δεδήλωκας. 4) δέ. Abest a Cod. 1. 2. 5) τά. Cod. 1. præm. καί. 6) βαπτίσματος. Cod. 2. πνεύματος. 7) παναγίου. Cod. 2. ἁγίου. 8) Cod. 1. 2. προθεσπίζω. 9 βοῶ. Cod. 1. 2. præm. διό. 10) πλυνεῖς — λευκανθήσομαι. Des. in Cod. 1. et 2. In margine Cod. 2. adscripta est hæc notula: ὕσσωπόν ἐστι τὸ ἄνθος τοῦ καλάμου. 11) Μόνη — Σελμών. Des. in Cod. 3. 12) ταύτην — κάθαρσιν. Des. in Cod. 2. 13) καθαροί. Cod 2. præm. καί.

a) Es. 1, 16. *b)* Ib. v. 18.

ὡς φοινικοῦν, ὡς χιόνα 1) λευκανῶ. ταῦτα καὶ αὐτὸς ὁ μέγας Δαβὶδ ἐν τῷ ἑξηκοστῷ ἑβδόμῳ ψαλμῷ προαγορεύει. ἐν τῷ γὰρ φησι διαστέλλειν τὸν ἐπουράνιον 2) βασιλεῖς, χιονωθήσονται ἐν Σελμών. 3) τοῦτο τοίνυν κἀνταῦθά φησιν, ὅτι τῆς δοθησομένης ἅπασιν ἀνθρώποις 4) προσδέομαι χάριτος. ἐκείνη γὰρ ἀκριβῶς 5) ἀποῤῥύψαι με δύναται μόνη, καὶ τῆς χιόνος μοι τὴν λευκότητα δοῦναι. ὅτι δὲ τὸ ὕσσωπον οὐδεμίαν ἄφεσιν ἁμαρτημάτων 6) εἰργάζετο, ῥᾴδιον ἐκ τῶν Μωσαϊκῶν συγγραμμάτων καταμαθεῖν. τὸν γὰρ ἀνδροφόνον, 7) καὶ τὸν 8) ἀλλοτριόγαμον ληστὴν, οὐ περιῤῥαντηρίοις ὁ νόμος 9) ἐκάθαιρεν, ἀλλὰ τιμωρίαις ἐσχάταις ὑπέβαλλεν. ἑτέρων τοίνυν ἐστὶ πραγμάτων τὸ ὕσσωπον 10) αἴνιγμα. ὑσσώπῳ γὰρ ἐν Αἰγύπτῳ τὸ αἷμα τοῦ προβάτου ταῖς φλιαῖς ἐπιῤῥάναντες, τοῦ ὀλοθρεύοντος τὰς χεῖρας διέφυγον. τύπος δὲ 11) ἦν ἐκεῖνα τῶν σωτηρίων παθημάτων· αἷμα γὰρ κἀνταῦθα, καὶ ξύλον σωτήριον, καὶ σωτηρία τοῖς μετὰ πίστεως προσιοῦσι χορηγουμένη. ι. Ἀκουτιεῖς 12) μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα 13) τεταπεινωμένα. Ταύτης μοι φησὶ τῆς εὐφροσύνης τὰ ὦτα ἔμπλησον, τὴν τελείαν κάθαρσιν ὑπισχνούμενος, ἵνα εἰς ἅπαντα ἡ θυμηδία 14) διαδράμῃ τὰ τοῦ σώματος μόρια. καὶ τὰ νῦν τῇ κακουχίᾳ τεταπεινωμένα ὀστᾶ, ἀνθήσῃ πάλιν,

vt coccineum, vt niuem dealbabo. Hæc et ipse beatus Dauid in sexagesimo sexto psalmo prædicit, a) Dum discernit, inquit, cælestis reges, niue dealbabuntur in Selmon. Hoc igitur etiam hîc dicit, Ego indigeo gratia, quæ danda est omnibus hominibus: quia illa sola me accurate abluere, et niuis candorem mihi dare potest. Quod autem hyssopus nullam peccatorum remissionem operetur, facile ex Mosaicis scriptis discere licet. Homicidam enim, et alieni tori corruptorem, adspersionibus lex non purgabat, sed extremis suppliciis subiiciebat. Aliarum igitur rerum hyssopus est ænigma. Qui enim agni sanguine in Aegypto postes hyssopo adsperserunt, exterminatoris manus euaserunt. Illa autem salutaris passionis figura erant. Sanguis enim hîc etiam, et lignum salutare, et salus his oblata qui cum fide accesserunt. 10. *Facies vt audiam gaudium et lætitiam: et exsultabunt ossa humiliata.* Hac mihi, inquit, lætitia aures imple, perfectam purgationem promittens, vt per omnes partes corporis animi voluptas decurrat, et ossa, quæ nunc afflictione depressa sunt, rursus florescant,

 et

1) Post λευκανῶ in Cod. 1. et 2. sequuntur adhuc verba ista ex l. c. ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. Hæc ob ὁμοιοτέλευτα in Codd. quibusdam omissa videntur. 2) βασιλεῖς. Cod. 1. addit ἐπ' αὐτῆς. Cod. 2. ἐπ' αὐτήν. 3) τοῦτο — χάριτος. Cod. 3. ἐκείνης τοίνυν, φησὶ, τῆς δοθησομένης ἅπασιν ἀνθρώποις προσδέομαι χάριτος. 4) Cod. 2. προσδέχομαι. 5) Cod. 2. ἀποῤῥίψαι. 6) εἰργάζετο. Cod. 2. παρέχει, quod ponitur ante ἁμαρτημάτων. 7) καὶ — ληστήν. Cod. 2. καὶ μοιχόν. 8) ἀλλοτριογαμον. Cod. 3. ἀλλοτρίων γάμων. 9) Cod. 2. ἐκάθηρεν. 10) Post αἴνιγμα in Cod. 3. sequ. καθ' ἃ εἴρηται. 11) ἦν. Des. in Cod. 1. 2. 12) μοι. Rec. lectio est. με. 13) τεταπεινωμένα. Hebr. דכית (*quæ*) *contriuisti.* Hæc *Symm.* in 3. pers. expr. ἃ συνέθλασεν. 14) Cod. 1. 2. δράμῃ.

a) Ps. 67, 15.

et suum robur recipiant. *11. Auerte faciem tuam a peccatis meis, et omnes iniquitates meas dele,* Ne respicias, inquit, peccata a me audacter commissa, sed me ista deplorantem. * *12. Cor mundum crea in me Deus, et spiritum rectum innoua in visceribus meis.* Quoniam peccati senium contraxi, tua benignitate me renoua. Hæc etiam per prophetam Ezechielem captiuis apud Babylonem Dominus spopondit, Dabo enim ipsis, inquit, a) cor nouum et spiritum nouum. *Spiritum* autem non sanctum dicit, sed rationis motum: hoc est, cum longa castigatione castigauero vos, et quos fructus peccatum producat, vos docuero, faciam vt virtutem eligatis. Id hoc quoque in loco magnus David petiit, vt et læsum cor eius renouetur, et mens corroboretur, ad decurrendam viam diuinam. *13. Ne abiicias me a facie tua, et Spiritum sanctum tuum ne auferas a me.* Manifesto per hæc verba didicimus, eum gratia sancti Spiritus minime destitutum fuisse. Non enim tanquam ista orbatus orat vt eam recipiat, sed ne hac priuetur obsecrat, neue a diuina gubernatione procul fiat. *Faciem* enim hoc loco gubernationem appellauit. *14. Red-*

καὶ 1) ἀπολάβῃ τὴν 2) οἰκείαν ἰσχύν. ια΄. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Μὴ ἴδῃς, φησὶ, τὰς ὑπ᾽ ἐμοῦ τετολμημένας ἀνομίας, ἀλλ᾽ ἐμὲ τὸν ταύτας ὀλοφυρόμενον. ιβ΄. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα 3) εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. 4) Ἐπειδὴ τὸ γῆρας ἐδεξάμην τῆς ἁμαρτίας, τῇ σῇ με φιλανθρωπίᾳ νεούργησον. ταῦτα καὶ δι᾽ 5) Ἰεζεκιὴλ τοῦ προφήτου, τοῖς ἐν Βαβυλῶνι δορυαλώτοις ὁ Δεσπότης ὑπέσχετο. δώσω γὰρ αὐτοῖς, 6) φησὶ, καρδίαν καινὴν, καὶ πνεῦμα καινόν. 7) πνεῦμα δὲ οὐ τὸ πανάγιον λέγει, ἀλλὰ τοῦ λογικοῦ τὴν ὁρμήν. τουτέστι, τῇ μακρᾷ ταύτῃ παιδεύσας παιδείᾳ, 8) καὶ διδάξας 9) ὑμᾶς, οἵους ἡ ἁμαρτία φύει καρποὺς, τὴν ἀρετὴν αἱρεῖσθαι παρασκευάσω. 10) τοῦτο κἀνταῦθα ὁ 11) μακάριος ᾔτησε Δαβὶδ, τήν τε βλαβεῖσαν 12) αὐτοῦ νεουργηθῆναι καρδίαν, καὶ τὸ λογικὸν ῥωσθῆναι, ὥστε τὴν 13) θείαν τρέχειν ὁδόν. ιγ΄. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Σαφῶς 14) διὰ τούτων μεμαθήκαμεν 15) τῶν λόγων, ὡς οὐκ 16) ἐγυμνώθη τῆς τοῦ παναγίου πνεύματος χάριτος. οὐ γὰρ ὡς γυμνωθεὶς 17) ἀπολαβεῖν ἱκετεύει, ἀλλὰ μὴ στερηθῆναι ταύτης ἀντιβολεῖ, μηδὲ πόῤῥω γενέσθαι τῆς θείας κηδεμονίας. πρόσωπον 18) γὰρ ἐνταῦθα τὴν 19) κηδεμονίαν ἐκάλεσεν. ιδ΄. Ἀπόδος

1) Cod. 2. ἀπολαύῃ. 2) οἰκείαν. Cod. 2. προτέραν. 3) εὐθές. Hebr נכון *firmum.* 4) Ἐπειδὴ — νεούργησον. Def. in Cod. 3. 5) Cod. 2. Ἐζεκιήλ. 6) φησί. Def. in Cod. 3. 7) πνεῦμα — παιδείᾳ. Def. in Cod. 3. 8) καί. Cod. 3. ἀντὶ τοῦ. 9) ὑμᾶς. Cod. 1. 2. ἡμᾶς. 10) τοῦτο — ῥωσθῆναι. Def. in Cod. 3. 11) μακάριος. Cod. 2. μέγας. 12) αὐτοῦ. Cod. 2. præm. ὑπ᾽. 13) θείαν. Cod. 1. 2. εὐθεῖαν. 14) διά. Cod. 2. præm. καί. 15) τῶν λόγων. Def. in Cod. 3. 16) Cod. 3. ἀπεγυμνώθη. 17) Cod. 2. ἀπολαύειν. 18) γάρ. Cod. 1. δέ. 19) κηδεμονίαν. Cod. 2. præm. θείαν.

a) Ezech. 36, 26.

δος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ 1) πνεύματι ἡγεμονικῷ στήριξόν με. 2) Ὃ μὴ ἀπώλεσεν, ἔχειν 3) ἠντιβόλησε, τουτέστι, τὴν χάριν τοῦ πνεύματος· ὃ δὲ ἀποβέβληκεν, ἀπολαβεῖν ἱκετεύει. 4) τοῦτο δὲ ἦν ἡ 5) ἐν Θεῷ εὐφροσύνη. πάσης, φησὶ, θυμηδίας ἀπήλαυον, ἡνίκα πολλὴν εἶχον πρός σε Δέσποτα παῤῥησίαν· νῦν δὲ ταύτης γεγυμνωμένος, καὶ τῆς εὐθυμίας ἐστέρημαι. ἐγύμνωσε δέ με τῆς παῤῥησίας ἡ δουλεία τῆς ἡδονῆς· διὸ ἱκετεύω τὴν προτέραν ἡγεμονίαν 6) ἀπολαβεῖν μου τὸν νοῦν, καὶ τὸν ὑπὸ τῶν παθῶν δουλωθέντα, τὴν κατὰ τούτων αὖθις ἀπολαβεῖν ἐξουσίαν. πάλιν γὰρ ἐνταῦθα πνεῦμα ἡγεμονικὸν τὸν αὐτοκράτορα λογισμὸν 7) ἐκάλεσε. ιέ. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. Τῆς σῆς πάλιν ἀπολαύων φιλανθρωπίας ἀρχέτυπον ἔσομαι μετανοίας τοῖς τὸν παράνομον βίον ἀσπαζομένοις. ἔσομαι δὲ καὶ κήρυξ τῆς σῆς ἀγαθότητος, καὶ προτρέψω δυσσεβεῖς ἀνθρώπους καὶ παρανόμους, τῇ σῇ προσδραμεῖν ἱκετείᾳ. ιϛ΄. Ῥῦσαί με ἐξ αἱμάτων 8) ὁ Θεὸς τῆς σωτηρίας μου. Συνεχῶς ἐν τῇ μνήμῃ περιστρέφει τὸν τοῦ Οὐρίου φόνον. 9) τοῦτο κἀν τῷ προοιμίῳ δεδήλωκεν, ὅτι ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. 10) ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. 11) τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσε, διαλαλήσει ἡ γλῶσσά μου τὴν 12) ἐλεημοσύνην σου. οὐ γὰρ σιγήσω τῆς ἀφέσεως ἀπολαύσας, ἀλλ᾽ ὑμνῶν σε διατελέσω, καὶ τὰς σὰς διηγούμενος χάριτας. ιζ΄. 13) Τὰ

de mihi lætitiam salutaris tui, et Spiritu principali confirma me. Quod non amisit, vt retineat supplicauit, hoc est, Spiritus sancti gratiam. Quod autem proiecit, obsecrat vt recuperet: hoc vero erat gaudium in Deo. Omni, inquit, animi voluptate perfruebar, cum multam in te fiduciam haberem: nunc autem hac priuatus, lætitia etiam orbatus sum, fiducia vero me nudauit seruitus voluptatis. Idcirco supplico, vt mens mea pristinum principatum recipiat, et quæ perturbationibus in seruitutem redacta est, rursus contra has potestatem recuperet. Nam hoc in loco iterum *spiritum principalem* rationem imperantem nuncupauit. *15. Docebo iniquos vias tuas, et impii ad te conuertentur.* Rursus tuam benignitatem assecutus, iniquam vitam amplectentibus exemplar ero pœnitentiæ: ero et bonitatis tuæ præco, et impios atque iniquos homines commonefaciam, vt supplices ad te confugiant. *16. Libera me a sanguinibus o Deus, Deus salutis meæ.* Continue Vriæ cædem in memoriam * reuocat. Hoc etiam in exordio declarauit, dicens, Quoniam peccatum meum contra me est semper. *Exsultabit lingua mea de iustitia tua.* Hoc Symmachus sic interpretatus est, *Loquetur lingua mea misericordiam tuam.* Non enim silebo, veniam consecutus, sed assidue te laudabo, tuaque beneficia narrabo. 17. *Domi-*

Y β

1) πνεύματι ἡγεμονικῷ. Hebr. רוח נדיבה 2) ὅ. Cod. 2. ἅ. 3) Cod. 3. ἠντιβόλει. 4) τοῦτο. Cod. 2. τό. 5) ἐν Θεῷ. Cod. 1. ἔνθεος. 6) Cod. 2. ἀπολαύειν. 7) ἐκάλεσε. In Cod. 1. 2. ponitur ante τὸν αὐτοκράτορα λογισμόν. 8) ὁ Θεός. In Cod. 1. 2. repetitur. 9) τοῦτο. Cod. 1. 2. addunt γάρ. 10) Cod. 1. ἀγαλλιάσοιτο. 11) τοῦτο. Abest a Cod. 3. 12) ἐλεημόσύνην. Cod. 1. δικαιοσύνην. 13) Τὰ — ἀνοίξεις. In tribus Codd. aug. ita vt in Textu τῶν ό. pon. post Κύριε.

mine labia mea aperies, et os meum annunciabit laudem tuam. Peccatum enim linguam ligare solet, et os oppilare, strangulare, et cogere vt conticescat. Obsecrat igitur propheta, vt per remissionem pristinam fiduciam consequatur, vtque linguam in laudes moueat. *18. Quoniam si voluisses sacrificium, dedissem vtique: holocaustis non delectaberis.* Conueniunt etiam hæc cum illis, quæ in præcedenti psalmo dicta fuere. Ibi enim audiuimus Deum omnium dicentem, a) Non accipiam de domo tua vitulos, neque de gregibus tuis hircos. Cum igitur hoc diuinus David a diuina voce audiuisset, merito dixit, *Quoniam si voluisses sacrificium, dedissem vtique, holocaustis non delectaberis.* Tu enim, inquit, dixisti, brutorum animalium sacrificia non placere tibi: idcirco sacrificium tibi gratum afferam. *19. Sacrificium Deo (gratum) spiritus contritus: cor contritum et humiliatum Deus non despiciet.* Sacrificium, inquit, gratum et acceptum tibi Deo nostro, mentis modestia est. Propterea cor meum magnopere deprimens, et veluti conterens, et ipsum valde attenuans, acceptum sacrificium tibi offeram. His etiam verbis beati illi pueri in camino vsi sunt: Corde enim, dixerunt, b) contrito, et spiritu humilitatis, suscipiamur coram te, vt holocau-

χείλη μου 1) ἀνοίξεις Κύριε, καὶ τὸ στόμα μου 2) ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ἡ γὰρ ἁμαρτία πέφυκε τὴν γλῶσσαν δεσμεῖν, ἐμφράττειν τὸ 3) στόμα, 4) ἄγχειν, σιωπᾷν ἀναγκάζειν. ἀντιβολεῖ τοίνυν ὁ προφήτης, διὰ τῆς ἀφέσεως τῆς προτέρας παῤῥησίας μεταλαχεῖν, καὶ τὴν γλῶτταν εἰς ὑμνῳδίαν κινῆσαι. ιη. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. 5) Συνᾴδει καὶ ταῦτα τοῖς ἐν τῷ προτεταγμένῳ εἰρημένοις ψαλμῷ. ἀκηκόαμεν γὰρ ἐκεῖ τοῦ Θεοῦ τῶν ὅλων λέγοντος, οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου 6) τράγους. τοιγάρτοι τοῦτο παρὰ τῆς θείας ἀκούσας φωνῆς ὁ 7) θειότατος Δαβὶδ, εἰκότως ἔφη, ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν. ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. σὺ γὰρ φησιν εἴρηκας μὴ θυμήρεις εἶναί σοι τὰς τῶν ἀλόγων θυσίας. οὗ δὴ χάριν τὴν ἀρέσκουσάν σοι ἱερουργίαν προσοίσω. ιθ΄. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ 8) ἐξουδενώσει. Ἱερεῖον φησιν ἀρεστὸν καὶ θυμῆρές σοι τῷ Θεῷ ἡμῶν μετριότης φρονήματος. διὸ σφόδρα μου τὴν καρδίαν ταπεινώσας, καὶ οἱονεὶ συντρίψας, καὶ λίαν αὐτὴν 9) λεπτύνας, τὴν ἀρεστήν σοι θυσίαν προσκομιῶ. τούτοις καὶ οἱ 10) μακάριοι παῖδες ἐν τῇ καμίνῳ τοῖς λόγοις ἐχρήσαντο. ἐν καρδίᾳ γὰρ ἔλεγον συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως, προσδεχθείημεν ἐνώπιόν σου, ὡς ἐν ὁλοκαυτώμασι

1) Cod. 1. ἀνοίξαις. 2) Cod. 1. ἀναγγεῖλαι. 3) στόμα. Cod. 3. addit μου. 4) ἄγχειν — ἀναγκάζειν. Des. in Cod. 3. 5) Συνᾴδει κ. λ. In Cod. 3. des. Comment. ad hunc et sequ. vers. 6) τράγους. Cod. 1. 2. χιμάῤῥους. 7) Cod. 1. θεῖος. 8) Cod. 1. ἐξουδενώσεις. Hebr. תִבְזֶה. 9) λεπτύνας. Cod. 1. συντρίψας καί. 10) μακάριοι. Cod. 2. θεῖοι.

a) Ps. 49. 10. b) Orat. trium Virorum vers. 15. 16.

μασι κριῶν καὶ ταύρων 1) πιόνων. ὡς εἶναι δῆλον κἀντεῦθεν, ὅτι καὶ πρόῤῥησιν ὁ ψαλμὸς ἔχει τῶν ἐν Βαβυλῶνι συμβεβηκότων, καὶ διδασκαλίαν τὴν ἐκείνοις ἁρμόττουσαν. ἐντεῦθεν γὰρ καὶ οἱ γενναῖοι παῖδες ἐκεῖνοι, τὴν ἀρεστὴν τῷ Θεῷ θυσίαν 2) μεμαθηκότες, τὴν ταπεινότητα τοῦ φρονήματος, καὶ τῆς καρδίας τὴν συντριβὴν τῷ Δεσπότῃ προσήνεγκαν. κ΄. Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. κα΄. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν, καὶ ὁλοκαυτώματα. τότε 3) ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. 4) Σαφέστερον ἐκ τούτων ἐδιδάχθημεν τῶν ῥημάτων, ὅτι πλήρης ὁ ψαλμὸς προφητείας. τοῖς ἐν Βαβυλῶνι γὰρ ἠναγκασμένοις 5) οἰκεῖν, καὶ ποθοῦσι τὴν τῆς δουλείας ἀπαλλαγὴν, καὶ ὀλοφυρομένοις τὴν τῆς πόλεως ἐρημίαν, ἁρμόττει τὰ ῥήματα. ἱκετεύουσι γὰρ οἴκτου τινὸς ἀξιωθῆναι τὴν πόλιν, καὶ τὴν προτέραν εὐκληρίαν ἀπολαβεῖν, τῶν περιβόλων 6) ἀνορθουμένων, καὶ τῆς κατὰ νόμον τελουμένης λατρείας. νῦν μὲν γάρ φησι τὴν ἀλλοτρίαν οἰκοῦντας τὰς ὡρισμένας 7) σοι θυσίας προσφέρειν οὐκ ἔνεστιν, ἐν ἐκείνῃ μόνῃ τῇ πόλει θύειν τοῦ νόμου διαγορεύοντος. εἰ δὲ τῆς ἐπανόδου τύχοιμεν, καὶ τὸν νεὼν ἀνορθώσαιμεν, τηνικαῦτα 8) σοι τὰς ἐννόμους θυσίας 9) προσοίσομεν. ἁρμόττει δὲ λίαν αὐτοῖς, 10) καὶ τὰ χείλη μου ἀνοίξεις Κύριε, καὶ 11) τὸ στόμα μου 12) ἀναγγελεῖ τὴν αἴνεσίν σου.

ſtis arietum, et pinguium taurorum. Vt inde manifeſtum ſit, hunc pſalmum prædictionem etiam eorum continere, quæ Babylone acciderunt, et doctrinam illis accommodatam. Hinc enim etiam generoſi illi pueri, cum ſacrificium Deo gratum didiciſſent, humilitatem mentis, cordisque contritionem Domino obtulerunt. 20. *Bene fac Domine pro bona voluntate tua Sioni, vt ædificentur muri Hieroſolymæ.* * 21. *Tunc acceptum habebis ſacrificium iuſtitiæ, oblationes, et holocauſta: tunc imponent ſuper altare tuum vitulos.* Manifeſtius ex his verbis didicimus pſalmum prophetiæ plenum eſſe. Nam iis, qui Babylone habitare coacti erant, et liberationem a ſeruitute exſpectabant, et ciuitatis ſuæ ſolitudinem deplorabant, hæc verba congruunt: ſupplicant enim vt ciuitas aliqua miſericordia digna habeatur, priſtinamque felicitatem, mœnibus reparatis, cultuque ex lege reſtituto conſequatur. Nunc quippe, ait, in peregrina habitantes terra, ſacrificia tibi præſcripta offerre non poſſumus, cum in illa ſola ciuitate ſacrificare lex iubeat. Si autem reverſionem conſecuti fuerimus, et templum erexerimus, tunc legitima ſacrificia tibi offeremus. Congruit autem valde illis, *Domine labia mea aperies, et os meum annunciabit laudem tuam.*

1) πιόνων. Cod. 1. præm. καὶ ὡς ἐν μυριάσιν ἀρνῶν. Sicque legitur etiam in Orat. trium Virorum verſ. 16. 2) μεμαθηκότες. Cod. 2. præm. προσφέρειν. 3) Cod. 2. ἂν οἴσουσιν. 4) Σαφέστερον. In Cod. 3. ſequitur φασὶν ἔνιοι. 5) οἰκεῖν. In Cod. 2. ponitur ante ἠναγκασμένοις. 6) ἀνορθουμένων. In Cod. 3. ſequitur τῶν ἱερείων προσφερομένων. 7) σοι. Abeſt a Cod. 2. 8) σοι. Cod. 1. præm. ἄν. 9) Cod. 1. προσοίσωμεν. 10) καὶ τὰ χείλη. Cod. 1. καὶ τὸ στόμα. Cod. 2. καὶ τὸ Κύριε τὸ στόμα. 11) τὸ στόμα. Cod. 1. 2. τὰ χείλη. 12) Cod. 2. ἀναγγεῖλαι.

Ipsorum enim vox est, a) Quomodo cantabimus canticum Domini in terra peregrina? Finis autem huius psalmi habet et alteram prophetiam. Quoniam enim superius sancti Spiritus dona proposuit, deinde progrediens ostendit, Deum vniuersorum non delectari sacrificiis lege præscriptis, oratque vt noua Sion appareat, et cælestis Hierosolyma super terram ædificetur, et quam celerrime noua religio concedatur, quæ non rationis expertes victimas, sed iustitiæ oblationem, et hostiam, atque sacrificia rationalia, et viuentia offerat holocausta, de quibus beatus Paulus inquit, b) Obsecro vos fratres per misericordiam Dei, vt exhibeatis corpora vestra hostiam viuentem, sanctam, Deo placentem rationalem cultum vestrum. Sciens enim diuinus Dauid, vt qui incerta et occulta diuinæ sapientiæ didicerat, nouum testamentum perfectam peccatorum remissionem continere, et desiderans velociter ac perfecte a peccatis liberari, cupiensque et ipse breuem ac liberalem purgationem consequi, hæc dicit.

αὐτῶν γὰρ 1) ἐςι φωνὴ, πῶς 2) ᾄσομεν τὴν ᾠδὴν Κυρίȣ ἐπὶ γῆς ἀλλοτρίας; 3) ἔχει δὲ καὶ ἑτέραν προφητείαν τȣ̃ ψαλμȣ̃ τȣ̃δε τὸ τέλος. ἐπειδὴ γὰρ τȣ̃ παναγίȣ πνεύματος ἄνω τὰ δῶρα 4) προτέθεικεν, εἶτα κατιὼν ἔδειξε τὸν τῶν ὅλων Θεὸν ταῖς 5) κατὰ νόμον θυσίαις ȣ̓κ ἀρεσκόμενον, ἱκετεύει τὴν νέαν ἀναφανῆναι Σιὼν, καὶ τὴν ἐπȣράνιον Ἱερουσαλὴμ ἐπὶ γῆς πολισθῆναι, καὶ ὅτι τάχιςα παραχεθῆναι τὴν καινὴν πολιτείαν, τὴν ȣ̓κ ἄλογα προσφέρȣσαν θύματα, ἀλλὰ τὴν τῆς δικαιοσύνης ἀναφορὰν καὶ θυσίαν, καὶ τὰ λογικὰ καὶ ζῶντα 6) ὁλοκαυτώματα, περὶ ὧν 7) μακάριος λέγει Παῦλος, παρακαλῶ 8) ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τȣ̃ Θεȣ̃ παραςῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, 9) ἁγίαν, εὐάρεςον τῷ Θεῷ τὴν λογικὴν λατρείαν ὑμῶν. εἰδὼς γὰρ ὁ 10) θειότατος Δαβὶδ, 11) ἅτε τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς τȣ̃ Θεȣ̃ σοφίας μεμαθηκὼς, ὡς ἡ καινὴ διαθήκη τελείαν ἔχει τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ταχίςης καὶ τελείας τῶν ἁμαρτημάτων ἀπαλλαγῆς ἐφιέμενος, καὶ τῆς συντόμȣ καὶ φιλοτίμȣ καθάρσεως τυχεῖν καὶ αὐτὸς ὀρεγόμενος, 12) ταῦτά φησι.

ΕΡΜΗΝ.

1) ἐςι. Cod. 2. ἦ. 2) Cod. 2. ᾄσωμεν. 3) ἔχει κ. τ. λ. Des. in Cod. 3. qui cum hoc Psalmo desinit. 4) Cod. 2. προστέθεικεν. 5) κατὰ νόμον. Cod. 2. νομικαῖς. 6) ὁλοκαυτώματα. Cod. 1. θύματα. 7) μακάριος. Cod. 2. θεῖος. 8) ὑμᾶς. Cod. 2. præm. δέ. 9) ἁγίαν. In Cod. 2. ponitur post εὐάρεςον. 10) θειότατος. Cod. 2. μέγας. 11) ἅτε. In Cod. 1. 2. sequitur δή. 12) ταῦτά φησι. Cod. 2. ἦν. In Cod. 1. post ὀρεγόμενος hæc sequuntur: τῆς παναγίȣ τȣ̃ Θεȣ̃ χάριτος τῆς εἰς πολλὴν φιλανθρωπίαν ἐπιφοιτησάσης μετὰ τὴν ἀνάςασιν καὶ ἀνάληψιν τȣ̃ Θεȣ̃ καὶ σωτῆρος ἡμῶν Ἰησȣ̃ Χριςȣ̃ τῇ πεντηκοςῇ ἡμέρᾳ τοῖς μακαρίοις ἀποςόλοις συνηγμένοις ἅμα, καὶ δωρησαμένης αὐτοῖς χάριν· ὥςε ἕκαςον ἔθνος τῇ ἰδίᾳ διαλέκτῳ ἀκȣ́οντα τὰ παρ᾽ αὐτῶν λεγόμενα μεγαλεῖα τȣ̃ Θεȣ̃, θαυμάζειν καὶ πιςεύειν τῷ σωτῆρι τῷ τοιαύτην χάριν δωρȣμένῳ τοῖς εἰς αὐτὸν ἔχουσι τὴν πεποίθησιν. τοιγαρȣ̃ν κἀγὼ ὁ ἐλάχιςος τὴν εἰς αὐτὸν ἔχων ἐλπίδα, καὶ τῇ παρ᾽ αὐτȣ̃ χάριτι διεπόμενος, ὡς ὕςερον διελθὼν τὴν κατὰ τȣ̀ς πεντήκοντα ψαλμȣ̀ς ὑπόθεσιν τȣ̃ μακαρίȣ Δαβὶδ, ἰδȣ̀ ἐπὶ τὸν πρῶτον μετὰ τὸν πεντηκοςὸν ψαλμὸν βαδίȣ̃μαι τῇ διανοίᾳ, καὶ παρακαλῶ πάντας

a) Ps. 136, 4. b) Rom. 12, 1.

ΕΡΜΗΝ. ΤΟΥ να΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, συνέσεως τῷ Δαβίδ.
β΄. Ἐν τῷ 1) εἰσελθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ 2) ἀπαγγεῖλαι τῷ Σαοὺλ, καὶ εἰπεῖν αὐτῷ, ἦλθε Δαβὶδ εἰς τὸν οἶκον 3) Ἀβιμέλεχ. Καὶ ἐντεῦθεν δῆλον, ὡς διώνυμος ὁ Ἀβιμέλεχ. ὁ γὰρ Δωὴκ, ὡς ἡ πρώτη τῶν Βασιλειῶν ἱστορία διδάσκει, 4) τὸν Ἀχιμέλεχ εἰσήγγειλε παρὰ 5) τῷ Σαοὺλ, καὶ εἰς μιαιφονίαν τῶν ἱερέων ἐξέμηνε. 6) τοῦτον δὲ καὶ ἐνταῦθα, καὶ ἐν τῷ τριακοστῷ τρίτῳ ψαλμῷ Ἀβιμέλεχ ὀνομάζει. τὴν γεγενημένην 7) κατὰ τῶν ἱερέων συκοφαντίαν μεμαθηκὼς ὁ θεῖος Δαβίδ, τοῦτον 8) συνέγραψε τὸν ψαλμὸν, εἰς ὑπομονὴν καὶ καρτερίαν τοὺς ἀδικουμένους 9) ἀλείφων, καὶ τῆς θείας ψήφου διδά-

INTERP. PSALMI LI.

1. In finem. Intellectus Dauidi.
2. Quando venit ad eum Doëg Idumæus, et nunciauit Sauli, dixitque illi, Venit Dauid in domum Abimelech. a) Et hinc manifeſtum eſt, Abimelechum duo nomina habuiſſe. Nam Doëg, * vt prima regum hiſtoria docet, accuſauit Achimelechum apud Saulem, eumque ad cædem ſacerdotum irritauit. Hunc autem et hoc in loco, et in trigeſimo tertio pſalmo, Abimelechum nominat. Diuinus igitur Dauid, cum reſciuiſſet calumniam, quæ contra ſacerdotes facta eſſet, hunc conſcripſit pſalmum, ad patientiam et conſtantiam eos qui iniuriam patiebantur excitans, diuinæque ſententiæ iuſti-

πάντας ὑμᾶς ἐπεύξασθαί μοι πρὸς τὸ διανηξάμενον (ſic) δωρεὰν μὴ διαψεύσασθαι, ἀλλὰ καὶ τὰς λοιπὰς ᾠδὰς διεξελθεῖν. Alia opus eſſet interpunctione, ſi hæc cum proxime præcedentibus coniungi deberent. Colo ad vocem τυχεῖν adpoſito, hic eſſet cum verbis iſtis καὶ αὐτὸς ὀρεγόμενος nexus: „ Ipſe quoque appetens ſanctiſſimi Dei gratiam, quæ ad declarandum ſummum erga homines amorem, poſt reſurrectionem et aſſumtionem Dei ac Saluatoris noſtri Ieſu Chriſti, die Pentecoſtes venit ſuper beatos apoſtolos vna congregatos, iisque gratiam largita eſt: ita vt omnes gentes ſua lingua magnalia Dei ab illis propoſita audientes, mirarentur, fidemque darent Saluatori, cuius hæc eſt erga eos qui fiduciam ſuam in eo ponunt, gratia. Propterea etiam ego qui ſum minimus, ſpem in eo poſitam habeo, et poſtquam per ipſius gratiam, quam ducem ſequor, expoſitionem quinquaginta Pſalmorum b. Dauidis abſolui, ecce nunc animum ad primum poſt quinquageſimum Pſalmum adiicio, vosque omnes obteſtor, velitis Deum rogare, vt mihi hoc fretum traiecturo gratia ſua non deſit, vt reliquas etiam odas poſſim exponere. „

1) εἰσελθεῖν. Cod. 1. 2. ἐλθεῖν, vt in Textu τῶν ό. 2) Cod. 1. ἀναγγεῖλαι, quæ eſt rec. lectio h. l. 3) *Theod.* et *Symm.* habent Ἀχιμέλεχ. 4) τὸν Ἀχιμέλεχ. Cod. 1. τῷ Ἀβιμέλεχ. Cod. 2. τὸν Ἀβιμέλεχ. 5) τῷ. Cod. 1. 2. τοῦ. 6) τοῦτον — ὀνομάζει. Vid. ſupra p. 812. n. 8. et p. 422. n. 1. 7) κατά. Cod. 1. præm. τοίνυν. 8) Cod. 1. 2. ἔγραψε. 9) ἀλείφων. In Cod. 1. hæc ſequuntur, quæ ad marginem remittere, quam Textui inſerere, maluimus, ne arctiſſimum nexum, qui eſt inter verba Textus, difficiliorem reddere videamur. καὶ μάλιστα ὅσοι τῶν ἱερέων παρ᾽ εὐχὰς πειρασμοῖς περιπέσωσι· πρὸς τὸ μὴ δεῖν αὐτοὺς ὀκλάζειν ἀλλὰ φέρειν γενναίως, διὰ τὸν τὰ ἡμέτερα πάθη ἐπὶ Θεοῦ θριαμβεύοντα Κύριον τῆς δόξης. „ Et potiſſimum ſacerdotes, quotquot propter vota in tentationes incide-

a) 1 Reg. 22.

iustitiam docens. Quamobrem psalmum etiam inscripsit *in finem, et intellectus*, vt prudentia vtentes, rerum euentum exspectemus. Continet etiam simul prædictionem de furore Rapsacis, qui ex Hebræis oriundus, postea captiuus factus, impietatem didicit Assyriorum, qui eum seruituti manciparant, et blasphemis in Deum verbis vsus est, fallacique oratione conatus est Iudæorum vulgus decipere. „ Et inscriptio quidem primi post „ quinquagesimum Psalmi hanc „ nobis subministrauit explica„ tionem. Ipse vero hic Pro„ pheta apertius hoc significauit, „ hunc in modum incipiens „ : 3. *Quid gloriaris in malitia, qui potens es in iniquitate toto die? Potentem* quidem Doëgum nuncupat, quippe Sauli familiarissimum: Rapsacen vero, vt cui cura ducendi exercitus commissa fuerat. Format autem sermonem per interrogationem, adhortans, ne ob malitiam exsultet, neue omne tempus in prauitate consumat. Hæc enim verba, *toto die*, Symmachus *singulis diebus* dixit. 4. *Iniustitiam cogitauit lingua tua: sicut nouacula acuta fecisti dolum.* Falsis, inquit, verbis lin-

σκων 1) τὸ δίκαιον. 2) διάτοι τοῦτο, καὶ εἰς τὸ τέλος ἐπέγραψε τὸν ψαλμὸν, καὶ συνέσεως, ἵνα συνέσει χρώμενοι, τῶν πραγμάτων τὸ τέλος προσμένωμεν. ἔχει δὲ καὶ πρόῤῥησιν κατὰ ταυτὸν τῆς Ῥαψάκου μανίας, ὃς ἐξ Ἑβραίων ὁρμώμενος, 3) εἶτα γενόμενος δορυάλωτος, τῶν ἐξανδραποδισάντων Ἀσσυρίων 4) μεμάθηκε τὴν ἀσέβειαν, καὶ βλασφήμοις ἐχρήσατο κατὰ τοῦ Θεοῦ λόγοις, καὶ ἀπατηλοῖς ἐπειράθη φενακίσαι ῥήμασι τῶν Ἰουδαίων τὸ πλῆθος. 5) „ καὶ ἡ „ μὲν ἐπιγραφὴ τοῦ πρώτου μετὰ τὸν „ πεντηκοστὸν ψαλμὸν ταύτην ἡμῖν ὑ„ πέθετο τὴν ὑφήγησιν· αὐτὸς δὲ οὗ„ τος ὁ προφήτης σαφέστερον αὐτὸ ἔ„ φησεν ἀπαρχόμενος ἐντεῦθεν οὕτως. „ γ'. Τί ἐγκαυχᾷ ἐν κακίᾳ 6) ὁ δυνατὸς ἀνομίαν ὅλην τὴν ἡμέραν; Δυνατὸν 7) μὲν καλεῖ τὸν Δωὴκ, ὡς τῷ Σαοὺλ 8) προσῳκειωμένον· τὸν 9) δὲ Ῥαψάκην, ὡς 10) τὸ στρατηγεῖν πεπιστευμένον. εἰς ἐρώτησιν δὲ σχηματίζει τὸν λόγον, μὴ μέγα φρονεῖν ἐπὶ κακίᾳ παρεγγυῶν, μηδὲ πάντα καιρὸν ἀναλίσκειν εἰς πονηρίαν. τὸ γὰρ ὅλην τὴν ἡμέραν 11) καθ' ἑκάστην ἡμέραν 12) ὁ Σύμμαχος 13) εἴρηκεν. δ'. Ἀδικίαν ἐλογίσατο ἡ 14) γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον, ἐποίησας δόλον. Ψευδέσι, φησὶ, λόγοις 15) μολύνεις

inciderint; vt oporteat eos non succumbere sed fortiter ferre propter Dominum gloriæ, qui passiones nostras apud Deum mutat in triumphum. „ Sequitur καὶ μάλιστα τῆς θείας κ. λ.

1) τὸ δίκαιον. Cod. 1. addit ὁ προφήτης. 2) διάτοι. Cod. 2. διά. 3) εἶτα. Cod. 2. καί. 4) μεμάθηκε. Cod. 2. μετέμαθε. 5) E Cod. 1. suppl. 6) ὁ δυνατός. Quidam libri veteres huic voci adponunt signum interrogandi. In Cod. 1. sequitur: ἀντὶ τοῦ, οὐδὲν ὠφελήσει μεγάλα κυκῶν· μικρὰν γὰρ ὕστερον τοῦ φρονήματος ἀξίαν δέξεται θανατικὴν ψῆφον. „ Pro eo quod dicitur, nihil proficiet magnis excitatis turbis: leue enim cogitationum suarum pretium aliquando reportabit, scilicet mortis decretum. „ 7) μέν. Abest a Cod. 2. In Cod. 1. ponitur post καλεῖ τόν. 8) Cod. 1. προσοικειούμενον. 9) δέ. Abest a Cod. 2. 10) τό. Cod. 1. 2. καί. 11) καθ'. Cod. 1. præm. ἀντὶ τοῦ. 12) ὁ Σύμμαχος. Ita quoque *Aquila*. 13) εἴρηκεν. Cod. 2. τέθεικεν. 14) γλῶσσά σου. Cod. 1. addit hæc: εἶπε καὶ τὴν διὰ τῆς γλώττης ἀδικίαν. 15) μολύνεις. Cod. 1. μιαίνεις.

λύνεις τὴν γλῶτταν· τὸ γὰρ ἐλογίσατο, ἀντὶ τοῦ ἐφθέγξατο τέθεικεν· καὶ ξυροῦ δίκην ἠκονημένου, προσφέρεις τὸν λόγον, τοῖς πειθομένοις ὄλεθρον 1) μηχανώμενος. έ. Ἠγάπησας κακίαν 2) ὑπὲρ ἀγαθωσύνην, 3) ἀδικίαν ὑπὲρ 4) τὸ λαλῆσαι δικαιοσύνην. Προείλου, φησὶ, τῶν κρειττόνων τὰ χείρω· καὶ τῶν ἀληθῶν τὰ ψευδῆ 5) προτετίμηκας τῶν ῥημάτων· 6) ὑπὲρ δὲ τὸ δίκαιον ἀσπάζῃ τὸ ἄδικον. ϛ'. Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. 7) Ῥήματα καταποντισμοῦ καὶ δολίαν γλῶσσαν κέκληκε τὴν ἄρδην ἀφανίσαι διὰ τοῦ ψεύδους δυναμένην, ἐκ μεταφορᾶς τῶν καταποντιζόντων, καὶ 8) ὑποβρυχίους τοὺς ὑπ' αὐτῶν καταποντιζομένους τῷ βυθῷ τῶν ὑδάτων ποιούντων. τοῦτο δὲ καὶ ὁ Δωὴκ ἔδρασεν. ἄρδην γὰρ ἅπασαν τῶν ἱερέων τὴν πόλιν διέφθειρε τοῖς ψευδέσι κατὰ τοῦ Ἀβιμέλεχ χρησάμενος λόγοις. τοῦτο ποιῆσαι καὶ ὁ Ῥαψάκης ἐπειράθη μὲν, οὐκ ἴσχυσε δέ· προσήνεγκε μὲν γὰρ τὰς ψευδεῖς ὑποσχέσεις τοῖς ἐπὶ τοῦ τείχους ἑστῶσι· διήμαρτε δὲ τῆς θήρας. ζ'. Διὰ τοῦτο ὁ Θεὸς 9) καθέλοι σε εἰς τέλος· ἐκτίλαι σε, καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός 10) σου· καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. 11) Οὐ διαφεύξῃ, φησὶ, ταύτην προελόμενος τὴν 12) πονηρίαν, τοῦ Θεοῦ τῶν ὅλων τὴν ψῆφον· καταλύσει γάρ σε τάχιστα, καὶ παντελεῖ παραδώσει φθο-

guam inquinas, (*cogitauit* enim, pro, *locutus est*, posuit,) et more acutæ nouaculæ sermonem profers, mortem machinans iis qui morem gesserint. 5. *Dilexisti malitiam super benignitatem, iniquitatem, magis quam loqui æquitatem.* Peiora, inquit, melioribus prætulisti, fallaque verba veris præposuisti, magisque iniustitiam, quam æquitatem amplecteris. 6. *Dilexisti omnia verba submersionis, linguam dolosam.* *Verba submersionis*, et *dolosam linguam*, vocauit eam, quæ funditus delere per mendacium potest, Metaphora ab iis desumta, qui submergunt homimines, faciuntque vt profundis aquis obruantur. Hoc autem et Doëg fecit. Nam radicitus totam sacerdotum vrbem euertit, falsis vsus verbis contra * Abimelechum. Hoc idem et Rapsaces facere conatus est, non tamen potuit: attulit enim fallaces pollicitationes iis, qui super mœnibus adstabant, frustratus tamen est sua præda. 7. *Propterea Deus destruat te in finem, euellat te, et transferat te de tabernaculo tuo, et radicem tuam de terra viuentium.* Non effugies, inquit, cum praue egeris, Dei vniuersorum sententiam. Quam primum enim euertet, et omnino perdet te,

1) μηχανώμενος. Nonnulla sequuntur apud CORD. T. II. p. 9. 2) ὑπέρ. Cod. 1. præm. λέγων. 3) ἀδικίαν — δικαιοσύνην. Def. in Cod. 1. 4) τό. Cod. 2. τοῦ. 5) Cod. 1. προετίμησας ῥήματα. 6) ὑπὲρ — ἄδικον. Alia habet CORD. l. c. 7) Ῥήματα κ. λ. Hæc diuersa sunt ab istis quæ habet CORD. l. c. 8) ὑποβρυχίους — ποιούντων. Cod. 1. ὑποβρύχιον ποιούντων ὕδατι. Cod. 2. ὑποβρυχίους διὰ τῶν ὑδάτων ποιούντων. 9) καθέλοι. Prior editio habebat καθελεῖ sed ea est *Symmachi* interpretatio. 10) σου. Abesse solet a Textu τῶν ό. 11) Οὐ διαφεύξῃ κ. λ. Alia habet CORD. p. 11. 12) πονηρίαν — ὅλων. Cod. 1. ἀδικίαν, τοῦ δικαίου κριτοῦ.

te, deque viuentium numero delebit, radicitusque euulsum morte mulctabit. Nam maximus hinc fructus percipietur ab iis qui ob felicitatem scelestorum hominum mœrent, cum istorum interitum viderint: quandoquidem, inquit, *8. Videbunt iusti, et timebunt, et super eum ridebunt, et dicent,* „Super quem? Iniustum, qui „non modo contra ipsam ve„ritatem, vt ille, pugnat, „sed etiam in sacerdotium iram „euomit. Dicunt itaque qui „Deo adhærent:„ *9. Ecce homo, qui non posuit Deum adiutorem suum, sed sperauit in multitudine diuitiarum suarum, et roboratus est in vanitate sua.* Iustorum, inquit, cœtus maiori metu implebitur, iustum Dei iudicium conspicatus, et lætus atque alacer videbit malitiæ sterilitatem, et præsentis felicitatis lucrum. *10. Ego autem sicut oliua fructifera in domo Dei, sperani in misericordia Dei in æternum, et in seculum seculi.* Hæc enim et de se ipso dicit magnus Dauid, et Ezechiæ suggerit instructionem: ambo enim et amatores et alumni pietatis fuerunt. Et in

ρᾷ, καὶ χωρίσει τοῦ καταλόγου τῶν ζώντων, καὶ πρόῤῥιζον ἀνασπάσας παραπέμψει θανάτῳ· μέγιστον γὰρ ἐντεῦθεν φυήσεται κέρδος τῶν ἀδημονούντων ἐπὶ τῇ τῶν πονηρῶν εὐπραξίᾳ, τὸν τούτων ὄλεθρον θεωμένων. 1) καὶ γάρ φησιν η΄. 2) Ὄψονται δίκαιοι, καὶ φοβηθήσονται· καὶ ἐπ' αὐτὸν γελάσονται, καὶ ἐροῦσιν, 3) „ἐπὶ τίνα; τὸν ἄδικον, „τὸν οὐ μόνον κατὰ τῆς ἀληθείας αὐ„τῆς, ὡς ἐκεῖνος, ἀγωνιζόμενον, ἀλλὰ „καὶ κατὰ τῆς ἱερωσύνης μεμηνότα· „λέγοντες δηλονότι οἱ τῷ Θεῷ ἀνακεί„μενοι,„ θ΄. Ἰδοὺ ἄνθρωπος ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ· ἀλλ' ἐπήλπισεν ἐπὶ 4) τῷ πλήθει τοῦ πλούτου αὐτοῦ· καὶ ἐνεδυναμώθη 5) ἐν τῇ ματαιότητι αὐτοῦ. Ὁ τῶν δικαίων, φησὶ, χορὸς μείζονος εὐλαβείας ἐμφορηθήσεται, τὴν δικαίαν τοῦ 6) Θεοῦ 7) θεασάμενος κρίσιν. καὶ γεγηθὼς καὶ 8) γαννύμενος γελάσει τῆς πονηρίας τὴν ἀκαρπίαν, καὶ τῆς παρούσης εὐημερίας τὸ 9) κέρδος. ι΄. Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. 10) Ταῦτα γὰρ καὶ περὶ ἑαυτοῦ λέγει ὁ μέγας Δαβὶδ, καὶ τῷ Ἐζεκίᾳ προσφέρει διδασκαλίαν· ἄμφω γὰρ εὐσεβείας ἐρασταί τε καὶ 11) τρόφιμοι· καὶ ἐν τῷ πρώτῳ

1) καὶ — Ὄψονται. Cod. ὄψονται γάρ φησι. 2) Ὄψονται. Quidam libri vet. præm. καί. 3) E Cod. 1. suppl. 4) τῷ πλήθει. Cod. *vatic.* et *alex.* τὸ πλῆθος. 5) ἐν. Cod. 1. 2. ἐπὶ, quæ est rec. lectio τῶν ό. 6) Θεοῦ. Cod. 1. addit κατὰ τῶν ἀδίκων. 7) θεασάμενος. Abest a Cod. 2. 8) Cod. 1. γεγαννυμένος. 9) κέρδος. Cod. 1. ἀκερδὲς ὁρῶν. 10) Ταῦτα κ. λ. In Cod. 1. præc. hæc: τὸ δὲ ἔλεος τοῦ Θεοῦ, ὅ ἔφησεν, οὐ μόνον ἐν τῷ παρόντι αἰῶνι φοιτῆσαι προσδοκῶν, ἀλλὰ γὰρ καὶ ἐν τῷ μέλλοντι αἰῶνι· διὰ τῆς ἀλοιφῆς τούτου ἀντὶ τοῦ τῆς ἐπιφοιτήσεως τῆς μελλούσης ἀξιωθῆναι προσδοκᾷ βασιλείας. „Misericordiam autem Dei, de qua dicit, non in hoc modo seculo exhibendam sperabat, sed etiam in futuro. Accepta enim vnctione, seu ad seculare promotus imperium, futuro quoque dignus haberi exspectabat.„ 11) τρόφιμοι. Cod. 1. add. γεγόνασι.

1) πρώτῳ ψαλμῷ, δένδρῳ παρ' ὄχθην ὑδάτων πεφυτευμένῳ, καὶ τεθηλότι διηνεκῶς, καὶ τὸν καρπὸν ὥριμον φέροντι, τὸν τῆς ἀρετῆς ἀπείκασεν ἀθλητήν. καὶ ἐνταῦθα 2) ἐλαίαν πολλῷ 3) βρίθουσαν καρπῷ, καὶ ἐν οἴκῳ θείῳ 4) πεφυτευμένην, τὸν δίκαιον 5) εἴρηκεν· ἅτε δὴ βεβαίαν τὴν ἐπὶ τὸν Θεὸν ἐλπίδα κεκτημένον, καὶ δι' ἐκείνην 6) πονεῖν ἀνεχόμενον, καὶ τοὺς ἐπιπόνους τῆς ἀρετῆς φέρειν καρπούς. 7) „διὰ δὴ ταῦτα „μηδεὶς ὀκλαζέτω περὶ τοὺς ἀγῶνας „φθάσας, ἀλλ' ἐναθλείτω καὶ ἐγκαλ„λωπιζέσθω τούτοις· περιμένων οὐ μό„νον τοὺς μέλλοντας αὐτῷ δίδοσθαι ὑπὲρ „τῶν ἄθλων στεφάνους, ἀλλὰ καὶ τῶν „ἐχθρῶν ἐνταῦθα θεάσασθαι ἅλωσιν.„ ια'. Ἐξομολογήσομαί 8) σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου. 9) „Τὸ δὲ ἐξομολογήσομαί σοι εἰς „τὸν αἰῶνα, εἰς τὸν νῦν αἰῶνα· τὸ δὲ „ἐποίησας, τὴν ἐκδίκησιν τῶν εἰς σὲ πε„ποιθότων· τὸ δὲ ὑπομενῶ τὸ ὄνομά σου, „οὐ μόνον τοῖς ὑπὲρ σοῦ ἀγῶσι μετὰ „πολλῆς τῆς προθυμίας ἐγκαρτερήσω· „ἀλλ' ὅτι καὶ χρηστόν, τουτέστι φιλάν„θρωπον, καὶ ἄναρχον καὶ ἀτελεύτητον „ἔχεις τὴν βασιλείαν· τὸ δὲ ἐναντίον „τῶν ὁσίων σου, ἀντὶ τοῦ πάρεστι βοή„θειά σου καὶ φυλάξεις τοὺς ὑπὲρ τοῦ „ὀνόματός σου ἀθλοῦντας. „ Ταύτης δὲ τῆς εὐεργεσίας 10) τετυχηκώς, ἀεί σε 11) ὑμνήσω Δέσποτα, τὸ ἀξιέραστον 12) ὄνομα τοῖς ἐπισταμένοις σε ποθῶν

primo psalmo comparauit virtutis athletam plantæ ad ripam aquarum consitæ, semperque virenti, et fructum tempestiuum ferenti. Et rursus hic vocat virum iustum *oliuam multo fructu onustam*, et *in domo Dei consitam*, quippe qui spem in Deo fixam habet: et propter illam laborare, et sedulæ virtutis fructus producere non recusat. „Propterea nemo animum abiiciat, „si in luctas inciderit, sed fortiter „pugnet, et de illis glorietur: ex„spectans, fore vt non modo coro„nas pro certaminibus illis ali„quando accipiat, sed etiam hostes „captiuos videat. „ 11. *Confitebor tibi in seculum, quia fecisti, et exspectabo nomen tuum, quoniam bonum est in conspectu sanctorum tuorum.* „ Illud autem, „ *confitebor tibi in seculum*, ad „ hoc spectat seculum. Illud „ vero *fecisti* idem est quod „ vltus es eos qui confidunt in „ te. Illud autem, *exspectabo* „ *nomen tuum*, hoc sibi vult: „ non modo certamina pro te „ subeunda cum multa promti„ tudine sustinebo, sed etiam „ quia bonum, hoc est, carita„ tis erga homines plenum, ini„ tio et fine carens habes im„ perium. Illud denique *coram* „ *sanctis tuis*, idem est quod, adest „ illis auxilium tuum, et custodies „ eos qui pro nomine tuo certant. „ Hoc beneficium consecutus, semper te cantabo Domine, vsquequaque desiderans et exspectans nomen tuum, quod est amabile his qui te norunt,

1) πρώτῳ. Cod. 1. addit μέντοι. 2) Cod. 1. ἐλαίᾳ. 3) Cod. 1. βριθούσῃ. 4) Cod. 1. πεφυτευμένῃ. 5) εἴρηκεν. Cod. 1. addit ὅμοιον. 6) πονεῖν. Cod. 1. ποιεῖν. 7) E Cod. 1. suppl. 8) σοι. Cod. 1. γάρ σοι, φησί. 9) Etiam e Cod. 1. suppl. 10) τετυχηκώς. Cod. 1. addit οὐ μόνον ὁ Δαβὶδ καὶ ὁ ὅσιος Ἐζεκίας, ἀλλὰ καὶ ἅπαντες οἱ τῆς εὐσεβείας τρόφιμοι, non solum Dauid et sanctus Ezechias, sed etiam omnes pietatis alumni. 11) Cod. 1. ὑμνήσουσι. 12) ὄνομα — προσμένων. Cod. 1. ὄνομά σου ποθήσαντες καὶ προσμένοντες τοῦτο.

norunt, et hinc vtilitatem percipiam. Bonum * enim est, et maxime optabile Dei nomen, non omnibus hominibus, sed iis qui diuina cognitione donati sunt.

ἀεὶ, καὶ προσμένων, καὶ τὴν ἐντεῦθεν ὠφέλειαν 1) καρπούμενος. χρηστὸν γὰρ καὶ τριπόθητον τοῦ Θεοῦ τὸ ὄνομα, οὐ πᾶσιν ἀνθρώποις, ἀλλὰ τοῖς τῆς θεογνωσίας ἠξιωμένοις.

INTERP. PSALMI LII.

1. *In finem. Pro Maëleth, intellectus Dauidi.* Pro *Maëleth* Theodotio vertit, *pro chorea*, Symmachus vero, *per chorum*, Aquila autem, *super chorea.* Eandem habet hic psalmus sententiam, quam et præcedens, et itidem psalmus decimus tertius. Vnum est enim vtriusque argumentum. Damnant enim blasphemias Sennacheribi et Rapsacis, prædicunt autem stragem impiorum. Propterea inscriptionem habet *choreæ*, quam ducunt illi, qui salutem consecuti sunt, et Deum collaudant. Et adiunguntur inscriptioni hæc verba, *in finem*, eo quod post aliquod tempus prophetia finem sortita est. „ Hunc sensum ob „ inscriptionem habet quoque hic „ psalmus. Audite itaque quid „ dicat propheta? „ 2. *Dixit insipiens in corde suo, non est Deus.* Non enim solum contra eos, qui vocantur Dii, verum etiam contra illum, qui vere Deus est, linguam soluit, dicens, *a*) Numquid potuerunt dii gentium liberare suam regionem de manu mea, „ De illis enim „ manifestum est, eos non potuisse:

ΕΡΜΗΝ. ΤΟΥ νβʹ ΨΑΛΜΟΥ.

αʹ. Εἰς τὸ τέλος, 2) ὑπὲρ Μαελὲθ, συνέσεως τῷ Δαβίδ. Τὸ ὑπὲρ Μαελὲθ ὁ Θεοδοτίων ὑπὲρ τῆς χορείας 3) ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, διὰ χοροῦ· ὁ δὲ Ἀκύλας, 4) ἐπὶ χορείᾳ. τὴν αὐτὴν μέντοι διάνοιαν ὁ ψαλμὸς οὗτος ἔχει τῷ προτεταγμένῳ· 5) ὁμοίως δὲ καὶ ὁ ιγʹ. καὶ γὰρ ἡ ὑπόθεσις ἀμφοτέρων μία· τῆς γὰρ τοῦ Σενναχηρεὶμ καὶ τοῦ Ῥαψάκου βλασφημίας κατηγοροῦσιν ἀμφότεροι, 6) προθεσπίζουσι δὲ καὶ τὸν γεγενημένον τῶν δυσσεβῶν ὄλεθρον. οὗ δὴ χάριν, καὶ χορείας 7) ἔσχηκεν ἐπιγραφὴν, ἣν ἐποιήσαντο πάντως οἱ τῆς σωτηρίας 8) τετυχηκότες, καὶ τὸν Θεὸν ἀνυμνοῦντες. καὶ εἰς τὸ τέλος δὲ πρόσκειται διὰ τὸ 9) χρόνῳ ὕστερον εἰληφέναι τὴν προφητείαν τὸ τέλος. 10) „ ταύτην ἔχει τὴν ἔννοιαν διὰ „ τῆς ἐπιγραφῆς καὶ ὁ παρὼν ψαλμός. „ καὶ ἀκούσατε τί φησιν ὁ προφήτης. „ βʹ. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. Οὐ γὰρ μόνον κατὰ τῶν καλουμένων θεῶν, ἀλλὰ καὶ κατὰ τοῦ ἀληθῶς ὄντος τὴν γλῶτταν ἐκίνησε λέγων, μὴ 11) ἠδυνήθησαν οἱ θεοὶ τῶν ἐθνῶν ῥύσασθαι τὴν ἑαυτῶν χώραν ἐκ χειρός μου, 12) „ ἐκεῖνοι μὲν δῆλον ὅτι οὐκ ἠδύναντο· „ πῶς

1) Cod. 1. καρπούμενοι. 2) ὑπὲρ Μαελὲθ. Hebr עַל־מחלת. 3) ἡρμήνευσεν. Cod. 1. ἔθηκεν. 4) Cod. 2. ἐπιχόρια, quæ tamen suspecta est lectio. 5) ὁμοίως δὲ καὶ ὁ. Cod. 1. 2. ὅμοιος δέ ἐστι καὶ τῷ. 6) Cod. 2. προθεσπίζει. 7) ἔσχηκεν ἐπιγραφήν. Cod. 1. ἔχει τὴν ἔμφασιν. 8) Cod. 2. τυχόντες. 9) Cod. 2. χρόνον. 10) E Cod. 1. suppl. 11) ἠδυνήθησαν. In Cod. 2. ponitur post ἐθνῶν. 12) E Cod. 1. suppl.

a) 4 Reg. 18, 33. 34.

„πῶς γὰρ ἂν ἠδύναντο αὐτοὶ μηδὲν „ὑπάρχοντες; „ ὅτι ῥύσεται Κύριος τὴν Ἱερουσαλήμ; 1) „Βλέπε παράνομε, „πρὸς πηλίκον ὕψος ἀνεσφαίρισας τὴν „τοῦ λόγου σου γλῶτταν· σκληρόν σοι „πρὸς κέντρα λακτίζειν. „ ποῦ ὁ Θεὸς Ἐμάθ; καὶ ποῦ ὁ Θεὸς 2) Ἀρφάδ; καὶ ποῦ ὁ Θεὸς 3) τῆς πόλεως Σεφαρείμ; 4) „κἀκεῖνοι μὲν οἱ καλούμενοι παρὰ τῶν „ἀφρόνων Θεοὶ μικρὰν ὕστερον τῷ ἀλά- „στορι ἀπηνέγκαντο ψῆφον. „ 5) διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις. αἴτιός φησι τῆς 6) ἀσεβείας ὁ παράνομος βίος. ἀδεῶς γὰρ πᾶν ὁτιοῦν δρῶντες, εἰς νοῦν λαβεῖν οὐκ ἐθέλουσι τὸν ἐφορῶντα Θεὸν, ἀλλὰ πεπείκασι σφᾶς αὐτοὺς, μηδένα τοῖς τῆς κτίσεως οἴαξιν ἐφεστάναι. οὐκ ἔστι ποιῶν ἀγαθόν. ἅπαντές φησι τῶν Ἀσσυρίων 7) τὴν πονηρίαν 8) ἠγάπησαν. „καὶ ὅσοι τὰ ἐκείνων θρησκεύουσιν, ἀ- „φρονοῦσιν· ἐν οἷς ἂν ὦσι τόπων ἢ ἀξιω- „μάτων ἢ βαθμῶν· μὴ ἐπιλογιζόμενοι „ὅτι „ γ΄. Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων· τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν. 9) Ἀλλ᾽ ὅμως ὁ ἀπιστούμενος παρ᾽ αὐτῶν 10) Θεὸς, 11) ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ 12) ἐφορῶν, ἐξέτασιν ἠβουλήθη τῶν δρωμένων ποιήσασθαι. δ΄. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν·

1) ἀπαγγελῶ. Cod. 1. add. ἀντὶ τοῦ ἐξομολογήσομαι. 2) E Cod. 1, suppl. 3) μου. Abest a Cod. 1. in quo post ψυχὴν sequitur, εἰπὲ καὶ ἀπὸ τίνων; „Dic quoque a quibus?„ 4) μοι. Cod. 1. add. δολερῶν ἀνθρώπων. 5) ἐμοί. Cod. 1. add. ὅτι ἐκ πολλοῦ ἦσαν ὑποκριτικῶς μοι προσκαρτεροῦντες. „Quia a longo inde tempore per simulationem mihi adfuerunt. 6) θεώμενος. Cod. 1. θεασάμενος ὁ Σωτήρ. 7) E Cod. 1. suppl. 8) τὸ — δηλοῖ. Cod. 1. τὸ εἰς πολλὰς, ἢ τὸ πολλοὺς εἶναι τοὺς πολεμίους δηλοῖ. 9) με. Cod. 1. add. φησί. 10) Εἰσακούσεται. Cod. 1. διὸ εἰσακούσεταί μου, λέγει ὁ κ. λ. 11) E Cod. 1. suppl. 12) ὁ ὑπάρχων. Hebr. ישֵׁב *sedens.* 13) ἀεί. Cod. 1. 2. add. ὤν. 14) Cod. 2. περιβάλλει. 15) ἐπιβουλεύοντας. Cod. 1. addit μοί. In eodem Cod. sequitur οὐ γὰρ μόνον οὐκ ἔθεντο ἔχειν αὐτὸν πρὸ ὀφθαλμῶν, ἀλλ᾽ οὐδ᾽ ἐμὲ βοηθεῖσθαι παρ᾽ ἐκείνου πεπιστεύκασι. „Non constituerunt enim tantum apud animum suum, eum non ante oculos ponere, sed etiam me ab illo adiuuari non crediderunt.„ 16) ὅτι Rec. lectio est καί. 17) E Cod. 1. suppl.

„ que timent Deum: propterea „ Videns, inquit, immutabiles ipsorum mores, supradictis calamitatibus circumdabit. 21. *Extendit manum suam in retribuendo.* Hoc tres isti Interpretes sic exposuerunt, *Extendit manum suam in eos qui pacem habent cum eo.* Non enim hostem Saul persequebatur, sed beneficii auctorem, et familiarem, et notum. Neque inimicum Iudas prodidit, sed Saluatorem, bonorumque largitorem. Hoc igitur, *Extendit manum suam in retribuendo*, hoc significat, quoniam cum manum extendisset, vt præmia persolueret, nihil quidem boni attulit, verum omnia malitiæ plena fuerunt. * „ Immo „ etiam Iudas non modo ad „ prodendum extendit manum „ suam, sed etiam cum redu„ceret triginta nummos argen„teos, quos, postquam ille vi„tam laqueo finiuerat, in æra„rium templi coniecerunt, qui „ Deum interfecerant. „ Et hoc declarant quæ sequuntur: *Contaminauerunt testamentum eius.* Cum enim diuina lex præcipiat a) diligere proximum sicut se ipsum, isti beneficii auctorem vt hostem persecuti sunt. „ At non hoc tantum, sed „ ad crucis quoque supplicium con„demnarunt. Propterea addit: „ 22. *Diuisi sunt ira vultus sui, et*

„ δὲ φοβοῦνται τὸν Θεόν· διὸ δὴ „ ὁρῶν αὐτῶν 1) φησὶν τὸν ἀμεταμέλητον τρόπον, ταῖς προειρημέναις συμφοραῖς περιβαλεῖ. κα΄. Ἐξέτεινε 2) τὴν χεῖρα αὐτοῦ 3) ἐν τῷ ἀποδιδόναι. Τοῦτο οἱ τρεῖς οὕτως ἡρμήνευσαν· ἐξέτεινε τὴν χεῖρα αὐτοῦ εἰς τοὺς εἰρηνεύοντας 4) ἐν αὐτῷ πρὸς αὐτόν· οὐ γὰρ πολέμιον ὁ Σαοὺλ ἐδίωκεν, ἀλλ᾽ εὐεργέτην, καὶ συνήθη, καὶ γνώριμον. οὐδὲ ἐχθρὸν ὁ Ἰούδας προδέδωκεν· ἀλλὰ 5) σωτῆρα, καὶ τῶν ἀγαθῶν χορηγόν. τὸ τοίνυν, ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι, τοῦτο δηλοῖ, ὅτι ἐκτείνας τὴν χεῖρα, ὥστε τὰς ἀντιδόσεις ἐκτίσαι, ἀγαθὸν μὲν οὐδὲν προσενήνοχεν· πάντα δὲ πονηρίας μεστά. 6) „ ἀλλ᾽ ὅμως καὶ ὁ Ἰούδας οὐ „ μόνον εἰς τὸ προδοῦναι τὴν χεῖρα αὐ„τοῦ ἐξέτεινε, ἀλλὰ γὰρ καὶ ἀποστρέ„ψας τὰ τριάκοντα ἀργύρια, ἃ μετὰ „ τὴν ἐκείνου ἀγχόνην ἐνέβαλον οἱ θεο„κτόνοι εἰς τὸν κορβανᾶν. „ 7) καὶ τοῦτο δηλοῖ 8) τὰ ἐπαγόμενα· 9) ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. τοῦ γὰρ θείου νόμου διαγορεύοντος ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν, 10) τὸν εὐεργέτην ὡς πολέμιον ἐδίωκον. 11) „ οὐ μόνον „ δὲ, ἀλλὰ καὶ σταυρῷ κατέκριναν· διὸ „ ἐπήγαγε· „ κβ΄. 12) Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου 13) αὐτῶν· 14) καὶ ἤγγισαν

1) φησίν. Des. in Cod. 1. 2) τήν. Cod. 1. præm. γάρ. 3) ἐν τῷ ἀποδιδόναι. Hebr. בְּשֹׁלְמָיו. 4) ἐν αὐτῷ. Des. in Cod. 1. et 2. Abundat enim, si πρὸς αὐτὸν admittimus. 5) σωτῆρα. Cod. 1. add. καὶ δεσπότην τοῦ παντός. 6) E Cod. 1. suppl. 7) καὶ — ἐπαγόμενα. Des. in Cod. 2. 8) τὰ ἐπαγόμενα. Cod. 1. διὰ τῶν ἐπαγομένων. 9) ἐβεβήλωσαν. Hebr. חִלֵּל. 10) τόν. Cod. 1. præm. οὗτοι. 11) E Cod. 1. suppl. 12) Διεμερίσθησαν — καρδίαι αὐτῶν. Hæc nimis ab hebr. veritate recedunt. Præstat *Symmachi* interpretatio, quam Noster in sequentibus exhibet. In Cod. 1. post διεμερίσθησαν sequitur ἀντὶ τοῦ ἐχωρίσθησαν ἢ ἠχαρίστησαν. „ Hoc idem est quod segregati sunt, aut, ingrati fuerunt. „ 13) Cod. 1. αὐτοῦ, quæ est rec. lectio h. l. 14) καὶ — αὐτῶν. Des. in Cod. 1. Rec. lectio in Textu τῶν ό. est καὶ ἤγγισεν ἡ καρδία αὐτοῦ.

a) Matth. 22, 39.

ἤγγισαν αἱ καρδίαι αὐτῶν. 1) Ὀργῇ γὰρ δουλεύσαντες, ἕτερα μὲν 2) ἐμέμφοντο, ἕτερα δὲ ἐβουλεύοντο. 3) οὕτω γὰρ ὁ Σύμμαχος ἡρμήνευσε· λειότερα βουτύρου τὰ 4) στόματα αὐτῶν· 5) πολεμεῖ δὲ ἡ καρδία ἑκάστου 6) αὐτῶν. τούτῳ δὲ καὶ τὸ ἐπαγόμενον συμφωνεῖ. ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. τοιαῦτα δὲ ἦν καὶ 7) τοῦ Σαοὺλ, καὶ τοῦ 8) Ἰούδα τὰ ῥήματα. ὁ μὲν γὰρ Σαοὺλ πρὸς τὸν Δαβὶδ ἔλεγεν, 9) εἰ σὺ εἶ τέκνον Δαβίδ· ὁ δὲ Ἰούδας, μήτι ἐγώ εἰμι Ῥαββί; 10) „καὶ πολλοὶ τὰ αὐτὰ νοσοῦν„τες φιλίας δῆθεν περικείμενοι ἐπικά„λυμμα πρὸς τοὺς παρ' αὐτῶν ἀδικου„μένους φασίν· μή τι ἐγώ σε ἠδίκηκα; „τὸ αὐτὸ δὲ πάλιν ὁ Ἰούδας χαῖρε λέ„γει Ῥαββί·„ καὶ κατεφίλησεν αὐτόν· καὶ ἐῴκει μὲν τὰ ῥήματα ἐλαίου καὶ βουτύρου λειότητι· τὰ δὲ βουλεύματα, βέλεσι καὶ δόρασιν ὀξυτάτοις. 11) „λόγχαι γὰρ μᾶλλον ὑπῆρχον αἱ „βολίδες αὐτῶν·„ λόγχας γὰρ ὁ Ἀκύλας τὰς βολίδας ἡρμήνευσεν. οὕτω ταῦτα ὁ θεῖος Δαβὶδ καὶ περὶ τῶν αὐτῷ συμβεβηκότων διεξελθὼν, καὶ τὰς δεσποτικὰς 12) προθεὶς ἐπιβουλὰς, συμβουλὴν πᾶσιν ἀνθρώποις προσφέρει, τὴν εἰς 13) Θεὸν ἔχειν ἐλπίδα παρεγγυῶν. κγ'. 14) Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνὰν

appropinquarunt corda eorum. Cum enim iræ seruirent, alia quidem loquebantur, alia vero machinabantur. Sic enim Symmachus interpretatus est, *Nitidiora butyro ora illorum, cor vero vniuscuiusque ipsorum pugnat.* His autem ea quæ sequuntur respondent. *Molliti sunt sermones eius super oleum, et ipsi sunt iacula.* Talia autem Saulis et Iudæ verba erant. Saul quidem Dauidi dicebat, *a*) Tune es, fili Dauid? Iudas vero, *b*) Numquid ego sum, Rabbi? „ Et multi si„militer affecti amicitiæ speciem „ præ se ferentes ad eos quos „ iniuria affecerunt, dicunt, num„ quid iniquum contra te feci? „ Eodem porro modo Iudas di„ xit, salue Rabbi „ et osculatus est eum. Ac sermones quidem olei butyrique lenitati similes sunt, consilia vero iaculis et telis acutissimis. „ Lan„ ceæ enim potius erant ia„ cula eorum. „ Pro *iaculis* enim Aquila vertit *lanceas.* Sic beatus Dauid de iis, quæ sibi acciderant, locutus, insidiisque expositis contra Dominum, consilium omnibus hominibus suggerit, commonefaciens, vt in Deo spem collocent. 23. *Proiice super Dominum curam*

1) Ὀργῇ — συμφωνεῖ. Des. apud CORD. T. II. p. 70. 2) ἐμέμφοντο. Cod. 1. ἐφθέγγοντο, quam lectionem *Carafa* sequutus est. 3) οὕτω — ἡρμήνευσε. Horum loco in Cod. 1. leg. ὡς καί τινες μέχρι σήμερον τοῦτο ποιοῦντες οὐ παύονται· καὶ οὐκ ἂν ἁμάρτοι τις λέγων. „ Prout etiam ad hunc vsque diem nonnulli facere non desinunt. Haud temere itaque diceret aliquis. „ 4) στόματα. Cod. 1. τραύματα. 5) πολεμεῖ δέ. Cod. 1. ἐπειδὴ πολέμιος ἡ καρδία. 6) αὐτῶν. Abest a Cod. 2. 7) τοῦ Σαοὺλ καί. Abest a Cod. 2. 8) Ἰούδα. Cod. 1. add. καὶ τῶν κατ' αὐτούς. 9) εἰ. Cod. 1. ἦ. 10) E Cod. 1. suppl. 11) E Cod. 1. suppl. 12) Cod. 1. προθεσπίσας. Cod. 2. προθείς. 13) Θεόν. Cod. 1. præm. τόν. Cod. 2. τὸν μακρόθυμον Θεόν. 14) Ἐπίῤῥιψον. Cod. 1. add. λέγων.

a) 1 Reg. 24, 17. *b*) Matth. 26, 25. 49.

ram tuam, et ipse te enutriet. „ Non hic tantum glorificabit „ (eos), sed etiam in futura „ vita adspectu Dei dignos „ habebit. Propterea „ Gubernatorem, inquit, habe Deum, et aurigam, et res tuæ ab illa prouidentia pendeant: nam hoc modo inconcussus manebis, et immobilis. Etenim ait, *Non dabit in æternum fluctuationem iusto.* Licet enim aliquando in tentationes incidere permittat, celerem tamen opem feret. Hoc autem reuera dictis apostolicis congruum est, a) Fidelis Deus, qui non patietur vos tentari supra id quod potestis, sed efficiet, vt tentatio talem habeat exitum, vt possitis sustinere. 24. *Tu vero Deus deduces eos in puteum interitus.* Nam illos qui iusto insidiari ausi fuerint, æterno supplicic afficiet. *Puteum* enim *interitus*, ineuitabilem pœnam vocauit. Quemadmodum enim ille, qui in puteum refertum luto et cœno lapsus est, mortem effugere non potest: sic ille, qui a Deo punitur, aliunde salutem inuenire nequit. „ Et audite, inquit, „ vos timidi. „ *Viri sanguinum, et dolosi, non dimidiabunt dies suos.* Illis enim qui cum cæde et dolo viuere degerunt, celerem mortem afferes, non permittens, * vt legitimum tempus viuant. „ Et hæc quidem „ illis obtingent. Ego vero, „ inquit Dauid, et quotquot

μνῶν σου· καὶ αὐτός σε διαθρέψει. „ 1) Οὐ μόνον, φησὶ, ἐνταῦθα δοξάσει, „ ἀλλὰ καὶ ἐν τῇ παλιγγενεσίᾳ τῆς θεο„πτίας ἀξιώσει· οὐκοῦν „ Κυβερνήτην ἔχε 2) φησὶ τὸν Θεὸν, καὶ ἡνίοχον· καὶ τα κατὰ σαυτὸν τῆς προνοίας ἐκείνης ἐξάρτησον· οὕτω γὰρ ἀσάλευτος διαμενεῖς καὶ ἀκλόνητος· 3) καὶ γάρ φησιν, οὐ 4) δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. 5) κἂν γὰρ συγχωρήσῃ ποτὲ περιπεσεῖν πειρασμῷ, ἀλλὰ ταχεῖαν 6) παρέξει βοήθειαν. 7) ἀτεχνῶς δὲ τοῦτο ἔοικε τοῖς ἀποστολικοῖς ῥητοῖς, πιστὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν. κδ΄. 8) Σὺ δὲ ὁ Θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. Τοὺς 9) γὰρ ἐπιβουλεύειν τῷ δικαίῳ τολμῶντας τιμωρίᾳ παραδώσει διηνεκεῖ· φρέαρ γὰρ διαφθορᾶς τὴν 10) ἄφυκτον ἐκάλεσε τιμωρίαν. ὥσπερ γὰρ τὸν εἰς φρέαρ ἐμπεπτωκότα, ἰλύος τινὸς καὶ βορβόρου μεστὸν, διαφυγεῖν τὸν ὄλεθρον τῶν ἀδυνάτων· οὕτω τὸν ὑπὸ Θεοῦ κολαζόμενον οὐκ ἔνεστιν 11) ἑτέρωθεν σωτηρίαν εὑρεῖν. 12) „ καὶ ἀκούετε, φησὶν, „ οἱ δείλιοι. „ 13) ἄνδρες αἱμάτων καὶ 14) δολιότητος οὐ μὴ ἡμισεύσωσιν τὰς ἡμέρας αὐτῶν. τοῖς γὰρ μιαιφονίᾳ καὶ δόλῳ συζῆν αἱρουμένοις ταχὺν ἐπάγεις τὸν θάνατον· οὐκ ἐῶν τὸν νενομισμένον διαβιῶναι χρόνον. 15) „ καὶ ταῦτα „ ἐκείνοις· ἐγὼ δὲ, φησὶν ὁ Δαβὶδ, καὶ ὅσοι „ κατ'

1) E Cod. 1. suppl. 2) φησί. Abest a Cod. 1. 3) καὶ γάρ φησιν. Def. in Cod. 1. 4) δώσει. Cod. 1. add. λέγων. 5) κἄν. Cod. 2. ἐάν. 6) παρέξει. Cod. 1. ἔχει. 7) ἀτεχνῶς — ἔοικε. Cod. 1. ἔοικε δὲ τοῦτο. 8) Σὺ δέ. Cod. 1. præm. διὸ δὴ λέγει. 9) γάρ. Cód. 2. δέ. 10) Cod. 1. ἄφευκτον. Cod. 2. ἄφυτον. 11) ἑτέρωθεν. Abest a Cod. 1. In Cod. 2. leg. ἑτέρωθι. 12) E Cod. 1. suppl. 13) ἄνδρες. Cod. 1. addit λέγων. 14) δολιότητος, Cod. 1. add. ταύτην τὴν χαλεπὴν κληρονομήσουσι καταιγίδα. „ Hanc molestam pro hereditate accipient procellam. „ 15) E Cod. 1. suppl.

a) 1 Cor. 10, 13.

„ κατ' ἐμὲ τὴν ἄνωθεν καραδοκοῦμεν „ ῥοπὴν, σωθησόμεθα. διὰ γὰρ τῶν ἑξῆς „ σαφέστερον αὐτὸ ἡρμήνευσεν, εἰπών· „ ἐγὼ δὲ Κύριε ἐλπιῶ ἐπὶ σέ. ταύτην γάρ σου τὴν δύναμιν, καὶ τὴν δικαίαν ἐπιστάμενος ψῆφον, τὴν παρά σου προσμένω βοήθειαν.

„ mecum sunt, nutum diuinum exspectamus, et saluabimur. Quae „ quidem in sequentibus distinctius explicat, dicens: „ *Ego autem sperabo in te Domine.* Hanc enim tuam potentiam, et iustam sententiam sciens, opem a te exspecto.

ΕΡΜΗΝ. ΤΟΥ νε' ΨΑΛΜΟΥ.

α'. 1) Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ 2) ἀπὸ τῶν ἁγίων μεμακρυμμένου· τῷ Δαβὶδ εἰς στηλογραφίαν. ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. Σημαίνει καὶ ἡ ἐπιγραφὴ, ὡς διπλῆ τοῦ ψαλμοῦ ἡ διάνοια, καὶ 3) αὐτῷ ἁρμόττουσα τῷ Δαβὶδ, καὶ τῷ λαῷ τῷ δορυαλώτῳ γεγενημένῳ, καὶ τὴν ἀλλοτρίαν οἰκεῖν ἠναγκασμένῳ· 4) „ ἀλλὰ „ καὶ πολλοῖς τῶν ἐφεξῆς. τὸ γὰρ ὑπὲρ „ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν 5) ὁσίων κεκρυμ„ μένου, ἢ αἰχμαλωτισθέντος καὶ χωρι„ σθέντος τῆς τηνικαῦτα ἁγίας πόλεως, „ ἥτις ἦν ἡ Ἱερουσαλὴμ, ἢ τοῦ μακρύ„ νοντος ἑαυτὸν ἀπὸ τοῦ Θεοῦ, ὅ ἐστιν, „ ἀπὸ τῆς εἰς αὐτὸν πίστεως. „ συμβαίνει 6) γὰρ τὰ 7) παθήματα. ἐκεῖνοί τε γὰρ Βαβυλωνίοις ἐδούλευον ἀλλοφύλοις ἀνθρώποις· καὶ οὗτος 8) ἀποδρὰς τὸν Σαοὺλ, μέτοικος 9) ἀλλοφύλων 10) ἐγένετο. ἰστέον μέντοι, 11) ὅτι δὶς ἀφίκετο εἰς τὴν 12) Γέθ· καὶ πρότερον μὲν πολέμιος εἶναι

INTERP. PSALMI LV.

1. *In finem. Pro populo, qui a Sanctis longe remotus factus est. In tituli inscriptionem, ipsi Dauidi, cum tenerent eum alienigenae in Geth.* Titulus ipse ostendit geminum sensum psalmi, qui conuenit ipsi Dauidi, et populo in captiuitatem abducto, qui alienam terram habitare coactus erat. „ Immo et„ iam multis qui post illos vi„ vunt. Illud enim *pro populo qui a Sanctis absconditus est*, „ vel ad populum in captiuita„ tem abductum, et ab vrbe „ tunc sancta, nimirum ab Hie„ rosolyma, segregatum, referri „ potest, vel ad eum populum „ qui longe a Deo, hoc est, a „ fide in eum posita remotus „ est. „ Similia enim passi sunt. Etenim illi Babyloniis, hominibus alienigenis, seruiebant: et hic Saulem fugiens, alienigenarum inquilinus fuit. Sciendum est igitur, ipsum bis in Geth peruenisse. Primum quidem, cum hostis esse

 visus

1) Εἰς — Γέθ. Hanc inscriptionem esse duplicem, non sine multa specie obseruatum est ab Anonymo quodam apud CORD. T. II p. 80. Prior eius pars videtur esse antiqua, posterior autem, τῷ Δαβὶδ κ. τ. λ. recentior inscriptio. Quicquid sit, nimis h. l. a Textu hebr. recesserunt οἱ LXX; rectius illum expresserunt reliqui Interpretes. Conf. MONTF. Hexapla ad h. l. 2) ἀπό. Cod. 2. ὑπέρ. 3) αὐτῷ. Def. in Cod. 2. 4) E Cod. 1. suppl. 5) ὁσίων. In Cod. adscripta est lectio ἁγίων. 6) γάρ. Cod. 1. addit κοινόν. 7) παθήματα. In Cod. 2. sequitur τῷ προφήτῃ Δαβίδ. 8) ἀποδράς. In Cod. 1. et 2. ponitur post τὸν Σαὺλ. 9) Cod. 2. ἀλλοφύλοις. 10) ἐγένετο. Cod. 1. addit, ὡς καὶ μέχρι τοῦ νῦν ἔστιν ἰδεῖν ταῦτα ὑπομένοντας πολλάς. „ vt ad hunc vsque diem multos videre licet, qui eadem patiuntur. „ 11) ὅτι. Cod. 1. ὡς ὁ Δαβίδ. 12) Γέθ. Cod. 1. γῆν.

visus est; deinde in periculum adductus, et dementiam simulans, dimissus est, et aufugit. Postea vero sumta fiducia, simul commoratus est, pacem consecutus. Præsentem igitur psalmum, cum prius periculum subiisset, conscripsit. 2. *Miserere mei Deus, quoniam conculcauit me homo, toto die impugnans tribulauit me.* 3. *Conculcauerunt me inimici mei toto die.* A diuersis inimicis agitatus, et bello petitus, et quasi conculcatus, et continue hoc patiens, tuam o Domine benignitatem exspecto. Hoc autem *toto die*, *omnem diem* Symmachus vertit, pro *assidue* et *semper*. *Quoniam multi bellantes aduersus me, ab altitudine diei*, „hoc est, potentia sua.„ Non timui, inquit, hominum felicitates, quibus freti bellum contra nos suscipiunt. *Altitudinem* enim *diei*, præsentem felicitatem vocauit, inconstantem, caducam, fluxam, nec multum temporis permanentem. Deinde docet, quare non oporteat timere felicitatibus elatos. 4. *Die non timebo: ego vero in te sperabo.*

δόξας, εἶτα κινδυνεύσας, καὶ ἐπιληψίαν ὑποκρινάμενος, ἀφέθη τε καὶ διέφυγεν. ὕστερον δὲ θαῤῥηθεὶς συνδιέτριβεν ἀπολαύων εἰρήνης. τὸν μέν τοι παρόντα ψαλμὸν, τὸν πρότερον μὲν κίνδυνον ὑπομείνας συνέγραψεν. β΄. Ἐλέησόν 1) με ὁ Θεὸς, ὅτι κατεπάτησέν με ἄνθρωπος· ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με. γ΄. Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν. 2) Ὑπὸ διαφόρων ἐχθρῶν 3) ἐξελαυνόμενός τε καὶ πολεμούμενος, καὶ οἱονεὶ συμπατούμενος, καὶ διηνεκῶς τοῦτο πάσχων, τὴν σὴν, ὦ Δέσποτα, φιλανθρωπίαν 4) προσμένω. τὸ δὲ ὅλην τὴν 5) ἡμέραν, 6) πᾶσαν ἡμέραν ὁ Σύμμαχος ἡρμήνευσεν, ἀντὶ τοῦ ἐνδελεχῶς καὶ διηνεκῶς. 7) ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους. 8) „ἀντὶ τοῦ, „ἀπὸ τῆς δυναστείας αὐτῶν.„ οὐ δέδιά 9) φησι τὰς τῶν ἀνθρώπων εὐημερίας, αἷς θαῤῥοῦντες τὸν καθ᾽ ἡμῶν ἀνεδέξαντο πόλεμον. ὕψος γὰρ 10) ἡμέρας, τὴν παροῦσαν ἐκάλεσεν εὐπραξίαν, τὴν πρόσκαιρον, τὴν ἐφήμερον, τὴν ἐπίκηρον, τὴν οὐκ εἰς μακρὰν διαῤῥέουσαν· εἶτα διδάσκει τίνος χάριν οὐ χρὴ δεδιέναι τοὺς ἐπὶ ταῖς εὐημερίαις 11) βρενθυομένους. δ΄. 12) Ἡμέρας οὐ φοβηθήσομαι· 13) ἐγὼ δὲ ἐλπιῶ ἐπὶ 14) σέ. Τὴν πρόσ-

1) *μέ*. Cod. 1. addit *λέγων*. 2) Ὑπό. Cod. 1. præm. *ὃ δὲ λέγει, τοιοῦτό ἐστιν, ὅλην τὴν ἡμέραν*. 3) Cod. 2. *ἐλαυνόμενος*. 4) *προσμένω*. Abest a Cod. 1. In eodem Cod. sequitur, *ταῦτα δ᾽ ἂν εὔξοιτο καὶ παρακαλέσοι ὁ καθ᾽ εἷς τῶν ἀνθρώπων*. „Hoc autem precari et obsecrare poterit quisquis hominum.„ 5) *ἡμέραν*. Cod. 1. addit, *ἀντὶ τοῦ πᾶσαν ἡμέραν· ἄλλως*. Deinde sequitur *τὸ δὲ ὅλην τὴν ἡμέραν πᾶσαν κ. λ.* 6) *πᾶσαν ἡμέραν*. Abest a Cod. 2. 7) *ὅτι — ὕψους*. Hæc cum lectionibus edit. *ald.* et *compl.* conueniunt, a versione autem adposita et ab interpretatione THEODORETI aliena sunt. Rec. lectio est *ἀπὸ ὕψους ἡμέρας ὅτι πολλοὶ οἱ πολεμοῦντές με*. Hebr. מָרוֹם *Aqu.* vertit *ὕψιστε*, *Symm.* *ὑψηλότεροι*. 8) E Cod. 1. suppl. 9) *φησί*. Abest a Cod. 1. 10) Cod. 2. *ἡμερῶν*. 11) *βρενθυομένους*. Cod. 1. *μέγα φυσιοῦντας*. 12) Ἡμέρας οὐ φοβηθήσομαι. Horum interpretatio desiderabatur in editione priori. Οὐ abest a Textu hebr. et plerisque Codd. versionis *τῶν ό*. Additum autem est in ed. *ald.* et *compl.* Post *ἡμέρας* in Cod. nostro 1. sequitur *λέγων*. 13) *ἐγὼ δέ*. Cod. 1. *ὅτι ἐγώ*. 14) *σέ*. Rec. lectio h. l. est *σοί*.

προσκαιρόν φησιν 1) εὐκληρίαν οὐ δέδια,
τὴν σὴν ἔχων ἐπικουρίαν· τοῦτο δὲ ὁ
Σύμμαχος οὕτως ἡρμήνευσεν, ᾗ ἂν ἡμέ-
ρᾳ φοβηθῶ, σοὶ πέποιθα. ἀντιτάττω,
φησὶ, 2) τῷ φόβῳ τὸ ἐπὶ 3) σοὶ θάρσος.
4) „Καλῶς οὖν τέθεικε τὸ ἐγὼ δὲ ἐλ-
„πιῶ ἐπὶ σὲ ἀντὶ τοῦ οὐδὲ γάρ ἐστιν ἄλ-
„λος, οὐκ ἔστι δυνάμενος ῥύσασθαι τοὺς
„πειραζομένους ἐκ τῶν ἐπιβουλευόντων,
„εἰ μὴ ἡ σὴ μόνη ὦ Δέσποτα προμή-
„θεια. καὶ σαφέστερον αὐτὸ ἐλάμπρυνε
„διὰ τοῦ εἰπεῖν·„ ε΄. Ἐν τῷ Θεῷ ἐπαι-
νέσω 5) τοὺς λόγους μου· „6) ἐπαινε-
„ταί φησι παρὰ τῷ Θεῷ αἱ προσευχαί,
„ἃς ἐκτενεῖς διὰ τῆς μετανοίας αὐτῷ
„προσφέρων οὐ παύσομαι·„ ἐπὶ τῷ
Θεῷ ἤλπισα, οὐ φοβηθήσομαί τι ποιή-
σει μοι σάρξ. 7) „σάρκα τοὺς πα-
„χυτέρους καὶ χαμαιῤῥεπῆ τὸν βίον
„κεκτημένους ἀνθρώπους λέγει.„ Καὶ
φθεγγόμενός φησι, τῇ τοῦ Θεοῦ μνήμῃ
τοὺς ἐμοὺς λόγους κοσμῶ· καὶ πολεμού-
μενος, τῇ σῇ κηδεμονίᾳ θαῤῥῶν, τῶν πο-
λεμούντων καταφρονῶ. ς΄. 8) Ὅλην
τὴν ἡμέραν 9) τοὺς λόγους μου 10) ἐβδε-
λύσσοντο. κατ' ἐμοῦ πάντες οἱ διαλογι-
σμοὶ αὐτῶν εἰς κακόν. Πάντα, 11) φη-
σὶ, λογισμὸν εἰς τὰς κατ' ἐμοῦ κινοῦσιν
ἐπιβουλὰς, ὡς ψευδεῖς τοὺς ἐμοὺς ἀπο-
στρεφόμενοι λόγους, καὶ τὴν προσφερο-
μένην ἀπολογίαν ἀποσειόμενοι. 12) „τὸ
„αὐτὸ δὲ μέχρι τοῦ παρόντος ἐστὶν ἰδεῖν
„ὑπομένοντας πολλοὺς παρά τινων ἀν-
„θρώπων καὶ δαιμόνων.„ ζ΄. 13) Πα-

Breuem, inquit, prosperitatem
non timui, tuum auxilium ha-
bens. Hoc autem Symmachus
ita interpretatus est, *Quocunque*
die timuero, tibi confisus sum.
Timori, ait, fiduciam, quam in
te habeo fixam, oppono. „Be-
„ne itaque adposuit illud, Ego
„vero in te sperabo, quod
„idem est ac, non est alius,
„non est quisquam qui possit ab
„insidiantibus liberare eos qui
„tentationibus subiecti sunt, præ-
„ter tuam o Domine prouiden-
„tiam. Apertius autem hoc *
„exposuit dicens ;„ * 5. *In Deo*
laudabo sermones meos, „laudabi-
„les, inquit, apud Deum inten-
„sissimæ preces meæ, quas pœ-
„nitentia ductus illi nunquam
„non offeram: „ *in Deo spe-*
raui: non timebo, quid faciat mi-
hi caro? „Carnem vocat homi-
„nes opulentiores qui vitam
„huic seculo adstrictam viuunt.„
Et loquens, ait, Dei memoria
meos sermones orno: et oppu-
gnatus, tuæ curæ confidens,
hostes despicio. 6. *Toto die ver-*
ba mea exsecrabantur: aduersus
me omnes cogitationes eorum in
malum. Omnem, ait, cogitatio-
nem in insidias contra me mo-
vent: et sermones meos vt fal-
sos auersantur, et excusationem
allatam repudiant. „Ad hunc
„vero vsque diem multos vi-
„dere licet, qui idem siue ab
„hominibus siue a dæmo-
„nibus patiuntur.„ 7. *In-*

 habi-

1) εὐκληρίαν. Cod. 1. præm. αὐτῶν. 2) τῷ φόβῳ. Cod. 1. τῷ παρ' αὐτῶν μοι προσβαλλομένῳ φόβῳ. „Timori ab illis mihi iniecto.„ 3) σοί. Cod. 2. σέ. 4) E Cod. 1. suppl. 5) τοὺς λόγους μου. Hebr. דְּבָרוֹ *Aqu.* ῥήματα αὐτοῦ. *Symm.* τὸν λόγον αὐτοῦ. 6) E Cod. 1. suppl. 7) E Cod. 1. suppl. 8) ὅλην. Cod. 1. præm. τὸ δέ. 9) τοὺς — ἐβδελύσσοντο. Hebr. דְּבָרַי יְעַצֵּבוּ *verba mea dolore afficient* sc. me. 10) ἐβδελύσσοντο. Cod. 1. addit, ἀντὶ τοῦ πᾶσαν ἡμέραν οἱ ἐχθροί μου. 11) φησί. Abest a Cod. 1. 12) E Cod. 1. suppl. 13) παροικήσουσι. Cod. 1. add. λέγει.

habitabunt, et abscondent, ipsi calcaneum meum obseruabunt, sicut exspectarunt animam meam. Clarius Symmachus interpretatus est, Congregabantur clam, et vestigia mea obseruabant, exspectantes animam meam. Porro manifestauit per hæc dicta dolos ipsorum, et insidias, et fraudes. *8. Pro nihilo expelles ipsos.* Facile tibi, inquit, et valde pronum est, dissipare ipsos, et prosternere, ac morte mulctare. Hoc enim, *pro nihilo*, pro *sine labore*, et *facile* posuit. *In ira populos confringes ipsos Deus.* Non enim solos ipsos, verum etiam omnes, qui inique viuere decreuerunt, suppliciis afficies „iræ „plenis.„ *9. Vitam meam annunciaui tibi.* Omnia mea manifesta sunt tibi, res, verba, cogitationes. Nam hoc modo Symmachus interpretatus est, Interiora mea numerata sunt tibi. *Posuisti lacrymas meas in conspectu tuo, sicut et in promissione tua.* Annuisti, inquit, meis lacrymis, et

ῥοιχήσουσι καὶ κατακρύψουσιν, αὐτοὶ 1) τὴν πτέρναν μου φυλάξουσιν· 2) καθάπερ 3) ὑπέμειναν τὴν ψυχήν μου. Σαφέστερον 4) τοῦτο ὁ Σύμμαχος ἡρμήνευσε, συνήγοντο λάθρα, καὶ τὰ ἴχνη μου παρετήρουν, 5) προσδοκῶντες τὴν ψυχήν μου. δεδήλωκε 6) δὲ διὰ τῶν 7) εἰρημένων τοὺς 8) λόχους αὐτῶν, καὶ τὰς ἐνέδρας, καὶ τὰς 9) ἐπιβουλάς. η'. 10) Ὑπὲρ τοῦ μηθενὸς ὤσεις αὐτούς. Ῥάδιόν σοι, φησὶ, καὶ λίαν εὐπετὲς 11) ὦσαι αὐτοὺς, καὶ καταβαλεῖν, καὶ παραδοῦναι θανάτῳ· τὸ γὰρ ὑπὲρ τοῦ 12) μηθενὸς, ἀντὶ τοῦ ἀπόνως καὶ ῥᾳδίως τέθεικε. ἐν ὀργῇ λαοὺς κατάξεις 13) αὐτοὺς ὁ Θεός. οὐ γὰρ τούτους μόνους, ἀλλὰ καὶ πάντας τοὺς παρανομίᾳ συζῆν προαιρουμένους, κολάσει παραδώσεις 14) „ὀργῆς πεπληρωμένῃ.„ θ'. 15) Τὴν ζωήν μου ἐξήγγειλά 16) σοι. Πάντα 17) σοι τὰ ἐμὰ δῆλα καθέστηκε, τὰ πράγματα, 18) τὰ ῥήματα, τὰ ἐνθυμήματα. 19) οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· τὰ ἔνδον μου ἐξηρίθμηταί σοι. 20) ἔθου τὰ δάκρυά μου 21) ἐνώπιόν σου, 22) ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου. ἐπένευσάς φησι τοῖς ἐμοῖς δάκρυσι, καὶ τὰς ἐπαγγε-

1) τὴν πτέρναν. Hebr. עקבי. 2) καθάπερ — ψυχήν μου. Des. in Cod. 1. 3) ὑπέμειναν. Hebr. קוו. 4) Cod. 1. 2. ταῦτα. 5) προσδοκῶντες. Cod. 1. addit ἀπολέσαι. 6) δέ. Abest a Cod. 2. 7) Cod. 2. προειρημένων. 8) Cod. 2. λόγους. 9) ἐπιβουλάς. Cod. 1. præm. λαθραίας. 10) Ὑπὲρ — αὐτούς. Rectius hæc a *Symm.* sic expr. διὰ τὴν ἀδικίαν ῥῦσαι μὲ αὐτῶν. 11) ὦσαι αὐτούς. Cod. 1. διασκεδάσαι. 12) μηθενός. Cod. 1. add. ὤσεις. 13) αὐτούς. Abest a Cod. 1. 2. et a Textu τῶν ό. 14) E Cod. 1. suppl. 15) Τὴν — σοί. Hebr. נדי ספרתה *Vagationem* s. fugam *meam numerasti.* Ante τὴν in Cod. 1. præm. Ἐγὼ δέ φησι. 16) σοι. Abest a Cod. 1. 17) σοι. In Cod. 1. ponitur post καθέστηκε. 18) τὰ ῥήματα. In Cod. 1. et 2. ponitur post τὰ ἐνθυμήματα. 19) οὕτω — ἐξηρίθμηταί σοι. Cod. 1. σοὶ γὰρ τὰ ἐντός μου καὶ πάντων ἀνθρώπων ἐξηρίθμηται. Deinde sequitur διὸ λέγει. 20) ἔθου — ἐπαγγελίᾳ σου. In loco hoc interpretando magnopere vacillarunt Veteres. Hebr. *pone lacrimam meam in vtre tuo: nonne in libro tuo* sc. adscriptæ sunt? 21) ἐνώπιόν σου. Pro בְּנֹאדֶךָ multi Interpretum legisse videntur בְּנֶגְדְּךָ. 22) ὡς — σου. *Symm.* hæc cum sequentibus ita coniunxit: *annon cum enumraueris, tunc* —

ἐπαγγελίας πεπλήρωκας. σὺ γὰρ ὑπέσχου νομοθετῶν τῶν ἀδικουμένων ἐπακούειν στενόντων. οὕτω γὰρ ἐν τῷ νόμῳ φησί· 1) στενάξει πρός με, καὶ ἐπακούσομαι 2) αὐτοῦ· ἐλεήμων γάρ εἰμι. ι. 3) Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω. 4) Σοῦ δὲ τὴν ἐμὴν δέησιν δεξαμένου, φεύξονται οἱ πολέμιοι, καὶ τῆς θρασύτητος παύσονται. ἐν ᾗ ἂν ἡμέρᾳ 5) ἐπικαλέσωμαι, ἰδοὺ ἔγνων, ὅτι Θεός μου εἶ 6) σύ. δεχόμενος γὰρ τὰς αἰτήσεις, δι' αὐτῶν πείθομαι τῶν πραγμάτων, 7) ὅσην μου κηδεμονίαν 8) ποιῇ. ια. Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα· ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον. ἐπὶ τῷ Θεῷ ἤλπισα· οὐ φοβηθήσομαί τι ποιήσει μοι ἄνθρωπος. 9) „καλὸς καὶ ἐνταῦθα ὁ προφητικὸς νοῦς. πῶς ἴσην τὴν προσευχὴν τῇ ἀχράντῳ καὶ ὁμοουσίῳ τριάδι προσφέρει; „ 10) Οὐδὲ φθέγξασθαί φησιν 11) ἄνευ τῆς σῆς ἐπικλήσεως 12) ἀνέξομαι. ἀλλὰ καὶ 13) σμικρὸν ῥῆμα 14) προσφέρων, καὶ μακροτέροις χρώμενος λόγοις, τῇ σῇ 15) τούτους προσηγορίᾳ 16) κοσμήσω, καί σοι πεποιθὼς καταφρονήσω τῶν ἀνθρωπίνων ἐπιβουλῶν. ιβ. 17) Ἐν 18) ἐμοὶ ὁ Θεὸς εὐχαὶ ἃς ἀ-

promissiones impleuisti. Tu enim promisisti legem ferens, iniuria affectos ingemiscentes te exauditurum. Sic enim in Lege ait, a) Ingemiscet ad me, et exaudiam ipsum, misericors enim sum. 10. *Conuertentur inimici mei retrorsum.* Te autem meas preces admittente, hostes fugient, et a temeritate desistent. *Quocunque die inuocauero te, ecce cognoui, te Deum meum esse.* Cum enim mearum petitionum compos factus sim, ex rebus ipsis cognosco, quantam mei curam geras. 11. *In Deo laudabo verbum, in Domino laudabo sermonem: in Deo speraui, non timebo, quid faciat mihi homo?* „ Bonus etiam in hisce est propheticus sensus. Quomodo autem purissimæ et consubstantiali Trinitati pares offert preces? „ Non feram, ait, vt, nisi te inuocauerim, loquar, verum siue breue verbum * proferam, siue longis sermonibus vtar, tuo nomine hos exornabo, et te fretus, humanas insidias despiciam. 12. *In me sunt Deus vota, quæ red-*

dam

1) Cod. 1. στενάξετε. 2) αὐτοῦ. Cod. 1. ὑμῶν. 3) Ἐπιστρέψουσιν. Cod. 1. præm. τότε. 4) Σοῦ — δεξαμένου. Cod. 1. τότε· πότε; ὅτε τὴν ἐμὴν δέησιν δέξῃ (ita leg. esse puto pro φεύξῃ) „ Tunc: quando? si meas preces assumseris. In Cod. 2. pro σου leg. τοῦ. Ibidem des. δέησιν. 5) ἐπικαλέσωμαι. Cod. 2. add. σου. Cod. 1. ἐπικαλέσομαί σε. 6) Cod. 1. addit ῥύστης, ἀντιλήπτωρ καὶ ὑπερασπιστής. 7) ὅσην. Cod. 2. præm. καί. 8) ποιῇ. Cod. 1. addit καλῶς ἂν ἔχων ἐπήγαγεν. „ Cum itaque bene se haberet, subiunxit. „ 9) E Cod. 1. suppl. 10) Οὐδὲ. Cod. 2. Οὐ. 11) ἄνευ — ἀλλὰ καί. Des. in Cod. 2. 12) ἀνέξομαι. In Cod. 1. sequitur: μίαν γάρ σε οἶδα καὶ ἐπίσταμαι οὐσίαν· ἀλλ' ὅμως ἐν τρισὶν ἀδιαιρέτοις ὑποστάσεσι προσκυνουμένην καὶ θεολογουμένην. „ Vnicam quidem te esse noui essentiam, in tribus autem indiuisis substantiis adoratam et ab Ecclesiæ doctoribus ita traditam. „ Sequitur διὸ καὶ σμικρὸν κ. λ. 13) Cod. 2. μικρόν. 14) Cod. 1. προσφέρω. 15) τούτους. Abest a Cod. 2. 16) κοσμήσω. Cod. 1. addit, τῇ ἐν Πατρὶ δηλονότι, καὶ Υἱῷ καὶ Πνεύματι ἁγίῳ, „ scilicet (nomine) Patris, Filii et Spiritus sancti. 17) Ἐν — αἰνέσεώς σοι. Hebr. *super me, o Deus, sunt vota tua: reddam laudes tibi.* 18) ἐμοί. Cod. 1. addit λέγων.

a) Exod. 22, 27.

dam laudis tibi. Promiſſa, ait, ſtudioſe tibi perſoluam, *vota* enim promiſſiones Deo factas vocat. Eodem modo et alibi, a) Reddam tibi vota mea, quæ pronunciarunt labia mea, et locutum eſt os meum in tribulatione mea. Deinde docet, de quibus, et quæ promiſſa ſint. 13. *Quoniam liberaſti animam meam a morte, oculos meos a lacrymis, et pedes meos a lapſu.* „ Per „ omnia iſta quaſi armis me in„ ſtruens et muniens: quibus, „ vt firmam fiduciam habeam, „ fidem dans, his quoque hanc „ implebo odam. „ *Vt placeam coram Deo in lumine viuentium.* Cum enim tot beneficia conſecutus ſim, et e variis inſidiis emerſerim, suo cultui ſtudebo, atque viuendi modum eligam, qui tibi gratus ſit, mihi vero ſempiternam vitam conciliet, et lumen illud legitime viuentibus promiſſum. Ceterum hæc, vt dixi, et beato Dauidi congruunt, et captiuis, qui Babylone detinebantur. Conueniunt autem etiam nobis, qui multas inſidias ab hominibus et a dæmonibus ſuſtinemus, per diuinam vero curam damnum, quod inde oritur, declinamus.

ποδώσω 1) αἰνέσεώς 2) σοι. 3) Τὰς ὑποχέσεις 4) σοι φησὶν εὐγνωμόνως ἐκτίσω· εὐχὰς γὰρ, τὰς πρὸς τὸν Θεὸν ὑποχέσεις 5) καλεῖ· οὕτω καὶ ἀλλαχοῦ· ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέςειλε τὰ χείλη μου, 6) καὶ ἐλάλησε τὸ ςόμα μου ἐν τῇ θλίψει μου. εἶτα διδάσκει ὑπὲρ τίνων, καὶ τίνες αἱ ὑποχέσεις. ιγ΄. Ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ 7) θανάτου· 8) τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων· καὶ τοὺς πόδας μου 9) ἀπὸ ὀλιθήματος, 10) „ διὰ πάντων με τού„ των θωρακίσας καὶ ἀσφαλισάμενος· „ καὶ ἑδραίαν ἔχειν τὴν πεποίθησιν ἐπὶ „ τούτοις πεπιςευκὼς ἐν τούτοις πληρώ„ σω καὶ τὴν παροῦσαν ᾠδήν. „ 11) εὐαρεςήσω ἐνώπιον 12) Κυρίου ἐν φωτὶ ζώντων. Τοσούτων γὰρ εὐεργεσιῶν ἀπολαύσας, καὶ τῶν διαφόρων ἐπιβουλῶν κρείττων φανεὶς, τῆς σῆς φροντιῶ 13) θεραπείας, καὶ πολιτείαν αἱρήσομαι, ἣ σοι μὲν ἀρέσει, ἐμοὶ δὲ προξενήσει ζωὴν τὴν αἰώνιον, καὶ τὸ φῶς ἐκεῖνο τὸ τοῖς ἐννόμως ζῶσιν ἐπηγγελμένον. ταῦτα δὲ, ὡς ἔφην, καὶ τῷ 14) μακαρίῳ ἁρμόττει Δαβὶδ, καὶ τοῖς ἐν Βαβυλῶνι 15) δορυαλώτοις. ἁρμόττει δὲ καὶ ἡμῖν, πολλὰς μὲν ὑπομένουσι 16) παρὰ ἀνθρώπων, καὶ 17) παρὰ δαιμόνων, ἐπιβουλάς. διὰ δὲ τῆς θείας κηδεμονίας, τὴν ἐκεῖθεν 18) φυομένην διαφεύγουσι λώβην.

ΕΡΜΗΝ.

1) *αἰνέσεώς σοι.* Deſ. in Cod. 1. 2) *σοί.* Cod. 2. *σου.* 3) *Τὰς ὑποχέσεις.* Cod. 1. præm. *τὸ δὲ ἐν ἐμοὶ ἀντὶ τοῦ παρ᾽ ἐμοὶ τέθεικεν.* „ Illud *in me* pro *apud me* poſuit. „ 4) *σοι.* Cod. 1. *μου.* 5) *καλεῖ.* Cod. 2. *δηλοῖ.* 6) *καὶ — θλίψει μου.* Deſ. in Cod. 2. 7) *θανάτου.* Cod. 1. addit, *καὶ οὐ μόνον ταύτην, ἀλλὰ καί.* „ et non hanc tantum, ſed etiam. „ 8) *τοὺς — δακρύων.* Hæc deſunt in Textu hebr. inſerta autem ſunt in edit. *ald.* et *compl.* 9) *ἀπό.* Rec. lectio h. l. eſt *ἐκ.* 10) E Cod. 1. ſuppl. 11) *εὐαρεςήσω.* Rec. lectio eſt *τοῦ εὐαρεςῆσαι.* 12) *Κυρίου.* Rec. lectio eſt *Θεοῦ.* 13) *θεραπείας.* Cod. 2. præm. *σωτηρίας καί.* 14) Cod. 1. *μακαριωτάτῳ.* 15) *δορυαλώτοις.* Cod. 1. addit *γενομένοις.* 16) *παρά.* Cod. 1. præm. *τοῦτο μέν.* 17) *παρά.* Cod. 1. præm. *τοῦτο δέ.* 18) *φυομένην.* Abeſt a Cod. 2.

a) Pſ. 65, 13. 14.

ΕΡΜΗΝ. ΤΟΥ νϛ´ ΨΑΛΜΟΥ.

α´. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· τῷ Δαβὶδ εἰς στηλογραφίαν, ἐν τῷ 1) αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον. Καὶ τὸν πρότερον καὶ τὸν δεύτερον διαφυγὼν κίνδυνον „2) ὁ μέγας Δαβὶδ,„ ὥσπερ ἐν στήλῃ τινὶ, τῇ μνήμῃ τὴν θείαν εὐεργεσίαν 3) ἀνέγραψε. καὶ εἰς τὸ τέλος δὲ καὶ οὗτος κἀκεῖνος παραπέμπει τοὺς ἐντυγχάνοντας· ἐπειδὴ πρόῤῥησιν 4) ἔχουσιν ἐσομένων πραγμάτων. ἐκεῖνος μὲν γὰρ τὰ κατὰ τὸν λαὸν προηγόρευσεν· οὗτος δὲ τῶν ἐθνῶν προθεσπίζει τὴν κλῆσιν. πρόσκειται δὲ τὸ μὴ διαφθείρῃς, τοῦ Δαβὶδ τὸν λογισμὸν ἡμῖν 5) ἐκκαλύπτον. ἐπειδὴ γὰρ δυνάμενος 6) ἀνελεῖν τὸν Σαοὺλ, καὶ τῇ σφαγῇ 7) καταλῦσαι τὸν 8) πολέμιον, καὶ τὴν ἡγεμονείαν λαβεῖν, οὐκ ἠνέσχετο. μονονουχὶ πρὸς ἑαυτὸν εἰρηκὼς, μὴ διαφθείρῃς τῆς ἀμνησικακίας τὴν ἀρετήν. 9) μὴ γένοιτο γάρ 10) μοι, φησὶν, ἐποῖσαι τὴν χεῖρά μου ἐπ᾽ αὐτὸν, ὅτι χριστὸς Κυρίου ἐστίν. 11) εἰκότως τῇ ἐπιγραφῇ τὸ μὴ διαφθείρῃς 12) προστέθεικε, διδάσκων τίσιν χρησάμενος λογισμοῖς οὐκ ἀνεῖλε τὸν 13) δυσμενῆ. β´. Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με· ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου· καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ 14) ἡ ἀνομία. Καθειργμένος ἐν τῷ σπηλαίῳ, καὶ τοὺς πολεμίους 15) καθειργμένους ὁρῶν, τὸν θεῖον ἔλεον 16) ἀπαγγέλ-

INTERP. PS. LVI.

1. *In finem; Ne corrumpas; ipsi Dauidi, in tituli inscriptionem: cum fugeret a facie Saulis regis Israël in speluncam.* Et primum et secundum periculum cum euasisset magnus Dauid, veluti in quadam columna, diuinum beneficium in memoria inscripsit. *In finem* etiam hic et ille legentes transmittit, quoniam futurarum rerum prædictionem habent. Ille quidem quæ populo acciderunt prædixit: hic autem gentium vocationem vaticinatur. Porro inscriptioni additur, *Ne corrumpas*, quo Dauidis nobis sensum et cogitationem detegit. Quoniam enim, cum posset Saulem tollere de medio, et cæde hostem conficere, imperiumque occupare, noluit, secum fere ipse sic loquens, Ne corrumpas virtutem obliuiscendi iniurias. a) Absit enim, ait, vt manus meas in ipsum extendam, quoniam Vnctus * Domini est. * Iure apposuit titulo *ne corrumpas*, docens quibus ratiocinationibus vsus inimicum non interfecerit. 2. *Miserere mei o Deus, miserere mei, quoniam in te confidit anima mea, et in vmbra alarum tuarum sperabo, donec transeat iniquitas.* Inclusus in antro, et inclusos hostes videns, diuinam misericordiam annunciat,

1) αὐτόν. Abest a Cod. 2. 2) E Cod. 1. suppl. Ita quoque legit *Carafa*. 3) ἀνέγραψε. Cod. 2. ἔγραψε. 4) Cod. 2. ἔχουσαν. Minus bene. 5) ἐκκαλύπτον. Cod. 1. ἀνακαλύπτον. 6) ἀνελεῖν. Cod. 2. ἑλεῖν. 7) καταλῦσαι. Cod. 2. præm. δὲ αὖθις. 8) Cod. 2. πόλεμον. 9) μὴ — Κυρίου ἐστίν. Alias lectiones expressas videmus p. 391. 10) Cod. 2. με. 11) εἰκότως. Cod. 1. addit οὖν. 12) προστέθεικε. Cod. 2. præm. τῷ Δαβίδ. 13) δυσμενῆ. Cod. 1. addit, διὰ καὶ οὕτως ἀπάρχεται. „ Propterea quoque sic incipit. „ 14) ἡ ἀνομία. Hebr. הַוּוֹת *ærumna*. 15) καθειργμένους. Cod. 1. περικαθημένους. 16) Cod. 2. ἐπαγγέλλει.

a) 2 Reg. 24, 7.

nunciat, et spem, quam in Deo fixam habet, aperit. *Alarum* vero *umbram* sæpius interpretatus est se diuinam curam vocare. At misericordiæ geminatio periculi magnitudinem declarat. Illud autem, *Donec transeat iniquitas*, Aquila dilucidius interpretatus est, donec transeant insidiæ. Symmachus, donec transeat calumniator. Non desinam igitur, ait, obsecrare, donec ab insidiantibus liber ero. *Insidiantes* enim Septuaginta, *iniquitatem* a re ipsa, quam moliebantur, appellauerunt. 3. *Clamabo ad Deum altissimum, Deum, qui benefecit mihi.* Diuini auxilii experientiam magistram habens, pro more hanc consequi obsecro. *Clamorem* autem, animi promptitudinem vocat. 4. *Misit de cælo, et liberauit me: dedit in opprobrium conculcantes me.* Cum enim antea me prouidentia sua dignatus esset, inimicos meos ridiculos reddidit. Docet autem quoque historia, Dauidem secutum fuisse Saulem, cum surrexisset, et procul posito beneficium in eum noctu collatum indicasse, quod cum haberet illum in manibus, noluerit ei plagam infligere. Maximum autem opprobrium erat ei qui salutem acceperat, seruatorem persequi. „ Propterea clamat gratias agens: „ *Misit Deus misericordiam suam, et veritatem*

λει, καὶ ἣν ἔχει πρὸς τὸν Θεὸν ἐλπίδα γυμνοῖ· σκιὰν δὲ πτερύγων 1) πολλάκις ἡρμήνευσεν, ὅτι τὴν θείαν κηδεμονίαν καλεῖ. ὁ δὲ τοῦ 2) ἐλέους διπλασιασμὸς τὴν ὑπερβολὴν τοῦ κινδύνου 3) παραδηλοῖ. τὸ δὲ ἕως οὗ παρέλθῃ ἡ 4) ἀνομία, σαφέστερον ὁ Ἀκύλας ἡρμήνευσεν, ἕως οὗ παρέλθῃ ἡ ἐπιβουλή. ὁ δὲ Σύμμαχος, ἕως 5) ἂν παρέλθῃ ὁ ἐπηρεαστής. οὐ παύσομαι 6) τοίνυν, φησὶν, ἱκετεύων, ἕως 7) ἂν τῶν ἐπιβουλευόντων ἀπαλλαγῶ. τοὺς γὰρ ἐπιβουλεύοντας 8) οἱ ἑβδομήκοντα ἀνομίαν ἀπὸ τοῦ πράγματος προσηγόρευσαν. γʹ. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν 9) τὸν εὐεργετήσαντά με. Τῆς θείας 10) ἐπικουρίας τὴν πεῖραν ἔχων διδάσκαλον, συνήθως ἀπολαῦσαι ταύτης ἀντιβολῶ. κραυγὴν δὲ τὴν τῆς ψυχῆς 11) προθυμίαν καλεῖ. δʹ. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, καὶ ἔσωσέ με· ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με. Ἄνωθέν με γὰρ τῆς οἰκείας ἀξιώσας προνοίας· καταγελάστους ἀπέφηνε 12) μου τοὺς δυσμενεῖς. διδάσκει δὲ 13) καὶ ἡ ἱστορία, ὡς ἀναστάντι τῷ Σαοὺλ ἠκολούθησε, καὶ πόῤῥω γενομένῳ τὴν νύκτωρ παραχεθεῖσαν εὐεργεσίαν δεδήλωκε, καὶ ὅτι λαβὼν ὑποχείριον οὐκ ἐπήνεγκε τὴν πληγήν· ὄνειδος δὲ τοῦτο μέγιστον ἦν τῷ σεσωσμένῳ καταπολεμοῦντι τὸν σεσωκότα. 14) „ διὸ „ δὴ βοᾷ εὐχαριστῶν· „ Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ.

1) *πολλάκις ἡρμήνευσεν ὅτι.* Cod. 1. *ὡς πολλάκις ἡρμηνεύσαμεν.* Cod. 2. etiam habet *ἡρμηνεύσαμεν.* 2) *ἐλέους.* Cod. 1. *ἐλέησον.* 3) Cod. 1. *δηλοῖ.* 4) *ἀνομία.* Cod. 2. addit *μου.* 5) *ἄν.* Cod. 2. *οὗ.* 6) *τοίνυν.* Abest a Cod. 2. 7) *ἄν.* Cod. 2. *οὗ.* 8) *οἱ ἑβδομήκοντα.* Cod. 1. *οἷον*, vnde forsitan orta est lectio in Textu obuia, quæ tamen non est spernenda. 9) *τὸν εὐεργετήσαντά με.* Hebr. גמר עלי *perficientem pro me.* 10) *ἐπικουρίας.* Cod. 2. *οἰκονομίας.* 11) *προθυμίαν.* Def. in Cod. 2. 12) *μου.* Abest a Cod. 1. 13) *καί.* Abest a Cod. 2. 14) E Cod. 1. suppl.

1) αὐτῷ. ε΄. 2) Καὶ ἐῤῥύσατο τὴν ψυχήν 3) μου ἐκ μέσου σκύμνων. Δικαίας φησὶν ἀπολαύσας φιλανθρωπίας, τῆς τῶν πολεμίων ἀπηλλάγην θηριωδίας. λεόντων γὰρ δίκην ἐπίεσάν διασπᾶσαι βουλόμενοι· τὴν δὲ ἀλήθειαν τῷ ἐλέῳ συνέζευξε, τὸ δίκαιον τῆς φιλανθρωπίας 4) δεικνύς.- ἐκοιμήθην 5) τεταραγμένος. τοῦτο ὁ Θεοδοτίων οὕτως ἡρμήνευσεν, ἐκοιμήθην μετὰ ἀναλισκόντων. ὁ δὲ Ἀκύλας, μετὰ 6) λάβρων· ὁ δὲ Σύμμαχος, μετὰ φλεγόντων· „7) ἀντὶ τοῦ ἐκοιμήθην σχεδὸν μετὰ ἀναλισκόντων λογισμῶν· λάβρως γὰρ μὲ κατέδακνον, ὡς „σχεδὸν καὶ καταφλέγειν μου τὴν διάνοιαν.„ εἰκότως τοίνυν ἐταραττόμην μεταξὺ τοιούτων καθεύδειν ἠναγκασμένος, καὶ ὑπὸ 8) τοιούτων 9) κυκλούμενος. τὸν Σαοὺλ γάρ, καὶ τοὺς 10) συναναλίσκοντας, καὶ φλέγοντας, καὶ 11) λάβρους, καὶ σκύμνους 12) ὠνόμασε, τὸ θηριῶδες τῆς γνώμης, καὶ τοῦ τρόπου τὸ φονικὸν ἐξηγούμενος· τοῦτο δὲ καὶ διὰ τῶν ἑξῆς διδάσκει 13) σαφέστερον. υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν 14) ὅπλα καὶ βέλη· καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. σκύμνους αὐτοὺς καλέσας, εἰκότως καὶ ὀδόντων 15) ἐμνήσθη, 16) αἰχμαῖς τούτους καὶ βέλεσιν 17) ἀπεικάζων, καὶ τὴν γλῶτταν 18) τεθηγμένῃ μαχαίρᾳ· διὰ

suam. 5. *Et eripuit animam meam de medio catulorum leonum.* Iustam, inquit, misericordiam consecutus, ab hostium feritate liberatus sum. Instar leonum enim me inuaserant, discerpere cupientes. Veritatem vero cum misericordia coniunxit, vt misericordiæ iustitiam ostenderet. *Dormiui conturbatus.* Hoc Theodotio ita interpretatus est, dormiui cum consumentibus: Aquila vero, cum voracibus: Symmachus autem, cum * comburentibus: * „ Hoc est, dormiui cum cogi„ tationibus fere consumentibus: „ voraciter enim me mordebant, „ ita vt propemodum combu„ rerent animum meum. „ Iure igitur conturbatus sum, inter tales dormire coactus, et a talibus circumdatus. Saulem enim, et consumentes, et comburentes, et voraces, et catulos leonum nominauit, feritatem mentis, et cruentos mores exprimens. Hoc autem per ea, quæ sequuntur, manifestius docet. *Filii hominum dentes eorum arma et sagittæ, et lingua eorum gladius acutus.* Quia ipsos leonum catulos appellauit, merito dentium meminit, mucronibus et sagittis hos comparans, et linguam acuto gladio, per

1) αὐτοῦ. Def. in Cod. 1. 2) Καὶ — ψυχήν μου. Hæc absunt a Textu hebr. in quo tantum hæc exstant נַפְשִׁי בְּתוֹךְ לְבָאִים. 3) μου. Def. in Cod. 1. 4) δεικνύς. In Cod. 1. sequitur: ἀλλ' ὅμως ἔτι ἐν τοῖς ἀγῶσιν ὑπάρχων. „ at vero in pugna adhuc constitutus. „ 5) τεταραγμένος. Hebr. לֹהֲטִים ardentes, f. ira accensi. 6) Cod. 2. λαύρων. Minus bene. 7) E Cod. 1. suppl. 8) τοιούτων. Cod. 1. addit πολεμίων. 9) κυκλούμενος. Cod. 2. κλονούμενος. 10) συναναλίσκοντας. Cod. 1. 2. σὺν αὐτῷ ἀναλίσκοντας. 11) Cod. 2. λαύρους. Perperam. 12) ὠνόμασε. Def. in Cod. 2. 13) σαφέστερον. Cod. 1. addit λέγων. 14) Rec. lectio est ὅπλον. 15) ἐμνήσθη. Cod. 1 addit διὰ τὸ ἀναλωτικόν, „ ob consumendi cupidinem. „ 16) αἰχμαῖς τούτους. Cod. 1. habet tantum οὓς. 17) Cod. 1. ἀπεικάζει. 18) Cod. 1. 2. τεθηγμένην μάχαιραν.

per omnia autem crudeles illorum animos deſignat. 6. *Exaltare ſuper cælos o Deus, et in omni terra gloria tua (celebretur).* Dignum autem eſt in omnibus te laudare, qui cælum habitare crederis, et totam terram gloria imples. Hoc etiam beatus Habacuc dixit: *a)* Operuit cælos potentia eius, et laudis eius plena eſt terra. Ceterum *exaltare* dicitur pro, Oſtende omnibus hominibus altitudinem tuam. 7. *Laqueum parauerunt pedibus meis, et incuruauerunt animam meam:* „ et non contenti fue- „ runt hisce, ſed „ *foderunt ante faciem meam foueam, et inciderunt in eam.* Cum laqueos, inquit, in me inſtruxiſſent, et inſidias compoſuiſſent, ipſi a nobis irretiti, et propriis laqueis illaqueati ſunt. 8. *Paratum eſt cor meum o Deus, paratum eſt cor meum: cantabo, et pſalmum dicam in gloria mea.* Hoc Symmachus ita vertit, Stabile eſt cor meum. Nam tuam prouidentiam manifeſtam videns, non amplius diuerſas inimicorum machinationes reformido, ſed paratus et inſtructus ſum ad tua mandata ſequenda, tuaque beneficia decantanda. 9. *Exſurge gloria mea, exſurge pſalterium, et*

πάντων δὲ τὰς μιαιφόνους αὐτῶν σημαίνει 1) βουλάς. ϛ΄. 2) Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός· καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα 3) σου. Ἄξιον δὲ ἐπὶ πᾶσιν 4) ἀνυμνεῖν σε, τὸν ἐν οὐρανῷ μὲν διάγειν ὑπειλημμένον, πᾶσαν δὲ τὴν γῆν ἐμπιμπλῶντα τῆς δόξης. τοῦτο καὶ ὁ μακάριος ἔφησεν Ἀββακούμ· ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς 5) αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. τὸ δὲ ὑψώθητι, ἀντὶ τοῦ, δεῖξον πᾶσιν ἀνθρώποις 6) τὸ ὕψος 7) σου. ζ΄. 8) Παγίδα ἑτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου. „ 9) καὶ οὐκ ἠρκέσθησαν „ τούτοις, ἀλλὰ καὶ „ ὤρυξαν πρὸ προσώπου μου βόθρον, 10) καὶ ἐνέπεσον εἰς αὐτόν. Λόχους μοι φησὶν ἐπιστήσαντες, καὶ ἐνέδρας 11) καθιστάντες, αὐτοὶ παρ' ἡμῶν 12) ἐλοχίσθησαν· καὶ ταῖς οἰκείαις ἐνεπάγησαν 13) πάγαις. η΄. Ἑτοίμη ἡ καρδία μου ὁ Θεός, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ 14) ἐν τῇ δόξῃ 15) μου. Τοῦτο ὁ Σύμμαχος 16) οὕτως ἡρμήνευσεν· ἑδραία ἡ καρδία 17) μου. προφανῆ γὰρ ὁρῶν σου τὴν πρόνοιαν, οὐκ ἔτι δέδια τὰ παντοδαπὰ τῶν ἐχθρῶν μηχανήματα· ἀλλ' ἕτοιμός εἰμι καὶ 18) εὐτρεπὴς τοῖς σοῖς ἕπεσθαι 19) ῥήμασι, καὶ τὰς σὰς εὐεργεσίας 20) ὑμνεῖν. θ΄. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα.

1) βουλάς. Cod. 1. ψυχάς. 2) ὑψώθητι. Cod. 1. add. λέγων. 3) σου. Deſ. in Cod. 1. 4) Cod. 1. ὑμνεῖν. 5) αἰνέσεως. Cod. 1. συνέσεως. 6) τό. Cod. 1. præm. τὴν δόξαν σου καί. 7) σου. In Cod. 1. ſequitur: τίνος ἕνεκεν εἰπέ· ὅτι „ Cuius cauſ- „ ſa dicas: quia. „ Sequuntur verba v. 7. 8) Rec. lectio eſt παγίδας. 9) E Cod. 1. ſuppl. 10) καί. Cod. 1. ἀλλ' ὅμως. 11) καθιστάντες. Cod. 1. et 2. καθίσαντες. 12) Cod. 1. et 2. ἐλοχήθησαν. 13) πάγαις. Cod. 1. ἄγραις. 14) ἐν — μου. Abeſt a Textu hebr. et τῶν ό. 15) μου. Cod. 2. σου. 16) οὕτως. Abeſt a Cod. 2. 17) μου. In Cod. 1. ſequitur: τὸ ἑτοίμη ἀντὶ τοῦ ἑδραία λοιπὸν ἡ καρδία μου. „ *Paratum eſt* idem eſt quod firmum de reliquo eſt os meum. „ 18) εὐτρεπής. Prior lectio erat εὐπρεπής. 19) ῥήμασι. Cod. 1. 2. νεύμασι. 20) ὑμνεῖν. Cod. 1. addit οὐκοῦν καλῶς ἔχειν διὰ τῶν ἑξῆς ἔφησεν. „ Bene itaque ſibi „ eſſe, per ſequentia declarat. „

a) Habac. 3.

κιθάρα. Ἑαυτῷ 1) λοιπὸν 2) ἐγκελεύεται τὸν θεῖον ὕμνον ὑφῆναι· δόξαν δὲ οἰκείαν, τὴν προφητικὴν χάριν καλεῖ· ἑαυτὸν δὲ ψαλτήριον, καὶ κιθάραν, ὡς ὄργανον γεγενημένον 3) τοῦ πνεύματος. 4) Ἐγερθήσομαι ὄρθρου. ι΄. Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Οὐ νῦν φησὶ 5) μόνον ταύτην σοι προσοίσω τὴν ὑμνῳδίαν· ἀλλὰ καὶ τοῦ ἀληθινοῦ φωτὸς ἀνατείλαντος, καὶ τὴν μακρὰν τῆς ἀγνοίας ἀποσκεδάσαντος νύκτα, καὶ τὸν τῆς προσδοκωμένης ἡμέρας ὑποδείξαντος ὄρθρον, 6) „οὐ „μόνον διὰ τῆς ἐνσάρκου αὐτοῦ πρὸς ἡ„μᾶς παρουσίας, ἀλλὰ καὶ διὰ τῆς τοῦ „λουτροῦ παλιγγενεσίας καὶ ἀναπλά„σεως „ τῶν ἐθνῶν ἁπάντων καὶ 7) τῶν λαῶν χοροδιδάσκαλος ἔσομαι· καὶ οἷόν τισι χορδαῖς τοῖς ἐκείνων 8) χρώμενος στόμασιν, ᾄσω τὴν 9) χαριστήριον ὑμνῳδίαν. „10) τίνος ἕνεκεν ὦ προφῆτα εἰπὲ „καὶ τὸν τρόπον.„ ια΄. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Οὐ γὰρ μόνος ὁ οὐρανὸς, καὶ οἱ τούτων ἐνδιαίτημα ἔχοντες ἄγγελοι, τὸν σὸν ἔλεον 11) ἔγνωσαν· ἀλλὰ καὶ διὰ τῶν νεφελῶν τὴν ἀλήθειάν σου δεδήλωκας. νεφέλας δὲ τοὺς τῆς θείας χάριτος ἠξιωμένους 12) ἡ θεία καλεῖ γραφή. τοῦτο δὲ καὶ διὰ Ἡσαΐου τοῦ προφήτου ὁ τῶν ὅλων 13) ἡμᾶς 14) διδάσκει Θεός. εἰρηκὼς γὰρ περὶ τοῦ Ἰσραὴλ, ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ ἐπήγαγε· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι

cithara. Sibi ipsi deinceps iubet vt diuinum hymnum contexat. Porro propriam gloriam vaticinationis gratiam vocat, se ipsum vero psalterium et citharam, vt Spiritus sancti instrumentum factum. *Surgam sub diluculo.* 10. *Confitebor tibi in populis Domine, et psalmum dicam tibi in gentibus.* Non solum nunc, ait, has hymnorum laudes tibi offeram, verum etiam vbi lux vera * fuerit exorta, et longam ignorantiæ noctem dissiparit, et exspectatum diluculum produxerit, „ non modo cum ad nos „ carne assumta venerit, sed etiam „ iam per regenerationem no„ uamque formationem, quæ fit „ sancto lauacro „ omnium gentium et populorum magister chori ero, et veluti quibusdam chordis illorum labiis vtens, gratas tibi laudes canam. „ Dicas, o „ Propheta, caussam et mo„ dum. „ 11. *Quoniam magnificata est vsque ad cælos misericordia tua, et vsque ad nubes veritas tua.* Non solum enim cælum et angeli, qui in cælis habitant, tuam misericordiam cognouerunt, sed per nubes etiam veritatem tuam ostendisti. *Nubes* vero, homines diuina gratia ornatos sacræ literæ nuncupant. Hoc autem per Esaiam quoque prophetam vniuersorum Deus nos docet. Cum enim de Israële dixisset: *a)* Dimittam vineam meam, et non putabitur, nec fodietur, subdidit, Et nubibus mandabo, ne pluant super eam

1) λοιπόν. Cod. 2. νῦν. 2) ἐγκελεύεται. Cod. 1. addit ὁ προφήτης. 3) τοῦ. Cod. 1. addit θείου. 4) Cod. 1. 2. ἐξεγερθήσομαι. 5) μόνον. Abest a Cod. 2. 6) E Cod. 1. suppl. 7) Cod. 2. τοῦ λαοῦ. 8) χρώμενος. Def. in Cod. 2. 9) Cod. 1. εὐχαριστήριον. 10) E Cod. 1. suppl. 11) ἔγνωσαν. Cod. 1. ἔχοντες. 12) ἡ — γραφή. Cod. 1. οἶδεν ἡ θεία γραφὴ καλεῖν. Cod. 2. habet tantum καλεῖ. 13) ἡμᾶς. Def. in Cod. 2. 14) διδάσκει. Cod. 1. ἐκπαιδεύει.

a) Ef. 5, 6.

eam imbrem. Quemadmodum enim nubes aliunde imbrium materiam suscipiunt, eodem modo et prophetæ, et apostoli a diuina gratia agitati hominum animis spiritualem pluuiam attulerunt. 12. *Exaltare super cælos o Deus, et super omnem terram gloria tua (celebretur).* Nam per spirituales nubes, prophetas inquam et apostolos, veritate exorta altissimus declaratus est vniuersorum Dominus, cæli et terræ creator, in omni terra et mari laudem ab hominibus recipiens.

ἐπ' 1) αὐτόν. καθάπερ γὰρ ἡ νεφέλη ἑτέρωθεν ὑποδέχεται τῶν ὄμβρων τὰς ἀφορμὰς, οὕτω καὶ προφῆται, καὶ ἀπόστολοι ὑπὸ τῆς θείας χάριτος ἐνεργούμενοι, τὴν πνευματικὴν ἀρδείαν προσήνεγκαν ταῖς τῶν ἀνθρώπων 2) ψυχαῖς. ιβ'. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Διὰ γὰρ τῶν πνευματικῶν νεφελῶν, τῶν προφητῶν φημὶ καὶ ἀποστόλων, τῆς ἀληθείας ἀναφανείσης, ὕψιστος ἀνεδείχθη τῶν ὅλων ὁ Κύριος, οὐρανοῦ καὶ γῆς ποιητὴς, ἐν ἁπάσῃ γῇ καὶ θαλάσσῃ παρὰ τῶν ἀνθρώπων 3) ὕμνον δεχόμενος.

INTERP. PS. LVII.

1. In finem, ne corrumpas, ipsi Dauidi, in tituli inscriptionem. Et hic psalmus eiusdem est argumenti: Saulis enim prauitatem narrat, verborumque falsitatem „ et eorum qui ad illum pertinebant, eiusdemque „ cum eo erant animi. „ Nam cum sæpius iurasset inimicitias se finiturum, iusiurandum violauit, et insidiis vsus est. Rursus autem *ne corrumpas*, additur, quia cum bis in manibus haberet „ Dauid Saulem, „ occidere noluit. 2. *Si vere vtique iustitiam loquimini, recte iudicate filii hominum.* Hic Saulem

ΕΡΜΗΝ. ΤΟΥ νζ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς στηλογραφίαν. Τῆς αὐτῆς ἔχεται καὶ οὗτος ὁ ψαλμὸς 4) διανοίας· 5) διηγεῖται γὰρ τὴν τοῦ Σαοὺλ πονηρίαν, „ 6) καὶ τῶν κατ' αὐτὸν, τὴν „ ἐκείνου ἰσόῤῥοπον κεκτημένων γνώμην, „ καὶ τῶν λόγων τὸ ψεῦδος. πολλάκις γὰρ ὀμόσας καταλύειν τὴν 7) ἔχθραν, παρέβη τοὺς ὅρκους, καὶ ταῖς ἐνέδραις ἐχρήσατο. πάλιν δὲ τὸ μὴ διαφθείρῃς 8) πρόκειται· ἐπειδὴ δὶς λαβὼν ὑποχείριον 9) „ ὁ Δαβὶδ τὸν Σαοὺλ, „ 10) ἀνελεῖν οὐκ ἠθέλησεν. β'. 11) Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, 12) εὐθείας κρίνατε 13) υἱοὶ τῶν ἀνθρώπων. Ταῦτα πρὸς τὸν Σαοὺλ διεξέρ-

1) αὐτόν. Cod. 1. add. ὑετόν. 2) ψυχαῖς. Cod. 1. add. καλῶς οὖν ἔχειν ἔφησεν καὶ τό. Sequuntur verba v. 12. 3) ὕμνον. Cod. 1. 2. præm. τόν. 4) διανοίας. Cod. addit ἔχει δὲ καὶ ἕτερα περὶ μελλόντων. „ habet autem quoque alia de futuris. „ 5) Cod. 1. ἐξηγεῖται. 6) E Cod. 1. suppl. 7) ἔχθραν. Cod. 1. add. ὡς μέχρι καὶ νῦν τινὲς τῇ αὐτῇ διαμένουσι πονηρίᾳ. „ sicut ad hunc vsque diem nonnulli in eadem persistunt prauitate. 8) Cod. 2. πρόσκειται. 9) E Cod. 1. suppl. 10) ἀνελεῖν οὐκ ἠθέλησεν. Cod. 1. οὐκ ἀνεῖλεν. Idem Cod. addit διὸ δὴ ταύτῃ ἀπαρχόμενος ὁ προφήτης οὕτως ἔφη. „ Propterea sic exorsus Propheta, ita loquitur. „ 11) εἰ ἀληθῶς ἄρα. Hæc respondent hebr. האמנם in Textu obuio, omissum autem est a plerisque Interpretibus sequens אלם. 12) Rec. lectio est εὐθεῖα. 13) υἱοί. Cod. 1. 2. præm. οἱ, vt in Textu τῶν ό.

1) διεξέρχεται ὀμωμοκότα μηκέτι διώκειν, καὶ παρὰ τοὺς ὅρκους 2) στρατεύσαντα· σύ φησι γενοῦ τῶν 3) ὑπὸ σοῦ δρωμένων κριτής, καὶ τὸ κρίνειν πεπιστευμένος, ὀρθὴν ἐξένεγκε καὶ δικαίαν τὴν ψῆφον. „ 4) εἰ δὲ τὴν οἰκείαν νόσον οὐ δύνασαι διαγνῶναι ἢ ἰατρὸς ταύτης γενέσθαι, πῶς ἂν ἑτέροις τὸ τῆς ἀληθείας „ φάρμακον κατασκευάσεις; οὐ δύνασαι, „ φησίν. „ γ'. Καὶ γὰρ ἐν καρδίᾳ 5) ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ· ἀδικίαν αἱ χεῖρες ὑμῶν 6) συμπλέκουσιν. 7) Σά φησι καὶ τὰ τῆς 8) εἰρήνης ῥήματα, καὶ τὰ πονηρὰ βουλεύματα, καὶ τὰ παντοδαπὰ τῶν 9) ἐπιβούλων 10) μηχανήματα· σκέπησον τοίνυν εἰ συμβαίνει τοῖς λόγοις τὰ πράγματα. ἀλλὰ γὰρ μάτην σοι τὴν ἐμὴν 11) ἐνεχείρισα κρίσιν, δικάζειν οὐκ 12) ἀνεχομένῳ 13) δικαίως. δ'. Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ 14) μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρὸς, ἐλάλησαν ψευδῆ. 15) Πάλαι φησὶν ἑαυτοὺς τῆς ἀληθείας χωρίσαντες τὸ ψεῦδος 16) ἠσπάσασθε. „ 17) τοῦτο δὲ, ὡς ἀνωτέρω ἡμῖν „ εἴρηται, κατακροτεῖ μάλιστα ἐπὶ τοῦ „ παρόντος· τὸ ψεῦδος καὶ τὸ πρὸς τοὺς „ πέλας μῖσος λέγων. „ τὸ δὲ ἀπὸ μήτρας καὶ ἀπὸ γαστρὸς προστέθεικεν, ὡς τοῦ Θεοῦ 18) πρὸ τῆς διαπλάσεως τὰ κατ' αὐτοὺς ἐγνωκότος. οὕτω γὰρ καὶ πρὸς τὸν 19) Ἱερεμίαν, πρὸ τοῦ με πλάσαι 20) σε

alloquitur, qui iurauerat se non amplius eum persecuturum, et præter iusiurandum bellum mouebat. Tu, inquit, esto iudex eorum, quæ agis, et iudicio suscepto, rectam et iustam sententiam profer. „ Si vero tuum „ ipsius morbum dignoscere et „ sanitatem tuam restituere non „ potes, quomodo aliis veritatis „ remedium parabis? Huic o„ mnino impar es, inquit. „ * 3. *Etenim in corde iniquitates operamini in terra, iniustitias manus vestræ concinnant.* * Et tui sermones, inquit, sunt pacifici, et tua consilia peruersa, et omnimodæ machinationes insidiatorum. Considera igitur, an res sermonibus congruant. Veruntamen frustra tibi iudicium meum tradidi, qui iuste iudicare non vis. 4. *Alienati sunt peccatores ab vtero, errauerunt inde a ventre, locuti sunt falsa.* Iam dudum, ait, a veritate vos segregantes, falsitatem amplexi estis. „ Hoc vero, vt iam „ superius a nobis dictum est, „ de suo tempore dicit; *fal*„ *sum* enim dicit quoque odium „ erga proximum. „ Hoc autem, *ab vtero*, et *a ventre*, addidit, quia Deus ante creationem res illorum nouerat. Sic enim et Ieremiæ dixit: a) Ante quam formarem te in vtero,

1) Cod. 2. ἐξέρχεται. 2) στρατεύσαντα. Cod. 1. add. ἡ δ' αὐτὴ πάντη σχεδὸν καὶ πανταχῇ κεκράτηκε γνώμη, ἡ κατὰ τὸν Σαοὺλ φημὶ καὶ τὸν Δαβίδ. „ Eadem autem vsquequaque fere et vbique locorum inualuit opinio, quæ fertur de „ Saule ac Dauide. „ 3) ὑπὸ σοῦ. Priorem lectionem παρ' αὐτοῦ e Cod. 1. emendauimus. 4) E Cod. 1. suppl. 5) Cod. 1. ἀνομίαν. 6) συμπλέκουσιν. Hebr. תפלסון Theodot. et Edit. V. διασταθμίζονται. 7) Σά φησι. Cod. 1. σαφῆ. 8) εἰρήνης. Cod. 1. εἰρωνείας. 9) Cod. 2. ἐπιβουλῶν. 10) μηχανήματα. Cod. 1. add. ἐκ τῶν ἔργων τοῦ φαύλου δοκιμάζεται. 11) Cod. 2. ἐνεχείρισας. 12) Cod. 2. ἀνεχόμενος. 13) δικαίως. Cod. 1. add. εἰπὲ καὶ τίνος ἕνεκεν· ἐπεὶ „ Dic etiam, quare? Quia — 14) μήτρας. Cod. 1. add. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καί. 15) Πάλαι — ἠσπάσασθε. Alia habet CORD. T. II. p. 133. 16) Cod. 2. ἠσπάσαντο. 17) E Cod. 1. suppl. 18) πρό. Cod. 1. 2. præm. καί. 19) Ἱερεμίαν. Cod. 2. add. ἔφη. 20) σέ. Abest a Cod. 2.

a) Ier. 1, 5.

vtero, noui te, et ante quam exires vtero, ſanctificaui te. Et Pharaoni, *a)* In hoc ipſum excitaui te, vt oſtendam in te virtutem meam. Sed nec Pharaonem improbum, nec Ieremiam ſanctum fecit præſcientia diuina: ſed id quod futurum erat præſciuit vt Deus. 5. *Furor illis ſecundum ſimilitudinem ſerpentis.* Malitiam enim et calliditatem ſerpentis imitati ſunt. *Sicut aſpidis ſurdæ, et obturantis aures ſuas.* 6. *Quæ non exaudiet vocem incantantium, medicatur medicata a ſapiente.* Porro aures oppilant inſtar aſpidis, cui mos eſt hoc facere propter malitiæ exceſſum, ne incantationibus demulceatur, neue cedat pharmaco parato per illum, qui ſapiens vocatur. Nam *ſapientem* hoc in loco ferarum incantatorem nuncupauit, abuſiue, vt in illo, *b)* Sapientes ſunt ad malefaciendum, „ bonum „ autem facere neſciunt, „ et, *c)* Vbi ſapiens, et vbi ſcriba? Neque hos vt vere ſapientes nominat, ſed quod tales a quibusdam cenſeantur. Quoniam enim beatus Dauid multis ſermonibus ad Saulem vſus, et ſe

ἐν κοιλίᾳ, ἐπίςαμαί σε· καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε. καὶ πρὸς τὸν Φαραὼ, εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου. 1) ἀλλ᾽ 2) οὐχ ἡ πρόγνωσις τοῦ Θεοῦ, ἢ τὸν Φαραὼ πονηρὸν, ἢ τὸν Ἱερεμίαν πεποίηκεν ἅγιον· ἀλλὰ τὸ μέλλον ἔσεσθαι προέγνω 3) ὡς Θεός. ε. 4) Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. 5) Μεμίμηνται 6) τοῦ ὄφεως 7) τὸ μνησίκακον καὶ 8) ἐπίβουλον. Ὡσεὶ ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτῆς. ς. Ἥτις οὐκ εἰσακούσεται 9) φωνῆς ἐπαδόντων, 10) φαρμακοῦται φαρμακευομένη παρὰ σοφοῦ. 11) Βύουσι 12) δὲ τὰ ὦτα τῇ ἀσπίδι παραπλησίως, ἣ φίλον τοῦτο ποιεῖν διὰ κακίας ὑπερβολὴν, ὥστε 13) μὴ 14) θέλγεσθαι ταῖς ἐπῳδαῖς, 15) μηδὲ εἴκειν τῷ φαρμάκῳ τῷ 16) κατασκευαζομένῳ παρὰ τοῦ 17) καλουμένου σοφοῦ. σοφὸν 18) γὰρ ἐνταῦθα καταχρηστικῶς τὸν 19) θηρεπῳδὸν προσηγόρευσεν· ὡς τὸ, σοφοί εἰσι τοῦ κακοποιῆσαι· „ 20) τὸ δὲ καλοποιῆσαι οὐκ ἔγνωσαν„ καὶ 21) ποῦ σοφός; ποῦ γραμματεύς; 22) οὔτε τούτους 23) ὡς ἀληθῶς σοφοὺς ὀνομάζει, ἀλλ᾽ ὡς τοῦτο παρά τισιν εἶναι δοκοῦντας. ἐπειδὴ γὰρ πολλοῖς πρὸς τὸν Σαοὺλ χρησάμενος λόγοις ὁ μακάριος Δαβὶδ, καὶ δοῦλον ἑαυτὸν

1) ἀλλ᾽. Cod. 1. καί. 2) Cod. 2. οὐχί. 3) ὡς Θεός. Cod. 1. add. ὁ Θεός. 4) Θυμός. Hebr. חֲמַת venenum. 5) Μεμίμηνται. Cod. 1. add. γάρ. Cod. 2. habet μέμηνται ex errore Librarii. 6) τοῦ ὄφεως. Deſ. in Cod. 1. 7) Cod. 1. τόν. 8) ἐπίβουλον. Cod. 1. add. ἐκεῖνον. 9) Rec. lectio eſt φωνήν. 10) φαρμακοῦται φαρμακευομένη. Præſtat lectio rec. φαρμάκου τε φαρμακευομένου. Huc ſpectat obſeruatio *Didymi*, quæ fere eadem eſt cum Scholio in edit. *rom.* φαρμάκου δὲ ἀναγνωστέον ἐν παρενθέσει ὄντος τοῦ τε συνῳδῶς καὶ οὐ ῥηματικῶς φαρμακοῦται. Legendum eſt φαρμάκου (Particula τε apte interpoſita), non autem verbaliter φαρμακοῦται. 11) Βύουσι. Cod. 1. præm. ὃ δὲ λέγει, τοιοῦτό ἐστι. 12) δέ. Cod. 1. φησί. 13) Cod. 1. μήτε. 14) θέλγεσθαι. Cod. 2. ἐπινεῦσαι. 15) Cod. 1. μήτε. 16) Cod. 1. κατεσκευασμένῳ. 17) καλουμένου. Deſ. in Cod. 2. 18) γάρ. Cod. 1. δέ. 19) Cod. 2. θηριεπῳδόν. 20) E Cod. 2. ſuppl. 21) ποῦ. Cod. 1. præm. τό. 22) οὔτε — δοκοῦντας. Deſ. in Cod. 2. Cod. 1. pro οὔτε habet οὐδέ. 23) ὡς. Abeſt a Cod. 1.

a) Exod. 9, 16. *b)* Ier. 4, 22. *c)* 1 Cor. 1, 20.

ἑαυτὸν ὀνομάσας, κἀκεῖνον κύριον καὶ 1) βασιλέα, καὶ δι' αὐτῶν δείξας τῶν πραγμάτων, 2) ὡς οὐκ ἐφίεται τῆς ἐκείνου σφαγῆς, 3) οὐ πέπεικε καταλῦσαι τὴν ἔχθραν· προσφυῶς αὐτὸν ἀσπίδι παρέβαλλεν, οὐ κωφευούσῃ κατὰ φύσιν, ἀλλὰ 4) καὶ βυούσῃ τὰ ὦτα, καὶ τῆς ἐπῳδῆς ἀπωθουμένῃ τὴν προσβολήν· τὸ δὲ φαρμακοῦται φαρμακευομένη παρὰ σοφοῦ, 5) ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν, 6) ἐπαστοῦται ἐπῳδαῖς σεσοφισμένου· ὡς εἶναι δῆλον, ὅτι τὴν ἐπῳδὴν ὠνόμασε φάρμακον. „7) ὡς ἐκ τούτου δήλην ποιῆσαι τὴν μιαιφονίαν τοῦ Σαοὺλ, εἴρηται ἡμῖν ἀνωτέρω, καὶ τῶν κατ' αὐτὸν, ἐν οἵῳ ἂν ὦσιν ἀξιώματι καὶ βαθμῷ ἢ τόπῳ· νοήσειεν δὲ τις ἂν καλῶς καὶ ταῦτα εἰρῆσθαι κατὰ τῶν αἱρετικῶν, Ἀριανῶν λέγω καὶ Εὐνομιανῶν καὶ Μακεδονιανῶν καὶ τῶν δοκούντων τὰ παραπλήσια ἐκείνοις δόγματα νοσεῖν. καὶ γὰρ αὐτοὺς ἂν δικαίως καλέσειεν ἐπῳδοὺς καὶ ἐπαοιδούς τις· ὅτι δὲ μήτηρ ἡ ἐν ἀκαριαίᾳ καιροῦ ῥοπῇ ἀποκύουσα τοὺς ἀναγεννωμένους, παρ' ὧν δῆλον τοῖς μεμυημένοις; καὶ γὰρ εἰώθασι βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος καὶ μετὰ τὴν ἀνάδυσιν τῶν τριῶν καταδύσεων. ἴστε τί λέγω οἱ τῆς υἱοθεσίας ἠξιωμένοι. νόσον χαλεπὴν παραδιδόασι τοῖς δῆθεν παρ' αὐτῶν βαπτιζομένοις μᾶλλον δὲ βυθιζομένοις· οἱ μὲν λέγοντες, δόξα Πατρὶ δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι· οἱ δὲ, δόξα Πατρὶ

seruum nominans, et illum dominum ac regem, et rebus ipsis ostendens, se nunquam eius cædem desiderasse, non persuasit illi, vt inimicitias finiret: apposite illum aspidi comparauit, non secundum naturam obsurdescenti, sed aures obstruenti, vt carminis ingressum prohibeat. Hæc autem verba, *Medicatur medicata a sapiente*, Symmachus vertit, *Incantatur incantationibus sapientis*: vt manifestum sit, eum incantationem φάρμακον nominasse. „In superioribus iam a nobis dictum est, Dauidem hisce significare nefariam cædis cupidinem Saulis eorumque qui ad eum pertinebant, in quocunque dignitatis fastigio aut loco fuerint constituti. Satis recte autem existimauerit quispiam, hæc etiam contra hæreticos, Arianos puta, Eunomianos et Macedonianos eosque qui simili errore laborarunt, dicta esse. Iure enim ipsos dixerit aliquis incantatores et præstigiatores: Quod autem hæc mater in breuissimo temporis articulo enitatur regeneratos, vnde constat inter eos qui initiati sunt? Solent enim baptizare in nomine Patris ac Filii et Spiritus Sancti, post triplicem emersionem et immersionem. Nostis autem quid dicam, quotquot adoptione dignati estis. Grauem morbum inferunt illis qui ab istis baptizantur aut potius submerguntur. Hi quidem dicunt, Gloria sit Patri per Filium in Spiritu Sancto; alii autem, Gloria sit Patri „et

1) βασιλέα. Cod. 1. 2. addunt καλέσας. 2) ὡς. Def. in Cod. 2. 3) οὐ. Def. in Cod. 2. 4) καί. Abest a Cod. 2. 5) ὁ. Cod. 1. præm. τοῦτο. 6) Cod. 2. ἐπᾳδοῦται. Legendum autem esse videtur ἐπῳδοῦ τε, vt leg. apud MONTF. in Hexapl. ad h. l. 7) E Cod. 1. suppl.

„ et Filio in Spiritu Sancto: fic-
„ que indiuiduam et nullo non
„ tempore eandem, in Patre et
„ Filio et Spiritu Sancto adora-
„ tam diuinitatem pro tribus Diis
„ habent, immo magnum, par-
„ uum et minorem ſtatuunt: in-
„ æqualitatis iugo impollutæ Tri-
„ nitatis diuinitatem, ſumme, vt
„ putant, disparem, friuola lin-
„ gua disiungentes; eam, quæ v-
„ nica eſt eſſentia, imperio, do-
„ minatione, diuinitate, poten-
„ tia, creatione et quæ ſunt alia
„ eius maieſtati propria. Hunc
„ enim Deum et Regem, alium au-
„ tem Dominum quidem, ſed mi-
„ niſtrum iſtius et creaturam ante
„ alias ab eo productam, alium
„ denique ſeruum et miniſtrum
„ filii audaciſſime vocare ſolent
„ improbi iſti, ad quos potiſſimum
„ ſe refert vaticinatio iſta. Non
„ enim de Saule tantum, iisque
„ qui cum eo erant, ſanctus Pro-
„ phetiæ Spiritus hæc per ſacram
„ Prophetæ linguam effatus eſt. „
** 7. *Deus conteret dentes eorum in ore ipſorum.* Veruntamen qui vniuerſa curæ habet, eius machinationes contra nos vanas et irritas reddet. *Dentes molares leonum confringet Dominus.* Et in ſuperiori pſalmo *catulos leonum* ipſos nominauit, et hîc *leones.* Idcirco et dentium, et molarium dentium meminit. Ceterum molares dentes vocat interiores, quibus comminuere cibum ſolemus. Per hæc igitur et illa oſtendit, Deum rerum omnium

„ καὶ Υἱῷ ἐν ἁγίῳ Πνεύματι· καὶ οὕτως
„ τὴν ἀδιαίρετον ἀεὶ ὡσαύτως ἔχουσαν
„ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι
„ προσκυνουμένην θεότητα εἰς τριθεΐαν
„ παραλαμβάνουσιν, μᾶλλον δὲ παραδι-
„ δόασι μέγαν καὶ σμικρὸν καὶ σμικρότε-
„ ρον· ἀνισότητος ζυγῷ γλώττῃ μεμηνυίᾳ
„ τὴν ἀζυγώτατον ὡς οἴονται διατέμνον-
„ τες τῆς ἀχράντου θεότητα Τριάδος,
„ καὶ τὴν ἐν οὐσίᾳ μιᾷ, ἐν βασιλείᾳ, ἐν
„ κυριότητι, ἐν θεότητι, ἐν δυνάμει, ἐν
„ δημιουργίᾳ, καὶ ὅσα πρέπει τῇ αὐτῆς
„ μακαριότητι· τὸν μὲν Θεὸν καὶ βασι-
„ λέα, τὸν δὲ Κύριον καὶ ὑπουργὸν ἐκεί-
„ νου καὶ ποίημα πρὸ τῶν ἄλλων παρ'
„ αὐτοῦ γενόμενον, τὸ δὲ δοῦλον καὶ ὑ-
„ πουργὸν τοῦ υἱοῦ, τολμηρῶς οἱ δείλαιοι
„ ἀποκαλεῖν πεφύκασι· πρὸς οὓς μάλι-
„ στα εἴρηται ἡ προφητεία· οὐ γὰρ πρὸς
„ τὸν Σαοὺλ μόνον καὶ τοὺς κατ' αὐτὸν
„ εἴρηκεν τὸ τῆς προφητείας πανάγιον
„ πνεῦμα διὰ τῆς σεπτῆς γλώττης τοῦ
„ Προφήτου. „ ζ'. Ὁ 1) Θεὸς 2) συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι 3) αὐτῶν. Ἀλλὰ γὰρ ὁ τῶν ὅλων 4) ἐπόπτης ἀργὰς 5) αὐτοῦ 6) δείξει τὰς καθ' ἡμῶν 7) μηχανάς. τὰς μύλας τῶν λεόντων 8) συνέθλασεν ὁ Κύριος. καὶ ἐν τῷ προτεταγμένῳ ψαλμῷ σκύμνους αὐτοὺς ὠνόμασε, καὶ ἐνταῦθα λέοντας· τούτου χάριν, καὶ ὀδόντων 9) καὶ μυλῶν ἐμνημόνευσε· μύλας δὲ καλεῖ, τοὺς ἐνδοτέρους ὀδόντας, οἷς λεπτύνειν εἰώθαμεν τὴν τροφήν. διὰ τούτων μέντοι κἀκείνων 10) ἐδίδαξεν, ὡς ὁ τῶν ὅλων Θεὸς τὰς παντο-

1) Θεός. Cod. 1. add. λέγων. 2) Rec. lectio eſt συνέτριψεν. Hebr. הֲרָס־ contere. 3) αὐτῶν. Cod. 1. add. καὶ μικρὸν ὕστερον ἀκούσεσθε καὶ τὰ ἑξῆς. „ Et poſt pauca audietis etiam quæ ſequuntur. „ 4) ἐπόπτης. Cod. 2. δεσπότης. 5) αὐτοῦ. Cod. 1. 2. αὐτῶν. 6) Cod. 2. ἔδειξε. 7) μηχανάς. Cod. 1. add. καὶ τὰς κατὰ τῆς εὐσεβείας αὐτῆς. 8) συνέθλασεν. Hebr. נְתֹץ. Legendum eſſe συνεθλάσειεν, obſeruatur apud CORD. T. II. p. 124. 9) καί. Abeſt a Cod. 2. 10) Cod. 1. ἔδειξεν.

παντοδαπαῖς αὐτῶν 1) διαβολαῖς 2) διαλύσει. ή. Ἐξουδενωθήσονται 3) ὡσεὶ ὕδωρ διαπορευόμενον. Εὐκαταφρόνητοί φησιν ἔσονται, ὕδατι παραπλησίως ἐσκεδασμένῳ, καὶ παντελῶς ἀχρήστῳ. 4) ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν. οὐ 5) παύεται γὰρ βάλλων αὐτοὺς ταῖς τιμωρίαις, 6) μέχρις αὐτῶν 7) καταλύσει τὴν δύναμιν. 8) „τῆξιν αὐτῶν „καὶ διάλυσιν ἐπάγων.„ θ. Ὡσεὶ 9) κηρὸς τακεὶς ἀνταναιρεθήσονται, 10) „τῆς θανατικῆς φθασάσης αὐτοὺς „διαπύρου καταιγίδος·„ 11) ἔπεσε πῦρ 12) ἐπ᾽ αὐτοὺς, καὶ οὐκ εἶδον τὸν ἥλιον. Δίκην δὲ κηροῦ 13) πυρὶ πελάζοντος καὶ τηκομένου διαλυθήσονται, καὶ τῆς ζωῆς στερηθήσονται. τοῦτο γὰρ εἶπε, καὶ οὐκ εἶδον τὸν ἥλιον· ὡς τῶν τελευτώντων τὴν ἡλιακὴν 14) οὐ δυναμένων ἰδεῖν ἀκτῖνα. ί. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας 15) ὡσεὶ ἐν ὀργῇ 16) καταπίεται 17) αὐτούς. Ὁ 18) δὲ Σύμμαχος σαφέστερον τοῦτο ἡρμήνευσε· πρὶν ἢ αὐξηθῶσιν αἱ ἄκανθαι ὑμῶν, ὥστε γενέσθαι ῥάμνον, ἔτι 19) ζῶντας 20) ὡς ὁλόξηρον 21) λαίλαψ 22) ἀρεῖ. ὃ δὲ λέγει,

conditorem vniuersas eorum fraudes esse dissoluturum. 8. *Ad nihilum redigentur, tanquam aqua decurrens.* Abiecti, ait, erunt, instar aquæ dissipatæ, et penitus inutilis. *Intendit arcum suum, donec infirmentur.* Non cessabit enim pœnas ipsis infligere, donec eorum potentiam rescindat, „ liquefactionem et dissolutionem „ illis inferens. „ 9. *Sicut cera, quæ diffluit, auferentur,* „ letifera in eos irruente turbine „ vehementissima: „ *supercecidit ignis, et non viderunt solem.* Consumentur autem veluti cera igni admota et liquefacta, et vita priuabuntur. Hoc enim dixit, *Et non viderunt solem*, quia mortui solis radium intueri nequeunt. 10. *Priusquam intelligerent spinæ vestræ rhamnum, sicut viuentes, sic in ira absorbet eos.* Symmachus manifestius expressit, Priusquam spinæ vestræ crescant ita vt fiant rhamnus, adhuc viuentes, tanquam penitus siccum, turbo tollet. Quod autem dicit,

 hoc

1) διαβολάς. Cod. 1. ἐπιβουλάς. 2) διαλύσει. Cod. 1. add. καὶ ὅρα, πῶς. „ Et vide, quomodo? „ 3) ὡσεί. Rec. lectio est ὡς. Hebr. כמו־מים יתהלכו־למו. *Symm.* ὡς ὕδωρ παρερχόμενον ἑαυτῷ. 4) ἐντενεῖ — ἀσθενήσουσιν. *Symm.* hunc obscurum locum ita interpr. ὁ τείνων τὸ τόξον αὐτοῦ θορυβηθήτω ὡς τὰ θρυπτόμενα, „ qui tendit arcum suum, turbetur vt quæ fracta sunt. „ 5) Cod. 2. παύσεται. 6) μέχρις. Cod. 1. 2. addunt ἄν. 7) Cod. 1. καταλύσῃ. 8) E Cod. 1. suppl. 9) κηρός. Hebr. שַׁבְּלוּל *limax.* 10) E Cod. 1. suppl. 11) ἔπεσε — αὐτούς: Hebr. נפל אשׁת. Reliqui Interpr. ἔκτρωμα γυναικός. 12) ἐπ᾽ αὐτούς. Exstat tantum in ed. *ald.* et *compl.* 13) πυρὶ πελάζοντος. Cod. 2. περιεμπελάζοντος, pro πυρὶ ἐμπελάζοντος, vt videtur. 14) οὐ — ἀκτῖνα. Cod. 1. ἀκτῖνα οὐ δεδυνημένων ἰδεῖν. Sequitur εἶτα φησί. 15) Cod. 2. ὡς. 16) καταπίεται. Hebr. ישׂערנו *turbine abripiet eum.* 17) αὐτούς. Rec. lectio est ὑμᾶς. 18) δέ. Abest a Cod. 1. 2. 19) Apud MONTF. in Hexapl. leg. ζῶντα. 20) ὡς — ἀρεῖ. Cod. 1. ὁλοκλήρους λαίλαψ πυρὸς καταναλώσει ὑμᾶς, ἥπερ τοῦ Θεοῦ ἐπαγομένη δίκη, „ vos adhuc in integritate constitutos turbo ignis, scilicet vindicta diuina, consumet. „ 21) λαίλαψ ἀρεῖ. Ita fere *Aqu.* λαιλαπίσει. 22) Cod. 2. αἴρει.

hoc est. Omne quidem peccatum *spinam* sacræ literæ nuncupant: rhamnus autem spina est, sed maxima, et arborem æmulans, „ acerrimumque venenum „ emittens. „ Minatur igitur vaticinatio et Sauli, et eius asseclis, celerem pœnam. Priusquam enim, ait, malitia vestra crescat, vt rhamno similis sit, hoc est, maximæ spinæ, „ quæ est maxime detestanda malitia, „ plaga a Deo inflicta vos disperdet, et vanos efficiet. Hoc enim dixit, *absorbet.* Quemadmodum enim quod „ per dentes molares comminuitur et „ absorbetur, deinceps non apparet: sic vos, ait, obliuioni trademini: quod reuera accidit. Nam paulo post in alienigenarum bello vulnere accepto, non amplius Saul malitiam auxit, sed inuitus bellum contra Dauidem diremit. 11. *Lætabitur iustus, cum viderit vindictam, manus suas lauabit in sanguine peccatoris.* * Lætatur autem virtutis studiosus, cum malitiæ operarium suppliciis affectum videt: non illudens illi, sed diuinam cernens prouidentiam, quæ nolit despicere ab illis iniuria affectos. Manus autem suas lauat, non sanguine has cruentans et maculans: sed ostendens se innocentem, et ab illius

1) τȣτό ἐςι. πᾶσαν μὲν ἁμαρτίαν 2) ἄκανθαν ἡ θεία γραφὴ καλεῖ· ἡ δὲ ῥάμνος ἄκανθα 3) μέν ἐςι· μεγίςη δὲ, καὶ δένδρον μιμουμένη, 4) „ καὶ ἰὸν χαλεπώ„ τατον βάλλουσα. „ ἀπειλεῖ τοίνυν ἡ πρόῤῥησις, καὶ τῷ Σαούλ, καὶ τοῖς ἐκείνȣ 5) συνεργοῖς, ταχεῖαν τὴν τιμωρίαν. πρὶν γάρ 6) φησιν αὐξηθῆ ὑμῶν ἡ πονηρία, ὥςε ῥάμνῳ ἀπεικασθῆναι, τȣτ' ἔςι, τῇ μεγίςῃ ἀκάνθῃ, 7) „ ἥτις ἐςὶ φαυλοτά„ τη κακία, „ θεήλατος ὑμᾶς πληγὴ καταλήψεται, καὶ φρούδους ἐργάσεται. τȣτο γὰρ εἶπε καταπίεται· καθάπερ γὰρ τὸ 8) „ ὑπὸ τῶν μυλῶν τῶν ὀδόντων „ λεπτυνόμενον καὶ „ καταπινόμενον ἀφανὲς λοιπὸν γίνεται, οὕτω καὶ ὑμεῖς φησὶ παραδοθήσεσθε λήθῃ. ὅπερ δὴ καὶ συνέβη· μετ' ὀλίγον γὰρ χρόνον, ἐν τῷ τῶν ἀλλοφύλων πολέμῳ δεξάμενος τὴν πληγὴν, ȣ̓κ ἔτι τὴν πονηρίαν ἐπηύξησεν 9) „ ὁ Σαοὺλ „ ἀλλ' ἄκων τὸν κατὰ τȣ Δαβὶδ κατέλυσε πόλεμον. ιά. Εὐφρανθήσεται δίκαιος, ὅτ' ἂν ἴδῃ 10) ἐκδίκησιν· τὰς χεῖρας αὐτȣ νίψεται ἐν τῷ αἵματι τȣ ἁμαρτωλοῦ. Εὐφραίνεται δὲ ὁ τῆς ἀρετῆς φροντιςὴς, τὸν τῆς κακίας ἐργάτην 11) ὁρῶν κολαζόμενον· οὐκ 12) ἐπιτωθάζων ἐκείνῳ, ἀλλὰ τὴν θείαν 13) ὁρῶν προμήθειαν, παρορᾷν ȣ̓κ ἀνεχομένην τȣς ὑπ' ἐκείνων ἀδικουμένους· τὰς δὲ χεῖρας αὐτȣ νίπτεται, οὐ τῷ αἵματι ταύτας φοινίττων καὶ μολύνων· 14) ἀλλὰ δεικνὺς ἑαυτὸν ἀθῷον, καὶ τῆς ἐκείνου πονη-

1) Cod. 1. τοιοῦτο. 2) Cod. 1. ἄκανθα. 3) μὲν et deinde δὲ καὶ def. in Cod. 1. vbi etiam Colon ad vocem ἐςὶ non adponitur. 4) E Cod. 1. suppl. 5) συνεργοῖς. Cod. 1. add. καὶ τοῖς ἀνωτέρω ἡμῖν εἰρημένοις αἱρεσιάρχαις. 6) φησί. In Cod. 1. 2. ponitur post αὐξηθῇ. 7) E Cod. 1. 8) E Cod. 1. 9) E Cod. 1. suppl. In eodem sequitur: εἴρηται ἡμῖν πολλάκις καὶ περὶ τῶν τὴν ἐκείνου νόσον νενοσηκότων. „ Dictum iam est sæpius a nobis de illis qui eodem, quo ille, morbo laborarunt. „ 10) ἐκδίκησιν. In Textu τῶν ό. sequitur ἀσεβῶν. Cod. 1. add. τοῦ ἀσεβοῦς, φησί. 11) ὁρῶν κολαζ. Cod. 1. κολαζόμενον θεώμενος. 12) Cod. 2. ἐπιτωθάζειν. 13) ὁρῶν. Def. in Cod. 2. 14) ἀλλά, Cod. 2. add. καί.

πονηρίας κεχωρισμένον· ὐ γὰρ, ὥς τινες
ὑπέλαβον, ἐν τῷ αἵματι νίπτεται,
1) ἀλλ᾽ ἐπὶ τῷ αἵματι νίπτεται, ὡς ὐδε-
μίαν πρὸς ἐκεῖνον ἐσχηκὼς κοινωνίαν.
β΄. Καὶ ἐρεῖ ἄνθρωπος, 2) εἰ ἄρα ἐςὶ
καρπὸς τῷ δικαίῳ· ἄρα ἐςὶν ὁ Θεὸς κρί-
νων αὐτὺς ἐν τῇ γῇ. Τὸ ἄρα ἐνταῦθα
ἀποφαντικῶς κεῖται· λέγει δὲ, ὅτι πᾶς
ὁρῶν τὸν δυσσεβείᾳ συνεζηκότα ποινὴν
τίσαντα κατὰ τόνδε τὸν βίον, ὁμολογή-
σει καὶ Θεὸν εἶναι, καὶ ἐφορᾷν τὰ γινό-
μενα, καὶ σοφῶς ἅπαντα 3) πρυτανεύ-
ειν· καὶ τοῖς μὲν δικαίοις τοὺς 4) κατ᾽ αλ-
λήλους ἀπονέμειν καρποὺς, 5) τὺς δὲ
6) τἀναντία προελομένους δίκας εἰσ-
πράττειν, καὶ τὰς 7) ἀξίας τιμωρίας
8) ἐπάγειν.

malitia seiunctum. Non enim,
vt quidam suspicati sunt, in san-
guine lauatur, sed propter san-
guinem lauatur, vt qui nullam
communionem cum illo habue-
rit. 12. *Et dicet homo, sicci-
ne vtique est fructus iusto? vtique
est Deus iudicans eos in terra.*
Illud *vtique* affirmatiue positum
est. Dicit autem, fore vt omnis
homo videns impium in hac vi-
ta pœnam pendere, confessurus
sit, et Deum esse, et omnia,
quæ fiunt, inspicere, et cuncta
sapienter moderari, et iustis
quidem congruentes fructus re-
tribuere, ab iis autem qui secus
viuunt, pœnas exigere, et dignis
eos suppliciis afficere.

ΕΡΜΗΝ. ΤΟΥ νή ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ
Δαβὶδ εἰς ςηλογραφίαν· ὁπότε
ἀπέςειλε Σαοὺλ, καὶ ἐφύλαξε τὸν οἶ-
κον αὐτῦ τῦ θανατῶσαι αὐτόν. Φθόνῳ
δουλεύων ὁ Σαοὺλ τὸν τῦ Δαβὶδ ἐτύρευε
θάνατον· καί ποτε συνεςιώμενον ἠβου-
λήθη κατακοντίσαι τῷ δόρατι· ἐκκλί-
ναντα δὲ, καὶ διαφυγόντα τὸν θάνα-
τον, ἐπεχείρησε πάλιν χειρώσασθαι,
καί τινας ἀποςείλας, τὴν οἰκίαν 9) φρυ-
ρῆσαι προσέταξε, προφανῆ τὴν δυσμέ-
νειαν δείξας. 10) ἀλλ᾽ ἡ μὲν τοῦ Δαβὶδ
γαμετὴ, τῦ δὲ Σαὺλ θυγάτηρ, γνώρι-
μον 11) μὲν τῦτο ποιεῖ τῷ 12) ὁμοζύγῳ,

INTERP. PS. LVIII.

1. *In finem. Ne corrumpas, ipsi
Dauidi, in tituli inscriptio-
nem. Quando misit Saul, et cu-
stodiuit domum eius, vt interfice-
ret eum.* Cum Saul inuidiæ
laboraret, mortem Dauidi strue-
bat, et ipsum aliquando simul
conuiuantem telo configere vo-
luit. Cum autem declinasset,
et euitasset mortem, conatus est
rursus eum comprehendere, et
missis quibusdam imperauit vt
domum custodirent, manife-
stas inimicitias demonstrans.
Verum vxor Dauidis, filia
Saulis, viro suo hoc aperuit,
et per

1) ἀλλ᾽ — νίπτεται. Des. in Cod. 1. 2) εἰ. Abest a Cod. 2. 3) πρυτανεύειν. Cod. 1.
add. εἰδότα. 4) Cod. 2. κατ᾽ ἀλλήλων. 5) τοὺς — προελομένους. Cod. 1. τοῖς —
προελομένοις. 6) Cod. 2. τὰ ἐναντία. 7) ἀξίας. Cod. 2. add. αὐτοῖς. 8) ἐπά-
γειν. Cod. 1. addit: οἶμαι δὲ μηδὲν διεψευσμένον καὶ ἐν τῇ παρούσῃ ᾠδῇ εἰρηκέναι·
διὰ τὸ ὡς ἔπος εἰπεῖν πάντη μέχρι τοῦ παρόντος τὰ ἴσα ὁρᾷν δρῶντας τινάς. „ Puto
autem, nihil veritati contrarium in hac Oda dixisse Dauidem: quia vbi-
que terrarum, et vt ita dicam, ad hunc vsque diem videre licet quosdam
simili modo agentes. „ 9) Cod. 2. φρουρεῖσθαι. 10) ἀλλ᾽ — θυγάτηρ. Cod. 1.
ἀλλ᾽ ἡ τοῦ Σαὺλ θυγάτηρ, γαμετὴ δὲ τοῦ Δαβίδ. 11) μέν. Abest a Cod. 3.
12) Cod. 1. ὁμόζυγι.

et per fenestram ipsi fugæ occasionem fecit. Porro sumtis cenotaphiis, (sic enim historia docet,) a) lecti speciem expressit, et ægrotantis imaginem vestibus composuit, et procul ostendit iis qui domum custodire iussi erant, dicens Dauidem morbo quodam detineri. Hæc quidem nocte facta sunt: exorta vero luce, patuit Sauli et eius *apparitoribus figmentum illud. Tunc igitur beatus Dauid cum insidias illas declinasset, hunc conscripsit psalmum. Verum de illis, quæ tunc acciderunt, pauca verba facit: plura autem prædicit, diuini spiritus radiis illustratus, Iudæorumque præuidens rabiem aduersus Saluatorem Deum nostrum. * Etenim Iudæi per milites Domini sepulcrum custodientes, exorta luce, vestimenta quidem inuenerunt, mortuum vero, qui custodiebatur, non amplius viderunt: resurrexit enim mortis imperio destructo. Proprias igitur insidias beatus Dauid videns, et præuidens, Deum Israëlis et opificem mundi omniumque Dominum, qui ex ipso secundum carnem oriturus erat, grauiora a Iudæis passurum esse, prædicit gentium vocationem, et Iudæorum dispersionem. 2. *Eripe me de inimicis meis Deus mi: et ab*

καὶ διά τινος αὐτὸν ἀποδρᾶναι παρασκευάζει φωταγωγοῦ· 1) τὰ κενοτάφια δὲ λαβοῦσα· οὕτω γὰρ ἡ ἱστορία διδάσκει· σχηματίζει τὴν κλίνην, καὶ ἀῤῥωστοῦντος εἰκόνα διὰ τῶν ἱματίων 2) διατυποῖ καὶ δείκνυσι πόῤῥωθεν τοῖς 3) φρουρῆσαι προστεταγμένοις, ὑπό τινος τὸν Δαβὶδ ἐνοχλεῖσθαι νοσήματος λέγουσα· ταῦτα μὲν νύκτωρ ἐγένετο· ἡμέρας δὲ γενομένης, 4) κατάδηλον 5) τῷ Σαοὺλ καὶ τοῖς δορυφόροις τὸ δρᾶμα 6) ἐγένετο· τηνικαῦτα τοίνυν ὁ μακάριος Δαβίδ, τὴν ἐπιβουλὴν ἐκείνην διαφυγὼν, τὸν ψαλμὸν τοῦτον συνέγραψεν. ἀλλὰ τῶν μὲν τότε γενομένων ὀλίγα λέγει, τὰ δὲ πλείονα προλέγει, τοῦ θείου πνεύματος τὴν αἴγλην δεξάμενος· καὶ τὴν κατὰ τοῦ σωτῆρος 7) „Θεοῦ„ ἡμῶν 8) τῶν Ἰουδαίων προθεασάμενος λύτταν. καὶ γὰρ οἱ Ἰουδαῖοι τὸν 9) δεσποτικὸν διὰ στρατιωτῶν φυλάξαντες τάφον, ἡμέρας γενομένης, τὰ μὲν ἱμάτια εὗρον, τὸν δὲ φυλαττόμενον οὐκ ἔτι εἶδον νεκρόν· ἀνέστη γὰρ καταλύσας τοῦ θανάτου 10) τὸ κράτος. τὰς οἰκείας τοίνυν ἐπιβουλὰς βλέπων ὁ μακάριος Δαβίδ, καὶ προθεώμενος 11) ὡς ὁ Θεὸς Ἰσραὴλ, ὁ 12) δημιουργὸς, καὶ πάντων Δεσπότης, 13) ὁ ἐξ αὐτοῦ κατὰ σάρκα, χαλεπώτερα παρὰ 14) Ἰουδαίων πείσεται, προλέγει καὶ τῶν ἐθνῶν τὴν κλῆσιν, καὶ τὴν τῶν Ἰουδαίων διασποράν. β. Ἐξελοῦ 15) με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεὸς, καὶ ἐκ τῶν

1) τὰ κενοτάφια. Vid. p. 385. n. 2. 2) διατυποῖ. Cod. 2. δηλοῖ. 3) Cod. 2. φρουρεῖσθαι. 4) κατάδηλον. Cod. 1. et 2. κατέστη δῆλον. 5) τῷ. Cod. vterque præm. καί. 6) ἐγένετο. Abest ab vtroque Cod. 7) E Cod. 1. suppl. 8) τῶν Ἰουδαίων. Des. in Cod. 1. 9) δεσποτικόν. Cod. 1. habet θεοδόχον. 10) τὸ κράτος. Cod. 2. τὴν τυραννίδα. 11) ὡς — χαλεπώτερα. Cod. 2. ὡς καὶ ὁ ἐξ αὐτοῦ κατὰ σάρκα γεννηθῆναι μέλλων Χριστὸς ὁ Θεὸς ἡμῶν καὶ χαλεπώτερα. In Cod. 1. post ὡς sequitur καί. 12) δημιουργός. Cod. 1. add. πρὸ τῶν αἰώνων καὶ τῶν αἰώνων. 13) ὁ — σάρκα. Cod. 1. μετὰ τὴν ἑαυτοῦ κατὰ σάρκα οἰκονομίαν. 14) Cod. 2. Ἰουδαίοις. 15) με. Cod. 1. add. λέγων.

a) 1 Reg. 19, 16.

ἐκ τῶν ἐπανισαμένων ἐπ' ἐμέ, 1) λύτρωσαί με. Δικαία τοῦ προφήτου ἡ αἴτησις· ἀπαλλαγῆναι γὰρ τῶν ἀδίκως πολεμούντων ἱκέτευσεν. εἶτα τὸν τούτων διηγεῖται σκοπόν. γ'. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με. Μιαιφόνοι, φησίν, οἱ πολέμιοι καὶ παράνομοι, οἷς οὐδ' ἥν τινα ζῆν προσενήνοχα βλάβην. δ'. Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου· ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. Παντοδαποῖς χρώμενοι μηχανήμασιν ἀνελεῖν με πειρῶνται, τῇ οἰκείᾳ δυνάμει θαῤῥοῦντες. 2) ἀλλ' εἰκὸς αὐτοὺς προηδικημένους τὴν τιμωρίαν 3) ζητεῖν. ε'. Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου Κύριε. Οὐδέν φησι 4) παρ' ἡμῶν εἰς αὐτοὺς γεγένηται λυπηρόν· οὐδέτι ἐγκαλεῖν ἔχοντες, τὸν ἐμὸν 5) κατ[τ]ύουσι θάνατον. Ἄνευ ἀνομίας ἔδραμον καὶ 6) κατεύθυνα. ταῦτα ἀληθέστερον οὐ τῷ Δαβὶδ ἁρμόττει, ἀλλὰ τῷ ἐκ Δαβίδ, καὶ 7) τῷ Κυρίῳ τοῦ Δαβίδ. ἐκεῖνος γὰρ μόνος ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. 8) „οὐδεὶς γὰρ δίχα „ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός· αὐτός γε „οὗτος ὁ ἐκ Δαβὶδ διὰ πολλὴν φιλαν„θρωπίαν σαρκωθείς.„ ὡς ἐν τύπῳ δὲ, καὶ ὁ μακάριος ταῦτα λέγει Δαβὶδ οὐ τὸ παντελῶς ἀναμάρτητον ἑαυτῷ 9) μαρτυρῶν, ἀλλὰ διδάσκων ὡς οὐδὲν τὸν Σαοὺλ ἀδικήσας, ἀλλὰ πολλὰ καὶ πολλάκις εὐεργετήσας, τὰς παντοδαπὰς ἐπιβουλὰς ὑπομένει. 10) καὶ μὴ οὔσης ἀ-

insurgentibus contra me libera me. Iustæ prophetæ preces fuerunt: nam ab iniuste oppugnantibus liberari postulauit. Deinde horum propositum narrat. 3. *Eripe me de operantibus iniquitatem, et de viris sanguinum salua me.* Homicidæ, inquit, hostes et iniqui sunt, quibus ne minimam quidem offensionem inieci. 4. *Quia ecce ceperunt animam meam, irruerunt in me fortes.* Omnis generis machinationibus vtentes, perdere me conantur, propria potentia freti: sed par est, ipsos prius iniuria lacessitos vindictam quærere. 5. *Neque iniquitas mea, neque peccatum meum Domine.* Nulla, inquit, molestia in ipsos a nobis profecta est: cum me arguere nullius culpæ possint, meam mortem moliuntur. *Sine iniquitate cucurri, et direxi.* Hæc verius non Dauidi congruunt, sed filio et Domino Dauidis. Ille enim *a*) solus peccatum non fecit, neque dolus inuentus est in ore eius. „nemo enim est „sine peccato, nisi vnicus Deus: „hic autem est ille qui pro „summo erga homines amore „humanam e Dauide assumsit „naturam.„ Ceterum tanquam in figura beatus Dauid hæc dicit, non omnino testificans seipsum liberum a peccatis esse, sed docens, se, cum Saulem nulla iniuria affecisset, sed multa sæpius beneficia in eum contulisset, omnis generis insidias esse perpessum. Et cum nullum sit peccatum,

1) λύτρωσαί με. Hebr. תְשַׂגְּבֵנִי. Syr. *eleua me.* 2) ἀλλ' — ζητεῖν. Def. in Cod. 2. 3) ζητεῖν. Cod. 1. add. διὸ δὴ λέγει. 4) παρ' — αὐτούς. Cod. 1. εἰς αὐτοὺς παρ' ἐμοῦ. Pro ἡμῶν etiam Cod. 1. habet ἐμοῦ. 5) κατ[τ]ύουσι Cod. 2. τυρεύουσι. 6) κατεύθυνα. Hebr. יְכוֹנָנוּ. *Syr.* bene, *parant contra me.* GRABIVS in sua τῶν ό. editione posuit κατεύθυναν, sed sine Codicum autoritate. 7) τῷ. Abest a Cod. 1. 2. 8) E Cod. 1. suppl. 9) Cod. προσμαρτυρῶν. 10) καὶ — ἀθῶον. Def. in Cod. 2.

a) 1 Petr. 2, 22.

catum, accurrunt vt discerpant eum, a quo nulla iniuria læsi sunt. Sic autem quoque Symmachus interpretatus est, *Cum peccatum non sit, sic currunt vt percutiant.* 6. *Exsurge in occursum meum, et vide.* Te enim, ait, vt huius iudex sis, obsecro, qui omnia aperte scis. *Et tu Domine Deus virtutum, Deus* * *Israel, * intende ad visitandas omnes gentes.* Cum eum solum peccati expertem esse sciret, qui ex ipso secundum carnem descensurus erat, furoremque in ipsum contribulium Iudæorum prospiceret, dominum virtutum, Deumque Israelis orat, vt Iudæos abiectos relinquat, et in gentes omnem prouidentiam transferat, et lumine diuinæ cognitionis illuminet. Cum autem hæc gentibus annunciasset, Iudæorum supplicium prædicit. *Ne miserearis omnium, qui operantur iniquitatem.* Quoniam enim propheticis oculis crucem intuebatur, et audire sibi videbatur Dominum gloriæ dicentem, a) Pater veniam da illis,

μαρτίας, κατ᾽ αὐτῦ ἐπιτρέχυσιν, ἵνα διαρπάζωσι τὸν περὶ αὐτῦς γενόμενον ἀθῶον. ὕτω δὲ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· μὴ ὔσης ἁμαρτίας, 1) ὕτω 2) τρέχυσιν, ἵνα 3) πατάξωσιν. ε΄. 4) Ἐξεγέρθητι εἰς συνάντησίν μυ, καὶ ἴδε. Σὲ 5) δὲ 6) τύτυ, φησὶν, ἱκετεύω γενέσθαι κριτὴν, τὸν ἅπαντα σαφῶς ἐπιστάμενον. καὶ σὺ 7) Κύριε ὁ Θεὸς τῶν δυνάμεων, 8) ὁ Θεὸς τῦ 9) Ἰσραὴλ, πρόσχες τῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη. τὸ ἀναμάρτητον ἐν μόνῳ θεωρήσας 10) τῷ ἐξ αὐτῦ κατὰ σάρκα, καὶ τὴν τῶν ὁμοφύλων Ἰυδαίων κατ᾽ αὐτῦ μανίαν προθεωρήσας τῷ πνεύματι, τὸν 11) τῶν δυνάμεων Κύριον, καὶ τῦ Ἰσραὴλ ἱκετεύει Θεὸν, καταλιπεῖν μὲν Ἰυδαίυς 12) ἀτημελήτυς, πᾶσαν δὲ εἰς τὰ ἔθνη μεταθεῖναι τὴν πρόνοιαν, καὶ τῷ τῆς θεογνωσίας καταυγάσαι φωτί. ταῦτα δὲ τοῖς ἔθνεσιν 13) ἀπαγγείλας, καὶ τὰς Ἰουδαίων τιμωρίας προλέγει. μὴ οἰκτειρήσης 14) πάντας τὺς ἐργαζομένυς τὴν ἀνομίαν. ἐπειδὴ 15) γὰρ τοῖς προφητικοῖς ὀφθαλμοῖς τὸν σαυρὸν ἑώρα, καὶ ἐπαΐειν ἐδόκει τῦ Κυρίυ 16) „τῆς „δόξης„ λέγοντος, πάτερ ἄφες αὐτοῖς τὴν

1) ὕτω. Def. apud MONTF. in Hexapl. ad h. l. 2) τρέχυσιν. Cod. 2. προσέχυσι. Apud MONTF. l. c. leg. ἐπιτρέχυσιν. 3) πατάξωσιν. MONTF. l. c. præter hanc adducit aliam lectionem, scil. ἑλκύσωσι. 4) Ἐξεγέρθητι. Cod. 1. præm. δὴ τῦτο. 5) δέ. Cod. 1. γάρ. 6) Cod. 2. τῦτο. 7) Κύριε. Cod. 1. addit φησί. 8) ὁ Θεός. Cod. 1. præm. καὶ πάλιν. 9) Ἰσραήλ. Cod. 1. addit: ἰδὺ καὶ πάλιν τῦ ἀδιαιρέτυ τῶν τριῶν ὑποστάσεων τῆς παναγίυ Τριάδος μέμνηται. „Et ecce iterum arctissimi nexus trium sacrosanctæ Trinitatis personarum meminit.„ 10) τῷ — σάρκα. Cod. 1. τῷ ἐξ αὐτῦ διὰ πολλὴν φιλανθρωπίαν σαρκωθέντι Θεῷ. 11) τῶν δυνάμ. Κύριον. Cod. 1. præm. τῦ Σωτῆρος καὶ Θεῦ ἡμῶν πατέρα καὶ „Saluatoris Deique nostri Patrem, et„ 12) ἀτημελήτυς. Cod. 1. add. ἀποστάντας ἀπ᾽ αὐτῦ· ὁ γὰρ μὴ τῷ υἱῷ πιστεύων δῆλον ὅτι ὐδὲ εἰς τὸν Πατέρα πιστεύει. „qui defecerunt ab illo: eum enim qui in Filium non credit, neque in Patrem credere, manifestum est. 13) Cod. vterque ἐπαγγείλας, adscripta tamen in Cod. 1. lectione altera. 14) πάντας. Cod. 1. præm. γάρ φησι. 15) γάρ. Def. in Cod. 2. 16) E Cod. 1. suppl. Eandem lectionem habuit *Carafa*.

a) Luc. 23, 34.

1) τὴν ἁμαρτίαν, οὐ γὰρ οἴδασι τί ποιοῦσι· βδελυττόμενος τὴν τῆς ἀσεβείας ὑπερβολὴν, 2) μηδεμιᾶς αὐτοὺς ἀπολαῦσαι 3) συγγνώμης ἀντιβολεῖ. εἶτα τῆς πνευματικῆς τροφῆς τὴν ἐσομένην αὐτοῖς ἔνδειαν προθεσπίζει. ζ΄. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ 4) λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Καθάπερ γάρ φησι κύνες νύκτωρ εἰώθασι τὰς τῶν 5) πόλεων περινοστεῖν ἀγορὰς, γαστρὸς ὑπ' ἐνδείας τοῦτο ποιεῖν βιαζόμενοι· οὕτως οὗτοι πάσης πνευματικῆς γυμνοὶ γενήσονται προμηθείας· καὶ οὔτε προφητικῆς 6) ἀπολαύσαντες χάριτος, καὶ τῆς ἀρχιερατικῆς ἐπιμελείας ἔρημοι πάμπαν 7) γενήσονται· καὶ δίκην 8) κυνὸς περιιόντες 9) διατελοῦσιν, οὐδὲ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, κατὰ τὴν εὐαγγελικὴν φωνὴν, μεταλαχεῖν ἀξιούμενοι. 10) „εἶτα σαφέστερον τῆς τιμωρίας „τὴν αἰτίαν διδάσκει.„ η΄. Ἰδοὺ 11) αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν· ὅτι τίς ἤκουσεν; 12) Τῇ γλώττῃ, φησὶ, 13) τὸν φόνον ἐργάζονται, οἷόν τινα αἰχμὴν καὶ ῥομφαίαν, τοὺς λόγους προφέροντες· μαρτυρεῖ δὲ τοῖς λόγοις τὰ πράγματα. τῇ γὰρ γλώττῃ τὸν Δεσπότην ἐσταύρωσαν βοήσαντες, 14) αἶρε, αἶρε, σταύρωσον αὐτόν· τὸ αἷμα 15) αὐτοῦ ἐφ'

non enim ſciunt quid faciant; impietatis exceſſum exſecrans, vt nullam veniam conſequantur, obſecrat: deinde ſpiritualis cibi inopiam, quæ ipſis futura ſit, vaticinatur. 7. *Reuertentur ad veſperam, et famem patientur vt canis, et circuibunt ciuitatem.* Quemadmodum enim, ait, canes vrbium plateas noctu obire ſolent, coacti hoc facere ob ventris neceſſitatem: ſic iſti omni ſpirituali prouidentia priuabuntur, et neque vaticinandi dono potientur, et pontificia cura deſtituti penitus erunt, ac more canis vagari non deſinent, et ne micis quidem, quæ de menſa dominorum decidunt, ſecundum euangelicam vocem, digni fient. Deinde clarius ſupplicii cauſam docet, dicens: 8. *Ecce loquentur ore ſuo, et gladius in labiis eorum, quoniam quis audiuit?* Lingua, inquit, homicidium committunt, velut mucronem quendam et gladium, verba proferentes. Res autem ipſæ verba confirmant. Lingua enim Dominum crucifixerunt, clamantes, *a*) Tolle, tolle, crucifige eum, Et *b*) ſanguis eius ſuper nos,

Bb 5

1) τὴν ἁμαρτίαν. Abeſt ab vtroque Cod. et a loco iſto Luc. 23, 34. 2) Cod. 1. 2. μηδὲ μιᾶς. 3) συγγνώμης. In Cod. 2. ponitur ante ἀπολαῦσαι. 4) λιμώξουσιν. Hebr. יהמו, quod *Symm.* rectius interpretatus eſt συνηχήσουσι, *ſtrepitum edent.* Theodot. et Edit. *quinta*, ἠχήσουσιν. 5) πόλεων. Cod. 2. πολεμίων. 6) Cod. 1. ἀπολαύσονται. 7) γενήσονται. Cod. 1. γενόμενοι. 8) Cod. 1. κυνῶν. 9) Cod. 2. διατελέσουσι. Cod. 1. λιμώξουσιν. 10) Hæc, quæ etiam *Carafa* in verſione ſua expreſſit, ex vtroque Cod. ſuppleuimus. Cod. 1. addit præterea λέγων. 11) αὐτοί. Additur in edit. *ald.* et *compl.* 12) Τῇ γλώττῃ κ. τ. λ. Hæc eadem ſunt cum illis quæ ἀνωνυμεὶ exhibet CORD. p. 158. 13) τὸν φόνον. Deſ. in Cod. 2. 14) αἶρε, αἶρε, Cod. 1. et 2. ἆρον, ἆρον. 15) αὐτοῦ. Cod. 1. addit λέγοντες.

a) Luc. 23, 18. 21. *b*) Matth. 27, 25.

nos, et super filios nostros. Per satellites autem Pilati iuxta verba sua fecerunt, et patibulo saluatorem clauis affixerunt. Hoc et diuinum oraculum dicit, *Ipsi loquentur ore suo, et gladius in labiis eorum, quoniam quis audiuit?* Quoniam verba proferunt, quibus pro gladiis vtuntur. Hæc vero, inquit, faciunt, tanquam nemine inspiciente. Hoc enim declarat, *Quoniam quis audiuit?* Veluti enim nemine nec prospiciente, nec exaudiente ea quæ fiunt, nec pœnas exigente, hæc patrare audent. Hanc enim sententiam Symmachus * explanauit. Nam pro *Quis audiuit*, posuit, *tanquam nemine exaudiente.* Hanc itaque eorum mentem præuidens Dauid adiecit dicens: *9. Et tu Domine deridebis eos.* Illi igitur hæc quidem audent: tu autem et audis, et vides, et eorum vanam insaniam derides. *Ad nihilum reduces omnes gentes.* Non solum enim illos, verum etiam omnes gentes supera-

ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. 1) τῇ δὲ τοῦ Πιλάτου δορυφορίᾳ τοῖς λόγοις τὸ ἔργον ἐπέθεσαν, καὶ τῷ ἰκρίῳ τὸν σωτῆρα προσήλωσαν· τοῦτο καὶ ὁ προφητικὸς ἔφη λόγος· 2) αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν· 3) καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, ὅτι τίς ἤκουσεν; ὅτι οἷς προσφέρουσι λόγοις, ἀντὶ ῥομφαίας κέχρηνται. ταῦτα δέ φησι δρῶσιν, ὡς μηδενὸς ἐφορῶντος· τοῦτο γὰρ δηλοῖ ὅτι τίς ἤκουσεν; ὡς μηδενὸς γὰρ 4) μήτε ὁρῶντος, 5) μήτε ἀκούοντος τὰ γινόμενα, καὶ τὰς εὐθύνας εἰσπράττοντος, οὕτω ταῦτα τολμῶσι. ταύτην 6) γὰρ τὴν διάνοιαν 7) ὁ Σύμμαχος ἡρμήνευσεν. ἀντὶ γὰρ τοῦ ὅτι τίς ἤκουσεν, ὡς μηδενὸς ἀκούοντος τέθεικεν. 8) τοιγαροῦν 9) τοιαύτην αὐτῶν διάνοιαν προθεωρῶν ὁ Δαβὶδ ἐπάγει λέγων· θ'. Καὶ σὺ Κύριε 10) ἐκγελάσεις αὐτούς. 11) Ἐκεῖνοι μὲν 12) οὖν ἐκεῖνα τολμῶσι· σὺ 13) δὲ καὶ ἀκούεις, καὶ βλέπεις, καὶ γελᾷς αὐτῶν τὴν 14) ματαιότητα. 15) ἐξουδενώσεις πάντα τὰ ἔθνη. οὐ μόνον γὰρ ἐκείνων, ἀλλὰ καὶ πάντων τῶν ἐθνῶν περιγενέσθαι

1) *τῇ — δορυφορίᾳ.* Cod. 1. et 2. *οἱ δορυφόροι.* 2) *αὐτοί.* Cod. 1. præm. *ἰδού.* 3) *καὶ — ἤκουσεν.* Hæc omnia Cod. 2. paucis istis complectitur *καὶ τὰ ἑξῆς.* 4) *μήτε.* Abest a Cod. 1. 5) *μήτε.* Cod. 1. *ἤ.* 6) *γάρ.* Abest a Cod. 1, Cod. 2. habet *δέ.* 7) *ὁ.* Cod. 1. et 2. præm. *καί.* 8) *τοιγαροῦν — λέγων.* Des. in Cod. 2. 9) *τοιαύτην.* Cod. 1. præm. *τήν.* 10) Rec. lectio est *ἐκγελάσῃ.* 11) *Ἐκεῖνοι — τολμῶσι.* Cod. 1. *Σὺ ὁ παρ' αὐτῶν σταυρούμενος κατακρινεῖς αὐτοὺς ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ. νῦν μὲν γὰρ μετὰ πολλὴν μακροθυμίαν καὶ τὸ ἑκούσιον πάθος ἐπεύχῃ, πάτερ, λέγων, ἄφες αὐτοῖς, εἰς μετάνοιαν καλῶν· ἐκεῖνοι δὲ διὰ τὴν ἀμετανόητον αὐτῶν βουλὴν λήψονται τὴν περὶ σοῦ ἐν τῇ δικαίᾳ κρίσει ψῆφον τοιαῦτα κατὰ σοῦ τετολμηκότες.* „Tu qui ab illis cruci affixus es, condemnabis eos, si secunda vice veneris. Iam quidem pro multa tua longanimitate et passione sponte suscepta oras, dicens, Pater, veniam da illis, vt ad pœnitentiam eos inuites: illi vero quia omne pœnitentiæ consilium reiecerunt, accipient a te iusto iudicio sententiam, quia tale contra te ausi sunt. „ 12) *οὖν.* Abest a Cod. 2. 13) *δέ.* Cod. 1. *γάρ.* 14) *ματαιότητα.* Cod. 1. et 2. *ματαίαν μανίαν.* 15) *ἐξουδενώσεις.* Hebr. תלעג *subsannabis.* *Symm. ἐπιφθέγξῃ,* vt habet CORD. p. 160. etsi MONTF. tum in Hexaplis ad h. 4. tum in Coll. noua PP. T. 1. p. 268. *Symmacho* tribuat lectionem *ἐπιφράξεις obturabis,* quæ autem est minus apta.

θαι σοι ῥᾴδιον· οὕτω καὶ ὁ θεσπέσιος Ἡσαΐας ἔφη, τὴν τῆς θείας δυνάμεως ὑπερβολὴν δεῖξαι φιλονεικῶν, εἰ πάντα τὰ ἔθνη, ὡς σταγὼν ἀπὸ κάδου, καὶ 1) ὡς ῥοπὴ ζυγοῦ, καὶ ὡς σίελος ἐλογίσθησαν καὶ λογισθήσονται, τίνι 2) ὁμοιώσατε 3) Κύριον; καὶ τίνι ὁμοιώματι 4) ὁμοιώσατε αὐτόν; ί. Τὸ κράτος 5) μου πρὸς σὲ φυλάξω, ὅτι 6) σὺ ὁ Θεὸς ἀντιλήπτωρ 7) μου. Σέ φησιν ἔχω τῆς ἐμῆς δυνάμεως ἀντιλήπτορά τε καὶ φύλακα. τῆς γὰρ σῆς ἀπολαύων προμηθείας διατελῶ. ιά. Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με. Προλαμβάνεις ἀεὶ τὰς αἰτήσεις, ὦ Δέσποτα, καὶ διὰ φιλανθρωπίας ὑπερβολὴν, οὐκ ἀναμένεις τὰς ἱκετείας. ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου. κοινοὺς ἐχθροὺς ὁ προφήτης ἡγεῖται τοὺς τοῦ σωτῆρος ἐχθρούς· εἶτα προλέγει τούτοις 8) τὰ ἐσόμενα. ιβ. Μὴ ἀποκτείνῃς αὐτούς· μή ποτε ἐπιλάθωνται 9) τοῦ νόμου σου. Ἱκετεύω φησὶ μὴ πανωλεθρίαν αὐτοὺς ὑπομεῖναι· εἰσὶ γὰρ ἐν αὐτοῖς πολλοὶ τοῖς τῆς 10) μεταμελείας φαρμάκοις θεραπευόμενοι· ἐν γὰρ τῷ θανάτῳ οὐκ ἔστιν ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; ποίαν τοίνυν αὐτοὺς βούλει τίσαι ποινήν; 11) διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου· καὶ κατάγαγε αὐτοὺς 12) ὁ ὑπερασπιστής μου Κύριε. εἰς πᾶσαν αὐτοὺς 13) φησι σκέδασον τὴν οἰκουμένην, καὶ ποίησον σποράδας καὶ μετανάστας· ἐπειδὴ κακῇ κατά σου κέχρηνται συμφωνίᾳ. τίς δὲ αὕτη, διδάσκει. ιγ΄. 14) Ἀ-

re facile tibi est. Sic et diuinus Esaias ait, excessum diuinæ potentiæ ostendere nitens. Omnes a) gentes sicut stilla de situla, et quasi momentum stateræ, et quasi saliua reputatæ sunt, et reputabuntur: cui similis erit Dominus? et cui similitudini ipsum assimilabitis? 10. *Fortitudinem meam ad te custodiam, quia Deus susceptor meus es.* Te, inquit, meæ fortitudinis adiutorem et custodem habeo: quandoquidem tua prouidentia nunquam non defendor. 11. *Deus meus, misericordia eius praeueniet me.* Anteuertis enim semper preces, o Domine, et pro eximia benignitate, obsecrationes non exspectas. *Deus meus ostendet mihi inimicos meos.* Communes inimicos propheta existimat Saluatoris inimicos. Deinde quæ his euentura sint prædicit. 12. *Ne occidas eos, ne aliquando obliuiscantur legis tuæ.* Supplico, inquit, ne extremam perniciem ipsi subeant. Sunt enim inter eos multi, qui pœnitentiæ remediis curantur. Quoniam b) non est in morte, qui memor sit tui, in inferno autem quis confitebitur tibi? Quam igitur pœnam ipsis infligere vis? *Disperde illos in virtute tua, et deiice eos protector meus Domine.* Per totum, inquit, orbem eos dissipa, et exules ac extorres redde, quoniam mala conspiratione contra te vsi sunt. Quænam autem sit hæc, docet. 13. *Delictum*

1) ὡς. Def. in Cod. 2. 2) ὁμοιώσ. Κύριον. Cod. 1. ὅμοιος ἔσαι Κύριος. 3) Κύριον — ὁμοιώσατε. Def. in Cod. 2. 4) Cod. 1. ὁμοιώσετε. 5) μου. Hebr. עזו robur eius. 6) σύ. Abest a Cod. 1. 7) μου. Cod. 1. 2. addit εἶ. 8) τά. In Cod. 2. ponitur ante τούτοις. 9) τοῦ νόμου σου. Hebr. עמי populus meus. 10) μεταμελείας. Cod. 1. μετανοίας. 11) διασκόρπισον αὐτούς. Hebr. הניעמו vagari fac eos. 12) ὁ ὑπερασπ. μου. Hebr. מגננו. 13) φησί. Abest a Cod. 2. 14) Cod. 1. Ἁμαρτίαν, quæ est rec. lectio.

a) Es. 40, 15. b) Ps. 6, 6.

lictum oris eorum, sermo labiorum ipsorum. Hæc conueniunt his, quæ paulo ante exposita fuerunt. Etenim superius dixit, *Ecce ipsi loquentur ore ipsorum, et gladius in labiis eorum.* Et hîc rursus, peccatum oris, labiorumque sermonem insimulat: per omnia docens, illius clamoris eos pœnas pendere, * quem ad vnum omnes ediderunt, iustam Pilati sententiam deprauantes. Nam ille vt innocentem ipsum dimittere volebat: isti vero clamabant, *a)* Tolle, tolle, crucifige eum: sanguis eius super nos, et super filios nostros. Ceterum hæc manifestius Symmachus vertit. Nam pro, *Disperde illos in virtute tua*, dixit: *Disperge ipsos in virtute tua, et destrue ipsos, protector noster Domine, peccato oris eorum, et sermone labiorum ipsorum.* Exules ipsos, inquit, fac, et seruos pro liberis redde, propter peccatum oris eorum, et propter verbum labiorum ipsorum. Eodem modo et in turris exstructione *b)* malum consensum dissensu dissoluit, et perniciosæ concordiæ morbo, remedium attulit linguarum diuisionem. *Et comprehendantur in superbia sua.* Per ea, inquit, quæ patrare ausi sunt, pœnas persoluant. Et qui Christo Saluatori seruire noluerunt, sed Cæsaris regnum amplexi sunt, Cæsaris seruituti subiicientur.

μαρτία 1) τοῦ στόματος αὐτῶν, 2) λόγος χειλέων αὐτῶν. 3) Σύμφωνα καὶ ταῦτα τοῖς προηρμηνευμένοις· καὶ γὰρ ἄνω ἔφη· ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν 4) αὐτῶν· καὶ ἐνταῦθα πάλιν τῆς τοῦ στόματος ἁμαρτίας, καὶ τοῦ λόγου τῶν χειλέων κατηγορεῖ· διὰ πάντων διδάσκων, ὡς ἐκείνης τῆς φωνῆς εἰσπράττονται δίκας, ἣν συμφώνως ἀφῆκαν, τὴν δικαίαν τοῦ Πιλάτου παραφθείραντες ψῆφον· 5) ἐκεῖνος γὰρ ὡς ἀθῷον ἀφεῖναι βουλόμενος, οὗτοι δὲ ἐβόων ἆρε, ἆρε, σταύρωσον αὐτόν· τὸ αἷμα αὐτοῦ ἐφ' 6) ἡμᾶς, 7) καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. ταῦτα δὲ σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν. ἀντὶ γὰρ τοῦ, διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου, οὕτως ἔφη, ἀναστάτωσον αὐτοὺς ἐν τῇ δυνάμει σου, καὶ κάθελε αὐτοὺς, ὑπερασπιστὰ ἡμῶν Κύριε, τῇ ἁμαρτίᾳ τοῦ στόματος αὐτῶν, 8) τῷ λόγῳ τῶν χειλέων αὐτῶν. ἀναστάτους αὐτοὺς φησὶ ποίησον, καὶ δούλους ἀντ' ἐλευθέρων ἀπόφηνον· διὰ τὴν ἁμαρτίαν τοῦ στόματος αὐτῶν, καὶ τὸν λόγον τῶν χειλέων αὐτῶν. οὕτω καὶ ἐπὶ τῆς πυργοποιΐας τὴν κακὴν συμφωνίαν τῇ διαφωνίᾳ διέλυσε· 9) καὶ τῇ νόσῳ τῆς βλαβερᾶς ὁμονοίας, φάρμακον ἀλεξίκακον προσενήνοχε τῶν γλωσσῶν τὴν διαίρεσιν. καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν. δι' ὧν, φησὶν, ἐτόλμησαν, διὰ τούτων δότωσαν δίκας· καὶ δουλεύειν οὐκ ἀνεχόμενοι τῷ σεσωκότι 10) Χριστῷ, ἀλλὰ τὴν τοῦ Καίσαρος ἀσπασάμενοι βασιλείαν, τῇ τοῦ Καίσαρος δουλείᾳ παραδοθήσονται.

Καὶ

1) τοῦ. Abest a Cod. 1. 2. 2) Cod. 1. λόγον. 3) Σύμφωνα — λόγῳ τῶν χειλέων αὐτῶν. Des. apud CORD. p. 164. 4) αὐτῶν. Cod. 1. add. ὅτι τίς ἤκουσε; 5) Cod. 2. ἐκεῖνον. 6) ἡμᾶς. Cod. 1. add. λέγοντες. 7) καὶ — ἡμῶν. Cod. 2. καὶ τὰ ἑξῆς. 8) τῷ. Cod. 1. præm. καί. 9) καὶ — διαίρεσιν. Des. apud CORD. p. 164. 10) Χριστῷ. Cod. 1. Θεῷ.

a) Luc. 23, 18. 21. *b)* Genes. 11, 4.

Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους 1) διαγγελήσονται. ιδ΄. 2) Ἐν συντελείᾳ, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσιν. 3) Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· 4) συλληφθήτωσαν μετὰ τῆς ὑπερηφανίας αὐτῶν· ἀρὰν καὶ ψεῦδος 5) λαλοῦντας 6) συντέλεσον· ἐν 7) θυμῷ 8) ἀνάλωσον, ἵνα μὴ 9) ὦσιν. ἐπειδὴ γὰρ 10) συκοφαντίαις ἐχρήσαντο, λέγοντες αὐτὸν προστεταχέναι μὴ δοῦναι Καίσαρι κῆνσον· καὶ ταῦτα ἀκηκοότες παρεγγυῶντος αὐτοῦ δοῦναι τὰ τοῦ Καίσαρος 11) Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ· καὶ ἀραῖς δὲ πολλαῖς αὐτὸν καὶ λοιδορίαις ἔβαλον· δι' ἐκείνας ἔφη τὰς ἀρὰς, καὶ τὰς συκοφαντίας, καὶ τὴν ἁμαρτίαν τοῦ στόματος, ταύτην αὐτοὺς ὑπομεμενηκέναι τὴν συντέλειαν. συντέλειαν δὲ, οὐ τὴν πανωλεθρίαν καλεῖ, ἀλλὰ τὸ μηκέτι αὐτοὺς λαὸν χρηματίζειν Θεοῦ. ἐσκεδασμένοι γὰρ κατὰ 12) τὴν οἰκουμένην, καὶ Ῥωμαίοις δουλεύειν ἠναγκασμένοι, τῆς νομικῆς λατρείας ἐστέρηνται· πόῤῥω τῆς πολυθρυλλήτου διάγουσι μητροπόλεως, τῆς βασιλικῆς ἔρημοι κηδεμονίας γεγένηνται· 13) ἱερατικῆς ἐπιμελείας οὐκ ἀπολαύουσι, τῆς προφητικῆς ἐγυμνώθησαν 14) χάριτος. τὸ τοίνυν 15) οὐχ ὑπάρξουσιν, ἀντὶ τοῦ, εἰς λαὸν οὐκέτι φησὶ καθ' ἑαυτοὺς πολιτεύσονται, μόνην οἰκοῦντες τὴν Παλαιστίνην, καὶ λαὸς Θεοῦ χρηματίζοντες. συντελείας δὲ, τὰς παντοδαπὰς καλεῖ

Et de exsecratione et mendacio annunciabuntur. 14. *In consummatione, in ira consummationis, et non erunt.* Symmachus clarius exposuit, *Comprehendantur cum superbia sua: exsecrationem et mendacia loquentes confice, in ira consume, ita vt non sint.* Postquam enim calumniis vsi sunt, dicentes *a*) ipsum imperasse ne census Cæsari daretur: idque cum hortantem ipsum audissent, *b*) vt ea quæ sunt Cæsaris Cæsari darent, et quæ sunt Dei Deo, exsecrationibus multis et conuitiis ipsum lacessebant. Propter illas, inquit, exsecrationes, et calumnias, et peccatum oris, hanc consumtionem ipsos perpessos esse. *Consummationem* autem, non extremam perniciem vocat, sed quod populus Dei non amplius ipsi vocentur. Dispersi enim per orbem, et Romanis seruire coacti, legali cultu priuati sunt, procul a celeberrima metropoli degunt, regio ductu orbati sunt, sacerdotali cura minime perfruuntur, prophetica gratia destituti sunt. Hoc igitur *non erunt* idem est ac, Populum per se amplius non constituent, solam habitantes Palæstinam, et Dei populus appellati. *Consummationes* vero, omnis generis supplicia nuncu-

1) διαγγελ. Hebr. יספרו *narrabunt.* 2) Ἐν συντελείᾳ. Rec. lectio συντέλειαι. Hebr. כַּלֵּה *consume.* 3) Τοῦτο — ἡρμήνευσεν. Des. in Cod. 1. 4) συλληφθ. Cod. 1. addit φησί. 5) Rec. lectio est λαλοῦντες. 6) Cod. 1. συντελεσθήτωσαν. 7) θυμῷ. Cod. 1. add. αὐτῶν. 8) ἀνάλωσον. Cod. 1. add. αὐτοὺς, καὶ διασκόρπισον ἐκ τῆς σῆς πόλεως. 9) ὦσιν. Cod. 1. add. κάτοικοι ἐν αὐτῇ. 10) συκοφ. Cod. 1. add. κατὰ τοῦ Σωτῆρος. Eadem in Cod. 2. leg. post ἐχρήσαντο. 11) Καίσαρι. Cod. 1. 2. præm. τῷ. 12) τήν. Cod. 1. præm. πᾶσαν. 13) ἱερατικῆς. Cod. 1. præm. καὶ τῆς. 14) χάριτος. Cod. 1. add. τοῦ θείου σκήπτρου ἐστερήθησαν, „ diuino sceptro priuati sunt. „ 15) οὐχ. Cod. 1. οὐ μή.

a) Luc. 23, 2. *b*) Luc. 20, 25.

nuncupat. Etenim sub Caio quarto Cæsare maxima * discrimina perpessi sunt; atque etiam sub Nerone in multas calamitates inciderunt. Vespasianus quoque multas Iudææ ciuitates expugnauit, et Titus cum Hierosolymam cinxisset, et ciuitatem diripuit, et eos, qui mortem declinarunt, captiuos in seruitutem abduxit. Et posthæc etiam in alias omnium generum ærumnas inciderunt: et nunc similiter in ciuitatibus quas incolunt, occasione oblata sæpius intoleranda patiuntur, exsecrationis, et mendacii, et peccati ore admissi pœnas pendentes, ac rebus ipsis discunt, crucifixum omnium Dominum constitutum fuisse. Hoc enim propheta quoque dicit, *Et scient Deum dominari Iacobo, et finibus terræ.* Nam hoc admirabile fuit, quod ante crucem ab ipsis etiam Iudæis non credebatur: post ignominiosam vero illam passionem toti orbi crucifixus dominatur, his quidem sponte adorantibus, incredulis vero metu seruire adactis.

15. *Conuertentur ad vesperam, et famem patientur vt canis, et circuibunt ciuitatem.* Quoniam enim dixit, *In ira consummationis, et non erunt,* ne quis

τιμωρίας. καὶ γὰρ ἐπὶ Γαΐου τοῦ τετάρτου 1) Καίσαρος κινδύνους μεγίστους ὑπέμειναν· καὶ μέντοι καὶ ἐπὶ Νέρωνος πολλαῖς περιέπεσον συμφοραῖς. καὶ Οὐεσπασιανὸς τὰς πλείστας τῆς Ἰουδαίας ἐπολιόρκησε πόλεις· καὶ Τίτος προσεδρεύσας τοῖς Ἱεροσολύμοις, καὶ 2) τὴν πόλιν 3) ἐξεπόρθησε, καὶ τοὺς τὸν θάνατον διαφυγόντας ἐξανδραποδίσας, δορυαλώτους ἀπήγαγε. καὶ ἄλλοις δὲ 4) παντοδαποῖς μετὰ ταῦτα περιέπεσον 5) ἀλγεινοῖς· καὶ νῦν δὲ ὡσαύτως ἐν αἷς παροικοῦσι πόλεσιν, ἀφορμῆς τινὸς γινομένης, πολλάκις τὰ ἀνήκεστα πάσχουσι, τῆς ἀρᾶς, καὶ τοῦ ψεύδους, καὶ τῆς ἁμαρτίας τοῦ στόματος ἀπαιτούμενοι δίκας· καὶ δι' αὐτῶν μανθάνουσι τῶν πραγμάτων, ὅτι τῶν ἁπάντων ἐστὶ Κύριος 6) καὶ Δεσπότης ὁ 7) σταυρωθείς. τοῦτο γὰρ καὶ ὁ προφήτης 8) ἔφη· καὶ 9) γνώσονται ὅτι 10) ὁ Θεὸς δεσπόζει τοῦ Ἰακὼβ, καὶ τῶν περάτων 11) τῆς γῆς. 12) τοῦτο γὰρ δὴ τὸ παράδοξον, ὅτι πρὸ τοῦ σταυροῦ, καὶ ὑπ' αὐτῶν ἠπιστεῖτο τῶν Ἰουδαίων· μετὰ δὲ τὸ ἐπονείδιστον ἐκεῖνο πάθος, πάσης ὁ σταυρωθεὶς δεσπόζει τῆς οἰκουμένης· τῶν μὲν ἑκόντων προσκυνούντων, τῶν δέ γε ἀπιστούντων φόβῳ δουλεύειν ἠναγκασμένων.

ιε'. Ἐπιστρέψουσιν εἰς ἑσπέραν· καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Ἐπειδὴ γὰρ εἶπεν, 13) ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσιν· ἵνα μή τις ἐναν-

1) Καίσαρος. Cod. 1. add. τῶν Ῥωμαίων. 2) τὴν πόλιν. Cod. 1. præm. τὴν χώραν ἠρήμωσεν, καί. 3) Cod. 1. 2. ἐπόρθησε. 4) παντοδ. Def. in Cod. 1. 5) ἀλγεινοῖς. Cod. 1. præm. συμφοραῖς τε καί. 6) καὶ δεσπ. Cod. 1. præm. καὶ δημιουργός. 7) σταυρ. Cod. 1. præm. παρ' αὐτῶν. Post σταυρωθεὶς in eodem Cod. sequitur καὶ τῶν περάτων τῆς γῆς. 8) ἔφη. Cod. 1. add. λέγων. 9) Cod. 2. γνώτωσαν. 10) ὁ Θεός. In Textu τῶν ό. poni solet post δεσπόζει. 11) τῆς γῆς. Cod. 1. add. αὐτὸς οὗτος ὁ παρ' αὐτῶν σταυρωθεὶς καὶ τῶν περάτων τῆς γῆς. 12) τοῦτο — οἰκουμένης. Cod. 1. καὶ ὅτι μὲν καὶ πρὸ τῆς ἐνανθρωπήσεως δεσπότης ὑπῆρχε καὶ δημιουργὸς τοῦ παντὸς δῆλον παντί· ἀλλ' ὅμως καὶ μετὰ τὸ ἐπονείδιστον ἐκεῖνο πάθος πάσης ὁ σταυρωθεὶς διὰ τὸ πιστευθῆναι ὅτι μόνος ἐκ μόνου δεσπόζει τῆς οἰκουμένης. 13) ἐν ὀργῇ. Cod. 1. præm. ἐν συντελείᾳ.

ἐναντίως εἰρηκέναι 1) νομίσῃ τὸν προφήτην, τὸ διασκέδασον αὐτοὺς ἐν τῇ δυνάμει σου, εἰκότως τῇ ταυτολογίᾳ ἐχρήσατο, καί φησιν, αὐτοὺς κυνῶν δίκην λιμῷ τηκομένων, καὶ νύκτωρ 2) τὴν πόλιν περινοστούντων, διάξειν οὐδεμίας πνευματικῆς τροφῆς ἀπολαύοντας. ἐναλλαγὴ γὰρ πραγμάτων ἐγένετο· καὶ Ἰουδαῖοι μὲν, οἱ πάλαι 3) υἱοὶ, διὰ τὴν οἰκείαν πονηρίαν, τὴν τῶν κυνῶν ἔλαχον τάξιν· τὰ δὲ ἔθνη, 4) πάλαι κυσὶν ἐοικότα, τῆς τῶν υἱῶν ἠξιώθησαν τιμῆς. ιϛ΄. Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ 5) γογγύσωσιν. Τοῦτο ὁ Σύμμαχος τῷ προτέρῳ 6) ἀποδέδωκεν· ἔφη δὲ οὕτως· ἀνακαμπτέτωσαν 7) ἑσπέρας, θορυβείτωσαν ὡς κύνες περιερχόμενοι πόλιν, ῥεμβόμενοι, ἵνα μὴ ἀχόρταστοι αὐλισθῶσι. 8) „τούτου „γάρ φησι χάριν οἱ κύνες περινοστοῦσι „νύκτωρ τροφήν τινα ζητοῦντες, ἵνα μὴ „ἀχόρταστοι αὐλισθῶσι· πᾶσα γὰρ αὐ„τοῖς ἡμέρα οὐ μόνον ἑσπέρα ἀλλὰ καὶ „νὺξ, τοῦ νέφους τῆς ἀπιστίας ἐπικειμέ„νου αὐτοῖς.„ κατὰ δὲ τοὺς ἑβδομήκοντα οὕτω νοητέον· ὅτι κυνῶν δίκην καὶ οὗτοι κατὰ τὴν οἰκουμένην ἐσκεδασμένοι, τὴν πνευματικὴν ἐπιζητοῦσι τροφήν· οὐχ εὑρίσκοντες δὲ ταύτην, διὰ τὸ μὴ πιστεύειν τῷ ὑπὸ 9) πάντων προκεκηρυγμένῳ τῶν προφητῶν, 10) θορυβάζουσι καὶ γογγύζουσι, 11) τὴν ἀχάριστον καὶ ἐν τούτῳ γνώμην 12) ἐπιδεικνύντες. ιζ΄. Ἐγὼ

prophetam per contrarium dixisse opinetur, *Disperde in virtute tua*, iure tautologia vsus est, et ait ipsos instar canum fame laborantium, et de nocte ciuitatem obeuntium, victuros esse, nullo spirituali cibo perfruentes. Rerum enim facta est mutatio. Et Iudæi, qui olim filii erant, ob nequitiam suam in canum ordinem redacti sunt: gentes vero, quæ quondam canibus similes erant, filiorum honore dignatæ sunt. 16. *Ipsi dispergentur ad manducandum: si vero non fuerint saturati, etiam murmurabunt.* Symmachus hoc cum superioribus coniunxit. Ita enim dixit, Reuertantur vesperi, tumultuentur vt canes circumeuntes ciuitatem, vagantes, ne ieiuni pernoctent. „ Ideo enim, inquit, ca„ nes circumeunt vt noctu ci„ bum quærant, ne ieiuni per„ noctent. Illis enim (Iudæis) „ omnis dies non modo vespe„ ra, sed etiam nox est, quia „ incredulitas ipsis instar nubis „ imposita est. „ Porro secundum Septuaginta sic intelligendum est, quoniam vt canes et isti per totum orbem terrarum dispersi spiritualem cibum quærent: non inuenientes autem, eo quod non credunt ei, qui a prophetis cunctis prædictus fuit, tumultuantur et murmurant, in hoc quoque ingratum animum ostendentes. * 17. *Ego* *

autem

1) νομίσῃ. In Cod. 2. ponitur post τὸν προφήτην. 2) τὴν πόλιν. Cod. 1. 2. ἐν ταῖς πόλεσι. 3) υἱοί. Cod. 1. add. χρηματίζοντες. 4) πάλαι. Cod. 1. et 2. præm. τά. 5) Rec. lectio in vers. τῶν ό. est γογγύσουσιν. 6) Cod. 2. ἀπέδωκε. 7) ἑσπέρας. Ita quoque leg. apud CORD. p. 151. sed MONTF. in Hexapl. ad h. l. habet εἰς ἑσπέραν. 8) E Cod. 1. suppl. In Cod. 2. hæc pauca tantum exstant: τούτου γάρ φησιν οἱ κύνες νύκτωρ περινοστοῦσι χάριν, τροφήν τινα ζητοῦντες. 9) πάντων. Cod. 1. αὐτῶν. 10) θορυβάζουσι καὶ γογγύζουσι. Cod. 2. ψιθυρίζουσι τὸν κατ' αὐτοῦ δόλον. Cod. 1. consentit cum lect. *firm.* sed pro θορυβάζουσι habet τονθορίζουσι. 11) τήν. Cod. 2. præm. καί. 12) Cod. 2. ἐπιδεικνύουσι.

autem celebrabo fortitudinem tuam, et exultabo mane ob misericordiam tuam. Illi quidem hæc audentes talia patientur: ego vero tuam misericordiam cantabo, et intellectuali tuo lumine oriente, et diluculum orbi adferente, immensam tuam benignitatem omnibus in ecclesiis celebrabo. *Quia factus es auxiliator meus, et refugium meum in die tribulationis meæ.* 18. *Adiutor meus es, tibi psallam, quia Deus auxiliator meus es. Deus meus misericordia mea.* Semper enim tua ope potitus sum, et per tuam prouidentiam ingruentes calamitates subterfugi. Quocirca te solum agnosco Deum, et te fontem misericordiæ ac benignitatis nuncupo. Hæc beatus Dauid propheticis oculis præuidens, et Iudæorum calamitates prædixit, et ipse semper Dominum se laudaturum promisit. Et promissa præstat, per piorum hominum linguas hymnos afferens. „ Sicut enim „ finita nocte mane oriente „ sole totus illustratur terrarum „ orbis, sic quoque aduentus „ solis iustitiæ tenebras peccati „ dispulit, lucem autem cognitionis Dei illis qui in eum „ credunt, præbuit, eamque adhuc præbere non desinit. „

καὶ Μισαήλ· τούτοις 1) δὲ καὶ τοῖς τοιούτοις ἥρμοττε τὰ προκείμενα λέγειν· ἐκ προσώπου γὰρ αὐτῶν ἡ τοῦ πνεύματος αὐτὰ συνέγραψε χάρις. ί. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός· ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. Ταῦτα γάρ φησι παθεῖν ἡμᾶς συνεχώρησας· δεῖξαι πᾶσι τὸ τῆς εὐσεβείας ἡμῶν ἀκίβδηλον βουλόμενος. 2) „τάδ' αὐτὰ εἴρηται καὶ ἐκ „προσώπου τῶν ἀθλοφόρων, τῶν κατὰ „καιρὸν ὑπὲρ Χριστοῦ πεπονθότων ἢ καὶ „πασχόντων." ιά. Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα· ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. ιβ'. Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. 3) Τοιαύτη ἦν ἡ κάμινος, ἐν ᾗ πνεῦμα διασυρίζον ἐψυχαγώγει τοὺς ἀθλητάς. παγὶς, ὁ τῶν λεόντων λάκκος, καὶ παγὶς 4) ἀφύλακτος· ἀλλ' ὅμως διὰ τῆς θείας χάριτος ταύτην ὁ προφήτης 5) διέφυγεν· εἰκὸς δὲ ἦν, αὐτοὺς καὶ τύπτεσθαι καὶ αἰκίζεσθαι, ὡς αἰχμαλώτους καὶ δούλους, 6) παρὰ τῶν ἀνδραποδισάντων· διὸ καὶ τοῦτο εἰρήκασιν, ἔθου 7) θλίψιν ἐπὶ 8) τὸν νῶτον ἡμῶν· ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. δοῦλοι 9) ἀντ' ἐλευθέρων κατέστημεν. ἀλλ' ὅμως τούτων ἁπάντων ἀπαλλαγέντες, καὶ τῆς ἐπανόδου τετυχηκότες, τὰς νενομοθετημένας σοι θυσίας προσοίσομεν· 10) καὶ τοῦτο γὰρ

1) δὲ. Des. in Cod. 1. 2. 2) Cum his quæ e Cod. 1. suppl. conf. quæ habet CORD. p. 294. 3) Τοιαύτη κ. λ. CORD. l. c. præm. Μονονουχὶ πεποίηκας αὐτοὺς ἐπιβῆναι ταῖς κεφαλαῖς ἡμῶν. „Tantum non fecisti ipsos adscendere super capita nostra." Alia etiam h. l. habet CORD. 4) ἀφύλακτος. Cod. 1. et 2. ἄφυκτος. 5) διέφυγεν. Cod. 1. add. καθάπερ καὶ μετὰ τὴν χάριν ἡ ἐν μάρτυσι πρώτη Θέκλα· αὕτη γὰρ κατὰ τὸν θεῖον Παῦλον καὶ οἱ κατ' αὐτὴν ἅπαντες ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός. „Prout etiam post acceptam gratiam prima inter martyres Thecla: hæc enim, et qui cum ea erant omnes iuxta diuinum Paulum obstruxerunt ora leonum, et exstinxerunt vim ignis." 6) παρά. Cod. 2. ὑπό. 7) Cod. 2. θλίψεις. 8) Cod. 1. τῶν νότων. 9) ἀντ'. Cod. 2. præm. γάρ. 10) καὶ — ἐπήγαγεν, et Εἰσελεύσομαι — ὁλοκαυτ. Des. in Cod.

γὰρ ἐπήγαγεν. ιγ'. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν· ἀποδώσω σοι τὰς εὐχάς μου. ιδ'. Ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. Ὅσα, φησὶν, ὑπεσχόμην ὀδυνώμενος καὶ προσευχόμενος, εὐγνωμόνως 1) ἐκτίσω. ιε'. Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος, καὶ κριῶν, 2) ἀνοίσω σοι βόας μετὰ χιμάρων. Ὁπόσα σοι 3) χρὴ προσφέρειν, 4) ἱερεύσω προθύμως. μεμυαλωμένα 5) κέκληκε τὰ εὐτραφῆ καὶ πίονα. οὕτω γὰρ καὶ 6) ὁ νόμος προσφέρειν ἐκέλευσεν ἀμώμα τε καὶ ἄρτια· ἐπαρᾶται δὲ καὶ ὁ προφήτης Μαλαχίας τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσιν. αὕτη καὶ τῷ Κάϊν ἐγένετο τῶν κακῶν ἐκείνων ἀρχή· διδασκόμεθα 7) δὲ καὶ ἡμεῖς τοῖς τιμιωτέροις ὧν ἔχομεν τὸ θεῖον 8) γεραίρειν. ιϛ'. Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι 9) ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. Οὐ μάτην, φησὶ, ταῦτα προσφέρειν ὑπισχνοῦμαι τὰ δῶρα· ἀλλὰ μεγάλων παρ' αὐτοῦ δωρεῶν ἀπολαύσας, ἃς καὶ ὑμᾶς μαθεῖν ἀξιῶ, τοὺς τὸ θεῖον ἔχοντας σέβας. οὕτω καὶ ἐν τῷ εἰκοστῷ καὶ πρώτῳ ἔφη ψαλμῷ, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν. διὰ τούτων δὲ παιδευόμεθα τούτους κοινωνοὺς ἔχειν, καὶ τούτοις διαφερόντως διηγεῖσθαι τὰ θεῖα. μὴ δῶτε γάρ φησι τὰ ἅγια τοῖς κυσί· μηδὲ ῥίψητε τοὺς μαργαρίτας 10) ὑμῶν ἔμπροσθεν τῶν χοίρων, 11) καὶ τὰ μυστήριά

enim subiunxit. 13. *Introibo in domum tuam cum holocaustis, reddam tibi vota mea,* 14. *Quæ edixerunt labia mea, et locutum est os meum in tribulatione.* Quæcumque, inquit, promisi cum mœrerem; hæc orans fideliter persoluam. 15. *Holocausta medullata offeram tibi cum incenso, et arietibus: offeram tibi boues cum hircis.* Quod tibi offerri debet, libentissime sacrificabo. *Medullata* vocauit pinguia et opima. Sic enim et lex offerre præcepit immaculata et integra, et * Malachias quoque propheta execratur eos, qui talia habent, cæca autem et manca offerunt. Hoc quoque Caino fuit malorum principium. Docemur autem per hæc, Deum venerari illis rebus, quas carissimas et pretiosissimas habemus. 16. *Venite, audite, et narrabo vobis, omnes qui timetis Deum, quanta fecerit animæ meæ.* Non frustra, inquit, hæc dona me oblaturum promitto, sed magna ab ipso munera consecutus, quæ vt vos quoque, qui Deum colitis, cognoscatis oro. Eodem modo in vigesimo primo Psalmo dixit: a) Vota mea reddam in conspectu timentium eum. Per hæc autem discimus cum his communicare, et his præcipue res diuinas enarrare. Ne detis enim, inquit, b) sancta canibus, nec proiicite margaritas vestras ante porcos. Et c) mysteria mea.

1) ἐκτίσω. Cod. 1. add. καὶ λέγει, ποῖα ταῦτα. 2) ἀνοίσω. Rec. lectio est ποιήσω. 3) χρὴ προσφέρειν. Cod. 1. προσφέρειν προσέταξας. 4) ἱερεύσω. Cod. 2. προσοίσουσιν καὶ ἱερεύσουσιν. 5) κέκληκε. Cod. 1. δὲ λέγει. 6) ὁ νόμος — ἐπαρᾶται. Des. in Cod. 1. 7) δὲ. Abest a Cod. 1. 8) γεραίρειν. Cod. 2. προσφέρειν. 9) ὑμῖν. Additur in edit. *ald.* et *compl.* 10) ὑμῶν. Abest a Cod. 2. 11) καὶ — ἐμοῖς. Hæc non in omnibus libris veteribus l. c. leguntur.

a) Ps. 21, 26. b) Matth. 7, 6. c) Es. 24, 16.

mea mihi, et meis. 17. *Ad ipsum ore meo clamaui, et exaltaui sub lingua mea.* Symmachus autem sic, Ipsum inuocaui ore meo, et actutum lingua mea in altum elata est. Simulac enim preces obtuli, petitione potitus sum, et lætitia refertus, in gratiarum actionis hymnum linguam impuli. 18. *Iniquitatem si adspexi in corde meo, non exaudiat me Dominus.* Symmachus sic, Iniquitatem si præuidi in corde meo, ne exaudiat Dominus. Si obsecrando, inquit, a seruitute liberari, et reditum consequi, aliquam iniquitatem post reuersionem me facturum esse cogitavi, diuinam benignitatem ne consequar. Quod autem non mentiar, res testantur. 19. *Propterea enim exaudiuit me Deus, et attendit ad vocem deprecationis meæ.* Cum enim me purum et immunem a talibus cogitationibus vidisset, copiose suis donis dignatus est. Hæc cum piorum chorus elocutus esset, in hymnum sermones contrahit. 20. *Benedictus Deus, qui non amouit orationem meam, et misericordiam suam a me.* Hymnos, inquit, benefactori rependo, qui preces meas admisit, et misericordiam largitus est. „Non desinit enim „credentes in eum exhortari, „vt omni tempore illum hymnis „celebrent.„

μου ἐμοὶ, καὶ τοῖς ἐμοῖς. ιζ´. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, 1) καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου. 2) Ὁ δὲ Σύμμαχος 3) οὕτως· 4) αὐτὸν τῷ στόματί μου ἐπεκαλεσάμην, καὶ ὑψώθη παραχρῆμα ἡ γλῶσσά μου· εὐθὺς γὰρ προσενεγκὼν τὴν 5) δέησιν, ἐδεξάμην τὴν 6) αἴτησιν, καὶ εὐφροσύνης πλησθεὶς, εἰς χαριστήριον ὕμνον τὴν γλῶσσαν ἐκίνησα. ιη´. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος. Ὁ δὲ Σύμμαχος, οὕτως· ἀδικίαν εἰ 7) προεῖδον ἐν 8) τῇ καρδίᾳ μου, μὴ 9) εἰσακούσῃ Κύριος· εἰ παρακαλῶν, φησὶ, τῆς δουλείας ἀπαλλαγῆναι, καὶ τῆς ἐπανόδου τυχεῖν, ἀδικίαν τινὰ δράσειν μετὰ τὴν ἐπάνοδον ἐφαντάσθην, τῆς θείας εὐμενείας μὴ τύχοιμι· ὅτι δὲ οὐ ψεύδομαι, τὰ πράγματα μαρτυρεῖ. ιθ´. Διὰ τοῦτο 10) γὰρ εἰσήκουσέ μου ὁ Θεός· προσέσχε τῇ φωνῇ τῆς 11) δεήσεώς μου. Καθαρεύοντα γάρ με τοιούτων λογισμῶν θεασάμενος, φιλοτίμως τῶν οἰκείων ἠξίωσε δωρεῶν· οὕτω ταῦτα διηγησάμενος τῶν εὐσεβῶν ὁ χορὸς, εἰς ὕμνον συμπεραίνει τοὺς λόγους. κ´. Εὐλογητὸς 12) ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ᾽ ἐμοῦ. Ὕμνοις, φησὶ, τὸν εὐεργέτην ἀμείβομαι, 13) καὶ τὴν προσευχήν μου 14) δεξάμενον, καὶ τὸν ἔλεον δωρησάμενον. 15) „αὐτὸν γὰρ „ἀνυμνεῖν διηνεκῶς τοῖς εἰς αὐτὸν πι„στεύουσι παρακελευόμενος οὐ παύεται.„

ΕΡΜΗΝ.

1) καὶ ὕψωσα. Hebr. וְרוֹמַם *et exaltatus est*, sc. Deus. 2) Ὁ δὲ κ. τ. λ. Alia ad hunc et sequ. vers. habet CORD. p. 297. 3) οὕτως — γλῶσσά μου. Dest in Cod. 1. 4) αὐτόν. Suppletum e MONTF. Hexaplis. 5) δέησιν. Cod. 1. αἴτησιν. 6) αἴτησιν. Cod. 1. δέησιν. 7) Prior editio habebat προσεῖδον. 8) τῇ. Abest a Cod. 2. nec apud MONTF. in Hexaplis exstat. 9) εἰσακούσῃ. Cod. 2. add. μου. Cod. 1. εἰσακουσάτω μου. 10) γάρ. Abest a Textu τῶν ό. 11) δεήσεως. Rec. lectio est προσευχῆς. 12) ὁ Θεός. Cod. 2. Κύριος. 13) καί. Abest a Cod. 2. 14) Cod. 2. προσδεξάμενον. 15) E Cod. 1.

ΕΡΜΗΝ. ΤΟΥ ξς΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις, ψαλμὸς 1) ᾠδῆς 2) τῷ Δαβίδ. Οὗτος ὁ ψαλμὸς σαφῆ τὴν διάνοιαν ἔχει, καὶ πολλῶν λόγων εἰς ἑρμηνείαν οὐ δεῖται· προκηρύττει γὰρ τοῦ Θεοῦ λόγου τὴν ἐνανθρώπησιν, καὶ τὴν σωτήριον ἐπιφάνειαν, καὶ τῶν ἐθνῶν ἁπάντων τὴν σωτηρίαν. β΄. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, 3) καὶ ἐλεήσαι ἡμᾶς. Θεασάμενος ὁ προφήτης τοῖς τοῦ πνεύματος ὀφθαλμοῖς τὴν ἐσομένην πᾶσιν ἀνθρώποις σωτηρίαν διὰ 4) τῆς θείας ἐπιφανείας, ἱκετεύει ταύτην ὅτι τάχιστα παραχεθῆναι, ἵνα τὴν ἐκ ταύτης φυομένην εὐλογίαν τρυγήσωμεν ἅπαντες· „5) λέγει δὲ ὅτι ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ „εὐλογήσαι ἡμᾶς. τῷ ὄντι γὰρ οὐ μόνον εὐλόγησεν, ἀλλὰ καὶ ἠλέησεν σώσας „ἡμᾶς διὰ τῆς ἐκ παρθένου παρουσίας. „τοῦτο γὰρ λέγει, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς. εἴδομεν γὰρ αὐτὸν πρόσωπον πρὸς πρόσωπον· ἀλλ᾽ ὅμως ἄνθρωπον γενόμενον· οὐχ ἕτερόν „τινα φορέσαντα, ἀλλ᾽ αὐτὸν Θεὸν λόγον ἀτρέπτως ἐκ παρθένου γενόμενον „εἴδομεν.„ εἶτα διὰ τῶν ἐπαγομένων ταύτην ἡμᾶς διδάσκει σαφέστερον. γ΄. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου. 6) Ὥστε, φησὶ, καὶ τοὺς τὴν γῆν οἰκοῦντας τὴν

* INTERP. PS. LXVI. *

1. In *finem, in hymnis, Psalmus cantici Dauidi.* Hic psalmus clarum sensum habet, et multis verbis ad interpretationem non indiget. Prædicit enim Dei verbi incarnationem, et salutarem aduentum, omniumque gentium salutem. 2. *Deus misereatur nostri, et benedicat nobis: illuminet vultum suum super nos, et misereatur nostri.* Cum propheta spiritus oculis futuram omnibus hominibus per diuinum aduentum salutem præuidisset, supplicat, vt hic quam celerrime concedatur, vt benedictionem, quæ ex hoc procedit, percipiamus omnes. „ Dicit autem, Deus misereatur nostri, „ et non hoc tantum, sed etiam benedicat nobis: vere „ enim non modo benedixit nobis, sed misertus quoque est „ nostrûm, cum saluauerit nos „ aduentu suo, natus e virgine. Hoc enim dicit, „ illuminet vultum suum „ super nos: nam vidimus eum „ de facie ad faciem, (scilicet hominem natum): non alium portantem sed ipsum Deum Verbum e virgine natum vidimus. „ Deinde per sequentia manifestius hanc docet. 3. *Vt cognoscamus in terra viam tuam.* Vt, inquit, terram incolentes semitem

1) ᾠδῆς. Additur in edit. *ald. et compl.* 2) τῷ Δαβίδ. Def. in Cod. 2. 3) καὶ ἐλεήσαι ἡμᾶς. Abest a Textu hebr. et græco τῶν ό. exstat autem in edit. *ald.* et *compl.* 4) τῆς θείας ἐπιφανείας. Cod. 1. τῆς τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρωπήσεως. 5) E Cod. 1. 6) Ὥστε κ. τ. λ. Cod. 1. præm. hæc: καθάπερ ὁ αὐτὸς προφήτης ἐν ἑτέρῳ· ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου· ἀντὶ τοῦ ποσὶ φιλανθρωπίας βαδίσω τῇ Ἰδουμαίᾳ. καὶ τίνος ἕνεκεν λέγει διὰ τῶν ἑξῆς, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. „ Prout ipse Propheta alibi (Ps. 59, 8. dicit,) super Idumæam protendam calceamentum meum, h. e. pedibus amicis incedam super Idumæa. Caussam eius autem in sequentibus sic exprimit, mihi subiecti sunt Allophyli. „

mitam ad te ferentem discant, et ad ipsam ducantur. Et ne quis opinetur de Iudæorum terra hæc dicta esse, iure apposuit, *In omnibus gentibus salutare tuam.* Supplico, inquit, vt tuus conspiciatur vultus, vt gentes in tenebris sedentes illuminet, et ad salutem attrahat. 4. *Confiteantur tibi populi o Deus, confiteantur tibi populi omnes.* 5. *Lætentur, et exultent gentes, quoniam iudicas populos in æquitate, et gentes in terra dirigis.* Propterea conuenit, vt omnes populi, et gentes, quæ per totum orbem sunt, lætentur et tripudient, tuaque beneficia narrent. Cognouerunt enim, nihil eorum quæ sunt, neglectum et sine cura esse: sed te omnium iudicem existere, qui iustas sententias pronuncias, atque errantes ad veritatem conuertis, credere vero nolentes suppliciis afficis. 6. *Confiteantur tibi populi o Deus, confiteantur tibi populi omnes.* Non temere eundem sermonem repetiit, sed auditores alacriores reddere, „ simulque ostendere voluit, eundem esse Deum et „ Saluatorem omnium.„ 7. *Terra dedit fructum suum.* * Non enim amplius homines ex terra nati Deum, qui omnibus præest, ignorant, qui secundum prophetam, inuenit omnem viam scientiæ, posthæc in terris visus est, et cum hominibus conuersatus est. Idcirco dulcissimum pietatis

πρός σε φέρουσαν ὁδὸν διδαχθῆναι, καὶ πρὸς 1) αὐτὴν ποδηγηθῆναι· καὶ ἵνα μή τις ὑπολάβῃ περὶ τῆς Ἰουδαίων ταύτα λέγεσθαι γῆς, εἰκότως προστέθεικε ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. 2) ἱκετεύω, φησὶ, τὸ σὸν ἐπιφανῆναι πρόσωπον· ὥστε καταυγάσαι καὶ τὰ ἐν 3) σκότῳ καθήμενα ἔθνη, 4) καὶ πρὸς σωτηρίαν ἑλκῦσαι. δʹ. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ 5) πάντες. εʹ. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη· 6) ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Διά τοι τοῦτο προσήκει καὶ λαοὺς ἅπαντας, καὶ τὰ κατὰ τὴν οἰκουμένην ἔθνη, εὐφραίνεσθαι καὶ χορεύειν, καὶ τὰς σὰς εὐεργεσίας διεξιέναι. ἔγνωσαν γὰρ 7) ὅτι οὐδὲν τῶν ὄντων ἀτημέλητον, οὐδὲ 8) ἀκηδεμόνευτον· ἀλλὰ πάντων ὑπάρχεις κριτὴς, 9) δικαίας ἐκφέρων τὰς ψήφους· καὶ ὁδηγῶν μὲν τοὺς πλανωμένους πρὸς τὴν ἀλήθειαν, τοὺς δὲ πείθεσθαι μὴ βουλομένους κολάζων. ϛʹ. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Οὐχ ἁπλῶς τὴν ταυτολογίαν τέθεικεν· ἀλλὰ προθυμοτέρους τοὺς ἀκούοντας ἐργαζόμενος. „ 10) καὶ δεικνὺς, ὅτι αὐτός ἐστι „ Θεὸς καὶ σωτὴρ ἁπάντων.„ ζʹ. Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Οὐκ ἔτι γὰρ ἀγνοοῦσιν οἱ ἐξ αὐτῆς τὸν ἐπὶ πάντων Θεόν· 11) ὃς κατὰ τὸν προφήτην, ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης· μετὰ 12) τοῦτο ἐπὶ γῆς ὤφθη, καὶ 13) ἐν τοῖς ἀνθρώποις συνανεστράφη· 14) οὗ δὴ χάριν, τὸν ἥδιστον αὐτῷ

1) Cod. 1. ταύτην. 2) ἱκετεύω φησί. Cod. 1. λέγει δὲ ὅτι ἱκετεύω. 3) Cod. 2. σκότει. 4) καί. Abest a Cod. 2. 5) πάντες. Cod. 1. add. ἰδοὺ καὶ πάλιν τὸν αὐτὸν Θεὸν καὶ οὐχ ἕτερον ἐν ἑτέρῳ διδάσκει ὁ προφήτης. εἶτα φησί. „ Ecce iterum eundem Deum, non vero alium in alio docet Propheta. Deinde dicit. „ 6) ὅτι. Cod. 1. præm. λέγει δὲ καὶ τίνος ἕνεκεν. 7) ὅτι. Cod. 1. ὡς. 8) ἀκηδεμόνευτον. Cod. 2. κηδεμονίας ἐκτός. 9) δικαίας. Cod. 2. præm. καί. 10) E Cod. 1. 11) ὃς — χάριν. Def. in Cod. 2. 12) Cod. 1. ταῦτα. 13) ἐν. Abest a Cod. 1. 14) οὗ δὴ χάριν. Cod. 1. διὸ δή.

τῷ προσφέρουσι τῆς εὐσεβείας καρπόν. Εὐλογήσαι ἡμᾶς ὁ Θεός· 1) ὁ Θεὸς ἡμῶν. η'. Εὐλογήσαι 2) ἡμᾶς. Ὥσπερ 3) δὶς τὰ ἔθνη πρὸς ὑμνῳδίαν διήγειρεν, οὕτω δὶς αὐτοῖς τὴν 4) εὐλογίαν 5) ἐζήτησεν· εἰδέναι μέν τοι προσήκει, ὡς εὐλογοῦντες ἄνθρωποι τὸν Θεὸν, λόγους αὐτῷ προσφέρουσι μόνους, ἔργῳ δὲ αὐτὸν εὐεργετῆσαι οὐ δύνανται· ὁ δὲ Θεὸς εὐλογῶν, βεβαιοῖ 6) τοὺς λόγους τῷ ἔργῳ, καὶ παντοδαπῶν ἀγαθῶν παρέχει τοῖς εὐλογουμένοις φοράν· εἶτα διδάσκει πῶς δυνατὸν τῆς θείας εὐλογίας τυχεῖν. καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. ὁ 7) μὲν γὰρ εὐλαβῶς περὶ τοὺς θείους διακείμενος νόμους, καὶ τὸ μέλλον 8) δειμαίνων κριτήριον, διὰ τῆς τούτων φυλακῆς τὸν Θεὸν θεραπεύει· ἡ δὲ θεία θεραπεία 9) τὴν εὐλογίαν προσφέρει. καὶ αὐτὸ τοίνυν τὸ τέλος οὐκ Ἰουδαίοις, ἀλλὰ πᾶσιν ἀνθρώποις τὸν θεῖον ἔχειν εἰσηγήσατο φόβον· 10) καὶ παιδεύει ὡς αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ τὴν σωτηρίαν τῶν 11) πιστευόντων πραγματευσάμενος. αἰσχυνέσθωσαν οἱ δυσσεβοῦντες αἱρετικοὶ, καὶ μὴ ὁμολογοῦντες αὐτὸν Θεὸν ἐκ Θεοῦ, 12) τὸν μονογενῆ τῷ πατρὶ υἱὸν προαιώνιον, τὸν αὐτὸν ἐπ' ἐσχάτων ἡμερῶν υἱὸν ἀνθρώπου γενόμενον ἀτρέπτως, ὡς φαμὲν, διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν.

fructum illi offerent. *Benedicat nobis Deus Deus noster.* 8. *Benedicat nobis Deus.* Quemadmodum bis gentes ad hymnos canendos excitauit, eodem modo bis benedictionem illis postulauit. Sciendum est autem, quod homines Deo benedicentes, verba tantum illi offerant, operibus vero de illo bene mereri non possint: Deus autem benedicens, sermones operibus confirmat, et omnis generis bonorum vbertatem benedictis præbet. Deinde docet, quomodo possit diuina benedictio obtineri. *Et metuant eum omnes fines terræ.* Qui enim religiose erga diuinas leges affectus est, futurumque iudicium exspectat, per harum obseruationem Deum colit: diuinus autem cultus benedictionem operatur. Ipse igitur Psalmi finis non Iudæos solum, sed omnes homines instruit, vt diuinum timorem habeant, et declarat, ipsum esse Deum nostrum, qui salutem iis, qui in eum credunt, comparauit. Erubescant hæretici impie agentes, et minime confitentes ipsum Deum ex Deo, vnigenitum patris filium ante sæcula, qui nouissimis diebus ipse filius hominis factus est immutabiliter, vt dicimus, ob hominum salutem.

ΕΡΜΗΝ. ΤΟΥ ξζ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, τῷ Δαβὶδ 13) ψαλμός. Ὁρῶν ὁ θεῖος Δαβὶδ τὴν

INTERP. PS. LXVII.

1. *In finem. Psalmus Dauidi.* Videns diuinus Dauid impieta-

1) ὁ Θεὸς ἡμῶν. Abest a Cod. 1. 2) ἡμᾶς. Cod. 2. add. ὁ Θεός. 3) δίς. Cod. 1. δή. 4) εὐλογίαν. Cod. 2. ὑμνῳδίαν. 5) ἐζήτησεν. Cod. 1. ἐξήτησεν, quam lectionem expressit *Carafa*. 6) τοὺς — ἔργῳ. Cod. 2. τοῖς λόγοις τὸ ἔργον. 7) μέν. Abest a Cod. 1. 8) δειμαίνων. Cod. 1. ἀναμένων, quam lectionem *Carafa* habuit. 9) τήν. Cod. 1. præm. καί. 10) καὶ — σωτηρίαν. Def. in Cod. 2. 11) πιστευόντων. Cod. 1. præm. εἰς αὐτόν. 12) τόν. Cod. 1. καί. 13) ψαλμός. Cod. 1. et 2. add. ᾠδῆς, vt in Textu τῶν ό.

pietatem, quæ inter homines versabatur, et dæmonis imperium, edoctus autem a sancto Spiritu aduentum Dei et Saluatoris nostri, petitionem affert, rogans, vt quam celerrime veniat: et recipit actutum futurorum reuelationem, simulque docetur, et docet humanæ naturæ salutem, hostiumque perniciem, et omnino admirabilem rerum immutationem. 2. *Exsurgat Deus, et dissipentur inimici eius, et fugiant qui oderunt eum a facie eius.* * Tempus est, inquit, vt tu Domine exsurgas, vtque hominum salutem procures. Illico enim totum inimicorum agmen in fugam conuertetur, tui aduentus splendore dissipatum. Ceterum *resurrectionem*, vt sæpius diximus, non modo patientiæ cessationem vocat, verum etiam resurrectionem Saluatoris mundi post tres dies, cum spontaneam pro nobis mortem subiit. „ Sic quoque nos „ sæpius iudices multa æquitate „ vtentes ad auxilium iniuria „ affectis ferendum excitare con„ sueuimus, adhortantes illos, vt „ excitent sese, et eorum qui „ iniuriam aliis inferunt, auda-

πολιτευομένην παρὰ 1) τοῖς ἀνθρώποις ἀσέβειαν, καὶ τοῦ διαβόλου τὴν ἐπικράτειαν, διδαχθεὶς δὲ 2) ἀπὸ τοῦ παναγίου πνεύματος τοῦ Θεοῦ καὶ 3) τοῦ σωτῆρος ἡμῶν τὴν ἐπιφάνειαν, ἱκετείαν προσφέρει, ταύτην ὡς τάχιστα γενέσθαι παρακαλῶν. καὶ δέχεται παραυτίκα τῶν γενησομένων τὴν ἀποκάλυψιν· καὶ διδάσκεται κατὰ ταυτὸν, καὶ διδάσκει τῆς τε ἀνθρωπείας φύσεως τὴν σωτηρίαν, καὶ τῶν πολεμίων τὸν ὄλεθρον, καὶ ἁπαξαπλῶς, τὴν παράδοξον τῶν 4) πραγμάτων μεταβολήν. β. Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ· καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. Καιρός φησιν ἀναστῆναί σε Δέσποτα, καὶ τὴν 5) τῶν ἀνθρώπων πραγματεύσασθαι σωτηρίαν· παραυτίκα γὰρ ἅπαν εἰς φυγὴν τραπήσεται τῶν πολεμίων τὸ στῖφος, τῇ τῆς σῆς ἐπιφανείας σκεδαννύμενον αἴγλῃ· ἀνάστασιν δὲ, ὡς πολλάκις εἰρήκαμεν, 6) οὐ μόνον τὴν τῆς μακροθυμίας παῦλαν καλεῖ· 7) ἀλλὰ καὶ τὸ ἀναστῆναι τὸν σωτῆρα τοῦ κόσμου διὰ τριῶν ἡμερῶν, ὅτε τὸν ὑπὲρ ἡμῶν ἑκούσιον κατεδέξατο θάνατον· „ 8) οὕτω καὶ „ ἡμεῖς πολλάκις τοὺς ἐπιεικείᾳ χρωμένους δικαστὰς εἰς τὴν τῶν ἀδικουμένων „ ἐπικουρίαν διεγείρειν εἰώθαμεν, διαναστῆναι παρακαλοῦντες, καὶ τῶν ἀδικούν-

1) τοῖς — ἐπιφάνειαν. Cod. 1. τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐν σαρκὶ ἐκ παρθένου παρουσίαν. 2) Cod. 2. ὑπό. 3) τοῦ. Abest a Cod. 2. 4) πραγμάτων. Cod. 1. ἀνθρώπων. 5) τῶν ἀνθρώπων. Cod. 2. ἀνθρωπίνην. 6) οὐ μόνον. Def. in Cod. 2. 7) ἀλλὰ — θάνατον. Def. in Cod. 2. 8) E Cod. 1. et 2. suppl. In Cod. 1. sequitur: οὕτως οὐ μόνον ἐπιφανεὶς ὁ τοῦ Θεοῦ μονογενὴς υἱὸς καὶ σωτὴρ, ἀλλὰ γὰρ καὶ ἐν νεκρῶν ἀναστὰς τὴν τῶν δαιμόνων κατήργησε φάλαγγα· καθάπερ ὁ θεῖος ἀπόστολος περὶ τοῦ θεοπρεποῦς αὐτοῦ πάθους λέγει, ἐκεῖ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον. „ Ita vnigenitus Dei filius et Seruator non modo cum apparuisset, sed etiam cum e mortuis surrexisset, dæmonum euertit phalangem: prout diuinus Apostolus de passionibus eius maiestate haud carentibus dicit (Hebr. 2, 14.) ibi destruxit eum qui habet potestatem mortis h. e. diabolum. „

„κούντων καταπαῦσαι τὸ θράσος." γ'. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως 1) ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. Καθάπερ γὰρ τὸν μὲν καπνὸν σκεδάννυσι τῶν ἀνέμων ἡ 2) προσβολὴ, ὁ δὲ κηρὸς λύεται τῷ πυρὶ προσπελάζων, οὕτω Δέσποτα τῇ σῇ 3) παρουσίᾳ φροῦδοι γενήσονται 4) παντελῶς τῶν ἀνθρώπων οἱ δυσμενεῖς· οὓς γὰρ ἁμαρτωλοὺς οἱ ἑβδομήκοντα εἰρήκασιν, ἀσεβεῖς ὠνόμασαν οἱ ἄλλοι πάντες ἑρμηνευταί· οὕτω δὲ αὐτοὺς καὶ ὁ Ἑβραῖος, καὶ ὁ Σύρος 5) καλεῖ. δ'. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. 6) Τούτου δὲ φησι γινομένου, θυμηδίας ἐμφορηθήσεται ἅπας ὁ τῶν δικαίων χορός. ἀγαλλιάσθωσαν 7) ἐνώπιον τοῦ Θεοῦ· τερφθήτωσαν ἐν εὐφροσύνῃ. ἔδειξε διὰ τούτων, ὡς οὐ κατὰ ἀνθρώπων ἐκείνην τὴν ἱκετείαν προσήνεγκεν, ἀλλὰ κατὰ τῶν τοὺς ἀνθρώπους πολεμούντων δαιμόνων· ὧν σκεδαννυμένων καὶ φρούδων γενομένων, ἀγάλλεται τὰ ἔθνη, καὶ τὸν σεσωκότα Θεὸν ἀνυμνεῖ. ε'. ᾄσατε 8) γάρ φησι τῷ Θεῷ· ψάλατε τῷ ὀνόματι αὐτοῦ· ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν· Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. 9) Ἐνταῦθα ὁ προφητικὸς λόγος τοῖς ἱεροῖς ἀποστόλοις παρεγγυᾷ μετὰ χορείας καὶ ὑμνῳδίας εἰς τὰ ἔθνη δραμεῖν, καὶ τὴν ὁδὸν εὐτρεπίσαι τῷ τῶν ὅλων παμβασιλεῖ. ἔοικε δὲ ταῦτα τοῖς 10) ὑπὸ τοῦ Κυρίου πρὸς αὐτοὺς εἰρημένοις· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ

„ciam compescerent." 3. *Sicut deficit fumus, deficiant: sicut fluit cera a facie ignis, sic pereant peccatores a facie Dei.* Quemadmodum enim ventorum impetus fumum dissipat, et cera igni admota dissoluitur: sic o Domine tua præsentia maleuoli homines penitus vani reddentur. Quos enim *peccatores* Septuaginta dixerunt, impios nominarunt omnes alii Interpretes, et Hebraicum exemplar, et Syrus. 4. *Et iusti lætentur.* Cum autem, inquit, hoc perfectum fuerit, lætitia replebitur omnis iustorum chorus. *Et exultent in conspectu Dei, et delectentur in lætitia.* Ostendit per hæc, se non contra homines preces illas attulisse, sed contra dæmonas, hominibus bellum inferentes. Quibus dissipatis, et vanis effectis, exultant gentes, et Deum qui salutem largitus est, laudant. 5. *Cantate Deo, et psalmum dicite nomini eius: iter facite ei, qui adscendit super occasum. Dominus nomen illi, et exultate in conspectu eius.* Hoc loco propheticus sermo sacros apostolos adhortatur, vt cum tripudiis et hymnis ad gentes currant, iterque vniuersorum Deo præparent. Similia sunt hæc iis, quæ a Domino ad illos dicta fuere, *a)* Euntes docete omnes gentes, baptizantes illos, in

1) Rec. lectio est ἀπόλοντο. 2) Cod. 2. ὑπερβολή. 3) παρουσίᾳ. Cod. 1. ἐνανθρωπήσει. 4) παντελῶς. Abest a Cod. 1. 5) καλεῖ. Cod. 1. add. οὓς γὰρ ἁμαρτωλοὺς ὀνομάζει, τούτους καὶ ἀσεβεῖς καλεῖ. 6) Τούτου κ. τ. λ. Alia habet CORD. p. 339. 7) ἐνώπιον — τερφθ. Def. in Cod. 2. 8) γάρ φησι. Abest a Cod. 2. 9) Ἐνταῦθα. Def. ibid. 10) Cod. 1. ἀπό.

a) Matth. 28, 19.

in nomine patris, et filii, et spiritus sancti. Par hanc autem disciplinam, et baptismatis regenerationem, aspera via, facta est facilis, a) et præparata est Deo volenti habitare et ambulare in ipsis secundum prophetam. b) *Super occasum* autem ipsum conscendisse, ait, ostendens tenebras, quæ in terra hominum animis obfusæ sunt. Hoc quidem sic Symmachus dixit, Sternite viam ei, qui vehitur in terra inculta. Inculta autem est solitudo, solitudinem vero sæpius * sacræ literæ gentes nuncupant, *Lætare enim*, inquit, *desertum sitiens.* Et rursus, *Plures filii deserta, quam eius quæ habet virum.* Hanc solitudinem, et incultam terram, et lumine priuatam, et idcirco occasum nominatam, sol iustitiæ ingressus, et caliginem dissipauit, et suum templum effecit terram antea incultam, *Turbabuntur a facie eius.* 6. *Patris orphanorum, et iudicis viduarum.* Non ferunt enim eius conspectum, iustum ipsum iudicem esse scientes. Nam per viduarum tutelam, et orphanorum curam, eius prouidentiæ iustitiam ostendit. Hunc dæmonum tumultum et timorem, diuinorum etiam Euangeliorum

ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· διὰ δὲ τῆς τοιαύτης μαθητείας, καὶ τῆς τοῦ 1) βαπτίσματος παλιγγενεσίας, λεῖα ἐγένετο ἡ τραχεῖα ὁδὸς, καὶ 2) εὐτρεπίζετο τῷ ἐνοικῆσαι ἐν αὐτοῖς, καὶ ἐμπεριπατῆσαι, κατὰ τὸν προφήτην, 3) βουλομένῳ Θεῷ· ἐπὶ δυσμῶν δὲ αὐτὸν ἐπιβεβηκέναι φησὶ, τὸ κατακεχυμένον τῶν 4) ἀνθρωπίνων ψυχῶν σκότος τηνικαῦτα παραδηλῶν· 5) τοῦτο μέντοι ὁ Σύμμαχος 6) ἡρμήνευσε, καταστρώσατε ὁδὸν τῷ ἐποχουμένῳ ἐν γῇ ἀοικήτῳ· ἀοίκητος δέ ἐστιν ἡ ἔρημος, ἔρημον δὲ τὰ ἔθνη πολλάκις ἡ θεία γραφὴ 7) προσηγόρευσεν· εὐφράνθητι γάρ φησιν ἔρημος διψῶσα, καὶ πάλιν· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ταύτης τῆς ἐρήμου, καὶ ἀοικήτου, καὶ τοῦ φωτὸς ἐστερημένης, καὶ τούτου χάριν δύσεως ὠνομασμένης, ἐπέβη τῆς δικαιοσύνης ὁ ἥλιος, καὶ τὸν ζόφον ἐξήλασε, καὶ ναὸν οἰκεῖον εἰργάσατο τὴν ἀοίκητον. ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ. ϛ'. Τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν. 8) Οὐ φέρουσι γὰρ αὐτοῦ τὴν ἐπιφάνειαν, δίκαιον αὐτὸν κριτὴν ἐπιστάμενοι· διὰ γὰρ τῆς τῶν χηρῶν κηδεμονίας, καὶ τῆς τῶν ὀρφανῶν ἐπιμελείας, τὸ δίκαιον αὐτοῦ τῆς προνοίας ἐδήλωσε· ταύτην τῶν δαιμόνων τὴν ταραχὴν καὶ τὸ δέος, καὶ τῶν θείων εὐαγγελίων ἡμᾶς

1) βαπτίσματος. Cod. 2. præm. πνεύματος καί. 2) εὐτρεπ. τῷ. Cod. 2. εὐτρεπὴς εἰς τό. 3) βουλομένῳ Θεῷ. Abest a Cod. 2. 4) Cod. 2. ἀνθρωπείων. 5) τοῦτο —ἀοίκητον. Cod. 1. ita:, δυσμὰς δὲ νοήσειεν ἄν τις καὶ τὴν ἐσχάτην ὥραν· καθ' ἣν Χριστὸς ὁ Θεὸς ἐκ παρθένου ἄνθρωπος ἐγένετο· καὶ τούτου χάριν δύσεως δύσεως ὠνομασμένης ἐπέβη ὁ τῆς δικαιοσύνης ἥλιος καὶ τὸν ζόφον ἐξήλασε, καὶ ναὸν οἰκεῖον εἰργάσατο τὴν ἀοίκητον· περὶ ἧς ὁ προφήτης πολλὰ τὰ τέκνα λέγει τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ταύτῃ τῇ ἐρήμῳ καὶ ἀοικήτῳ καὶ τοῦ φωτὸς ἐστερημένῃ ἀνέβη ὁ ἐκ Θεοῦ Θεός. 6) ἡρμήνευσε. Cod. 2. præm. οὕτως. 7) προσηγόρευσεν. Cod. 2. præm. τὴν ἀοίκητον γῆν. 8) Οὐ φέρουσι κ. λ. Alia, vt ad totum fere hunc Psalmum, habet CORD. T. II. p. 342.

a) Matth. 3, 3. b) Es. 40, 3.

μᾶς ἡ ἱστορία διδάσκει· ἀκούομεν γὰρ αὐτῶν λεγόντων, τί ἡμῖν καὶ σοι, υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι 1) ἡμᾶς. ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ. ἐπειδὴ εἶπεν, ἀναστήτω ὁ Θεὸς, καὶ ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, εἰκότως τοῦτο προστέθεικε, μονονουχὶ λέγων, μηδεὶς ἡγείσθω 2) τὸν τῶν ὅλων Θεὸν μεταβάσει χρώμενον τὰς οἰκονομίας ποιεῖσθαι. τοιοῦτόν ἐστι τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ· 3) καὶ διὰ τούτων γὰρ τὸ τῆς θείας φύσεως 4) ἀπερίγραφον ἔδειξε· καὶ ἐδίδαξεν, ὡς 5) κατελήλυθε, καὶ κάτω διάγων, καὶ τοῖς ἀνθρώποις συμπολιτευόμενος, καὶ ἐν οὐρανῷ ἦν, καὶ τοῦ πατρὸς οὐκ 6) ἐκεχώριστο. ζ. Ὁ Θεὸς κατοικίζει 7) μονοτρόπους ἐν οἴκῳ· ἐξάγων πεπεδημένους 8) ἐν ἀνδρείᾳ· 9) ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις. Μονοτρόπους καλεῖ, τοὺς ἕνα σκοπὸν ἔχοντας, καὶ τῆς ἀρετῆς μόνης ἐπιμελεῖσθαι προαιρουμένους, καὶ 10) μὴ νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα προαιρουμένους. 11) τούτους ἐν τῷ

historia nos docet. Audimus enim ipsos dicentes: Quid nobis et tibi fili Dauid? venisti ante tempus torquere nos. *Deus in loco sancto suo.* Quoniam dixit, *Exsurgat Deus*, et *Iter facite illi, qui adscendit super occasum*, iure hæc appofuit, quasi dicat, Nemo opinetur vniuersorum Deum res nostras dispensare loca mutando. Simile est illud, quod a Domino dictum est, *Nemo adscendit in cælum, nisi qui descendit de cælo, filius hominis, qui est in cælo.* Per hæc enim et diuinam naturam ostendit minime circumscribi, et docuit descendisse: cumque in terra degeret, et cum hominibus versaretur, tamen in cælis fuisse, a patre nunquam separatum. 7. *Deus facit vt habitent qui vnius moris sunt, in domo; qui educit vinctos in fortitudine; similiter eos, qui exasperant, qui habitant in sepulcris.* Eos qui vnum propositum habent, vocat *vnius moris*, quique de sola virtute solliciti esse decreuerunt, nec modo hæc, modo illa malunt. Hos diuinam do-

1) ἡμᾶς. Cod. 1. add. οἱ δαίμονες Θεὸν ὁμολογοῦσι τὸν ἐκ παρθένου· καὶ ὁ δυσσεβὴς Νεστόριος καὶ οἱ κατ᾽ αὐτὸν μεμηνότες ἀχαλινώτοις στόμασιν ἄνθρωπον αὐτὸν δογματίζειν τολμῶσι. καὶ ὅρα τί φησὶ διὰ τῶν ἑξῆς ὁ προφητικὸς νοῦς. „ Dæmones profitentur, eum qui e virgine natus est, Deum esse, impius vero Nestorius, et qui cum eo insaniunt, impudentissimo ore affirmare audent, eum esse hominem. Vide etiam, quæ in sequentibus sit mens Prophetæ. „ 2) τὸν — εἰρημένον. Cod. 1. ita: τὸν σταυρωθέντα ἄνθρωπον ἀλλὰ Θεὸν ἐνανθρωπήσαντα· καὶ ἄκουε τοῦ Κυρίου, βοῶντος, οὐδεὶς κ. τ. λ. 3) καὶ — ἐδίδαξεν. Cod. 1. ἰδοὺ ἕνα καὶ τὸν αὐτὸν ἀκούων καὶ διὰ πολλῶν, ὁμολόγει Θεὸν ἐκ Θεοῦ καὶ σωθήσῃ. „ Ecce itaque cum vnum eundem esse audias, et per plures, confitere Deum ex Deo et seruaberis. „ Sequitur, διὰ γὰρ τούτων ἐδίδαξεν, ὡς κ. τ. λ. 4) Cod. 2. ἀπερίγραπτον. 5) Cod. 1. 2. κατεληλυθώς. 6) Cod. 2. ἐχώριστο. 7) μονοτρόπους. Hebr. יחידים *unicos* s. solitarios. 8) ἐν ἀνδρείᾳ. Hebr. בכושרות *in compedibus.* 9) ὁμοίως — τάφοις. Hebr. אך־סוררים שכנו צחיחה *at vero rebelles inhabitant terram aridam.* Symm. οἱ δὲ ἀπειθεῖς κατοικήσουσι καύσωνος ξηρότητα. 10) μή. Abest a Cod. 2. 11) τούτους — θείῳ. Cod. 2. τούτους δὲ ἐνοικεῖν τὸ θεῖον. In Cod. 1. post τούτους etiam sequ. δέ.

mum inhabitare dicit. *Vinctos* autem eos dicit, qui vndique peccati vinculis circumdati sunt, quos solutos fortes euasuros prædixit. Talis fuit Matthæus, talis Iacobus Alphæi, talis Zacchæus, qui a peccati vinculis liberati, valde viriliter contra eum qui eos vinxerat, bellum susceperunt. Non solum autem, inquit, vinctos fortes reddit: sed etiam eos, qui in cumulum impietatis peruenerant, et tanquam in sepulcris grauiter olentibus, videlicet in propriis corporibus habitabant, hos inquam cum illis * salute dignabitur. * 8. *Deus cum egredereris in conspectu populi tui, cum pertransires in deserto,* 9. *Terra mota est, etenim cæli stillauerunt.* Symmachus sic interpretatus est, Deus cum præcederes populum tuum, et ambulares per incultam terram, terra concussa est, et cælum stillauit. Cum, inquit, transiturus esses in illam solitudinem, et terram incultam, et quæ nondum radium luminis accepit, agitasti terram, et commouisti, et e cælo gratiæ rores stillasti. Hoc autem cum cruci affigeretur accidit, tunc enim terra mota est, et petræ scissæ sunt, „ ac totus terrarum „ orbis concussus est, cum vni„ uersorum conditorem sensu „ quasi perciperet cruci affixum „ esse: „ illud vero, post redi-

οἴκῳ 1) τῷ θείῳ κατοικίζεσθαι λέγει. πεπεδημένους 2) δὲ, τοὺς τὰ τῆς ἁμαρτίας περικειμένους δεσμά· οὓς λυομένους ἀνδρείους ἀποτελεῖσθαι προείρηκε. τοιοῦτος ἦν ὁ Ματθαῖος, τοιοῦτος ὁ Ἰάκωβος ὁ Ἀλφαίου, τοιοῦτος ὁ Ζακχαῖος· οἱ τῶν τῆς 3) ἀδικίας ἀπαλλαγέντες δεσμῶν, ἀνδρείως μάλα τὸν κατὰ τοῦ πεδήσαντος ἀνεδέξαντο πόλεμον· οὐ μόνον δέ φησι τοὺς πεπεδημένους ἀνδρείους 4) ἐργάζεται, ἀλλὰ καὶ τοὺς εἰς ἄκρον 5) δυσσεβείας ἐληλακότας, καὶ ὡς ἐν τάφοις δυσώδεσι, τοῖς οἰκείοις σώμασι κατοικοῦντας. καὶ τούτους 6) γὰρ μετ᾽ ἐκείνων ἀξιώσει 7) τῆς σωτηρίας. η΄. Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε 8) ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε 9) ἐν τῇ ἐρήμῳ. θ΄. Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν. 10) Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ὁ Θεὸς προερχομένου σου πρὸ τοῦ λαοῦ σου, βαίνοντος διὰ τῆς 11) ἀοικήτου, γῆ 12) ἐσείσθη, οὐρανὸς δὲ 13) ἔσταξε· μέλλων φησὶ 14) διαβαίνειν εἰς τὴν ἔρημον ἐκείνην καὶ ἀοίκητον, καὶ μηδέπω δεξαμένην τοῦ φωτὸς τὴν ἀκτῖνα, ἐκλόνησας 15) μὲν τὴν γῆν, καὶ συνέσεισας· οὐρανόθεν δὲ τὰς τῆς χάριτος ψεκάδας 16) ἐπέσταξας. γέγονε δὲ τὸ μὲν ἐπὶ τοῦ 17) σταυροῦ· τότε γὰρ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐῤῥάγησαν· „ 18) καὶ τὸ „ πᾶν τῆς γῆς ἐκλονεῖτο, τὸν δημιουργὸν „ τοῦ παντὸς αἰσθήσει τινὶ θεώμενον, ἐπὶ „ σταυροῦ κρεμάμενον. „ τὸ δὲ μετὰ τὴν εἰς

1) τῷ θείῳ. Cod. 1. τοῦ Θεοῦ. 2) δέ. Cod. 1. addit ἐν ἀνδρείᾳ. 3) ἀδικίας. Cod. 2. ἁμαρτίας. 4) Cod. 1. ἐργάσεται. 5) δυσσεβείας. Cod. 1. add. καὶ παρανομίας. Cod. 2. habet tantum ἀσεβείας. 6) γάρ. Abest a Cod. 1. 7) τῆς. Abest a Cod. 2. 8) ἐν μέσῳ. Rec. lectio quam Cod. 1. et 2. tuentur, est ἐνώπιον. 9) ἐν τῇ ἐρήμῳ. Rec. lectio est τὴν ἔρημον. 10) Cod. 1. 2. ταῦτα. 11) Cod. 1. ἀοράτου. 12) ἐσείσθη. MONTF. in Hexaplis habet ἐσαλεύετο. 13) Apud MONTF. leg. ἀπέσταξεν. 14) διαβ. Abest a Cod. 2. 15) μὲν τὴν γῆν. Des. in Cod. 2. 16) Cod. 1. ἔσταξας. 17) σταυροῦ. Cod. 1. add. ὅτε ὁ Θεὸς καὶ σωτὴρ τὸ ὑπὲρ ἡμῶν ἐπαχε σαρκὶ πάθος. 18) E Cod. 1.

εἰς οὐρανοὺς ἄνοδον. τηνικαῦτα γὰρ ἐπεφοίτησεν ἡ τοῦ 1) πνεύματος χάρις, οἷόν τινας δρόσου ψεκάδας 2) μιμουμένη, τοῖς 3) ἀποστόλοις· εἶτα σαφέστερον Ἰουδαίους διδάσκων τὸν πάντα 4) ταῦτα δρῶντα, ἐπήγαγεν. ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ· ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ. ὁ γὰρ ἐν τῷ Σινᾶ ὄρει 5) φησὶ τοῖς ἡμετέροις προγόνοις 6) φανεὶς, 7) οὗτος καὶ τὴν γῆν ἔσεισε παρὰ τὸν τοῦ πάθους καιρὸν, τὴν 8) ὑμετέραν διελέγχων μανίαν, καὶ τὴν τοῦ πνεύματος 9) ἐδωρήσατο χάριν. ί. Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ Θεὸς 10) τῇ κληρονομίᾳ σου. 11) Ἅσπερ ἄνω ψεκάδας ἐκάλεσεν, ἐνταῦθα ὑετὸν προσηγόρευσε. πρὸς γὰρ τὴν χρείαν τῶν μανθανόντων ἐχορηγεῖτο τοῖς διδασκάλοις ἡ χάρις. ὑετὸν γὰρ τῆς διδασκαλίας τὴν ἀρδείαν καλεῖ· ἑκούσιον δὲ αὐτὴν προσηγόρευσε, διὰ τὸ τῆς γνώμης αὐθαίρετον· οὐ γὰρ ἀνάγκη τις ἄρδεται, ἀλλὰ τῇ διδασκαλίᾳ πειθόμενος, ἀπολαύει τῆς χάριτος. καὶ ἠσθένησε· σὺ δὲ κατηρτίσω αὐτήν. ἠσθενηκέναι οὐ „12) βροχὴν, ἀλλὰ„ τὴν κληρονομίαν ἔφη· ἀσθένειαν δὲ τὰς τῶν δυσσεβῶν ἐπαναστάσεις ἐκάλεσεν· οὕτως καὶ ὁ Κύριος πρὸς τὸν Παῦλον ἔφη· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἀλλὰ καὶ ἐν τῷ τῆς ἐπαναστάσεως καιρῷ, σὺ βεβαιοῖς καὶ στηρίζεις τοὺς ἀθλητάς· τούτους γὰρ 13) ἔχεις κληρονομίαν, κατὰ τὴν προφητείαν τὴν λέγουσαν, αἴτησαι παρ' 14) ἐμοῦ, καὶ

tum in cælos, tunc enim Spiritus gratia in apostolos venit, velut quasdam roris guttas imitans. Deinde manifestius Iudæos docens Deum omnia hæc facientem, subiunxit. *A facie Dei Sinai, a facie Dei Israel.* Qui enim in Sinai monte, inquit, maioribus nostris apparuit, hic et terram commouit tempore passionis, vestram insaniam redarguens, et spiritus gratiam largitus est. 10. *Pluuiam voluntariam segregabis Deus hereditati tuæ.* Quas superius *guttas* vocauit, hoc in loco *pluuiam* nuncupauit. Ad vtilitatem enim discipulorum gratia affatim magistris suppeditabatur. *Pluuiam* enim doctrinæ irrigationem dixit. *Voluntariam* autem appellauit, ob liberum arbitrium. Non enim ex necessitate irrigatur quisquam, sed doctrinæ acquiescens, consequitur gratiam. *Et infirmata est: tu vero perfecisti eam.* Infirmatam esse „ non pluuiam, „ sed „ ipsam hereditatem dicit: *infirmitatem* vero impiorum insultum nuncupauit. Sic et Dominus Paulo ait: a) Sufficit tibi gratia mea: nam virtus mea in infirmitate perficitur. Quin et irruptionis tempore tu confirmas, et corroboras athletas. Hos enim habes hereditatem, secundum prophetiam dicentem, b) Postula a me, et dabo

1) πνεύματος. Cod. 1. præm. παναγίου. 2) μιμουμένη. Cod. 1. δωρουμένη. 3) ἀποστόλοις. Cod. 1. add. κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου φωνήν. 4) ταῦτα. Abest a Cod. 2. 5) φησί. Cod. 1. ὀφθείς. 6) φανείς. Def. in Cod. 1. 7) οὗτος — καιρόν. Cod. 1. οὗτος τῇ γῇ βαδίσας ὁδῷ φιλανθρωπίας κατὰ τὸν τοῦ πάθους αὐτοῦ καιρὸν, ταύτην ἔσεισε. 8) ὑμετέραν. Cod. 1. add. τῶν θεοκτόνων. 9) ἐδωρήσατο. Cod. 1. præm. τοῖς ἀποστόλοις, τοῦτο γὰρ θέλει εἰπεῖν. 10) Cod. 2. adscr. habet lectionem τὴν κληρονομίαν. 11) Ἅσπερ — χάριτος. Def. in Cod. 2. 12) E Cod. 1. et 2. suppl. 13) Cod. 2. ἔχει. 14) Cod. 1. ἐμοί.

a) 2 Cor. 12, 9. b) Ps. 2, 8.

dabo tibi gentes hereditatem tuam, et possessionem tuam terminos terræ. Sic etiam Symmachus exposuit, Quam perfecisti, et stabiliuisti: et Aquila manifestius dixit, Tu confortasti eam, quæ laborabat. Eam enim quæ in persecutoribus multos suscepit labores, immotam conseruasti. 11. *Animalia tua habitabunt in ea.* Sacros apostolos nuncupat *animalia Dei*, quibus insidens errorem * abegit, * hominesque' ad Dei cognitionem conuertit. Sic et de Paulo dixit, a) Quoniam vas electionis mihi est iste, vt portet nomen meum coram gentibus et regibus, et filiis Israel. Idcirco ipsos *equos* diuinus Habacuc nominauit, Adscendere fecisti enim, inquit, b) in mare equos tuos, turbantes aquas multas. Hos habitare in Dei hereditate, hoc est, in gentibus, propheta prædixit. Habitant enim vsque ad hodiernum diem: qui non modo corporum thecis sanctos reddunt eos qui appropinquant: verum etiam doctrina suorum scriptorum hominum animos conuertunt. *Parasti in bonitate tua pauperi Deus.* Hæc autem, inquit, inopi hominum naturæ per tuam bonitatem largitus es. 12. *Dominus dabit verbum euangelizantibus in virtute multa.* Quos superius *animalia* appellauit, hoc in loco *euangelistas* nominat. Et quoniam piscatores erant, et publicani, et coriarii: electi sunt autem vt præceptores essent philosophorum, et sophistarum, et rhetorum, et eorum qui ob di-

δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου, τὰ πέρατα τῆς γῆς· οὕτω δὲ καὶ ὁ Σύμμαχος ἡρμήνευσεν, ἣν ἐξεποίησας καὶ ἥδρασας· ὁ δὲ Ἀκύλας σαφέστερον, καὶ 1) μεμοχθηκυῖαν 2) σὺ ἥδρασας· καμοῦσαν γὰρ ἐν τοῖς διωγμοῖς ἀτρεμῆ διεφύλαξας. ια΄. Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ. Ζῶα Θεοῦ τοὺς ἱεροὺς ἀποστόλους καλεῖ· ὧν ἐπιβὰς τὴν πλάνην ἐξήλασε, καὶ τοὺς ἀνθρώπους εἰς θεογνωσίαν ἐπέστρεψεν· οὕτω καὶ περὶ τοῦ Παύλου φησὶν· ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ· τούτου χάριν ἵππους αὐτοὺς 3) ὁ θεῖος ὠνόμασεν 4) Ἀβακούμ· ἐπεβίβασας γὰρ 5) φησιν εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά· τούτους οἰκεῖν ἐν τῇ τοῦ Θεοῦ κληρονομίᾳ, τουτέστιν ἐν τοῖς ἔθνεσιν, ὁ προφητικὸς ἐθέσπισε λόγος. οἰκοῦσι δὲ μέχρι καὶ τήμερον, 6) οὐ μόνον ταῖς θήκαις τῶν σωμάτων ἁγιάζοντες τοὺς 7) πελάζοντας· ἀλλὰ καὶ τῇ διδαχῇ τῶν συγγραμμάτων τὰς τῶν ἀνθρώπων ψυχὰς 8) ἐπιστρέφοντες. ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεός. ταῦτα δέ φησι τῇ πτωχῇ τῶν ἀνθρώπων φύσει διὰ 9) τὴν σὴν ἐδωρήσω χρηστότητα. ιβ΄. Κύριος δώσει ῥῆμα 10) τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Οὓς ἄνω ζῶα προσηγόρευσεν, εὐαγγελιστὰς ἐνταῦθα καλεῖ. καὶ ἐπειδὴ ἁλιεῖς ἦσαν, καὶ τελῶναι, καὶ σκυτοτόμοι, ἐχειροτονήθησαν 11) δὲ φιλοσόφων, καὶ σοφιστῶν, καὶ ῥητόρων, καὶ τῶν ἐπὶ εὐγλωττίᾳ βρενθυομέ-

1) Cod. 1. μεμοχθεῖσαν, omisso σύ. 2) σὺ ἥδρασας. Cod. 2. συνήδρασας. 3) ὁ. Cod. 1. 2. præm. καί. 4) Cod. 2. Ἀμβακούμ. 5) φησίν. Abest a Cod. 1. 6) οὐ μόνον. Def. in Cod. 2. 7) πελάζοντας. Cod. 1. add. καὶ πάθη ἐλαύνοντες. 8) ἐπιστρέφοντες. Cod. 1. εὐεργετοῦντες. 9) τὴν σὴν — χρηστότητα. Cod. 1. τῆς σῆς — οἰκονομίας. 10) τοῖς — πολλῇ. *Hebr.* læta nuntiantium est agmen magnum. 11) δέ. Abest a Cod. 2.

a) Act. 9, 15. b) Hab. 3, 15.

θυομένων διδάσκαλοι, εἰκότως διδάσκει πόθεν ἀρυόμενοι τῆς διδασκαλίας τὰ νάματα, τὴν ἄρδειαν 1) προσφέρουσιν. ιγ΄. 2) Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου σου διελέσθαι σκῦλα. 3) Ὁ δὲ Σύμμαχος οὕτως· Κύριος ἔδωκε ῥήσεις 4) τοῖς εὐαγγελιζομένοις στρατιᾷ πολλῇ. βασιλεῖς τῶν 5) στρατιῶν ἠγαπήθησαν· 6) ἀγαπητοὶ ἐγένοντο, καὶ ἡ δίαιτα τοῦ οἴκου 7) διανεμεῖ λάφυρα. καλεῖ δὲ στρατιὰν 8) πολλὴν, τοὺς πεπιστευκότας· οὕτω δὴ καὶ ὁ 9) ἀπόστολος Τιμοθέῳ γράφων λέγει, στρατεύου τὴν καλὴν στρατείαν· καὶ οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· βασιλεῖς δὲ στρατιῶν, τοὺς τούτων διδασκάλους ὠνόμασεν· οὓς ἠγαπῆσθαι, καὶ ἀγαπητοὺς ὀνομάζεσθαί φησιν. οὕτω δὲ αὐτοὺς καὶ ὁ Κύριος καλεῖ, ὑμεῖς φίλοι μου ἐστέ· 10) οὐκ ἔτι καλέσω ὑμᾶς δούλους, ἀλλὰ φίλους. οὕτω καὶ ὁ θεῖος 11) ἀπόστολος λέγει· ἡ γὰρ ἀγάπη τοῦ Θεοῦ συνέχει 12) ἡμᾶς· καί τις ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ 13) Χριστοῦ; λάφυρα δὲ καλεῖ, τοὺς πάλαι μέλη τὰ οἰκεῖα δοῦλα τῆς ἁμαρτίας πεποιηκότας, καὶ τῷ διαβόλῳ ταῦτα εἰς δουλείαν 14) ἐκδεδωκότας. τούτους δὲ τοῖς ἱεροῖς διένειμεν ἀποστόλοις· τὸν μὲν Ῥωμαίων, τὸν δὲ Ἑλλήνων διδάσκαλον προστησάμενος· καὶ τοὺς μὲν Ἰνδῶν, τοὺς δὲ

cendi facultatem ſe ipſos efferebant, merito docet, vnde hauſtis doctrinæ fluentis irrigationem afferant. 13. *Rex virtutum dilecti, ſpecie domus tuæ diuidere ſpolia.* Symmachus hoc modo edidit, *Dominus dedit verba euangelizantibus multo exercitu. Reges militum dilecti fuerunt: amabiles facti ſunt, et habitatio domus diuidet ſpolia.* Vocat autem *multum exercitum* eos qui crediderunt. Sic et apoſtolus Timotheo ſcribens dicit, *a)* Milita bonam militiam. Et *b)* nemo militans negotiis vitæ implicatur, vt exercitus Duci placeat. *Reges* vero *militum*, horum præceptores appellauit, quos diligi amabilesque nominari dixit. Sic autem ipſos et Dominus vocat: *c)* Vos amici mei eſtis. Iam non dicam vos ſeruos, ſed amicos. Sic et diuinus apoſtolus dicit: *d)* Dilectio enim Dei continet nos. Et *e)* quis ſeparabit nos a dilectione Chriſti? *Spolia* vero nuncupat eos, qui ſua olim membra peccato ſeruire fecerunt, et illa in ſeruitutem diabolo tradiderunt. Hos autem ſacris apoſtolis diſtribuit, cum hunc quidem Romanis magiſtrum, hunc vero Græcis præfecit, et hos Indis, hos vero Aegyptiis

1) προσφέρουσιν. Cod. 1. add. λέγει γάρ. 2) Ὁ — σκῦλα. *Hebr*. Reges exercituum fugient, fugient inquam, et quæ habitat in domo diuidet ſpolia. 3) Ὁ δὲ κ. λ. Cod. 1. præm. δυνάμεων ἀντὶ τοῦ τῶν στρατιῶν λέγει. 4) τοῖς εὐαγγ. Apud MONTF. in Hexapl. leg. εὐαγγελιζομένῃ. 5) Cod. 1. στρατευτῶν. 6) ἀγαπητοὶ ἐγένοντο. Deſ. in Cod. 2. 7) Cod. 1. 2. διανέμει. Sic quoque leg. apud MONTF. ad h. l. 8) πολλήν. Cod. 1. πάλιν. 9) ἀπόστολος. Cod. 1. præm. θεῖος. 10) οὐκ. Cod. 2. præm. καί. 11) ἀπόστολος. Cod. 1. Παῦλος. 12) ἡμᾶς. Cod. 1. add. καὶ ἵνα δείξῃ, τίς ὁ Θεὸς, ἔφη. 13) Χριστοῦ. In Cod. 1. ſequ. ὁρᾷς ὅτι τὸν αὐτὸν καὶ Θεὸν καὶ Χριστὸν καὶ ἄνθρωπον καὶ Ἰησοῦν καὶ σωτῆρα οἶδεν ἐκπαιδεύειν ὁ τῶν ἐθνῶν λαός. 14) Cod. 1. ἐκπεπτωκότας.

a) 1 Tim. 1, 18. *b)* 2 Tim. 2, 4. *c)* Ioh. 15, 14. 15. *d)* 2 Cor. 5, 14. *e)* Rom. 8, 35.

Aegyptiis praecones destinauit. Haec spolia sacris apostolis species * domus distribuit. *Domus* autem *Dei*, secundum diuinum apostolum, hi sunt, qui crediderunt. *Species* vero *domus*, est gratia Spiritus sancti, quae hanc pulchram et illustrem reddidit variorum donorum largitione. Et hoc apertius docuit in sequentibus. 14. *Si dormiatis inter medias sortes, pennae columbae deargentatae, et posteriora dorsi eius in pallore auri.* *Pennas* vero *columbae* vocat Spiritus gratiam. In specie enim columbae ad Iordanis flumen venit. Huius vero alas deargentatas esse dicit: posteriora autem dorsi ornata esse auro. Nam simpliciora et faciliora simplicioribus porrigit, perfectioribus vero altiora. Mysteria enim mea mihi, et meis. *a)* Et his quidem vt imperfectis lac praebet, illis vero solidum cibum. *Sortes* autem vocat duo testamenta. Dicit igitur in vtraque doctrina, accedite, et videbitis omnis generis Spiritus sancti gratiam. Non simpliciter sane accedere, sed continenter assidere iussit. Hoc enim dixit *dormire*, eo quod qui dormit, immobilis permanet. 15. *Dum discernit*

Αἰγυπτίων κήρυκας ἀποφῆνας. ταῦτα τοῖς ἱεροῖς ἀποςόλοις τὰ λάφυρα ἡ τῦ οἴκου ὡραιότης διένειμεν· οἶκος δὲ τοῦ Θεοῦ, κατὰ τὸν θεῖον ἀπόςολον, οἱ πεπιςευκότες. ὡραιότης δὲ τῦ οἴκου, ἡ χάρις τῦ ἁγίου πνεύματος, ἡ τοῦτον ὡραΐζουσά τε καὶ λαμπρύνουσα τῇ παντοδαπῇ φιλοτιμίᾳ τῶν δωρεῶν· καὶ τοῦτο σαφέςερον διὰ τῶν ἐπαγομένων 1) ἐδίδαξεν. ιδ΄. Ἐὰν κοιμηθῆτε 2) ἀναμέσον τῶν κλήρων, πτέρυγες περιςερᾶς περιηργυρωμέναι, καὶ 3) τὰ μετάφρενα αὐτῆς, ἐν χλωρότητι χρυσίου. Πτέρυγας δὲ καλεῖ περιςερᾶς, τὴν χάριν τοῦ πνεύματος· ἐν εἴδει γὰρ περιςερᾶς παρὰ τὰ Ἰορδάνεια ἐπεφοίτησε ῥεῖθρα. ταύτης δὲ τὰς 4) μὲν πτέρυγας, 5) περιηργυρῶσθαί φησι· τὰ δὲ μετάφρενα 6) κεκοσμῆσθαι χρυσίῳ· τὰ μὲν γὰρ ἁπλούςερα, καὶ 7) εὐκολώτερα, τοῖς ἁπλουςέροις προσφέρει· τοῖς δὲ 8) τελειοτέροις, τὰ βαθύτερα. τὰ γὰρ μυςήριά μου 9) ἐμοὶ καὶ τοῖς ἐμοῖς· καὶ τοὺς μὲν, 10) ὡς ἀτελεῖς, γάλα ποτίζει. τοῖς δὲ τὴν ςερεὰν προσφέρει τροφήν. κλήρους δὲ καλεῖ, τὰς δύο 11) διαθήκας. λέγει τοίνυν 12) ἐν ἑκατέρᾳ διδασκαλίᾳ, προσέλθετε καὶ ὄψεσθε τὴν παντοδαπὴν τῦ 13) ἁγίυ πνεύματος χάριν. οὐχ ἁπλῶς μέν τοι προσελθεῖν, ἀλλὰ καὶ διηνεκῶς προσεδρεῦσαι προσέταξε. τῦτο γὰρ ἐκάλεσε κοιμηθῆναι· ὡς τοῦ καθεύδοντος ἀκινήτου μένοντος. ιε΄. 14) Ἐν τῷ διαςέλλειν τὸν

1) ἐδίδαξεν. Cod. 1. add. λέγων. 2) ἀναμέσον τῶν κλήρων. Hebr. בין שפתים *inter duo repagula.* 3) τὰ μετάφρενα. Hebr. אברותיה *alae eius.* 4) μὲν. Abest a Cod. 2. 5) Cod. 2. περιηργυρωμένας. 6) Cod. 2. περικεκοσμημένα. 7) Cod. 2. λευκότερα. 8) Cod. 1. et 2. ἐντελεστέροις. 9) ἐμοί. Cod. 1. praem. φησί. 10) ὡς. Abest a Cod. 1. 11) διαθήκας. Cod. 1. add. ἃς καὶ ἀνωτέρω πτέρυγας διὰ τὴν ποικιλίαν τῶν ἐν αὐταῖς θείων δογμάτων ὠνόμασε. „ quae etiam in superioribus vocauit *alas* ob diuersitatem diuinorum in vtroque oraculorum. Conf. p. 1021. n. 10. 12) ἐν. Cod. 2. ἐάν. 13) ἁγίου. Def. in Cod. 2. 14) Ἐν — ἐπουράνιον. Hebr. בפרש שדי *cum dissipauerit Omnipotens.*

a) Es. 24, 16. iuxta quosdam libros veteres. Conf. p. 1049. n. 11.

τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, 1) χιονωθήσονται ἐν Σελμών. Καὶ ἄνω βασιλεῖς τοὺς ἀποστόλους 2) ἐκάλεσεν, ὡς κληρονόμους τῆς βασιλείας τῶν οὐρανῶν· 3) ὡς καὶ ἐν τῷ ΜΔ' ψαλμῷ, ἄρχοντας προσηγόρευσε· καταστήσεις γὰρ αὐτούς φησιν ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. προλέγει δὲ τοῦ παναγίου πνεύματος τὴν ἐπιφοίτησιν, τὴν κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς 4) γενομένην, καθ' ἣν αὐτοὶ τῆς τῶν γλωσσῶν διαφορᾶς τὴν χάριν ἐδέξαντο· λέγει τοίνυν, ὡς κατ' ἐκεῖνον τὸν καιρὸν, ἐν ᾧ τὴν τῆς οἰκουμένης αὐτοῖς διαιρεῖ βασιλείαν, καὶ τῷ μὲν τούτων τῶν ἐθνῶν, τῷ δὲ ἐκείνων 5) προστάττειν 6) κελεύει, λαμπρυνεῖ αὐτοὺς, καὶ χιόνι δείξει παραπλησίους· προλέγει δὲ 7) καὶ τὸν τόπον, ἐν ᾧ ταῦτα γενήσεται. Σελμὼν 8) γὰρ τὴν Ἱερουσαλὴμ ὠνόμασεν· ἐν ἐκείνῃ γὰρ διάγων ὁ τῶν ἀποστόλων χορὸς, τῆς τοῦ παναγίου πνεύματος ἀπήλαυσε χάριτος. ιϛ'. Ὄρος τοῦ Θεοῦ, ὄρος 9) πῖον· ὄρος 10) τετυρωμένον, ὄρος πῖον. Οὓς ἐκάλεσε 11) ζῶα, καὶ εὐαγγελιστὰς, καὶ βασιλεῖς, καὶ ὄρος ὀνομάζει. οὕτω 12) καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις 13) ἔφη· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὕτω καὶ ὁ Ἡσαΐας βοᾷ· ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος 14) Κυρίου. πῖον δὲ αὐτὸ καὶ τετυρωμένον

cælestis reges super eam, *niue dealbabuntur in Selmon.* Et superius *reges* apostolos nuncupauit, tanquam regni cælorum heredes: quos etiam in quadragesimo quarto psalmo principes nominauit, Constitues enim eos, inquit, principes super omnem terram. Spiritus sancti autem aduentum prædicit factum die Pentecostes, in quo ipsi diuersarum linguarum gratiam acceperunt. Dicit igitur quod ea tempestate, qua ipsis orbis terrarum regna diuidit, et hunc quidem illis gentibus, hunc vero illis præesse iubet, illustrabit ipsos, et similes niui efficiet. Prædicit autem etiam locum, in quo hæc fient. *Selmon* enim Hierosolymam nominauit. In illa enim ciuitate degens apostolorum chorus sancti Spiritus gratiam consecutus est. 16. *Mons Dei*, *mons pinguis*, *mons coagulatus*, *mons pinguis.* Quos vocauit *animalia*, et euangelistas, et reges, *montem* etiam nuncupat. Sic et Dominus in sacris Euangeliis ait ad eos, *a)* Non potest ciuitas abscondi, supra montem posita. Sic et Esaias clamat, *b)* Erit in nouissimis diebus mons Domini perspicuus. *Pinguem* vero * ipsum et *coagulatum* vocat,

1) *χιονωθήσονται.* Hebr. תשלג *albescebat instar niuis.* 2) *ἐκάλεσεν.* Cod. 1. *ὠνόμασεν.* 3) *ὡς.* Cod. 1. *οὓς.* 4) Cod. 1. *γεγενημένην.* 5) Cod. 1. *προστατεύειν.* 6) Cod. 2. *κελεύει.* 7) *καί.* Def. in Cod. 2. 8) *γάρ.* Cod. 2. *δέ.* 9) *πῖον.* Hebr. בָּשָׁן. 10) *τετυρωμένον.* Hebr. הר גבננים *mons collium.* 11) *ζῶα.* Cod. 1. add. *καὶ ἱερεῖς.* 12) *καί.* Cod. 2. præm. *γάρ.* 13) *ἔφη.* Cod. 2. præm. *πρὸς αὐτούς.* 14) Κυρίου. Cod. 1. add. *καλεῖ γοῦν αὐτοὺς ὄρος, καλεῖ δὲ καὶ τὴν ἐκκλησίαν κυρίως κομῶσαν ἀεὶ τῷ πλήθει. οὐκ ἂν δέ τις ἁμάρτοι καὶ ὄρος νοήσας τὴν τοῦ Θεοῦ μητέρα, ἐν ᾗ ὁ Θεὸς κατῴκησεν ἐν αὐτῇ.* „ Ipsos proinde vocat montem, ita vero etiam vocat ecclesiam semper superbientem multitudine. Nec errauerit etiam qui montem dixerit Dei matrem, vtpote in qua habitauit Deus. „

a) Matth. 5, 14. *b)* Es. 2, 2.

vocat, tanquam multum cibi gregibus in ipſo paſcentibus præbentem, et multam pinguedinem a diuina gratia recipientem. 17. *Cur ſuſpicamini montes coagulatos? mons in quo beneplacitum eſt Deo habitare in eo.* Aquila ſic dixit, Cur contenditis montes excelſi aduerſus montem, quem deſiderauit Deus, vt ſedeat in eo? Ad Iudæos propheticus ſermo dirigitur, et ad iniqua hæreticorum conuenticula, quia ſe ipſos eccleſiam nominant, et cur, inquit, efferimini æmulando et æquiparando vos monti, quem Deus habitaculum ſuum reddidit? *Etenim Dominus habitabit in finem.* Non enim ſicut apud vos, Iudæi, ad determinatum tempus habitauit, ſic et in hoc deget: ſed ſempiternam habitationem in illo habebit. Hoc enim declarat, *In finem.* 18. *Currus Dei decem millibus multiplex, millia lætantium.* Non enim ſicut apud vos, Iudæi, paucos ſanctos habuit, ſuper quibus conſcendit, et in quibus habitauit, ſic et nunc habebit. Infinitis enim partibus plures illis ſunt, diuina conſcenſione digni. Noua enim hereditas habet innumera millia, et decades millium, ſanctorum hominum lætantium, et afferentium Deo fructum pietatis, qui recte viuunt, qui-

καλεῖ, ὡς πολλὴν τροφὴν ταῖς ἐν αὐτῷ νεμομέναις ἀγέλαις 1) παρέχον, καὶ πολλὴν ὑπὸ τῆς θείας χάριτος 2) δεξάμενον τὴν πιότητα. ιζ΄. Ἱνατί ὑπολαμβάνετε ὄρη τετυρωμένα; τὸ ὄρος ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ. 3) Ὁ δὲ Ἀκύλας 4) οὕτως· εἰς τί ἐρίζετε ὄρη ὠφρυωμένα τὸ ὄρος ὃ ἐπεθύμησε ὁ Θεὸς 5) τοῦ καθίσαι 6) ἐπ' αὐτό; πρὸς Ἰουδαίους ὁ προφητικὸς ἀποτείνεται λόγος, καὶ πρὸς τοὺς 7) παρανόμους τῶν αἱρετικῶν συλλόγους· οἳ ἐκκλησίας σφᾶς 8) ἑαυτοὺς ὀνομάζουσι· καί φησι, 9) τί ποτε 10) ἐρίζειν καὶ παρισοῦσθαι ἀλαζονεύεσθε τῷ ὄρει, ὃ οἰκητήριον ἀπέφηνεν ὁ Θεός; καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος. οὐ γὰρ ὡς παρ' ὑμῖν, ὦ 11) Ἰουδαῖοι, ῥητόν τινα ᾤκησε χρόνον, 12) οὕτως καὶ ἐν τούτῳ διάξει· ἀλλ' αἰώνιον ἐν τούτῳ χρήσει τὴν οἴκησιν· τοῦτο γὰρ δηλοῖ τὸ, εἰς τέλος. ιη΄. Τὸ ἅρμα τοῦ Θεοῦ, 13) μυριοπλάσιον χιλιάδες εὐθηνούντων. 14) Οὐ γὰρ ὡς παρ' ὑμῖν, ὦ Ἰουδαῖοι, ὀλίγους ἔσχεν ἁγίους, ὧν ἐπέβη, καὶ οἷς 15) ἐκοινώνησεν, οὕτω καὶ νῦν χρήσει. μυριοπλάσιοι γὰρ 16) ἐκείνων, οἱ τῆς θείας ἐπιβάσεως ἄξιοι· καὶ ἀριθμοῦ κρείττους χιλιάδας καὶ μυριάδας εὐθηνούντων, καὶ καρποφορούντων τῷ Θεῷ τὴν εὐσέβειαν, ἡ νέα ἔχει κληρονομία, ἰθυνομένας

1) Cod. 1. παρεχόμενον. 2) Cod. 1. δεχόμενον. 3) Ὁ δὲ κ. τ. λ. Cod. præm. τὸ εὐδόκησεν ἀντὶ τοῦ ἐπεθύμησεν. 4) οὕτως. Cod. 1. add. ἡρμήνευσε. 5) τοῦ — αὐτό. MONTF. in Hex. ad h. l. habet καθῆσαι αὐτῷ. Cod. 2. habet κατοικεῖν, adſcripta tamen lectione καθίσαι. 6) ἐπ' αὐτό. Cod. 1. ἐν αὐτῷ, ante καθίσαι poſitum. 7) παρανόμους τῶν αἱρετ. Cod. 1. τῶν παρανομούντων αἱρετικῶν. 8) Cod. 2. αὐτούς. 9) τί ποτε. Cod. 2. δήποτε. 10) ἐρίζειν — οἰκητήριον. Deſ. in Cod. 1. 11) Ἰουδαῖοι. Cod. 1. add. καὶ αἱρετικῶν παῖδες. 12) οὕτως — τέλος. Cod. 1. habet tantum pauca iſta τοῦτο γὰρ τὸ εἰς τέλος δηλοῖ. 13) μυριοπλ. χιλ. εὐθην. *Hebr.* duæ myriades, millia iterationis, ſ. multa millia. 14) Οὐ γὰρ κ. τ. λ. Pauciora habet CORD. p. 357. 15) ἐκοιν. Cod. 1. et 2. ἐνῴκησεν, quam lectionem etiam *Carafa* expreſſit. 16) Cod. 1. ἐκεῖνοι.

νας 1) καὶ τῶν στεφάνων ἀξιουμένας, καὶ ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐπειγομένας. Κύριος ἐν αὐτοῖς, ἐν Σινᾶ ἐν τῷ ἁγίῳ. ὁ ἐν τῷ Σινᾶ, φησὶ, τοῖς ἡμετέροις προγόνοις 2) ἐπιφανεὶς, 3) αὐτὸς καὶ 4) τούτους ἡνιοχεῖ· οὐ γὰρ ἄλλος ἐκεῖνος, καὶ ἄλλος οὗτος. ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν· οὕτω 5) δείξας ὁ προφητικὸς λόγος καταβεβηκότα, καὶ καταλύσαντα τῶν πολεμίων τὸ ξίφος, δείκνυσιν αὐτὸν 6) ἀνιόντα, καὶ τοῖς πάλαι αἰχμαλώτοις τὴν ἐλευθερίαν δωρούμενον. ιθ. Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν. Ἡ ἀνάβασις δηλοῖ τὴν 7) κατάβασιν· καὶ μάρτυς ὁ ἀπόστολος λέγων· τὸ δὲ ἀνέβη, τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν. ᾐχμαλώτευσε δὲ αἰχμαλωσίαν, τοὺς πάλαι γεγενημένους αἰχμαλώτους ἀπολαβών· καὶ οἱονεὶ 8) ἀνταιχμαλωτίσας, καὶ τὴν ἐλευθερίαν αὐτοῖς δωρησάμενος. ἔλαβες δόματα ἐν 9) ἀνθρώποις. ὁ 10) ἀπόστολος ἔδωκεν εἴρηκεν· ἀμφότερα δὲ γεγένηνται. λαμβάνων γὰρ παρὰ τῶν 11) προσιόντων τὴν 12) πίστιν, δωρεῖται τὴν χάριν. 13) „οὕτω γὰρ ὁ τῶν ἀποστόλων πιστεύσας „χορὸς, ὅτι Θεὸς ἐκ Θεοῦ ὑπάρχει, τῆς „τῶν οὐρανῶν βασιλείας κληρονόμος

que ad præmium cæleſtis vocationis feſtinant, et coronis donantur. *Dominus in eis, in Sinaï, in ſancto.* Qui in monte Sinai, inquit, noſtris maioribus ſe conſpiciendum præbuit, ipſe etiam homo factus hos regit. Non enim alius ille, et alius hic. Idem enim *a)* Dominus omnium, diues in omnes, qui inuocant illum. Sic propheticus ſermo poſtquam demonſtrauit eum, deſcendentem, et hoſtium agmen euertentem, oſtendit ipſum adſcendentem, et olim captiuis libertatem largientem. 19. *Adſcendiſti in altum, captiuam feciſti captiuitatem.* Adſcenſus deſcenſum oſtendit: et teſtis apoſtolus dicens: *b)* Quod autem adſcendit, quid eſt niſi quod et deſcendit prius in inferiores partes terræ? Qui deſcendit, ipſe eſt et qui adſcendit ſupra omnes cælos. Captiuam autem fecit captiuitatem, cum recepit eos, qui olim captiui fuerant, et quodammodo * captiuos cepiſſet, et libertatem ipſis largitus eſt. *Accepiſti dona in hominibus.* Apoſtolus dixit *c) dedit.* Vtrumque autem factum eſt. Accepta enim ab accedentibus fide, largitur gratiam. „Ita enim cœtus apo„ſtolorum credentium quod „Deus ex Deo ſit, regni „cæleſtis heres declaratus „eſt: *

1) καὶ — ἀξιουμένας. In Cod. 1. et 2. ſequ. poſt illa καὶ — ἐπειγομένας. Eundem verborum ordinem tenuit *Carafa.* 2) ἐπιφανεὶς. Cod. 2. addit ἦν. 3) αὐτός. Cod. 1. add. ἐνανθρωπήσας, quam lectionem etiam *Carafa* ſequutus eſt. 4) Cod. 2. τούτοις. 5) δείξας. Cod. 1. add. αὐτόν. 6) ἀνιόντα. Cod. 1. add. ὅθεν καταβὰς ἐκ ἀπῆν. 7) κατάβασιν. Cod. 1. add. μᾶλλον δὲ τὴν συγκατάβασιν. 8) Cod. 2. αἰχμαλωτίσας. 9) Rec. lectio τῶν ό. eſt ἀνθρώπῳ. 10) ἀπόστολος. Cod. 1. add. δέ. 11) προσιόντων. Cod. 1. add. αὐτῷ. 12) πίστιν. Cod. 1. add. τῶν ὁμολογούντων αὐτὸν Θεὸν ἐκ Θεοῦ. 13) E Cod. 1.

a) Rom. 10, 12. *b)* Eph. 4, 9. 10. *c)* Ibid. verſ. 11.

„ est: ita quoque innumeri „ martyres et qui honestam vi„ uendi rationem ingressi sunt, „ ac pro Deo verba fecerunt, „ glorificati sunt. „ *Etenim inobsequentes ad inhabitandum.* Aquila clarius interpretatus est, Etiam rebelles ad inhabitandum. Non respexisti, inquit, in antiquam eorum perfidiam: verum et repugnantes videns, perseuerasti eos beneficiis afficere, donec ipsos tuam habitationem redderes. 20. *Dominus Deus benedictus, benedictus Dominus quotidie.* Merito propheta ad canendos hymnos linguam soluit. Semper, inquit, laudatu dignus es, cum tanta benignitate vsus sis. *Prosperum iter faciet nobis Deus salutarium nostrorum.* Qui salutem nobis, inquit, donauit, hic nobis et iter complanabit, ne tantis bonis frustremur. 21. *Deus noster Deus saluos faciendi.* Concedet autem hoc, cum sit fons salutis. *Et Domini Domini exitus mortis.* Ipse enim aperuit nobis ineluctabilem mortis custodiam, et portas æneas confregit, et vectes ferreos contriuit. Et hoc per ea

„ ἀνεδείχθη· οὕτω μυριάδες τῶν ἀθλο„ φόρων καὶ τῶν ἐπὶ πολιτείᾳ σεμνῶς „ βιοτευσάντων ὑπὲρ Θεοῦ ποιούμενοι „ τοὺς λόγους ἐδοξάσθησαν. „ καὶ γὰρ ἀπειθοῦντας 1) τοῦ κατασκηνῶσαι. τοῦτο σαφέστερον ὁ Ἀκύλας ἡρμήνευσε, καὶ περ ἀπειθεῖς τοῦ κατασκηνῶσαι· οὐκ ἀπέβλεψας 2) φησιν εἰς τὴν προτέραν αὐτῶν ἀπείθειαν· ἀλλὰ καὶ ἀντιλέγοντας ὁρῶν, ἐπέμεινας εὐεργετῶν, ἕως αὐτοὺς οἰκητήριον οἰκεῖον ἀπέφηνας. κʹ. Κύριος ὁ Θεὸς εὐλογητός· εὐλογητὸς Κύριος ἡμέραν καθ᾽ ἡμέραν. Εἰκότως ὁ προφήτης εἰς ὑμνῳδίαν τὴν γλῶτταν ἐκίνησεν. ἀεί φησιν ὑμνεῖσθαι δίκαιος εἶ, 3) τοσαύτῃ φιλανθρωπίᾳ χρησάμενος. 4) κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν. ὁ τὴν σωτηρίαν ἡμῖν, φησὶ, δωρησάμενος, οὗτος ἡμῖν καὶ τὴν ὁδὸν ἐξομαλίσει, ὥστε τοσούτων μὴ διαμαρτεῖν ἀγαθῶν. καʹ. Ὁ Θεὸς 5) ἡμῶν ὁ Θεὸς 6) τοῦ σώζειν. 7) Παρέξει δὲ τοῦτο σωτηρίας ὑπάρχων 8) πηγή. καὶ τοῦ Κυρίου Κυρίου, αἱ διέξοδοι τοῦ θανάτου. αὐτὸς γὰρ διήνοιξεν ἡμῖν καὶ τὴν ἀδιεξόδευτον τοῦ θανάτου φρουρὰν, καὶ συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς 9) συνέθλασε· καὶ τοῦτο διὰ τῶν

1) τοῦ κατασκ. Hebr. לִשְׁכֹּן *ad habitandum* s. vt habitet (Deus in illis). Quæ sequuntur יָהּ אֱלֹהִים minus recte in Textu græco ad sequ. vers. relata sunt. 2) φησιν. Cod. 2. præm. γάρ. 3) Cod. 1. 2. τοιαύτῃ. 4) Cod. 2. κατευοδώσαι. Textus Hebr. hunc habet sensum, *imponit quidem nobis onus*, est tamen *Deus salutis nostræ*. 5) ἡμῶν. Hebr. לָנוּ. 6) τοῦ σώζειν. Hebr. לְמוֹשָׁעוֹת *ad salutes* s. ad omnimodam salutem sufficiens. 7) Παρέξει δὲ τοῦτο. Cod. 1. παρέδειξε δὲ τῆς. 8) πηγή. Cod. 2. ζωή. In Cod. 1. post πηγὴ sequ. ἰδὲ καὶ πάλιν αἰσχυνέσθωσαν οἱ ἀνθρωπολάτραι· καὶ τοῦ παρόντος ἀκούοντες προφήτου ἢ πιστευσάτωσαν ἢ ὡς ἄφρονες κατακρινέσθωσαν. εἶπε γὰρ ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. „ Ecce iterum erubescant qui hominibus placere student, et hunc audientes Prophetam vel credant, vel vt stolidi condemnentur. Dicit enim stultus in corde suo, non est Deus. „ 9) συνέθλασε. Cod. 1. add. ὃν καὶ Θεὸν καὶ Κύριον παρακελεύεται ὁ προφητικὸς λόγος ὁμολογεῖν. „ quem etiam Deum ac Dominum confiteri monet Prophetæ oratio. „

τῶν ἐπαγομένων 1) ἐδήλωσε. κβ'. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν 2) αὐτῦ· κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. Ἤνοιξεν ἡμῖν, φησὶ, τῦ θανάτου τὰς 3) θύρας, συνθλάσας τὰς τῶν ἐχθρῶν κεφαλὰς, τῶν διερευνωμένων τῶν ἀνθρώπων τὰς πλημμελείας, καὶ μηδὲ τῆς κεφαλῆς τὰς τρίχας ἀνερευνήτους 4) ἀνεχομένων καταλιπεῖν· λέγει δὲ διὰ τῆς τριχὸς, τὸ σμικρότατον πλημμέλημα· ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τοῖς ἁμαρτάνουσιν ὁ Θεὸς ὥρισε τὸν θάνατον ἐπιτίμιον. διερευνῶν δὲ ὁ διάβολος, οἷόν τις πικρὸς δήμιος, τῶν ἀνθρώπων τὸν βίον, οὐδὲ τὸ σμικρότατον ἀνέχεται παριδεῖν· ἀλλὰ τῷ θανάτῳ παραπέμπει τὴν φύσιν. 5) τὴν αὐτὴν τοίνυν περικείμενον φύσιν θεασάμενος τὸν δεσπότην Χριστὸν, προσῆλθεν ἐπιζητῶν τοῦ θανάτου τὰ αἴτια· τοῦτο γὰρ καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη· ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. ἀλλ' ὅμως καὶ μηδὲν εὑρὼν, 6) ἀδίκως τῷ 7) θανάτῳ παρέδωκε· 8) τοῦτο τὸ ἀδίκημα, ἐκείνου μὲν τὸ κράτος κατέλυσε, τοῖς δὲ ἀνθρώποις τὸν ᾅδην ἠνέῳξεν· 9) ἅπερ ἐν τοῖς περὶ τῆς 10) προνοίας λόγοις, διὰ πλειόνων ἐῤῥήθη· καὶ ὁ θεῖος δὲ ἀπόστολος τὸν διάβολον ἔχειν ἔφη τοῦ θανάτου τὸ κράτος. κγ'. Εἶπε Κύριος· ἐκ 11) Βασὰν ἐπιστρέψω· ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης. Ὁ δὲ Σύμμαχος οὕτως· εἶπε Κύριος, 12) ἀπὸ Βασὰν

quae sequuntur declarauit.
22. *Veruntamen Deus confringet capita inimicorum suorum, verticem capilli perambulantium in delictis suis.* Reserauit nobis, inquit, mortis ianuas, cum capita inimicorum confregisset, qui scrutantur hominum peccata, et ne capillum quidem capitis inexploratum relinquere possunt. Dicit autem per *capillum* minimum peccatum. Quod vero ait, hoc est. Peccantibus Deus mortem pœnam constituit. Inquirens autem diabolus, veluti quidam acerbus carnifex, in hominum vitam, ne minimum quidem peccatum despicit; sed naturam humanam morte multat. Cum eadem igitur natura Dominum Christum circumdatum vidisset, accessit inquirens caussas mortis. Hoc enim et Dominus in sacris euangeliis inquit, *a)* Venit princeps mundi huius, et in me nihil inueniet. Verum etsi nihil inuenisset, eum tamen iniusta morte affecit. Hæc vero iniustitia illius quidem imperium euertit, hominibus autem inferos reserauit, quemadmodum in sermonibus de * prouidentia pluribus verbis dictum est. Et diuinus item apostolus, *b)* diabolum mortis imperium habere dixit. *
23. *Dixit Dominus, ex Basan reducam, reducam* (quæ sunt) *in profundo maris.* Symmachus sic exposuit, Dixit Dominus, ex Basan

 redu-

1) ἐδήλωσε. Cod. 1. add. καὶ οὐδὲν σαφέστερον τούτου· καὶ ὅρα τί φησιν. 2) αὐτῦ. Cod. 1. add. ὁ Θεὸς εἶπεν ὁ προφήτης, οὐχ ὁ ἄνθρωπος τῦ Θεῦ, „ Deus, dixit Propheta, non autem homo Dei. „ 3) θύρας. Cod. 1. πύλας. 4) Cod. 2. ἀνασχομένων. 5) τὴν — Χριστόν. Cod. 1. ἑωρακὼς τοίνυν ὁ διάβολος τὸν Θεὸν λόγον ἄνθρωπον γενόμενον. 6) ἀδίκως. Abest a Cod. 2. 7) θανάτῳ. Cod. 1. add. ὡς ἐνόμισεν ὁ ἄδικος. 8) τοῦτο. Cod. 1. add. δέ. 9) ἅπερ — ἐῤῥήθη. Des. in Cod. 1. 10) προνοίας. Cod. 2. περινοίας. 11) Cod. 1. Βασσᾶν. Cod. 2. Βασᾶν. 12) ἀπό. Cod. 2. ἐκ.

a) Ioh. 14, 30. *b)* Hebr. 2, 14.

reducam; a profundis maris. *Basan* autem in linguam nostram conuersa, dedecus sonat. Dedecus vero fructus est peccati. Ab hoc igitur nos vniuersorum Deus conuertet, tanquam a profundo maris. Quid sit vero maris profundum, ipse propheta docet, exclamans, *a*) Liberer ab iis qui oderunt me, et de profundis aquarum. „Ne demergat me impetus aquæ, nec „absorbeat me profundum.„ 24. *Vt intingatur pes tuus in sanguine, lingua canum tuorum (lambet sanguinem) ex inimicis ab ipso,* (s. ab vnoquoque eorum, sc. profluentem). Symmachus vero sic interpretatus est, Vt frangatur pes tuus cum sanguine, et lambat cruorem lingua canum tuorum ex vnoquoque inimicorum tuorum. Quoniam enim ostendit vniuersorum Deum veluti fortem victorem hostes debellantem, et iniuste captos liberantem, describit et sanguinum riuos, et mortuos conculcatos, atque insepultos proiectos, canibusque in escam expositos. Sic etiam per Esaiam exclamat, *b*) Torcular calcaui solus, et de gentibus nullus erat mecum: calcaui eos in furore meo, confregi eos in ira mea, deduxi in terram sanguinem eorum, et vestimenta mea adspersa sunt victoria illorum. 25. *Viderunt ingressus tuos Deus, ingressus Dei mei, regis mei, qui est*

1) ἐπιστρέψω ἀπὸ βυθῶν θαλάσσης. ἡ Βασὰν δὲ ἑρμηνευομένη 2) τὴν αἰσχύνην δηλοῖ· αἰσχύνη δὲ τῆς ἁμαρτίας καρπός. ἀπὸ ταύτης τοίνυν ἡμᾶς ὁ τῶν ὅλων Θεὸς ἐπιστρέψει· 3) καὶ ἀπὸ τῶν τῆς θαλάσσης βυθῶν. τίς δὲ ὁ τῆς θαλάσσης βυθὸς, 4) αὐτὸς διδάσκει ὁ προφήτης βοῶν, ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. 5) „μή „με καταποντισάτω καταιγὶς ὕδατος, „μηδὲ καταπιέτω με βυθός.„ κδ΄. Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι· ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ. Ὁ δὲ Σύμμαχος 6) οὕτως· ὅπως ἂν 7) συγκατεάξῃ ὁ πούς σου μετὰ αἵματος, καὶ λάψῃ ἡ γλῶσσα τῶν κυνῶν σου ἀπὸ ἑκάστου τῶν ἐχθρῶν σου: ἐπειδὴ γὰρ ἔδειξε τὸν 8) τῶν ὅλων Θεὸν, οἷόν τινα ἀριστέα, 9) τοὺς πολεμίους καταγωνιζόμενον, καὶ τοὺς ἀδίκως δεδουλωμένους 10) ἐλευθεροῦντα, 11) διαγράφει τῷ λόγῳ, καὶ αἱμάτων ῥύακας, καὶ συμπατουμένους νεκροὺς, καὶ τούτους ἀτάφους ἐῤῥιμμένους, καὶ κυσὶ βορὰν προκειμένους. οὕτω καὶ διὰ Ἡσαΐου βοᾷ, ληνὸν ἐπάτησα μονώτατος· καὶ τῶν ἐθνῶν οὐδεὶς ἦν μετ' ἐμοῦ. συνεπάτησα αὐτοὺς ἐν τῷ θυμῷ μου, 12) „καὶ συνέθλασα αὐτοὺς ἐν τῇ ὀρ„γῇ μου, „ καὶ κατήγαγον εἰς γῆν τὸ αἷμα αὐτῶν· καὶ κατεῤῥαντίσθη τῷ κατανικήματι αὐτῶν τὰ ἱμάτιά μου. κε΄. Ἐθεωρήθησαν αἱ πορεῖαι σου ὁ Θεός· αἱ πορεῖαι τοῦ Θεοῦ μου, τοῦ βασιλέως, τοῦ

ἐν

1) ἐπιστρέψω. Cod. 1. et 2. ἐπιστρέψαι ποιήσω. Apud MONTF. in Hexapl. ad h. l. leg. ἐπιστρέψω καὶ ἀναστρέψαι ποιήσω. 2) τὴν αἰσχ. δηλοῖ. Ita quoque habet HIERON. Opp. T. II. Edit. *Martian.* p. 118. sed conf. b. SIMONIS Onom. V. T. p. 99. 3) καί. Cod. 1. ὡς, quam lect. habuit *Carafa.* 4) αὐτός. Cod. 1. et 2. præm. ὁ, quod deinde omittitur ante προφήτης. 5) E Cod. 1. suppl. 6) οὕτως. Cod. 1. add. ἡρμήνευσεν. 7) Cod. 2. κατεάξῃ. 8) τῶν ὅλων. Cod. 1. ἀληθινόν. 9) Cod. 2. τοῖς πολεμίοις. 10) ἐλευθ. Cod. 1. add. διὰ τοῦ πάθους καὶ τοῦ ἑκουσίου θανάτου. 11) διαγρ. Cod. 1. add. ὁ προφητικὸς νοῦς. 12) E Cod. 1. suppl.

a) Ps. 68, 15. 16. *b*) Es. 63, 3.

ἐν τῷ ἁγίῳ. 1) Πορείας τοῦ Θεοῦ τὰς οἰκονομίας καλεῖ· ἅγιον δὲ, 2) τὸν ἐκ σπέρματος Δαβὶδ 3) ἀνειλημμένον ναόν· δήλη φησὶ πᾶσιν ἀνθρώποις ἡ σὴ γέγονε 4) προμήθεια, καὶ τὰς διαφόρους σου οἰκονομίας διέγνωσαν ἅπαντες. κϛ΄. Προέφθασαν 5) ἄρχοντες 6) ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. Ἐντεῦθεν λοιπὸν 7) τῶν ἐκκλησιῶν τὴν εὐφροσύνην διδάσκει. ἄρχοντας δὲ καλεῖ τοὺς ἱεροὺς ἀποστόλους, ὡς τούτων ἀρχιτέκτονας γενομένους· νεανίδας δὲ τυμπανιστρίας, τὰς τὴν παρθενίαν ἀσκούσας, καὶ τὴν θείαν μελῳδίαν τῷ Θεῷ 8) προσφερούσας. εἶτα σαφέστερα τὰ εἰρημένα ποιεῖ. κζ΄. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ. Ἔδειξε τῆς παλαιᾶς διαθήκης τὴν παῦλαν. εἷς γὰρ ἦν ὁ τῶν Ἰουδαίων ναός· ἐνταῦθα δὲ τῶν ἐκκλησιῶν προθεσπίζει τὸ πλῆθος· ἐν αἷς ἐκ τῶν Ἰσραηλιτικῶν πηγῶν ὑμνεῖσθαι 9) κελεύει τὸν 10) τῶν ὅλων Κύριον· πηγαὶ δὲ Ἰσραὴλ εἰκότως ἂν κληθεῖεν αἱ προφητικαὶ βίβλοι, ἐξ ὧν τῷ Θεῷ τὴν 11) μελῳδίαν προσφέρομεν· ἐπειδὴ δὲ 12) πρὸς ταῖς προφητικαῖς, καὶ τὰς ἀποστολικὰς ἡμῖν πηγὰς ἐδωρήσατο, εἰκότως ἐπάγει· κη΄. Ἐκεῖ Βενιαμὶν νεώτερος 13) ἐν ἐκστάσει. Ὁ δὲ Ἀκύλας, ἐκεῖ Βενιαμὶν βραχὺς, ἐπικρατῶν αὐ-

in sancto. Dispensationes vocat *ingressus Dei.* *Sanctum* autem, templum ex semine Dauidis assumtum. Clara, ait, omnibus hominibus tua prouidentia facta est, et varias tuas dispensationes omnes cognouerunt. 26. *Præiuerunt principes coniuncti psallentibus, in medio puellarum tympanistriarum.* Hinc deinceps ecclesiarum lætitiam docet. *Principes* vero sacros apostolos appellat, tanquam harum architectos factos. *Puellas* autem *tympanistrias*, puellas virginitatem exercentes, et diuinam symphoniam Deo offerentes. Deinde quæ dicta sunt manifestiora facit. 27. *In ecclesiis benedicite Deo Domino de fontibus Israel.* Demonstrauit veteris testamenti cessationem: quia vnum erat Iudæorum templum, hic vero ecclesiarum * multitudinem vaticinatur, in quibus ex Israeliticis fontibus Deum rerum omnium conditorem laudari præcipit. *Fontes* vero *Israelis* iure appellari possunt prophetarum libri, ex quibus dulcem cantum Deo offerimus. Quoniam autem præter propheticos fontes, apostolicos etiam nobis largitus est, merito subdit: 28. *Ibi Beniamin adolescentior in mentis excessu.* Aquila autem, Ibi Beniamin paruus, imperans ipsis.

1) Πορείας — καλεῖ. Cod. 1. Πορείας τοῦ Θεοῦ οὐ μόνον τὰς οἰκονομίας, ἃς δι' ἡμᾶς ἐποιήσατο, ἀλλὰ καὶ τὸ βαδίσαι ἐπάνω θαλάσσης· δείκνυσι αὐτὸν δημιουργὸν τοῦ παντός. „ *Ingressus Dei* non modo dispensationes nostri caussa factas sed etiam incessum super mari intelligit, sicque eum vniuersi creatorem esse ostendit. „ 2) τόν. Cod. 1. præm. αὐτὸν τοῦτον. 3) ἀνειλ. ναόν. Cod. 1. ὡς οἶδας, γενόμενον ἄνθρωπον. 4) προμήθεια. Cod. 1. præm. οἰκονομία τε καί. 5) ἄρχοντες. Hebr. שָׂרִים *cantores.* 6) Cod. 1. et 2. ἐχόμενα, quæ est lectio edit. *ald.* et *compl.* 7) τῶν. Def. in Cod. 2. 8) προσφ. Cod. 1. add. εἴτε ἄνδρες εἶεν, εἴτε γυναῖκες. 9) κελεύει. Def. in Cod. 2. 10) τῶν. Abest a Cod. 2. 11) μελῳδίαν. Cod. 2. ὑμνῳδίαν. 12) πρὸς ταῖς προφ. Cod. 1. τὰς προφητικάς. 13) ἐν ἐκσ. Hebr. רֹדֵם *dominans eis.*

ipsis. Theodotio vero, præceptor illorum. Porro *Beniamin adolescentior* est beatus Paulus, qui ex tribu Beniamin ortus est: *adolescentior*, tanquam post omnes vocatus et appellatus, præsertim cum adolescentem ipsum Actuum historia vocet. Hic ecclesiæ imperat, et instruit in rebus diuinis, et volentes ducit ad salutem. Fuit autem in excessu mentis, vt disceret in cælis esse illum, quem ipse persequebatur, quemque mortuum existimabat. Quoniam autem non modo beatus Paulus, verum etiam reliquus apostolorum chorus res diuinas credentes docet; merito de his etiam propheticus sermo mentionem fecit. *Principes Iudæ duces eorum, principes Zabulon, et principes Nephthalim.* Ex his enim tribubus ceteri apostoli originem duxerunt. Et illi quidem qui vocabantur fratres Domini, ex tribu Iudæ plane genus traxerunt. Petrus autem, et Andreas, et Iacobus, et Ioannes, et Philippus ex vico Bethsaida fuerunt: Matthæus vero et Iacobus dicuntur habitasse in Capernaum. Simon zelotes Cananæus nominatus est. Omnia autem hæc loca Galilææ sunt. Zabulon autem et Nephthalim ibi suam habuerunt sortem. Et huius rei duo sunt testes: vnus quidem propheta, alter verò euangelista: ille prædicens, hic vero

τῶν· 1) κατὰ δὲ τὸν Θεοδοτίωνα, 2) παιδευτὴς αὐτῶν· Βενιαμὶν δὲ νεώτερος, ὁ μακάριος Παῦλος, ὁ ἐκ τῆς Βενιαμίτιδος βλαστήσας φυλῆς· νεώτερος, 3) ὡς μετὰ 4) πάντας 5) κληθεὶς καὶ προσαγορευόμενος· ἄλλως τε καὶ νεανίαν 6) αὐτὸν ἡ τῶν πράξεων ἱστορία καλεῖ· οὗτος ἐπικρατεῖ τῆς ἐκκλησίας, καὶ παιδεύει τὰ θεῖα, καὶ ποδηγεῖ πρὸς σωτηρίαν τοὺς βουλομένους· ἐγένετο δὲ καὶ ἐν 7) ἐκστάσει, μαθὼν 8) ἐν οὐρανοῖς εἶναι τὸν ὑπ' αὐτοῦ διωκόμενον, καὶ νεκρὸν νομιζόμενον. ἐπειδὴ δὲ οὐ 9) μόνον ὁ μακάριος Παῦλος, ἀλλὰ καὶ ὁ λοιπὸς τῶν ἀποστόλων χορὸς, τὰ θεῖα τοὺς πιστεύοντας 10) ἐκπαιδεύει, εἰκότως καὶ τούτων ὁ προφητικὸς ἐμνημόνευσε 11) λόγος. ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν· ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλείμ. ἐκ γὰρ τούτων τῶν φυλῶν, τὸ γένος οἱ λοιποὶ κατῆγον ἀπόστολοι. καὶ οἱ μὲν καλούμενοι ἀδελφοὶ τοῦ Κυρίου, τὴν Ἰούδα φυλὴν πάντως εἶχον πηγήν· Πέτρος δὲ, καὶ Ἀνδρέας, καὶ 12) Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Φίλιππος, ἀπὸ Βεθσαϊδᾶ τῆς κώμης ἐτύγχανον ὄντες· Ματθαῖος δὲ καὶ 13) Ἰάκωβος, ἐν τῇ Καπερναοὺμ διάγειν ἱστόρηνται· Σιμὼν ὁ ζηλωτὴς, Καναανίτης ὠνόμασται· ταῦτα δὲ πάντα χωρία τῆς Γαλιλαίας ἐστί· Ζαβουλὼν δὲ καὶ Νεφθαλεὶμ ἐκεῖνον εἶχον τὸν κλῆρον· καὶ τούτου μάρτυρες δύο· ὁ μὲν προφήτης, ὁ δὲ εὐαγγελιστής· ὁ μὲν 14) προλέγων, ὁ δὲ τὴν μαρ-

1) κατὰ — αὐτῶν. Des. in Cod. 2. 2) παιδ. αὐτῶν. Ita fere Edit. V. habet διδάσκων. 3) ὡς. Cod. 1. ὢν. 4) Cod. 2. πάντων. 5) κληθεὶς. Cod. 1. et 2. præm. καί. 6) αὐτόν. Des. in Cod. 2. 7) ἐκστάσει. Cod. 1. et 2. add. ποτέ. 8) ἐν — νομιζόμ. Cod. 1. τὸν παρ' αὐτοῦ διωκόμενον τοῦ παντὸς ὑπάρχειν ποιητὴν καὶ ἔχειν ὑποπόδιον γῆν καὶ θρόνον οὐρανόν· ἐκεῖθεν γὰρ αὐτὸν ἐχειροτόνησεν ἀπόστολον. „ eum quem persequebatur, esse vniuersi conditorem, terramque pro scabello habere, pro throno autem cælum: inde enim illum constituerat Apostolum. „ 9) Cod. 1. μόνος. 10) Cod. 2. ἐκδιδάσκει. 11) λόγος. Cod. 1. add. διὰ γὰρ τῶν ἑξῆς ἔφη. 12) Ἰάκωβος. Cod. 1. add. Ἀλφαίου. 13) Ἰάκ. Cod. 2. h. l. add. Ἀλφαίου. 14) Cod. 2. προλέγει.

μαρτυρίαν 1) προφέρων. Φασὶ δὲ οὕτως· γῆ Ζαβουλὼν, καὶ γῆ Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ 2) τὴν 3) παραλίαν 4) κατοικοῦντες, καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα. κθ΄. Ἔντειλαι ὁ Θεὸς 5) τῇ δυνάμει σου· δυνάμωσον ὁ Θεὸς τοῦτο ὃ 6) κατειργάσω ἐν 7) ἡμῖν. λ΄. Ἀπὸ τοῦ ναοῦ σου 8) ἐπὶ 9) Ἱερουσαλήμ. 10) Ὁ δὲ Σύμμαχος 11) οὕτως· πρόσταξον ὁ Θεὸς περὶ ἰσχύος σου· ἐνίσχυσον ὁ Θεὸς τοῦτο ὃ 12) ἐποίησας ἡμῖν, διὰ τὸν ναόν σου 13) τὸν ἐπάνω τῆς Ἱερουσαλήμ. 14) Βεβαίωσόν φησιν ἣν ἐδωρήσω Δέσποτα χάριν, διὰ τὸν ναόν σου, ὃν ἐξ ἡμῶν ἀνείληφας· ὃν ἐκάθισας ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ 15) δυνάμεως, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Ἱερουσαλὴμ γὰρ τὴν ἄνω πόλιν καλεῖ, περὶ ἧς ὁ 16) μακάριος Παῦλος 17) λέγει· ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν· ἥτις ἐστὶ μήτηρ πάντων 18) ἡμῶν. αἰτοῦσι τοίνυν 19) διὰ τὴν πρὸς τὸν ναὸν συγγένειαν, τὴν δεδομένην βεβαιωθῆναι χάριν·

testimonium proferens. Dicunt autem sic, a) Terra Zabulon, et terra Nephthalim, et ceteri maritimam regionem incolentes, trans Iordanem, Galilaea gentium, populus qui sedebat in tenebris, vidit lucem magnam. 29. *Manda Deus virtuti tuae, confirma hoc Deus, quod operatus es in nobis, 30. A templo tuo in Hierosolyma.* Symmachus autem sic interpretatus est, Impera Deus de fortitudine tua, corrobora hoc Deus, quod fecisti nobis, propter templum tuum, quod est super Hierosolyma. Confirma, inquit, Domine gratiam quam dedisti, propter templum tuum, quod ex nobis *assumsisti, quod collocasti supra omne imperium, et potentiam, et potestatem, et super omne nomen, quod nominatur non solum in hoc seculo, sed etiam in futuro. *Hierosolymam* enim caelestem ciuitatem nuncupat, de qua diuinus Paulus testatus est: b) Verum superior Hierosolyma libera est, quae est mater omnium nostrûm. Petunt igitur propter cognationem, quam cum templo habent, vt gratia, quae ipsis concessa fuit, roboretur,

 vtque

1) Cod. 2. προφέρει. 2) τήν. Cod. 1. et 2. praem. οἱ. 3) Cod. 2. παράλιον. 4) Cod. 2. οἰκοῦντες. 5) τῇ. Cod. 1. praem. ἐν. 6) κατειργάσω. Rec. lectio est κατηρτίσω. 7) ἡμῖν. In Cod. 1. sequ. ἰδοὺ πανταχοῦ καὶ ὁ παρὼν προφήτης θεολογεῖ τὸν Χριστὸν, καὶ ἕνα καὶ τὸν αὐτὸν ἀνακηρύττει. 8) ἐπί. Cod. 2. ἐν. 9) Ἱερουσ. Cod. 1. add. σοὶ οἴσουσι ἣν ἐδωρήσω, Δέσποτα, χάριν ἐπὶ τὰ ἔθνη· ναὸν δὲ λέγει τὴν ἁπανταχοῦ τῆς οἰκουμένης μίαν καὶ μόνην ἐκκλησίαν, ἣν καὶ σῶμα παιδευόμεθα ὑπάρχειν τοῦ Χριστοῦ. „ Gratiam tuam o Domine, quam largitus es, afferent Gentibus. *Templum* autem vocat vnam vbique terrarum solamque ecclesiam, quam Christi esse corpus edocemur. 10) Ὁ δὲ — μέλλοντι. Haec transposita sunt in Cod. 1. vbi post μεταβολὴν leguntur. 11) οὕτως. Cod. 1. ἀντὶ τοῦ ἔντειλαι ὁ Θεὸς καὶ τὰ ἑξῆς, οὕτως ἔφη. 12) ἐποίησας. Cod. 1. ἐνόησας. 13) τὸν — ναόν σου. Def. in Cod. 2. 14) βεβαίωσον — φύραμα. Similia hisce ex *Didymo* attulit CORD. p. 366. sq. 15) δυνάμ. Cod. 1. κυριότητος. 16) μακ. Cod. 1. θεσπέσιος. 17) λέγει. Def. in Cod. 1. 18) ἡμῶν. Cod. 1. add. ἧς εἰκὼν ἐνυπόστατος ἡ ἁπανταχοῦ τῶν ὀρθοδόξων ἐκκλησία. „ Cuius vera imago est orthodoxorum per totum orbem ecclesia. „ 19) διὰ — δεδομένην. Cod. 1. ἐν τῇ ἐκκλησίᾳ καὶ διὰ τῆς ἐκκλησίας.

a) Matth. 4, 14-16. Es. 9, 1. 2. b) Gal. 4, 26.

vtque ob primitias tota massa collata gratia potiatur. Hinc prædicit et mutationem regum. *Tibi offerent reges munera.* Cessantes enim a persecutionibus, debitum cultum tanquam Deo offerent: et quemadmodum ipsi tributum a subditis accipiunt, sic ipsi, veluti serui et subditi, dona tibi afferent. Et huius rei testes sunt oculi intuentes prophetiæ veritatem. 31. *Increpa feras arundinis.* Exemplaria quædam habent *nemoris.* Siue autem *nemus* sit, siue *arundo*, per hæc sterilitas significatur. Porro in his locis feræ rationis expertes lustra habent, quas per diuinam implorationem propheta nos exigere docuit. *Congregatio taurorum in vaccis populorum, vt excludant eos qui probati sunt argento.* Tauros vocat Iudæorum multitudinem, ob eorum vsitatam ferociam. *Iuuencas* vero *populorum*, eos qui ex gentibus crediderunt nominauit, propter nouitatem vocationis. Prædicit igitur sermo propheticus insultus factos in principio diuinæ prædicationis contra homines pios. Hoc

καὶ 1) διὰ τὴν ἀπαρχὴν, τῆς παραχεθείσης δωρεᾶς ἀπολαῦσαι τὸ φύραμα· ἐντεῦθεν προλέγει καὶ τὴν τῶν βασιλέων 2) μεταβολήν. σοὶ οἴσουσι βασιλεῖς δῶρα. τοῦ γὰρ διώκειν παυσάμενοι, τὸ πρέπον ὡς Θεῷ προσοίσουσι σέβας. καὶ ὥσπερ αὐτοὶ 3) δασμὸν παρὰ τῶν ὑπηκόων λαμβάνουσιν, οὕτως αὐτοὶ, καθάπερ δοῦλοι καὶ ὑπήκοοι, δῶρά σοι προσκομιοῦσι· καὶ τούτου μάρτυρες οἱ ὀφθαλμοὶ 4) θεωροῦντες τὴν τῆς προφητείας ἀλήθειαν. λα΄. Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου. 5) Ἔνια δὲ τῶν ἀντιγράφων, δρυμοῦ ἔχει· εἴτε δὲ δρυμὸς, εἴτε κάλαμος, ἡ ἀκαρπία διὰ τούτων 6) σημαίνεται· ταῦτα 7) δὲ οἰκητήριον 8) ἔχει τὰ νοητὰ θηρία, ἃ 9) καὶ διὰ τῆς θείας ἐπικλήσεως ὁ προφήτης 10) „ἡμᾶς„ ἐξελαύνειν ἐδίδαξεν. ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, 11) τοῦ 12) ἐγκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ. 13) ταύρους καλεῖ τὴν τῶν Ἰουδαίων πληθὺν, διὰ τὴν συνήθη θρασύτητα· δαμάλεις δὲ λαῶν, τοὺς ἐξ ἐθνῶν πεπιστευκότας ὠνόμασε, διὰ τὸ νέον τῆς κλήσεως. προλέγει τοίνυν ὁ προφητικὸς λόγος, τὰς ἐν ἀρχῇ τοῦ κηρύγματος κατὰ τῶν εὐσεβῶν γεγενημένας τῶν Ἰουδαίων ἐπαναστάσεις· τοῦτο

δὲ

1) διὰ — φύραμα. Cod. 1. καὶ διὰ ταύτης ἀπολαῦσαι τὸ τῶν πιστευόντων γένος. 2) μεταβολήν. In Cod. 1. sequitur locus supra omissus Ὁ δὲ Σύμμαχος — μέλλοντι. Deinde repetuntur ea Ἱερουσαλὴμ — μεταβολήν. 3) δασμόν. Cod. 1. φόρον, positum post ὑπηκόων. 4) θεωρ. Cod. 1. præm. οἱ. 5) Ἔνια κ. λ. Cod. 1. præm. διὰ τῶν καλάμων τὴν ἀκαρπίαν τῶν ἐπὶ φαυλότητι διαγόντων ἀνθρώπων σημαίνει. „ Per *arundines* autem sterilitatem hominum corrupte viuentium innuit. „ 6) σημαίνεται. Cod. 1. add. θηρία δὲ προσηγόρευσε τοὺς πονηροὺς δαίμονας καὶ τοὺς ἀτόπους λογισμούς. „ *Feras* autem vocauit malos dæmonas et absurdas cogitationes. „ 7) δέ. Abest a Cod. 2. 8) ἔχει. Abest a Cod. 2. 9) καί. Des. ibid. 10) E Cod. 1. et 2. suppl. 11) τοῦ ἐγκλ. Rec. lectio est τοῦ μὴ ἀποκλεισθῆναι. „ vt non excludantur. „ Hebr. מתרפס ברצי־כסף *eum qui conculcandum se præbet* s. submittit se, *pro frustulis argenti.* 12) Cod. 1. ἐκκλεισθῆναι, quæ est lectio edit. *compl.* 13) ταύρους κ. τ. λ. Hæc ἀνωνύμως exhibet CORD. p. 368. Pro ταύρους — πληθὺν in Cod. 1. leg. συναγωγὴν ταύρων τὴν τῶν Ἰουδαίων καλεῖ πληθύν.

δέ φησι δρῶσιν, ἐκκλεῖσαι αὐτοὺς βουλόμενοι, καὶ τῆς δεδομένης 1) εὐκληρίας στερῆσαι· οἵτινες δίκην ἀργυρίου πυρωθέντες, ἀπεφάνθησαν 2) δόκιμοι. τοῦτο περὶ αὐτῶν καὶ ὁ μακάριος ἔφη Παῦλος· ζηλοῦσιν ὑμᾶς οὐ καλῶς· ἀλλ᾽ ἐκκλεῖσαι ὑμᾶς 3) θέλουσιν· ἐπειδὴ δὲ καὶ ἐν τοῖς ἔθνεσιν ἦσαν οἱ ἀντιλέγοντες, καὶ παντοδαπὰς 4) ἁγίων σφαγὰς ἐργαζόμενοι, εἰκότως καὶ περὶ τούτων φησί· *διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.* οὕτω περὶ τῶν ἀντιλεγόντων θεσπίσας, μεταφέρει τὸν λόγον εἰς τοὺς πιστεύσαντας. λβ΄. Ἥξουσι 5) πρέσβεις ἐξ Αἰγύπτου. Τῆς Αἰγύπτου δὲ προτέρας ἐμνημόνευσεν, ὡς τῆς ἀσεβείας ἀναδησαμένης πάλαι τὸ κράτος· μέμνηται δὲ αὐτῶν καὶ ἡ τῶν πράξεων ἱστορία, διηγουμένη τοὺς συνειλεγμένους κατὰ τὴν τῆς πεντηκοστῆς ἡμέραν, ἐν ᾗ τοῦ παναγίου πνεύματος τοῖς ἀποστόλοις ἐπεφοίτησεν ἡ χάρις. Αἰθιοπία 6) προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ. τέλους καὶ τοῦτο τετύχηκε· καὶ μάρτυς ὁ εὐνοῦχος Κανδάκης τῆς βασιλίσσης τῶν Αἰθιόπων, ὃν ὁ Φίλιππος πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν. εἶτα πάσης τῆς οἰκουμένης τὰς βασιλείας καλεῖ. λγ΄. Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ Θεῷ· ψάλατε τῷ Κυρίῳ. Ἅπαντές φησιν οἱ κατὰ τὴν οἰκουμένην, δέξασθε τῆς θεογνωσίας τὸ φῶς· καὶ τὴν ὑπὲρ τῆς 7) εὐσεβείας προσενέγκατε 8) ὑμνῳδίαν. λδ΄. 9) Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς. Ὁ γὰρ Δεσπότης

vero, inquit, faciunt, volentes ipsos excludere, et data felicitate priuare, qui instar argenti igne examinati probi declarati sunt. Hoc de ipsis etiam beatus Paulus inquit, a) Aemulantur vos non bene, sed excludere vos volunt. Quoniam autem et in gentibus fuerunt qui contradicerent, et varias sanctorum cædes efficerent, iure etiam de his inquit, *Dissipa gentes quæ bella volunt.* Ita cum de illis, qui contradicunt, vaticinatus esset, orationem transfert ad credentes. *32. Venient legati ex Aegypto.* Aegypti vero mentionem primo facit, vt quæ impietatis olim principatum obtinuerit. Horum autem meminit Actuum historia, b) commemorans eos, qui collecti sunt die Pentecostes, quo sancti Spiritus gratia * venit super apostolos. * *Aethiopia præueniet manu sua Deo.* Et hoc euentum sortitum est. Testis est eunuchus Candacis reginæ Aethiopum, quem Philippus ad veritatem deduxit. c) Deinde totius orbis regna vocat. *33. Regna terræ cantate Deo, psallite Domino.* Omnes, inquit, qui per totum orbem terrarum estis, diuinæ cognitionis lumen accipite, et pro beneficiis acceptis hymnos offerte. *34. Qui adscendit super cælum cæli ad orientem.* Dominus enim Chri-

1) εὐκληρίας. Cod. 1. et 2. σωτηρίας. 2) Cod. 1. δεδοκιμασμένοι. 3) θέλουσιν. Cod. 1. βούλονται. 4) ἁγίων. Cod. 1. add. μαρτύρων. Cod. 2. præm. τῶν. 5) πρέσβεις. Hebr. חשמנים *Magnates.* 6) προφθάσει — Θεῷ. Hebr תריץ ידין לאלהים *Symm.* σπευσάτω διδοῦσα χεῖρα τῷ Θεῷ. 7) εὐσεβείας. Cod. 1. εὐεργεσίας. 8) ὑμνῳδίαν. Cod. 1. add. λέγει δὲ διὰ τῶν ἑξῆς καὶ τίνι. 9) Τῷ ἐπιβεβ. In Textu τῶν ό. præc. Ψάλατε τῷ Θεῷ, quæ tamen des. in ed. *ald.* et *compl.* nec exstant in Textu hebr.

a) Gal. 4, 17. b) Act. 2, 10. c) Act. 8, 26 sqq.

Christus, Deus noster, non modo in hoc cælum quod videmus adscendit, sed etiam in superius, et sedit ad dexteram magnificentiæ in excelso cœnaculo orientis sui radios omnibus hominibus demittens. *Ecce dabit voci suæ vocem virtutis*. Significat autem hisce verbis Spiritus sancti adventum, post Saluatoris nostri assumtionem. Nam hunc Dominus etiam *virtutem* appellauit. Manete enim, inquit, *a*) in ciuitate hac, donec induamini virtute ex alto. De hac porro voce beatus etiam Lucas mentionem facit, dicens: *b*) Facta est autem vox de cælo tanquam venientis venti vehementis, et impleuit domum vbi erant sedentes. *35. Date gloriam Deo.* Simile est hoc apostolicæ legi: Glorificate enim, inquit, *c*) Deum in corpore vestro, et in spiritu vestro, quæ Dei sunt. Nam cum tot tantaque bona consecuti simus, iustum est per omnia beneficii auctorem laudare. *Super Israel magnificentia eius, et virtus eius in nubibus*. Ex Israel enim sacri Apostoli originem trahentes, Dei

1) Χριστὸς, οὐ μόνον εἰς τὸν ὁρώμενον 2) οὐρανὸν ἀνελήλυθεν, ἀλλὰ καὶ 3) εἰς τὸν ὑπέρτερον, καὶ ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, ἐν 4) ὑψηλῷ ὑπερῴῳ τῆς οἰκείας ἀνατολῆς, τὰς ἀκτῖνας πᾶσι καταπέμπων ἀνθρώποις. ἰδοὺ δώσει 5) τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως. σημαίνει δὲ διὰ τούτων, τὴν μετὰ τὴν ἀνάληψιν τοῦ σωτῆρος ἡμῶν γενομένην τοῦ παναγίου πνεύματος ἐπιφοίτησιν· δύναμιν γὰρ ταύτην καὶ ὁ Κύριος προσηγόρευσε· μείνατε γάρ 6) φησιν ἐν τῇ πόλει ταύτῃ, 7) ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους. ταύτης δὲ τῆς φωνῆς καὶ ὁ μακάριος μέμνηται Λουκᾶς 8) λέγων· ἐγένετο 9) δὲ φωνὴ ἐκ τοῦ οὐρανοῦ, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν 10) καθήμενοι. λέ. Δότε δόξαν τῷ Θεῷ. Ἔοικε τοῦτο τῇ τοῦ ἀποστόλου νομοθεσίᾳ· δοξάσατε γάρ φησι τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστιν 11) αὐτοῦ. τοὺς γὰρ τοσούτων 12) ἀπολαύοντας, δίκαιον διὰ πάντων τὸν εὐεργέτην 13) δοξάζειν. ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ· καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. ἐξ Ἰσραὴλ γὰρ τὸ γένος κατάγοντες οἱ ἱεροὶ ἀπόστολοι, τὴν τοῦ Θεοῦ μεγα-

1) Χριστός. Cod. 1. add. ὁ Θεὸς ἡμῶν. 2) οὐρ. ἀνελ. Cod. 1. τῆς Ἱερουσ. ναὸν εἰσελήλυθεν. 3) εἰς τὸν ὑπέρτ. Cod. 1. εἰς αὐτὸν τὸν οὐρανὸν ὅθεν καὶ καταβὰς ἦν αὐτὴν· ὥς που ἐν εὐαγγελίοις ὁ Κύριος· ἐὰν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον· καὶ ὁ θεῖος ἀπόστολος· ὁ καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς γῆς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν. „ in ipsum illud cælum, vnde cum descendisset, non abfuit, vt alicubi in euangeliis dixit Dominus, (Ioh. 6, 62.) Si videritis filium hominis adscendentem vbi prius fuerat. Et diuinus Apostolus, (Eph. 4, 9. 10.) Qui descendit ad inferiora loca terræ, idem est ille qui adscendit supra omnes cælos. „ 4) ὑψ. ὑπερ. Cod. 1. et 2. ὑψηλοῖς. 5) τῇ φωνῇ. In Textu τῶν ό. præc. ἐν, quod abest ab edit. *ald.* et *compl.* Cod. 1. et 2. τὴν φωνήν. 6) φησίν. Abest a Cod. 2. 7) Cod. 2. ἕως οὗ, omisso ταύτῃ. 8) λέγων. Cod. 1. γράφων. 9) δέ. Abest a Cod. 2. 10) καθήμενοι. Cod. 1. add. δῆλον ὅτι οἱ ἀπόστολοι. 11) αὐτοῦ. Cod. 1. τοῦ Θεοῦ. Hanc receptam l. c. lectionem expressit quoque *Carafa*. 12) ἀπολαύοντας. Cod. 1. add. δωρεῶν. 13) δοξάζειν. Cod. 1. ὑμνεῖν.

a) Luc. 24, 49. *b*) Act. 2, 2. *c*) 1 Cor. 6, 20.

μεγαλεργίαν δι' ὧν εἰργάζοντο θαυμάτων ὑπέδειξαν· καὶ οἱ μετ' ἐκείνους δὲ τὸ διδασκαλικὸν δεξάμενοι χάρισμα, καθάπερ τινὲς νεφέλαι ἐκ τῆς τοῦ παναγίου πνεύματος θαλάττης τὸν ὑετὸν ἀνιμώμεναι, τὴν ἀρδείαν τοῖς ἀνθρώποις προσφέρουσι. λς΄. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς 1) ἁγίοις 2) αὐτοῦ. Καὶ ἄλλοι δέ φησιν ἅπαντες τῆς ἀρετῆς ἐρασταὶ, τὸν Θεὸν 3) ὑμνεῖσθαι 4) παρασκευάζουσι, κατὰ τὴν τοῦ Κυρίου φωνὴν τὴν λέγουσαν· λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν οὐρανοῖς. ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. οὐχ ἁπλῶς δὲ ἐνταῦθα τοῦ Ἰσραὴλ ἐμνημόνευσεν· ἀλλ' ἐπειδὴ δείσας ὁ Ἰακὼβ τὸν Ἡσαῦ, εἶτα τῆς θείας ἐπιφανείας ἀξιωθεὶς, ἀνερρώσθη, καὶ τὸ δέος τῆς διανοίας ἐξέβαλε· διδάσκει 5) δὲ ἡμᾶς ὁ λόγος, ὅτι ὁ ἐκεῖνον ἰσχυρὸν ἀποφήνας, καὶ κρείττονα 6) δείξας τῶν δυσμενῶν, 7) αὐτὸς τὸν νέον αὐτοῦ κραταιώσει λαὸν, καὶ ἄμαχον ἐργάσεται, καὶ ἀήττητον. εὐλογητὸς ὁ Θεός. 8) „ ἀλλ' ἀκούων φιλομαθέστατε Θεὸν „ καὶ Θεὸν πολλάκις εἰρημένον καὶ Κύ„ ριον καὶ σωτῆρα, μὴ ἄλλον ὑπολάβῃς· „ οὐδὲ γάρ ἐστιν, οὐκ ἔστιν εἰ μὴ μόνος Πατὴρ „ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα. ἀλλ' οὐ „ τριθεΐα, ἄπαγε· ὡς πολλάκις ἡμῖν εἴ„ ρηται· τὸ γὰρ Θεὸς ὄνομα καὶ τὸ Κύ„ ριος καὶ τὸ βασιλεὺς καὶ τὸ δημιουργὸς „ καὶ τὸ παντοκράτωρ καὶ ὅσα τοιαῦτα „ ἐπὶ τῆς ἀδιαιρέτου λαμβάνεται τριά-

magnificentiam ostendebant per ea quae edebant miracula: et qui illis successerunt, cum docendi donum accepissent, veluti quaedam nubes pluuiam e pelago Spiritus sancti haurientes, irrigationem hominibus afferunt. 36. *Mirabilis Deus in sanctis suis.* Ceteri quoque, inquit, omnes virtutis studiosi ad diuinas laudes celebrandas accingunt se, iuxta Domini vocem, dicentem, a) Luceat lux vestra coram hominibus, vt videant opera vestra bona, et glorificent patrem *vestrum qui in caelis est. *Deus Israel ipse dabit virtutem et fortitudinem populo suo.* Non temere autem hoc loco Israelis meminit, sed quoniam Iacob, cum Esauum timeret, diuino postea potitus conspectu, corroboratus est, mentisque timorem discussit. Docet autem nos sermo, eum, qui illum fortem reddidit, et inimicis superiorem effecit, nouum suum populum confirmaturum, et pacatum atque inuictum effecturum. *Benedictus Deus.* „ Quum autem audiueris tu qui „ discendi cupidus es, Deum saepius dici nunc Deum, nunc „ Dominum, nunc Saluatorem, „ ne alium eum existimes. Non „ enim est, nec datur Deus alius, „ quam solus Pater, Filius ac Spi„ ritus sanctus: non autem quasi „ tres sint Dii, absit, vt iam sae„ pius diximus. Nomina enim „ ista, Deus, Dominus, Rex, „ Creator, Omnipotens, et quae „ sunt alia, de indiuisa Trinitate „ sumun-

1) ἁγίοις. Rec. lectio est ὁσίοις. 2) αὐτοῦ. Cod. 1. add. ὁ Θεὸς Ἰσραήλ. 3) ὑμνεῖσθαι. Cod. 1. praem. δι' αὐτῶν. 4) Cod. 1. παρασκευάσασι. 5) δέ. Abest a Cod. 1. et 2. 6) Cod. 2. ἀναδείξας. 7) αὐτός. Cod. 1. add. ἐνανθρωπήσας. 8) E Cod. 1. Similem locum vid. supra p. 1015. n. 2.

a) Matth. 5, 16.

„ sumuntur. „ Finis accommodatus est psalmo. Oportebat enim, vt tantorum bonorum narratio diuina laude concluderetur.

„ δος. „ ἁρμόδιον τῷ ψαλμῷ τὸ 1) τέλος· ἔδει γὰρ τῶν τοσούτων ἀγαθῶν τὴν διήγησιν ὕμνῳ θείῳ συμπερανθῆναι.

INTERP. PSALM. LXVIII.

1. *In finem. Pro his qui mutabuntur. Psalmus Dauidi.* Quarundam rerum mutationem psalmus prædicit. Dictus quidem est in Iudæos, qui exules Babylone erant, et ex illorum persona figuratus, tanquam deprecantium, et liberari postulantium. Veruntamen vaticinatur, et a seruitute liberationem, et reditum, et Hierosolymæ ædificationem, et in summa pristinam Iudææ felicitatem. Continet vero etiam vaticinationem de cruciatibus dominicis, hoc est Dei et Saluatoris nostri, et propter hos vltima Iudæorum pernicie, quæ eos oppressura erat. Quoniam enim quæ ab inimicis perpessi sunt, hæc contra benefactorem et Saluatorem ausi fuerunt, quæ inimicis imprecabantur, hæc in ipsos iustus iudex decreuit. 2. *Saluum me fac Deus, quoniam intrauerunt aquæ vsque ad animam meam.* Ea Iudæorum societas, quæ pia magis erat, has preces offert. *Aquas* vero vocat calamitatum multitudinem. Vndique, ait, res molestæ circumstant me. 3. *Infixus sum in limo profundi, et non est substantia.* Symmachus sic vertit, Immersus sum in infinitas voragines, et non est status: Metaphora ducta ab illis, qui in

ΕΡΜΗΝ. ΤΟΥ ξή ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· ψαλμὸς τῷ Δαβίδ. Ἀλλοίωσιν τινῶν πραγμάτων ὁ ψαλμὸς προσημαίνει. εἴρηται μὲν γὰρ εἰς τοὺς 2) εἰς Βαβυλῶνα 3) μετανάστας Ἰουδαίους· 4) καὶ 5) ὡς ἐξ ἐκείνων προσευχομένων, καὶ τὴν ἀπαλλαγὴν αἰτούντων, 6) ἐσχημάτισαι· προθεσπίζει δὲ ὅμως καὶ τὴν τῆς δουλείας 7) ἀπαλλαγὴν, καὶ τὴν ἐπάνοδον, καὶ τῆς Ἱερουσαλὴμ τὴν οἰκοδομὴν, καὶ 8) ἁπαξαπλῶς τῆς Ἰουδαίας τὴν προτέραν εὐημερίαν· ἔχει δὲ καὶ προφητείαν τῶν δεσποτικῶν 9) „ τοῦ Θεοῦ „ λέγω καὶ σωτῆρος ἡμῶν „ παθημάτων, καὶ τῆς διὰ ταῦτα καταληψομένης Ἰουδαίους πανωλεθρίας· ἐπειδὴ γὰρ ἃ παρὰ τῶν 10) δυσμενῶν ὑπέμειναν, ταῦτα κατὰ τοῦ 11) εὐεργέτου 12) καὶ σωτῆρος ἐτόλμησαν, ἃ τοῖς ἐχθροῖς 13) ἐπηράσαντο, ταῦτα κατ᾽ αὐτῶν ὁ δίκαιος κριτὴς ἐψηφίσατο. β΄. Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἡ τῶν εὐσεβεστέρων συμμορία προσφέρει τὴν 14) ἱκετείαν· ὕδατα δὲ καλεῖ τῶν συμφορῶν τὸ πλῆθος· πάντοθέν φησι τοῖς ἀνιαροῖς 15) περικλύζομαι. γ΄. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν 16) ὑπόστασις. Ὁ 17) δὲ Σύμμαχος· ἐβαπτίσθην εἰς ἀπεράντους καταδύσεις, καὶ οὐκ ἔστι στάσις· ἐκ μεταφορᾶς τῶν εἰς τὸν

1) τέλος. In Cod. 1. repetuntur ista εὐλογητὸς ὁ Θεός. 2) Cod. 2. ἐν Βαβυλῶνι. 3) Cod. 1. et 2. μεταναστάντας. 4) καί. Abest a Cod. 2. 5) ὡς. Cod. 1. δικαίως. 6) Cod. 2. ἐσχημάτισεν. 7) ἀπαλλ. Cod. 1. præm. αὐτῶν. 8) ἁπαξ. Cod. 2. ἁπάσης. 9) E Cod. 1, suppl. Eadem legit *Carafa.* 10) δυσσεβῶν. 11) εὐεργέτου. Cod. 1. præm. νομοθέτου καί. 12) καί. Abest a Cod. 1. 13) Cod. 2. ἐπηράσατο. 14) ἱκετείαν. Cod. 1. add. ταύτην. 15) περικλύζομαι. Cod. 1. add. τοῦτο γὰρ διὰ τῶν ἑξῆς σαφέστερον ἔφη. 16) ὑπόστασις. Hebr. מעמד *locus ad consistendum.* 17) δέ. Abest a Cod. 1.

τὸν τῆς θαλάσσης ἐμπιπτόντων βυθὸν, καὶ ἐπιπλεῖστον καταφερομένων, καὶ μόγις τῆς ἕδρας ἐφικνουμένων. δηλοῖ δὲ διὰ τούτων τὸ μέγεθος τῶν 1) συμβεβηκότων τοῖς ἀνδραποδισθεῖσι κακῶν. ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. ποικίλλει τὸν λόγον ταῖς διαφόροις εἰκόσιν, οὐχ εὑρίσκων ἀξίαν εἰκόνα τῶν κατεχόντων 2) ἀνιαρῶν. δ΄. Ἐκοπίασα κράζων· ἐβραγχίασεν ὁ λάρυγξ μου. Διηνεκῶς, φησὶ, ποτνιώμενος βοῶ, ὡς καὶ αὐτὰ 3) καμεῖν τὰ ὄργανα τῆς φωνῆς· κραυγὴν δὲ τὴν ἐπίτασιν λέγει τῆς κατὰ διάνοιαν 4) προσευχῆς. ἐξέλιπον οἱ ὀφθαλμοί μου, ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου. ἐκ μεταφορᾶς δὲ αὐτὸ τέθεικε τῶν συνήθη τινὰ καὶ γνώριμον ἐξ ἀποδημίας ἐπανιόντα προσμενόντων, καὶ τὰς ὁδοὺς περισκοπούντων. ἀπέκαμον φησὶν ἀναμένων τὴν σὴν βοήθειαν· εἶτα ἃ τροπικῶς ἄνω τέθεικε, διδάσκει σαφέστερον. ε΄. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν· Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως. 5) Ἀλλὰ μηδεὶς ὑπολάβοι τῶν φιλομαθεστέρων, εἰρῆσθαι ἐκ προσώπου τοῦ Θεοῦ καὶ σωτῆρος ταῦτα. οὐδὲ γὰρ εἴρηται, οὐκ εἴρηται, εἰ μὴ ἐκ προσώπου, ὡς ἀνωτέρω ἡμῖν ἐσχεδίασται, τῶν ἀνδραποδισθέντων ἐκ τῆς Ἱερουσαλὴμ ἐπὶ τὴν Βαβυλῶνα. λέγει δὲ ὅτι καὶ ἀριθμὸν νικῶσιν οἱ δυσμενεῖς, καὶ δυναστείᾳ περίκεινται, καὶ ἀπεχθάνονται πρός με, αἰτίαν ἐμοῦ τοῦ μίσους οὐ δεδωκότος. 6) ἃ οὐχ 7) ἥρπαζον, τότε ἀπετίνυνον. ὧν οὐκ ἠδίκησα, 8) δίκας εἰσπράττομαι· 9) οὐ γὰρ ὡς ἅρπαξ, ἢ ἀδι-

profundum mare inciderunt, et deorsum diu feruntur, et vix fundum attingere possunt. Declarat autem per hæc malorum magnitudinem, quæ in captiuitatem abductis acciderunt. *Veni in altitudinem maris, et tempestas demersit me.* Variis figuris orationem exornat, non inveniens dignam comparationem malorum, a quibus detinebatur. * 4. *Laboraui clamans, raucæ factæ sunt fauces meæ.* Semper, inquit, supplicans clamo, vt et ipsa instrumenta vocis laborent. *Clamorem* vero intentionem mentis in obsecratione dicit. *Defecerunt oculi mei, dum spero in Deum meum.* Hoc dixit ex translatione eorum, qui aliquem necessarium et notum peregre redeuntem exspectant, et vias circumspiciunt. Defessus sum, inquit, tuam opem exspectans. Deinde quæ superius figurate posuit, manifestius docet. 5. *Multiplicati sunt super capillos capitis mei qui oderunt me gratis. Roborati sunt, qui persecuti sunt me inimici mei iniuste.* Ceterum studiosus nemo existimet, dicta ista fuisse ex persona Dei et Saluatoris. Non enim dicta sunt, vt a nobis superius indicatum est, nisi ex persona eorum, qui ex Hierosolyma captiui ducti fuerant Babylonem. Ait autem, Et numerum superant hostes, et magnam habent potentiam, et odio me prosequuntur, licet odii causam ipsis non dederim. *Quæ non rapui, tunc exsoluebam.* Earum iniuriarum, quas non intuli, iniuste pœnas luo. Non enim ego, ait populus, vt rapax, aut

prior

1) συμβεβ. τοῖς ἀνδραποδ. Def. in Cod. 2. 2) ἀνιαρῶν. Cod. 1. add. διὰ δὴ ταῦτα βοῶ. 3) καμεῖν. Cod. 2. κραυγάζειν. 4) Cod. 1. εὐχῆς. 5) Ἀλλὰ — λέγει δὲ ὅτι. Def. in Cod. 2. 6) ἃ. Cod. 2. ὧν. 7) Rec. lectio est ἥρπασα. 8) Cod. 2. ἀδίκως. 9) οὐ — ταῦτα. Cod. 2. οὐκ ἄρξας γὰρ τῆς εἰς αὐτὰς ἀδικίας.

prior ipsos lædens, ab illis in seruitutem redactus sum. *6. Deus tu scis insipientiam meam, et delicta mea a te non sunt abscondita.* Omnia, o Domine, tu cognoscis, et nihil eorum, quæ fiunt, te latet. Scis igitur, me in illos nihil commisisse, tuas autem leges esse transgressum. Hoc illi simile est, a) Tibi soli peccaui, et malum coram te feci. *7. Non erubescant in me qui exspectant te Domine, Domine virtutum. Non confundantur super me qui quærunt te, Deus Israel.* Ne sim aliis, inquit, noxæ exemplar, vt exspectans quidem a te salutem, decipiar mea spe. Sed discant, per ea quæ mihi contingunt, qui tui notitiam habent, quod sperantibus in te, salutis, et non dedecoris, sis auctor. *8. Quoniam propter te sustinui opprobrium, operuit confusio faciem meam.* Dedecore repletus sum, tua opprobria * recipiens: quandoquidem assidue aduersarii mihi obtrectant, imbecillitati tuæ seruitutem meam attribuentes. *9. Extraneus factus sum fratribus meis, et peregrinus filiis matris meæ.* Enumerat mœstitiæ causas ad misericordiam Deum misericordem excitans. Et prius quidem impiorum probra posuit, deinde cognatorum et sociorum segregationem. Tanquam mancipia enim bello capta non permittebant illos inter cognatos versari. *10. Quoniam zelus domus tuæ comedit me, et opprobria exprobrantium tibi*

κήσας, φησὶν ὁ λαὸς, ταῦτα ἐξηνδραπόδισμαι παρ' αὐτῶν. ϛ'. Ὁ Θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου· καὶ αἱ πλημμέλειαί μου ἀπό σου οὐκ ἀπεκρύβησαν. Πάντα Δέσποτα σὺ γινώσκεις, καὶ λέληθέ σε 1) γινομένων οὐδέν. οἶδας τοιγαροῦν, ὡς εἰς ἐκείνους μὲν 2) οὐδὲν ἐπλημμέλησα· τοὺς δὲ σοὺς παραβέβηκα νόμους. τούτῳ ἔοικε 3) τὸ, σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. ζ'. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε Κύριε, Κύριε τῶν δυνάμεων· Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε ὁ Θεὸς τοῦ Ἰσραήλ. Μὴ γένωμαι φησὶ βλάβης τοῖς ἄλλοις ἀρχέτυπον, προσμείνας μὲν τὴν παρά σου σωτηρίαν, διαμαρτὼν δὲ τῆς ἐλπίδος σου· ἀλλὰ μαθέτωσαν διὰ τῶν περὶ ἐμὲ γενομένων, οἱ τὴν σὴν ἔχοντες γνῶσιν, ὡς τῶν ἐλπιζόντων εἰς σε σωτηρίας, καὶ οὐκ αἰσχύνης ὑπάρχεις καρπός. η'. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν· ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. Αἰσχύνης ἀναπίμπλαμαι τὰ σὰ ὀνείδη δεχόμενος· ἐπικερτομοῦσι γάρ 4) με συνεχῶς οἱ πολέμιοι, τὴν ἀσθένειαν τὴν ἐμὴν δουλείαν 5) ἀποκαλοῦντες. θ'. 6) Ἀλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ἀπαριθμεῖται τῆς ἀχθηδόνος τὰς ἀφορμὰς, διεγείρων εἰς ἔλεον τὸν φιλάνθρωπον Θεόν· καὶ πρότερον μὲν τέθεικε τῶν δυσσεβῶν τὰ ὀνείδη, εἶτα τῶν συγγενῶν καὶ συνήθων τὸν χωρισμόν. ὡς δορυάλωτοι γὰρ, καὶ δουλεύειν ἠναγκασμένοι, κατὰ συγγενείας οὐ συνεχωροῦντο διάγειν. ι'. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με· καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἔπεσον

1) γινομένων. Cod. 1. et 2. præm. τῶν. 2) Cod. 1. οὐδαμῶς. 3) τό. Cod. 2. præm. καί. 4) με. Cod. 1. et 2. μοι. 5) Cod. 1. ἀνακαλοῦντες, adscripta tamen lectione altera. 6) Cod. 1. ἀπηλλοτριωμένος, quæ est rec. lectio.

a) Ps. 50, 4.

1) ἔπεσον ἐπ' ἐμέ. Οὐχ ἥκιστα δέ με ἀνιᾷ καὶ ἀλγύνει τοῦ ἁγίου σοῦ οἴκου ἡ ἐρημία, καὶ τῶν δυσσεβούντων ὁ γέλως. οὐ γὰρ τῇ ἐμῇ πλημμελείᾳ, τῇ δὲ σῇ ἀσθενείᾳ, τὰ εἰς 2) ἐκεῖνον γεγενημένα λογίζονται· διόπερ ταῖς κατά σου βλασφημίαις κεντοῦμαι, ὡς τούτων γενόμενος πρόξενος. τὸ μέν τοι κατέφαγέ με, 3) κατηνάλωσέ με εἴρηκεν ὁ Σύμμαχος. ια'. 4) Καὶ 5) συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. ιβ'. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Ἐπὶ τούτοις 6) ἀνιῶμαι, καὶ νηστείᾳ κατατήκω τὸ σῶμα. ἀλλὰ καὶ τοῦτο πρόφασις ἐκείνοις ἐγένετο γέλωτος. 7) τρύχω δὲ ἐμαυτὸν, καὶ τῇ τοῦ σάκκου περιβολῇ τὸ πένθιμον περικείμενος σχῆμα· καὶ τοῦτο μέν τοι κωμῳδίας ἔλαβον ἀφορμὴν 8) οἱ παράνομοι. ιγ'. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν 9) πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. Καὶ ἐν συλλόγοις, φησὶ, καὶ ἐν συμποσίοις, τὰ ἐμὰ θρυλλοῦσι καὶ κωμῳδοῦσι κακά. πάλαι γὰρ παρὰ τὰς πύλας 10) τοῖς συνεδρίοις ἐχρῶντο. ιδ'. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρός σε 11) Κύριε. Ὁ δὲ Σύμμαχος οὕτως· ἐμοῦ δὲ ἡ προσευχή σοι Κύριε. τούτων, φησὶ, γινομένων, ἐγὼ πρός σε τείνω τὸ ὄμμα, καὶ τὴν παρά σου προσμένω βοήθειαν. καιρὸς εὐδοκίας, ὁ Θεός. 12) ὁ δὲ Σύμμαχος οὕτως, καιρὸς διαλλαγῆς ὁ Θεός· ἱκανή φησι ἡ ἐπενεχθεῖσά μοι τιμωρία· καιροὶ

ceciderunt super me. Non parum autem solitudo sanctæ tuæ domus, et impiorum irrisio discruciat et angit me. Non enim delictis meis, sed imbecillitati tuæ, quæ in eam gesta sunt attribuunt. Propterea maledictis contra te prolatis pungor: vt qui horum causa fuerim. Pro *comedit me*, Symmachus consumsit me, dixit. 11. *Et operui in ieiunio animam meam, et factum est in opprobrium mihi.* 12. *Et posui vestimentum meum cilicium, et factus sum illis parabola.* Propter hæc discrucior, et ieiunio macero corpus: at hoc ipsum illis ridendi ansam præbet. Affligo autem me ipsum etiam sacci amictu lugubrem habitum gerens; et hinc etiam illusionis causam arripiunt iniqui. 13. *Adversus me loquebantur, qui sedebant in porta, et in me psallebant, qui bibebant vinum.* Et in conuentibus, inquit, et in conuiuiis, mea iactant et irridens mala. Olim enim iuxta portas conuentus habebant. 14. *Ego vero oratione mea ad te (me converto) Domine.* Symmachus autem sic, Oratio vero meà tibi Domine. Dum hæc, inquit, ita fiunt, ego oculos ad te conuerto, et a te exspecto opem. *Tempus beneplaciti o Deus.* Symmachus autem sic, Tempus reconciliationis est Deus. Satis est, inquit, pœna, quà me affecisti. Tempus

1) Cod. 1. ἐπέπεσον, quæ est recepta lectio h. l. Cod. 2. ἐπέπεσεν. 2) ἐκεῖνον. Cod. 2. ἐμέ. 3) κατηνάλωσε. Cod. 1. præm. ἀντὶ τοῦ. 4) Καὶ — ψυχήν μου. Hebr. ואבכה בצום נפשי *Et fleui in ieiunio animæ meæ.* 5) συνεκάλυψα. Ita leg. in edit. *ald.* et *compl.* Rec. lectio est συνέκαμψα. 6) ἀνιῶμαι. Cod. 1. add. καὶ ταῦτά φασι οἱ ἀνδραποδισθέντες ἐκ τῆς Ἱερουσαλήμ. „ Hæc quoque dicunt, qui captiui abducti erant ex Hierosolyma. „ 7) Cod. 2. τρύχομαι. 8) οἱ παράνομοι. Def. in Cod. 2. 9) Rec. lectio est πύλῃ. 10) τοῖς. Abest a Cod. 2. 11) Κύριε. Cod. 1. add. καιρὸς εὐδοκίας. 12) ὁ δὲ — Θεός. Def. in Cod. 2.

pus iam est, vt hanc dissoluas, tuamque misericordiam mihi ostendas. *Beneplacitum* enim bonam appellat voluntatem. *In multitudine misericordiæ tuæ exaudi me, in veritate salutis tuæ.* Ne pro meis peccatis supplicium metiaris, sed pro immensa benignitatis tuæ misericordia. Vtere * autem vero et iusto tuo decreto contra tot mala in me patrantes. Deinde tropice rursus calamitates enumerat, narratione sua misericordiam tentans commouere. *15. Eripe me de luto, ne infigar.* Similis sum his, qui in limosam foueam incidunt, et mortem exspectant: propterea a te salutem efflagito. *Liberer ab iis qui oderunt me, et e profundis aquis.* Oro autem liberari et ab hostibus, et a malis, quæ mihi infligunt. *Profunditatem* enim *aquarum* pœnas ab illis irrogatas appellauit. *16. Non demergat me tempestas aquæ, neque absorbeat me profundum.* Ne multitudine ac magnitudine malorum obruar et submergar. *Neque contineat super me puteus os suum.* Ne de mea salute spem abiicias, inquit, Domine, neque claudas mihi benignitatis ostium. Etenim qui in puteum incidunt, donec putei ostium apertum est, habent quandam tenuem spem, vt illinc liberentur: operto autem eius ore, de salute desperant. *17. Exaudi me Domine, quoniam benigna est misericordia tua, et secundum mul-*

ρὸς ταύτην λυθῆναι, καὶ τὴν σὴν φιλανθρωπίαν ἀναφανῆναι· εὐδοκίαν γὰρ, τὸ ἀγαθὸν θέλημα 1) τοῦ Θεοῦ καλεῖ. ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. μὴ τοῖς ἐμοῖς πλημμελήμασι μετρήσης τὴν τιμωρίαν, ἀλλὰ τῷ ἀμετρήτῳ τῆς 2) σῆς φιλανθρωπίας 3) ἐλέῳ· χρῆσαι δὲ 4) τῇ ἀληθῆ καὶ δικαίᾳ σου ψήφῳ κατὰ τῶν εἰς ἐμὲ τοσαῦτα δρώντων κακά. εἶτα τροπικῶς πάλιν ἀπαριθμεῖται τὰς συμφορὰς, ἀνακινεῖν πειρώμενος τῇ διηγήσει τὸν ἔλεον. ιε΄. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. Ἔοικα τοῖς εἰς βάθρον τελματώδη πίπτουσι, καὶ θάνατον ὑπομένουσι· διὸ παρά σου τὴν σωτηρίαν 5) αἰτῶ. ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ 6) τῶν βαθέων τῶν ὑδάτων. αἰτῶ δὲ ἀπαλλαγῆναι 7) καὶ τῶν πολεμίων, καὶ τῶν ὑπὸ τούτων 8) ἐναγομένων κακῶν. βάθος γὰρ ὑδάτων, τὰς ὑπ᾽ ἐκείνων 9) ἐπαγομένας ἐκάλεσε τιμωρίας. ιϛ΄. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός. Μὴ γένωμαί φησι τῷ πλήθει καὶ τῷ μεγέθει τῶν κακῶν ὑποβρύχιος. μηδὲ συσχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. μὴ ἀπαγορεύσης, φησὶ, Δέσποτα τὴν ἐμὴν σωτηρίαν· μηδὲ 10) κλείσης μοι τῆς 11) φιλανθρωπίας τὴν θύραν. οἱ γὰρ εἰς φρέαρ 12) ἐμπίπτοντες, ἀνεῳγότος μὲν 13) ἔχουσι τοῦ στόματός τινα μικρὰν ἐλπίδα τῆς ἐκεῖθεν ἀπαλλαγῆς· ἐμφραγέντος δὲ 14) καὶ τούτου, τὴν σωτηρίαν ἀπαγορεύουσιν. ιζ΄. Εἰσάκουσόν μου Κύριε· ὅτι χρηστὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος

1) τοῦ Θεοῦ. Des. in Cod. 2. 2) σῆς. Abest a Cod. 2. 3) Cod. 2. ἐλέει. 4) τῇ ἀληθῆ. Cod. 2. αὐτῇ ἀληθείᾳ. 5) αἰτῶ. Cod. 1. add. τοῦτο γὰρ λέγει. 6) τῶν βαθέων. Rec. lectio est τοῦ βάθους. 7) καί. Abest a Cod. 2. 8) Cod. 2. ἐπαγομένων. 9) ἐπαγομένας. Abest a Cod. 2. 10) Cod. 1. et 2. ἀποκλείσης. 11) φιλανθρ. Cod. 2. βασιλείας. 12) Cod. 2. ἐμπεσόντες. 13) ἔχουσι. In Cod. 1. ponitur post στόματος. 14) καί. Abest a Cod. 2.

θος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Διὰ τὴν σὴν φιλανθρωπίαν, οὐ διὰ τὴν ἐμὴν ἀξίαν, ὧν ἀφηγησάμην κακῶν τὴν ἀπαλλαγὴν ἐπάγαγε. βλέπε 1) με 2) τοίνυν περικλυζόμενον τοῖς κακοῖς, καὶ λῦσον τὰς συμφοράς. ἀρκεῖ γάρ σου καὶ 3) μόνον ἡ 4) ἐπιφάνεια, σκεδάσαι τὸ νέφος τῶν λυπηρῶν. ιζ'. 5) Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου. Τοῦτο γὰρ ἔθος τοῖς ὀργιζομένοις ποιεῖν, ἀποσειομένοις τῶν ἡμαρτηκότων τὰς 6) ἱκετείας. ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου. διὰ τὴν τῆς ὀδύνης ὑπερβολήν, ταχεῖαν μοι παράσχου 7) παραψυχήν. ιη'. Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν. Ἀρκεῖς γὰρ καὶ μόνη τῇ θέᾳ διαλῦσαι τὰ σκυθρωπά. ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με. ὑπερβαίνει μὲν συγγνώμην τὰ ἐμὰ πλημμελήματα· ἀλλὰ δυσσεβεῖς οἱ πολέμιοι, καὶ πονηρίᾳ δουλεύοντες. διὰ 8) γοῦν τὰ παρ' 9) ἐκείνων ὀνείδη, τῆς σῆς μοι μετάδος Δέσποτα φιλανθρωπίας. τοῦτο γὰρ καὶ διὰ τῶν ἐπαγομένων ἐδήλωσε. κ'. Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου· καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. κα'. Ἐναντίον σου πάντες οἱ θλίβοντές με. Οὐδέν σε λέληθε τῶν 10) γινομένων· ἀλλὰ πάντα ὁρᾷς· καὶ τὰ ἐκείνων ὀνείδη, καὶ τὴν ἐμὴν αἰσχύνην· καταδύομαι γὰρ καὶ ἀνιῶμαι 11) ἅμα παρ' ἐκείνων 12) ὀνειδιζόμενος. ὀνειδισμὸν 13) προσεδόκησεν ἡ

titudinem miserationum tuarum respice ad me. Ob tuam benignitatem, non propter meum meritum, affer liberationem ab his malis, quæ narraui. Intuere me igitur malis circumdatum, et solue calamitates. Satis enim est vel solus tuus conspectus ad dissipandam nubem rerum aduersarum. 18. *Ne auertas faciem tuam a seruo tuo.* Hoc enim irati facere solent, dum respuunt preces eorum qui deliquerunt. *Quoniam tribulor, velociter exaudi me.* Ob doloris excessum celerem consolationem mihi concede. 19. *Attende ad animam meam, et libera eam.* Solo enim adspectu potes molestias finire. *Propter inimicos meos libera me.* Veniam quidem transcendunt peccata mea, sed hostes impii sunt, et priuati seruiunt. Propter illorum igitur opprobria, tuæ benignitatis me participem fac Domine. Hoc enim per ea quæ sequuntur declarauit. * 20. *Tu enim** *scis opprobrium meum, et pudorem meum, et ignominiam meam.* 21. *In conspectu tuo sunt omnes qui tribulant me.* Nihil eorum quæ fiunt te latet, sed omnia perspicis, et illorum opprobria, et meum pudorem. Perturbor enim, et mœreo, dum ab illis iniuriis afficior. *Opprobrium exspectauit anima*

1) *με.* In Cod. 2. ponitur post *περικλυζόμενον.* 2) *τοίνυν.* Cod. 1. add. *τοῖς ἀκοιμήτοις σου ὄμμασιν.* 3) Cod. 1. et 2. *μόνη.* 4) *ἐπιφάνεια.* Cod. 1. add. *σου.* 5) *Μή.* In Textu *τῶν ό.* præc. *καί.* 6) *ἱκετείας.* Cod. 2. præm. *αἰτήσεις καί.* 7) *παραψυχήν.* Cod. 1. add. *τοῦτο γὰρ λέγει.* 8) *γοῦν.* Abest a Cod. 1. et 2. 9) *ἐκείνων.* Cod. 1. et 2. addunt *τοίνυν.* 10) *γινομένων.* Cod. 1. add. *ὅτι πάντα καὶ πρὸ τοῦ γενέσθαι ἐπίστασαι,* „quia omnia, etiam antequam fiunt, nosti.„ 11) *ἅμα.* Cod. 1. *ὁ καθ' ἑκάστην.* 12) *ὀνειδιζόμενος.* Cod. 1. add. *τοῦτο γὰρ λέγει.* 13) *προσεδόκησεν.* Hebr. שברה *fregit*, s. contriuit. *Aqu. συνέτριψε.* *Symm. κατέαξε.*

anima mea, et miseriam, et exspectaui; qui simul contristaretur, et non fuit; qui consolarentur, et non inueni. Nam talibus vndique doloribus cinctus, et alios etiam grauiores exspectans, nullam habeo consolationem. Sed qui me angoribus conficiunt, innumerabiles sunt: qui autem dolorem leuet, et mœroris participatione tristitiam minuat, non est. 22. *Et dederunt pro esca mea fel, et in siti mea potauerunt me aceto.* Et ipsum cibum, inquit, amarum et tristem mihi reddiderunt. Ingratus enim est iis, qui cum mœrore comedunt, etiam suauissimus cibus. 23. *Fiat mensa eorum coram ipsis in laqueum, et in retributiones, et in scandalum.* Lætitiam igitur eorum Domine in calamitates conuerte, et in ea quæ fecerunt incidant. *Mensam* enim lætitiam vocauit: supplicia vero *laqueum*. Sic enim et Symmachus interpretatus est, Fiat mensa eorum coram ipsis in laqueum, et in supplicium, vt comprehendantur. 24. *Obscurentur oculi eorum ne videant.* Infer in eos tenebricosas calamitatum caligines. *Et dorsum eorum semper incurua.* In seruitutem illos Domine condemna, vt ea quæ committunt patiantur, in laboriosum opus semper incurui. 25. *Effunde super eos iram tuam, et furor iræ tuæ comprehendat eos.* Omnem, inquit, vindictæ iram in eos immitte, et celerem et maximam calamitatem inuehe. Per *furorem* enim, celeritatem declarauit; talis enim est furor: per *iram* autem, perseuerantiam; talis quippe est natura iræ.

ψυχή μου καὶ ταλαιπωρίαν· καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε· καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον. Τοσαύταις γὰρ πανταχόθεν ὀδύναις βαλλόμενος, καὶ ἕτερα δὲ προσμένων ἀνιαρώτερα, οὐδεμίαν ἔχω παραψυχήν. ἀλλ' οἱ μὲν ἀνιῶντες νικῶσι τὸν ἀριθμόν· ὁ δὲ ψυχαγωγῶν, καὶ τῇ κοινωνίᾳ τῆς λύπης κουφοτέραν τὴν ἀθυμίαν ποιῶν, οὐκ ἔστι. κβ΄. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν· καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Καὶ αὐτήν μοι, φησὶ, τὴν τροφὴν πικρὰν καὶ ἀνιαρὰν κατεσκεύασαν· ἀνήδονος γὰρ τοῖς μετ' ὀδύνης ἐσθίουσι καὶ ἡδίστη τροφή. κγ΄. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον. Καὶ τὴν 1) αὐτῶν τοίνυν εὐφροσύνην εἰς συμφορὰς μετάβαλε Δέσποτα· καὶ οἷς ἔδρασαν περιπέσοιεν· τράπεζαν γὰρ τὴν εὐφροσύνην ἐκάλεσε· τὰς δὲ τιμωρίας, παγίδα· οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· γένοιτο ἡ τράπεζα αὐτῶν ἔμπροσθεν αὐτῶν εἰς παγίδα, 2) καὶ εἰς τιμωρίαν, ὥστε συλληφθῆναι. κδ΄. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν, τοῦ μὴ βλέπειν. Ἐπάγαγε αὐτοῖς τὸ ζοφῶδες νέφος τῶν συμφορῶν. καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. δουλείαν αὐτῶν καταψήφισαι Δέσποτα· ἵνα οἷς ποιοῦσι περιπέσωσιν, εἰς ἐπίπονον ἐργασίαν συγκεκυφότες ἀεί. κε΄. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου· καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Πᾶσαν αὐτοῖς φησὶν ἐπάφες τὴν τῆς τιμωρίας ὀργήν, καὶ ταχεῖαν καὶ διαρκῆ ἐπάγαγε συμφοράν. διὰ γὰρ τοῦ θυμοῦ, τὸ ταχὺ δεδήλωκε· τοιοῦτος γὰρ ὁ θυμός. διὰ δὲ τῆς ὀργῆς, τὸ ἐπίμονον· τοιαύτη γὰρ ἡ τῆς ὀργῆς φύσις. ὁ γὰρ

1) Cod. 2. αὐτήν. 2) καὶ — συλληφθῆναι. Des. in Cod. 1.

1) γὰρ θυμὸς, ὀξύς ἐστι καὶ ὀλιγοχρόνιος· ἡ δὲ ὀργὴ, βραδυτέρα μὲν, μονιμωτέρα δέ. θυμὸν τοίνυν ὀργῆς, τὴν ὀξεῖαν καὶ ἐπίμονον ἐκάλεσε τιμωρίαν. κϛ'. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη· καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ 2) κατοικῶν. Διὰ πάντων δὲ τὴν δικαίαν ψῆφον αἰτεῖ· καὶ οἷς δεδράκασιν, ὑποβληθῆναι αὐτοὺς ἱκετεύει. ἐπειδὴ γὰρ 3) καὶ τὴν Ἱερουσαλὴμ, καὶ τὰς ἄλλας τῆς Ἰουδαίας πόλεις 4) πορθήσαντες, ἐρήμους ἀπέφηναν „ 5) οἱ Χαλδαῖοι, „ 6) ταῦτα 7) παθεῖν καὶ τὴν αὐτῶν ἱκετεύει πατρίδα· καὶ τετύχηκε τῆς αἰτήσεως. ἔρημος γὰρ καὶ γέγονε καὶ μεμένηκεν ἡ Βαβυλὼν, μέχρι καὶ τήμερον· εἰδέναι μέν τοι προσήκει, ὡς ἅπερ ᾔτησαν Ἰουδαῖοι 8) Βαβυλωνίους παθεῖν, δυσσεβείᾳ καὶ πονηρίᾳ κατ' αὐτῶν 9) κεχρημένους, ταῦτα πεπόνθασιν αὐτοὶ, κατὰ τοῦ εὐεργέτου 10) καὶ σωτῆρος λυττήσαντες. Βαβυλώνιοι μὲν γὰρ αὐτοῖς πικρὰν εἰργάσαντο τὴν τροφήν· οὐ τοιαύτην αὐτοῖς δεδωκότες τροφήν· ἀλλὰ τῇ ἐπιπόνῳ δουλείᾳ τὴν ἔμφυτον τῆς τροφῆς ἡδονὴν ἀφελόμενοι. Ἰουδαῖοι δὲ οὐκ ἀδικούμενοι, ἀλλὰ παντοδαπὰς εὐεργεσίας δεχόμενοι, αὐτῷ τῷ εὐεργέτῃ προσήνεγκαν τὴν χολὴν, καὶ αὐτὸ τὸ ὄξος, 11) οἷόν τις ἄμπελος ἐπιζήμιος· οὗ δὴ χάριν, ταῖς 12) αὐταῖς ὑπεβλήθησαν τιμωρίαις, καὶ ἐγένετο ἡ τράπεζα αὐ-

Nam furor celer eſt, et exigui temporis. Ira vero tardior quidem, ſed magis diuturna. Furorem igitur iræ, celerem et perſeuerantem pœnam appellauit.

* 26. *Fiat habitatio eorum deſerta, et in tabernaculis eorum non ſit qui inhabitet.* Per omnia autem iuſtam ſententiam implorat, et ſupplicat vt iis quæ in alios patrauerant, ſubiicerentur. Quoniam enim Hieroſolymam et alias ciuitates Iudææ diripientes, deſolatas illas reddiderunt Chaldæi, hæc vt illorum patria patiatur, obſecrat populus, et compos petitionis factus eſt. Nam Babylon deſolata fuit, et vsque in hodiernum diem ſic permanet. Tamen ſciendum eſt, quæ Iudæi petierunt vt Babylonii paterentur, quod impie illos et ſcelerate tractaſſent, hæc ipſos perpeſſos eſſe, cum in beneficum et ſaluatorem rabiem exercuiſſent. Babylonii enim amarum cibum ipſis reddiderunt, non talem cibum ipſis præbentes, ſed laborioſa ſeruitute ſuauitatem, quæ cibis innata eſt, auferentes. Iudæi autem nulla iniuria affecti, ſed omnibus beneficiis ornati, ipſi beneficii auctori fel et acetum ipſum obtulere, veluti quædam vinea pernicioſa. Idcirco iisdem ſuppliciis addicti ſunt, et facta eſt menſa illo-

Hh 2 rum

1) γάρ. Cod. 1. et 2. præm. μέν. 2) κατοικῶν. In Cod. 1. ſequ. ἀλλὰ μηδεὶς ὑπολάβοι τὸν προφήτην ἐπαρᾶσθαι· ἀλλὰ καθάπερ ἀνωτέρω ἡμῖν εἴρηται, ἐκ προσώπου τῶν μετανασῶν γενομένων ἐν τῇ Βαβυλῶνι ταῦτα προλέγει ὁ προφητικὸς νοῦς. „ Nemo autem exiſtimet, Prophetam hoc in loco dira imprecari: prædicit potius iſta, vt iam in ſuperioribus a nobis dictum eſt, ex perſona eorum qui captiui tenebantur Babylone. 3) καί. Deſ. in Cod. 2. 4) πορθησ. Cod. 1. add. καὶ κατακαύσαντες. 5) E Cod. 1. ſuppl. Eandem lectionem habuit *Caraffa*. 6) Cod. 2. τὰ αὐτά. 7) παθεῖν — πατρίδα. Cod. 1. ὁ λαὸς ἐκείνοις συμβήσεσθαι ἀντιβολεῖ καὶ τῇ αὐτῶν πατρίδι. 8) Cod. 2. Βαβυλωνίοις. 9) Cod. 1. et 2. χρησαμένους. 10) καί. Cod. 1. præm. τοῦ. 11) Cod. 2. οἷα. 12) Cod. 2. αὐτῶν.

rum in laqueum, et in retributionem, et in scandalum. Siquidem pro pristina felicitate ad seruitutem condemnati fuerunt, et oculi eorum obscurati sunt, cum veram lucem videre non possent, et terga illorum assidua seruitute et paupertate inflexa sunt, ob elatam ceruicem, et durum eorum collum, et habitatio eorum facta est deserta, et in tabernaculis Hierosolymæ nemo illorum habitat. Suis igitur execrationibus subiecti fuerunt, et quæ Babyloniis ipsi iniuria affecti imprecati sunt, hæc perpessi sunt cum iniuriam intulissent, ingratique erga beneficii auctorem fuissent. Propterea et diuini apostoli huius psalmi testimoniis vsi sunt, geminum prophetiæ sensum scientes. Sed ad sequentia interpretationem conuertamus. 27. *Quoniam quem tu percussisti, persecuti sunt, et dolorem vulnerum meorum auxerunt.* Tu enim, inquit, peccatorum a me pœnas exigens, istis velut quibusdam carnificibus tradidisti: hi vero pluribus quam præcepisses, malis me circumdederunt, et dolorem, qui mihi * ob peccatum accidit, auxerunt. Hanc eorum inhumanitatem vniuersitatis Dominus reprehendit, dicens, a) Ego eos tradidi in manus tuas, tu autem misericordiam non exhibuisti eis, et iugum senioris grauasti, et iuuenis non misertus es. 28. *Appone iniquitatem super iniquitatem eorum, et*

τῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον. ἀντὶ γὰρ τῆς προτέρας εὐκληρίας, δουλείαν κατεψηφίσθησαν· 1) καὶ οἱ ὀφθαλμοὶ δὲ αὐτῶν ἐσκοτίσθησαν, ἰδεῖν τὸ ἀληθινὸν 2) οὐκ 3) ἀγαχόμενοι φῶς. καὶ ὁ νῶτος δὲ αὐτῶν 4) διηνεκῶς τῇ δουλείᾳ καὶ τῇ πενίᾳ συγκέκαμπται, διὰ τὸν γαῦρον αὐχένα, καὶ τὸν σκληρὸν αὐτῶν τράχηλον· 5) καὶ ἡ ἔπαυλις 6) αὐτῶν ἐγένετο ἔρημος, καὶ ἐν τοῖς τῆς Ἱερουσαλὴμ σκηνώμασιν οὐδεὶς αὐτῶν κατοικεῖ. ταῖς οἰκείαις τοίνυν ἀραῖς ὑπεβλήθησαν· καὶ ἃ τοῖς Βαβυλωνίοις ἐπηράσαντο ἀδικούμενοι, ταῦτα πεπόνθασιν 7) ἀδικήσαντες, καὶ ἀχάριστοι περὶ τὸν εὐεργέτην γενόμενοι· τούτου χάριν καὶ 8) οἱ θεῖοι ἀπόστολοι ταῖς ἐντεῦθεν ἐχρήσαντο μαρτυρίαις, τῆς προφητείας τὸ διπλοῦν ἐπιστάμενοι· 9) ἀλλ' ἐπὶ τὰ συνεχῆ τῆς ἑρμηνείας βαδίσωμεν. κζ'. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. Σὺ μὲν γάρ φησι δίκας 10) με τῆς 11) παρανομίας εἰσπραττόμενος, οἷον τισι δημίοις παρέδωκας 12) τούτοις· οὗτοι δὲ, πλείοσί με, ἢ προσέταξας, κακοῖς περιέβαλον· καὶ ἐπηύξησάν μοι τὴν διὰ τὴν ἁμαρτίαν ὀδύνην· ταύτην αὐτῶν καὶ ὁ τῶν ὅλων Θεὸς κατηγορεῖ τὴν ὠμότητα, καί φησιν, ἐγὼ αὐτοὺς παρέδωκα εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεον· 13) καὶ τοῦ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν, καὶ νεώτερον οὐκ ἠλέησας. κη'. Πρόσθες ἀνομίαν ἐπὶ 14) τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ

1) καί. Def. in Cod. 2. 2) οὐκ ἀναχόμενοι. Def. in Cod. 1. 3) Cod. 2. ἀνεχόμενοι. 4) Cod. 2. διαπαντός. 5) καί. Cod. 1. add. μέντοι καί. 6) αὐτῶν. Cod. 2. præm. δή. 7) ἀδικήσ. Cod. 1. add. τὸν δημιουργὸν τοῦ παντὸς σταυρῷ κατακρίναντες. 8) Cod. 2. ὁ θεῖος ἀπόστολος. 9) ἀλλ' — βαδίσωμεν. Del. in Cod 2. 10) με. Cod. 1. μοι. 11) Cod. 2. παροινίας. 12) τούτοις. Cod. 1. τοῖς Βαβυλωνίοις. 13) καί. Abest a Cod. 2. 14) Cod. 1. et 2. τὴν ἀνομίαν, quæ est rec. lectio h. l.

a) Es. 47, 6.

1) μὴ εἰσελθέτωσαν ἐν 2) δικαιοσύνῃ. Τὴν διὰ τὴν ἁμαρτίαν ἐπαγομένην τιμωρίαν ἀνομίαν ἐκάλεσεν· ἀντὶ τοῦ, ἐπίθες αὐτοῖς ἀνόμως ζῶσι τιμωρίαν ἀξίαν· καὶ μὴ τύχωσιν ἀγαθῶν ἃ τοῖς δικαίοις εἴωθας ἀπονέμειν. κθ´. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων καὶ μετὰ δικαίων μὴ 3) γραφήτωσαν. Τούτοις ἔοικε τὸ, οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει· οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· τούτων μέντοι τῶν βίβλων μέμνηται Δανιήλ· κριτήριον γάρ φησιν ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὧν τοῖς ἀνακειμένοις σοι 4) δίδως, μὴ μεταλάχοιεν οὗτοι· μηδὲ τύχοιεν ἀνακλήσεως, ἧς ἡμεῖς, φησὶ, διὰ τὴν σὴν φιλανθρωπίαν τευξόμεθα. λ´. Πτωχὸς καὶ ἀλγῶν εἰμὶ ἐγώ· ἡ σωτηρία 5) τοῦ προσώπου σου 6) ὁ Θεὸς ἀντελάβετό μου. Ἐντεῦθεν λοιπὸν τὴν ἀλλοίωσιν τῶν πραγμάτων προλέγει· καὶ τὴν τῆς δουλείας λύσιν, καὶ τὴν τῶν δορυαλώτων ἐπάνοδον. διὰ τοῦτο καὶ εἰς τὸ τέλος ὁ ψαλμὸς ἐπιγέγραπται τοῖς ἀλλοιωθησομένοις· δύο γὰρ ἐδέξαντο ἐναντίας μεταβολάς· μεταμελείᾳ γὰρ ἐν Βαβυλῶνι χρησάμενοι τὴν προτέραν ἐλευθερίαν ἀπέλαβον· μετὰ δὲ ταῦτα κατὰ τοῦ 7) Δεσπότου λυττήσαντες, παντελεῖ δουλείᾳ 8) κατεδικάσθησαν. ἀμφότερα τοίνυν 9) προλέγει ὁ παρὼν ψαλμός· τόδε πτωχὸς καὶ ἀλγῶν 10) εἰμὶ, τοῦτο σημαίνει· ἐν πτωχείᾳ με, φησὶν, ἰδὼν, καὶ ἐν

non intrent in iustitiam tuam. Pœnam ob peccatum irrogatam, *iniquitatem* vocauit: quasi diceret, impone ipsis impie viuentibus dignam pœnam, et ne bona consequantur, quæ iustis distribuere soles. 29. *Deleantur e libro viuentium, et cum iustis non scribantur.* Hoc respondere videtur illis, *a)* Non resurgent impii in iudicio, neque peccatores in consilio iustorum. Horum vero librorum beatus Daniel meminit. Sedit enim, inquit, *b)* iudicium, et libri aperti sunt. Quod autem dicit, hoc est, Quæ tuis cultoribus concedis, eorum ne isti participes sint: neque reuocationem consequantur, cuius nos, inquit, ob tuam benignitatem compotes erimus. 30. *Ego sum pauper et doleo: salus tua Deus suscepit me.* Hinc deinceps rerum mutationem prædicit, et a seruitute liberationem, captiuorumque reditum: et idcirco *in finem* psalmus inscriptus est *his qui mutabuntur.* Nam duas contrarias mutationes habuerunt. Cum enim Babylone pœnitentiam egissent, pristinam libertatem receperunt: postea autem cum rabiem in Dominum exeruissent, ad extremam seruitutem condemnati fuerunt. Vtraque igitur præsens psalmus vaticinatur. Hoc autem *pauper sum et doleo*, hoc significat: Cum, inquit, me in paupertate vidisses, et multis

1) μή. Abest a Cod. 2. 2) δικαιοσ. Cod. 1. addit σου, sicque leg. in Textu τῶν ό. 3) γραφήτωσαν. Cod. 1. add. ἀκουέτωσαν οἱ γαυριῶντες ἐπὶ δόξῃ καὶ πλούτῳ καὶ τοὺς πέλας ἀδικοῦντες. ἀκουέτωσαν οἱ τὸ δίκαιον ἀποστρεφόμενοι καὶ τὸ ἄδικον ποθοῦντες. „ Audiant hoc qui ob gloriam et diuitias se efferunt, cum proximo autem inique agunt. Audiant, qui iustum peruertunt, iniustitiam autem appetunt. „ 4) Cod. 1. μεταδίδως. 5) τοῦ προσώπου. Des. in Cod. 1. et 2. 6) ὁ Θεός. Exstat tantum in edit. *ald.* et *compl.* abest autem a Cod. 1. 7) δεσπότου. Cod. 1. Θεοῦ καὶ τοῦ σωτῆρος. Cod. 2. habet tantum σωτῆρος. 8) κατεδ. Cod. 1. κατεψηφίσθησαν. 9) Cod. 1. λέγει. 10) εἰμί. Cod. 1. et 2. addunt ἐγώ.

a) Ps. 1, 5. *b)* Dan. 7, 10.

multis doloribus tentatum, tua salute me dignatus es. Propterea 31. *Laudabo nomen Dei mei cum cantico, et magnificabo eum in laude.* Non immemor beneficiorum ero, sed illa hymnis compensabo, narratione ipsius erga me beneficiorum magnitudinem nescientibus ostendens. 32. *Et placebit Domino meo magis quam vitulus nouellus, cornua producens, et vngulas.* Gratius autem erit ipsi laudis sacrificium, quam iunior et pinguis vitulus, * qui modo vngulas, et modo cornua producit. At Iudæorum deploranda est nequitia, cognoscere nolentium quam puerilis sit legalis cultus: siquidem captiui, qui Babylone detinebantur, polliciti sunt, se Deum hymnis celebraturos post reditum, non autem sacrificia oblaturos, eo quod hymnorum cantus Deo sit acceptior. Verum reprehensionem istorum in præsenti missam faciamus, et ad interpretationem redeamus. 33. *Videant pauperes, et lætentur.* Omnes, inquit, qui in eiusmodi mala inciderunt, bonæ spei occasionem a nobis arripiant. *Quærite Deum, et viuet anima vestra.* Præterea hortatur, vt spe in Deum collocata, et fusis precibus, salutem accipiant. 34. *Quoniam exaudiuit Dominus pauperes, et vinctos suos non despexit.* Nam nostras preces

πολλαῖς ὀδύναις ἐξεταζόμενον, τῆς σῆς σωτηρίας 1) ἠξίωσας· τέτε δὴ 2) χάριν, λα΄. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ᾽ ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. 3) Οὐκ ἔσομαι περὶ τὰς εὐεργεσίας ἀγνώμων· 4) ἀλλ᾽ ἀμείψομαι τοῖς ὕμνοις τὰς χάριτας, τῇ διηγήσει τῶν εὐεργεσιῶν τὸ μέγεθος αὐτοῦ τοῖς ἀγνοοῦσι 5) δεικνύς. λβ΄. Καὶ ἀρέσει τῷ Θεῷ 6) μου, ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα, καὶ ὁπλάς. Θυμηρεστέρα δὲ αὐτῷ ἔσαι τῆς αἰνέσεως ἡ θυσία μόσχου νέου καὶ πίονος, ἄρτι μὲν τὰς χηλὰς, ἄρτι δὲ, προβαλλομένου τὰ κέρατα. Θρηνῆσαι 7) ἄξιον τὴν Ἰουδαίων παρανομίαν, συνιδεῖν οὐ βουλομένων τῆς νομικῆς λατρείας τὸ νηπιῶδες· καί τοι τῶν ἐν Βαβυλῶνι δορυαλώτων, ὑμνεῖν τὸν Θεὸν μετὰ τὴν ἐπάνοδον ὑπισχνουμένων, οὐ θυσίας 8) ἱερατεύειν, ὡς τῆς ὑμνῳδίας θυμηρεστέρας οὔσης 9) Θεῷ. ἀλλὰ τὴν μὲν τούτων κατηγορίαν ἐπὶ τοῦ παρόντος ἐάσωμεν· ἐπὶ δὲ τὴν ἑρμηνείαν βαδίσωμεν. λγ΄. Ἰδέτωσαν πτωχοὶ, καὶ εὐφρανθήτωσαν. Ἅπαντές φησιν οἱ τοῖς ὁμοίοις κακοῖς περιπίπτοντες, ἐλπίδος ἀγαθῆς παρ᾽ ἡμῶν λαβέτωσαν πρόφασιν. ἐκζητήσατε τὸν Θεὸν, καὶ 10) ζήσεται ἡ ψυχὴ ὑμῶν. 11) πρὸς τούτοις παραινεῖ διὰ τῆς εἰς Θεὸν ἐλπίδος καὶ προσευχῆς τὴν σωτηρίαν 12) λαβεῖν. λδ΄. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Ἐδέξατο γὰρ ἡμῶν

1) ἠξίωσας. Cod. 1. add. ἀκουέτωσαν οἱ ἁμαρτάνοντες καὶ τῇ μετανοίᾳ ἐμμενέτωσαν, δι᾽ αὐτῆς ἀντιβολοῦντες τυχεῖν τῆς σωτηρίας. „ Audiant hoc peccatores et pœnitentiæ semper operam dent, rogantes, vt per istam participes fiant salutis.„ 2) χάριν. Cod. 1. add. λέγει. 3) Οὐκ. Cod. 1. et 2. οὐ γάρ. Cod. 1. præm. Ἐμμενῶ, φησὶ, τῇ μετανοίᾳ. 4) Cod. 1. ἀλλὰ λήψομαι. 5) Cod. 1. δεικνύναι πειρώμενος. 6) μου. Abest a Cod. 1. 2. et Textu τῶν ό. 7) ἄξιον. Cod. 1. et 2. præm. δὲ. 8) Cod. 1. et 2. ἱερεύειν. 9) Θεῷ. Cod. 2. præm. τῷ. 10) ζήσεται — ὑμῶν. Rec. lectio est ζήσεσθε. 11) πρός. Abest a Cod. 1. 12) λαβεῖν. Cod. 1. add. καὶ τίνος ἕνεκεν λέγει.

ἡμῶν τὴν δέησιν, τὴν πενίαν ἰδών· καὶ ἔλυσε τὰ τῆς δουλείας δεσμά. πεπεδημένους δὲ αὐτοὺς κέκληκεν, ἐπειδὴ 1) αὐτὸς αὐτοὺς εἰς δουλείαν ἐξέδωκεν. λέ. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ· θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν 2) αὐτῇ. Ἅπασάν φησι τὴν κτίσιν εἰς κοινωνίαν τῆς ὑμνῳδίας καλῶ. οὐκ ἀπόχρη γὰρ ἡ ἀνθρωπεία γλῶττα τὰς θείας 3) διηγήσασθαι χάριτας. λϛ΄. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας. Τοῦτον δὲ αὐτῷ προσφέρω τὸν ὕμνον, λαμπρὰν ὁρῶν καὶ περιφανῆ τὴν Σιών· καὶ τὰς τῆς Ἰουδαίας πόλεις τὰς νῦν ἐρήμους, τὴν προτέραν εὐημερίαν 4) ἀπολαβούσας. οὕτω τὴν νεουργίαν τῶν πόλεων προθεσπίσας, προαγορεύει 5) καὶ τῶν οἰκητόρων τὸ πλῆθος. καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν. οἱ νῦν, φησίν, αἰχμάλωτοι, τῆς ἐπανόδου τυχόντες, καὶ τὰς οἰκείας οἰκοδομήσουσι πόλεις, καὶ κατοικήσουσιν ἐν αὐταῖς· οὐκ αὐτοὶ δὲ μόνοι· ἀλλὰ καὶ οἱ τούτων παῖδες, καὶ οἱ ἔκγονοι. τοῦτο γὰρ ἐπήγαγε. λζ΄. Καὶ τὸ σπέρμα τῶν δούλων 6) σου καθέξουσιν αὐτήν. Ἐπειδὴ δὲ τῆς κατὰ τοῦ 7) σωτῆρος ἕνεκα μανίας τὴν παντελῆ πανωλεθρίαν ἔμελλον ὑπομένειν, εἰκότως τὸ ἀκροτελεύτιον τῷ ψαλμῷ τοιοῦτον 8) ἐπιτέθεικε. καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά 9) σου κατασκηνώσουσιν ἐν αὐτῇ. οὐ γὰρ πάντες „10) κατὰ „τὸν θεῖον ἀπόστολον“ οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ· 11) οὐδὲ ὅτι εἰσὶ 12) σπέρμα Ἀβραάμ, πάντες τέκνα. συμφωνεῖ δὲ

admisit, cum inopiam vidisset, vinculaque seruitutis soluit. Vinctos vero ipsos vocauit, quoniam ipse eos in seruitutem tradiderat. 35. *Laudent illum caeli et terra, mare, et omnia reptilia in eis.* Totum, inquit, orbem in hymnorum communionem voco: quandoquidem non sufficit humana lingua diuina beneficia explicare. 36. *Quoniam Deus saluam faciet Zionem, et aedificabuntur ciuitates Iudae.* Porro hunc hymnum ipsi offero, illustrem et splendidam Zionem videns, et Iudaeae ciuitates, quae nunc desolatae sunt, pristinam felicitatem consecutas. Sic vrbium renouationem vaticinatus, praedicit etiam incolarum frequentiam. *Et habitabunt ibi, et hereditate acquirent eam.* Cum, inquit, hi qui captiui nunc degunt, reditum consecuti fuerint, et proprias ciuitates aedificabunt, et illas incolent: neque vero ipsi soli, sed etiam eorum filii, et posteri. Hoc enim subiunxit. 37. *Et semen seruorum tuorum possidebit eam.* Quoniam autem propter furorem, quo in saluatorem perciti fuerunt, extremam perniciem subituri erant, merito talem psalmo finem imposuit. *Et qui diligunt nomen tuum, habitabunt in ea.* Non enim omnes, qui ex Israele originem ducunt, vt ait diuinus * apostolus, a) ipsi Israelitae sunt: neque quod sint ex semine Abrahae, ideo sunt omnes filii. Respondent autem

1) αὐτός. Abest a Cod. 2. 2) Rec. lectio est αὐτοῖς. 3) Cod. 1. διηγεῖσθαι. 4) Cod. 2. ἀπολαυούσας. 5) καί. Des. in Cod. 2. 6) σου. Rec. lectio est αὐτοῦ. Hebr. עבדיך. 7) σωτῆρος. Cod. 1. praem. Θεοῦ καί. 8) Cod. 2. ἐπέθηκε. 9) σου. Rec. lectio in Textu τῶν ό. est αὐτοῦ. 10) E Cod. 1. suppl. Eandem lectionem habuit *Carafa*. 11) οὐδὲ ὅτι. Cod. 1. οὐδ' ὅσοι. 12) Cod. 2. σπέρματα.

a) Rom. 9, 6.

multis doloribus tentatum, tua ſalute me dignatus es. Propterea 31. *Laudabo nomen Dei mei cum cantico, et magnificabo eum in laude.* Non immemor beneficiorum ero, ſed illa hymnis compenſabo, narratione ipſius erga me beneficiorum magnitudinem neſcientibus oſtendens. 32. *Et placebit Domino meo magis quam vitulus nouellus, cornua producens, et vngulas.* Gratius autem erit ipſi laudis ſacrificium, quam iunior et pinguis vitulus, * qui modo vngulas, et modo cornua producit. At Iudæorum deploranda eſt nequitia, cognoſcere nolentium quam puerilis ſit legalis cultus: ſiquidem captiui, qui Babylone detinebantur, polliciti ſunt, ſe Deum hymnis celebraturos poſt reditum, non autem ſacrificia oblaturos, eo quod hymnorum cantus Deo ſit acceptior. Verum reprehenſionem iſtorum in præſenti miſſam faciamus, et ad interpretationem redeamus. 33. *Videant pauperes, et lætentur.* Omnes, inquit, qui in eiusmodi mala inciderunt, bonæ ſpei occaſionem a nobis arripiant. *Quærite Deum, et viuet anima veſtra.* Præterea hortatur, vt ſpe in Deum collocata, et fuſis precibus, ſalutem accipiant. 34. *Quoniam exaudiuit Dominus pauperes, et vinctos ſuos non deſpexit.* Nam noſtras preces

πολλαῖς ὀδύναις ἐξεταζόμενον, τῆς σῆς σωτηρίας 1) ἠξίωσας· τούτου δὴ 2) χάριν, λα΄. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ᾽ ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. 3) Οὐκ ἔσομαι περὶ τὰς εὐεργεσίας ἀγνώμων· 4) ἀλλ᾽ ἀμείψομαι τοῖς ὕμνοις τὰς χάριτας, τῇ διηγήσει τῶν εὐεργεσιῶν τὸ μέγεθος αὐτοῦ τοῖς ἀγνοοῦσι 5) δεικνύς. λβ΄. Καὶ ἀρέσει τῷ Θεῷ 6) μου, ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα, καὶ ὁπλάς. Θυμηρεστέρα δὲ αὐτῷ ἔσται τῆς αἰνέσεως ἡ θυσία μόσχου νέου καὶ πίονος, ἄρτι μὲν τὰς χηλὰς, ἄρτι δὲ προβαλλομένου τὰ κέρατα. Θρηνῆσαι 7) ἄξιον τὴν Ἰουδαίων παρανομίαν, συνιδεῖν οὐ βουλομένων τῆς νομικῆς λατρείας τὸ νηπιῶδες· καί τοι τῶν ἐν Βαβυλῶνι δορυαλώτων, ὑμνεῖν τὸν Θεὸν μετὰ τὴν ἐπάνοδον ὑπισχνουμένων, οὐ θυσίας 8) ἱερατεύειν, ὡς τῆς ὑμνῳδίας θυμηρεστέρας οὔσης 9) Θεῷ. ἀλλὰ τὴν μὲν τούτων κατηγορίαν ἐπὶ τοῦ παρόντος ἐάσωμεν· ἐπὶ δὲ τὴν ἑρμηνείαν βαδίσωμεν. λγ΄. Ἰδέτωσαν πτωχοὶ, καὶ εὐφρανθήτωσαν. Ἅπαντές φησιν οἱ τοῖς ὁμοίοις κακοῖς περιπίπτοντες, ἐλπίδος ἀγαθῆς παρ᾽ ἡμῶν λαβέτωσαν πρόφασιν. ἐκζητήσατε τὸν Θεὸν, καὶ 10) ζήσεται ἡ ψυχὴ ὑμῶν. 11) πρὸς τούτοις παραινεῖ διὰ τῆς εἰς Θεὸν ἐλπίδος καὶ προσευχῆς τὴν σωτηρίαν 12) λαβεῖν. λδ΄. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος· καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Ἐδέξατο γὰρ ἡμῶν

1) ἠξίωσας. Cod. 1. add. ἀκουέτωσαν οἱ ἁμαρτάνοντες καὶ τῇ μετανοίᾳ ἐμμενέτωσαν, δι᾽ αὐτῆς ἀντιβολᾶντες τυχεῖν τῆς σωτηρίας. „ Audiant hoc peccatores et pœnitentiæ ſemper operam dent, rogantes, vt per iſtam participes fiant ſalutis.„ 2) χάριν. Cod. 1. add. λέγει. 3) Οὐκ. Cod. 1. et 2. οὐ γάρ. Cod. 1. præm. Ἐμμενῶ, φησὶ, τῇ μετανοίᾳ. 4) Cod. 1. ἀλλὰ λήψομαι. 5) Cod. 1. δεικνύναι πειρώμενος. 6) μου. Abeſt a Cod. 1. 2. et Textu τῶν ό. 7) ἄξιον. Cod. 1. et 2. præm. δέ. 8) Cod. 1. et 2. ἱερεύειν. 9) Θεῷ. Cod. 2. præm. τῷ. 10) ζήσεται — ὑμῶν. Rec. lectio eſt ζήσεσθε. 11) πρός. Abeſt a Cod. 1. 12) λαβεῖν. Cod. 1. add. καὶ τίνος ἕνεκεν λέγει.

ἡμῶν τὴν δέησιν, τὴν πενίαν ἰδών· καὶ ἔλυσε τὰ τῆς δουλείας δεσμά. πεπεδημένους δὲ αὐτοὺς κέκληκεν, ἐπειδὴ 1) αὐτὸς αὐτοὺς εἰς δουλείαν ἐξέδωκεν. λέ. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ· θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν 2) αὐτῇ. Ἅπασάν φησι τὴν κτίσιν εἰς κοινωνίαν τῆς ὑμνῳδίας καλῶ. οὐκ ἀπόχρη γὰρ ἡ ἀνθρωπεία γλῶττα τὰς θείας 3) διηγήσασθαι χάριτας. λϛ'. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας. Τοῦτον δὲ αὐτῷ προσφέρω τὸν ὕμνον, λαμπρὰν ὁρῶν καὶ περιφανῆ τὴν Σιών· καὶ τὰς τῆς Ἰουδαίας πόλεις τὰς νῦν ἐρήμους, τὴν προτέραν εὐημερίαν 4) ἀπολαβούσας. οὕτω τὴν νεαργίαν τῶν πόλεων προθεσπίσας, προαγορεύει 5) καὶ τῶν οἰκητόρων τὸ πλῆθος. καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν. οἱ νῦν, φησὶν, αἰχμάλωτοι, τῆς ἐπανόδου τυχόντες, καὶ τὰς οἰκείας οἰκοδομήσουσι πόλεις, καὶ κατοικήσουσιν ἐν αὐταῖς· οὐκ αὐτοὶ δὲ μόνοι· ἀλλὰ καὶ οἱ τούτων παῖδες, καὶ οἱ ἔκγονοι. τοῦτο γὰρ ἐπήγαγε. λζ'. Καὶ τὸ σπέρμα τῶν δούλων 6) σου καθέξουσιν αὐτήν. Ἐπειδὴ δὲ τῆς κατὰ τοῦ 7) σωτῆρος ἕνεκα μανίας τὴν παντελῆ πανωλεθρίαν ἔμελλον ὑπομένειν, εἰκότως τὸ ἀκροτελεύτιον τῷ ψαλμῷ τοιοῦτον 8) ἐπιτέθεικε. καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά 9) σου κατασκηνώσουσιν ἐν αὐτῇ. οὐ γὰρ πάντες „10) κατὰ „τὸν θεῖον ἀπόστολον·„ οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ· 11) οὐδὲ ὅτι εἰσὶ 12) σπέρμα Ἀβραὰμ, πάντες τέκνα. συμφωνεῖ δὲ

admisit, cum inopiam vidisset, vinculaque seruitutis soluit. Vinctos vero ipsos vocauit, quoniam ipse eos in seruitutem tradiderat. 35. *Laudent illum cæli et terra, mare, et omnia reptilia in eis.* Totum, inquit, orbem in hymnorum communionem voco: quandoquidem non sufficit humana lingua diuina beneficia explicare. 36. *Quoniam Deus saluam faciet Zionem, et ædificabuntur ciuitates Iudæ.* Porro hunc hymnum ipsi offero, illustrem et splendidam Zionem videns, et Iudææ ciuitates, quæ nunc desolatæ sunt, pristinam felicitatem consecutas. Sic vrbium renouationem vaticinatus, prædicit etiam incolarum frequentiam. *Et habitabunt ibi, et hereditate acquirent eam.* Cum, inquit, hi qui captiui nunc degunt, reditum consecuti fuerint, et proprias ciuitates ædificabunt, et illas incolent: neque vero ipsi soli, sed etiam eorum filii, et posteri. Hoc enim subiunxit. 37. *Et semen seruorum tuorum possidebit eam.* Quoniam autem propter furorem, quo in saluatorem perciti fuerunt, extremam perniciem subituri erant, merito talem psalmo finem imposuit. *Et qui diligunt nomen tuum, habitabunt in ea.* Non enim omnes, qui ex Israele originem ducunt, vt ait diuinus * apostolus, a) ipsi Israelitæ sunt: neque quod sint ex semine Abrahæ, ideo sunt omnes filii. Respondent autem his

1) αὐτός. Abest a Cod. 2. 2) Rec. lectio est αὐτοῖς. 3) Cod. 1. διηγεῖσθαι. 4) Cod. 2. ἀπολαυούσας. 5) καί. Des. in Cod. 2. 6) σου. Rec. lectio est αὐτοῦ. Hebr. עֲבָדָיו. 7) σωτῆρος. Cod. 1. præm. Θεοῦ καί. 8) Cod. 2. ἐπέθηκε. 9) σου. Rec. lectio in Textu τῶν ό. est αὐτοῦ. 10) E Cod. 1. suppl. Eandem lectionem habuit *Carafa*. 11) οὐδὲ ὅτι. Cod. 1. οὐδ' ὅσοι. 12) Cod. 2. σπέρματα.

a) Rom. 9, 6.

his etiam prophetæ verba: a) Si fuerit numerus filiorum Israel, tanquam arena maris, reliquiæ saluabuntur. Hoc etiam beatus ait Dauid, *Et qui diligunt nomen tuum, habitabunt in ea.* Nam post crucem, et rabiem illam, canes illi exacti fuerunt: diligentes autem ipsum, in Zione habitarunt, laudis sacrificium illi offerentes.

τούτοις, καὶ τὰ προφητικὰ ῥήματα· ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, 1) ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. 2) τοῦτο καὶ ὁ μακάριος ἔφη Δαβίδ· καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ· μετὰ γὰρ τὸν σταυρὸν, καὶ τὴν λύτταν ἐκείνην, ἐξηλάθησαν μὲν 3) οἱ κύνες 4) ἐκεῖνοι· οἱ δὲ ἀγαπῶντες 5) αὐτὸν, ἐν τῇ Σιὼν κατεσκήνωσαν, τὴν τῆς αἰνέσεως αὐτῷ θυσίαν 6) προσφέροντες.

INTERP. PS. LXIX.

1. In finem. In reminiscentiam Dauidi, vt saluum me faciat Dominus. Hoc in aliquibus exemplaribus inueni, in quibusdam vero minime, sed nec apud Hebraicum, nec apud alios interpretes. Congruit tamen sensui psalmi: quandoquidem propheta salutem petit, et liberationem ab his, qui bello eum persequebantur. Dixit autem hunc psalmum beatus Dauid, cum Absalomum fugeret. Merito etiam *in reminiscentiam* inscriptioni appositum est:

ΕΡΜΗΝ. ΤΟΥ ξθʹ ΨΑΛΜΟΥ.

αʹ. Εἰς τὸ τέλος, τῷ Δαβὶδ, εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με 7) Κύριον. Τοῦτο δὲ ἐν ἐνίοις ἀντιγράφοις 8) εὗρον· οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς· συμβαίνει δὲ ὅμως τῇ τοῦ ψαλμοῦ διανοίᾳ· 9) σωτηρίαν γὰρ ὁ προφήτης αἰτεῖ, καὶ τῶν πολεμούντων ἀπαλλαγήν. εἴρηκε δὲ τὸν ψαλμὸν ὁ μακάριος Δαβὶδ, ὑπὸ τοῦ Ἀβεσσαλὼμ διωκόμενος· εἰκότως 10) δὲ καὶ τὸ εἰς ἀνάμνησιν τῇ ἐπιγραφῇ πρόσκειται·

1) ὡς ἡ. Cod. 1. ὡσεί. 2) τοῦτο — Δαβίδ. Def. in Cod. 2. Horum loco in Cod. 1. leg. οὐ μόνον, φησὶν, οἱ μακάριοι ἀπόστολοι καὶ οἱ περὶ Ἰάκωβον καὶ τοὺς λοιποὺς, ὧν ἐστὶ Στέφανος ὁ πρῶτος τῶν ἀθλοφόρων· περὶ τούτων γὰρ καὶ τῶν κατ᾽ αὐτοὺς ἔφη. „ Non modo, inquit, beati Apostoli, aut qui cum Iacobo et reliquis erant, quorum primus martyr fuit Stephanus. De his enim iisque qui cum illis erant, dicit. „ 3) οἱ. Cod. 1. et 2. ὡς. 4) ἐκεῖνοι. Cod. 1. οἱ θεοκτόνοι. Οὐεσπασιανὸς γὰρ αὐτοὺς καὶ Τίτος ἄρδην τῆς Ἰουδαίας ἐξέβαλον. 5) αὐτόν. Cod. 1. add. τὸν σταυρωθέντα, καὶ ὁμολογοῦντες αὐτὸν Θεὸν ἐκ Θεοῦ. „ crucifixum, et confitentes, eum esse Deum ex Deo. „ 6) προσφ. Cod. 1. add. καὶ μέχρι σήμερον ὁρῶμεν ἅπαντες ἀντιμίμημα ἀγγέλων, τὴν ἐκεῖσε ἀναπεμπομένην ὑμνῳδίαν. „ Et ad hunc vsque diem omnes videmus ad imitationem angelorum hymnum ibi celebratum. „ 7) Cod. 1. Κύριε. 8) εὗρον. In Scholio edit. rom. sequitur, ἐν ἐνίοις δὲ οὔ. Hæc Carafa etiam expressit. 9) σωτηρίαν — ἀπαλλαγήν. Cod. 1. τὴν συνήθη γὰρ τοῖς δικαίοις εὐχὴν εἰς ἀνάμνησιν ὁ ψαλμὸς ἔχει, καὶ τὴν ἀεὶ προσταγομένην παρὰ Θεῷ σωτηρίαν, ἣν καὶ ἐνταῦθα ὁ προφήτης αἰτεῖ καὶ τῶν πολεμούντων τὴν ἀπαλλαγήν. „ Preces enim iustis sollemnes in memoriam nos reuocare iubet psalmus, et salutem semper apud Deum paratam, quam hic etiam petit Propheta, et liberationem ab inimicis. „ 10) δέ. Abest a Cod. 1.

a) Es. 10, 22.

ται· ἡ γὰρ μνήμη τῆς ἁμαρτίας, αὐτὸν ἐκέντει τῶν πολεμίων 1) σφοδρότερον· διόπερ βοᾷ. β΄. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου 2) πρόσχες· 3) Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Πολλαῖς, φησὶ, καὶ παντοδαπαῖς περικλύζομαι συμφοραῖς· ὃ δὴ χάριν, ταχεῖαν αἰτῶ παραχεθῆναί μοι τὴν 4) βοήθειαν. γ΄. 5) Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Διαμαρτοιέν 6) φησιν οἱ τῆς ἐμῆς σφαγῆς ἐφιέμενοι, καὶ τὴν ἐντεῦθεν αἰσχύνην 7) καρπώσαιντο. 8) Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω· καὶ 9) καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. „10) ἀντὶ τοῦ οὐ μόνον „τῇ γῇ παραδοθήσονται, ἀλλὰ καὶ μετ' „αἰσχύνης τόνδε τὸν βίον ὑπεξέλθωσιν οἱ „11) κατατυρεύσαντες κατὰ τῶν εὐσε-„βῶς βιοτευόντων τὰ δεινά· τοῦτο γὰρ „καὶ διὰ τῶν ἑξῆς λέγει.„ δ΄. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ

quia peccati memoria vehementius quam hostes ipsum pungebat. Propterea exclamat: 2. *Deus in auxilium meum intentus sis, Domine ad adiuuandum me festina.* Multæ, inquit, ac variæ calamitates obruunt me: idcirco vt celerem mihi opem concedas, peto. 3. *Confundantur, et ignominia afficiantur, qui quærunt animam meam.* Sua spe, inquit, decipiantur, qui meam cædem desiderant, et hinc dedecus reportent. *Auertantur retrorsum, et erubescant, qui volunt mihi mala.* „Hoc est, non modo „terræ tradentur, sed etiam „cum pudore clam ex hac vita „discedant, qui mala contra „pios machinantur. Idem quo„que in sequentibus dicit.„ 4. *Auertantur statim erubescentes qui*

1) σφοδρότ. Cod. 1. add. οὐ μόνον δὲ τὸν προφήτην ἀλλὰ καὶ ἕκαστον ἂν εὕροι κατακεντούμενον ὑπὸ ἁμαρτίας τίς, ὅταν ἔχῃ κατήγορον τὸ ἑαυτοῦ συνειδός. „Non Prophetam tantum sed etiam quemcunque alium inuenire liceat, qui memoria peccatorum pungitur, si suum ipsius conscientiam habuerit accusatorem. 2) πρόσχες. Cod. 1. add. καὶ οὐκ ἠρκέσθη, ἀλλὰ καὶ διπλασιάζει μετὰ πολλῆς ταύτην αὐτῷ χορηγηθῆναι. λέγει δέ. 3) Κύριε — σπεῦσον. Hæc desunt quidem in Textu τῶν ὁ. secundum Cod. *vat.* et *alex.* exstant tamen in Textu hebr. et apud *Apollinar. Augustinum* aliosque. 4) βοήθ. Cod. 1. add. αὐτὸ δὲ τοῦτο εἴποιμεν ἂν καὶ ἕκαστος τῶν ἐπ' εὐσεβείᾳ βιούντων, καὶ μάλιστα οἱ σύλλογοι τῶν μακαρίων μαρτύρων καὶ ὑπὲρ εὐσεβείας τὸν ἀσκητικὸν ἀσπαζόμενοι βίον. „Idem vero dixerit etiam quisquis pie viuit, inprimis vero cœtus beatorum martyrum, eorumque qui ob pietatis studium, asceticam agunt vitam. „ 5) Rec. lectio est αἰσχυνθείησαν καὶ ἐντραπείησαν. 6) φησίν. Cod. 1. add. ὁ Δαβίδ. 7) καρπωσ. Cod. 1. add. ἴσμεν δὲ ἅπαντες ὅτι Νέρων καὶ οἱ κατ' αὐτὸν, ὁ τῆς Ῥωμαίων τηνικαῦτα βασιλεύσας, καταψηφισάμενος κατὰ τῶν μακαρίων ἀποστόλων, τὸν μὲν Πέτρον σταυρῷ κατακρίνας, Παῦλον δὲ διὰ μαχαίρας ἀνελὼν, ἀπεστράφη παραυτίκα ὑπὸ αἰσχύνης καταληφθεὶς καὶ μυσαρῷ θανάτῳ παραδοθείς. τοῦτο γὰρ θέλει εἰπεῖν τὸ ἀποστραφήτωσαν κ. τ. λ. „Scimus enim omnes, Neronem qui tunc erat Romanorum Imperator, condemnasse beatos Apostolos, cum Petrum crucis supplicio traderet, Paulum vero gladio interfici iuberet, eum autem statim retro actum, ignominia affectum et detestabili mortis genere punitum fuisse. Hoc enim sibi vult illud, *Auertantur* cet. „ 8) Rec. lectio est ἀποστραφείησαν. 9) Rec. lectio est καταισχυνθείησαν. 10) E Cod. 1. 11) κατατυρεύσαντες. Ita leg. esse videtur pro κατατύσαντες, vt habet Codex.

qui dicant mihi euge, euge. Præterea ii etiam qui meis malis lætantur, in fugam conuertantur cum pudore, mutationem meam videntes. 5. *Exultent, et lætentur in te omnes, qui quærunt te o Deus, et dicant semper, magnificetur Deus, qui diligunt salutem tuam.* * Vox *Dominus* non est in Hexaplo. Omni, inquit, lætitia tui studiosos reple, vt tua beneficia decantantes tripudient. 6. *Ego vero egenus et pauper sum, Deus adiuua me.* Quasi diceret, Eorum iustitia, qui supra dicti sunt, priuatus sum, et inopia pressus virtutis diuitias non habeo. *Adiutor meus et liberator meus es tu.* Tuam enim opem semper consecutus sum. *Domine ne moreris.* Opem fer quamprimum, et ne petitionem procrastines. „ Hæc enim non solum Dauid, sed totus etiam „ Sanctorum chorus, precatur. „

λέγοντές μοι εὖγε, εὖγε. 1) Πρὸς δὲ τούτοις, καὶ οἱ τοῖς 2) ἐμοῖς κακοῖς 3) ἐφηδόμενοι, τράποιντο εἰς φυγὴν μετ' αἰσχύνης, τὴν ἐμὴν ὁρῶντες 4) μεταβολήν. ε'. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε 5) ὁ Θεός· καὶ λεγέτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Θεός, ἀγαπῶντες τὸ σωτήριόν σου. 6) Τὸ Κύριος οὐ κεῖται ἐν τῷ Ἑξαπλῷ· θυμηδίας ἁπάσης, φησὶ, τοὺς σοὺς ἔμπλησον 7) ἐραστάς· ἵνα σου τὰς εὐεργεσίας ὑμνοῦντες 8) χορεύσωσιν. ς'. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, 9) ὁ Θεὸς βοήθησόν μοι. Ἀντὶ τοῦ, τῆς τῶν προειρημένων δικαιοσύνης ἐξήρημαι, καὶ πτωχείᾳ συζῶν τῆς ἀρετῆς οὐκ ἔχω τὸν 10) πλοῦτον. Βοηθός μου καὶ ῥύστης μου 11) εἶ σύ. Τῆς σῆς 12) γὰρ προμηθείας τετύχηκα. 13) Κύριε μὴ χρονίσῃς. Ἐπάρκεσον ὅτι τάχιστα, καὶ μὴ ἀναβάλῃ τὴν αἴτησιν. „ 14) περὶ τούτου „ γὰρ οὐ μόνον ὁ Δαβὶδ ἀντιβολεῖ, ἀλ- „ λὰ καὶ ἅπας ὁ τῶν ἁγίων χορός. „

INTERP. PS. LXX.

Psalmus Dauidi. Filiorum Ionadab, et priorum

ΕΡΜΗΝ. ΤΟΥ ο' ΨΑΛΜΟΥ.

Τῷ Δαβὶδ 15) ψαλμός· τῶν υἱῶν Ἰωναδὰβ, καὶ τῶν 16) πρώτων αἰχμαλωτισθέν-

1) Πρὸς — καί. Des. in Cod. 1. 2) ἐμοῖς. Cod. 1. add. φησί. 3) Cod. 1. ἐπηδόμενοι. 4) μεταβολήν. Cod. 1. add. τὸ γὰρ εὖγε εὖγε ἀντὶ τοῦ τράποιντο εἰς φυγὴν τέθεικεν. „ Illud enim *euge euge* pro *vertantur in fugam* posuit. „ 5) ὁ Θεός. Exstat tantum in edit. *ald.* et *compl.* Cod. 2. habet Κύριε. 6) Τὸ — Ἑξαπλῷ. Des. in Cod. 2. 7) ἐραστάς. Cod. 1. adscr. habet lectionem ἀποστόλους. In Cod. sequ. καὶ τοὺς ὁσίους ἅπαντας, μάρτυράς τε καὶ ἀσκητάς. 8) Cod. 2. χορεύουσιν. 9) ὁ Θεὸς βοήθ. μοι. Des. in Cod. 1. et 2. 10) πλοῦτον. Cod. 1. add. ὑποπεσὼν γὰρ ὁ προφήτης τῇ ἁμαρτίᾳ ἀντιβοᾷ ἐκ ταύτης ῥυσθῆναι, καὶ ὅσοι δὲ κατ' ἐκεῖνον. διό φησι· ὁ Θεὸς βοήθησόν μοι· λέγει δὲ ὅτι τῆς σῆς ἐπικουρίας ἱκετεύω τυχεῖν. „ Propheta enim, cum in peccati potestatem incidisset, rogat vt ab illo liberetur. Sicque etiam clamant qui in eadem sunt conditione. Propterea, inquit, adiuua me o Deus: dicit autem, auxilii tui vt particeps fiam rogo. „ Postrema exstant quoque in Cod. 2. vbi tamen pro λέγει δὲ ὅτι leg. διό. 11) εἶ σύ. Cod. 1. add. Κύριε. 12) γάρ. Cod. 1. add. ἀεί. 13) Κύριε. Des. h. l. in Cod. 1. 14) E Cod. 1. 15) ψαλμός· τῶν. Des. in Cod. 2. et exstat tantum in edit. *ald.* et *compl.* 16) Rec. lectio h. l. est πρώτων.

τισθέντων· ἀνεπίγραφος παρ' Ἑβραίοις. Ὡμολόγησε καὶ αὐτὸς ὁ τὴν ἐπιγραφὴν ποιησάμενος, μὴ εὑρηκέναι ταύτην παρὰ 1) τῷ Ἑβραίῳ, ἀλλ' αὐτὸς αὐτὴν τεθεικέναι· ἰστέον μέν τοι, ὡς 2) οὐ τοῦ Ἰωναδὰβ υἱοὶ 3) οἱ πρῶτοι 4) ᾐχμαλωτίσθησαν· ὁ γὰρ μακάριος Ἱερεμίας οἶνον αὐτοῖς 5) προσενέγκαι ὑπὸ τοῦ Θεοῦ προσετάχθη, εἰς ἔλεγχον τῆς Ἰουδαίων παρανομίας· ἐκείνων δὲ πιεῖν μὴ βουληθέντων διὰ τὰς τῶν προγόνων ὑποθήκας, κατηγόρησε λοιπὸν τῆς Ἰουδαίων ἀπειθείας ὁ 6) προφήτης· ὡς 7) ἐκείνων ἀνθρωπίνας ἐντολὰς φυλαττόντων· τούτων δὲ τὰς θείας παραβαινόντων νομοθεσίας. εἴρηται 8) δὲ ὁ ψαλμὸς ἐκ προσώπου τῶν εἰς Βαβυλῶνα μετανασάντων, τῆς ἐπανόδου γλιχομένων, καὶ τὴν τῆς δουλείας ποθούντων ἀπαλλαγήν· γέγραφε δὲ αὐτὸν ὁ μακάριος Δαβίδ, τῷ τῶν εὐσεβεστέρων τάγματι 9) προσαρμόσας τοὺς λόγους. „10) καὶ μάλιστα τοῖς „υἱοῖς τῆς χάριτος προλέγει ἀπαλλαττομένοις τῆς τῶν εἰδώλων μυσαρᾶς δουλείας, Χριστῷ δὲ τῷ Θεῷ πιστεύουσιν „καὶ τὴν παρ' αὐτοῦ δεχομένοις προμήθειαν.„ α'. Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Μὴ διαμάρτω, φησὶ, τῆς ἐλπίδος, τὴν σὴν προσμένων ἐπικουρίαν· μηδὲ ἐπὶ πλεῖστον ἐπονείδιστος γένωμαι. „11) ἐκεῖνοι μὲν „περὶ τῶν ἀνδραποδισάντων αὐτοὺς, οὗ„τοι δὲ περὶ τῶν πονηρῶν δαιμόνων ταύ„την τὴν ἱκετείαν προσφέρουσιν.„ β'. Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ 12) ἐξελοῦ με. Κρῖναί σε παρακαλῶ Βαβυλωνίοις κἀμοί· καὶ 13) δικαίως κατ'

captiuorum. *Sine titulo apud Hebraeos.* Et ipſemet, qui inſcriptionem fecit, faſſus eſt, ſe hanc in Hebraico exemplari non inueniſſe, ſed eam appoſuiſſe. Sciendum porro eſt, filios Ionadab non primos captiuos eſſe factos: quandoquidem beatus Ieremias vinum ipſis afferre a Deo iuſſus fuit, ad redarguendam Iudaeorum transgreſſionem. Cumque illi bibere noluiſſent ob mandata maiorum, tunc propheta Iudaeorum peruicaciam damnauit, quod illi quidem humana cuſtodirent mandata, ipſi vero leges a Deo latas violarent. Dictus eſt autem pſalmus ex perſona eorum, qui Babylone exulabant, qui reditum deſiderabant, et a ſeruitute liberationem exoptabant. Conſcripſit vero ipſum beatus Dauid, piorum ordini verba accommodans. „ Potiſſi„mum autem haec praedicit fi„liis gratiae, qui a deteſtabili „idolorum dominio liberati, in „Chriſtum Deum credunt, „eiusque prouidam curam „accipiunt. „ 1. *In te Domine ſperaui, ne confundar in aeternum.* Ne, inquit, ſpe excidam, tuam opem exſpectans, neque diutius contumeliis reddar obnoxius. „ Hi quidem ob il„los a quibus captiui teneban„tur, illi vero ob malos dae„monas hanc ſupplicationem „inſtituunt. „ 2. *In iuſtitia tua libera me, et eripe me.* Vt mihi et Babyloniis ius reddas obſecro, vtque iuſtam ſenten-

1) Cod. 2. τῶν Ἑβραίων. 2) οὐ. Cod. 1. et 2. οἱ. 3) οἱ. Cod. 1. οὐ. In Cod. 2. deeſt οὐ. 4) Cod. 1. et 2. ᾐχμαλωτεύθησαν. 5) Cod. 1. προσενεγκεῖν. Cod. 2. ἐνεγκεῖν. 6) προφήτης. Cod. 1. et 2. praem. θεῖος. 7) ἐκείνων. Cod. 1. add. μὲν γάρ. 8) δέ. Cod. 1. et 2. add. ὅμως. 9) Cod. 2. ἐφαρμόσας. 10) E Cod. 1. 11) E Cod. 1. 12) Cod. 1. ἐξελοῦμαι. 13) Cod. 1. et 2. δικαίαν.

sententiam in illos pronuncies: sic enim ego ab illorum seruitute liber ero. *Inclina ad me aurem tuam, et salua me.* 3. *Esto mihi Deus protector, et locus munitus, vt saluum me facias. Quoniam fulcrum meum et refugium meum tu es.* * Te propugnatorem habeo, et munitum vallum, et tutum propugnaculum: benigne igitur meas preces suscipe. „ Vt vero jam in superioribus diximus, ex persona eorum quoque hæc dicta sunt, „ qui postea ad hoc vsque tempus et per totam vitam declinant a malo, et bonis adhærent. Hoc enim indicare vult per ea quæ sequuntur. „ 4. *Deus mi eripe me e manu peccatoris, et e manu contra legem agentis, et iniqui.* Supplico tibi Domine, vt a potentia iniquorum et impiorum hominum me liberes. 5. *Quoniam tu es patientia mea Domine, Domine spes mea a iuuentute mea.* „ Primus „ quidem populus „ *Iuuentutem* nuncupat tempus transactum sub magno Mose, quando libertate potiti sunt, cum Aegyptiis diutissime seruiissent. Ex illo, inquit, tempore spem in te collocaui, tuamque opem exspecto. „ Nouus autem populus *iuuentutem* dicit renouationem per sacrum lauacrum factam. „ 6. *In te confirmatus sum ex vtero: inde a ventre matris meæ tu es protector meus.* Diem

ἐκείνων τὴν ψῆφον 1) ἐξενεγκεῖν· οὕτω γὰρ κἀγὼ τῆς ἐκείνων δουλείας 2) ἀπαλλαγήσομαι. Κλῖνον πρός με τὸ οὖς σου, καὶ σῶσόν με. γ΄. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με· ὅτι 3) στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Σὲ πρόμαχον ἔχω, καὶ περίβολον 4) ὀχυρὸν, καὶ ἔρυμα ἀσφαλές· εὐμενῶς μου τοίνυν δέξαι τὴν ἱκετείαν. „ 5) καθάπερ δὲ ἀνωτέρω εἰρήκαμεν, ἐξ ἀμφοτέρων τῶν „ ἄλλων εἴρηται ταῦτα, καὶ τῶν ἐφεξῆς „ μέχρι τοῦ παρόντος καὶ παντὸς τοῦ „ βίου ἐκκλινόντων ἀπὸ κακοῦ, καὶ τοῖς „ ἀγαθοῖς κολλωμένων· τοῦτο γὰρ θέλει „ εἰπεῖν διὰ τῶν ἑξῆς. „ δ΄. Ὁ Θεός μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος, καὶ ἀδικοῦντος. Ἱκετεύω σε Δέσποτα τῆς τῶν πονηρίᾳ καὶ δυσσεβείᾳ συζώντων ἐλευθερῶσαί με δυναστείας. ε΄. Ὅτι 6) σὺ ἡ 7) ὑπομονή μου, Κύριε, Κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου. „ 8) Ὁ μὲν πρῶτος λαὸς. „ Νεότητα καλεῖ τὸν ἐπὶ τοῦ μεγάλου Μωσέως χρόνον, ὅτε καὶ τῆς ἐλευθερίας ἀπήλαυσαν, ἐπὶ πλεῖστον Αἰγυπτίοις δεδουλευκότες χρόνον. ἐξ ἐκείνου, φησὶν, εἰς σὲ τὰς ἐλπίδας ἔχον, καὶ τὴν σὴν προσμένω βοήθειαν. „ 9) ὁ δὲ νέος λαὸς νεότητα λέγει ἧς τετύχηκε νεουργίας διὰ τῆς τοῦ λουτροῦ „ παλιγγενεσίας. „ ς΄. 10) Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός· ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής. 11) Γέννησιν

1) Cod. 2. ἐκενεγκεῖν. 2) ἀπαλλαγήσομαι. Cod. 1. add. ἀντιβολεῖ δὲ καὶ ὁ ἐξ ἐθνῶν ἀπαλλαγῆναι τῆς τῶν παρανομούντων τυραννίδος· ἰδίᾳ δὲ παρακαλεῖ καὶ τὴν παῦλαν τῶν δαιμόνων. „Precatur autem etiam populus e Gentibus collectus, vt ab impiorum tyrannide liberetur. In primis vero rogat malorum dæmonum eiectionem. „ 3) στερέωμα. Cod. 2. κραταίωμα. 4) Cod. 2. ἰσχυρόν. 5) E Cod. 1. 6) σύ. Cod. 1. et 2. addunt εἶ. 7) ὑπομονή μου. Hebr. תקותי *spes mea.* 8) E Cod. 1. 9) E Cod. 1. 10) Ἐπὶ σὲ ἐπεσ. Hebr. עליך נסמכתי. *Te nixus* s. *fretus sum.* 11) Γέννησιν — ἔχον ἐλπίδα. Hæc *Didymo* tribuuntur, apud CORD. p. 442.

πησιν καὶ 1) τόκον καλεῖ τὴν ἐξ Αἰγύπτου 2) ἔξοδον· τοῦτο δὲ καὶ ὁ 3) τῶν ὅλων Θεὸς διὰ τοῦ θειοτάτου Ἰεζεκιὴλ διδάσκει. διελέγχων γὰρ τῆς Ἱερουσαλὴμ τὴν ἀσέβειαν, εἶτα 4) εἰρηκὼς ὁ πατήρ σου Ἀμοῤῥαῖος, καὶ ἡ μήτηρ σου Χετταία, ἐπήγαγεν· ᾗ ἡμέρᾳ ἐτέχθης, ὁ ὀμφαλός σου οὐ περιετμήθη, καὶ ἁλὶ οὐχ ἡλίσθης, καὶ ὕδατι οὐκ ἐλούσθω εἰς σωτηρίαν· ἐπειδὴ γὰρ ὁ ὀμφαλὸς οἷον τις ῥίζα βρέφους ἐστὶ δι' ἐκείνου γὰρ αὔξεται καὶ τρέφεται· 5) ὁ δὲ Ἰσραήλ, 6) καὶ μετὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον, ἔμφυτον εἶχε τὴν Αἰγυπτίων ἀσέβειαν, εἰκότως ἔφη· ὁ ὀμφαλός σου οὐ περιετμήθη· 7) ὅτι φησὶν ἐκ 8) τῆς μητρῴας νηδύος τὴν τροφὴν ἕλκεις, καὶ τοῖς προτέροις 9) ἐπιμένεις ἐπιτηδεύμασιν· ἡ τῶν εὐσεβεστέρων τοίνυν συμμορία τὸν Θεὸν ἱκετεύουσα λέγει· ὅτι ἄνωθεν, καὶ ἐξ ἀρχῆς, τὴν σὴν ἔχον 10) ἐλπίδα. ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός. σὲ ὑμνῶν καὶ δοξάζων διατελῶ, καὶ 11) διὰ τῆς σῆς προνοίας ἐγενόμην περίβλεπτος. ζ'. Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς. Ἀλλὰ μετ' ἐκείνην τὴν 12) περιφάνειαν, πολλὴν ἐδεξάμην 13) τὴν μεταβολήν· ὡς τέρας τι καὶ σημεῖον τοῖς πολλοῖς νομισθῆ-

natalem et partum vocat exitum ex Aegypto. Hoc autem et Deus omnium per ſanctiſſimum Ezechielem docet. Redarguens enim Hieroſolymæ impietatem, cum dixiſſet, a) Pater tuus Amorrhæus, et mater tua Chettæa; ſubdidit, b) Die quo nata es, non eſt præciſus vmbilicus tuus, et aqua non es lota in ſalutem, nec ſale ſalita. Quoniam enim vmbilicus eſt veluti quædam radix, per quam fœtus augetur et alitur, Iſrael vero etiam poſt exitum ex Aegypto, innatam habuit Aegyptiorum impietatem, merito ait, Non eſt præciſus vmbilicus tuus: quoniam, inquit, ex vtero matris cibum trahis, et in priſtinis ſtudiis perſeueras. Igitur piorum cœtus Deum obſecrans, dicit, Quoniam olim, et a principio ſpem fixam in te conſtitui, *In te cantatio mea ſemper.* Te hymnis et laudibus proſequi non ceſſo, et ob tuam prouidentiam illuſtris factus ſum. 7. *Tanquam prodigium factus ſum multis.* Verum poſt illum ſplendorem multam mutationem perpeſſus ſum, ita vt res meæ veluti portentum et ſignum plerisque

1) Cod. 1. τοκετόν. 2) ἔξοδον. Cod. 1. add. καθάπερ καὶ ὁ νέος τὴν ἀναγέννησιν. περὶ γὰρ τούτου καὶ ἐν εὐαγγελίοις εἴρηται, ὅσοι δὲ ἔλαβον αὐτὸν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, οἳ οὐκ ἐξ αἵματος, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. „ Sicut etiam nouus (populus) regenerationem. De hoc enim in Euangeliis quoque dictum eſt: (Ioh. 1, 12. 13.) quotquot exceperunt eum illis dedit facultatem, vt Dei liberi fierent; qui non e ſanguine, nec per voluntatem carnis, nec per voluntatem viri, ſed e Deo nati ſunt. „ 3) τῶν ὅλων Θεός. Cod. 1. ὁ δεσπότης τοῦ παντός. 4) εἰρηκώς. Cod. 1. add. περὶ τῶν Ἰουδαίων. 5) ὁ δὲ Ἰσρ. Cod. 1. οἱ δὲ Ἰσραηλῖται. 6) καί. Abeſt a Cod. 2. 7) ὅτι. Cod. 1. ἔτι. 8) τῆς μητρῴας. Cod. 2. μήτρας. 9) ἐπιμένεις. Cod. 2. ἐμμένεις. 10) ἐλπίδα. Cod. 1. add. τοῦτο δὲ καὶ οἱ τῆς χάριτος ἀντιβολοῦσιν υἱοί. „ Hoc vero etiam filii qui gratiæ participes facti ſunt, precantur. „ 11) διὰ — προνοίας. Cod. 2. τῇ σῇ προνοίᾳ. 12) περιφάνειαν. Cod. 2. ὑπερηφανίαν. 13) τὴν μεταβολήν. Deſ. in Cod. 2.

a) Ezech. 16, 3. b) Ibid. v. 4.

risque visæ sint. *Et tu adiutor meus fortis.* Veruntamen tuam opem exspecto. 8. *Repleatur os meum laude, vt cantem gloriam tuam, toto die magnitudinem tuam.* Conuertens igitur instantem mihi calamitatem, linguam ad hymnorum cantum excita, vt semper tibi hymnum afferam. Nam *toto die* omni die * Symmachus dixit. * 9. *Ne abiicias me tempore senectutis, cum defecerit virtus mea, ne derelinquas me.* Qua prouidentia in iuuentute perfruebar, nunc etiam vt perfruar obsecro, et ne in ipsa senectute cura tua destituar, supplico. Quoniam enim *iuuentutem* appellauit exitum ex Aegypto, *senectutem* vocat tempus seruitutis: eo quod multum temporis in medio intercesserit. 10. *Quia dixerunt inimici mei mihi, et qui custodiebant animam meam, consilium fecerunt vnà,* 11. *Dicentes, Deus dereliquit eum, persequimini, et comprehendite eum, quia non est qui eripiat.* Omnes, inquit, hostes meis calamitatibus insultant, variisque malis

καὶ τὰ 1) κατ' ἐμέ. καὶ σὺ 2) βοηθός μου κραταιός. ἀλλ' ὅμως ἐγὼ τὴν σὴν προσμένω 3) βοήθειαν. η'. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως· ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Μεταβαλὼν 4) τοίνυν τὴν ἐπικειμένην μοι δυσκληρίαν, κίνησον εἰς ὑμνῳδίαν τὴν γλῶτταν· ὅπως ἂν ἀεί σοι τὸν ὕμνον προσφέροιμι. τὸ γὰρ ὅλην τὴν ἡμέραν, 5) καθ' ἑκάστην ἡμέραν ὁ Σύμμαχος εἴρηκε. θ'. Μὴ ἀπορρίψῃς με εἰς καιρὸν 6) γήρως· ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου, μὴ ἐγκαταλίπῃς με. Ἧς ἐν νεότητι προνοίας 7) ἀπέλαβον, ἀπολαῦσαι καὶ νῦν ἱκετεύω· καὶ μὴ γυμνωθῆναι τῆς σῆς κηδεμονίας ἐν αὐτῷ τῷ γήρᾳ παρακαλῶ· ἐπειδὴ γὰρ νεότητα τὴν ἐξ Αἰγύπτου προσηγόρευσεν ἔξοδον, γῆρας ἐκάλεσε τὸν τῆς αἰχμαλωσίας καιρόν· ὡς πλείστου χρόνου διαδραμόντος ἐν 8) μέσῳ. ι'. Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου, ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό, ια'. Λέγοντες, ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος. Ἅπαντές φησιν οἱ δυσμενεῖς ταῖς ἐμαῖς ἐπεμβαίνουσι 9) συμφοραῖς, καὶ παντοδα-

1) *κατ' ἐμέ.* Cod. 1. add. *ἐκεῖνοι μὲν δι' ἃ πεπόνθασιν ὑπὸ τῶν Βαβυλωνίων, ταῦτα, οἱ δὲ τοῦ Χριστοῦ μάρτυρες τέρας ὀνομάζουσι τὰ ἐπενεχθέντα αὐτοῖς ὑπὸ τῶν παρανόμων ὀνείδη.* „Illi quidem ob ea quæ a Babyloniis passi erant, hæc dicunt, qui autem pro Christo martyrium subierunt, *portentum* vocant ignominiam qua ab impiis affecti fuerant. 2) *βοηθός.* Cod. 2. præm. *Κύριε.* 3) *βοήθειαν.* Cod. 1. add. *τοῦτο γὰρ θέλει εἰπεῖν διὰ τῶν ἑξῆς.* 4) *τοίνυν.* Cod. 1. *φησί, ὦ Δέσποτα.* 5) *καθ' — εἴρηκε.* Cod. 1. *ὁ Σύμμαχος ἀντὶ τοῦ κατὰ πᾶσαν ἡμέραν τέθεικεν.* 6) Rec. lectio est *γήρους.* 7) Cod. 1. et 2. *ἀπήλαυον.* 8) *μέσῳ.* Cod. 1. add. *γῆρας καὶ ὁ νέος λέγει λαὸς τὸν χρόνον, ὅτε πεπαλαίωτο τῇ κνίσῃ τῶν εἰδώλων προσκεχηνώς· νεότητα δὲ ὡς ἀνωτέρω ἡμῖν εἴρηται ἣν ἐδέξατο διὰ τῆς ἀνακράσεως.* „*Senectutem* etiam nouus populus dicit tempus illud, quo consenuerat, cum nidorem idolorum quasi hiante ore exciperet: *iuuentutem* vero, vt iam in superioribus diximus, illam vocat quam sacro lauacro tinctus acceperat.„ 9) *συμφοραῖς.* Cod. 1. add. *καθάπερ οἱ δαίμονες ἐμπαροινοῦντες τοῖς ἔθνεσι,* „vt dæmones insultantes Gentilibus.„

δαποῖς κακοῖς περιβάλλουσιν, ἔρημόν με τῆς σῆς κηδεμονίας ὁρῶντες, καὶ τοπάζοντές με παντελῶς παρεωρᾶσθαι, καὶ μηκέτι τῆς σῆς με τεύξεσθαι προμηθείας. οὗ δὴ χάριν 1) ἀντιβολῶ. ιβ'. Ὁ Θεός μου μὴ μακρύνῃς ἀπ' ἐμοῦ· ὁ Θεός μου εἰς τὴν βοήθειάν μου πρόσχες. Ταχεῖαν μοι 2) τὴν σὴν παράσχου ῥοπήν· καὶ μή με πόῤῥω τῆς σῆς καταστήσῃς κηδεμονίας· μακρυνθῆναι δὲ αὐτοῦ, οὐ τὴν οὐσίαν λέγει τοῦ Θεοῦ· πανταχοῦ γὰρ πάρεστι, καὶ τοῖς πᾶσι παρίσταται· ἀλλὰ τὴν πρόνοιαν, καὶ τὴν τῆς βοηθείας 3) ἐνέργειαν. ιγ'. Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου. Ὁ δὲ Σύμμαχος 4) οὕτως· καταισχυνθήτωσαν 5) καὶ ἀναλωθήτωσαν οἱ ἀντικείμενοι τῇ ψυχῇ μου. διαμάρτοιεν τῶν οἰκείων ἐγχειρημάτων, καὶ τὴν ἐντεῦθεν αἰσχύνην καρπώσαιντο· καὶ φροῦδοι γένοιντο ἀδίκως τὸν ἐμὸν τεκταίνοντες 6) ὄλεθρον. περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι· ἐπονείδιστοι γένοιντο καὶ καταγέλαστοι οἱ παντοδαποῖς με κακοῖς 7) περιβάλλοντες. ιδ'. Ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ 8) ἐπί σε. 9 Ταῦτα γὰρ ὁρῶν γινόμενα, τῇ εἰς σὲ ἐλπίδι βεβαιωθήσομαι. καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου. 10) καὶ 11) πολλαπλασίαν σοι προσοίσω τὴν 12) ὑμνῳδίαν. ιε'. Τὸ στόμα

me afficiunt, tua cura me destitutum videntes, penitus me neglectum putantes et non amplius tuam opem consecuturum. Idcirco te oro. 12. *Deus mi ne elongeris a me, Deus mi ad auxilium meum respice.* Celerem opem tuam mihi concede, et ne a cura tua me longe remoueri patiaris. Elongari autem a se, non Dei naturam dicit, vbique enim præsens est, et omnibus adest, sed prouidentiam, et auxilii efficaciam. 13. *Confundantur et deficiant detrahentes animæ meæ.* Symmachus hoc modo, Confundantur et consumantur, qui aduersantur animæ meæ. Suis conatibus frustrentur, et qui hinc oritur pudorem reportent, et inanes fiant, qui meam mortem parant. *Operiantur confusione et pudore, qui quærunt mala mihi.* Ignominia afficiantur, et ridiculi fiant, qui variis malis me obruunt. 14. *Ego autem semper sperabo in te.* Nam hæc facta videns, in te firmam spem constituam. *Et multiplicabo omnem laudem tuam.* Et variorum hymnorum canticum tibi afferam. 15. *Os meum annun-*

1) ἀντιβολῶ. Cod. 1. add. σε. 2) τὴν σήν. Def. in Cod. 1. 3) ἐνέργειαν. Cod. 1. add. ταῦτα μὲν ὁ πρῶτος λαός· ὁ δὲ ἐξ ἐθνῶν πιστεύσας τὴν ἔνσαρκον αὐτοῦ ὅτι τάχιστα γενέσθαι παρουσίαν παρακαλεῖ. „ Hæc quidem de priori populo intelligenda sunt: populus autem e Gentilibus qui crediderunt collectus, obsecrat, vt quam primum carne indutus veniat. „ 4) οὕτως. Cod. 1. ἀντὶ τοῦ. 5) καί. Def. in Cod. 1. et 2. 6 ὄλεθρον. Cod. 1. θάνατον. 7) περιβ. Cod. 1. add. καὶ δὴ πάντες ὁρῶμεν τὸ εἶδος τῶν δαιμόνων ἐξαφανισθὲν, τοὺς δὲ πεπιστευκότας εἰς αὐτοὺς μηδὲν δυναμένους. „ Et quidem omnes videmus cateruam dæmonum exstinctam, eos vero qui fidem illis dederant, ab omnibus viribus destitutos. „ 8) ἐπί σε. Additum in edit. *ald.* et *compl* 9) Ταῦτα — βεβαιωθ. Def. in Cod. 1. 10) καὶ — ὑμνῳδίαν. Def. in Cod. 2. 11) Cod. 1. πολλαπλάσιον. 12) ὑμνῳδίαν. Cod. 1. add. τοῦτο γὰρ διὰ τῶν ἑξῆς θέλει εἰπεῖν.

annunciabit iustitiam tuam, toto die salutem tuam. Non enim desistam tuam iustam sententiam prædicare, et omnes docere, quomodo me et hostes iudicans ab illorum me seruitute liberasti. * *Quoniam* * *non cognoui literaturam,* 16. *Introibo in potentia Domini.* Symmachus sic interpretatus est, Non enim scio numerare, ingrediar in potentia Domini. Quoniam promisit Dei iustitiam se narraturum, et salutem in se collatam, hæc autem promissio humanas vires superat, merito subiunxit: *Quoniam ignoro literaturam.* Hoc etiam in trigesimo nono psalmo beatus Dauid dixit. Postquam enim ait, a) Multa fecisti tu o Domine Deus mi mirabilia tua, et cogitationibus tuis non est qui similis sit tibi: subiunxit, Annunciaui et locutus sum, multiplicata sunt super numerum. Hoc idem et in hoc loco dicit: Quoniam non scio numerare. Tales enim scripturas et disciplinas natura mea non didicit: ingrediar tamen in potentia Domini, et prout humana natura potuerit, te celebrabo. *Domine recordabor iustitiæ tuæ solius,* 17. *Deus mi docuisti me a iuuentute mea.* Laudo autem te Domine, iustitiam tuam erga me

μου 1) ἀναγγελεῖ τὴν δικαιοσύνην σου· ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου. Οὐ παύσομαι 2) τὴν δικαίαν σου ταύτην διηγούμενος ψῆφον· καὶ διδάσκων ἅπαντας, ὅπως ἐμοὶ καὶ τοῖς πολεμίοις δικάσας, τῆς 3) ἐκείνων δουλείας 4) ἀπήλλαξας. Ὅτι οὐκ ἔγνων 5) γραμματείας, ιϛ'. Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου. 6) Ὁ δὲ Σύμμαχος οὕτως· οὐ γὰρ οἶδα ἐξαριθμῆσαι· ἐλεύσομαι ἐν 7) δυναστείᾳ Κυρίου. ἐπειδὴ ὑπέσχετο διηγεῖσθαι τοῦ Θεοῦ τὴν δικαιοσύνην, καὶ τὴν εἰς αὐτὸν γεγενημένην σωτηρίαν, μείζων δὲ ἡ κατὰ ἄνθρωπον ὑπόσχεσις, εἰκότως ἐπήγαγεν, ὅτι οὐκ 8) οἶδα ἐξαριθμῆσαι. τοῦτο καὶ ἐν τῷ λθ' ψαλμῷ 9) ὁ μακάριος ἔφη Δαβίδ· εἰρηκὼς γάρ, πολλὰ ἐποίησας σὺ Κύριε ὁ Θεός μου τὰ θαυμάσιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι, ἐπήγαγεν· ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. τοῦτο καὶ ἐνταῦθα φησιν, ὅτι οὐκ οἶδα ἀριθμῆσαι· τὰς γὰρ τοιαύτας γραφάς τε καὶ μαθήσεις ἡ ἐμὴ οὐκ ἐδέξατο φύσις. εἰσελεύσομαι δὲ ὅμως ἐν δυναστείᾳ Κυρίου, καὶ ὡς δυνατὸν ἀνθρωπείᾳ φύσει, τὴν ὑμνῳδίαν ποιήσομαι. Κύριε μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου. ιζ'. 10) Ὁ Θεός μου 11) ἐδίδαξάς με ἐκ νεότητός μου. Ὑμνῶ δέ σε Δέσποτα· καὶ τὴν εἰς ἐμὲ 12) γενομένην δικαιοσύνην ὁρῶν,

1) Rec. lectio h. l. est ἐξαγγελεῖ. 2) τήν. Cod. 1. præm. γάρ. 3) ἐκείνων. Cod. 1. add. με. 4) ἀπήλλαξας. Cod. 1. add. ἐκεῖνοι μὲν τῆς τῶν Χαλδαίων, οὗτοι δὲ τῆς τῶν δαιμόνων. „ Illi quidem a Chaldæorum, hi vero a dæmonum (iugo liberati sunt). „ 5) γραμματείας. Hæc est lectio edit. *ald.* et *compl.* Rec. lectio est πραγματείας. Vtraque est aliena a Textu hebr. qui habet סְפֹרוֹת *numeros.*

6) Ὁ — Κυρίου. In Cod. 1. ad præc. vers. relata sunt. 7) δυναστείᾳ. Cod. 2. præm. τῇ. 8) οἶδα ἐξαριθμ. Cod. 1. ἔγνων γραμματείας, quam lectionem expressit *Carafa.* 9) ὁ — Δαβίδ. Cod. 1. αὐτὸς οὗτος ἔφη ὁ προφήτης. 10) Ὁ — με. Rec. lectio est ἐδίδαξάς με ὁ Θεός. 11) ἐδίδαξας. Cod. 2. præm. σύ, vt in edit. *ald.* et *compl.* 12) γενομ. Des. in Cod. 2. Cod. 1. habet γεγενημένην.

a) Ps. 39, 5.

ὁρῶν, καὶ τῶν σῶν ἐντολῶν μεμνημένος· ταῦτα γάρ με παιδόθεν ἐδίδαξας· καὶ ἐντεῦθεν δῆλον ὡς νεότητα τὸν ἐπὶ τοῦ μεγάλου 1) Μωσοῦ χρόνον 2) καλεῖ· δι' ἐκείνου 3) γὰρ ὁ νόμος ἐδόθη. „4) ὡς καὶ „διὰ τῆς οἰκονομίας τοῦ μονογενοῦς υἱοῦ „τοῦ Θεοῦ ἡ χάρις ἡμῖν τοῖς ἐξ ἐθνῶν „ἐπεφοίτησεν.„ Καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου. ιη'. Καὶ ἕως 5) γήρως καὶ πρεσβείου ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με. Ἐγὼ μὲν τὰς σὰς θαυματουργίας τοὺς ἀγνοοῦντας διδάξω· σὺ δὲ, ὡς ἄνωθέν 6) μου κληθεὶς Θεὸς, ἀεί με τῆς σῆς ἀξίου κηδεμονίας. Ἕως 7) οὗ ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ. 8) προφητικῶς ὁ 9) Δαβὶδ τὰ ἐσόμενα προλέγει· καὶ γῆρας καλεῖ τοῦ νόμου τὸ τέλος· τοῦτο δὲ μετὰ τὴν τοῦ Δεσπότου 10) Χριστοῦ γέγονε 11) παρουσίαν. σαφέστερον δὲ ἡμᾶς ὁ μακάριος διδάσκει Παῦλος, περὶ τῆς καινῆς διαλεγόμενος διαθήκης· φησὶ δὲ οὕτως· ἐν τῷ λέγειν καινὴν πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ· καὶ ἐνταῦθα 12) τοίνυν προφητικῶς τοὺς ἐν Βαβυλῶνι διδάσκει λέγειν· ἕως γήρως καὶ πρεσβείου ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με. εἶτα δεικνὺς ποῖον γῆρας καλεῖ, ἐπήγαγεν· ἕως οὗ ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ. Τὴν δυναστείαν σου, ιθ'. Καὶ τὴν δικαιοσύνην σου 13) ὁ Θεός. Γενεὰ δὲ ἡ ἐρχομένη, ἡ μετὰ τὴν ἐνανθρώπησιν τοῦ μο-

videns, et mandatorum tuorum reminiscens. Hæc enim ab ineunte ætate me docuisti. Atque hinc manifestum est, eum magni Mosis tempus *Iuuentutem* vocare. Per illum enim lex data fuit. „Sicut etiam per dispensationem vnigeniti Dei filii „gratia nobis olim Gentilibus „obtigit.„ *Et ad hoc vsque tempus pronunciabo mirabilia tua.* 18. *Et vsque ad senectutem et senium o Deus ne derelinquas me.* Ego quidem tua mirabilia nescios docebo. Tu vero, vt a principio vocatus Deus meus, semper me tua cura dignare. *Donec annunciem brachium tuum generationi omni, quæ ventura est.* Prophetice Dauid futura prædicit, et *senectutem* vocat legis finem. Hic autem post Domini Christi aduentum contigit. Hoc vero manifestius beatus Paulus nos docet, de nouo Testamento disserens. Dicit autem sic: a) Dicendo autem nouum, antiquauit prius: quod autem antiquatur et senescit, prope interitum est. Et hic igitur eos qui Babylone exulabant, prophetice hæc dicere docet, *Vsque ad senectutem et senium Deus ne derelinquas me.* Deinde ostendens quam senectutem nuncupet, subiunxit, *Donec annunciem brachium tuum generationi omni, quæ ventura est.* * *Potentiam tuam,* 19. *Et iustitiam tuam o Deus.* Generatio autem ventura ea est, quæ fuit post incarnationem vnigeniti

1) Cod. 2. Μωϋσέως. 2) καλεῖ. Cod. 2. δηλοῖ. 3) γάρ. Cod. 2. add. καί. 4) E Cod. 1. 5) Rec. lectio est γήρας. 6) Cod. 2. μοι. 7) οὗ. Rec. lectio est ἄν. 8) προφητ. Cod. 1. præm. ὁρᾷς πῶς. 9) Δαβίδ. Cod. 1. præm. μακάριος. 10) Χριστοῦ. Cod. 1. add. τοῦ Θεοῦ ἡμῶν. 11) παρουσίαν. Cod. 1. ἐνανθρώπησιν. 12) τοίνυν. Def. in Cod. 2. 13) ὁ Θεός. Def. in Cod. 1. In Cod. 2. sequ. ἕως τῶν ὑψίστων.

a) Hebr. 8, 13.

geniti Dei filii, poſt quam eccleſia ex gentibus conflata eſt, ſuſcipiens ex Iudæis præcones ſacros apoſtolos. De hac gente in vigeſimo primo pſalmo dicit: Annunciabitur Domino generatio ventura, et annunciabunt iuſtitiam eius populo, qui naſcetur, quem fecit Dominus. Alius igitur populus hic eſt præter Iudæorum, quem non eſſe natum, ſed naſciturum propheta prædixit. Dicit igitur et in hoc loco: *Ne derelinquas me, donec annunciem brachium tuum omni generationi, quæ ventura eſt, potentiam tuam, et iuſtitiam tuam.* Simile eſt autem hoc patriarchæ Iacobi vaticinationi, a) Non deficiet princeps ex Iuda, et dux ex femoribus eius, donec veniat cui repoſitum eſt, et ipſe erit exſpectatio gentium. *Deus vsque in altiſſima, quæ feciſti erga me magnalia.* Aquila autem et Symmachus ſic, Deus vsque in altitudinem, quæ feciſti magnalia: quaſi diceret, Sublimia et magna ſunt, Domine, quæ a te facta ſunt, et ſatis ſunt ad perſuadendum omnibus, vt altiſſimum te nominent. *Deus, quis ſimilis tibi?* Nullus poteſt tecum, inquit, conferri et æquari. Tu enim omnes ſuperas et natura, et potentia, et omnibus bonis. Hinc reditum prædicit. 20. *Quantas*

γενοῦς υἱοῦ 1) τοῦ Θεοῦ· μεθ' ἣν 2) ἡ ἐξ ἐθνῶν ἐκκλησία συνέστη, ἐξ Ἰουδαίων κήρυκας δεξαμένη τοὺς ἱεροὺς ἀποστόλους. περὶ ταύτης τῆς γενεᾶς καὶ ἐν τῷ εἰκοστῷ καὶ πρώτῳ ψαλμῷ λέγει· ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ 3) Κύριος· ἕτερος τοίνυν 4) λαὸς παρὰ τὸν τῶν Ἰουδαίων λαὸν, ὃν οὐ γεγενῆσθαι, ἀλλὰ τεχθήσεσθαι ὁ προφήτης 5) προείρηκεν· λέγει τοίνυν καὶ ἐνταῦθα· μή με ἐγκαταλίπῃς, ἕως 6) οὗ ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ, τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου· ἔοικε 7) δὲ τῇ τοῦ πατριάρχου Ἰακὼβ 8) προηγορίᾳ, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, 9) καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως 10) ἂν ἔλθῃ 11) ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία 12) ἐθνῶν. ὁ Θεὸς ἕως 13) τῶν ὑψίστων ἃ ἐποίησάς 14) μοι μεγαλεῖα. 15) ὁ δὲ Ἀκύλας καὶ Σύμμαχος οὕτως· ὁ Θεὸς ἕως ὕψους ἃ ἐποίησας μεγαλεῖα. ἀντὶ τοῦ, ὑψηλὰ καὶ μεγάλα τὰ ὑπό σου γινόμενα Δέσποτα, καὶ ἱκανὰ πεῖσαι πάντας 16) ὕψιστον ὀνομάζειν σε. ὁ Θεὸς τίς ὅμοιός σοι; οὐδένα 17) γάρ φησι συγκρῖναί σοι καὶ παραβαλεῖν δυνατόν. ὑπερβάλλεις γὰρ ἅπαντας, καὶ τῇ φύσει, καὶ τῇ δυνάμει, καὶ πᾶσι τοῖς ἀγαθοῖς· ἐντεῦθεν τὴν ἐπάνοδον 18) προθεσπίζει. κ΄. 19) Ὅσας ἔδει-

1) τοῦ Θεοῦ. Cod. 1. add. τουτέστι τοῦ Θεοῦ λόγου. 2) ἡ — ἐκκλησία. Cod. 2. ἡ ἐκκλησία τοῦ Θεοῦ. 3) Κύριος. Cod. 1. add. ἀνωτέρω ἡμῖν εἴρηται, ὃν ἀνέπλασε διὰ λουτροῦ παλιγγενεσίας. „quem, vt iam ſupra diximus, per lauacrum regenerationis quaſi denuo formauit.„ 4) λαός. Cod. 1. præm. οὗτος. 5) Cod. 1. εἴρηκεν. 6) Cod. 2. ἂν ἀπαγγείλω. 7) δέ. Cod. 1. et 2. add. τοίνυν. 8) προηγορίᾳ. Cod. 1. προφητείᾳ. 9) καί. Cod. 1. οὐδέ. 10) ἄν. Cod. 1. οὗ. 11) ᾧ. Cod. 1. ὅ. 12) ἐθνῶν. Cod. 1. add. καὶ λέγει τίς οὗτος, ὁ μακάριος Δαβίδ. 13) τῶν ὑψίστων. Cod. 1. ὕψους. 14) μοι. Abeſt a Cod. 1. 15) ὁ — μεγαλεῖα. Deſ. in Cod. 1. 16) ὕψιστον ὀνομ. σε. Cod. 1. ὅτι ὕψιστος ὑπάρχεις καὶ τοῦ παντὸς ποιητὴς, καὶ πλήν σου ἄλλος οὐκ ἔστι· τοῦτο γὰρ τέθεικε διὰ τῶν ἑξῆς. 17) γάρ. Abeſt a Cod. 1. 18) προθεσπίζει. Cod. 1. add. καί φησιν. 19) ὅσας. Hebr. אשר *qui.*

a) Gen. 49, 10.

ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς· καὶ ἐπιστρέψας ἐζωοποίησάς με. Παραδοὺς με, φησὶ, παντοδαπαῖς συμφοραῖς διὰ τὰς ὑπ' ἐμοῦ γεγενημένας παρανομίας, πάλιν με εἰς ζωὴν ἐπανήγαγες. καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς 1) πάλαι ἀνήγαγές με. ἀναβιώσεως φησι τινὸς ὑπολαμβάνω τετυχηκέναι παρὰ δόξαν ἀνθρωπίνην 2) τοσούτων ἀπαλλαγεὶς συμφορῶν. 3) „εἴποι δ' ἂν „τις ταῦτα καὶ ἐκ προσώπου τῆς ἀνθρω„πείας εἰρῆσθαι φύσεως· ἐκ γὰρ τῶν „ἀβύσσων τῆς γῆς ἀνήγαγε ταύτην ὁ „καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς „γῆς, τουτέστιν ὁ ἐκ Θεοῦ Θεὸς, ὁ διὰ ταύ„την ἑλόμενος καὶ ἄνθρωπος γενέσθαι. „ τοῦτο καὶ διὰ τοῦ Ἰεζεκιὴλ 4) ὁ Θεὸς ἔφη· ὅτι ἀνοίξω τοὺς τάφους ὑμῶν, καὶ ἀνάξω ὑμᾶς ἐκ Βαβυλῶνος· τουτέστι τὴν ἀνθρωπίνην ἀπόγνωσιν λύσω, καὶ παρὰ τὰς τῶν πολεμίων ἐλπίδας τὴν ἐπάνοδον ὑμῖν δωρήσομαι. κα'. 5) Ἐπλεόνασας 6) ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου· καὶ ἐπιστρέψας 7) παρεκάλεσάς με· καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. Ὁ δὲ Σύμμαχος οὕτως· 8) αὐξήσεις τὴν μεγαλειότητά μου, καὶ 9) παρακυκλώσεις με παραμυθίᾳ· 10) καὶ τἄλλα δὲ ὁμοίως προείρηκε· τῇ γὰρ περὶ ἐμὲ κηδεμονίᾳ δειχθήσεταί σου τὸ ἀγαθόν. κβ'. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι 11) ἐν λαοῖς Κύριε. Οὐ παύσομαι γὰρ τὰς σὰς διηγούμενος δωρεὰς, καὶ τοὺς ἀγνοοῦν-

ostendisti mihi tribulationes multas, et malas, et conuersus viuificasti me. Cum, inquit, ob peccata mea, omnis generis calamitatibus me addixisses, iterum in vitam me reduxisti. *Et de abyssis terræ iterum reduxisti me.* Quendam reditum in vitam, inquit, me consecutum esse existimo, tot præter humanam opinionem a calamitatibus liberatus. „ Sed dixerit aliquis, hæc „ etiam de humana natura esse „ dicta. Hanc enim ex abyssis „ terræ eduxit qui descendit in „ inferiores partes terræ, scilicet „ Deus ex Deo, qui ob hanc „ elegit etiam sortem istam vt „ homo nasceretur. „ Hoc et per Ezechielem Deus dixit: a) Quoniam aperiam sepulcra vestra, et reducam vos ex Babylone: hoc est, humanæ desperationi finem imponam, et præter hostium exspectationem reditum vobis largiar. 21. *Multiplicasti magnificentiam tuam, et conuersus consolatus es me, et de abyssis terræ iterum reduxisti me.* Symmachus sic, Augebis magnificentiam meam, et circumdabis me consolatione. Alia vero similiter prædixit. Per tuam enim curam, quam de me geris, tua bonitas ostendetur. * 22. *Nam et ego confitebor tibi in populis Domine.* Nunquam enim tua dona celebrare desistam, et ne-

1) πάλαι. Rec. lectio, quam Cod. 1. tuetur, est πάλιν. 2) τοσούτων. Cod. 2. præm. τῶν. 3) E Cod. 1. suppl. 4) ὁ Θεὸς ἔφη. Cod. 1. ὁ αὐτὸς ἔφη σωτήρ. 5) ἐπλεόνασας — παρεκάλεσάς με. Hebr. תרב גדלתי ותסב תנחמני Augebis magnitudinem meam et iterum consolaberis me. 6) ἐπ' — σου. Rec. lectio est τὴν δικαιοσύνην σου. 7) παρεκ. με. Cod. 1. add. ὡς καὶ ἐν ἑτέρῳ, λαός μου τί ἐλύπησά σε, ἢ τί παρηνώχλησά σοι. 8) αὐξήσεις. Cod. 2. præm. καί. 9) Cod. 1. παρακαλέσεις. Apud MONTF. in Hexapl. ad h. l. leg. περικυκλώσεις. 10) καὶ — ἀγαθόν. Hæc reperiuntur in Cod. 1. 11) ἐν λαοῖς Κύριε. Additur in edit. *ald.* et *compl.*

a) Ezech. 37, 12.

scios edocere. Notandum est illum hoc etiam loco multorum populorum mentionem fecisse, qui post Saluatoris nostri incarnationem, per præcones ex Iudæis ortos, salutem consecuti sunt. *Instrumentis psalmi veritatem tuam (celebrabo) o Deus, psallam tibi cum cithara Sancte Israelis.* Vtar autem consuetis instrumentis, hymnorum cantilenam contexens. 23. *Exultabunt labia mea cum cantauero tibi, et anima mea, quam redemisti.* 24. *Insuper quoque lingua mea toto die meditabitur iustitiam tuam, cum confusi et pudore affecti fuerint, qui quærunt mala mihi.* Prædicit eodem tempore Babyloniorum internecionem, sub Cyro Persarum rege factam, et Iudæorum reuocationem. Euersis enim illis, inquit; ego reditum consequar: hunc vero consecutus, lætus et gaudens tripudiabo, tua beneficia celebrans, tuamque legem semper meditans.

τας διδάσκων· ἐπισημήνασθαι δὲ προσήκει, ὡς καὶ ἐνταῦθα λαῶν 1) πολλῶν ἐμνημόνευσεν, οἱ μετὰ τὴν ἐνανθρώπησιν τοῦ 2) σωτῆρος ἡμῶν, διὰ τῶν ἐξ Ἰουδαίων κηρύκων, τῆς σωτηρίας ἀπήλαυσαν. 3) ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου ὁ Θεὸς, ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ. χρήσομαι δὲ καὶ τοῖς συνήθεσιν ὀργάνοις τὴν ὑμνῳδίαν 4) ὑφαίνων. κγ΄. 5) Ἀγαλλιάσεται τὰ χείλη μου, ὅτ᾽ ἂν 6) ψαλῶ σοι· καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω. κδ΄. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου· ὅτ᾽ ἂν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι. Προλέγει κατὰ ταυτὸν τῶν Βαβυλωνίων τὸν ὄλεθρον ὑπὸ Κύρου τοῦ Πέρσου 7) γεγενημένον, καὶ τὴν τῶν Ἰουδαίων ἀνάκλησιν· ἐκείνων γάρ φησι καταλυθέντων, ἐγὼ τῆς ἐπανόδου 8) τεύξομαι· 9) ἀπολαύσας δὲ 10) τούτου, γεγηθὼς καὶ 11) γαννύμενος χορεύσω, τὰς σὰς εὐεργεσίας ὑμνῶν, καὶ τοῦ σοῦ νόμου 12) διηνεκῆ τὴν μελέτην 13) ποιούμενος.

INTERP. PSALMI LXXI.

1. In *Salomonem.* Quod Salomoni hic psalmus nequaquam congruat, opinor Iu-

ΕΡΜΗΝ. ΤΟΥ οα΄ ΨΑΛΜΟΥ.

α΄. 14) Εἰς Σολομῶν. Ὅτι τῷ Σολομῶντι 15) οὐδαμῶς ὁ προκείμενος 16) ἁρμόττει ψαλμὸς, οἶμαι καὶ Ἰουδαίους

1) πολλῶν. Abest a Cod. 2. 2) σωτῆρος. Cod. 1. præm. Θεοῦ καί. 3) ἐν — ψαλμοῦ. *Hebr.* cum instrumento nablii. 4) Cod. 2. ὑφαίνειν. Cod. 1. add. λέγει δὲ καὶ ποίων διὰ τῶν ἑξῆς. 5) Rec. lectio; quam Cod. 2. habet, est Ἀγαλλιάσονται. 6) Cod. 1. ψάλω, quæ est rec. lectio. 7) γεγεν. Cod. 1. add. καθάπερ τὴν παῦλαν τοῦ τυράννου ὑπὸ Χριστοῦ γενομένην· περὶ οὗ φησιν ὁ Παῦλος, ἐκεῖ γὰρ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον. „ sicut exstinctionem tyranni per Christum, de qua Paulus dicit (Hebr. 2, 14): Ibi enim destruxit illum qui mortis habebat imperium, hoc est Diabolum. „ 8) τεύξομαι. Cod. 1. add. εἴρηται γὰρ ἡμῖν διὰ Κύρου· περὶ γὰρ αὐτοῦ ὁ Θεός φησι, τῷ Χριστῷ μου Κύρῳ. „ Dictum enim nobis est, per Cyrum (hoc efficiendum esse): de eo enim inquit Deus, Vncto meo Cyro. „ 9) ἀπολ. Cod. 1. præm. καί. 10) Cod. 2. ταύτης. 11) Cod. 1. γεγανυμένος. 12) Cod. 1. διηνεκῶς. 13) ποιουμ. Cod. 1. add. καθάπερ ὁ ἐξ ἐθνῶν τῆς χάριτος. „ vt populus gratiæ e Gentilibus collectus. „ 14) Εἰς Σολ. Cod. 1. εἰς τέλος· ψαλμὸς τῷ Δαβὶδ εἰς Σολομῶντα. 15) οὐδαμῶς. Cod. 2. οὐχ. 16) Cod. 2. ἁρμόζει.

δαίους 1) ἂν ὁμολογῆσαι τ' ἀληθῆ λέγειν ἐθέλοντας, ἤπου γε τῆς πίστεως τοὺς τροφίμους· πρῶτον μὲν γὰρ, οὔτε τῶν περάτων τῆς γῆς ἐκράτησε Σολομών. οὔτε 2) παρὰ τῶν ἑσπερίων καὶ ἑῴων ἐδέξατο φόρον. ἔπειτα ἄνθρωπος ὢν, τὸν 3) τῇ φύσει σύμμετρον διαβιώσας χρόνον, τοῦ βίου τὸ τέλος ἐδέξατο, καὶ τοῦτο οὐκ 4) εὐκλεές· ὁ δὲ ψαλμὸς, ἡλίου καὶ σελήνης 5) ἀρχαιότερον δείκνυσι τὸν 6) προφητευόμενον. ἀκριβέστερον δὲ ταῦτα ἡ τῶν ῥητῶν ἑρμηνεία διδάξει. καὶ ἡ ἐπιγραφὴ δὲ, οὐκ ἀνάρμοστος, ἀτεχνῶς 7) δὲ τῷ σωτῆρι συμβαίνουσα· Σολομὼν γὰρ εἰρηνικὸς ἑρμηνεύεται· καὶ τοῦτο σαφῶς ἡμᾶς ἡ τῶν παραλειπομένων ἱστορία διδάσκει· φησὶ γὰρ πρὸς τὸν Δαβὶδ διὰ τοῦ Νάθαν ὁ Θεός· ὅτι Σολομὼν ὄνομα αὐτῷ, καὶ εἰρήνην δώσω ἐν ταῖς ἡμέραις αὐτοῦ. ταύτην δὲ τὴν προσηγορίαν, καὶ ὁ Δεσπότης ἔχει 8) Χριστός. καὶ βοᾷ 9) Παῦλος, ὁ μέγας κῆρυξ τῆς ἀληθείας· αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. καὶ αὐτὸς δὲ ὁ Κύριος τοῖς ἱεροῖς ἀποστόλοις φησί· τὴν ἐμὴν εἰρήνην δίδωμι ὑμῖν, τὴν ἐμὴν εἰρήνην ἀφίημι ὑμῖν. τὴν αὐτοῦ τοίνυν βασιλείαν, καὶ τὴν 10) ὑπ' αὐτοῦ κατορθωθεῖσαν εἰρήνην, καὶ τῶν ἐθνῶν τὴν σωτηρίαν, οὗτος ὁ ψαλμὸς προθεσπίζει. 11) καὶ ἐπειδὴ καὶ Θεός 12) ἐστι, 13) καὶ ἄνθρωπος, τὸ

dæos etiam confiteri, si veritatem dicere voluerint, multo magis fidei alumnos. Primum enim nec Salomo finibus terræ dominatus est, neque ab his qui occidentem et orientem habitant, tributum accepit. Deinde cum esset homo, et vixisset tempus naturæ congruens, vitæ finem accepit, et hunc non gloriosum. Psalmus vero sole et luna antiquiorem eum, qui per prophetiam designatur, ostendit. Apertius autem verborum interpretatio hæc docebit. Et inscriptio rursus non inepta est, vere autem Saluatori congruit. Salomo enim pacificus exponitur, et hoc liquido Paralipomenon historia nos docet. Dicit enim Dauidi per Nathanem Deus, a) Quoniam Salomo est nomen eius, et pacem in diebus eius dabo. Hanc autem appellationem et Dominus Christus habet. Et exclamat Paulus, magnus veritatis præco, b) * Ipse est pax nostra, qui vtrumque fecit vnum, postquam medium parietem maceriæ dissoluit. Et ipse Dominus sacris apostolis dicit: c) Pacem meam do vobis, pacem meam relinquo vobis. Eius igitur regnum, et pacem ab ipso allatam, atque gentium salutem hic psalmus vaticinatur. Et quoniam et Deus est et homo, quo-

1) ἄν. Abest a Cod. 2. 2) παρά. Cod. 2. præm. τόν. 3) τῇ — χρόνον. Cod. 2. τῆς φύσεως μέτρον βιώσας. Cod. 1. ponit περὶ ante τῇ φύσει. 4) εὐκλεές. Cod. 1. add. ἀλλὰ κομιδῇ δυσκλεές. 5) ἀρχαιότερον. Cod. 1. et 2. πρεσβύτερον. 6) προφητ. Cod. 1. addit καὶ ἄνωθεν κατιόντα, οὐ κάτω φυόμενον „et qui e cælo descendit, non inferne ortus est.„ 7) δέ. Abest a Cod. 1. 8) Χριστός. Cod. 1. add. ὁ Θεὸς ἡμῶν. 9) Παῦλος. Cod. 2. præm. ὁ ἀπόστολος. 10) ὑπ'. Des. in Cod. 1. 11) καί. Abest a Cod. 2. 12) ἐστι. Cod. 1. ὑπάρχει προαιώνιος. 13) καὶ — προσλαβών. Cod. 1. ὁ αὐτὸς δὲ καὶ ἐκ τῆς παρθένου ἐγένετο ἄνθρωπος, οὐχ ἕτερον ἄνθρωπον προσλαβὼν, ἀλλ' ἀτρέπτως, ὡς πολλάκις ἡμῖν εἴρηται, ἀφαντασιάστως ἐκ παρθένου ἐσαρκώθη. Conf. ad h. l. p. 1051. n. 5.

a) 1 Paral. 22, 9. b) Eph. 2, 14. c) Ioh. 14, 27.

rum alterum est semper, alterum propter nos assumsit, vtrumque prophetia docet, et dicit, ipsum tanquam Deum omnium potestatem habere, hanc vero vt hominem a suo patre recipere. *O Deus iudicium tuum regi da, et iustitiam tuam filio regis.* Et rex est, et filius regis, Dominus Christus: idcirco illum et *regem*, et *filium regis* prophetia vocat. Sic etiam patriarcha Iacob, et leonem ipsum et catulum leonis nominat: Catulus enim leonis, inquit, a) Iuda, ex germine meo fili mi adscendisti, requiescens recubuisti vt leo, et quasi catulus leonis, quis suscitabit eum? Non enim solum rex est, sed etiam regis filius. Etenim vt Deus, ex vniuersorum rege Deo genitus est, et vt homo, progenitorem regem Dauidem habet. Huic propheticus sermo, vt tanquam homini a Deo iustitia concedatur, obsecrat. Deinde causam aperit. 2. *Iudicare populum tuum in iustitia, et pauperes tuos in iudicio.* Eos enim qui peccati paupertate tenentur, ab acerbi tyranni seruitute liberabit, iuste

μὲν ὢν ἀεὶ, τὸ δὲ δι' ἡμᾶς προσλαβὼν, ἀμφότερα ἡ προφητεία διδάσκει· καί φησιν, αὐτὸν μὲν ἔχειν, ὡς 1) Θεὸν, 2) ἁπάντων τὴν ἐξουσίαν· 3) λαμβάνειν δὲ ταύτην, καὶ ὡς 4) ἄνθρωπον, παρὰ τοῦ οἰκείου 5) πατρός. Ὁ Θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δός· καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως. Καὶ βασιλεύς ἐστι, καὶ υἱὸς βασιλέως ὁ Δεσπότης Χριστός. διὸ καὶ βασιλέα αὐτὸν, καὶ υἱὸν βασιλέως ἡ προφητεία καλεῖ· οὕτω καὶ λέοντα αὐτὸν ὁ πατριάρχης Ἰακὼβ, καὶ σκύμνον λέοντος ὀνομάζει· σκύμνος γὰρ λέοντός φησιν Ἰούδα, ἐκ βλαστοῦ 6) μου υἱέ μου ἀνέβης· ἀναπεσὼν 7) ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν; οὐ γὰρ μόνον βασιλεύς ἐστιν, ἀλλὰ καὶ βασιλέως υἱός· καὶ γὰρ ὡς Θεὸς ἐκ τοῦ παμβασιλέως ἐγεννήθη Θεοῦ, καὶ 8) ὡς ἄνθρωπος, πρόγονον ἔχει τὸν βασιλέα Δαβίδ. τούτῳ ὁ προφητικὸς λόγος, ὡς ἀνθρώπῳ, δοθῆναι παρὰ τοῦ 9) Θεοῦ τὴν δικαιοσύνην 10) παρακαλεῖ. εἶτα 11) τὴν αἰτίαν διδάσκει. β'. 12) Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει. Τοὺς γὰρ πτωχείᾳ τῆς ἁμαρτίας κατεχομένους τῆς τοῦ πονηροῦ τυράννου δουλείας 13) ἐλευθερώσει· 14) δικαίως αὐτῷ,

1) Θεόν. Cod. 1. præm. προαιώνιον. 2) ἁπάντων. Cod. 1. præm. τῶν. 3) Cod. 1. et 2. λαμβάνει. 4) Cod. 1. et 2. ἄνθρωπος. 5) πατρός. Cod. 1. add. μᾶλλον δὲ κατ' οἰκονομίαν διδόναι τῇ αὐτοῦ ἐκκλησίᾳ. 6) μου. Abest tum a Textu l. c. tum a Cod. 1. 7) Cod. 2. ἐκοιμήθη, quam lectionem l. c. habent quidam libri veteres. 8) ὡς ἄνθρωπος. Cod. 1. κατ' οἰκονομίαν, ἣν ὡς οἶδας αὐτὸς μόνος εἵλετο δι' ἡμᾶς. 9) Θεοῦ. Cod. 1. Πατρός. 10) παρακαλεῖ. Cod. 1. add. ἀντὶ τοῦ μαρτυρηθῆναι. καὶ δὴ μαρτυρεῖται, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· κρινεῖ δὲ ὁ Πατὴρ οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ υἱῷ. „Hoc est, vt testimonium accipiat. Et quidem testimonium illud (Matth. 3, 17.) accepit, Hic est filius meus dilectus, in quo beneplacitum habeo. Pater autem neminem iudicat, (Ioh. 5, 22.) sed omne iudicium dedit Filio." 11) τὴν αἰτ. διδάσκει. Cod. 1. ἐπάγει. 12) Cod. 2. κρινεῖ. 13) ἐλευθ. Cod. 1. add. τὴν πλουτοποιὸν πτωχεύσας πτωχείαν ὁ τοῦ παντὸς δεσπότης. „Vniuersi Dominus qui lucri plenam paupertatem subiit." 14) δικαίως. Cod. 1. præm. καί.

a) Gen. 49, 9.

αὐτῷ, 1) καὶ τοῖς ὑπ᾽ αὐτοῦ κατεχομένοις, δικάσας. γ΄. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ 2) λαῷ, καὶ οἱ βουνοὶ 3) δικαιοσύνην. Προσωποποιΐα ἐστὶ τὴν πάντων 4) δεικνῦσα μεταβολήν. 5) οὕτω τοῦ λαοῦ τὴν ἔξοδον διηγούμενος ἔφη· τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. ὁρῶμεν δὲ ὅμως καὶ τῶν ὀρῶν καὶ τῶν βουνῶν τὴν μεταβολήν. ἀντὶ γὰρ τῆς πάλαι πολιτευσαμένης ἐν αὐτοῖς ἀσεβείας, οἱ τὸν ἀγγελικὸν ἀσπασάμενοι βίον τὴν εὐαγγελικὴν ἐν αὐτοῖς δικαιοσύνην καρποῦνται· καὶ τὰς ὑπὲρ τῶν ἀνθρώπων πρεσβείας ποιούμενοι, τὰς θείας καταλλαγὰς 6) πραγματεύονται. δ΄. Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, 7) καὶ ταπεινώσει συκοφάντην. Εἰκότως ὁ διάβολος κέκληται συκοφάντης· τόν τε γὰρ Θεὸν ἐσυκοφάντησε, διὰ φθόνον φήσας αὐτὸν κεκωλυκέναι τὴν τοῦ ξύλου μετάληψιν· καὶ κατὰ τοῦ Ἰὼβ ταῖς αὐταῖς ψευδολογίαις ἐχρήσατο, φήσας· μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; ἅψαι γάρ φησι πάντων ὧν ἔχει, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. τοῦτον ἐν τῷ ὀγδόῳ ψαλμῷ ἐχθρὸν καὶ ἐκδικητὴν ὠνόμασεν· ἐνταῦθα δὲ συκοφάντην. ἀλλὰ τοῦτον μὲν 8) ὁ Δεσπότης ἐταπείνωσε, καὶ κατέλυσε· τοὺς δὲ ὑπ᾽ αὐτοῦ τυραννουμένους 9) ἐλευθερίας καὶ σωτηρίας

ipsum, et eos qui ab illo detinentur, iudicans. 3. *Suscipiant montes pacem pro populo, et colles iustitiam.* Personæ fictio est, omnium vicissitudinem ostendens. Sic populi exitum narrans, ait, a) Montes exultauerunt vt arietes, et colles sicut agni ouium. Videmus porro et montium et collium mutationem. Nam pro impietate, quæ olim in ipsis regnabat, homines angelorum vitam amplexi, euangelica iustitia in ipsis fruuntur: et qui pro hominibus legationes obeunt, diuinas reconciliationes peragunt. 4. *Iudicabit pauperes populi, et saluos faciet filios pauperum, et humiliabit calumniatorem.* * Merito diabolus *calumniator* appellatur, qui et Deum ipsum calumniatus est, dicens, eum ligni participationem propter inuidiam inhibuisse: et de Iobo iisdem mendaciis vsus est, dicens: b) Numquid gratis timet Iobus Deum? tange enim, inquit, cuncta quæ possidet, nisi in faciem benedixerit tibi. Hunc in octauo psalmo inimicum et vltorem nominauit: hic vero calumniatorem. Sed hunc quidem Dominus depressit et euertit: eos vero, qui ab ipso tyrannide pressi erant, libertate et salute digna-

1) καὶ τοῖς. Cod. 1. præm. τῷ πρώτῳ ἀποστάτῃ. 2) λαῷ. In Textu τῶν ό. sequ. σου. 3) Rec. lectio h. l. est ἐν δικαιοσύνῃ. 4) Cod. 2. δεικνύουσα. 5) οὕτω — μεταβολήν. Desin Cod. 2. 6) Cod. 2. πραγματεύσονται. Cod. 1. add. τοῦτο γὰρ θέλει εἰπεῖν τὸ ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, ἀντὶ τοῦ μεσιτευσάτω· ὄρη δὲ λέγει τοὺς μακαρίους προφήτας, κυρίως δὲ τοὺς μακαρίους ἀποστόλους, δι᾽ ὧν τὴν εἰρήνην τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐβράβευσε. „Hoc enim significat illud Suscipiant montes pacem pro populo, h. e. mediatoris vices gerant. *Montes* autem dicit beatos Prophetas, proprie vero beatos Apostolos, per quos pacem loco præmii largitus est credentibus. 7) καὶ ταπειν. συκοφ. Hebr. וידכא עושק *et conteret oppressorem.* 8) ὁ. Cod. 1. ὡς. 9) Cod. 2. ἐλευθερίαν καὶ σωτηρίαν.

a) Ps. 113, 4. b) Hiob 1, 9. 11.

dignatus est. 5. *Et permanebit cum sole, et ante lunam generationes generationum.* Qui, inquit, hæc omnia perficit, neque dierum principium, vt cum Apostolo loquamur, a) neque vitæ finem habet. Genitus est enim a patre ante lunam generationibus generationum, hoc est, infinitis seculis ante mundi constitutionem existens. Sed et simul *permanebit cum sole;* quasi dicat, perennem statum habebit: non quod perennem statum sol habeat, sed aliam similitudinem magis idoneam non inueniens, solemque insignem videns, et temporum ac dierum opificem, huic comparauit rerum mutationem ex tenebris in lucem. Siquidem etiam ipse Dominus Christus sol iustitiæ nominatur. 6. *Descendet sicut pluuia in vellus, et sicut stillicidia stillantia super terram.* Per hæc clare nobis humanam generationem ostendit, sine strepitu factam, et valde quiete et secreto. Sicut enim lana imbrem recipiens nullum fragorem emittit, et stillæ roris in terram delatæ sensum nullum auribus præbent: sic Domini conceptio facta est, neque ipso sponso rescifcente, qui vna habitabat. Postea

1) ἠξίωσε. έ. 2) Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ· καὶ πρὸ τῆς σελήνης 3) γενεᾶς γενεῶν. Ὁ ταῦτά φησιν ἅπαντα 4) κατορθῶν, οὔτε ἀρχὴν ἡμερῶν, ἀποστολικῶς εἰπεῖν, οὔτε ζωῆς τέλος ἔχει. ἐγεννήθη μὲν 5) γὰρ ἐκ τοῦ πατρὸς πρὸ τῆς σελήνης 6) γενεᾶς γενεῶν, τουτέστιν ἀπείροις 7) τισὶ γενεαῖς 8) προϋπάρχων τῆς κτίσεως· 9) ἀλλὰ καὶ συμπαραμενεῖ 10) τῷ ἡλίῳ· ἀντὶ τοῦ, διαρκὲς 11) ἕξει τὸ εἶναι· 12) οὐκ ἐπειδὴ ὁ ἥλιος διαρκὲς ἔχει τὸ εἶναι· 13) ἀλλ᾽ εἰκόνα διαρκεστέραν οὐχ 14) εὑρών, ἐπίσημον δὲ τοῦτον εἰδώς, 15) καὶ χρόνων καὶ ἡμερῶν δημιουργόν, τούτῳ παρέβαλε τὴν ἀπὸ σκότους εἰς φῶς τῶν πραγμάτων μεταβολήν. ἐπειδὴ καὶ αὐτὸς ὁ 16) Δεσπότης 17) Χριστὸς ἥλιος δικαιοσύνης ὠνόμασται. ς΄. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον· καὶ ὡσεὶ 18) σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. Διὰ τούτων σαφῶς ἡμῖν τὴν 19) ἀνθρωπείαν 20) ὑπέδειξε γέννησιν ἀψοφητὶ 21) γεγενημένην, καὶ λίαν ἡσύχως, καὶ μυστικῶς· καθάπερ γὰρ πόκος δεχόμενος ὑετόν, οὐδένα κτύπον ἀποτελεῖ, καὶ ψεκάδες εἰς γῆν δροσώδεις φερόμεναι, αἴσθησιν ταῖς ἀκοαῖς οὐδεμίαν παρέχουσιν· οὕτως 22) ἡ δεσποτικὴ γεγένηται σύλληψις· οὐδὲ τοῦ συνοικοῦντος αἰσθομένου 23) μνηστῆρος. ὕστερον γάρ,

1) ἠξίωσε. Cod. 1. add. καλῶς ἂν ἔχειν ἔφησε διὰ τῶν ἑξῆς. 2) καὶ συμπαραμ. Hebr. ייראוך Timebunt te. Symm. φοβηθήσονταί σε. 3) Rec. lectio est γενεάς. 4) κατορθῶν. Cod. 1. χαριζόμενος. 5) γάρ. Abest a Cod. 2. 6) γεν. γενεῶν. Def. in Cod. 2. 7) τισὶ γενεαῖς. Cod. 1. τισὶν αἰῶσιν· καὶ πρὸ τῶν αἰώνων ἀεὶ σὺν πατρὶ ὤν· ἅμα γὰρ πατὴρ ἅμα καὶ υἱός. 8) Cod. 2. προϋπάρχει. Cod. 1. οὐ μόνον δὲ προϋπάρχει. 9) ἀλλά. Cod. 1. add. καὶ δημιουργὸς ταύτης καὶ τοῦ παντὸς ποιητὴς ὑπάρχει. 10) τῷ. Cod. 1. præm. δέ. 11) ἕξει. Cod. 1. et 2. ἔχει. 12) οὐκ — εἶναι. Def. in Cod. 1. et 2. 13) ἀλλ᾽. Cod. 1. ἀλλ᾽ ἢν δέ. 14) Cod. 1. εὑρηκώς. 15) καὶ — δημιουργόν. Cod. 1. καὶ φωτὸς χορηγὸν καὶ ἡμέρας δημιουργόν. 16) δεσπότης. Cod. 1. præm. τοῦ παντός. 17) Χριστός. Cod. 1. add. ὁ Θεός. 18) σταγ. ἡ στάζουσα. Rec. lectio h. l. est σταγόνες στάζουσαι. 19) ἀνθρωπείαν. Cod. 1. ἐκ παρθένου. 20) ὑπέδειξε. Cod. 2. præm. αὐτοῦ. 21) γεγεν. Cod. 1. γενομένην. 22) ἡ δεσπ. γεγέν. Cod. 1. τοῦ Θεοῦ λόγου γέγονε. 23) Cod. 1. μνήστορος.

a) Hebr. 7, 3.

1) γὰρ, μετὰ τὴν κύησιν ἀτοπίαν ὑποτοπήσας 2) τινὰ, ἠβουλήθη λάθρα ἀπολῦσαι 3) αὐτήν· ἀλλὰ δι' ἀγγέλου μεμάθηκεν 4) ὡς πνευματικὸς ὁ τόκος, καὶ οὐκ ἀνθρώπινος. ζ'. 5) Ἀναβελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη. Καὶ μαρτυρεῖ τοῖς λόγοις τὰ πράγματα· τῆς γὰρ προτέρας δυσσεβείας ἀπαλλαγεῖσα τῶν ἀνθρώπων ἡ φύσις, μετέμαθε τὴν εὐσέβειαν· εἰ δὲ καί τινες τῶν πεπιστευκότων κατὰ τοὺς εὐαγγελικοὺς οὐ πολιτεύονται νόμους, ἀλλ' οὖν εἰσὶ μυριάδες 6) ἀριθμοῦ κρείττους, καὶ ἐν στρατιώταις, καὶ ἐν ἰδιώταις, καὶ ἐν ἀστοῖς, καὶ ἐν 7) χωριτικοῖς, ἀρετῆς πολλὴν φροντίδα ποιούμενοι. καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. πάλαι μὲν γὰρ αἱ τοπαρχίαι, καὶ αἱ καθ' ἕκαστον ἔθνος διῃρημέναι βασιλεῖαι συχνοῖς πολέμοις ταλαιπωρούμεναι, τοῦ δώρου τῆς εἰρήνης ἀπολαύειν οὐκ εἶχον. διηνεκῶς γὰρ τὸν 8) ὁπλιτικὸν μετῄεσαν βίον· καὶ τούτους τοὺς πολέμους πολλοὶ καὶ Ῥωμαίων καὶ Ἑλλήνων συνέγραψαν. διδάσκουσι δὲ ἡμᾶς καὶ αἱ τῶν Βασιλειῶν, καὶ αἱ τῶν Μακκαβαίων ἱστορίαι, ὅσα 9) προὐξένουν αἱ τοπαρχίαι κακά. μετὰ δὲ τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησιν, πέπαυται μὲν ἐκεῖνα, μία δὲ βασιλεία τῆς καθ' ἡμᾶς οἰκουμένης κρατεῖ, δι' ἣν εἰρήνη πολιτευομένη, 10) τῷ θείῳ κηρύγματι δέδωκε τὴν ἰσχύν. τὸ δὲ, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη, ἀντὶ τοῦ, πάντα τοῦ παρόντος βίου τὸν χρόνον· περιττὸν γὰρ περὶ τοῦ μέλλοντος λέγειν, καθ' ὃν εἰρήνη

enim, post conceptionem aliquam indignitatem suspicatus, occulte dimittere illam voluit. Verum ab angelo edoctus fuit, cælestem esse fœtum, et non humanum. 7. *Orietur in diebus eius iustitia.* Et euentus verbis testimonium perhibent. Humana enim natura a pristina impietate liberata, pietatem didicit. Quod si aliqui eorum, qui crediderunt, secundum euangelicas leges non viuunt, at myriades sunt, quæ numerum superant, inter milites et priuatos, inter vrbanos et agrestes, qui virtutis multam curam gerunt. *Et abundantia* * *pacis, donec auferatur luna.* Olim enim toparchiæ et regna per singula gentes diuisa, frequentibus bellis vexata, pacis dono frui nequibant. Continue enim in armis vitam ducebant, et hæc bella multi Romanorum et Græcorum conscripserunt. Docent autem nos etiam Regnorum et Maccabæorum historiæ, quot sibi mala toparchiæ adsciverint. Post incarnationem autem Dei et Saluatoris nostri illa cessarunt: vnum vero regnum orbi nostro imperat, per quod pax obtinens diuinæ prædicationi robur largita est. Hoc autem *donec auferatur luna,* idem est ac, per omne præsentis vitæ tempus. Superuacaneum enim esset de futuro dicere, in quo vera

1) γάρ. Cod. 1. præm. μέν. 2) τινά. Cod. 1. add. ὁ Ἰωσήφ. 3) αὐτήν. Cod. 1. τὴν ἀπειρόγαμον καὶ θεοτόκον καὶ συντόμως εἰπεῖν, Θεοῦ μητέρα. 4) ὡς — ἀνθρώπινος. Cod. 1. ὡς Ἐμμανουὴλ ὁ ἐν αὐτῇ καὶ ἐξ αὐτῆς τεχθείς· καὶ καλεῖται γὰρ τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός· περὶ γὰρ αὐτοῦ ὁ προφήτης διὰ τῶν ἑξῆς. 5) Ἀνατελεῖ — δικαιοσύνη. Hebr. יפרח בימיו צדיק *Florebit in diebus eius iustus.* Symm. ἀνθήσει ἐν ταῖς ἡμέραις αὐτοῦ δίκαιος. 6) ἀριθμοῦ. Abest a Cod. 2. 7) χωριτικοῖς. Cod. 1. ἐπιχωρίοις. 8) Cod. 1. ἡλικίαν. 9) Cod. 2. προξενοῦσαι. 10) τῷ. Cod. 2. præm. πολλήν.

pax semper vigebit. *8. Et dominabitur a mari vsque ad mare.* Quasi diceret, omnibus orbis finibus dominabitur. Quoniam enim trans terram magna sunt maria, quæ transmitti non possunt, quæ nonnulli Atlantica vocant, vel orientalem et occidentalem oceanum, merito orbis terræ imperium externo vndique mari septum esse declarauit. Et hoc manifestius sequens versiculus declarauit. *Et a flumine vsque ad terminos orbis terrarum. Flumen* dicit Iordanem, in quo Dominus baptizatus patris testimonio commendatus est, quod ipse esset dilectus filius, in quo beneplacitum haberet. Ex eo autem tempore, ait Euangelista, incepit prædicare, et dicere, a) Pœnitentiam agite, appropinquauit enim regnum cælorum. Idcirco et vaticinatio dicit, *Dominabitur a flumine vsque ad terminos orbis terrarum.* Deinde et alio modo hoc illustrat. *9. Coram illo procident Aethiopes, et inimici eius terram lingent. 10. Reges Tharsis, et insulæ, munera offerent: reges Arabum, et Saba dona adducent. Tharsis* Carthaginem ciuitatem Libyæ principem, et beatus Esaias, et admirabilis Ezechiel nuncupant. *Saba* autem, Aethiopiæ gens est. Sed Libyes qui et Afri nuncupantur, occidentalem orbis partem occupant, Aethiopes autem

ἀληθὴς πολιτεύσεται. η′. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης. Ἀντὶ τοῦ, πάντων κρατήσει τῶν 1) τερμάτων τῆς 2) οἰκουμένης· ἐπειδὴ γὰρ πέραν τῆς γῆς τὰ μεγάλα ἐστὶ καὶ ἄπλωτα πελάγη, ἅ τινες Ἀτλαντικὰ καλοῦσιν, ἢ ὠκεανὸν ἑσπέριον καὶ ἑῷον, εἰκότως τῆς οἰκουμένης τὸ κράτος ταῖς ἔξωθεν 3) κυκλοῦσθαι θαλάσσαις ἐδήλωσε· καὶ τοῦτο σαφέστερον ὁ μετὰ τοῦτον πεποίηκε στίχος. καὶ ἀπὸ 4) ποταμῶν, ἕως περάτων τῆς οἰκουμένης. ποταμὸν 5) λέγει τὸν Ἰορδάνην, 6) ἐν ᾧ βαπτισθεὶς ὁ Δεσπότης 7) ὑπὸ τοῦ πατρὸς ἐμαρτυρήθη, ὡς αὐτός ἐστιν ὁ ἀγαπητὸς υἱὸς, ἐν ᾧ 8) ηὐδόκησεν. ἀπὸ τότε δὲ, φησὶν ὁ εὐαγγελιστὴς, ἤρξατο κηρύττειν καὶ λέγειν, μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. οὗ δὴ χάριν, καὶ ἡ προφητεία φησὶν, ὅτι κρατήσει ἀπὸ τοῦ ποταμοῦ, ἕως τῶν περάτων τῆς οἰκουμένης, εἶτα καὶ ἑτέρωθεν τοῦτο ποιεῖ 9) φανερόν. θ′. Ἐνώπιον αὐτοῦ προπεσοῦνται 10) Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. ι′. Βασιλεῖς 11) Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι. βασιλεῖς Ἀράβων καὶ 12) Σαββὰ δῶρα προσάξουσι. Θαρσεῖς τὴν Καρχηδόνα, τὴν τῆς Λιβύης προκαθημένην, καὶ ὁ μακάριος Ἡσαΐας, καὶ ὁ θαυμάσιος Ἰεζεκιὴλ ὀνομάζουσι. Σαββὰ δὲ Αἰθιοπικὸν ἔθνος· ἀλλὰ Λίβυες μὲν 13) οἱ καὶ Ἄφροι προσαγορευόμενοι, τὰ ἑσπέρια τῆς οἰκουμένης κατέχουσι τμήματα· Αἰθίοπες δὲ τὰ ἑῷα

1) τερμάτων. Cod. 1. περάτων. 2) οἰκουμένης. Cod. 1. add. ἡ εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν γνῶσις τε καὶ πίστις. 3) Cod. 1. κυκλοῦσαις. 4) Rec. lectio h. l. est ποταμοῦ. 5) λέγει. Cod. 1. præm. δέ. 6) ἐν — δεσπότης. Cod. 1. ἐν ᾧ τὸ ὑπὲρ ἡμῶν ὑπεισῆλθε βάπτισμα ὁ τοῦ γένους σωτήρ. 7) ὑπό. Cod. 1. præm. καί. 8) ηὐδόκησεν. Cod. 1. add. οὐχ ὁ περὶ αὐτὸν, οὐδ' αὖ πάλιν ὁ ἐν αὐτῷ. 9) φανερόν. Cod. 1. add. λέγων. 10) Αἰθίοπες. Hebr. ציים qui in desertis habitant. 11) Rec. lectio h. l. est Θαρσίς. 12) Cod. 1. Σαβᾶ. Alii habent Σαβά. 13) οἱ. Abest a Cod. 2.

a) Matth. 3, 2.

ἑῶα καὶ νότια· Ἄραβες δὲ τὴν μέσην ἤπειρον· οἱ δὲ νησιῶται τῆς θαλάσσης τὰ μέσα. τούτους δὲ ἔφη προπεσεῖσθαι ἐνώπιον αὐτοῦ, καὶ προσοίσειν ὡς Θεῷ τὴν προσκύνησιν· καὶ δῶρα 1) προσκομιεῖν ὡς βασιλεῖ· τοὺς δὲ ἐχθροὺς ὑποβληθήσεσθαι ταῖς κατὰ τοῦ ὄφεως γεγενημέναις ἀραῖς, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἐχθροὶ δὲ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, οἱ παμπόνηροι δαίμονες, καθ' ὧν 2) ἔδωκε τὴν 3) ἐξουσίαν 4) τοῦ πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων. ἐπειδὴ 5) δὲ τριῶν ἢ τεττάρων ἐθνῶν ἐμνημόνευσε, καὶ αἰνιγματωδῶς τὴν τῶν ἐθνῶν ἁπάντων μεταβολὴν παρεδήλωσε, σαφέστερον τὸν λόγον 6) ποιεῖ. ιά. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς 7) τῆς γῆς. Οἱ μὲν κατὰ τὸν παρόντα βίον ἑκόντες· οἱ δὲ μετὰ τὴν ἀνάστασιν ἅπαντες· οὐδέπω γάρ, ἥ φησιν ὁ θεῖος ἀπόστολος, ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα, ἀλλὰ τότε κάμψει αὐτῷ πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. συμβαίνει ταῦτα τῇ τοῦ πατριάρχου Ἰακὼβ προφητείᾳ, ὅτι αὐτὸς προσδοκία ἐθνῶν· ὁρῶμεν δὲ καὶ τὸ τῆς προρρήσεως τέλος· οὐδὲ γάρ ἐστιν ἔθνος τῶν εὐαγγελικῶν κηρυγμάτων ἀνήκοον· ἀλλ' εἰσὶν ἐν ἑκάστῳ οἱ τῆς θεογνωσίας τὴν αἴγλην 8) δεξάμενοι. ιβ. Ὅτι ἐρρύσατο πτωχὸν 9) ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός. ιγ. Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων

orientalem, et australem, Arabes vero mediam continentem. At insulares eas regiones, quae in maris medio sunt, obtinent. Hos autem ait prostraturos sese esse ante ipsum, et adoraturos eum vt Deum, et * dona oblaturos, vt regi: inimicos vero execrationibus in serpentem factis addictum iri, *a*) Super pectus et ventrem gradieris, et terram comedes cunctis diebus vitae tuae. Inimici autem Dei et Saluatoris nostri, nequissimi sunt daemones; in quos conculcandi supra scorpios et serpentes dedit potestatem. Postquam autem trium vel quatuor nationum fecit mentionem, et obscure omnium gentium mutationem indicauit, clariorem orationem facit. *11. Et adorabunt eum omnes reges terrae.* Alii quidem in praesenti vita volentes, alii vero omnes post resurrectionem. Nondum enim, sicut dicit *b*) diuinus apostolus, videmus illi omnia subiecta, sed tunc *c*) illi flectetur omne genus, caelestium, et terrestrium, et infernorum. *Omnes gentes seruient ei.* Haec patriarchae Iacobi vaticinationi respondent, *d*) Quoniam ipse erit exspectatio gentium. Ceterum praedictionis finem videmus: quia non est gens, quae euangelii praedicationem non audierit, sed sunt in singulis qui diuinae cognitionis lumen acceperunt. *12. Quia liberauit pauperem a potente, et pauperem cui non erat adiutor. 13. Parcet pauperi et inopi, et animas pauperum saluas*

1) Cod. 1. προσκομίσαι. 2) ἔδωκε. In Cod. 1. ponitur post σκορπίων. 3) ἐξουσίαν. Cod. 1. add. τοῖς εἰς αὐτὸν πιστεύουσι. 4) τοῦ. Abest a Cod. 2. 5) δέ. Dest in Cod. 2. 6) ποιεῖ. Cod. 1. add. διὰ τῶν ἑξῆς. 7) τῆς γῆς. Additur in edit. *ald.* et *compl.* 8) δεξάμενοι. Cod. 1. add. καὶ τίνος ἕνεκεν λέγει. 9) ἐκ δυνάστου. Hebr. מְשַׁוֵּעַ *clamantem.* Symm. οἰμώζοντα.

a) Gen. 3, 14. *b*) Hebr. 2, 8. *c*) Philipp. 2, 10. *d*) Gen. 49, 10.

salutas faciet. Adorabunt ipsum omnes, ab acerba diaboli tyrannide liberati. *Potentem* enim ipsum appellauit: *pauperem* vero, humanam naturam, vtpote quæ tunc temporis Deo destituta erat. Præterea diuinis suis legibus potentes reprimit, et gehennæ minis perterrefacit, efficitque, vt quadam indulgentia vtantur erga pauperes. Hoc enim etiam subiunxit. *14. Ex vsuris, et iniquitate redimet animas eorum. Fœnus* autem auaritiam appellauit. Sic et antiqua lex illud nuncupat, *a*) fœnus et abundantiam non accipies. Persuadebit igitur, inquit, eis, qui iniquitate et auaritia lætantur, vt misericordia et benignitate vtantur. *Et honorabile nomen eius coram ipsis.* Honoratus, ait, et gloriosus apud omnes erit. *15. Et viuet, et dabitur ei de auro Arabiæ.* Pro *Arabia*, Saba ceteri interpretes posuerunt. Vtrumque autem munera * oblata ipsi ab omnibus et regibus et barbaris prædicit. *Viuet* autem posuit pro permanebit. *Et adorabunt de ipso semper, toto die benedicent ei.* Continue autem ipsum laudabunt. Laudabunt porro et eius patrem, per ipsum hymnodiæ occasionem arripientes. Nam illud, *Et adorabunt de ipso*, verbis

σώσει. 1) Προσκυνήσουσιν αὐτῷ ἅπαντες, τῆς πικρᾶς τοῦ διαβόλου τυραννίδος ἀπαλλαγέντες· δυνάστην γὰρ αὐτὸν ὠνόμασε, πτωχὸν δὲ τὴν ἀνθρωπείαν φύσιν, ὡς ἔρημον γενομένην τηνικαῦτα Θεοῦ. ἄλλως τε καὶ τοῖς θείοις αὐτοῦ νόμοις καταστέλλει τοὺς δυναστεύοντας, καὶ ταῖς τῆς γεέννης ἀπειλαῖς καταπλήττει, καὶ παρασκευάζει φειδώ τινα τῶν πενήτων ποιεῖσθαι· τοῦτο γὰρ 2) καὶ ἐπήγαγεν. ιδ'. 3) Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν. Τόκον δὲ τὴν πλεονεξίαν ἐκάλεσεν· οὕτω γὰρ αὐτὸν καὶ ὁ παλαιὸς προσαγορεύει νόμος, 4) τόκον 5) καὶ πλεονασμὸν οὐ λήψῃ. πείσει τοίνυν, φησὶ, τοὺς 6) ἀδικίᾳ καὶ πλεονεξίᾳ χαίροντας ἐλέῳ καὶ φιλανθρωπίᾳ κεχρῆσθαι. καὶ ἔντιμον 7) τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν. σεβάσμιός φησιν ἔσται παρὰ πᾶσι, καὶ 8) ἔνδοξος. ιε'. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας. Ἀντὶ τῆς Ἀραβίας, Σαββὰ τεθείκασιν οἱ λοιποὶ ἑρμηνευταί. καὶ τοῦτο μέντοι κἀκεῖνο τὰ ἀναθήματα προθεσπίζει, τὰ παρὰ πάντων αὐτῷ καὶ βασιλέων καὶ βαρβάρων προσκομιζόμενα· τὸ δὲ ζήσεται, ἀντὶ τοῦ 9) διαμενεῖ τέθεικεν. καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντὸς, ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν. ὑμνήσουσι δὲ αὐτὸν διηνεκῶς· ὑμνήσουσι δὲ καὶ τὸν αὐτοῦ πατέρα, 10) δι' αὐτοῦ λαβόντες τῆς ὑμνῳδίας τὰς ἀφορμάς· τὸ γὰρ προσεύξονται περὶ αὐτοῦ, ἔοικε

τῷ

1) Προσκυν. Cod. 1. præm. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. 2) καί. Abest a Cod. 2. 3) Ἐκ τόκου. Hebr. מִתּוֹךְ *a dolo.* 4) τόκον. Cod. 1. add. λέγων. 5) καί. Cod. 2. præm. δέ. 6) ἀδικίᾳ. Cod. 1. præm. ἐν. 7) τὸ — αὐτῶν. Hebr. דמם בעיניו *sanguis eorum* (pretiosus erit) *in oculis eius.* Symm. τὸ αἷμα αὐτῶν ἐνώπιον αὐτοῦ. 8) ἔνδοξος. Cod. 1. add. καὶ Θεὸς πιστευθήσεται, καὶ γὰρ καὶ ἐστιν. 9) διαμενεῖ τέθεικεν. Cod. 1. ἀεὶ μενεῖ καὶ ἐστι. 10) δι' αὐτοῦ. Cod. 1. διὰ τῆς οἰκονομίας αὐτοῦ.

a) Deut. 28, 10.

τῷ ἀποστολικῷ 1) ἐκείνῳ· εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ· καὶ πάλιν· δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν πρὸς τὸν 2) πατέρα. 3) διὰ τοῦτο προσεύξονται τοίνυν ἅπαντες τῷ πατρί, καὶ ὑμνήσουσιν αὐτόν, ἐπὶ τοῖς παρὰ τοῦ υἱοῦ εἰς αὐτοὺς γεγενημένοις ἀγαθοῖς· ὑμνήσουσι δὲ καὶ 4) αὐτόν, ὡς παρ' αὐτοῦ ταῦτα δεξάμενοι. ιϛ'. Ἔσται 5) στήριγμα 6) ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων. 7) Αὐτός φησι στηρίξει, καὶ ἐρείσει τοὺς εἰς αὐτὸν πεπιστευκότας, καὶ ὑψηλοὺς δείξει καὶ μετεώρους, ὡς ἐν αὐταῖς ἑστῶτας ταῖς τῶν ὀρῶν κορυφαῖς· τοῦτο 8) δὴ καὶ ὁ Κύριος ἔφη τοῖς ἑαυτοῦ μαθηταῖς· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν 9) ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ 10) φαίνει πᾶσι 11) τοῖς ἐν τῇ οἰκίᾳ. 12) ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς 13) αὐτῶν. ἐπειδὴ τῶν ὑψηλῶν ὀρῶν 14) ἐμνημόνευσεν, εἰκότως καὶ τοῦ Λιβάνου τὴν μνήμην παρήγαγεν, ὡς τῶν κατὰ τὴν Παλαιστίνην ὀρῶν ὑψηλοτάτου· καί φησι, τὴν διδασκαλίαν αὐτοῦ, καὶ τοὺς ταύτης 15) ὑποφήτας καὶ κήρυκας, ὑψηλοτέρους καὶ περιφανεστέρους 16) τοῦ Λιβάνου 17) γενήσεσθαι. καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς

apostoli respondet, a) Gratias ago Deo meo per Iesum Christum: Et rursus, b) Per quem accessum habuimus apud Patrem. Per hunc igitur omnes patrem orabunt, et laudabunt ipsum de bonis, quæ per filium in ipsos collata sunt. Celebrabunt autem et ipsum, tanquam ab ipso hæc consecuti. *16. Erit firmamentum in terra in summis montium.* Ipse, inquit, eos qui in ipsum crediderunt confirmabit, et fulciet, et sublimes et excelsos reddet, tanquam in ipsis montium cacuminibus collocatos. Hoc autem et Dominus suis discipulis ait: c) Non potest ciuitas abscondi supra montem posita: neque accendunt lucernam, et ponunt eam sub modio, sed super candelabrum, vt luceat omnibus qui in domo sunt. *Superextolletur super Libanum fructus eius.* Quia de editis montibus mentionem fecit, merito et Libani meminit, vt altissimi montis omnium qui in Palæstina sunt: eiusque doctrinam, atque huius interpretes, et præcones, sublimiores ait illustrioresque Libano fore. *Et florebunt e ciuitate sicut fœnum terræ.*

1) ἐκείνῳ. Cod. 1. add. ῥητῷ. 2) πατέρα. Cod. 1. et 2. add. καὶ αὐτὸς δὲ ὁ Κύριος ἔφη, οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ. „ Et ipse Dominus inquit, (Ioh. 14, 6.) nemo venit ad Patrem nisi per me. „. 3) διὰ τοῦτο. Abest ab vtroque Cod. 4) αὐτόν. Cod. 1. add. ὡς υἱὸν καὶ μονογενῆ τῷ Πατρί, καί. 5) στήριγμα. Hebr. פִּסַּת־בַּר *parum frumenti.* 6) ἐν τῇ γῇ. Cod. 1. add. ἡ τοῦ παναγίου πνεύματος ἐπιφοίτησις δηλονότι· ὁρᾷς πῶς διὰ πάντων τὸ ἀδιαίρετον τῶν ὑποστάσεων παιδευόμεθα. „ Scilicet Spiritus sancti aduentus. Vides, quomodo omnes nos edoceant, indiuisas esse substantias. „ 7) Αὐτός. Cod. 2. οὗτος, 8) δή. Abest a Cod. 1. et 2. 9) ὑπό. Cod. 2. ἐπί. 10) φαίνει. Cod. 1. λάμπει. 11) τοῖς — οἰκίᾳ. Def. in Cod. 2. 12) ὑπεραρθ. Hebr. יִרְעַשׁ *perstrepet.* 13) Cod. 2. αὐτοῦ, quæ est rec. lectio h. l. 14) ἐμνημόνευσεν. Cod. 1. add. ὁ προφητικὸς νοῦς. 15) Cod. 1. ὑφηγητάς. 16) τοῦ Λιβάνου. Def. in Cod. 2. 17) Cod. 1. γενέσθαι.

a) Rom. 1, 8. b) Eph. 2, 18. c) Matth. 5, 14. 15.

terræ. Qui igitur ipsi crediderunt, talem fructum producent. Infideles vero Iudæi fœno assimilabuntur, quod nascitur, et statim corrumpitur. 17. *Erit nomen eius benedictum in secula: ante solem permanebit nomen eius.* *Benedictum* in nullo exemplari legitur, neque in Hexaplo, neque apud Hebræos. Per *ante*, sole et luna vetustiorem ipsum esse declarat. Non enim simpliciter, ante solem permanet, sed generatione generationum. „ Illud vero *generatione generationum* „ et de sole et de luna posuit. Sol enim et luna tempore sunt æquales: eodem enim tempore facti sunt. Dixit enim, inquit, a) Deus, fiant luminaria in firmamento cæli, et fecit Deus duo luminaria magna. Si igitur est ante lunam generatione generationum, est etiam ante solem. *Et benedicentur in ipso omnes tribus*

γῆς. οἱ μὲν οὖν πεπιστευκότες αὐτῷ τοιοῦτον βλαστήσουσι καρπόν. οἱ δὲ ἀπιστήσαντες Ἰουδαῖοι χόρτῳ φυομένῳ, καὶ παραυτίκα φθειρομένῳ, 1) ἀπεικασθήσονται. ιζ'. 2) Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας· πρὸ τοῦ ἡλίου 3) διαμενεῖ τὸ ὄνομα 4) αὐτοῦ. 5) Τὸ εὐλογημένον παρ' οὐδενὶ κεῖται, οὔτε ἐν τῷ ἑξαπλῷ, οὔτε παρ' Ἑβραίοις. δείκνυσιν αὐτὸν διὰ 6) τῆς πρὸ, τοῦ ἡλίου καὶ 7) τῆς σελήνης 8) πρεσβύτερον. οὐ γὰρ ἁπλῶς πρὸ τοῦ ἡλίου διαμένει, ἀλλὰ γενεὰς γενεῶν. 9) „τὸ δὲ γενεὰς γενεῶν„ 10) καὶ ἐπὶ τοῦ ἡλίου καὶ 11) ἐπὶ τῆς σελήνης τέθεικεν. ἥλιος γὰρ καὶ σελήνη ὁμόχρονοι, κατὰ ταυτὸν γὰρ 12) ἐγένοντο. εἶπε γὰρ φησιν ὁ Θεὸς, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ. 13) καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους. εἰ τοίνυν πρὸ τῆς σελήνης γενεὰς γενεῶν, καὶ πρὸ τοῦ 14) ἡλίου. καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.

1) ἀπεικ. Cod. 1. et 2. add. πόλιν γὰρ τὴν Ἱερουσαλὴμ ὠνόμασεν. 2) Ἔσται. Rec. lectio h. l. est ἔστω. 3) διαμενεῖ. Hebr. יִנּוֹן *augebit*, s. multiplicabit, vel secundum Kri יִנּוֹן *sobolescet* s. propagabitur. 4) αὐτοῦ. Cod. 1. add. καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν. De *luna* quidem et de *generatione generationum* nihil hoc loco in vers. græca, neque in Textu hebraico, legitur. Ex iis tamen quæ deinde ad illustranda hæc verba a Nostro proponuntur, colligi potest, in quibusdam Codd. græcis olim verba ista πρὸ τῆς σελήνης γενεὰς γενεῶν, quæ Cod. 1. habet, exstitisse. 5) Τὸ — Ἑβραίοις. Des. in Cod. 1. et 2. 6) τῆς πρὸ, τοῦ. Cod. 1. et 2. τούτων. 7) τῆς. Abest a Cod. 1. et 2. 8) πρεσβ. Cod. 1. add. καὶ δημιουργόν· οὐ μόνον αὐτῶν τούτων, ἀλλ' ὡς ἀνωτέρω ἡμῖν εἴρηται καὶ τοῦ παντός. „ et creatorem: non horum tantum, sed vt iam in superioribus dictum est, totius mundi. „ 9) Hæc e Cod. 2. vt sensus integer esset, suppleuimus. In Codice autem pro γενεὰς vtroque loco legitur γενεάς. 10) καὶ ἐπί. Cod. 1. præm. τοῦτο δέ. 11) ἐπί. Abest a Cod. 1. 12) ἐγένοντο. Cod. 1. add. παρ' αὐτοῦ τοῦ προφητευομένου. 13) καί. Cod. 2. ἀλλ'. 14) ἡλίου. Cod. 1. add. γενεὰς γενεῶν. οἰμωζέτωσαν οἱ λέγοντες αὐτὸν ἐκ παρθένου δέξασθαι τὴν ἀρχὴν, καὶ μὴ προαιώνιον καὶ τοῦ παντὸς πρεσβύτερον ὁμολογοῦντες καὶ δημιουργόν. „ Generatione generationum. Facessant itaque qui eum e virgine existendi initium accepisse dicunt, nec ab omni æuo eum fuisse, creatorem, omnibusque antiquiorem esse confitentur. „

a) Gen. 1, 14.

γῆς. ἐνταῦθα τῆς περὶ τὸν Ἀβραὰμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακὼβ ἐπαγγελίας ἐμνημόνευσε. τοῖς γὰρ 1) τρισὶ πατριάρχαις ὑπέσχετο ὁ Θεὸς εὐλογηθήσεσθαι, ποτὲ μὲν πάντα τὰ ἔθνη τῆς γῆς, ποτὲ δὲ 2) τὰς φυλὰς τῆς γῆς. διαφόρως δὲ πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν ὀνομάζει. τοῦτο δὲ καὶ ὁ μακάριος Παῦλος ἑρμηνεύων ἔφη· τῷ δὲ Ἀβραὰμ ἐῤῥήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. οὐ λέγει καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνὸς, καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός. καὶ μέντοι καὶ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· οὐ γὰρ δήπου ἀγγέλων 3) ἐπιλαμβάνεται. περὶ τούτου καὶ ὁ προκείμενος 4) προθεσπίζει ψαλμὸς, 5) δι᾽ αὐτοῦ λέγων 6) πάσας εὐλογηθήσεσθαι τὰς φυλάς. πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. τὰ μὲν ὡς περὶ ἀνθρώπου, τὰ δὲ ὡς περὶ Θεοῦ, ὁ προφητικὸς 7) διεξήλυθε λόγος. 8) εὑρίσκομεν τὸ 9) μακάριος καὶ ἐπὶ τοῦ 10) Θεοῦ κείμενον· ὁ μακάριός φησι καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. πάντα γάρ φησι τὰ ἔθνη 11) μακάριον αὐτὸν, καὶ 12) ὕμνων ἄξιον 13) ὀνομάζει. εἶτα σαφέστερον ὁ προφήτης τὴν κεκρυμμένην αὐτοῦ διδάσκων θεότητα ἐπήγαγεν. ιη΄. Εὐλογητὸς Κύριος 14) ὁ Θεὸς 15) Ἰσραὴλ, ὁ ποιῶν θαυ-

terrae. Hoc loco promissionum Abrahamo, Isaaco et Iacobo factarum meminit. His enim tribus patriarchis promisit Deus, se benedicturum tum omnibus gentibus terrae, tum vero tribubus terrae. Diuersis autem modis omnem hominum naturam appellat. Hoc et beatus Paulus interpretans, ait, *a*) Abrahamo autem dictae sunt promissiones, et semini eius: non dicit, et seminibus, quasi in multis, sed quasi in vno, et semini tuo, qui est Christus. Atque etiam in epistola ad Hebraeos, *b*) Nusquam enim angelos assumit. De hoc etiam iste praedicit psalmus, dicens futurum vt per ipsum omnes tribus benedicantur. *Omnes gentes beatum dicent ipsum.* Partim tanquam de homine, partim vero tanquam de Deo haec propheticus sermo dixit. Reperimus autem, vocem *beatum* Deo etiam tribui: Beatus, inquit, *c*) et solus potens, rex regnantium, et dominus dominantium, solus habens immortalitatem, lucem inhabitans inaccessibilem. „Nam omnes gentes, inquit, beatum ipsum laudibusque dignum nominant. Deinde manifestius propheta occultam eius diuinitatem docens, subiunxit. *18. Benedictus dominus Deus Israel, qui facit mirabilia*

1) τρισί. Abest a Cod. 2. 2) τάς. Cod. 2. praem. πάσας. 3) ἐπιλαμβ. Cod. 1. addit ex l. c. ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. 4) Cod. 1. προεθέσπισε. 5) δι᾽ αὐτοῦ. Cod. 1. διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ. 6) πάσας. Cod 1. et 2. add. τῆς γῆς. 7) Cod. 1. et 2. διεξελήλυθε. 8) εὑρ. τό. Cod. 1. et 2. εὑρίσκω μέντοι τό. 9) Cod 2. μακάριον. 10) Θεοῦ. Cod. 1. Πατρός. 11) μακάριον. Cod. 1. praem. μακαριοῦσιν αὐτὸν, τουτέστι. 12) Cod. 1. ὕμνου. 13) ὀνομάζει. Cod. 1. ὀνομάσει. Cod. 2. φήσει. 14) ὁ Θεός. Repetendum fuisset iuxta Textum hebr. Vid. HIERON. Epist. ad *Sun.* 15) Ἰσραήλ. Cod. 1. add. ὁρᾷς, ὅτι καὶ Κύριον καὶ Θεὸν τὸν αὐτὸν τοῦ Ἰσραὴλ λέγει· καὶ τοῦτο διὰ τῶν ἑξῆς βεβαιοῖ. „Vides, vnum eundemque tum Dominum tum Deum Israelis dici. Idque per sequentia confirmat.„

a) Gal. 3, 16. *b*) Hebr. 2, 16. *c*) 1 Tim. 6, 15. 16.

rabilia solus. Idem enim ipse, inquit, qui prædictus est, quique prædicta miracula perfecturus est, ipse est, et Israelis Deus, et omnium Dominus. 19. *Et benedictum nomen gloriæ eius in seculum, et in seculum seculi.* Propterea decet ab omnibus ipsum celebrari. Etsi enim eius naturam vt inaccessam ignoramus, tamen salutare eius nomen didicimus. *Et replebitur gloria eius omnis terra. Fiat, fiat.* Quæ sæpius per totum psalmum prædixit, hoc etiam vaticinatione peracta apposuit, vt firmiorem prædictionem efficeret. Dicit autem, ipsum in omni terra manifestum et notum fore, vt Deum et omnium Dominum, et ab omnibus cultu prosequendum, cum radiis diuinæ cognitionis suæ eos illustrauerit. Hoc enim per Spiritus gratiam edoctus propheta, et desiderio inflammatus, obsecrat vt fiat, et finem prophetia sortiatur. Idcirco per epilogum concludit, *Fiat,* * *fiat*, vel secundum Aquilam * Fideliter, fideliter: quasi diceret, ea quæ prædicta sunt, vera et non falsa sunt, et omnino finem accipient.

Desinunt hymni Dauidis filii Iessæ.

μάσια μόνος. Οὗτος γάρ φησιν αὐτὸς ὁ προφητευόμενος, καὶ τὰς προειρημένας θαυματουργίας 1) ἐπιτελέσων, αὐτός ἐστι καὶ τοῦ Ἰσραὴλ Θεὸς, καὶ τῶν ἁπάντων Δεσπότης. ιθ΄. Καὶ 2) εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Διὸ προσήκει παρὰ πάντων 3) αὐτὸν ὑμνεῖσθαι. 4) εἰ γὰρ 5) τὴν φύσιν αὐτοῦ ὡς ἀνέφικτον ἀγνοοῦμεν, ἀλλὰ τὸ σωτήριον αὐτοῦ ἐδιδάχθημεν ὄνομα. καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο, γένοιτο. ἃ πολλάκις διὰ παντὸς προηγόρευσε τοῦ ψαλμοῦ, ταῦτα καὶ πληρώσας τὴν προφητείαν 6) τέθηκε βεβαιοτέραν τὴν πρόῤῥησιν ἐργαζόμενος. λέγει δὲ ὅτι 7) καὶ ἐν πάσῃ τῇ γῇ δῆλος ἔσται, καὶ γνώριμος ὡς Θεὸς 8) ἐστι καὶ τῶν ὅλων 9) Δεσπότης, καὶ τὸ παρὰ πάντων δέξεται σέβας, ταῖς τῆς θεογνωσίας αὐτοῦ καταυγάσας ἀκτῖσιν. τοῦτο δὲ διὰ τῆς τοῦ 10) Πνεύματος χάριτος ὁ προφήτης μεμαθηκὼς, καὶ πυρσευθεὶς τῷ πόθῳ, ἐπεύχεται γενέσθαι, καὶ πέρας τὴν προφητείαν λαβεῖν· διὸ καὶ ἐπιλέγει, γένοιτο, γένοιτο. 11) ἢ κατὰ τὸν Ἀκύλαν πεπιστωμένως, 12) „πεπιστωμένως,„ ἀντὶ τοῦ, ἀψευδῆ καὶ ἀληθῆ τὰ εἰρημένα, καὶ δέξεται πάντως τὸ τέλος.

13) Ἐξέλιπον οἱ ὕμνοι Δαβὶδ υἱοῦ Ἰεσσαί.

ΕΡΜΗΝ.

1) ἐπιτελ. Cod. 1. add. καὶ ἐκ παρθένου τεχθησόμενος. Cod. 2. habet ἐπιτελέσας. 2) Rec. lectio h. l. est εὐλογητόν. 3) αὐτόν. Def. in Cod. 2. 4) εἰ — ἀγνοοῦμεν. Cod. 1. εἰ γὰρ καὶ ὡς ἄνθρωπος ἡμῖν ἐφάνη. 5) τήν. Cod. 1. præm. καί. 6) Cod. 1. ἐντέθεικε. 7) καί. Abest a Cod. 2. 8) ἐστι. Cod. 2. ἐκεῖ. 9) δεσπότης. Cod. 2. ποιητής. 10) Πνεύματος. Cod. 1. præm. παναγίου. 11) ἢ — Ἀκύλαν. Def. in Cod. 1. 12) Suppletum e Cod. 1. 13) Ἐξέλιπον — Ἰεσσαί. Def. in Cod. 2.

ΕΡΜΗΝ. ΤΟΥ. οβ´ ΨΑΛΜΟΥ.

α. Ψαλμὸς τῷ Ἀσάφ. Καὶ 1) ἤδη περειρήκαμεν, ὅτι καὶ τῦτόν τινες ψαλμογράφον ἔφασαν, τινὲς δὲ μελοποιὸν, καὶ τῶν ᾀδόντων χοροδιδάσκαλον. ἄλλοι δὲ τὸν μὲν Δαβὶδ εἶπον καὶ 2) τῦσδε τῦς ψαλμῦς εἰρηκέναι, τὸν δὲ Ἀσὰφ γεγραφέναι. 3) „ἡμεῖς δὲ, ὡς „πολλάκις εἰρήκαμεν, τῦς πάντας τὸν „μακάριον Δαβὶδ γεγραφέναι νενοήκα„μεν. καὶ γὰρ ὕτως ἔχει ὁ τῆς ἀλη„θείας λόγος.„ ἀλλὰ ταῦτα μὲν 4) ὡς βύλεταί τις δεχέσθω. ὐδὲ μία γὰρ 5) ἐντεῦθεν βλάβη τοῖς ὕτως ἢ ἐκείνως δεχομένοις 6) φυήσεται· ἡμεῖς δὲ τῦ ψαλμῦ τὴν διάνοιαν τῆς χάριτος φωταγωγύσης ποιησόμεθα δήλην. ἀπαχθεὶς ὁ λαὸς δορυάλωτος εἰς Βαβυλῶνα, πολλαῖς καὶ παντοδαπαῖς περιεκλύζετο συμφοραῖς. ὁρῶντες δὲ 7) τῦς Βαβυλωνίυς, δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶντας, ἐν εὐημερίᾳ καὶ εὐκληρίᾳ πολλῇ, σφᾶς δὲ αὐτῦς ἐν 8) δυσπραξίᾳ καὶ κακοπαθείᾳ, λογισμῦς περὶ τῆς θείας 9) ἀνεκίνυν προνοίας, ἐνθυμύμενοι καὶ λογιζόμενοι, τί δήποτε 10) παντελῶς δυσσεβῦντες τῶν μὲν ἀνιαρῶν 11) ὐδεμίαν λαμβάνυσι πεῖραν, εὐποτμίας δὲ ἀπολαύυσι πάσης, 12) ἐξ ὐρίων φερόμενοι. ταῦτα ἡ τῦ παναγίυ πνεύματος χάρις πόῤῥωθεν προορῶσα, ὠφέλειαν ἐκείνοις μηχανωμένη, καὶ μέντοι καὶ πᾶσιν ἀνθρώποις, τῦτον γέγραφε τὸν 13) ψαλμὸν, καὶ τῦς ἐκείνων σαφῶς ἐξαγγέλλυ-

INTERP. PSALMI LXXII.

1. Psalmus Asaph. Iam supra diximus, existimasse nonnullos, hunc Asaphum psalmos composuisse: alios, cantorem et cantantium chori magistrum fuisse. Aliis placet, Dauidem etiam hos psalmos dixisse, et Asaphum conscripsisse. „Nos vero, vt sæ„pius diximus, omnes Psalmos „a beato Dauide conscriptos „esse putamus: ita enim vere „res se habet.„ Hæc vero, vt voluerit, quisquis accipiat: quia nihil hinc detrimenti hoc vel illo modo accipientibus emerget. Ceterum nos diuina prælucente gratia psalmi sententiam exponemus. Populus Babylonem captiuus abductus, multis et variis calamitatibus agitabatur. Videntes autem Babylonios, cum impie et inique viuerent, in multa felicitate et prosperitate versari, seipsos vero aduersis rebus et calamitatibus affici: varias cogitationes de diuina prouidentia agitabant, mente voluentes, et ratiocinantes, quare nequissimi homines nullis calamitatibus tangantur, sed omni felicitate fruuntur secundis ventis delati. Hæc sancti Spiritus gratia præuidens, vt vtilitatem illis atque omnibus hominibus procuraret, hunc conscripsit psalmum, et illorum ratiocinationes palam enuntians,

1) ἤδη. Cod. 2. δή. 2) τῦσδε. Cod. 2. τύτυς. 3) E Cod. 1. 4) ὡς. Cod. 1. ᾗ. Cod. 2. εἰ. 5) ἐντεῦθεν. Cod. 1. ἐκ τύτυ. 6) φυήσεται. Cod. 1. γενήσεται. In Cod. sequitur: κρατείτω δὲ μᾶλλον ἡ τῶν πολλῶν ψῆφος, ὅτι τῦ μακαρίυ Δαβὶδ οἱ πάντες ψαλμοί. „Maneat autem potius multorum sententia, omnes Psalmos beati Dauidis esse.„ 7) τύς. Cod. 1. add. μέν. 8) Cod. 2. δυσπραγίᾳ. 9) Cod. 1. ἐκίνυν. 10) παντελῶς. Cod. 1. præm. οἱ. 11) ὐδεμίαν. Cod. 2. ὐ. 12) Cod. 1. ἐξ ὑρίων. 13) ψαλμόν. Cod. 1. add. διὰ τῦ μακαρίυ Δαβίδ.

tians, et quaesitorum solutionem afferens. Congruit igitur psalmi doctrina omnibus, qui similia ratiocinantur vel loquuntur. Veruntamen ex persona eorum formatur, qui in patriam reuersi erant, et mentis agitationem enarrabant. *Quam bonus Deus Israelis. Quam* non comparative posuit, sed vt excessum bonitatis ostenderet. Dicit autem, Deum quoque Israelis multam curam gerere. *His qui recto sunt corde.* Sed hoc non omnes sciunt, sed qui rectis et sanis cogitationibus vtuntur. Sic illis laudatis propriarum cogitationum agitationem patefacit. 2. *Pedes autem mei pene moti sunt.* Ego igitur fere a propria via abductus sum. *Pene effusi sunt gressus * mei.* Symmachus autem sic vertit: Propemodum soluta sunt ea quae fulciebant me. Periclitatus sum, inquit, ne exciderem a sanis et firmis cogitationibus, et perferrem maximum lapsum. Hoc enim significat, *Effusi sunt*, tanquam re effusa, et dissoluta, et subterfluente. *Pedes* autem et *gressus*, per translationem ratiocinationes vocat. Deinde causam aperit. 3. *Quia zelo exarsi super iniquos, pacem peccatorum videns.* Vrebar enim, videns homines impie et inique viuentes in pace, atque in multa felicitate. „ Videmus „ autem nunc etiam quosdam „ simili fere modo loquentes „ contra nonnullos qui in

σα λογισμοὺς, καὶ τῶν ζητουμένων τὴν λύσιν προσφέρουσα. ἁρμόττει μὲν οὖν 1) ἅπασιν ἡ τοῦ ψαλμοῦ διδασκαλία τοῖς τὰ τοιαῦτα 2) ἢ λογιζομένοις, ἢ φθεγγομένοις· ἐσχημάτισαι δὲ ὅμως, 3) ὡς ἐξ ἐκείνων ἐπανεληλυθότων μὲν, διηγουμένων δὲ τῆς διανοίας τὸ πάθος. 4) Ὡς ἀγαθὸς ὁ Θεὸς 5) τοῦ Ἰσραήλ. Τὸ ὡς, οὐ παραβολικῶς τέθεικεν, ἀλλὰ τῆς ἀγαθότητος δεικνὺς τὴν ὑπερβολήν. λέγει δὲ ὅτι πολλὴν 6) καὶ ὁ Θεὸς τοῦ Ἰσραὴλ ποιεῖται 7) κηδεμονίαν. τοῖς 8) εὐθέσι τῇ καρδίᾳ. ἀλλὰ τοῦτο οὐ πάντες ἴσασιν, ἀλλ' οἱ ὀρθοῖς καὶ ὑγιέσι χρώμενοι λογισμοῖς. οὕτως ἐκείνους ἐπαινέσας, τῶν οἰκείων λογισμῶν δημοσιεύει τὴν ζάλην. β'. Ἐμοῦ 9) δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. Ἐγὼ μέν τοι μικροῦ δεῖν τῆς 10) οἰκείας ἐξετράπην ὁδοῦ. 11) παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. ὁ δὲ Σύμμαχος οὕτως· παρ' οὐδὲν ἐλύθη τὰ ὑπορθοῦντά με. τῶν ὑγιαινόντων, φησὶ, καὶ ὑπερειδόντων ἐκπεσεῖν ἐκινδύνευσα λογισμῶν, καὶ ὄλισθον ὑπέμεινα ἂν μέγιστον. τοῦτο γὰρ τὸ ἐξεχύθη δηλοῖ, ὡς τοῦ ἐκχεομένου, διαλυομένου, καὶ ὑπορρέοντος· πόδας δὲ καὶ διαβήματα τοὺς λογισμοὺς καλεῖ τροπικῶς. εἶτα καὶ τὴν αἰτίαν λέγει. γ'. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. Ἐπυρπολούμην γὰρ, βλέπων τοὺς δυσσεβείᾳ καὶ 12) παρανομίᾳ συζῶντας ἐν εἰρήνῃ καὶ εὐποτμίᾳ πολλῇ. 13) „ὁρῶμεν δὲ καὶ νῦν τινὰς τὰ παραπλήσια „ἐκείνοις λέγοντας κατά τινων τῶν ἐν δυσ-

1) ἅπασιν. Cod. 1. καὶ πᾶσιν ἀνθρώποις. 2) ἤ. Abest a Cod. 1. 3) ὡς. Des. ibid. 4) Ὡς. Hebr. אך *profecto.* Symm. πλὴν ὄντως, omnino vere. 5) τοῦ. Praestat rec. lectio h. l. τῷ, quam etiam Cod. 1. tuetur. 6) καί. Abest a Cod. 2. 7) κηδεμ. Cod. 1. add. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πάντων τῶν εἰς αὐτὸν πιστευόντων: 8) εὐθ. τῇ καρδίᾳ. Hebr. לברי לבב *puris corde.* Symm. τοῖς καθαροῖς τὴν καρδίαν. 9) δέ. Cod. 1. λέγων. 10) οἰκείας. Cod. 1. εὐθείας. 11) παρ' — μου. Des. in Cod. 1. 12) παρανομ. Cod. 1. πονηρίᾳ. 13) E Cod. 1.

„ δυσσεβείᾳ καὶ πλεονεξίᾳ συζώντων, „ καὶ πλούτῳ καὶ δόξῃ, ὡς νομίζουσι, κα„ ταδυναστευόντων. „ δ΄. Ὅτι οὐκ ἔϛιν 1) ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν. Ὁ δὲ Ἀκύλας οὕτως· οὐκ εἰσὶ δυσπάθειαι τῷ θανάτῳ αὐτῶν· ὁ δὲ Σύμμαχος, οὐκ ἐνεθυμοῦντο περὶ 2) θανάτου αὐτῶν. οὐδὲ 3) γάρ φησιν ἐν κινδύνοις ἐξεταζόμενοι σφᾶς αὐτοὺς ἀπηγόρευον. καὶ ἡ ἀνάνευσις δὲ τὴν ἀπαγόρευσιν δηλοῖ. ἀπαγορεύειν γάρ τι βουλόμενοι ἀνανεύειν εἰώθαμεν. 4) καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν. πρὸς ὀλίγον αὐτοῖς φησὶ 5) πελάζει τὰ 6) λυπηρά. ε΄. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσί, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται. Κατὰ νοῦν αὐτοῖς 7) φησὶ τὰ πράγματα φέρεται, καὶ οὔτε πόνοις καὶ ταλαιπωρίαις, οὔτε παιδείαις περιβάλλονται τοῖς ἄλλοις ἀνθρώποις παραπλησίως. ϛ΄. Διὰ τοῦτο 8) ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία 9) εἰς τέλος· 10) περιεβάλοντο ἀδικίαν, καὶ ἀσέβειαν 11) ἑαυτῶν. 12) Ἐντεῦθεν εἰς ἀλαζονείαν καὶ τῦφον ἐπήρθησαν, καὶ δίκας ὑπὲρ τῶν προτέρων μὴ δεδωκότες ἁμαρτημάτων, εἰς πλείονα παρανομίαν ἐξώκειλαν. τὸ γὰρ περιεβάλοντο, τὸ πλῆθος τῆς ἀδικίας ἐδήλωσεν, ὡς πανταχόθεν 13) αὐτοὺς κυκλούσης. ζ΄. Ἐξελεύσεται ὡς ἐκ στέατος 14) ἡ ἀδικία αὐτῶν. Στέαρ, ὡς πολλάκις ἔφαμεν, τὴν εὐπάθειαν καὶ τὴν εὐκληρίαν 15) δηλοῖ.

„ impietate et auaritia viuunt, „ et gloria ac opibus, vt putant, in alios dominantur. „ 4. *Quia non est renutatio in morte eorum.* Aquila autem sic expressit, Non sunt ægritudines morti eorum. Symmachus vero, Non cogitabant de morte sua. Non enim, inquit, discriminibus agitati de seipsis desperabant. Porro significat *renutatio* denegationem: quia nos volentes aliquid negare, abnuere solemus. *Et firmamentum in plaga eorum.* Res tristes, inquit, perexiguo temporis spatio ipsis adhærent. 5. *In labore hominum non sunt, et cum hominibus non flagellabuntur.* Prospere et ex voto, inquit, res eorum feruntur, et neque laboribus, neque ærumnis, neque castigationibus cincti sunt aliorum hominum instar. 6. *Ideo tenuit eos superbia in finem, operti sunt iniquitate et impietate sua.* Hinc in superbiam et fastum elati sunt: et cum pœnas pro pristinis peccatis non dederint, in maiorem iniquitatem inciderunt. Hoc enim *operti sunt* multitudinem iniquitatis declarauit, vtpote quæ vndique ipsos circumdabat. 7. *Prodibit quasi ex adipe, iniquitas eorum.* *Adeps*, vt sæpius diximus, felicitatem et prosperitatem significat.

1) ἀνάνευσις — αὐτῶν. Hebr. חרצבות למותם *vincula ad mortem eorum vsque.* 2) θανάτου. Cod. 1. et 2. præm. τοῦ. 3) γάρ φησιν. Des. in Cod. 1. 4) καὶ — αὐτῶν. Hebr. ובריא אולם *et pingue* s. validum *est robur eorum.* 5) Cod. 2. προσπελάζει. 6) λυπηρά. Cod. 1. add. καὶ οὐδ᾽ οὕτως προσδέχεται αὐτά. „ et ne sic quidem afficiuntur illis. „ 7) φησί. Abest a Cod. 1. et 2. 8) ἐκράτησεν — τέλος. Hebr. ענקתמו גאוה *vt torques cinget eos superbia.* 9) εἰς τέλος. Additur in edit. *ald.* et *compl.* 10) περιεβάλοντο — ἑαυτῶν. Hebr. יעטף—שית חמס למו *teget* eos, velut *ornatus*, *violentia* quæ est *illis*, s. eorum. 11) Rec. lectio est αὐτῶν. Cod. 1. add. αἰεί. 12) Ἐντεῦθεν. Cod. 1. præm. *idi.* 13) Cod. 1. αὐτῆς. 14) ἡ ἀδικ. αὐτῶν. Hebr. עינמו *oculi eorum.* Aqu. et Symm. ὀφθαλμοὶ αὐτῶν. 15) δηλοῖ. Cod. 1. καλεῖ.

Ait igitur, eos qui in huiusmodi secundis rebus erant, magna cum licentia scelera perpetrasse. *Transierunt in affectum cordis,* 8. *Cogitauerunt, et locuti sunt nequitiam: iniquitatem in excelso locuti sunt.* 9. *Posuerunt in cælum os suum, et lingua eorum transiuit per terram.* Non satis autem fuit ipsis contra * homines iniuste agere, sed cælum etiam ipsum verbis et cogitationibus ausi sunt petere. Per hæc autem innuit blasphemias in Deum, conuitia in populum, et furores in diuinum templum. Hoc vero manifestius dixit in quadragesimo primo psalmo, Fuerunt mihi lacrymæ meæ panes die ac nocte, dum dicitur mihi quotidie, vbi est Deus tuus? 10. *Ideo reuertetur populus meus huc, et dies pleni inuenientur in eis.* Hæc propheticus sermo tanquam vniuersorum Deo dicente posuit, mœrentes consolans. Nam cum illi, inquit, in Deum blasphemiis vsi essent, et afflictionibus nos confecissent; bona de nobis Deus rerum omnium conditor decreuit, reuersionem promittens, et vitam naturæ præfixam. Et hinc patet, psalmum conuenire illis, qui iam reuersi erant, et ea quæ Babylone acciderunt narrabant. Dicit enim, *Ideo reuertetur populus meus huc,* hoc est, in Iudæam. Ibi igitur degentes *huc* dicunt. Nam iis, qui Babylone erant, nequaquam hoc congruit.

ὡς ἐν τοσαύτῃ τοίνυν, φησὶν, ὄντες εὐημερίᾳ, μεθ᾽ ἁπάσης ἀδείας τὴν ἀδικίαν 1) ἐτόλμησαν. 2) Διήλθοσαν εἰς διάθεσιν καρδίας. η'. 3) Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν. θ'. Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς. Οὐκ ἀπέχρησε δὲ αὐτοῖς ἡ κατὰ τῶν ἀνθρώπων ἀδικία, ἀλλὰ καὶ τὸν οὐρανὸν ἐτόξευσαν καὶ λόγοις, καὶ λογισμοῖς. αἰνίττεται δὲ διὰ τούτων τὰς κατὰ τοῦ Θεοῦ βλασφημίας, τὰς κατὰ τοῦ λαοῦ λοιδορίας, τὰς κατὰ τοῦ νεὼ τοῦ θείου παροινίας. τοῦτο δὲ σαφέστερον εἴρηκεν ἐν τῷ ΜΑ' ψαλμῷ. ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς, ἐν τῷ λέγεσθαί μοι καθ᾽ ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; ι'. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός 4) μου ἐνταῦθα, 5) καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς. Ταῦτα ὡς τοῦ Θεοῦ τῶν ὅλων εἰρηκότος, ὁ προφητικὸς τέθεικε λόγος, τοὺς ἀθυμοῦντας ψυχαγωγῶν· ἐκείνων γάρ φησι βλασφημίαις κατὰ τοῦ Θεοῦ χρησαμένων, καὶ κακοπαθείαις ἡμᾶς 6) ὑποβαλόντων, χρηστὰ περὶ ἡμῶν ὁ τῶν ὅλων Θεὸς ἐψηφίσατο, τὴν ἐπάνοδον ὑποσχόμενος, καὶ ζωὴν τὴν ὡρισμένην τῇ φύσει. καὶ ἐντεῦθεν δῆλον, ὡς τοῖς ἐπανελθοῦσιν ἤδη, καὶ τὰ ἐν Βαβυλῶνι συμβεβηκότα διηγουμένοις, ἁρμόδιος ὁ ψαλμός. ἔφη γὰρ, διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, τουτέστιν εἰς τὴν Ἰουδαίαν. 7) ἐκεῖ τοίνυν διάγοντες, τὸ ἐνταῦθα λέγουσι· τοῖς ἐν Βαβυλῶνι γὰρ οὐδαμῶς τοῦτο κατάλληλον.

1) Cod. 2. ἐτόλμων. 2) Διήλθοσαν — καρδίας. Hebr. עברו משכיות לבב *transgrediuntur cogitationes cordis*, s. ardua quæuis moliuntur. Rec. lectio διῆλθον. 3) Διενοήθησαν. Hebr. ימיקו *Contabescere faciunt* sc. alios. 1. καταμωκώμενοι, *deridentes.* 4) μου. Hebr. עמו *populus eius.* 5) καὶ ... τοῖς. Hebr. ומי מלא ימצו למו *et aquæ pleni* sc. calicis *exsugen-* b *illis.* 6) Cod. 2. περιβαλόντων. 7) ἐκεῖ. Cod. 1. præm. ὡς.

λλον. ἡμέρας δὲ πλήρεις, τὸ γῆρας ἐκάλεσεν. ἀντὶ τοῦ, 1) καὶ ἐπανήξουσι, καὶ μέχρι γήρως βιώσονται· οὕτω τοῦ Θεοῦ τὴν ὑπόσχεσιν δείξας, πάλιν εἰς τὴν διήγησιν ἐπανῆλθε τῆς τε τῶν Βαβυλωνίων βλασφημίας, καὶ τῆς τῶν λογισμῶν ταραχῆς. ια΄. Καὶ εἶπον, πῶς ἔγνω ὁ Θεός; καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ; 2) Ὁ δὲ Σύμμαχος, σαφέστερον· οἱ 3) δὲ ἔλεγον, πῶς ἔγνω ὁ Θεός; 4) εἰ ἔστιν ἐπίγνωσις 5) τῷ ὑψίστῳ; ὁ μὲν γὰρ Θεός φησιν ἐκεῖνα ὑπέσχετο· οὗτοι δὲ παρ' ἑαυτοῖς ἐλογίζοντο, μήτε ἐφορᾶν τὸν Θεόν, μήτε τι τῶν γινομένων εἰδέναι. εἶτα δείξας διὰ τούτων τὴν ἐκείνων ἀσέβειαν, 6) τοὺς οἰκείους ἐκφέρει λογισμούς. ιβ΄. Ἰδοὺ οὗτοι ἁμαρτωλοί, καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον 7) πλοῦτον. Παρανομίᾳ συζῶντες ἀφθόνως ἀπολαύουσι τῶν ἀγαθῶν, καὶ ἄτρεπτον ἔχουσι τὴν εὐκληρίαν· τὸ γὰρ εἰς τὸν αἰῶνα κατὰ τὸν παρόντα βίον 8) λέγει· πολλάκις γὰρ καὶ τὴν τοῦ ἀνθρώπου ζωὴν αἰῶνα καλεῖ· ὁ αἰὼν γὰρ ἡμῶν, 9) φησίν, εἰς φωτισμὸν τοῦ προσώπου σου. ιγ΄. 10) Καὶ εἶπα, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν 11) μου; Ἐγὼ δὲ ὁρῶν αὐτοὺς εὐωχουμένους, καὶ ἐπὶ πλούτῳ βρενθυομένους, ἐνεθυμούμην μὴ ἀκερδὴς ἄρα τῆς δικαιοσύνης ἡ κτῆσις; καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου. 12) τοιγαροῦν ἐκέρδανά φησι, πόρρω τῶν 13) πονηρίᾳ συζώντων 14) γενόμενος· τὸ γὰρ ἐνιψάμην ἐν ἀθῴοις, ἀντὶ τοῦ, ἀθῷον ἐμαυτὸν ἐφύλαξα, 15) καὶ 16) οὐ κε-

Dies autem plenos senectutem vocauit: quasi dicat, et redibunt, et ad senium vsque vitam propagabunt. Ita postquam Dei promissiones ostendit, ad eandem narrationem reuertitur de Babyloniorum blasphemiis, et de tumultu cogitationum. 11. *Et dixerunt, quomodo scit Deus? et num est scientia in Altissimo?* Symmachus magis dilucide interpretatus est, Hi vero dixerunt, Quomodo scit Deus? et num est scientia Altissimo? Deus enim, inquit, illa promisit: hi vero apud se ipsos opinati sunt, Deum neque obseruare, neque quæ fiunt perspicere. Deinde cum illorum impietatem per hæc demonstrasset; proprias cogitationes in medium profert. 12. *Ecce ipsi peccatores abundantes in sæculo, obtinuerunt diuitias.* Homines impie viuentes affatim bonis fruuntur, et firmam habent felicitatem. *In sæculum* enim secundum præsentem vitam dicit, et hominis vitam *sæculum* sæpe nuncupat: Sæculum enim nostrum, inquit, a) in illuminatione vultus tui. 13. *Et dixi, ergo sine caussa iustificaui cor meum?* Ego autem videns illos epulantes, et * diuitiis elatos, animo voluebam, numquid iustitiæ possessio inanis est? *Et laui inter innocentes manus meas.* Lucratus sum igitur, ait, cum longe recederem ab iis, qui vitiis dediti sunt. Illud enim *Laui inter innocentes*, idem est quod innocentem me ipsum custodiui, et malo-

1) καί. Abest a Cod. 2. 2) Ὁ — σαφέστερον. Des. in Cod. 2. 3) δέ. Cod. 1. add. φησί. 4) εἰ. Cod. 1. præm. καί. 5) τῷ. Cod. 1. præm. ἐν. 6) τοὺς — λογισμούς. Cod. 1. πάλιν διὰ τῶν ἑξῆς τοὺς τῶν ἀνδραποδιωδέστων ἐκφέρει λογισμούς. 7) Cod. 1. πλούτου, quæ est rec. lectio h. l. 8) λέγει. Abest a Cod. 2. 9) φησίν. Abest a Cod. 1. 10) Καὶ εἶπα. Des. in Textu hebr. 11) μου. Abest a Cod. 1. 12) τοιγαροῦν. Cod. 1. et 2. τί γάρ. 13) πονηρίᾳ. Cod. 1. præm. ἐν. 14) Cod. 1. γεγενημένος. 15) καί. Abest a Cod. 1. 16) Cod. 2. οὐκ ἐκοινώνησα.

a) Ps. 89, 8.

malorum minime particeps fui. 14. *Et fui flagellatus toto die, et castigatio mea in matutinis.* Porro cum de iustitia curam geram, et flagitiorum communionem fugiam, crucior, et quotidie grauibus iniuriis afficior. 15. *Si dicebam, narrabo sic, ecce generationi filiorum tuorum pacta violasti.* Derelictis, inquit, aliis cogitationibus, hoc mecum ipse mente reuolui, numquid Deus pacta violauerit, quæ nobiscum inierat? Hoc enim *pacta violasti* significat, numquid pacta conuenta transgressus es? *Filios* autem vocant se ipsos, vtpote quos Deus sic nominauit, *a)* Filius meus primogenitus Israel, Et *b)* filios genui et exaltaui. 16. *Et existimabam vt cognoscerem: hoc labor est ante me.* 17. *Donec intrarem in sanctuarium Dei, et intelligerem nouissima eorum.* Verum, inquit, cum illas cogitationes dereliquissem, considerabam, multis laboribus et ærumnis me affecisse Deum, vt peccatorum pœnas exigeret: redibo tamen, et sanctum eius templum intuebor, et malum horum finem videbo. Deinde per diuinam gratiam hoc edocetur. 18. *Veruntamen propter dolos posuisti eis mala:*

κοινώνηκα τοῖς κακοῖς. ιδ´. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου 1) εἰς τὰς πρωΐας. Ἐπιμεληθεὶς δικαιοσύνης, καὶ τῆς κακίας τὴν κοινωνίαν φυγὼν, καὶ αἰκίζομαι, καὶ παροινοῦμαι καθ᾿ ἑκάστην ἡμέραν. ιε´. Εἰ ἔλεγον, διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου 2) ἠσυνθέτηκας. Τοὺς ἄλλους, φησὶ, καταλιπὼν λογισμοὺς, τοῦτο παρ᾿ ἐμαυτῷ ἐνεθυμούμην· μὴ ἄρα τὰς πρὸς ἡμᾶς συνθήκας διέλυσεν ὁ Θεός; τὸ γὰρ 3) ἠσυνθέτηκας, ἀντὶ τοῦ, 4) ἢ παρέβης τὰς συγκειμένας συνθήκας; υἱοὺς δὲ καλοῦσιν ἑαυτοὺς, ὡς τοῦ Θεοῦ τοῦτο αὐτοὺς 5) ὀνομάσαντος· υἱὸς πρωτότοκός μου Ἰσραὴλ, καὶ υἱοὺς ἐγέννησα καὶ ὕψωσα. ις´. Καὶ ὑπέλαβον τοῦ γνῶναι· τοῦτο κόπος ἐστὶν 6) ἐνώπιόν μου. ιζ´. Ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ· 7) καὶ συνῶ εἰς τὰ ἔσχατα 8) αὐτῶν. Ἀλλ᾿ ἐκείνους, φησὶ, καταλιπὼν τοὺς λογισμοὺς, ἐσκόπουν, ὅτι κόποις με καὶ ταλαιπωρίαις συνεκλήρωσεν ὁ Θεὸς, δίκας τῶν πεπλημμελημένων 9) εἰσπραττόμενος· ἐπανήξω δὲ ὅμως, καὶ τὸν ἡγιασμένον αὐτοῦ νεὼν ὄψομαι, καὶ τὸ κακὸν 10) τούτων θεωρήσω τέλος. εἶτα διὰ τῆς θείας 11) τοῦτο προδιδάσκεται χάριτος. ιη´. Πλὴν 12) διὰ τὰς δολιότητας 14) αὐτῶν ἔθου αὐτοῖς 13) κακά·

κατέ-

1) εἰς τὰς πρωΐας. Hebr. לבקרים *quouis matutino tempore.* Symm. καθ᾿ ἕκαστον ὄρθρον. 2) Cod. 2. ἢ συνθέτηκας. Sed præstat recepta lectio h. l. ἠσυνθέτηκας. Hebr. בגדתי. 3) Cod. 2. iterum ἢ συνθέτηκας. 4) ἢ. Abest a Cod. 1. et 2. 5) ὀνομ. Cod. 2. καλέσαντος. 6) ἐνώπιον. Rec. lectio est ἐναντίον. 7) καί. Abest a Textu τῶν ό. 8) αὐτῶν. Additur in edit. *ald.* et *compl.* 9) Cod. 1. et 2. πρωττόμενος. 10) τούτων. Cod. 1. τῶν ἀνδραποδισάντων. Cod. 2. τοῦτο. 11) τοῦτο. Cod. 1. præm. ὁ προφήτης. 12) διὰ — κακά. *Hebr.* in lubricis locis posuisti eos. *Symm.* ἐν ὀλίσθῳ ἔταξας αὐτούς. 13) αὐτῶν. Exstat tantum in edit. *ald.* et *compl.* 14) κακά. Hoc additamentum etiam habent edit. *ald.* et *compl.*

a) Exod. 4, 22. *b)* Ies. 1, 2.

1) κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.
ιθ΄. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα
ἐξέλιπον· ἀπώλοντο 2) διὰ τὴν ἀνομίαν
αὐτῶν. κ΄. Ὡσεὶ ἐνύπνιον 3) ἐξεγει-
ρομένων. Ταῦτα 4) πάντα ἐπὶ τοῦ
Κύρου Βαβυλωνίοις συνέβη· ἐκείνους μὲν
γὰρ 5) ἐξανδραποδίσας κατεδουλώσατο,
Ἰουδαίοις δὲ τὴν ἐπάνοδον ἐδωρήσατο. εἰ-
κότως δὲ αὐτῶν ὀνείρῳ τὴν εὐημερίαν
ἀπείκασεν· οὐδὲν γὰρ ἐνυπνίου διενήνο-
χεν ἡ τοῦ παρόντος 6) βίου 7) σκηνή·
8) καὶ τοῦτο καὶ ἐξ αὐτῶν τῶν Βαβυλω-
νίων ῥᾴδιον κατιδεῖν. οἱ γὰρ πρὸ βρα-
χέος ἀλαζονευόμενοι, καὶ βρενθυόμενοι,
ὡς τῆς οἰκουμένης ἁπάσης κεκρατηκό-
τες, τὴν μὲν δυναστείαν ἐξαίφνης ἀπέ-
βαλον, εἰς ἐσχάτην δὲ δουλείαν 9) μετέ-
πεσον. Κύριε ἐν τῇ πόλει 10) σου τὴν εἰ-
κόνα αὐτῶν 11) ἐξουδενώσεις. 12) ἡ εἰκὼν
πρόσκαιρον ἔχει τὸ ἄνθος· εἰκόνι τοίνυν
ἀπεικάζει τῶν Βαβυλωνίων τὴν δυνα-
στείαν, 13) εἰς ὀλίγον ἀρκέσασαν χρόνον·
ταύτην δέ φησι σὺ ἐξουδενώσεις, τῆς εἰς
τὴν σὴν πόλιν δυσσεβείας 14) εἰσπραττ-
όμενος 15) δίκας. κα΄. Ὅτι 16) ἐξεκαύ-

deiecisti eos dum alleuarentur.
19 Quomodo facti sunt in desola-
tionem? subito defecerunt, perie-
runt propter iniquitatem suam.
20. Veluti somnium surgentium.
Hæc omnia Cyri tempore Babylo-
niis acciderunt. Illos enim capti-
uos abductos in seruitutem rede-
git, Iudæis vero reditum largitus
est. Merito autem eorum felici-
tatem somnio comparauit: quan-
doquidem scena præsentis vitæ
ab insomnio nihil differt. Et hoc
ex ipsis Babyloniis facile perspici
potest. Qui enim paulo ante
elati et superbi erant, tanquam
toti terrarum orbi imperantes,
potentiam repente amiserunt, et
in extremam seruitutem incide-
runt. *Domine in ciuitate tua
imaginem * ipsorum ad nihilum*
rediges.* Imago breue ad tem-
pus florem retinet. Imagini er-
go Babyloniorum potentiam æqui-
parat, breui tempore duraturam.
Hanc autem, inquit, tu ad nihi-
lum rediges, pœnas impietatis
exigens, qua contra ciuitatem
tuam vsi sunt. 21. *Quon-
iam inflammatum est cor*

 meum.

1) κατέβαλες — ἐπαρθ. *Hebr.* cadere fecisti eos in deuastationes. *Symm.* κατέβαλες αὐτοὺς εἰς ἀφανισμούς. 2) διὰ — αὐτῶν. Hebr. מִן־בַּלָּהוֹת *prae terroribus.* 3) Rec. lectio, quam Cod. 2. habet, est ἐξεγειρομένου. Hebr. מֵהָקִיץ *ab euigilando*, s. postquam euigilauit aliquis. 4) πάντα. Cod. 1. et 2. præm. δέ. 5) Cod. 2. ἐξανδραποδισάμενος. 6) βίου. Cod. 2. αἰῶνος. 7) σκηνή. Cod. 1. add. καὶ τοῦτο ἂν ἴδοι τις μέχρι νῦν καὶ παντὸς τοῦ βίου. „ Idem quoque viderit aliquis ad hoc vsque tempus et per vniuersam vitam. „ 8) καὶ τοῦτο. Cod. 1. τοῦτο δέ. 9) μετέπεσον. Cod. 1. add. ὡς καὶ μέχρι νῦν καὶ ἠκούσαμεν καὶ εἴδομεν καὶ βλέπομεν τινας τοῖς αὐτοῖς περιπεπτωκότας. „ Vt ad hoc vsque tempus audiuimus et vidimus, immo adhuc videmus nonnullos qui in eadem mala inciderunt. 10) σου. Abest a Textu hebr. 11) ἐξουδ. Hebr. תִּבְזֶה *spernes.* 12) ἡ εἰκών. Cod. 1. præm. λέγει δὲ ὅτι. 13) εἰς. Cod. 1. ὡς. 14) Cod. vterque πραττόμενος. 15) δίκας. Cod. 1. add. ὅτι δὲ καὶ πολλοὶ ὡς ἐνόμισαν μέχρι τοῦ οὐρανοῦ αὐτοῦ κορυβαντιάσαντες ἀθρόως ἀπώλοντο, καὶ ἡ δόξα αὐτῶν εἰς ἀνυπαρξίαν ἐχώρησεν, πολλοῖς πού δῆλον. „ Multos vero, qui, vt putabant, contra ipsum adeo cælum insaniebant, celerrime periisse, eorumque gloriam ad nihilum redactam esse, inter multos constat. „ 16) ἐξεκαύθη. Ita habent edit. *ald.* et *compl.* Rec. lectio est ἐπυρώθη. *Hebr.* Cum exasperaret sese cor meum.

meum. Hæc, inquit, cogitabam, cum ab illorum iniquitate accensus essem. Resumsit enim exordium, Quia zelo exarsi super iniquos: et quod ibi *zelum* vocauit, *cordis ardorem* hoc loco nominat. *Et renes mei commutati sunt.* *Renes*, vt sæpissime dixi, cogitationes vocat. Pias, inquit, cogitationes habens, fere ob illorum insolentiam a recto tramite deflexi. 22. *Et ego ad nihilum redactus sum, et nesciui.* Hoc manifestius Symmachus dixit: Imperitus autem eram, et ignorans. Hoc vitio laborabam ob ignorantiam, quod tua iudicia non nossem. *Vt iumentum factus sum apud te.* 23. *Et ego semper tecum.* Sed non amplius hoc patiar, neque feram aliquid indagare, vel curiosius inquirere eorum, quæ a tua sapientia administrantur, sed instar iumenti tuos nutus sequar: sic enim a tua prouidentia non diuellar. Nam vt iumentum ducentem sequitur, non curiose exquirens quo ducatur: sic a tua gratia gubernatus sequar et ego, in prouidentiam tuam non curiose inquirens. *Tenuisti manum dextram meam.* 24. *Et in voluntate tua deduxisti me, et cum gloria suscepisti me.* Hisce ea dicit quæ circa reditum acciderunt. Vt beneuolus pater errantem filium inueniens, eum dextera eius apprehensa, domum reducit: sic tu in pa-

θη ἡ καρδία μου. Ταῦτά φησιν ἐλογιζόμην, ὑπὸ τῆς ἐκείνων παρανομίας πυρποληθείς· ἀνέλαβε γὰρ τὸ προοίμιον, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, καὶ ὅπερ ἐκεῖ ζῆλον ἐκάλεσε, τῦτο ἐνταῦθα καρδίας ἔκκαυσιν. 1) καὶ οἱ νεφροί μου ἠλλοιώθησαν. 2) νεφροὺς, ὡς πολλάκις ἔφην, τὲς λογισμοὺς ὀνομάζει. εὐσεβεῖς, φησὶν, ἔχων τοὺς λογισμοὺς, μικροῦ δεῖν ἐξετράπην διὰ τὴν ἐκείνων ἀλαζονείαν. κβ'. Κἀγὼ 3) ἐξουδενωμένος, καὶ οὐκ ἔγνων. Τοῦτο σαφέστερον ὁ Σύμμαχος εἴρηκεν· 4) ἤμην δὲ ἀνεπιστήμων, καὶ μὴ 5) εἰδώς· τῦτο τὸ πάθος ἔπαθον ἐξ ἀγνοίας, ὐκ εἰδώς σε τὰ κρίματα. Κτηνώδης 6) ἐγενήθην παρὰ σοί. κγ'. Κἀγὼ διὰ παντὸς μετὰ σοῦ. Ἀλλ' οὐκ ἔτι τοῦτο πείσομαι, οὐδὲ ζητῆσαί τι 7) ἢ περιεργάσασθαι τῶν ὑπὸ τῆς σῆς σοφίας οἰκονομουμένων ἀνέξομαι· ἀλλὰ κτήνει παραπλησίως, τοῖς σοῖς 8) ἕψομαι νεύμασιν. ὕτω γὰρ τῆς σῆς προνοίας οὐ χωρισθήσομαι. καθάπερ γὰρ τὸ κτῆνος ἀκολουθεῖ τῷ ἄγοντι, μὴ περιεργαζόμενον 9) ἥπερ ἂν ἄγηται· οὕτως ὑπὸ τῆς σῆς κυβερνώμενος χάριτος, ἀκολυθήσω κἀγὼ, μὴ πολυπραγμονῶν σου τὴν πρόνοιαν. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου. κδ'. 10) Καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ 11) μετὰ δόξης προσελάβου με. Ἐντεῦθεν 12) τὰ καὶ τὰ τὴν ἐπάνοδον 13) λέγει, ὅτι καθάπερ πατὴρ ἤπιος παῖδα πεπλανημένον εὑρὼν, τῆς τούτου λαβόμενος δεξιᾶς, εἰς τὴν οἰκίαν ἐπανάγει· ὕτω με εἰς τὴν πατρῴαν

1) καὶ — ἠλλοιώθησαν. *Hebr.* et in renibus meis exacuerem me, s. acerbos dolores excitarem mihi. 2) νεφρὰς. Cod. 1. add. δὲ. 3) ἐξουδεν. Hebr. בער *brutus.* 4) ἤμην. Cod. 1. εἰμί. 5) εἰδώς. Cod. 1. add. φησί, quod in Cod. 2. post τῦτο sequitur. 6) Rec. lectio est ἐγενόμην. 7) ἢ. Cod. 1. καί. 8) Cod. 1. ἐφέψομαι. 9) ἥπερ ἂν ἄγηται. Cod. 1. ὅπουπερ ἄγηται. Cod. 2. ὗ περιάγεται. 10) Καί. In edit. *ald.* et *compl.* insertum. 11) μετὰ δόξης. Hebr. ואחר כבוד *et postea gloria.* Symm. ὕστερον τιμή. 12) τά. Abest a Cod. 2. 13) λέγει. Cod. 1. add. ὁ λαός.

τρέφαι ἐπανήγαγες γῆν, τῆς μὲν δουλείας ἐλευθερώσας, ῥᾳδίαν δέ μοι τὴν διὰ τῶν ἐθνῶν διάβασιν χαρισάμενος, 1) εὐκλεᾶ τε καὶ ἔνδοξον ἀπέφηνας. κέ. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, 2) καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; Ὁ δὲ Ἀκύλας, σαφέστερον· 3) τίς μοι ἐν τῷ οὐρανῷ; καὶ μετὰ σοῦ οὐκ ἠβουλήθην ἐν τῇ γῇ. 4) ἐρωτηματικῶς τέθεικεν ἀντὶ τοῦ, ὑπάρχει μοι ἐλπὶς ἐν τῷ οὐρανῷ. προσεδόκησα φησὶ καὶ προσδοκῶ εὐμενῆ σέ μοι γενέσθαι 5) ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. οὔτε γὰρ ἐν τῷ οὐρανῷ ἄλλον τινὰ ἔχω Θεὸν καὶ κηδεμόνα πλὴν σου, οὔτε μὴν ἐν τῇ γῇ ἕτερόν 6) σοι συντάττω, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ σε οἶδα Θεόν. „7) εἴρηται μάλιστα „καὶ ταῦτα ἐκ προσώπου τῶν ἐξ ἐθνῶν „πεπιστευκότων τῷ σωτῆρι· λέγει δὲ, ὅτι„ καὶ τὴν σὴν ἀσπάζομαι δεσποτείαν. κϛ́. Ἐξέλιπεν ἡ καρδία μου, καὶ ἡ σάρξ μου· Τούτου χάριν, σὲ ποθῶ καὶ 8) διψῶ, καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα, καὶ τὴν σὴν προσμένω βοήθειαν. 9) ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα. 10) σὲ γὰρ ἔχω καὶ μερίδα καὶ κλῆρον, καὶ ἀπόλαυσιν ἀγαθῶν. κζ΄. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. Οἱ δὲ πόῤῥω σφᾶς αὐτοὺς τῆς σῆς ποιοῦντες κηδεμονίας, καὶ εἰδώλοις λατρεύειν αἱρούμενοι, καρπὸν 11) ἕξουσι τῆς ἀποστάσεως ὄλεθρον. πορνείαν γὰρ ἐνταῦθα τὴν εἰδωλολατρείαν καλεῖ. οὕτω καὶ διὰ

trium solum reduxisti me, cum a seruitute me liberasses, et facilem per gentes transitum largitus esses, gloriosumque et illustrem me reddidisti. 25. *Quid enim mihi est in cælo, et a te quid volui super terram?* Aquila clarius, Quis mihi est in cælo? et tecum in terra nolui. Interrogatione vsus est, quasi diceret, Spes mihi suppetit in cælo. Exspectaui, inquit, et exspecto, vt mihi beneuolus sis in cœlo et in terra. Neque enim in cælo quemquam alium habeo Deum et protectorem præter te: neque in terra alterum * tibi æquiparo. Sed et in cælo, et in terra te Deum noui. „ Hæc etiam inprimis dicta sunt „ ex persona eorum qui e Gen„ tilibus crediderunt in Saluato„ rem. Dicit vero: „ tuum quoque imperium amplector. 26. *Defecit cor meum, et caro mea.* Idcirco te desidero, et sitio, et secundum animam, et secundum corpus, et tuam opem exspecto. *Deus cordis mei, et pars mea, Deus in æternum.* Te enim et partem habeo, et hereditatem, et bonorum fructum. 27. *Quia ecce, qui elongant se a te peribunt: perdidisti omnes qui fornicantur abs te.* Qui autem se ipsos longe remotos a tua cura fecerunt, et idolis seruire decreuerunt, fructum defectionis interitum habebunt. *Fornicationem* enim hîc idolorum cultum vocat. Sic et per

 Iere-

1) Leg. esse videtur vel εὐκλέα, vel εὐκλεῆ. 2) καὶ — γῆς. *Hebr.* et præter te non delector alio quodam in terra. 3) τίς — γῇ. Eodem fere modo hæc interpretatus est *Symmachus*, cuius versionem vide apud MONTF. in Hexapl. ad h. l. 4) ἐρωτηματικῶς — ἐπὶ τῆς γῆς. Des. in Cod. 2. 5) ἐν οὐρανῷ. Des. in Cod. 1. 6) σοι. Abest a Cod. 2. 7) E Cod. 1. 8) διψῶ. Cod. 2. præm. εἰ. 9) ὁ Θεός. Hebr. צוּר *petra.* 10) σὲ γάρ. Cod. 1. λέγει δὲ ὅτι σὲ ἔχω. 11) Cod. vterque ἔχουσι.

Ieremiam Deus dicit: *a)* Abiit ad omnem montem excelsum, et sub omni ligno frondoso, et fornicata est ibi, et dixi, cum fornicata esset in his omnibus, Ad me reuertere, et non est reuersa. Et rursus: *b)* Mœchata est cum lapide et ligno; quasi diceret, Cum me sponsum dereliquisset, Deos qui non sunt coluit. Et hîc igitur *fornicationem* idolorum cultum nuncupauit. Hoc autem non de Babyloniis dixit, sed de his, qui propter impietatem in seruitutem abducti erant. Hi enim Deum sponsum habentes fornicati sunt, cum dæmonum seruitutem amplexi essent. Verum suo periculo sapere edocti, exclamant. 28. *Mihi autem adhærere Deo, bonum est, ponere in Deo spem meam.* Rebus enim ipsis edoctus a Deo, qui saluauit me, nunquam diuellar: et spe in ipsum fixa corroborabor. *Vt annunciem omnes laudes tuas in portis filiæ Zion.* Per hanc enim spem reuersionem consecutus sum, et tua mirabilia in Hierosolyma prædico. Hanc enim *filiam Zion* nuncupauit. Nam vt filios hominum homines vocat, sic filiam Zion Zionem nominat. Geminum vero nomen illa ciuitas habebat: eadem enim a sacris literis Zion et Hierosolyma vocatur.

τοῦ Ἱερεμίου φησὶν ὁ Θεός, ἐπορεύθη ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ 1) ἐπόρνευσεν ἐκεῖ· καὶ εἶπον μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα, πρός με ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψε. καὶ πάλιν· 2) καὶ ἐμοίχευσε τὸ ξύλον, καὶ τὸν λίθον· ἀντὶ τοῦ, ἐμὲ τὸν νυμφίον καταλιποῦσα, ἐλάτρευσε τοῖς μὴ οὖσι Θεοῖς· καὶ ἐνταῦθα τοίνυν πορνείαν τὴν 3) τῶν εἰδώλων λατρείαν ἐκάλεσε. τοῦτο μέντοι οὐ περὶ Βαβυλωνίων εἴρηκεν, ἀλλὰ περὶ τῶν διὰ τὴν ἀσέβειαν αἰχμαλώτων γεγενημένων. οὗτοι γὰρ τὸν Θεὸν ἐσχηκότες νυμφίον, ἐξεπόρνευσαν, τῶν δαιμόνων ἀσπασάμενοι τὴν δουλείαν· ἀλλὰ τῇ πείρᾳ σωφρονεῖν διδαχθέντες βοῶσιν. κη'. Ἐμοὶ δὲ 4) τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου. Δι' αὐτῶν γὰρ τῶν πραγμάτων τὴν πεῖραν λαβὼν, ἀχώριστος ἔσομαι τοῦ σεσωκότος Θεοῦ, καὶ τῇ εἰς αὐτὸν ἐλπίδι βεβαιωθήσομαι. τοῦ ἐξαγγεῖλαί 5) με πάσας τὰς 6) αἰνέσεις σου, 7) ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. διὰ ταύτης γὰρ τῆς ἐλπίδος τῆς ἐπανόδου τετύχηκα, καὶ τὰς σὰς ἐν τῇ Ἱερουσαλὴμ ἐξηγοῦμαι θαυματουργίας· ταύτην γὰρ ὠνόμασε θυγατέρα Σιών. ὥσπερ γὰρ υἱοὺς ἀνθρώπων τοὺς ἀνθρώπους καλεῖ, οὕτω θυγατέρα Σιὼν τὴν Σιὼν ὀνομάζει. διώνυμος δὲ ἦν ἡ πόλις· ἡ γὰρ αὐτὴ 8) Σιὼν καὶ Ἱερουσαλὴμ ὑπὸ τῆς θείας καλεῖται γραφῆς.

ΕΡΜΗΝ.

1) Cod. 2. ἐπόρνευσεν. 2) καί. Def. in Cod. 2. 3) τῶν εἰδ. λατρ. Cod. 1. εἰδωλολατρείαν. 4) τὸ — Θεῷ. Hebr. קרבת אלהים propinquitatem Dei. 5) με. Insertum in edit. *ald.* et *compl.* 6) αἰνέσεις σου. *Hebr.* omnia opera tua. MONTF. in Hexapl. ad h. l. aliam τῶν ὀ. interpretationem affert, quæ hæc est, τὰς ἐπαγγελίας σου, et ex *Aquilæ* versione ἀγγελίας σου orta esse videtur. Conf. HIERON. Epist. ad *Sun.* et *Fret.* 7) ἐν — Σιών. Def. in Textu hebr. 8) Σιών. Cod. 2. præm. καί.

a) Ier. 3, 6. 7. *b)* Ibid. v. 9.

ΕΡΜΗΝ. ΤΟΥ ογ' ΨΑΛΜΟΥ.

α'. Συνέσεως τῷ Ἀσάφ. Τὴν ἐσομένην τῆς Ἱερουσαλὴμ πανωλεθρίαν ὁ προφητικὸς προθεσπίζων λόγος, 1) ἐπιστῆναι καὶ συνιέναι κελεύει τοῖς ἐντυγχάνουσι τοῦ ψαλμοῦ 2) τὴν διάνοιαν. τινὲς μέντοι τοῖς ὑπὸ Ἀντιόχου τοῦ ἐπιφανοῦς γεγενημένοις προσήρμοσαν τὸν ψαλμὸν, οὔτε τῇ ἱστορίᾳ προσεσχηκότες, οὔτε τοῦ ψαλμοῦ τὴν προφητείαν ἀκριβῶς νενοηκότες· ὁ μὲν γὰρ ψαλμὸς ἐμπρησμὸν 3) λέγει τοῦ θείου νεὼ, καὶ κατάλυσιν οἰκιῶν, καὶ πόρθησιν τῆς πόλεως παντελῆ· ταῦτα δὲ ὑπὸ Ἀντιόχου γεγενῆσθαι παρὰ τῆς ἱστορίας 4) οὐ μεμαθήκαμεν. οὔτε μὴν τῇ Βαβυλωνίων ἁρμόττει πολιορκίᾳ· προφήτας γὰρ εἶχον τηνικαῦτα πολλοὺς, τὸν Ἱερεμίαν, Οὐρίαν τὸν 5) Σαμαίου, τὸν Ἰεζεκιὴλ, Δανιήλ. ὁ δὲ ψαλμός φησιν· οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι· εἰ δὲ μήτε Βαβυλωνίοις, μήτε 6) Μακεδόσιν ἁρμόττει, δῆλον ὅτι τὴν ὑπὸ Ῥωμαίων ἐπενεχθεῖσαν αὐτοῖς πανωλεθρίαν 7) προαγορεύει, μεθ' ἣν οὐδεμιᾶς ἀνακλήσεως ἔτυχον, τῆς κατὰ τοῦ 8) σωτῆρος ἀσεβείας τίνοντες δίκας. θαυμάσαι δὲ ἄξιον τὴν 9) ἄῤῥητον ἀγαθότητα τοῦ Δεσπότου· ὅτι καὶ προειδὼς αὐτῶν 10) ἀκριβῶς τὴν ἀπείθειαν, τῇ προφητείᾳ τῶν ἐσομένων κακῶν ἀποτρέπειν τῆς ἀσεβείας πειρᾶται. δηλοῖ δὲ ὅμως καὶ αὐτὸ τοῦ ψαλμοῦ τὸ προοίμιον, ὡς ταύτην ἡ πρόῤῥησις τὴν ὑπόθεσιν 11) ἔχει. Ἱνατί ὁ Θεὸς ἀπώσω εἰς τέλος; Οὔτε γὰρ, ὡς ἐπὶ Βαβυλωνίων, τῇ δουλείᾳ τὸν ἑβδομηκοντούτην ὥρισας χρό-

INTERP. PS. LXXIII.

1. *Intellectus Asapho.* Futuram Hierosolymae perniciem propheticus sermo vaticinans, * iubet vt qui hunc psalmum audiunt, perdiscant et intelligant psalmi sententiam. Nonnulli igitur iis, quae tempore Antiochi illustris acciderunt, psalmum accommodarunt, neque ad historiam attendentes, neque psalmi vaticinationem accurate perpendentes. Quandoquidem psalmus de diuini templi incendio, domorum euersione ciuitatisque integra vastatione loquitur: haec vero ab Antiocho facta fuisse ex historia nequaquam didicimus. Nec Babyloniorum obsidioni congruit. Prophetas enim tunc temporis multos habebant; Ieremiam, Vriam Samaei filium, Ezechielem, Danielem: psalmus autem dicit, *Iam non est propheta, et nos non cognoscet amplius.* Quod si neque Babyloniis, neque Macedonibus quadrat, manifestum est, eum perniciem a Romanis illis inflictam praedicere, post quam nullam reuocationem sortiti sunt, poenas impietatis pendentes, qua in Saluatorem vsi sunt. Admiratione autem digna est inexplicabilis Domini bonitas: quod cum eorum contumaciam plane praeuideret, vaticinatione futurorum malorum ab impietate eos auertere conatur. Declarat autem ipsum psalmi exordium, hoc esse argumentum praedictionis. *Cur o Deus repulisti (nos) in finem?* Non enim, quemadmodum sub Babyloniis, seruitutem septuaginta an-

1) Cod. 1. et 2. ἐπιστῆσαι. 2) Cod. 2. τῇ διανοίᾳ. 3) Cod. vterque προλέγει. 4) οὐ. Abest a Cod. 2. 5) Cod. 2. Σεμαίου. 6) Cod. 2. Μακεδονίοις. 7) Cod. 2. προσαγορεύει. 8) σωτῆρος. Cod. 1. add. καὶ Θεοῦ ἡμῶν. 9) ἄῤῥητον. Def. in Cod. 1. 10) ἀκριβῶς. Abest a Cod. 1. 11) ἔχει. Cod. 1. add. καὶ ὅρα τί φησι.

annorum spatio definiuisti, neque vt sub Antiocho, septem annis et dimidio, secundum Danielis prophetiam: sed in finem repulisti, et ad exitium condemnasti. *Exarsit ira tua super oues pascui tui.* Permanentem indignationem contra tuas oues habuisti. 2. *Memor esto congregationis tuae, quam possedisti ab initio.* Olim et a principio noster Deus nuncupatus es, et populus tuus Domine vocati sumus. *Redemisti virgam hereditatis tuae.* Tuam enim opem consecuti ab Aegyptiorum seruitute liberati fuimus. *Hereditatem* autem ipsos etiam beatus Moses appellauit: Pars enim Domini, inquit, a) fuit populus eius Iacob, funiculus hereditatis eius Israel. *Virgam* vero regale sceptrum nominauit: quasi diceret, Tua pars a principio facti sumus, tua hereditas vocati sumus, tuo regno attributi fuimus. Sic enim et in quadragesimo quarto psalmo, regale sceptrum *virgam* appellauit. Dicit enim, b) Virga aequitatis, * virga regni tui. *Montem Zion hunc, in quo habitasti.* Cum autem nos ab Aegyptiorum seruitute liberasses, in terram maioribus nostris promissam introduxisti, et tibi ipsi montem Zion consecrasti, vt tanquam in regiis quibusdam aedibus habitans, tuum populum dirigeres. Haec autem praedicebantur, cum nondum Hierosolymae templum aedificatum esset. Nam post Dauidem, et Asaphum, Salomo

νον, οὔτε ὡς ἐπὶ Ἀντιόχου, τὰ ἑπ]ὰ 1) ἥμισυ ἔτη, κατὰ τὴν τοῦ Δανιὴλ προφητείαν, ἀλλ' εἰς τέλος ἀπώσω, καὶ πανωλεθρίαν κατεψηφίσω. ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου. ἐπίμονον ἔχες τὴν κατὰ τῶν προβάτων τῶν σῶν 2) ἀγανάκτησιν. β'. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς. Ἄνωθεν καὶ ἐξ ἀρχῆς ἡμέτερος ἐπεκλήθης Θεὸς, καὶ σὸς ἐχρηματίσαμεν Δέσποτα λαός. ἐλυτρώσω 3) ῥάβδον κληρονομίας σου. τῆς σῆς γὰρ ἀπολαύσαντες βοηθείας, τῆς Αἰγυπ]ίων ἀπηλλάγημεν δουλείας· κληρονομίαν δὲ αὐτοὺς καὶ ὁ μακάριος ἐκάλεσε Μωσῆς. ἐγενήθη γάρ φησι μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. ῥάβδον δὲ τὸ βασιλικὸν ὠνόμασε σκῆπτρον, ἀντὶ τοῦ, σὴ ἐξ ἀρχῆς ἐγενόμεθα μερὶς, σὸς ὠνομάσθημεν κλῆρος, ὑπὸ τὴν σὴν ἐτελέσαμεν βασιλείαν. οὕτω καὶ ἐν τῷ ΜΔ' ψαλμῷ τὸ βασιλικὸν σκῆπ]ρον προσηγόρευσε ῥάβδον. ἔφη γάρ· ῥάβδος εὐθύ]ητος ἡ ῥάβδος τῆς βασιλείας σου. ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ. τῆς 4) δὲ Αἰγυπ]ίων ἡμᾶς δουλείας ἐλευθερώσας, εἰς τὴν ἐπηγγελμένην τοῖς πατράσιν εἰσήγαγες γῆν, καὶ σαυτῷ τὸ Σιὼν ἀφιερώσας ὄρος, ἵνα ὡς ἐν βασιλείοις τισὶν οἴκων, τὸν σὸν ἰθύνῃς λαόν. ταῦτα δὲ 5) προελέγετο, μήπω τοῦ ἐν Ἱεροσολύμοις οἰκοδομηθέντος 6) νεώ· μετὰ γὰρ τὸν Δαβὶδ, καὶ τὸν Ἀσὰφ, ὁ Σολομὼν

τοῦτον

1) Cod. 1. ἥμιση. 2) ἀγανάκτησιν. Cod. 1. add. ἐπειδὴ γὰρ τὸν ποιμένα τὸν οὐράνιον τὸν ποτὲ ποιμάναντα τοὺς προγόνους ἐπὶ τοῦ σαυροῦ κατέκριναν, ἐξήνεγκε δικαίαν τὴν κατ' αὐτῶν πανωλεθρίαν. „ Quia enim pastorem caelestem qui quondam inter maiores eorum pastoris munere functus erat, ad crucis supplicium condemnauerant, iusto iudicio internecioni eos tradidit. 3) Cod. 2. ῥάβδῳ. 4) δέ. Cod. 1. γάρ. 5) Cod. 2. προλέγει. 6) Cod. 2. ναοῦ.

a) Deut. 32, 9. b) Ps. 44, 6.

1) τοῦτον 2) ἐδείματο. γ΄. 3) Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς 4) τέλος. Ἀπαίτησον αὐτοὺς τῆς 5) ἀλαζονείας εὐθύνας· τὸ δὲ ἔπαρον τὰς χεῖράς 6) σου, ἐκ μεταφορᾶς τέθεικε τῶν ταῖς χερσὶ τοὺς ἁμαρτάνοντας μαστιγούντων. τοῦτο δὲ ἡ προφητικὴ εἴρηκε χάρις, εἰδυῖα τοὺς 7) πολεμίους δυσσεβείᾳ συζῶντας· οὐδὲ γὰρ ὑπὲρ τοῦ 8) σταυρωθέντος ζηλώσαντες, 9) ἐκεῖνον τὸν πόλεμον ἀνεδέξαντο, ἀλλὰ τὴν οἰκουμένην δουλούμενοι· ἐχρῆτο δὲ αὐτοῖς ὅμως 10) ὁ Θεὸς, ὡς δημίοις, δι᾽ αὐτῶν τοὺς ἠσεβηκότας κολάζων. 11) ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου. οὔτε ὁ Ἑβραῖος, οὔτε οἱ λοιποὶ ἑρμηνευταὶ, οὔτε μὲν οἱ ἑβδομήκοντα ἐν τῷ ἑξαπλῷ πληθυντικῶς ἐν τοῖς ἁγίοις τεθείκασιν· ἀλλ᾽ ἑνικῶς, ἐν τῷ ἁγίῳ 12) σου· ὡς εἶναι δῆλον, ὅτι περὶ τοῦ ναοῦ ταῦτα οἱ λέγοντες λέγουσιν, ὀλοφυρόμενοι καὶ θρηνοῦντες τὰ ὑπ᾽ ἐκείνων εἰς τοῦτον γεγενημένα. ταύτῃ δὲ τῇ διανοίᾳ καὶ τὰ ἐπαγόμενα συμφωνεῖ. δ΄. 13) Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. Ἐν τῇ τοῦ πάσχα 14) γὰρ ἑορ-

hoc erexit. 3. *Leua manus tuas in superbias eorum in finem.* Exige ab ipsis superbiæ pœnas. Hoc autem, *Leua manus tuas*, dixit per metaphoram ab illis petitam, qui peccantes manibus cædunt. Hoc autem prophetica gratia dixit, cum nosset hostes impie viuentes. Neque enim pro crucifixo amore accensi, illud bellum susceperunt, sed vt orbem terrarum sibi subiicerent. Vtebatur tamen illis Deus, tanquam carnificibus, per illos suppliciis afficiens eos qui impie se gesserant. *Quanta malignatus est inimicus in sancto tuo?* Neque Hebræus, neque ceteri Interpretes, neque Septuaginta in Hexaplo multitudinis numero *In Sanctis* posuerunt, sed singulariter, *In Sancto tuo:* vt manifestum sit, eos qui hæc dicunt de templo dicere, lugentes, et deplorantes ea, quæ ab illis contra templum facta erant. Ceterum huic sententiæ ea quæ sequuntur consonant. 4. *Et gloriati sunt qui oderunt te in medio solennitatis tuæ.* Nam solenni Paschatis die, tota

1) Cod. 2. τοῦτο. 2) ἐδείματο. Cod. 1. add. καὶ οὐ μόνον ταύτην, τὴν Ἱερουσαλὴμ λέγω, ὄρος ἐχρημάτισεν, ἀλλὰ προλέγει τὸ θεῖον πνεῦμα τὰς μελλούσας ἐπισυνάγεσθαι μυριάδας ἐπὶ τὴν τοῦ Θεοῦ ἐκκλησίαν· κυρίως δ᾽ ἂν ὄρος καλέσειε ταύτην διὰ τὸ κομᾷν αὐτὴν καθ᾽ ἡμέραν τοῖς λαοῖς· λέγει δὲ καὶ περὶ τῆς τοῦ Θεοῦ μητρὸς τῆς ἀπειρογάμου παρθένου, ὄρος ἐν ᾗ αὐτὸς ὁ Θεὸς κατῴκησεν. „ Non autem hanc tantum, Hierosolymam puto, vocauit montem, sed prædicit etiam Spiritus sanctus, myriades congregandas esse ad Dei ecclesiam. Proprie autem hanc dixerit aliquis montem, quia quotidie ornata est populis. Dicit autem quoque de matre Dei, virgine connubii experte, eam esse montem, vtpote in qua Deus habitauit. „ Conf. p. 1063. n. 14. 3) Ἔπαρον — τέλος. *Hebr.* Eleua pedes tuos ad desolationes seculi s. perpetuas. 4) τέλος. Cod. 1. add. λέγει δὲ ὁ προφητικὸς νοῦς, ὅτι. 5) ἀλαζ. Cod. 1. θεοκτονίας. 6) σου. Cod. 2. add. ἐπὶ τὰς ὑπερηφανίας. 7) πολεμίους. Cod. 1. add. Τίτον λέγω καὶ Οὐεσπασιανόν. 8) σταυρωθ. Cod. 1. σαρκὶ σταυρωθέντος Θεοῦ. 9) Cod. 2. ἐκεῖνοι. 10) ὁ Θεός. Cod. 1. ὁ παρ᾽ αὐτῶν σταυρωθεὶς Κύριος τῆς δόξης. 11) ὅσα ἐπονηρ. Hebr. כל־הרע *omne perdit.* 12) σου. Cod. 1. τέθεικεν. 13) Καὶ — σοῦ. *Hebr.* Rugiunt hostes tui in medio conuentus tui, s. templi tui. *Symm.* ἐβρυχήσαντο οἱ πολέμιοί σου ἐν μέσῳ τῆς συναγωγῆς σου. 14) γάρ. Deest in Cod. 1. et 2.

toto populo secundum legem congregato, Titus admoto exercitu, illorum metropolin expugnauit. Quoniam enim in Paschatis celebritate Saluatorem cruci suffixerunt, per idem tempus impietatis pœnas pendunt. *Posuerunt signa sua signa.* 5. *Et non cognouerunt sicut in exitu super summum.* Tropæa, inquit, quæ signa et indicia victoriæ sunt, erexerunt supra nostras portas, notam omnibus posteris victoriam facientes: et Pilatus imperatoria signa præter legem in ciuitatem introduxit. Suis autem caput Imperatores Romanorum in portæ lapidibus insculpserunt. Porro per hæc omnia didicerunt, se diuina cura * destitutos esse. Hæc etiam Dominus in sacris Euangeliis prædixit: a) Cum videritis abominationem desolationis stantem in loco sancto, (quisquis legerit, animaduertat,) tunc qui sunt in Iudæa fugiant ad montes. *Quasi in silua lignorum securibus exciderunt* 6. *Ianuas eius vnà, securi et ascia deiecerunt eam.* Lignariis et fabrilibus instrumentis vtentes,

τῇ, παντὸς τοῦ λαοῦ κατὰ τὸν νόμον συναθροισθέντος, τὴν 1) στρατιὰν ὁ Τίτος παρακαθίσας, ἐπολιόρκησε τὴν 2) ἐκείνων μητρόπολιν. ἐπειδὴ γὰρ ἐν τῇ τοῦ πάσχα ἑορτῇ 3) τῷ σταυρῷ τὸν σωτῆρα προσήλωσαν, κατὰ τὸν αὐτὸν καιρὸν τίνουσι τῆς ἀσεβείας ποινήν. 4) Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα. ε. 5) Καὶ οὐκ ἔγνωσαν ὡς εἰς τὴν 6) ἔξοδον ὑπεράνω. Τὰ τρόπαιά φησιν, ἅπερ 7) ἐστὶ σημεῖα καὶ σύμβολα νίκης, ἤγειραν ἐπάνω τῶν ἡμετέρων πυλῶν, γνώριμον ἅπασι τοῖς μετὰ ταῦτα καθιστῶντες τὴν νίκην. καὶ Πιλάτος δὲ τὰ βασιλικὰ σημεῖα παρὰ τὸν νόμον εἰς τὴν πόλιν εἰσήγαγε, καὶ χοίρου δὲ προτομὴν οἱ Ῥωμαίων βασιλεῖς τοῖς τῆς 8) πύλης ἐνεκόλαψαν 9) λίθοις· διὰ τούτων δὲ πάντων ἐμάνθανον, ὡς ἔρημοι τῆς θείας κηδεμονίας ἐγένοντο. ταῦτα καὶ ὁ Κύριος ἐν τοῖς θείοις εὐαγγελίοις 10) προεῖπεν. ὅτ' ἂν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως 11) ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ 12) ὄρη. 13) Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν ϛ. Τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτὸ ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. Ὑλοτομικοῖς καὶ τεκτονικοῖς ὀργάνοις χρώμενοι,

1) στρατιάν. Cod. 1. add. τῶν Ῥωμαίων. 2) ἐκείνων. Abest a Cod. 2, 3) τῷ. Cod. 2. praem. ἐν. 4) Ἔθεντο — σημεῖα. *Hebr.* Adponunt signis suis signa. 5) Καὶ — ὑπεράνω. *Hebr.* Et cognoscitur (hostis) velut adducens sursum (secures). 6) ἔξοδον. Ita leg. in edit. *ald.* et *compl.* Eandem lectionem expr. Vulg. Recepta autem est εἴσοδον. 7) Cod. 1. ἔστησαν. Cod. 2. εἰσί. 8) Cod. 2. πόλεως. 9) λίθοις. Cod. 1. add. καθάπερ Ἰώσηπος ὁ θαυμαστὸς ἐν τῇ κατ' αὐτῶν ἱστορίᾳ ἐμνημόνευσε. „ prout Iosephus, Scriptor egregius, in Historia iud. meminit. „ 10) προεῖπεν. Cod. 1. add. οὐ μόνον περὶ τῆς Ἱερουσαλὴμ λέγων, ἀλλὰ καὶ περὶ τῆς κατ' αὐτὴν ἐρημώσεως καὶ τῆς τοῦ ναοῦ ἐμπρήσεως. „ non de Hierosolyma tantum dicens, sed etiam de regionis adiacentis deuastatione et templi combustione. „ 11) Cod. 2. ἑστός. 12) ὄρη. Cod. 1. add. τὸν διωγμὸν ἐκεῖνον προοίμιον εἴρηκεν τῆς τοῦ Ἀντιχρίστου παρουσίας. „ Persecutionem istam dixit quasi prolusionem aduentus Antichristi. 13) Ὡς ἐν δρυμῷ. *Hebr.* in perplexitate.

a) Marc. 13, 14.

μενοι, καὶ τὲς περιβόλους κατέλυον, καὶ τῶν οἰκιῶν τὰς θύρας συνέκοπτον, τὰ εὖ καὶ καλῶς ἠσκημένα ὡς 1) δρῦν διαφθείροντες. ζ'. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαςήριόν σου εἰς τὴν γῆν· ἐβεβήλωσαν τὸ σκήνωμα τȣ͂ ὀνόματός σου. Οὐκ ἀπέχρησεν αὐτοῖς τῶν ἄλλων οἰκιῶν ἡ πόρθησις, ἀλλὰ καὶ κατὰ τȣ͂ ἀφιερωμένου σοι νεὼ τὴν μανίαν ἐξέτειναν· καὶ τὰ μὲν πυρὶ παρέδοσαν, τὰ δὲ κατέλυσαν ταῖς χερσὶν, ὡς κοινοῖς τοῖς ἁγίοις 2) χρησάμενοι. η'. Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν, 3) αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτὸ, 4) δεῦτε 5) καὶ καταπαύσωμεν 6) πάσας τὰς ἑορτὰς 7) τȣ͂ Θεȣ͂ ἀπὸ τῆς γῆς. θ'. Τὰ σημεῖα 8) ἡμῶν ȣ̓κ εἴδομεν, ȣ̓κ ἔςιν ἔτι προφήτης, 9) καὶ ἡμᾶς οὐ γνώσεται ἔτι. Μετὰ πολλῆς ἐπελθόντες ἡμῖν τῆς συμφωνίας ἕνα σκοπὸν ἔχον, τὸν ὑπὸ σοῦ δεδομένον καταλῦσαι νόμον· διὰ γὰρ τῶν ἑορτῶν, τὴν κατὰ νόμον πολιτείαν ἐδήλωσε. ταῦτα δέ φησιν ἐτόλμων, μήτε τὰς ἐπὶ τῶν προγόνων ἡμῶν ὁρῶντες θαυματουργίας, μήτε ὑπὸ προφητικῆς διελεγχόμενοι χάριτος· τούτων γὰρ ἁπάντων ἐξαίφνης κατέςησαν ἔρημοι. 10) πολλοὺς γὰρ καὶ μετὰ τὴν 11) ἐπάνοδον ἔχον προφήτας, τὸν Ἀγγαῖον, τὸν Ζαχαρίαν, τὸν Μαλαχίαν. καὶ οἱ τούτων πρεσβύτεροι προφῆται, καὶ τῷ λαῷ, καὶ τοῖς βασιλεῦ-

et mœnia disturbarunt, et domorum ianuas dissecuerunt, quæ bene et pulcre elaborata erant vt quercum exciderunt. 7. *Incenderunt igne sanctuarium tuum in terra, polluerunt tabernaculum nominis tui.* Non satis fuit illis, aliarum ædium depopulatio, sed in consecratum tibi templum furorem extenderunt: et alia quidem igni proiecerunt, alia vero manibus discerpserunt, sancta tanquam profana tractantes. 8. *Dixerunt in corde suo, cognatio eorum simul, quiescere faciamus omnes dies festos Dei a terra.* 9. *Signa nostra non vidimus, iam non est propheta, et nos non cognoscet amplius.* Vnanimi consensu nos aggressi, vnum propositum habuerunt, vt legem a te datam delerent. Per *dies* enim *festos* institutam ex præscripto legis vitæ rationem indicat. Hæc autem, inquit, ausi sunt, neque miracula, quæ maiorum nostrorum tempore facta sunt, videntes, neque a prophetica gratia conuicti. His enim omnibus statutum destituti fuerunt. Multos enim post reditum etiam prophetas habuerunt, Aggæum, Zachariam, Malachiam, et prophetæ his seniores tum populo, tum regibus

1) Cod. 1. δρυμόν. 2) χρησ. Cod. 1. add. μὴ ὁρῶντες οἱ δείλαιοι, ὅτι πάντως τȣ͂ νομοθέτου παρ' αὐτῶν ςαυρῷ κατακριθέντος διὰ τὴν μοχθηρὰν αὐτῶν καὶ θεοκτόνον γνώμην καὶ ὁ ναὸς ἐμπρησθήσεται καὶ αὐτοὶ ἀνδραποδισθήσονται. „ non videntes miseri illi, fore vt quia legislator per improbam et cædis cupidam eorum sententiam ad crucis supplicium condemnatus fuerat, templum quoque combureretur, ipsi vero in captiuitatem abducerentur. „ 3) αἱ — τὸ αὐτό. Hebr. נינם יחד opprimamus eos vnà. 4) δεῦτε — γῆς. *Hebr.* combusserunt omnes conuentus Dei (l. loca sacra conuentus) in terra. 5) καί. Additur in edit. *ald.* et *compl.* 6) πάσας. Exstat tantum ll. cc. 7) τȣ͂ Θεȣ͂. Rec. lectio est Κυρίου. 8) ἡμῶν. Cod. 2. αὐτῶν. 9) καὶ — ἔτι. *Hebr.* nec est apud nos, qui sciat, quousque sc. duratura sit hæc calamitas. 10) πολλούς. Cod. 2. πάλαι. 11) ἐπάνοδον. Cod. 1. add. τὴν ἐκ Βαβυλῶνος.

regibus futura prædicebant, et hostium impetus manifestos faciebant. Et hoc facile ex historia disci potest. 10. *Vsquequo o Deus conuiciabitur inimicus? irritabit aduersarius nomen tuum in finem?* Quousque horum iniquitatibus nos addicis, et blasphema verba illorum æquo animo fers? 11. *Cur auertis manum tuam, et dexteram tuam de medio sinu tuo, in finem?* *Sinus Dei* bonorum thesaurus, *Manus* vero, operatio. Cur enim consueto more bona non suppeditas, sed a sinu manum aufers? Hoc autem posuit * per Metaphoram desumtam ab iis, qui plenum sinum habent, et cum orantur vt dent, largiri nolunt, sed manum retro trahunt. 12. *Deus autem rex noster ante secula.* Atqui te olim et a principio regem nouimus, et sicut a rege, semper bona consequimur. *Operatus est salutem in medio terræ.* Omnino curam, quam de nobis geris, omnibus claram fecisti. *In medio enim terræ*, posuit pro eo quod est

σι προὔλεγον τὰ ἐσόμενα· καὶ τῶν πολεμίων τὰς ἐπιβουλὰς καταδήλους ἐποίουν· καὶ 1) τοῦτο ἐκ τῆς ἱστορίας καταμαθεῖν 2) εὐπετές. ι΄. Ἕως πότε ὁ Θεὸς ὀνειδιεῖ ὁ ἐχθρός; 3) παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος. Μέχρι πότε ταῖς τούτων ἡμᾶς ἐκδίδως παρανομίαις, καὶ τὰς βλασφήμους αὐτῶν μακροθύμως φέρεις φωνάς; ια΄. Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος. Κόλπος Θεοῦ, ὁ τῶν ἀγαθῶν θησαυρός· χεὶρ δὲ, ἡ 4) ἐνέργεια. τί δήποτε 5) συνήθως 6) οὐ χορηγεῖς τὰ ἀγαθὰ, ἀλλ' αἴρεις ἀπὸ τοῦ 7) κόλπου τὴν χεῖρα; τέθεικε δὲ αὐτὸ ἐκ μεταφορᾶς τῶν πεπληρωμένον ἐχόντων τὸν κόλπον, καὶ αἰτουμένων μὲν, δοῦναι δὲ μὴ βουλομένων, ἀλλ' 8) ἐπιστρεφόντων εἰς τοὐπίσω τὴν χεῖρα. ιβ΄. Ὁ δὲ Θεὸς 9) βασιλεὺς ἡμῶν πρὸ 10) αἰῶνος. Καί τοι σὲ ἴσμεν ἄνωθεν καὶ ἐξ ἀρχῆς βασιλέα, καὶ ὡς παρὰ βασιλέως ἀεὶ τῶν δωρεῶν 11) ἀπολαύομεν. εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. ἀμέλει δήλην ἅπασι τὴν περὶ ἡμᾶς γενομένην κηδεμονίαν 12) πεποίηκας. 13) τὸ γὰρ ἐν μέσῳ τῆς γῆς, ἀντὶ

1) τοῦτο. Cod. 1. add. δὲ. 2) Cod. 1. εὔκολον. 3) παροξυνεῖ. Hebr. ינאץ *spernet*. 4) ἐνέργεια. Cod. 1. add. ἀγαθή. 5) συνήθως. Cod. 1. præm. φησίν. 6) οὐ. Cod. 2. præm. ἡμῖν, quod in Cod. 1. postponitur. 7) κόλπου. Cod. 1. add. σου. 8) Cod. 1. ἀποστρεφόντων. 9) βασιλ. ἡμῶν. Hebr. מלכי *rex meus*. 10) Cod. 2. αἰώνων. 11) Cod. 2. ἀπηλαύομεν. 12) πεποίηκας. Cod. 1. add. καὶ οὐ μόνον, ἀλλὰ καὶ λέγει ὁ προφητικὸς νοῦς, ἣν εἰργάσατο ὁ παρ' αὐτῶν σταυρωθεὶς καὶ τοῦδε τοῦ παντὸς δημιουργὸς, σωτηρίαν ἐν μέσῳ τῆς γῆς· κατακρίνας μὲν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ἐλευθερώσας δὲ τὴν τῶν ἀνθρώπων φύσιν κεκρατημένην ὑπὸ τῆς ἁμαρτίας. „ Et non hoc tantum, sed innuit etiam mens Prophetæ salutem quam Vniuersi conditor ab illis cruci affixus, in medio terræ præstitit, cum illum condemnaret, qui mortis habebat imperium, hominum autem liberaret naturam a peccato subiugatam. „ 13) τὸ — ὁρώντων. Cod. 1. τὸ δὲ ἐν μέσῳ τῆς γῆς πᾶσι που δῆλός ἐστι τοῖς ἀκριβῶς ἀνεγνωκόσιν ὁ κρανίου τόπος· λέγει δὲ ὅτι πάντων ὁρώντων τὴν τῶν ἀνθρώπων ἐπραγματεύσω ἐν αὐτῷ σωτηρίαν. „ Illud autem *in medio terræ*, nihil aliud est quam caluariæ locus, vt omnes norunt, qui attentius sacras legerunt literas. Dicere autem vult, omnibus videntibus hominum salutem ibi effecisti.

ἀντὶ τοῦ πάντων ὁρώντων. ιγ'. Σὺ 1) ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν. Φευγόντων 2) γὰρ τοὺς Αἰγυπτίους, καὶ ὑπὸ τῆς θαλάσσης κωλυομένων διαβῆναι, σὺ τὴν παράδοξον ἐκείνην ἐδωρήσω πορείαν, τὴν ῥοώδη φύσιν στεγανὴν ἐργασάμενος, καὶ διὰ τῶν κυμάτων τὰ ἑκατέρωθεν δομησάμενος 3) τείχη. Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. ιδ'. Σὺ 4) συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος. Δράκοντας μὲν τοὺς Αἰγυπτίους καλεῖ, κεφαλὰς δὲ δρακόντων, τοὺς ἐκείνων στρατηγοὺς, καὶ ταξιάρχας, καὶ λοχαγούς. τὸν δὲ ἑνικῶς ὀνομασθέντα δράκοντα, τὸν Φαραὼ λέγει, τὸν πολλοῖς ἄρχουσιν ἐφεστῶτα. „5) λέγει δὲ „καὶ τὸν διάβολον, ὃν ἐπέδησε καὶ κατήργησεν ὁ νομοθέτης παρασχεδὸν τῷ „ἑκουσίῳ θανάτῳ.„ διὸ καὶ πολλὰς αὐτὸν ἔφησεν ἔχειν 6) κεφαλάς· τούτους δέ φησιν ἅπαντας ὑποβρυχίους ἐποίησας, καὶ ἣν ἐφ' ἡμῶν ἐκραταίωσας 7) θάλασσαν, ἐπ' ἐκείνων 8) διέλυσας, καὶ τοῖς ἐκείνης αὐτοὺς ἔχωσας κύμασιν. ἔδωκας αὐτὸν βρῶμα λαοῖς 9) τοῖς Αἰθίοψιν. ὅμοροι τῶν Αἰγυπτίων οἱ Αἰθίοπες ὄντες, πόλεμον εἶχον πρὸς ἐκείνους 10) συχνόν· ἀλλὰ τοῦ Φαραὼ σὺν τῇ στρατιᾷ τῇ θαλάσσῃ παραδοθέντος, εὐχείρωτοι λοιπὸν οἱ Αἰγύπτιοι ἐγένοντο τοῖς Αἰθίοψι· καὶ καθάπερ τὴν τροφὴν ὁ πεινῶν

omnibus videntibus. 13. *Tu confirmasti virtute tua mare.* Nam fugientibus nobis Aegyptios, et per mare transire prohibitis, tu admirabile illud iter largitus es, cum liquidam naturam solidam effecisses, et per vndarum fluctus vtrinque muros exstruxisses. *Tu contriuisti capita draconum in aqua.* 14. *Tu confregisti caput draconis.* Dracones quidem Aegyptios vocat, *capita* vero *draconum*, eorum duces, et tribunos, et praefectos. *Draconem* porro singulariter appellatum, Pharaonem dicit, qui multis principibus praeerat. „ Sic „ autem dicit quoque diabo- „ lum, quem vinculis constrin- „ xit et destruxit Legislator, „ spontanea pro nobis susce- „ pta morte. „ Vnde multa ipsum habere capita dixit. Hos vero omnes, inquit, demersisti, et mare quod pro nobis depresseras, in illos immisisti, et illius vndis eos obruisti. *Dedisti eum escam populis Aethiopum.* Finitimi Aegyptiorum Aethiopes crebro cum illis bellum gesserunt: sed cum Pharao cum suo exercitu in mari submersus esset, expugnabiles deinceps facti sunt Aegyptii Aethiopibus. Et quemadmodum qui esurit facile cibum

1) ἐκραταίωσας, Hebr. פּוֹרַרְתָּ *perrupisti*. Symm. διεσκέδασας. 2) γάρ. Cod. 1. add. ἡμῶν. 3) τείχη. Cod. 1. add. λέγει δὲ θάλατταν καὶ τὸν παρόντα βίον, ὃν ἐκραταίωσε τῇ αὐτοῦ βασιλείᾳ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. „ Mare autem dicit quoque hanc vitam quam confirmauit regno suo, postquam e mortuis surrexit. „ 4) Rec. lectio h. l. est συνέτριψας τὰς κεφαλάς. 5) E Cod. 1. 6) κεφαλάς. Cod. 1. add. τοῦτο μὲν τοὺς δαίμονας, τοῦτο δὲ καὶ τὰ πάθη. 7) θάλασσαν. Cod. 1. add. ὁ τῶν Ἰσραηλιτῶν ταῦτα λαός. „ Israelitarum haec (dicit) populus. „ 8) διέλυσας. Cod. 1. add. τῶν Αἰγυπτίων. 9) τοῖς Αἰθίοψιν. Hebr. לְצִיִּים *incolis deserti*. Conf. Ps. 71, 9. 10) Cod. 2. συχνῶς.

cibum deuorat, sic ipsos admodum facile expugnabant. Propterea propheticus sermo ait: *Escam dedisti eum populis Aethiopum*, id est, expugnabiles eos reddidisti, efficiens vt facile ab Aethiopibus consumerentur.

15. *Tu dirupisti fontes et torrentes.* Hebraicum exemplar, et alii Interpretes *fontem* legunt. Siue autem *fontem* dicamus, siue *fontes*, a veritate non aberrabimus. *Fontem* enim propheticus sermo vocat aquam, quæ e saxo scaturiit: sed hæc diuisa, multos riuos fecit, vt multa illa millia facile fruerentur fluentis. Reperimus autem non semel, sed bis id factum. Et alterum * quidem Exodi liber docet, a) alterum vero Numerorum libes. b) *Fontem* autem merito nominauit rupem, quæ aquæ fluenta emisit. *Torrentes* vero rursus ipsas appellauit, tanquam minime secundum naturam profluentes, sed tunc primum eductas. Quemadmodum enim torrentes minime perennes sunt, sed ex pluuiis aquis consistunt: sic aqua illa diuino nutu data fuit. *Tu exsiccasti fluuios. Etham.* Symmachus autem sic, Tu siccasti fluuios antiquos. Eos enim, qui non erant, neque a principio fluebant, manare in solitudine iussisti. Eos autem, qui iam diu profluxerant, et antiquum cursum habuerant, a cursu suo cessare fecisti quia sic volebas. Hoc

ἀναλίσκει ῥᾳδίως, οὕτως αὐτοὺς εὐπετῶς μάλα κατηγωνίζοντο· διό φησιν ὁ 1) προφητικὸς λόγος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν, ἀντὶ τοῦ, εὐαλώτους αὐτοὺς 2) ἀπέφηνας, εὐμαρῶς ὑπὸ τῶν Αἰθιόπων παρασκευάσας ἀναλίσκεσθαι.

ιέ. Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους. Ὁ δὲ Ἑβραῖος, καὶ οἱ ἄλλοι ἑρμηνευταὶ, πηγὴν εἰρήκασι. κἄν τε πηγὴν εἴπωμεν, κἄν τε πηγὰς, οὐχ ἁμαρτησόμεθα τῆς ἀληθείας. πηγὴν γὰρ τὸ ἀπὸ τῆς πέτρας ῥυὲν ὕδωρ ὁ προφητικὸς λόγος καλεῖ. ἀλλὰ τοῦτο διαιρεθὲν πολλὰς ἐποίησεν αὔλακας, ὥστε ῥᾳδίως τὰς πολλὰς ἐκείνας μυριάδας ἀπολαῦσαι τοῦ νάματος. εὑρίσκομεν δὲ τοῦτο, οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς γεγενημένον. καὶ τὸ μὲν ἡ Ἔξοδος διδάσκει, τὸ δὲ ἡ βίβλος τῶν Ἀριθμῶν. πηγὴν δὲ εἰκότως ὠνόμασε τὴν ἀναβλύσασαν πέτραν τὰ τοῦ ὕδατος ῥεύματα. χειμάῤῥους δὲ πάλιν αὐτὰ προσηγόρευσεν, ὡς μὴ κατὰ φύσιν ῥεύσαντα, ἀλλὰ τότε πρῶτον ἀναδοθέντα. καθάπερ γὰρ ὁ 3) χειμάῤῥους οὐκ ἔστιν ἀέναος, ἀλλ᾽ ἐκ τῶν ὑετίων ὑδάτων συνίσταται· οὕτω τοῖς θείοις ἐκεῖνο νεύμασιν ἀνεδόθη τὸ ὕδωρ. 4) σὺ ἐξήρανας 5) ποταμοὺς Ἠθάμ. ὁ δὲ Σύμμαχος οὕτως· σὺ ἐξήρανας ποταμοὺς 6) ἀρχαίους. τοὺς μὲν γὰρ μὴ ὄντας, μήτε ἐξ ἀρχῆς 7) γενομένους, ἀναβλῦσαι ἐν τῇ ἐρήμῳ προσέταξας· τοὺς δὲ πάλαι γεγονότας, καὶ ἀρχαίαν ἐσχηκότας πορείαν, τοῦ τρέχειν ἔπαυσας 8) ἐθελήσας· τοῦτο καὶ ἐν ἑτέρῳ

1) προφ. λόγος. Cod. 2. προφήτης. 2) Cod. 2. ἀποφήνας. 3) Cod. 2. χείμαῤῥος. 4) σὺ — Ἠθάμ. Cod. 2. add. σὺ, φησὶ, ἐξήρανας ποταμοὺς τοῦ αἵματος τῶν θυσιῶν· ἠθὰμ γὰρ ἑρμηνεύεται αἷμα· ἑρμηνεύεται δὲ καὶ βάτος· ὅ ἐστιν ἡ ἀκανθώδης ὕλη τῶν εἰδώλων. „Tu, inquit, exsiccasti fluuios sanguinis sacrificiorum. *Etham* enim exponitur sanguis, exponitur vero etiam rubus, hoc est spinis plena idolorum silua. 5) ποταμοὺς Ἠθάμ. Hebr. נהרות איתן *fluuios validos.* 6) ἀρχαίους. Præstat *Aquilæ* interpretatio στερεάς. 7) Cod. 1. γεγενημένους. 8) ἐθελήσας. Cod. 1. ἐπειδὴ ἠθέλησας.

a) Exod. 17. b) Num. 33.

ἑτέρῳ λέγει ψαλμῷ· ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψαν· γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, 1) καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων, καὶ κατῴκησεν ἐκεῖ πεινῶντας. τοὺς μὲν γὰρ Σοδόμων καὶ Γομόῤῥων, καὶ τῶν ἄλλων περιοίκων κατεξήρανε ποταμοὺς, διὰ τὴν τῶν οἰκητόρων 2) παρανομίαν· τῇ δὲ ἀνύδρῳ γῇ τοὺς ἀπὸ τῆς πέτρας ἔδωκεν ὀχετοὺς, τῷ διψῶντι λαῷ προσφέρων τὰ νάματα. ῥᾴδιον γὰρ αὐτῷ ὡς βούλεται μετοχετεῦσαι τῶν ὑδάτων τὴν φύσιν. διὰ μέντοι τούτου καὶ ἕτερον ὁ λόγος παραδηλοῖ, ὡς Ἰουδαίοις μὲν διὰ τὴν παρανομίαν τῶν προφητικῶν ποταμῶν οὐ προσοίσει τὰ νάματα· τὰ δὲ ἔθνη, τὰ πάλαι ἔρημα, τοῖς 3) ὑπὸ τῆς πέτρας ἀρδεύσει κρουνοῖς. ἡ δὲ πέτρα, 4) ἡ φησὶν ὁ θεῖος ἀπόστολός ἐστιν ὁ Χριστός. καὶ ἅπαντα 5) τάδε τὰ 6) εἰρημένα ἀπὸ τοῦ, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς, τῶν ἡμετέρων εὐεργεσιῶν περιέχει τὸν τύπον. καὶ γὰρ ἐκεῖ δι' ὑδάτων ἡ τῆς δουλείας ἀπαλλαγὴ, 7) καὶ ἐνταῦθα δι' ὑδάτων ἐλευθερίας ἀρχή. ἐκεῖ 8) δρακόντων κεφαλαὶ τοῖς ὕδασι συντριβόμεναι, καὶ ἐνταῦθα δυναστεῖαι δαιμόνων καταλυόμεναι τῇ τοῦ βαπτίσματος χάριτι. ἐκεῖνοι εὐχείρωτοι μετὰ τὴν θάλασσαν ἐγένοντο τοῖς Αἰθίοψι, καὶ οἱ ἡμέτεροι πολέμιοι μετὰ τὴν ἁγίαν κολυμβήθραν εὐκαταγώνιστοι 9) ἐγένοντο τοῖς πάλαι μελαίνας τὰς ψυχὰς ἐσχηκόσι· καὶ τἄλλα δὲ τούτοις 10) ὁμοίως ῥᾴ-

etiam in alio Psalmo ait: a) Fecit vt flumina essent desertum, et exitus aquarum, sitis. Vt terra fructifera fieret salsugo ob malitiam habitantium in ea. Fecit vt desertum mutaretur in stagna aquarum, et terra arida in exitus aquarum, et collocauit ibi esurientes. Nam et Gomorrhaeorum, et Sodomorum, aliorumque finitimorum fluuios exsiccauit, ob incolarum iniquitatem. Terrae autem aridae ex saxo fluuios dedit, sitienti populo aquarum fluenta praebens. Facile enim ipsi est, vt voluerit, aquarum naturam mutare. Per hoc igitur et aliud sermo declarat, Deum quidem Iudaeis ob impietatem propheticorum fluminum fluenta non esse suppeditaturum: gentes vero, quae olim desertae erant, aquarum riuulis e lapide irrigaturum. Petra autem, vt diuinus ait apostolus, b) est Christus. Et haec omnia supra dicta verbis illis, c) Operatus est salutem in medio terrae, nostrorum beneficiorum figuram continent. Etenim ibi per aquas seruitutis liberatio facta est, et hîc per aquas principium libertatis est. Ibi draconum capita in aquis contrita, et hîc daemonum potentiae euersae baptismatis gratia. Illi post euersionem in mari expugnabiles facti sunt Aethiopibus, et nostri hostes post sanctum lauacrum expugnatu faciles illis facti sunt, qui olim nigras animas habuerunt. Et alia facile est vi-

 dere

1) καὶ — ὑδάτων. Def. in Cod. 2. 2) παραν. Cod. 1. add. Ἠδάφισαν γὰρ λέγει τὴν αὐτὴν γῆν Σοδόμων καὶ Γομόῤῥων. 3) Cod. 1. et 2. ἀπό. 4) ἥ. Abest a Cod. 1. 5) τάδε. Cod. vterque δέ. 6) Cod. 1. προειρημένα. 7) καὶ — ἀρχή. Def. in Cod. 2. 8) δρακόντων. Cod. 1. ἀρχόντων. 9) Cod. 2. γίνονται. 10) ὁμοίως. Cod. 1. ὅμοια ἄπερ.

a) Ps. 106, 33-36. b) 1 Cor. 10, 4. c) Vers. 12.

dere iis, qui attendere volunt. „ Ibi baculus, hîc crux: ibi Moses, hîc summi Sacerdotes: ibi mare, hîc sacrum lauacrum: ibi duodecim fontes, hîc duodecim Apostoli: ibi septuaginta caudices, hîc septuaginta codices. „ Nos autem ad reliquam interpretationem pergamus. *16. Tuus est dies, et tua est nox, tu fabricatus es auroram, et solem. 17. Tu fecisti omnes terminos terræ: æstatem et ver tu formasti.* A priuatis * beneficiis ad communia * orationem transtulit, et totius naturæ creatorem esse docet Deum vniversorum, dieique ac noctis conditorem, luminis largitorem, et solis opificem, et temporis moderatorem. Nam per *ver* et *æstatem* designauit temporum mutationes: et pro, *Tu fecisti omnes fines terræ*, Aquila et Theodotio, *stabiliuisti* verterunt, Symmachus vero *statuisti* dixit. Significat autem, ipsum dedisse illi vt sit, et hanc partem eius in campos, hanc vero in montes et saltus distribuisse, hanc vero excauasse, vt sit receptaculum aquarum palustrium et marinarum. *18. Memor esto huius.* Tu qui omnia, inquit, hæc fecisti, et tot tantarumque rerum opifex es, memor esto huius, hoc est synagogæ, quam ab initio possedisti. Huc enim illud retulit. *Inimicus conuiciis proscidit*

διον συνιδεῖν τοῖς προσέχειν ἐθέλουσιν. „ 1) ἐκεῖ ῥάβδος, ἐνταῦθα σταυρός· ἐκεῖ „ Μωϋσῆς, ἐνταῦθα ἀρχιερεῖς· ἐκεῖ θάλαττα, ἐνταῦθα κολυμβήθρα· ἐκεῖ „ δώδεκα πηγαὶ, ἐνταῦθα δώδεκα ἀπόστολοι· ἐκεῖ ἑβδομήκοντα στέλεχοι, ἐνταῦθα ἑβδομήκοντα βίβλοι. „ ἡμεῖς δὲ ἐπὶ τὰ συνεχῆ τῆς ἑρμηνείας 2) βαδίσωμεν. ιϛ΄. Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ· σὺ κατηρτίσω 3) φαῦσιν, καὶ ἥλιον. ιζ΄. Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς· θέρος καὶ ἔαρ σὺ 4) ἔπλασας αὐτά. Ἀπὸ τῶν ἰδικῶν εὐεργεσιῶν ἐπὶ τὰς κοινὰς τὸν λόγον 5) μετήνεγκε, καὶ κτίστην εἶναι διδάσκει τοῦ παντὸς τὸν 6) τῶν ὅλων Θεὸν, ἡμέρας τε καὶ νυκτὸς ποιητὴν, φωτὸς χορηγὸν, καὶ ἡλίου δημιουργὸν, καὶ τοῦ χρόνου πρύτανιν. διὰ γὰρ τοῦ 7) ἔαρος καὶ τοῦ θέρους, ἐδήλωσε τὰς τροπάς. ἀντὶ δὲ τοῦ, σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς, ὁ μὲν Ἀκύλας, καὶ ὁ Θεοδοτίων, ἐστήλωσας, ὁ δὲ Σύμμαχος 8) ἔστησας εἴρηκε. δηλοῖ δὲ ὁ λόγος, ὡς αὐτὸς αὐτῇ τὸ εἶναι δέδωκε, καὶ τὰ μὲν 9) αὐτῆς εἰς πεδία, τὰ δὲ εἰς ὄρη καὶ νάπας ἀπένειμε· τὰ δὲ ἐκοίλανεν εἰς ὑποδοχὴν λιμναίων καὶ θαλαττίων ὑδάτων. ιη΄. Μνήσθητι 10) ταύτης. Ταῦτά φησιν ἅπαντα πεποιηκὼς ὁ τῶν τοσούτων καὶ τηλικούτων δημιουργὸς, μνήσθητι ταύτης, τουτέστι τῆς 11) συναγωγῆς, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς· πρὸς ἐκεῖνο γὰρ ἀποδέδωκε τοῦτο. ἐχθρὸς ὠνείδισε τὸν Κύριον,

1) E Cod. 1. 2) βαδίσ. Cod. 1. βαδιέμεθα· τοῦ θείου Πνεύματος χορηγοῦντος ἡμῖν, καθὼς αὐτῷ δοκεῖ, τὴν χάριν. „ Spiritu Sancto nobis, prout ipsi visum fuerit, suppeditante gratiam. „ 3) φαῦσιν καὶ ἥλιον. Ita leg. in edit. *ald.* et *compl.* Rec. lectio est ἥλιον καὶ σελήνην. 4) ἔπλασας αὐτά. Rec. lectio est ἐποίησας. 5) μετήνεγκε. Cod. 1. add. ὁ προφητικὸς νοῦς. 6) τῶν ὅλων Θεόν. Cod. 1. ὑπ᾽ αὐτῶν σταυρῷ καταχριθέντα. „ ab illis ad crucis supplicium damnatum. „ 7) ἔαρος. Cod. 1. ἀέρος. 8) Cod. 2. ἔστηκας. 9) αὐτῆς. Cod. 1. add. τῆς γῆς λέγω. 10) ταύτης. In Textu τῶν ό. addi solet τῆς κτίσεώς σου. Hæc autem cum a Textu hebr. absint, recte omissa sunt h. l. et in edit. *ald.* ac *compl.* 11) συναγ. Cod. vterque add. σου.

Κύριον, καὶ λαὸς ἄφρων 1) παρώξυνε τὸ ὄνομά σου. μὴ εἰς ἡμᾶς, φησὶν, ἀπίδῃς, ἀλλ᾽ εἰς τὰς τῶν δυσμενῶν βλασφημίας. ιθ΄. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν 2) ἐξομολογουμένην 3) σοι. Οὐχ ἁπλῶς ὁ προφητικὸς πᾶσιν ἐπεύχεται λόγος· ἀλλὰ τοῖς τὸ θεῖον ὁμολογοῦσιν ὄνομα αἰτεῖ τὰ ἀγαθὰ, 4) „τοῖς „ὁμολογοῦσι τὸν σταυρωθέντα Θεὸν ἐκ „Θεοῦ, καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος „ὁμοούσιον.„ θηρία δὲ καλεῖ, 5) „οὐ μό„νον„ τὴν τῶν πολεμίων ὠμότητα, 6) „ἀλλὰ καὶ τῶν ἀθετούντων τὸν σταυ„ρωθέντα καὶ μὴ ὁμολογούντων ὡς εἴρη„ται Θεόν,„ 7) τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος. καὶ πένητες δὲ εἶεν ἂν οἱ τὸ φρόνημα ταπεινοί. μακάριοι γὰρ 8) „ὡς αὐτὸς ὁ Κύ„ριος ἐν εὐαγγελίοις φησὶ,„ οἱ 9) πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. κ΄. Ἐπίβλεψον εἰς τὴν διαθήκην 10) τῶν δούλων 11) σου, 12) ὅτι ἐπληρώθησαν 13) οἱ 14) ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν. Οἱ γὰρ τῆς σῆς αἴγλης οὐκ ἀπολαύσαντες, ἀλλ᾽ 15) „ἄν„θρωπόν σε μετὰ τῶν Ἰουδαίων βλασφη„μοῦντες, καὶ μὴ ὁμολογοῦντές σε ἥλιον „δικαιοσύνης, καὶ„ τὸ τῆς ἀγνοίας ἀγαπήσαντες σκότος, ἀνομίας καὶ τῆς ἐντεῦθεν φυείσης τιμωρίας μεστὰς 16) ἔχουσιν οἰκίας, ἀντὶ τοῦ, παντοδαποῖς κακοῖς 17) παρεδόθησαν, διὸ προείλοντο 18) σκότος.

Dominum, et populus insipiens concitauit nomen tuum. Ne in nos, inquit, respicias, sed in inimicorum blasphemias. *19. Ne tradas bestiis animam confitentem tibi.* Non absolute pro omnibus propheticus sermo precatur, sed bona petit diuinum nomen confitentibus, „ illis qui confitentur, „ eum qui cruci affixus est, „ fuisse Deum ex Deo, Patri et „ Spiritui consubstantialem. „ *Bestias* vero vocat „ non solum „ hostium feritatem, „ sed etiam eo„ rum qui reiiciunt cruci affi„ xum, nec eum, vt dictum est, „ confitentur esse Deum. „ *Et animarum pauperum tuorum ne obliuiscaris in finem.* Pauperes etiam esse possunt, qui mente humiles sunt. Beati enim, „ vt „ ipse Dominus in Euangeliis di„ cit, „ a) pauperes spiritu, quoniam ipsorum est regnum cælorum. *20. Respice ad fœdus seruorum tuorum, quia repleti sunt qui obscurati sunt terræ domibus iniquitatum.* Nam qui tuo splendore minime perfruuntur, sed „ cum Iudæis ore blasphemo „ te hominem dicunt, nec solem „ iustitiæ te esse confitentur, et „ ignorantiæ tenebras adamant, refertas habent domos iniquitate, et supplicio, quod hinc emanat. Quasi dicat, Omnibus malorum generibus afflicti sunt, propterea quod tenebras elegerunt.

1) *παρώξυνε.* Hebr. נאצו *spernunt.* 2) *ἐξομολ. σοι.* Hebr. תורך *turturis tui.* 3) Cod. 2. *σε.* 4) 5) et 6) E Cod. 1. 7) *τῶν ψυχῶν.* Hebr. חית *cateruæ.* 8) E Cod. 1. 9) *πτωχοὶ τῷ πνεύματι.* Cod. 1. *τὸ φρόνημα ταπεινοί,* adscripta tamen lectione altera. 10) *τῶν δούλων.* Abest ab vtroque Cod. a Textu hebr. et a versione *τῶν ό.* 11) *σου.* Cod. 1. add. *λέγει δὲ καὶ τίνος ἕνεκεν διὰ τῶν ἑξῆς.* 12) *ὅτι — ἀνομιῶν.* *Hebr.* quia repleta sunt loca tenebricosa terræ mansionibus violentiæ. 13) *οἱ ἐσκοτ.* *Symm.* *ἐσκοτισμένα.* 14) Rec. lectio est *ἐσκοτισμένοι.* 15) E Cod. 1. 16) Cod. 1. *ἔχουσι.* 17) Cod. 1. *παραδοθήσονται.* 18) *σκότος.* Cod. 1. add. *ἐκεῖνα γὰρ ἡτοίμασται τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.* „ Hæc enim parata sunt diabolo et angelis eius. „

a) Math. 5, 3.

21. *Ne auertatur humilis pudore affectus.* Obsecramus, ne postulatis frustremur, neue cum ignominia reiiciamur. *Pauper et inops laudabunt nomen tuum.* Qui autem tuam opem implorant, et hanc consecuti sunt, hymnum tibi offerre solent. 22. *Exsurge Domine, iudica causam tuam: memor esto opprobrii tibi illati ab insipiente toto die.* Admodum concinne
* pronomen * mutauit. Non dixit *causam meam*, sed *causam tuam*. Ego enim, inquit, iuste hæc perpessus sum, illi vero multas blasphemias iaculari in te ausi sunt: „ illi quidem, cruci te af„ figentes, hi vero post crucem „ etiam baptismum reiicien„ tes.„ 23. *Ne obliuiscaris vocis supplicum tuorum: superbia eorum, qui te oderunt, adscendit semper.* Et hic hostium superbiam cum sua persona copularunt, non propter se ipsos, sed propter illos, obsecrantes vt aliqua misericordia digni habeantur.

κα΄. Μὴ ἀποστραφήτω τεταπεινωμένος 1) κατῃσχυμμένος. 2) Ἱκετεύομεν μὴ διαμαρτεῖν τῆς δεήσεως, μηδὲ μετ᾽ αἰσχύνης 3) ἀποπεμφθῆναι. πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου. 4) οἱ δὲ τῆς σῆς δεόμενοι βοηθείας, καὶ ταύτης τυχόντες, προσφέρειν σοι τὸν ὕμνον εἰώθασιν. κβ΄. Ἀνάστα ὁ Θεὸς, δίκασον τὴν δίκην σου. μνήσθητι 5) τοῦ ὀνειδισμοῦ σου, τοῦ 6) ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. Σφόδρα 7) δὲ ἁρμοδίως τὴν ἀντωνυμίαν ἐνήλλαξεν· 8) οὐκ εἶπε τὴν δίκην μου, ἀλλὰ τὴν δίκην σου. ἐγὼ μὲν γάρ φησιν ἐνδίκως ὑπέμεινα ταῦτα· ἐκεῖνοι δὲ πολλὰς ἐτόλμησαν κατὰ σοῦ βλασφημίας. 9) „οἱ μὲν „σταυρώσαντες, οἱ δὲ καὶ μετὰ τὸν σταυ„ρὸν καὶ τὸ βάπτισμα ἀθετήσαντες.„ κγ΄. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν 10) ἱκετῶν σου· ἡ ὑπερηφανία τῶν μισούντων σε 11) ἀνέβη διὰ 12) παντός. Καὶ ἐνταῦθα τῷ 13) ἑαυτῶν 14) προσώπῳ τὴν τῶν πολεμίων ἀλαζονείαν 15) συνέζευξαν, οὐ δι᾽ ἑαυτοὺς, ἀλλὰ δι᾽ 16) ἐκείνους, φειδοῦς τινὸς ἀξιωθῆναι 17) παρακαλοῦντες.

ΕΡΜΗΝ.

1) *κατησχ.* Cod. 2. et *οἱ ό.* præm. *καί.* 2) *Ἱκετ.* Cod. 1. præm. *Οἱ δέ γε, φησὶ, εἰς τὸν σωτῆρα πιστεύοντες.* 3) *ἀποπ.* Cod. 1. add. *οἱ τὴν ἑκούσιον μάλιστα πενίαν ἑλόμενοι· καὶ ὅρα τί διὰ τῶν ἑξῆς φησί.* „ Potissimum qui paupertatem sponte eligunt. Et vide, quid deinceps dicat. „ 4) *οἱ δέ.* Cod. 1. *λέγει δὲ ὅτι.* 5) Rec. lectio est *τῶν ὀνειδισμῶν.* 6) Cod. 2. *ἀπό.* 7) *δέ.* Abest a Cod. 2. 8) *οὐκ.* Cod. vterque præm. *καί.* 9) E Cod. 1. 10) *ἱκετῶν.* Cod. 1. *οἰκετῶν.* Hebr. צרריך *inimicorum tuorum.* Aqu. *ἐχθρῶν.* Symm. *πολεμίων.* 11) Rec. lectio est *ἀναβαίη, adscendat.* 12) *παντός.* In Textu *τῶν ό.* sequitur *πρός σε.* 13) Cod. 2. *ἑαυτοῦ.* 14) *προσώπῳ.* Cod. 1. add. *οἱ πεπιστευκότες τῷ σωτῆρι.* 15) Cod. 2. *συνέζευξεν.* 16) Cod. 2. *ἐκείνων.* 17) Cod. 2. *παρακαλοῦντος.* Cod. 1. add. *εἴρηται δὲ καὶ ἐκ προσώπου τοῦ σωτῆρος, ὅτι ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διὰ παντός· οἱ γὰρ μὴ ἀγαπῶντες τὸν υἱὸν, δῆλον ὅτι οὐδὲ τὸν πατέρα ἔχουσι· λέγει δὲ ὅτι ἐμὲ σταυρώσαντες τὸν σωτῆρα ἠθέτησαν.* „ Dictum autem etiam est ex persona Saluatoris, illud, Superbia eorum qui te oderunt, adscendit semper. Apertum enim est, eos qui Filium non amant, Patrem etiam non habere. Dicit enim, qui me cruci affixerunt, Saluatorem repudiarunt. „

ΕΡΜΗΝ. ΤΟΥ οδ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· τῷ Ἀσὰφ ψαλμὸς ᾠδῆς. 1) Ὁ δὲ Σύμμαχος, ἐπινίκιος περὶ ἀφθαρσίας ψαλμὸς τῷ Ἀσάφ· ἐπειδὴ πρόῤῥησιν ὁ ψαλμὸς ἔχει τῆς δικαίας τοῦ Θεοῦ κρίσεως, καὶ προαγορεύει καὶ τῶν ἐργατῶν τῆς πονηρίας τὸν ὄλεθρον, καὶ τῶν τῆς ἀρετῆς ἐραστῶν τὰς ἀγαθὰς ἀντιδόσεις· εἰκότως διὰ τῆς ἐπιγραφῆς ὁ λόγος παρακελεύεται, μὴ διαφθεῖραι τοὺς εὐσεβεῖς λογισμοὺς, 2) ἀλλ' ὑγιεῖς αὐτοὺς φυλάξαι, καὶ τὴν ἀφθαρσίαν κληρονομῆσαι· εἴρηται μέντοι καὶ οὗτος ὁ ψαλμὸς ἐκ προσώπου τῶν ἐν Βαβυλῶνι δορυαλώτων, ὑμνεῖν τὸν Θεὸν ὑπισχνουμένων, 3) ἐὰν τῆς θείας χάριτος 4) ἀπολαύσωσιν. β'. Ἐξομολογησόμεθά σοι ὁ Θεὸς, ἐξομολογησόμεθά 5) σοι, 6) καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου. Καὶ ἐντεῦθεν δῆλον, ὡς οὐδέπω τῆς ἐπανόδου τετυχηκότες ταῦτα διεξίασιν. ὑπισχνοῦνται δὲ τὸν Θεὸν 7) ὑμνεῖν, καὶ τῷ σεβασμίῳ αὐτοῦ ὀνόματι λαμπρυνθήσεσθαι· τὸ γὰρ ἐπικαλεσόμεθα τὸ ὄνομά σου τοῦτο δηλοῖ, ὅτι πάλιν τῷ σῷ ὀνόματι προσαγορευθησόμεθα, καὶ λαὸς χρηματίσομεν 8) σός. 9) Διηγήσομαι 10) πάντα τὰ θαυμάσιά σου. γ'. 11) Ὅτ' ἂν λάβω καιρόν. Ὁ δὲ Ἀκύλας καὶ Σύμμα-

INTERP. PSALMI LXXIV.

1. *In finem, Ne corrumpas. Psalmus Cantici Asaph.* Symmachus autem, Triumphalis de immortalitate, psalmus Asaph. Quoniam psalmus iusti Dei iudicii prædictionem continet, et vaticinatur iniquitatis operariorum interitum, et virtutis amatorum præmia, merito per inscriptionem sermo commonefacit, ne pias cogitationes perdamus, sed integras illas conseruemus, vt immortalitatis hereditatem adeamus. Hic igitur etiam psalmus dicitur ex persona captiuorum qui Babylone erant, qui Deum se laudaturos spondent, si diuinam gratiam consecuti fuerint. 2. *Confitebimur tibi Deus, confitebimur tibi, et inuocabimus nomen tuum.* Et hinc patet, hæc eos dicere nondum reuersionem consecutos. Promittunt autem, Deum se laudibus prosequuturos, et augusto eius nomine illustres fore. Hoc enim *Inuocabimus nomen tuum* significat, Rursus tuo nomine nuncupabimur, et tuus populus vocabimur. *Narrabo mirabilia tua.* 3. *Cum accepero tempus.* Aquila et Symmachus

1) Ὁ δὲ Σύμμ. Cod. 1. Τινὰ δὲ τῶν ἀντιγράφων οὕτως ἔχει. „Quædam vero exemplaria ita habent.„ 2) ἀλλ'. Cod. 1. præm. μηδὲ τῆς εὐθείας ἐκτραπῆναι πορείας. „nec a recto tramite deflectamus.„ 3) ἐάν. Cod. 1. ὅταν. 4) ἀπολ. Cod. 1. add. νοήσειε δ' ἄν τις καλῶς ταῦτα καὶ ἐκ προσώπου εἰρῆσθαι τῶν δι' ὕδατος καὶ πνεύματος ἀναγεννωμένων· ἀφθαρσίαν γὰρ περιέχει τὸ προοίμιον. „Bene autem putauerit aliquis, hæc etiam ex persona eorum dicta esse, qui per aquam et Spiritum regenerantur: ad immortalitatem enim se refert Psalmi titulus.„ 5) σοι. Additum in edit. *ald.* et *compl.* 6) καὶ ἐπικαλ. Hebr. וְקָרוֹב *et propinquum est* sc. nobis. 7) Cod. 1. ὑμνῆσαι. 8) σός. Cod. 1. add. τὸ δ' αὐτὸ καὶ οἱ διὰ μεταμελείας τὴν ἑαυτῶν πραγματευόμενοι σωτηρίαν φήσουσιν ἄν. „Idem vero dicent etiam, qui per pœnitentiam efficiunt salutem suam.„ 9) Διηγ. Hebr. סִפְּרוּ *enarrant* sc. labia nostra. 10) πάντα. Abest a Textu hebr. 11) Ὅτ' — καιρόν. *Hebr.* (Quod dixeris) cum accepero tempus constitutum, s. tempore suo.

chus sic: *Cum accepero Synagogam.* Cum, inquit, reuersi fuerimus, et in sacrum tuum templum conuenerimus, tunc te secundum legem laudabimus, et tua beneficia ignaros docebimus: quandoquidem illud tempus nobis vt hoc faciamus permiserit. Nunc enim exclamamus, a) Quomodo cantabimus canticum Domini in terra aliena? Postquam * propheticus sermo sic docuit, quæ Babylone captiuos dicere oportebat, „ eosque qui per „ pœnitentiam ad Saluatorem vni„ versorum redeunt, instruxit, „ exhibet Deum ad factas promissiones respondentem, et dicentem, *Ego iustitias iudicabo.* Iuste, inquit, vobis et Babyloniis ius dicam. 4. *Liquefacta est terra, et omnes, qui habitant in ea.* Nam totius orbis iudex sum, et omnes dignis suppliciis afficiam. *Ego confirmaui columnas eius.* Omnia possum, vt qui omnium sum opifex. Ego enim terram feci, et fundaui, firmans ipsam finibus meis, velut quibusdam columnis. Præceptum enim posui, et non præteribit. Idcirco et cum iudex sim, punire nolo, sed supplicia prædico, vt comminatione peccatores prudentiores effi-

χος οὕτως· 1) ὅτ' ἂν λάβω τὴν συναγωγήν· 2) ὅτ' ἂν φησιν 3) ἐπανέλθωμεν, καὶ εἰς τὸν ἱερὸν 4) σου 5) συναθροισθῶμεν νεών, τότε σὲ καὶ ἐννόμως ὑμνήσομεν, καὶ τὰς σὰς εὐεργεσίας τοὺς ἀγνοοῦντας διδάξομεν· ἐκεῖνος γὰρ ἡμῖν ὁ καιρὸς τοῦτο 6) ποιεῖν ἐπιτρέψει· νῦν γὰρ βοῶμεν, πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; οὕτως ὁ προφητικὸς 7) λόγος, ἃ ἐχρῆν εἰπεῖν τοὺς ἐν Βαβυλῶνι δορυαλώτους διδάξας, 8) „ καὶ τοὺς διὰ μετα„ νοίας ἐπιστρέφοντας πρὸς τὸν σωτῆρα „ τοῦ παντὸς παιδαγωγήσας, „ ὑποδείκνυσι τὸν Θεὸν πρὸς τὰς γεγενημένας ἐπαγγελίας ἀποκρινόμενον, καὶ λέγοντα, ἐγὼ εὐθύτητας κρινῶ. ἐνδίκως, φησὶν, ὑμῖν καὶ Βαβυλωνίοις 9) δικάσω. δ΄. Ἐτάκη ἡ γῆ, καὶ πάντες οἱ κατοικοῦντες 10) ἐν αὐτῇ. Πάσης γάρ εἰμι τῆς οἰκουμένης κριτὴς, καὶ ἅπασι τὰς ἀξίας ἐποίσω τιμωρίας. 11) ἐγὼ ἐστερέωσα τοὺς 12) στύλους αὐτῆς· ἐγκρατὴς δὲ πάντων εἰμὶ, ὡς ἁπάντων 13) ὑπάρχων δημιουργός. ἐγὼ γὰρ τὴν γῆν πεποίηκά τε καὶ ἥδρασα, οἷον στύλοις τισὶ τοῖς ἐμοῖς αὐτὴν 14) ὅροις ἐρείδων· πρόσταγμα γὰρ ἔθέμην, καὶ οὐ παρελεύσεται· διὰ τοῦτο καὶ δικαστὴς ὢν, κολάζειν μὲν οὐ βούλομαι, ἀλλὰ προλέγω τὰς τιμωρίας, ἵνα τῇ ἀπειλῇ σωφρονεστέρους 15) τοὺς πλημμελοῦντας ἐργάσωμαι·

1) ὅτ' — συναγωγήν. MONTF. in Hexapl. ad h. l. hanc habet *Aquilæ* interpretationem, ὅταν λάβω συνταγάς, Cum accepero tempus statutum. *Symmacho* nonnulli tribuunt lectionem συνταγὴν pro συναγωγήν. 2) ὅτ' ἂν φησι. Cod. 1. ἀντὶ τοῦ ὅταν. 3) ἐπαν. Cod. 1. add. καὶ ἀπολάβωμεν τὴν συναγωγήν. „ et acceperimus Synagogam. „ 4) σου. Abest a Cod. 2. 5) Cod. 1. ἀθροισθῶμεν. 6) ποιεῖν. Abest a Cod. 2. 7) λόγος. Cod. 1. νοῦς. 8) E Cod. 1. 9) δικάσω. Cod. 1. add. καθάπερ καὶ τοῖς τῆς χάριτος τροφίμοις καὶ τοῖς παρανόμοις. „ Prout illis qui gratiæ alumni sunt, æque ac impiis. „ 10) ἐν αὐτῇ. Rec. lectio est αὐτήν. 11) ἐγώ. Cod. 1. add. γάρ. 12) στύλους. Cod. 1. λίθους, adscripta tamen lectione altera. 13) ὑπάρχων. Abest a Cod. 1. 14) ὅροις. Cod. 2. ὁρίοις. 15) τάς. Cod. 1. αὐτούς.

a) Ps. 136, 4.

μαι· καὶ παραινῶ, καὶ συμβουλεύω, πᾶν μὲν εἶδος ἀνομίας μυσάττεσθαι, ἐπιμελεῖσθαι δὲ τοῦ δικαίου, καὶ τοῦ μετρίου φρονήματος· ταῦτα γὰρ διὰ τῶν ἐπαγομένων 1) ἐδίδαξεν. ε΄. 2) Εἶπον τοῖς 3) παρανομοῦσι, μὴ παρανομεῖτε· καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας. Τοῦτο γὰρ πάντων χαλεπώτατον πάθος, τὸ μὴ μόνον ἁμαρτάνειν, ἀλλὰ καὶ γαυριᾷν ἐπὶ τούτῳ. ϛ΄. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν. Εἶτα δείκνυσι ποῖον ὕψος 4) καλεῖ. 5) καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν. καὶ γὰρ τὰ κερασφόρα ζῶα 6) σφόδρα ἐπὶ τοῖς κέρασι γαυριᾷ· παρεγγυᾷ δὲ αὐτοῖς ὁ λόγος, μὴ αὔξειν τῇ ἀλαζονείᾳ τὴν ἀνομίαν, μηδὲ κατὰ τοῦ Θεοῦ τὴν γλῶτταν κινεῖν. ζ΄. Ὅτι οὔτε 7) ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων· η΄. Ὅτι ὁ Θεὸς κριτής ἐστιν. Ἐξόδους τὰς ἀνατολὰς εἴρηκεν· οὕτω δὲ καὶ 8) ἡ πέμπτη ἔκδοσις· ἔρημα δὲ ὄρη, τὰ βόρεια καὶ τὰ νότια τμήματα. ταῦτα γὰρ δι᾽ ἄκραν ψυχρότητα καὶ θερμότητα, ἀοίκητα μεμένηκε παντελῶς· διδάσκει τοίνυν, ὅτι τῶν ἀδυνάτων ἐστὶ τοῦ Θεοῦ τὴν κρίσιν διαφυγεῖν· κἂν γὰρ τὰ ἑῷα 9) καταλάβῃ, κἂν τὰ ἑσπέρια, κἂν εἰς τὰ νότια, κἂν 10) εἰς τὰ βόρεια πειραθῇ διαδράναι, τῇ θείᾳ ὑπόκειται ψήφῳ. εἶτα διδάσκει τὰς τοῦ βίου μεταβολὰς, 11) γνώμῃ Θεοῦ γινομένας. Τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ. θ΄. Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου 12) ἀκράτου πλῆρες κεράσματος, καὶ 13) ἔκλινεν ἐκ τούτου εἰς τοῦτο.

ciam: et admoneo, et consulo, vt omnem speciem iniquitatis odio habeant, et iustæ, et moderatæ mentis curam gerant. Hæc enim in sequentibus docuit. 5. *Dixi iniquis, nolite inique agere, et delinquentibus, nolite exaltare cornu.* Nam hoc omnium grauissimum est malum, quod non modo peccant, verum etiam de hoc gloriantur. 6. *Nolite extollere in altum cornu vestrum.* Deinde quam altitudinem vocet ostendit. *Nolite loqui aduersus Deum iniquitatem.* Etenim animalia cornuta magnopere cornibus gloriantur. Hortatur autem ipsos sermo diuinus, ne iniquitatem superbia augeant, neque linguam in Deum moueant. 7. *Quia neque ab exitu, neque ab occidente, neque a desertis montibus.* 8. *Quoniam Deus iudex est.* Orientem dicit *Exitum*: sic etiam et quinta editio. *Montes* vero *deserti*, sunt boreales et australes partes. Hæ enim ob nimium frigus et calorem prorsus inhabitabiles permanserunt. Docet igitur, Dei iudicium effugere neminem posse. Siue enim ad orientales partes perrexerit, siue ad occiduas, siue in australes, siue in aquilonares euadere conatus fuerit, diuinæ sententiæ subiacet. Deinde docet vitæ vicissitudines, quæ diuina fiunt voluntate. *Hunc humiliat, et hunc exaltat.* 9. *Quia calix in manu Domini vini meri plenus misto, et inclinauit ex hoc in hoc.*

1) ἐδίδαξεν. Cod. 1. ἐδήλωσεν. 2) Cod. 1. Εἶπα, quæ est rec. lectio h. l. 3) παρανομοῦσι, μὴ παραν. *Hebr.* insanientibus, ne insaniatis. 4) καλεῖ. Cod. 1. add. διὰ τοῦ εἰπεῖν. 5) καὶ — ἀδικίαν. *Hebr.* (nec) loquamini collo (vestro) durum. *Symm.* λαλοῦντες τραχήλῳ ἀνομίαν. 6) Cod. 2. σφοδρῶς. 7) ἐξ. Rec. lectio h. l. est ἀπό. 8) ἡ πέμπτη ἔκδοσις. Sic quoque Symmachus. 9) καταλ. Cod. 1. add. τὰ μέρη. 10) εἰς. Abest a Cod. 2. 11) γνώμῃ Θεοῦ γινομ. Def. in Cod. 2. 12) ἀκράτου. Hebr. חמר *rubet* (vinum). 13) ἔκλινεν — τούτο. *Hebr.* et effundit ex hoc (calice).

De hoc autem calice etiam admirabilis Ieremiæ prophetia docet. *a*) Iubetur enim a Deo vniuerſorum, vt hunc accipiat, et Hieroſolymæ, et principibus, et finitimis gentibus potum præbeat. *Vinum* vero ſupplicium vocat, vtpote quod ebrietatis inſtar robur aufert, et membrorum compages diſſoluit. Dicit igitur propheta, Modo quidem nobis, modo vero illis pœnam affert: et nunc quidem hunc in altum extollit, et illum deprimit, et rurſus altitudinem in alios transfert, et calamitates immutat, et felicitates conuertit. Hæc vero non temere Babylone captiui dicere didicerunt, verum edocti prius et Babyloniorum ſeruitutem, et propriam libertatem. Nam Cyrus non multo poſt illorum potentiam euertit, et priſtinam iſtis libertatem reſtituit. *Veruntamen fex eius non eſt exinanita, bibent omnes peccatores terræ.* Grauiorem pœnam *fæcem* nuncupauit. Ego quidem, inquit, nitidius bibi, hoc eſt, minoribus malis ſuccubui, ipſam autem fæcem Babylonii potabunt, id eſt, peiora his quæ fecerunt patientur. Quandoquidem ego, cum ſeptuaginta annos ſeruiuiſſem, reditum conſecutus ſum: illi vero ſempiternæ ſeruituti tradentur. 10. *Ego autem*

Περὶ δὲ τοῦ ποτηρίου, καὶ ἡ τοῦ θεσπεσίου Ἱερεμίου προφητεία διδάσκει· κελεύεται γὰρ ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ τοῦτο λαβεῖν, καὶ ποτίσαι τὴν Ἱερουσαλὴμ, καὶ τοὺς ἄρχοντας, καὶ τὰ ὅμορα ἔθνη· οἶνον δὲ τὴν τιμωρίαν καλεῖ, ὡς τῇ μέθῃ παραπλησίως ἀφαιρουμένην τὴν δύναμιν, καὶ τὰς τῶν μορίων διαλύουσαν ἁρμονίας· λέγει τοίνυν ὁ προφητικὸς λόγος, ὅτι ποτὲ μὲν ἡμῖν, ποτὲ δὲ ἐκείνοις ὁ δίκαιος κριτὴς προσφέρει τὴν τιμωρίαν· καὶ νῦν μὲν τοῦτον ὑψοῖ, ἐκεῖνον δὲ ταπεινοῖ, καὶ 1) πάλιν τὸ ὕψος μετατίθησιν εἰς ἑτέρους, καὶ συμφορὰς ἐναλλάττει, καὶ εὐημερίας μεταβάλλει. ταῦτα δὲ οὐχ ἁπλῶς οἱ ἐν Βαβυλῶνι δορυάλωτοι ἐδιδάσκοντο λέγειν, 2) ἀλλὰ 3) προπαιδευόμενοι καὶ τὴν Βαβυλωνίων δουλείαν, καὶ τὴν οἰκείαν ἐλευθερίαν. οὐκ εἰς μακρὰν γὰρ ὁ Κῦρος ἐκείνων μὲν τὴν δύναμιν κατέλυσε, τούτοις δὲ τὴν προτέραν ἐλευθερίαν 4) ἀπέδωκε. 5) πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη· πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. τὴν χαλεπωτέραν τιμωρίαν τρυγίαν ἐκάλεσεν. ἐγὼ 6) μὲν φησὶ τὸ διειδέστερον ἔπιον, τοῦτ᾽ ἔστιν ἐλάττοσιν ὑπεβλήθην κακοῖς· αὐτὴν δὲ τὴν ὑποσαθμὴν Βαβυλώνιοι πίονται· ἀντὶ τοῦ, χαλεπώτερα ὧν εἰργάσαντο πείσονται· ἐγὼ μὲν γὰρ ἑβδομήκοντα ἔτη δουλεύσας τῆς ἐπανόδου τετύχηκα, ἐκεῖνοι δὲ διηνεκεῖ δουλείᾳ 7) παραδοθήσονται. ι. Ἐγὼ δὲ ἀγαλ-

1) πάλιν. Cod. 1. add. δὲ. 2) ἀλλά. Cod. 1. add. καὶ πάντες ἄνθρωποι. 3) Cod. 2. παιδευόμενοι. 4) ἀπέδωκε. Cod. 1. add. καθάπερ καὶ ἡμεῖς ἴσμεν τινὰς ἀθρόως ἀπὸ ὕψους εἰς αὐτὸν τὸν ᾅδην κατελθόντας, καὶ ἀπὸ ἐδάφους πάλιν ὑψωθέντας, ὥστε καὶ διάδημα βασιλικὸν περιθέσθαι, καὶ τυράννων κρατῆσαι, καὶ δόξης ἀρχοντικῆς ἐπιλαβέσθαι. „ Prout nos etiam ſcimus quoſdam celerrime ex alto in Infernum fuiſſe detruſos, ex ſolo autem iterum exaltatos, ita vt diademate cincti Tyrannis dominarentur, et maieſtate imperatoria potirentur. „ 5) πλὴν — ἐξεκενώθη. *Hebr.* immo fæces eius ſugent. 6) μέν. Abeſt a Cod. 2. Cod. 1. δέ. 7) παραδοθ. Cod. 1. add. εἰρῆσθαι δὲ ταῦτα νοήσειέν τις καὶ ἐκ προσώπου τοῦ ἐξ ἐθνῶν ἐκκλησίας-

a) Ier. 25, 15 - 28.

1) ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ. Ὥσπερ γὰρ ἡμῶν 2) πιόντων ἐκεῖνοι τοῖς ἡμετέροις κακοῖς ἐπετώθαζον· οὕτως ἡμεῖς τὴν ἐκείνων τιμωρίαν ὁρῶντες, τῷ Θεῷ τὴν ὑμνῳδίαν προσοίσομεν· οὐκ ἐκείνοις ἐπεμβαίνοντες, ἀλλ᾽ εὐγνώμονες περὶ τὰς εὐεργεσίας γενόμενοι. ια᾽. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν 3) συνθλάσω, καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου. Διὰ τούτων δὲ τῶν λόγων προεδιδάχθησαν, ὡς καὶ τοὺς ἐπιστρατεύσαντας αὐτοῖς μετὰ τὴν ἐπάνοδον καταλύσουσι πολεμίους. διά τοι τοῦτο καὶ πάντα εἶπε τὰ κέρατα τῶν 4) ἁμαρτωλῶν, ἐπειδὴ ἐκ διαφόρων συλλεγέντες τῶν ἐθνῶν, τὸν κατ᾽ αὐτῶν ἀνεδέξαντο πόλεμον· μέμνηται δὲ τούτων καὶ ἡ τοῦ Ἰεζεκιὴλ προφητεία, καὶ μέντοι καὶ ἡ τοῦ Μιχαίου, καὶ ἡ τοῦ Ζαχαρίου· ὧν καταλυθέντων λαμπροὶ ἐγένοντο καὶ περίβλεπτοι, ἅτε δὴ τοιαύτην κατορθώσαντες νίκην. κέρας δὲ δικαίου τὸ εὐσεβὲς ἐκάλεσε φρόνημα. εἰ δέ τις 5) τὸν Ζοροβάβελ νοῆσαι βουληθείη, τὸν ἐνταῦθα καλούμενον δίκαιον, ᾧ χρησάμενος ὁ Θεὸς ὑπουργῷ τὴν νίκην ἐκείνην εἰργάσατο, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται.

annunciabo in seculum, cantabo Deo Iacobi. Quemadmodum enim nobis bibentibus illi nostris malis insultabant, sic nos illorum pœnas intuentes, Deo laudes offeremus, non illis illudentes, sed grato animo beneficia prosequentes. 11. *Et omnia cornua peccatorum confringam, et exaltabitur cornu iusti.* Porro per hæc verba præmoniti fuerunt, quod illos etiam hostes debellaturi sint, a quibus bello post reditum lacessiti fuerint. Propterea igitur dixit, *omnia cornua peccatorum,* quoniam ex variis gentibus collecti, bellum in ipsos susceperunt. De his vero mentionem etiam facit Ezechielis prophetia, atque etiam Michææ, et Zachariæ. Quibus profligatis, illustres et clari euaserunt, quippe talem victoriam consecuti. Ceterum *cornu iusti,* piam mentem vocavit. Si quis vero Zorobabelem intelligere voluerit eum qui hoc loco iustus dicitur, cuius ministerio Deus victoriam illam reportauit, a veritate non aberrabit.

ΕΡΜΗΝ. ΤΟΥ οε᾽ ΨΑΛΜΟΥ.

α. Εἰς τὸ τέλος, ἐν ὕμνοις, 6) ψαλμὸς τῷ Ἀσάφ, ᾠδὴ πρὸς 7) τὸν Ἀσσύριον. Τὴν τοῦ Ἀσσυρίου προσθήκην

INTERP. PSALM. LXXV.

1. *In finem, in carminibus; Psalmus Asaph, Canticum ad Assyrium.* Additionem *Assyrii* non

στρέψαντος λαοῦ· καὶ σαφές ἐστι δηλονότι διὰ τῶν ἑξῆς· ἀποστρεψάμενος γὰρ ἀπὸ τῆς τῶν εἰδώλων κνίσης καὶ ἐπὶ σὲ τὸν μόνον Θεὸν ἀνατείνας τὴν ἐλπίδα, ταῦτα βοήσαιμι. „ Hæc autem etiam dicta esse putauerit aliquis ex persona populi e Gentilibus conuersi. Et hoc quidem ex sequentibus liquet. Auersus enim ab aruina idolis accensa, et ad te, qui solus es Deus, spem meam dirigens, ita clamauerim. „

1) ἀγαλλιάσομαι. Hebr. אַגִּיד *indicabo.* Edit. V. ἀπαγγελῶ. 2) Cod. 1. πεινώντων. Cod. 2. πινόντων. 3) Rec. lectio est συγκλάσω. 4) ἁμαρτωλῶν. Cod. 2. add. συνθλάσω. 5) τόν. Cod. vterque præm. καί. 6) ψαλμός. Abest a Cod. 2. In Cod. 1. desunt quædam vsque ad initium Ps. 78. 7) τόν. Dest. in Cod. 2.

non inueni in Hexaplo, sed in aliquibus exemplaribus. Hoc igitur argumentum habet psalmus: ea enim, quæ sub Sennacherimo acciderunt prædicit, et pœnam exercitui inflictam. 2. *Notus in Iudæa Deus, in Israele magnum est nomen eius.* Cum enim vna nocte tot tantaque millia per angelum plagam lethalem accepissent, manifestus omnibus factus fuit vniuersorum Deus, magnam de Israele curam gerens, et in Iudæa se conspiciendum præbens. 3. *Et factus est in pace locus eius, et habitatio eius in Zione.* Multitudine enim de medio sublata, qui superstites permanserant aufugerunt, diuinæ potentiæ nuncii facti: idcirco non fuerunt simul cum aliis trucidati. Hinc ciuitas pace perfrui cœpit, et opinati sunt omnes, Deo reuera placuisse in Zione habitare. Docet deinceps, quomodo notus sit in Iudæa Deus. 4. *Ibi confregit potentias arcuum, scutum, gladium et bellum.* Ante vrbis mœnia, inquit, armatos, et sagittarios, et scutatos, eodem tempore profligans, eorum penitus arma inutilia reddidit. 5. *Illuminas tu mirabiliter a montibus æternis.* Symmachus sic, Illustris es, immensus a montibus venationis. In nostris enim montibus, cum hostes mortis prædæ tradidisses, immensus et illustris apud

1) οὐχ εὗρον ἐν τῷ ἑξαπλῷ, ἀλλ' ἐν ἐνίοις ἀντιγράφοις. ταύτην μέντοι ἔχει τὴν ὑπόθεσιν ὁ ψαλμός· τὰ γὰρ κατὰ τὸν Σενναχηρεὶμ προθεσπίζει, καὶ τὴν ἐπενεχθεῖσαν τῇ στρατιᾷ τιμωρίαν. β'. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. Ἐν μιᾷ γὰρ νυκτὶ τῶν τοσούτων μυριάδων δι' ἀγγέλου τὴν θανατηφόρον δεξαμένων πληγὴν, δῆλος ἐγένετο πᾶσιν ὁ τῶν ὅλων Θεὸς, ἄγαν τοῦ Ἰσραὴλ προμηθούμενος, καὶ ἐν τῇ Ἰουδαίᾳ τὴν οἰκείαν ποιησάμενος ἐπιφάνειαν. γ'. Καὶ ἐγενήθη 2) ἐν εἰρήνῃ 3) ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών. Τοῦ γὰρ πλήθους ἀναιρεθέντος, οἱ ὑπολειφθέντες διέδρασαν, ἄγγελοι τῆς θείας γεγενημένοι δυνάμεως. τούτου χάριν, 4) σὺν τοῖς ἄλλοις οὐκ ἀνῃρέθησαν. ἐντεῦθεν ἡ πόλις τῆς εἰρήνης ἀπήλαυσε, καὶ ὑπέλαβον 5) ἅπαντες, ὡς ἀληθῶς ἐν τῇ Σιὼν κατοικεῖν ηὐδόκησεν ὁ Θεός· εἶτα διδάσκει, πῶς γνωστός ἐστιν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός. δ'. Ἐκεῖ συνέτριψε 6) τὰ κράτη τῶν τόξων, ὅπλον, καὶ ῥομφαίαν, καὶ πόλεμον. Πρὸ τῶν τῆς πόλεώς φησι περιβόλων, ὁπλίτας κατὰ ταυτὸν, καὶ τοξότας, καὶ 7) πελταστὰς ἀνελὼν, ἄχρηστα παντελῶς τὰ τούτων ἀπέφηνεν ὅπλα. ε'. 8) Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων. Ὁ δὲ Σύμμαχος οὕτως, 9) ἐπιφανὴς εἶ ὑπερμεγέθης ἀπὸ ὀρέων θήρας· ἐν γὰρ τοῖς ἡμετέροις ὄρεσι τῇ θήρᾳ τοῦ θανάτου τοὺς δυσμενεῖς παραδοὺς, ὑπερμεγέθης καὶ ἐπιφανὴς παρὰ πᾶσιν

1) οὐχ — ἑξαπλῷ. Abest etiam a Textu hebr. nec vllius Interpretis antiqui autoritate munitur, teste Scholio ad h. l. in edit. *rom.* et apud BOSIVM. 2) ἐν εἰρήνῃ. *Hebr.* in Salem. Sic quoque vertit HIERON. præeunte, vt videtur, *Aquila*, cuius hoc fragmentum ad h. l. exstat, καὶ ἐγένετο ἐν Σαλὴμ ἡ σκηνὴ αὐτοῦ. 3) ὁ τόπος αὐτοῦ. Hebr. סֻכּוֹ *tabernaculum eius.* 4) σύν. Abest a Cod. 2, 5) ἅπαντες ὡς. Des. in Cod. 2. 6) τὰ κράτη τῶν τόξων. Hebr. רשפי קשת *prunas* s. tela ignea *arcus.* 7) Cod. 2. πέλτας. 8) Φωτίζεις — αἰωνίων. *Hebr.* Illustris es (et) potens præ montibus prædæ. 9) Cod. 2. ἐπιφανὴς ἡ.

πᾶσιν 1) ἀνεδείχθης. Φωτίζεις γὰρ τῷ θαύματι τοὺς ἀγνοοῦντας, καὶ διδάσκεις ὅστις ὑπάρχεις. ς΄. 2) Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ· ὕπνωσαν ὕπνον αὐτῶν, 3) καὶ οὐχ εὗρον οὐδέν. Μείζονι γὰρ φρονήματι χρησάμενοι κατὰ σοῦ, ἀθρόαν ὑπέμειναν ταραχὴν, διὰ τὴν τῆς ψυχῆς ἀφροσύνην. καὶ ἀδεῶς καθεύδειν ὑπολαβόντες, τῆς ἐλπίδος ἐψεύσθησαν. τὸν γὰρ ὕπνον θάνατος διεδέξατο· τοῦτο καὶ ἡ ἱστορία διδάσκει, ὅτι ἀναστάντες εὗρον ἅπαντα τὰ σώματα νεκρά. πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν. ὁ δὲ Σύμμαχος οὕτως, πάντες οἱ ἄνδρες οἱ ἰσχυροὶ τὰς χεῖρας αὐτῶν. οὐδὲν αὐτοὺς, φησὶν, ὤνησε τῶν χειρῶν ἡ ῥώμη, δι᾽ ἧς τὸν ἁπάντων ἁρπάσειν προσεδόκησαν πλοῦτον· καὶ διδάσκων τί δήποτε 4) οὐδὲν ἐντεῦθεν ἀπώναντο, ἐπήγαγεν· ζ΄. Ἀπὸ ἐπιτιμήσεώς σου ὁ Θεὸς Ἰακὼβ 5) ἐνύσταξαν οἱ ἐπιβεβηκότες 6) τοῖς ἵπποις. Ἐνύσταξε φησι, καὶ παραχρῆμα κατέπεσον οἱ τὴν ἱππικὴν εἰδέναι ἀλαζονευόμενοι τέχνην· διὰ δὲ τοῦ ἐνύσταξαν τὴν τοῦ θανάτου ἐδήλωσεν εὐκολίαν. καθάπερ γὰρ ὁ νυστάζων ῥᾳδίως 7) ἐθελήσας καθεύδει, οὕτως ἐκεῖνοι σύντομον ἐδέξαντο τοῦ βίου τὸ πέρας. η΄. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; Τίς γὰρ ἱκανὸς ἀντιστῆναί σοι, καὶ διαφυγεῖν τὴν ἐπαγομένην παρὰ σοῦ τιμωρίαν; 8) ἀπὸ τότε ἡ ὀργή σου. εὐθὺς τῆς βλασφημίας ἀκούσας, ἠδύνασο τοὺς ἀλιτηρίους κολάσαι, ἀλλ᾽ ἐμακροθύμησας προσμένων τὴν μεταβολήν.

omnes ostensus es. Illuminas enim miraculo ignaros, et doces, quisnam sis. *6. Turbati sunt omnes insipientes corde: dormiuerunt somnum suum, et nihil inuenerunt.* Magna enim superbia elati contra te, repentinum tumultum perpessi sunt ob animae stultitiam, et secure se dormire opinantes, spe frustrati sunt; quandoquidem somno mors successit. * Hoc etiam historia docet. Cum enim surrexissent, cadauera tantum inuenerunt. *Omnes viri diuitiarum in manibus suis.* Symmachus sic edidit, Omnes viri robusti manibus suis. Nihil, inquit, manuum robur ipsos adiuuit, per quod omnium diuitias se direpturos sperauerunt. Et docens, cur nihil inde adiuti sint, subdidit: *7. Ab increpatione tua Deus Iacobi dormitauerunt qui adscenderunt in equos.* Annuisti tantum, inquit, et actutum ceciderunt illi, qui equestrem artem scire se gloriabantur. Verbo autem *dormitauerunt* mortis procliuitatem declarauit. Quemadmodum enim homo nictans, facile si voluerit, dormit, sic illi subitum vitae finem acceperunt. *8. Tu terribilis es, et quis resistet tibi?* Quis enim potest tibi reluctari, et effugere poenam, quae a te irrogatur? *Ex tunc ira tua.* Subito cum blasphemias audisses, sceleratos illos afficere supplicio potuisti, sed aequo animo tulisti, mutationem exspectans.

9. De

1) Cod. 2. ἐδείχθης. 2) Ἐταράχθησαν — καρδίᾳ. *Hebr.* Spoliati sunt, s. praeda facti sunt, omnes fortes corde. 3) καὶ — οὐδέν. Haec cum sequentibus coniungenda fuissent. Is enim est sensus verborum Textus hebr. *nec inuenit ullus virorum fortium manum suam.* 4) οὐδὲν. Abest a Cod. 2. 5) ἐνύσταξαν — ἵπποις. *Hebr.* sopitus est tum currus, tum equus. 6) Cod. 2. τοὺς ἵππους. 7) Cod. 2. θελήσας. 8) ἀπὸ — σου. Rec. lectio h. l. est ἀπὸ τῆς ὀργῆς σου. Hebr. מאז אפך *ex quo ira tua* sc. exarsit.

9. *De caelo audiri fecisti iudicium.* E caelo, inquit, sententias pronuncias contra quos volueris. Hoc quidem *audiri fecisti*, audiendum praebebis Symmachus dixit. *Terra timuit, et quieuit, 10. Dum exsurgeret in iudicium Deus, vt saluos faceret omnes mansuetos terrae.* Timore, inquit, impleti sunt omnes, et ab impetu contra nos cessarunt, cum viderent, te veluti quendam iudicem, in illos quidem sententiam protulisse, et eos, qui rectis cogitationibus vsi sunt, et qui tuam opem annunciant, salutis compotes factos fuisse. 11. *Quoniam cogitatio hominis confitebitur tibi, et reliquiae cogitationis diem festum agent tibi.* Cum haec bona consecuti simus, hymnorum cantui cogitationes consecramus, ne minimam quidem earum partem in aliam curam transferentes. 12. *Vouete, et reddite Domino Deo nostro.* Sese inuicem cohortantur, vt promittant dona, et promissiones perficiant. Turpe enim et ingrati animi crimen est, si finitimi quidem ob timorem hoc faciunt, illi autem qui beneficium consecuti sunt, ingrati animi morbo laborant. Hoc enim per ea, quae sequuntur, ostendit. * *Omnes qui in circuitu eius sunt, afferent munera terribili. 13. Et ei qui aufert spiritum principum, terribili apud reges terrae.* Afferent autem dona, cum propter edita miracula perterrefacti fuerint, ac rerum euentu didicerint, ipsum vere Deum esse, qui potentibus, et terrae

θ΄. Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν. Ἄνωθέν φησιν ἐκφέρεις τὰς ψήφους καθ' ὧν ἐθέλεις· τὸ μέντοι 1) ἠκούτισας, ἀκουστὴν 2) ποιήσεις ὁ Σύμμαχος εἴρηκεν. Γῆ ἐφοβήθη, καὶ ἡσύχασεν, ι΄. Ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν, τοῦ σῶσαι πάντας τοὺς πρᾳεῖς 3) τῆς γῆς. Δέους φησὶν ἐπλήσθησαν ἅπαντες, καὶ τῆς καθ' ἡμῶν ἐπαύσαντο προσβολῆς, θεασάμενοί σε καθάπερ τινὰ δικαστὴν, κατ' ἐκείνων μὲν ἐξενεγκόντα τὴν ψῆφον, τοὺς δὲ ὀρθοῖς λογισμοῖς χρησαμένους, καὶ τὴν σὴν βοήθειαν 4) ἀπαγγείλαντας, τῆς σωτηρίας τετυχηκότας. ια΄. Ὅτι 5) ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, 6) καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι. Τούτων ἀπολαύσαντες τῶν ἀγαθῶν, εἰς ὑμνῳδίαν ἀφιεροῦμεν τοὺς λογισμοὺς, οὐδὲ βραχὺ αὐτῶν μόριον εἰς ἑτέραν ἀχολοῦντες φροντίδα. ιβ΄. Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ 7) ἡμῶν. Ἀλλήλοις ἐγκελεύονται καὶ ὑποσχέσθαι δῶρα, καὶ πληρῶσαι τὰς ὑποσχέσεις. αἰσχρὸν γὰρ καὶ ἀγνωμοσύνης μεστὸν, τοὺς μὲν ὁμόρους ἅπαντας τοῦτο δρᾶσαι διὰ τὸ δέος, τοὺς δὲ τῆς εὐεργεσίας τετυχηκότας 8) ἀχαριστίᾳ νοσῆσαι. τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων ἐδήλωσε. Πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα τῷ φοβερῷ, ιγ΄. Καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Κομιοῦσι δὲ τὰ δῶρα, ὑπὸ τῶν γεγενημένων 9) ἐκδειματωθέντες θαυμάτων, καὶ διὰ τῶν πραγμάτων μεμαθηκότες, ὡς 10) οὗτος ἀληθῶς ὑπάρχει Θεὸς, ὁ καὶ τοῖς δυναστεύουσι, καὶ τῆς γῆς βασι-

1) ἠκούτισας. Cod. 2. add. κρίσιν. 2) Cod. 2. ποιήσει. 3) τῆς γῆς. Ita leg. in edit. *ald.* et *compl.* Rec. lectio est τῇ καρδίᾳ. 4) Cod. 2. ἐπαγγείλαντας. 5) ἐνθύμιον. Hebr. חמת *ira.* Symm. θυμός. 6) καὶ — σοί. *Hebr.* residuo irarum accinges te. *Symm.* λείψανον θυμοῦ περιζώσθιν. 7) ἡμῶν. Praestat lectio ὑμῶν, quam habent quidam libri veteres. Hebr. אלהיכם. 8) Cod. 2. ἀχαριστίαν. 9) ἐκδειμ. Cod. 2. praem. καί. 10) οὗτος. Abest a Cod. 2.

βασιλεύειν ὑπειληφόσι, θάνατον 1) ἐπάγων.

ΕΡΜΗΝ. ΤΟΥ ος΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοὺμ, ψαλμὸς τῷ 2) Ἀσάφ. Ὁ δὲ Σύμμαχος, διὰ Ἰδιθούμ· χορὸν δὲ καὶ αὐτὸς ἐπεπίστευτο 3) τὸν Θεὸν ἀνυμνούντων· τοῦτον τοίνυν ὁ Ἀσὰφ, ἢ αὐτὸς εἴρηκως, ἢ τῇ τοῦ Δαβὶδ ὑπουργῶν προφητείᾳ. ἀποφήνασθαι γὰρ περὶ τῶν ἀμφιβαλλομένων οὐκ ἀκίνδυνον. προλέγει 4) δὲ τῶν ἐν Βαβυλῶνι δουλεύειν ἠναγκασμένων Ἰσραηλιτῶν, καὶ τὰς τῶν λογισμῶν διχονοίας, καὶ τὰς ἐντεῦθεν φυομένας ὀδύνας· διδάσκει δὲ καὶ ποίαν αὐτοὺς προσήκει τῷ Θεῷ προσενεγκεῖν προσευχὴν, τὴν τῶν κακῶν αἰτοῦντας ἀπαλλαγήν. ἐσχημάτισε δὲ τὸν ψαλμὸν, ὡς μετὰ τὴν ἐπάνοδον ταῦτα 5) αὐτὰ διηγουμένων, καὶ τὸν Θεὸν ἀνυμνούντων. β΄. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, 6) Φωνῇ μου πρὸς τὸν Θεὸν, καὶ πρόσεχέ μοι. Σπουδαίως, φησὶ, τὴν προσευχὴν προσενήνοχα, καὶ συντόμως τὴν αἴτησιν ἔλαβον. εἶτα τὸν 7) τούτων διδάσκει καιρόν. γ΄. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα. Ὀδύναις γὰρ βαλλόμενος ἐπιμελῶς τὴν θείαν ἐπικουρίαν ἐξεζήτησα· τὸ γὰρ ἐξεζήτησα τὴν σπουδαίαν αἰνίττεται προσευχήν· ἔπειτα δείκνυσι τῆς ἱκετείας τὸν τρόπον. 8) ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. ὁ δὲ Σύμμαχος οὕτως· ἡ χείρ μου νυκτὸς 9) ἐκτέτακται διηνεκῶς· νύκτωρ ἡσυχίαν ἄγων τὰς χεῖρας ἐξέτεινον, τυχεῖν φιλανθρωπίας ἀντιβολῶν, καὶ οὐ διήμαρτον τῆς ἐλπίδος. τοῦτο γὰρ σημαίνει τὸ οὐκ

imperare ſe opinantibus, mortem infert.

INTERPR. PS. LXXVI.

1. *In finem, pro Idithumo. Pſalmus Aſaph.* Symmachus *per Idithumum.* Huic vero etiam chorus Deum laudantium commiſſus erat. Hunc igitur pſalmum Aſaph vel ipſe dixit, vel Dauidis vaticinationi ſubſeruiit. Decidere enim de rebus dubiis, periculo non vacat. Ceterum prædicit Iſraelitarum, qui Babylone ſeruire coacti ſunt, ancipites cogitationum motus, et dolores, qui hinc emanabant. Docet autem, quas preces par erat illos Deo offerre, malorum liberationem poſtulantes. Formauit vero pſalmum, tanquam ſi filii poſt reditum hæc narrarent, et Deum laudibus proſequerentur. 2. *Voce mea ad Dominum clamaui, voce mea ad Deum, et attendit ad me.* Studioſe, inquit, preces obtuli, et ſtatim petitionis compos factus ſum. Deinde horum tempus docet. 3. *Die tribulationis meæ Deum exquiſiui.* Doloribus enim confixus diligenter diuinam opem expetiui. Siquidem illud *exquiſiui* ſtudioſas preces innuit. Deinde oſtendit obſecrationis modum. *Manibus meis nocte contra eum, et non ſum deceptus.* Symmachus autem ſic, Manus mea nocte continue extenſa eſt. Noctu quietem agens manus ſuſtuli, ſupplicans vt benignitatem conſequerer, et ſpe minime decidi. Hoc enim ſignificat, *Non ſum deceptus.*

1) Cod. 2. ἐπάγειν δυνάμενος. 2) Ἀσάφ. Prior editio habebat Δαβίδ. 3) Cod. 2. τῶν. 4) Cod. 2. μὲν. 5) Cod. 2. αὐτῶν. 6) Φωνῇ. Rec. lectio eſt καὶ ἡ φωνή. 7) Cod. 2. τοῦτο. 8) ταῖς — ἠπατήθην. *Hebr.* manus mea noctu extenſa eſt, nec remittitur. 9) Cod. 2. ἐκτέτατο, quam lectionem etiam habet MONTF. in Hexapl. ad h. l.

deceptus: quasi dicat, Non frustra vigilaui, sed obsecrationis fructum percepi. *Renuit solatio erigi anima mea.* 4. *Memor fui Dei, et delectatus sum.* Omnem * quidem consolationis causam * abieci, solam autem consolationem Dei memoriam habui. *Exercebar, et defecit Spiritus meus.* Symmachus vero sic, Mecum ipse loquebar, et animo deficiebam. Mecum continuo loquens, et mala quibus distinebar cogitans, desperabam, me vnquam ab illis liberum fore, et stimulos acerbi mœroris patiebar. 5. *Anticipauerunt vigilias oculi mei.* *Vigilias* vocat noctis diuisiones, secundum quas custodes sibi inuicem excubias tradunt. Declarat autem his verbis, se per totam noctem vigilare. *Turbatus sum, et non sum locutus.* Hæc iidem in quadragesimo primo psalmo a) dixerunt, Apud me ipsum anima mea turbata est. Non enim sustinebam meas cogitationes aliis patefacere. 6. *Cogitaui dies antiquos, et annos æternos in mente habui.* 7. *Et meditatus sum.* Priorum, inquit, beneficiorum tuorum memoriam renouaui, et perpendi, quot beneficia maiores nostri a te consecuti sint: quomodo ab Aegyptiorum seruitute liberati fuerint, quomodo mare rubrum transierint, et quomodo promissa patribus terra potiti sint. *Nocte cum*

ἠπατήθην, ἀντὶ τοῦ, οὐ μάτην ἠγρύπνησα, ἀλλ' ἐδρεψάμην τῆς εὐχῆς τὸν καρπόν. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου. δ'. Ἐμνήσθην τοῦ Θεοῦ, 1) καὶ εὐφράνθην. Πᾶσαν μὲν 2) ἀπεσεισάμην παραψυχῆς ἀφορμὴν, ψυχαγωγίαν δὲ μόνην εἶχον τοῦ 3) Θεοῦ τὴν μνήμην. 4) ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. 5) ὁ δὲ Σύμμαχος οὕτως· διελάλουν ἐμαυτῷ, καὶ ἐλειποθύμουν. συνεχῶς ἐμαυτῷ προσδιαλεγόμενος, καὶ τὰ συνέχοντά με κακὰ 6) λογιζόμενος, ἀπηγόρευον τὴν τούτων ἀπαλλαγὴν, καὶ πικρᾶς ἐδεχόμην τῆς ἀθυμίας τὰς ἀκίδας. έ. 7) Προκατελάβοντο φυλακὰς 8) οἱ ὀφθαλμοί μου. Φυλακὰς καλεῖ, τὰς τῆς νυκτὸς διαιρέσεις, καθ' ἃς οἱ φύλακες ἀλλήλοις τὴν φυλακὴν ἐγχειρίζουσι· δηλοῖ δὲ διὰ τούτων τὴν διὰ πάσης τῆς νυκτὸς ἀγρυπνίαν. ἐταράχθην, καὶ οὐκ ἐλάλησα. ταῦτα οἱ αὐτοὶ καὶ ἐν τῷ ΜΑ' 9) ψαλμῷ· πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη· οὐ γὰρ ἠνειχόμην ἄλλοις τοὺς ἐμοὺς λογισμοὺς ἐκφῆναι. ς'. Διελογισάμην ἡμέρας ἀρχαίας· καὶ ἔτη αἰώνια 10) ἐμνήσθην. ζ'. 11) Καὶ ἐμελέτησα. Τῶν προτέρων σου, φησὶν, εὐεργεσιῶν ἀνενεώμην τὴν μνήμην, καὶ ἐνεθυμούμην, ὅσων παρὰ σοῦ τετυχήκασιν εὐεργεσιῶν οἱ ἡμέτεροι πρόγονοι· ὅπως τῆς Αἰγυπτίων δουλείας ἠλευθερώθησαν, ὅπως τὴν ἐρυθρὰν διέβησαν θάλασσαν, ὅπως τὴν ἐπηγγελμένην τοῖς πατράσιν 12) ἀπέλαβον γῆν. νυκτὸς μετὰ τῆς

καρδίας

1) καὶ εὐφρ. Hebr. ואהמיה et perstrepo, s. ingemisco. 2) Cod. 2. ἀπεσειόμην. 3) Θεοῦ. Cod. 2. add. μου. 4) ἠδολέσχ. Hebr. אשיחה *meditabor*. 5) ὁ — οὕτως. Des. in Cod. 2. 6) Cod. 2. διαλογιζόμενος. 7) Προκατελάβοντο — ὀφθ. μου. *Hebr.* Tenes custodias s. palpebras, oculorum meorum. 8) οἱ ὀφθ. μου. Ita leg. in edit. *ald.* et *compl.* Rec. lectio est οἱ ἐχθροί μου. 9) ψαλμῷ. Cod. 2. præm. εἶπον. 10) ἐμνήσθην. In Textu hebr. h. l. incipit versic. 7. 11) καὶ ἐμελέτησα. Hebr. נגינתי instrumenti mei pulsatilis (recordor). *Symm.* ψαλμὸς μου. 12) Cod. 2. ἔλαβον.

a) Ps. 41, 7.

καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου. τὸ δὲ 1) ἔσκαλλεν, ὁ μὲν Θεοδοτίων, 2) ἐξηρεύνησεν· ὁ δὲ Ἀκύλας, 3) ἐσκάλευσεν εἴρηκε· ταῦτα δέ φησι νύκτωρ 4) πρὸς ἐμαυτὸν διαλογιζόμενος ἀνηρεύνων, τί δήποτε τῶν μὲν ἡμετέρων προγόνων τοσαύτην ἐποιήσατο πρόνοιαν, ἡμῶν δὲ κακοπραγούντων ὑπερορᾷ; ἐλογιζόμην δὲ πρὸς τούτοις καὶ ταῦτα. η. Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; θ. Ἢ εἰς τέλος 5) τὸ ἔλεος αὐτοῦ ἀποκόψει; Ἆρα μὴ παντελῶς τὰ καθ' ἡμᾶς ἀπηγόρευσε, καὶ ἀλλοτρίους ἡμᾶς τῆς 6) οἰκείας κηδεμονίας ἀπέφηνε; 7) συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν. ὁ δὲ Σύμμαχος οὕτως· συνετέλεσε ῥῆσιν περὶ γενεᾶς ἑκάστης. ἐδεδίειν 8) δὲ καὶ τοῦτό φησιν, ὅτι ἄνωθεν τὰ καθ' ἑκάστην γενεὰν προγινώσκων, τοὺς καθ' ἑκάστην γενεὰν ὅρους ἐκφέρει. ι. 9) Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ; Ἀλλὰ πάλιν ἐμαυτὸν ἐψυχαγώγουν λογιζόμενος, ὡς ὁ φιλοικτίρμων Θεὸς, οὐκ ἀνέξεται οἷόν τινι λήθῃ τὰ καθ' ἡμᾶς παραδοῦναι, καὶ καθάπερ τινὶ τειχίῳ τῇ ὀργῇ κωλῦσαι τὰς τοῦ 10) ἐλέου πηγάς. ια. Καὶ εἶπα, 11) νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. Ἐγώ φησι πρόξενος ἐγενόμην ἐμαυτῷ τῆς τοιαύτης μεταβολῆς· ἐγὼ διὰ τῆς ἁμαρ-

corde meo exercitabar, et farriebat spiritus meus. Pro *farriebat*, Theodotio dixit scrutatus est, Aquila vero, quasi effodit et scalpsit. Cum hæc, inquit, noctu mecum ipse mente reuoluerem, scrutatus sum, cur de nostris maioribus talem curam gesserit, nos vero afflictos despiciat? Et præter hæc ista etiam cogitabam. *8. Numquid in æternum abiiciet Deus, aut non amplius beneplacitum habebit? 9. Aut in finem misericordiam suam abstindet?* Numquid igitur penitus res nostras abiecit, et nos a sua cura alienos fecit? *Consummauit verbum a generatione in generationem.* Symmachus sic, Perfecit sermonem de qualibet generatione. Timueram autem et hoc, inquit, quoniam Deus præuidens a principio quæ singulis seculis euentura erant, secundum vnamquamque ætatem definita profert. *10. Aut obliuiscetur misereri Deus? aut continebit in ira sua miserationes suas?* Sed rursus me consolabar, cogitans, Deum misericordem non passurum esse, vt res nostras veluti cuidam obliuioni traderet, et veluti quodam pariete, fontes misericordiæ ira cohiberet. * *11. Et dixi, nunc cœpi; hæc mutatio dexteræ excelsi.* Ego, inquit, huius mutationis conciliator mihi ipsi fui. Ego per peccatum

1) Rec. lectio est ἔσκαλλεν. Hebr. ויחפש *et perscrutabatur.* 2) ἐξηρ. Sic quoque *Symm.* qui habet ἀνηρεύνων. 3) Cod. 2. ἐκάλεσεν, ex errore Librarii, vt videtur. 4) πρὸς ἐμαυτόν. Def. in Cod. 2. 5) τὸ — ἀποκόψει. Rec. lectio est ἀποκόψει τὸ ἔλεος ἀπὸ γενεᾶς καὶ γενεᾶς, omissis verbis illis גמר אמר quæ deinde in Textu nostro per συνετέλεσε — γενεὰν iuxta lectiones edit. *ald.* et *compl.* exprimuntur, 6) οἰκείας. Cod. 2. ἰδίας. 7) συνετ. ῥῆμα. *Hebr*, num desiit verbum, s. promissio? 8) δέ. Abest a Cod. 2. 9) Μή. Rec. lectio est ἦ. 10) Cod. 2. ἐλέους. 11) νῦν ἠρξάμην. Hebr. חלותי *infirmitas mea.* Aqu. ἀρρωστία μου. Theod. ὠδῖνές εἰσιν.

tum supplicium genui: principium igitur malorum habeo. Nunc incepi erudiri per dexteram Excelsi, quæ pro pristinis beneficiis sinistras pœnas irrogat. *Mutationem* enim *dexteræ Dei*, pœnam vocauit: vtpote quod dextera Altissimi soleat bona subministrare. Verum nec hæ cogitationes mihi satis fuerunt. Admonui autem me ipsum de Domini bonitate. Hoc enim dicit. 12. *Memor fui operum Domini, quia memor ero ab initio mirabilium tuorum.* 13. *Et meditabor in omnibus operibus tuis, et in studiis tuis exercebor.* Omnia enim miracula, quæ a principio nostri causa edidisti, in medium afferam, et ipsa continue meditans, bonas spes minime abiiciam. 14. *Deus, in sancto via tua.* Symmachus sic, Deus in sanctificatione via tua: Aquila vero, In sanctificato. Sanctus es, inquit, et in sancto requiescis, et in his habitas, et deambulas. *Quis Deus magnus, sicut Deus noster?* 15. *Tu es Deus, qui facis mirabilia solus.* Omnibus præstas, Domine: solus enim, quæ volueris, miracula edis. *Notam fecisti in populis virtutem tuam.* 16. *Redemisti brachio tuo populum tuum, filios Iacobi et Iosephi.* Omnibus hominibus potentiam tuam demonstrasti, ab Aegyptiorum seruitute liberans populum, qui tuus vocatur, qui progenitorem habuerunt Iacobum, et ex cognatione Iosephi illustres euaserunt. 17. *Viderunt te aquæ o Deus, viderunt te aquæ, et timuerunt, et turbatæ sunt abyssi.*

τίας τὴν τιμωρίαν ἐγέννησα. ἀρχὴν τοίνυν ἔχω τῶν κακῶν· νῦν ἠρξάμην παιδεύεσθαι 1) ὑπὸ τῆς δεξιᾶς τοῦ ὑψίστου, ἀντὶ τῶν προτέρων εὐεργεσιῶν τὰς εὐωνύμους τιμωρίας ἐπιφερούσης. ἀλλοίωσιν γὰρ τῆς τοῦ Θεοῦ δεξιᾶς τὴν τιμωρίαν ἐκάλεσεν, ὡς τῆς δεξιᾶς 2) τοῦ ὑψίστου εἰωθυίας τὰ ἀγαθὰ χορηγεῖν. ἀλλ' οὐδὲ τούτοις ἠρκέσθην τοῖς λογισμοῖς· ἀνέμνησα δὲ ἐμαυτὸν καὶ τῆς ἀγαθότητος τοῦ Δεσπότου. τοῦτο γὰρ λέγει. ιβ΄. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου. ιγ΄. Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω. Πάντα γάρ σου τὰ ἐξ ἀρχῆς εἰς ἡμᾶς γεγενημένα θαυμάσια εἰς μέσον προθήσω, καὶ ἐν 3) αὐτοῖς διηνεκῶς τὴν μελέτην ποιούμενος, τὰς χρηστοτέρας ἐλπίδας οὐκ ἀποῤῥίψω. ιδ΄. Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. Ὁ δὲ Σύμμαχος οὕτως· ὁ Θεὸς ἐν ἁγιασμῷ ἡ ὁδός σου. ὁ δὲ Ἀκύλας, ἐν ἡγιασμένῳ· ἅγιος εἶ, φησὶ, καὶ ἐν 4) ἁγίῳ ἀναπαύῃ, καὶ ἐν τούτοις ἐνοικεῖς, καὶ ἐμπεριπατεῖς. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς 5) ἡμῶν; ιε΄. Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια 6) μόνος. Πάντων ὑπερέχεις 7) Δέσποτα· μόνος γὰρ ἅπερ ἐθέλεις θαυματουργεῖς. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου. ις΄. Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ. Ἅπασιν ἀνθρώποις τὸ σὸν δεδήλωκας κράτος, τῆς Αἰγυπτίων ἐλευθερώσας δουλείας τὸν χρηματίσαντά σου λαόν· οἱ πρόγονον μὲν ἔχον τὸν Ἰακὼβ, περιφανεῖς δὲ ἐκ τῆς τοῦ Ἰωσὴφ ἀπεφάνθησαν συγγενείας. ιζ΄. Εἴδοσάν σε ὕδατα ὁ Θεὸς, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, ἐταράχθησαν ἄβυσσοι. ιη΄. Πλη-

1) ὑπό. Abest a Cod. 2. 2) τοῦ ὑψίστου. Des. ibid. 3) αὐτοῖς. Cod. 2. τούτοις. 4) Cod. 2. ἁγίοις. 5) ἡμῶν. Abest a Textu hebr. 6) μόνος. Abest a Textu hebr. et græco τῶν ό. 7) Δέσποτα. Cod. 2. præm. ὦ, et addit Κύριε.

ιη'. 1) Πλῆθος ἤχους ὑδάτων. Διὰ πάντων, Δέσποτα, τὴν σὴν ἔδειξας δύναμιν. Αἰγυπτίους ἐμαστίγωσας, τὸν σὸν λαὸν ἠλευθέρωσας, ἐπεφάνης τῇ θαλάσσῃ, καὶ διῃρέθη τὸ πέλαγος, καὶ ἡ ῥοώδης ἑκατέρωθεν ἔστη φύσις. Φωνὴν ἔδωκαν αἱ νεφέλαι· καὶ γὰρ τὰ βέλη σου διαπορεύονται. ιθ'. Φωνὴ τῆς βροντῆς σου ἐν τῷ 2) τροχῷ. Ὁ δὲ Σύμμαχος, 3) ἦχον ἔδωκεν αἰθήρ· νότου γὰρ, ὥς φησιν ἡ ἱστορία, βιαίως 4) πνέοντος, διῃρέθη τὸ πέλαγος· τοῦ δὲ ἀέρος συστρεφομένου, καὶ τῶν νεφῶν συνισταμένων, ὁ ἄνεμος τίκτεται· αἱ δὲ τιμωρίαι σου, φησὶ, δίκην βελῶν κατὰ τῶν πολεμίων ἐχώρουν· τῷ δὲ κτύπῳ τῆς βροντῆς τοὺς τῶν Αἰγυπτίων ἁρμάτων τροχοὺς συνεπόδισας. τοῦτο δὲ καὶ ἡ ἱστορία διδάσκει. ἐγενήθη 5) γὰρ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ, καὶ 6) εἰσέβλεψε Κύριος εἰς τὴν παρεμβολὴν τῶν Αἰγυπτίων, καὶ συνέδησε τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἦγεν αὐτοὺς μετὰ βίας. ἔφαναν αἱ ἀστραπαί 7) σου τῇ οἰκουμένῃ. τῆς γὰρ θαυματουργίας τὸ φῶς δίκην ἀστραπῆς εἰς 8) πᾶσαν τὴν οἰκουμένην διέδραμεν. ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. δέους ἐπλήσθησαν ἅπαντες τὴν σὴν ἀκούσαντες δύναμιν· τοῦτο καὶ Ῥαὰβ ἡ πόρνη πρὸς τοὺς κατασκόπους ἔφη· 9) ὁ φόβος ὑμῶν, καὶ ὁ τρόμος ὑμῶν, ἔπεσεν ἐφ' ἡμᾶς· ἠκούσαμεν γὰρ, ὅπως κατεδίειλε Κύριος ὁ Θεὸς ὑμῶν τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ προσώπου ὑμῶν. κ'. Ἐν τῇ θαλάσσῃ 10) ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

18. *Multitudo sonitus aquarum.* Per omnia, Domine, tuam potentiam ostendisti. Nam Aegyptios flagellasti, tuum populum liberasti, in mari apparuisti, et pelagus diuisum est, et fluxa natura vtrinque constitit. *Vocem dederunt nubes: etenim sagittae tuae transeunt.* 19. *Vox tonitru tui in rota.* * Symmachus sic, Sonitum dedit aether. Nam vehementi flante Noto, vt historia refert, mare diuisum fuit; aere autem conuoluto, et nubibus coactis, ventus oritur. Supplicia autem tua, inquit, sagittarum instar in inimicos venerunt: fragore vero tonitru curruum Aegyptiorum rotas impedisti. Hoc et historia docet: *a)* Factum enim est in vigilia matutina, et inspexit Dominus castra Aegyptiorum, et colligauit axes curruum ipsorum, et egit eos cum violentia. *Illuxerunt fulmina tua orbi terrae.* Nam miraculorum lux, instar fulguris, totum terrarum orbem peruasit. *Commota est et contremuit terra.* Perhorruerunt omnes, tuam potentiam audientes. Hoc et Raab meretrix speculatoribus dixit: *b)* Terror vester et tremor vester irruit in nos. Audiuimus enim, quo pacto Dominus Deus vester mare rubrum diuisit coram vobis. 20. *In mari via tua, et semitae tuae in aquis multis, et vestigia tua non cognoscentur.*

1) Πλῆθος — ὑδάτων. *Hebr.* Effuderunt aquas nubes. 2) τροχῷ. Hebr. בַּגַּלְגַּל *in turbine* sc. audita est. 3) ἦχον. Cod. 2. φωνήν. 4) Cod. 2. πνεύσαντος. 5) γάρ. Cod. 2. add. φησί. 6) Cod. 2. ἐπέβλεψε. 7) σου. Abest a Textu hebr. 8) Cod. 2. ἅπασαν. 9) ὁ. Cod. 2. praem. ὅτι. 10) ἡ ὁδός. Cod. 2. αἱ ὁδοί, quae est lectio edit. *ald.* et *compl.*

a) Ex. 14, 24. 25. *b)* Ios. 2, 9. 10.

tur. Facile est tibi et mare diffindere, et super multis aquis vehi, et ne vestigium quidem relinquere: incorpoream enim habes naturam. Hæc autem superioribus adiecit. Etenim, inquit, nemini conspectus populi dux fuisti, neque vestigium tui gressus nobis ostendisti. 21. *Deduxisti populum tuum sicut oues, per manum Mosis et Aaronis.* Nam illis ministris vsus, et per illos locutus, tuum populum deduxisti, et tuam legem docuisti. Horum autem omnium mentionem fecerunt, Deum omnium ad misericordiam excitantes, precantesque, vt eadem ope digni haberentur.

ται. Ῥᾴδιόν σοι καὶ θάλασσαν 1) διατεμεῖν, καὶ 2) ἐπὶ ὑδάτων ἐποχεῖσθαι πολλῶν, καὶ μηδὲ ἴχνος καταλιμπάνειν· ἀσώματον γὰρ ἔχεις τὴν φύσιν. ταῦτα δὲ τοῖς ἄνω 3) προστέθεικεν· ἀοράτως γάρ φησιν ἡγούμενος τοῦ λαοῦ, οὐδὲ ἴχνος ἡμῖν τῆς σῆς πορείας ἔδειξας. κα΄. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ 4) Μωσῆ καὶ Ἀαρών. Ἐκείνοις γὰρ χρώμενος ὑπουργοῖς, καὶ δι' ἐκείνων φθεγγόμενος, τὸν σὸν λαὸν ἐποδήγησας, καὶ τὸν σὸν ἐξεπαίδευσας νόμον. τούτων δὲ ἁπάντων ἐποιήσαντο μνήμην, εἰς ἔλεον τὸν τῶν ὅλων Θεὸν διεγείροντες, καὶ παρακαλοῦντες τῆς αὐτῆς 5) ἀπολαῦσαι κηδεμονίας.

INTERP. PS. LXXVII.

1. Prudentia *Asaph.* Deus vniuersorum, cum legem antiquam dedisset filiis Israel, iussit

ΕΡΜΗΝ. ΤΟΥ οζ΄ ΨΑΛΜΟΥ.

α΄. Συνέσεως τῷ Ἀσάφ. 6) Τὸν παλαιὸν δεδωκὼς νόμον ὁ τῶν ὅλων Θεὸς τοῖς υἱοῖς Ἰσραὴλ, προσέταξε τοῦτον

1) Cod. 2. τεμεῖν. 2) Cod. 2. ἐφ'. 3) Cod. 2. προστεθείκαμεν. 4) Cod. 2. Μωϋσῆ, quæ est rec. lectio h. l. 5) Cod. 2. ἀπολαύεσθαι. 6) Τὸν παλαιὸν κ. τ. λ. In Cod. *flor.* a Cel. BANDINIO in Catalogo Codd. MSS. Biblioth. mediceæ *laur.* T. I. p. 34. sqq. descripto, hoc exstat Procemium: "Ἴσως δὲ καὶ ὁ Δαβὶδ διὰ τὸ δεῖξαι τοὺς ἀφισαμένους Θεοῦ, τῶν κακῶν αἰτίους ἑαυτοῖς γινομένους, διηγεῖται τὴν ἐν ἐρήμῳ δυσπιστίαν καὶ ἀντιλογίαν τοῦ Ἰσραήλ. ἐπιτομώτερον δὲ καὶ τὰ θαύματα λέγει, καὶ οὔτε πάντα, οὔτε ἐν τάξει, ἀλλ' ἀπαρατηρήτως, καὶ ὅσα καὶ ὅπως ἐπὶ νοῦν ἦλθεν αὐτῷ. οὐ γὰρ ἱστορεῖν αὐτῷ προὔκειτο, ἀλλὰ στηλιτεῦσαι τὴν ἀχαριστίαν τῶν Ἰουδαίων. καὶ ἄρχεταί γε βασιλικῶς εὐθὺς, λαὸν ἑαυτοῦ λέγων τοὺς ὑποτεταγμένους αὐτῷ καὶ κελεύων προσέχειν τῷ οἰκείῳ νόμῳ ἢ ταῖς οἰκείαις ὑποδείξεσι κατὰ Σύμμαχον· οἷον γάρ τινα νόμον φησὶ, τὴν προκειμένην προσφέρει παραίνεσιν. ἐπεὶ καὶ νόμος ἦν ἀρχαῖος τὰς τοῦ Θεοῦ μὴ κρύπτειν εὐεργεσίας, ἀλλὰ διηγεῖσθαι τὰς καθ' ἕκαστον τοῖς μετ' αὐτοὺς, ὥστε διαβαίνειν εἰς γενεὰς τῶν ὑπαρξάντων ἀγαθῶν τὰς μνήμας. „ Eodem quoque modo Dauid, vt ostenderet, eos qui a Deo defecerant calamitatis suæ fuisse autores, enarrat, quomodo Iudæi in deserto vix a se impetrare potuerint, vt crederent, Deo autem contradixerint. Exponit vero etiam, licet breuius, miracula, at vero nec omnia, nec secundum ordinem, sed nulla obseruata serie, eo duntaxat numero et ordine, quo obuersabantur eius animo. Noluit enim Historicum agere, sed ingratam Iudæorum mentem memoriæ prodere. Sermonem autem more regio orditur, subditos suos populum suum dicens, ac iubens, vt ad legem quam dederat, aut argumenta, vt Symmachus habet, attenderent. Admonitionem enim istam instar legis profert.

τον διηνεκῶς 1) ἐκπαιδεύεσθαι, καὶ τὰ τέκνα διδάσκειν· καὶ μὲν δὴ καὶ τῶν ἑορτῶν τὰς αἰτίας, τοῖς ἐκγόνοις ὑποδεικνύναι, ὡς ἂν τὰς θείας εὐεργεσίας μανθάνοντες, εὐγνώμονες γένοιντο περὶ τὸν τὰ τοιαῦτα κεχαρισμένον. διδάξεις γὰρ αὐτά, φησὶ, τοὺς υἱοὺς σου, καὶ τοὺς υἱοὺς τῶν υἱῶν σου, καὶ φυλάξουσι τὰς ἐντολὰς Κυρίου τοῦ 2) Θεοῦ, ἵνα εὖ αὐτοῖς γένηται. τοῦτο πεποίηκεν ἡ προφητικὴ χάρις, καὶ διὰ τοῦ προκειμένου ψαλμοῦ· ἀναμιμνήσκει γὰρ τὸν λαὸν, καὶ τοὺς τούτων ἐκγόνους, τῶν τε ὑπὸ 3) Θεοῦ γεγενημένων, καὶ τῶν παραχεθέντων ἀγαθῶν, καὶ τῶν ταῦτα δεξαμένων τὴν ἀχάριστον γνώμην. Προσέχετε λαός μου τὸν νόμον μου. Ἐπιμελῶς ὑμᾶς ἀκοῦσαι τῶν λεγομένων παρεγγυῶ. οἷον γάρ τινα νόμον ὑμῖν τὴν προκειμένην προσφέρω παραίνεσιν. κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. προθύμως τῶν παρ' ἐμοῦ λεγομένων ἀκούσατε. β'. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς. Ἐπειδὴ γὰρ τὴν τῶν πατέρων 4) ἐποιεῖτο κατηγορίαν εἰς ὠφέλειαν τῶν παίδων, παραβολὴν ἐκάλεσε τὴν τοιαύτην διήγησιν, αἰνιγματώδη οὖσαν, καὶ κεκρυμμένην τὴν ὠφέλειαν προσφέρουσαν. προστέθεικε δὲ, ὅτι καὶ ἀρχαῖα προσφέρει προβλήματα. καὶ διδάσκων πόθεν ταῦτα 5) μεμάθηκεν, ἐπήγαγεν· γ'. Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά. 6) Εἶτα τοὺς τούτων διδασκάλους ὑπέδειξε. Καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. δ'. Οὐκ

vt hanc continue discerent, et suos liberos docerent, atque etiam caussas dierum festorum suis posteris aperirent, vt diuina beneficia discentes, grati forent in talium largitorem. * Ait enim: *a)* Docebis hæc omnia filios tuos, et filios filiorum tuorum, et obseruabunt mandata Dei, vt bene sit ipsis. Hoc etiam per hunc psalmum prophetica gratia effecit. Siquidem commonefacit populum, omnemque eius posteritatem, eorum quæ a Deo effecta sunt, ac bonorum ab ipso suppeditatorum, et ingrati eorum qui hæc acceperunt, animi. *Attendite, popule mi, ad legem meam.* Vobis mando, vt ea quæ dicuntur, studiose audiatis: vobis enim hanc admonitionem veluti quandam legem propono. *Inclinate aurem vestram ad verba oris mei.* Prompte ea, quæ a me dicuntur, auribus percipite. 2. *Aperiam in parabolis os meum, loquar propositiones ab initio.* Quoniam enim patres insimulabat ad filiorum vtilitatem, *parabolam* vocauit huiusmodi narrationem, vt quæ obscura sit, et occultam vtilitatem contineat. Addidit autem, se antiquas propositiones afferre. Et docens vnde hæc didicit, subiunxit: 3. *Quotquot audiuimus, et cognouimus ea.* Deinde harum rerum præceptores ostendit. *Et patres nostri narrauerunt nobis.* 4. *Non sunt*

* profert. Sicque lege antiqua tenebantur, beneficia a Deo accepta non occultare, sed nullo excepto suis ea narrare, vt ad omnes generationes transiret memoria bonorum quæ illis obtigerant. „ Cum verbis illis ἄρχεται — παραίνεσιν conf. quæ ex *Apolinario* ad h. l. attulit CORD. T. II. p. 632.

1) ἐκπαιδεύεσθαι. Cod. 2. præm. καὶ αὐτούς. 2) Θεοῦ. Cod. 2. add. σου. 3) Θεοῦ. Cod. 2. præm. τοῦ. 4) Cod. 2. ἐποιήσατο. 5) Cod. 2. μεμαθήκαμεν. 6) Εἶτα — ὑπέδειξε. Hæc in Cod. 2. post διηγήσαντο ἡμῖν locum nacta sunt.

a) Deut. 4, 40.

sunt occultata a filiis eorum in generatione altera, narrantes laudes Domini, et virtutes eius, et mirabilia eius quae fecit. Olim, inquit, et a principio, qui miraculorum spectatores fuerunt, suos filios haec docuerunt, et illi rursus suis posteris hanc doctrinam transmiserunt. Hoc vero, inquit, fecerunt, diuinae legi obtemperantes. Hoc enim subdidit: 5. *Et suscitauit testimonium in Iacobo, et legem posuit in Israele.* *Testimonium* vocat tabernaculum in solitudine erectum, tanquam tabulas testimonii habens. Nam *Legem*, vt iam ante diximus, et praecepta vocat, et testimonia, et iudicia, et iustificationes: quod apertius a nobis dictum est in psalmo XVIII. *Quaecunque mandauit patribus nostris nota facere a filiis suis.* Hoc, inquit, per illam legislationem iussit, vt parentes hanc miraculorum narrationem, veluti quandam hereditatem, posteris transmitterent. * 6. *Vt cognoscat generatio altera, filii qui nascentur et exsurgent, et narrabunt illa filiis suis.* Sic enim illi a parentibus haec edocti, rursus eandem doctrinam suis filiis tradebant, et horum memoria perpetua custodiebatur. Et quis est doctrinae fructus? 7. *Vt ponant in Deo spem suam, et non obliuiscantur operum Domini, et mandata eius exquirant.* Nam Dei potentiam discentes, et quomodo illi bona omnia facere

ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε. Ἄνωθέν φησι καὶ ἐξ ἀρχῆς οἱ τῶν θαυμάτων αὐτόπται τοὺς οἰκείους ταῦτα ἐδίδαξαν παῖδας, κἀκεῖνοι πάλιν τοῖς ἐκγόνοις 1) τήνδε τὴν διδασκαλίαν παρέπεμψαν· τοῦτο 2) δέ φησιν ἐποίουν τῷ θείῳ πειθόμενοι νόμῳ· τοῦτο γὰρ ἐπήγαγε. ε΄. Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ. Μαρτύριον καλεῖ τὴν ἐν τῇ ἐρήμῳ παγεῖσαν σκηνὴν, ὡς ἔχουσαν τὰς πλάκας τοῦ μαρτυρίου. τὸν γὰρ νόμον, ὡς ἤδη προειρήκαμεν, καὶ ἐντολὰς καλεῖ, καὶ μαρτύρια, καὶ κρίματα, καὶ δικαιώματα· καὶ τοῦτο σαφέστερον ἡμῖν εἴρηται ἐν τῷ ΙΗ΄ ψαλμῷ. ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν. τοῦτό φησι διὰ τῆς νομοθεσίας ἐκείνης παρεκελεύσατο, ὥστε καθάπερ τινὰ 3) κλῆρον, τὴν τῶν θαυμάτων διήγησιν παραπέμψαι τοὺς πατέρας εἰς τοὺς ἐκγόνους. ς΄. Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι καὶ ἀναστήσονται, καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Οὕτω γὰρ οὗτοι παρὰ τῶν πατέρων ταῦτα μεμαθηκότες, πάλιν τοῖς ἐξ αὐτῶν τὴν αὐτὴν διδασκαλίαν προσέφερον, καὶ ἄληστος ἡ τούτων διεφυλάττετο μνήμη· καί τις ὁ τῆς διδασκαλίας καρπός; ζ΄. Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν· καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων 4) αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσι. 5) Μανθάνοντες γὰρ τὴν τοῦ Θεοῦ δύναμιν, καὶ ὅπως αὐτῷ τὰ ἀγαθὰ ποιεῖν ἅπαν-

1) τήνδε. Cod. 2. ταύτην. 2) δέ. Cod. 2. γάρ. 3) κλῆρον. Cod. 2. add. πατρῷον. 4) αὐτοῦ. Rec. lectio h. l. est τοῦ Θεοῦ. 5) Μανθάνοντες — νόμοις. Del. in Cod. 2.

ἅπαντα ῥᾴδιον, βεβαίαν κτήσονται τὴν εἰς αὐτὸν ἐλπίδα· καὶ τοῖς ὑπ' αὐτοῦ τεθεῖσιν ἀκολουθήσουσι νόμοις. η'. Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα. Μανθάνοντες γὰρ τῶν πατέρων τὴν ἀχάριστον γνώμην, καὶ ὅπως τῇ παραβάσει τοῦ νόμου τὸν Θεὸν πολλάκις ἐκίνησαν εἰς ὀργὴν, τὴν ἐκείνων φυλάξονται μίμησιν. γενεὰ ἥτις οὐ κατεύθυνε 1) τὴν καρδίαν 2) αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς. ἐκεῖνοι γὰρ 3) βεβαίαν τὴν εἰς τὸν Θεὸν οὐκ ἐκτήσαντο πίστιν· τὴν εὐθεῖαν οὐκ ἐθελήσαντες πορείαν ὁδεῦσαι. ἀλλὰ γνώμην ἐσχηκότες τοῖς θείοις ἐναντιουμένην θεσμοῖς. θ'. Υἱοὶ Ἐφραὶμ 4) ἐντείνοντες καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου. Τῆς τοῦ Ἐφραὶμ φυλῆς διαφερόντως κατηγορεῖ, ὡς περὶ πολλοῦ ποιησαμένης τῶν εἰδώλων τὴν θεραπείαν· τοῦτο γὰρ καὶ ἡ τῶν Κριτῶν ἡμᾶς ἱστορία διδάσκει, καὶ ἡ τρίτη τῶν Βασιλειῶν· αὐτοὶ γὰρ ἔστησαν τὰς δαμάλεις καὶ τῆς κατὰ νόμον λατρείας ἀπέστησαν τὰς ἐννέα φυλάς· καὶ 5) οὕτω τῆς ἀποστάσεως ἐγένοντο πρόξενοι. τοῦτο μάλιστα προορῶσα τοῦ πνεύματος ἡ χάρις, τῆς μηδέπω γεγενημένης ἁμαρτίας κατηγορεῖ· τὴν ἁρμόττουσαν αὐτοῖς προσφέρουσα συμβουλήν. εἰδυῖα μὲν, ὡς οὐ δέξονται τὴν παραίνεσιν· τὴν προσήκουσαν δὲ ὅμως ὠφέλειαν προσφέρουσα· διδάξασα δὲ αὐτῶν τὴν ῥώμην, καὶ τὴν τοξικὴν ἐπιστήμην, ἐλέγχει καὶ τὴν δειλίαν. ἐστράφησαν 6) γὰρ ἐν ἡμέρᾳ πολέμου· μεγάλα 7) γὰρ ἐπὶ τῇ πολεμικῇ ἐμπειρίᾳ φρονοῦντες, πολέμου φανέντος ἐτρέποντο εἰς φυγήν. ι'. Οὐκ ἐφύλαξαν

facile sit, firmam spem in ipsum concipient, legesque ab ipso latas sequentur. 8. *Ne fiant, sicut patres eorum, generatio prauum et exasperans.* Nam parentum ingratum animum discentes, et quomodo ob legis transgressionem Deum saepius irritauerint, ab illorum imitatione sibi cauebunt. *Generatio quae non direxit cor suum, et non fidelis fuit cum Deo spiritus eius.* Illi enim firmam fidem non habuerunt in Deum, recto tramite incedere nolentes, sed mentem diuinis decretis contrariam habentes. 9. *Filii Ephraim intendentes, et mittentes arcubus, conuersi sunt die belli.* Tribum Ephraim potissimum accusat, vt quae idolorum cultui inprimis dedita fuit. Hoc enim Iudicum etiam historia nos docet, et tertius Regnorum liber. Ipsi enim iuuencas constituerunt, et nouem tribus a cultu secundum legem desciscere fecerunt, et sic defectionis auctores fuerunt. Hoc inprimis praeuidens spiritus gratia, peccata, quae nondum patrata erant, arguit; accommodatum ipsis consilium suggerens: sciens quidem, ipsos admonitionem non accepturos, congruentem tamen vtilitatem non afferens. Cum autem illorum robur docuisset, et iaculandi periciam, timiditatem quoque redarguit. Conuersi sunt enim die belli. Nam ob scientiam rei militaris se efferentes, ingruente bello in fugam versi sunt. 10. *Non custodierunt*

1) τὴν καρδίαν, Rec. lectio est ἐν τῇ καρδίᾳ. 2) Cod. 2. ἑαυτῆς. 3) βεβαίαν. Cod. 2. praem. φησί. 4) ἐντείν. Hebr. נוֹשְׁקֵי armati. 5) Cod. 2. ἤτοι. 6) γάρ. Cod. 2. add. φησίν. 7) γάρ. Abest a Cod. 2.

testamentum Dei, et in lege eius noluerunt ambulare. Mentis liberum arbitrium recte demonstrauit. Noluerunt enim, inquit, secundum legem viuere, neque legalem vitae rationem amplecti. * 11. *Et obliti sunt bene factorum, et mirabilium eius, quae ostendit eis.* Et ostendens quando haec fecerit, subiunxit. 12. *Coram patribus eorum fecit mirabilia.* Deinde tempus, et locum demonstrat. *In terra Aegypti, in campo Taneos.* Omnes haec Dei miracula in Aegypto edita, quorum parentes eorum spectatores fuerant, e memoria deleuerant. 13. *Perrupit mare, et perduxit eos: statuit aquas quasi vtrem.* Breuiter miraculorum narrationem instituit, et a maximo exorsus est. Naturam enim excedit maris miraculum, et iter per illud concessum. Nam aquas, quae natura sua in prona defluunt, vtrinque firmauit vniuersorum Deus, verbo illas tanquam in vtre quodam coërcens. Quoniam enim vtrium textura liquidam naturam rite potest continere, merito hanc similitudinem in mari diuiso posuit, ostendens potentiam verbi diuini. 14. *Et eduxit eos in nube interdiu, et tota nocte in illuminatione ignis.* Nam nubes eadem interdiu solis molestiam repellebat, nocte vero ignis vsum praebebat. 15. *Di-*

τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ, οὐκ 1) ἐβουλήθησαν πορεύεσθαι. Καλῶς ἐνέφηνε τὸ τῆς γνώμης αὐθαίρετον· οὐκ ἐβουλήθησαν γάρ φησι κατὰ νόμον βιῶναι, οὐδὲ τὴν ἔννομον ἀσπάσασθαι πολιτείαν. ιά. Καὶ ἐπελάθοντο 2) τῶν εὐεργεσιῶν αὐτοῦ· καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς. Καὶ δεικνὺς πότε ταῦτα εἰργάσατο, ἐπήγαγεν· ιβ΄. Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια. Εἶτα τὸν χρόνον καὶ τὸν τόπον διδάσκει. ἐν γῇ Αἰγύπτῳ, ἐν πεδίῳ 3) Τάνεως. ταύτας 4) ἅπαντες τοῦ Θεοῦ τὰς θαυματουργίας, τὰς ἐν Αἰγύπτῳ γεγενημένας, ὧν οἱ πατέρες αὐτῶν αὐτόπται γεγένηνται, τῆς μνήμης ἐξέβαλον. ιγ΄. Διέῤῥηξε θάλασσαν, καὶ διήγαγεν αὐτοὺς, 5) παρέστησεν ὕδατα ὡσεὶ 6) ἀσκόν. Συντόμως ποιεῖται τὴν τῶν θαυμάτων διήγησιν, καὶ τὸ μέγιστον τῶν ἄλλων προέταξεν· ὑπερφυὲς γάρ ἐστι τῆς θαλάσσης τὸ θαῦμα, καὶ ἡ διὰ ταύτης παραχθεῖσα πορεία. τὴν γὰρ ἐπὶ τὸ πρανὲς χωρεῖν πεφυκυῖαν 7) τῶν ὑδάτων φύσιν ἔστησεν ἑκατέρωθεν ὁ τῶν ὅλων Θεὸς, καθάπερ ἐν ἀσκῷ τινὶ καθείρξας τῷ λόγῳ. ἐπειδὴ γὰρ ἡ τῶν ἀσκῶν κατασκευὴ συνέχειν ἀκριβῶς τὴν ὑγρὰν δύναται φύσιν, εἰκότως ταύτην ἐπὶ τῆς 8) διαιρεθείσης τέθεικε τὴν εἰκόνα, δεικνὺς τοῦ θείου λόγου τὴν δύναμιν. ιδ΄. Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός. Ἡ γὰρ 9) αὐτὴ νεφέλη μεθ᾽ ἡμέραν μὲν, τὸ τῆς ἀκτῖνος λυπηρὸν ἀπεκρούετο, νύκτωρ δὲ, τοῦ πυρὸς παρεῖχε τὴν χρείαν. ιέ. Διέῤῥηξε

1) ἐβουλήθησαν. Rec. lectio h. l. est ἤθελον. 2) τῶν εὐεργ. αὐτοῦ. Hebr. עלילותיו operum eius. 3) Τάνεως. *Hebr.* Zoan. 4) Cod. 2. ἁπάσας. 5) Rec. lectio est ἔστησεν. 6) ἀσκόν. Hebr. נד cumulum. 7) τῶν. Cod. 2. praem. τήν. 8) διαιρεθ. Cod. 2. add. θαλάττης. 9) Cod. 2. αὕτη.

ῥῆξε πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς, ὡς ἐν ἀβύσσῳ πολλῇ. Οὐ γὰρ βραχεῖαν 1) ἀνεξήγαγε λιβάδα, ἀλλὰ ταῖς πολλαῖς ἐκείναις μυριάσιν ἀρκοῦσαν πηγήν. καὶ τοῦτο σαφέστερον διὰ τῶν ἐπαγομένων 2) ἐδίδαξε. ιϛ'. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. Τὸ γὰρ 3) ἀναβλυσθὲν ὕδωρ εἰς πολλοὺς ὀχετοὺς διῃρέθη, εὐμαρῆ καὶ φιλότιμον παρέχον τοῖς διψῶσι τὴν χάριν. ιζ'. Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ· παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ. ιη'. Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν· τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν. Ἀλλ' ὅμως οὐδὲ τοῦτο τῆς γνώμης αὐτῶν τὴν πονηρίαν ἐξέβαλεν, ἀλλ' ἐπέμειναν τὴν τῆς ἀχαριστίας περικείμενοι νόσον· καὶ μετὰ τοσαύτας εὐεργεσίας, πεῖραν λαβεῖν ἠβούλοντο τῆς θείας δυνάμεως, καὶ τροφῆς δεηθέντες, οὐ λαβεῖν τὴν χρείαν ἐζήτησαν, ἀλλ' ὡς ἀδυνάτου τοῦ Θεοῦ κατηγόρησαν. ιθ'. Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ εἶπον· μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; κ'. Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν· μὴ καὶ ἄρτον 4) δύναται δοῦναι, ἢ ἑτοιμάσαι 5) τράπεζαν τῷ λαῷ αὐτοῦ; Εὐπετὲς φησὶ τὸ τῶν ὑδάτων, καὶ ῥᾴδιον· τὸ γὰρ ἐν ταῖς λαγόσι κεκρυμμένον τῆς γῆς εἰς τὴν ἐπιφάνειαν ἀνεδόθη. τὴν δὲ τοῦ ἄρτου τροφὴν, τὴν σπειρομένην, καὶ χρόνῳ φυομένην, πῶς ἂν ἡμῖν ἀθρόως παράσχοι, καὶ τὸν ἐπικείμενον ἐξελάσοι λιμόν; κα'. Διὰ τοῦτο ἤκουσε Κύριος, καὶ 6) ἀνεβάλετο· καὶ πῦρ ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ. Οὗ δὴ χάριν ἀγα-

rupit petram in deserto, et aquā potauit eos velut abysso multa. Non enim parum liquoris eduxit, sed fontem, qui multis illis millibus satis fuit. Et hoc apertius per ea, quæ sequuntur, docuit. 16. *Et eduxit aquam e petra, et eduxit tanquam flumina aquas.* Aqua enim, quæ scaturiit, in multos riuulos diuisa fuit, facilem et magnificam gratiam sitientibus præbens. 17. *Et perstiterunt adhuc in peccatis, ad iram incitauerunt Excelsum in terra sicca.* 18. *Et tentauerunt Deum in cordibus suis, vt peterent escas animabus suis.* Veruntamen neque hoc ab eorum mente prauitatem expulit, sed perseuerarunt ingrati animi vitio laborare: et post tot miracula periculum de diuina potentia facere voluerunt, et cibo indigentes, non studuerunt accipere id quod necesse erat, sed Dei impotentiam accusarunt. * 19. *Et male locuti sunt de Deo: dixerunt, numquid poterit Deus parare mensam in deserto?* 20. *Quoniam percussit petram, et fluxerunt aquæ, et torrentes inundauerunt: numquid et panem poterit dare, aut parare mensam populo suo?* Facile, inquit, et leue aquarum negotium fuit: nam aqua in terræ cauernis abdita, in lucem edita est. Alimentum vero panis, qui seritur, et tempore producitur, quomodo nobis affatim largietur, imminentemque famem eximet? 21. *Ideo audiuit Dominus, et distulit: et ignis accensus est in Iacob, et ira adscendit in Israel.* Idcirco, inquit, indigne

1) Cod. 2. ἐξήγαγε. 2) ἐδίδαξε. Cod. 2. ἐδήλωσεν. 3) Cod. 2. ἀναβληθέν. 4) Rec. lectio est δυνήσεται. 5) τράπεζαν. Hebr. שאר carnem. Aqu. et Symm. κρέα. 6) ἀνεβάλετο. Hebr. ויתעבר et iratus est. Symm. καὶ ἐχολώθη.

indigne ferens Dominus vniuerſorum, diſtulit ipſis dare terram eorum maioribus promiſſam, et diuerſis eos ſuppliciis affecit: ſed non celerem mortem ipſis intulit, exſpectans, vt filii multiplicarentur. De hac autem pœna per ignem inflicta, etiam beatiſſimi Moſis ſcripta mentionem fecerunt. Hanc vero plagam, inquit, paſſi ſunt, 22. *Quia non crediderunt in Deo, nec ſperauerunt in ſalutari eius.* Et tamen cum tales eſſent, cibum ſine labore comparatum ipſis præbuit. Hoc enim docent quæ ſequuntur. 23. *Et mandauit nubibus deſuper, et ianuas cæli aperuit.* 24. *Et pluit illis manna ad manducandum.* Non enim vſitatos partus nubes ediderunt, ſed pro imbre, cui natura inſitum eſt vt ſparſa ſemina irriget, admirabilem cibum pepererunt. Reſeratas autem cæli ianuas præbitionem deſuper factam vocauit. Quoniam enim cellis penuariis ianuas imponere ſolemus, et has reſeramus, cum aliquid auferre volumus, propheticus ſermo oſtendit Deum vniuerſorum, tanquam ex quibuſdam cellis penuariis, manna largientem. *Et panem cæli dedit eis.* 25. *Panem angelorum manducauit homo.* Panem angelorum vocat, veluti per angelos ſubminiſtratum. Angeli enim, vt ex diuinis literis percepimus, diuinis nutibus ſubſeruiunt. Dicit autem ſic diuinus apoſtolus: *a)* Nonne omnes ſunt miniſtri ſpiritus, ad miniſterium miſſi propter eos, * qui hereditaturi ſunt ſalutem? Et rurſus: *b)* Si

νακτήσας ὁ τῶν ὅλων Κύριος, φησὶν, ἀνεβάλετο μὲν αὐτοῖς δοῦναι τὴν γῆν, τὴν τοῖς πατράσιν ἐπηγγελμένην, ταῖς δὲ παντοδαπαῖς τιμωρίαις ἐξέδωκεν. οὐκ ἐπήγαγε δὲ αὐτοῖς τὸν ὄλεθρον σύντομον, τοὺς ἐκείνων παῖδας αὐξηθῆναι προσμένων· μέμνηται δὲ τῆς διὰ 1) τοῦ πυρὸς τιμωρίας καὶ τοῦ μακαρίου 2) Μωσοῦ τὰ συγγράμματα. ταύτην δέ φησιν ὑπέμειναν τὴν πληγήν, κβ΄. Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Ἀλλ᾽ ὅμως καὶ τοιούτοις οὖσι τὴν ἀγεώργητον παρέχει τροφήν· τοῦτο γὰρ διδάσκει τὰ ἐπαγόμενα. κγ΄. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ 3) ἀνέῳξε. κδ΄. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν. Οὐ γὰρ τὰς συνήθεις ὠδῖνας αἱ νεφέλαι παρέχον, ἀλλ᾽ ἀντὶ τοῦ ὑετοῦ τοῦ ἄρδειν πεφυκότος τὰ καταβαλλόμενα σπέρματα, τὴν θαυμασίαν τροφὴν ἀπεκύησαν. θύρας δὲ οὐρανοῦ ἀνοιγείσας, τὴν ἄνωθεν χορηγίαν ἐκάλεσε. ἐπειδὴ γὰρ τοῖς ταμιείοις ἐπιτιθέναι θύρας εἰώθαμεν, καὶ ταύτας ἀνοίγομεν ἐκφέρειν τι βουλόμενοι, δείκνυσιν ὁ προφητικὸς λόγος τὸν τῶν ὅλων Θεὸν, ὥσπερ ἀπό τινων 4) ταμιείων, χορηγοῦντα τὸ μάννα. Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. κε΄. Ἄρτον 5) ἀγγέλων ἔφαγεν ἄνθρωπος. Ἄρτον ἀγγέλων καλεῖ, ὡς δι᾽ ἀγγέλων χορηγηθέντα· ἄγγελοι γὰρ, ὡς ὑπὸ τῆς θείας γραφῆς ἐδιδάχθημεν, τοῖς θείοις νεύμασιν ὑπουργοῦσι. λέγει δὲ οὕτως ὁ 6) θεῖος ἀπόστολος· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; καὶ πάλιν εἰ

γὰρ

1) τοῦ. Abeſt a Cod. 2. 2) Cod. 2. Μωύσέως. 3) Cod. 2. ἤνεῳξε. 4) Cod. 2. ταμείων. 5) ἀγγέλων. Hebr. אבירים *fortium*. Symm. δυναστῶν. 6) θεῖος. Abeſt a Cod. 2.

a) Hebr. 1, 14. b) Ib. c. 2, 2.

γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος 1) ἐγένετο βέβαιος, καὶ τὰ ἑξῆς· ἄρτον δὲ οὐρανοῦ, ὡς ἄνωθεν ἐνεχθέντα καλεῖ. καὶ τοὺς ἀεροπόρους γὰρ ὄρνιθας πετεινὰ οὐρανοῦ ἡ θεία προσαγορεύει γραφή. ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς, εἰς πλησμονήν. εἰς κόρον, φησὶ, ταύτης μετέδωκεν αὐτοῖς τῆς τροφῆς. εἶτα καὶ τὴν τῶν κρεῶν διέξεισι χορηγίαν. κϛʹ. 2) Ἀπῆρε νότον ἐξ οὐρανοῦ· καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ 3) λίβα. κζʹ. Καὶ ἔβρεξεν ἐπ᾽ αὐτοὺς ὡσεὶ 4) χνοῦν σάρκας· καὶ ὡσεὶ ἄμμον θαλασσῶν, πετεινὰ πτερωτά. Διὰ γὰρ τῶν ἀνέμων συνελάσας πανταχόθεν τῶν ὀρνίθων ἐκείνων τὸ γένος, καταπτῆναι προσέταξε παρὰ τὰς τούτων σκηνὰς, αὐτόματον αὐτοῖς χαρισάμενος θήραν. κηʹ. Καὶ 5) ἔπεσεν εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. κθʹ. Καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν σφόδρα· καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς. λʹ. 6) Οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν. Ἀπήλαυσάν φησιν ὧν ὠρέχθησαν, καὶ τὴν γαστριμαργίαν ἐνέπλησαν· ἀλλ᾽ ὅμως τῆς ἀπληστίας εἰσεπράχθησαν δίκας. Ἔτι τῆς 7) βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, λαʹ. Καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ᾽ αὐτοὺς, καὶ ἀπέκτεινεν ἐν τοῖς 8) πλείοσιν αὐτῶν, καὶ τοὺς 9) ἐκλεκτοὺς τοῦ Ἰσραὴλ 10) συνεπόδισεν. Ἐπειδὴ γὰρ πεῖραν πολλὴν λαβόντες τῆς θείας δυνάμεως, οὐκ ἐπίστευσαν δύνασθαι τὸν 11) Θεὸν

enim sermo, qui per angelos dictus est, fuit firmus, et reliqua. *Panem* vero *cæli*, tanquam superne delatum vocat. Nam et aues, quæ per aërem meant, volucres cæli sacra scriptura nuncupat. *Cibaria misit eis in abundantiam.* Ad satietatem vsque, ait, hunc illis cibum impertiit. Deinde et carnium largitionem narrat. 26. *Abstulit Austrum de cælo, et induxit in virtute sua Africum.* 27. *Et pluit super eos sicut puluerem carnes; et sicut arenam maris volatilia pennata.* Nam per ventos auium illarum genus vndique collectum deuolare iussit in eorum tabernacula, venationem vltroneam ipsis largiens. 28. *Et ceciderunt in medio castrorum eorum, et circa tabernacula eorum.* 29. *Et manducauerunt, et saturati sunt nimis, et desiderium eorum attulit eis.* 30. *Non sunt fraudati desiderio suo.* Consecuti sunt, inquit, quod desiderarunt, et ingluuiem impleuerunt: attamen inexplebilis cupiditatis pœnas pependerunt. *Adhuc escæ eorum erant in ore ipsorum,* 31. *Et ira Dei adscendit super eos, et occidit pingues eorum, et electos Israel impediuit.* Quoniam enim, post multiplicem experientiam diuinæ potentiæ, non crediderunt, Deum posse

1) *ἐγένετο βέβαιος.* Def. in Cod. 2. 2) Ἀπῆρε. Hebr. יסע *concitauit.* 3) Cod. 2. λίβαν. 4) Rec. lectio est *χοῦν.* 5) *ἔπεσεν.* Rec. lectio h. l. est *ἐπέπεσον.* Hebr. ויפל *et cadere fecit*, s. deiecit. *Symm.* καὶ ἐξέβαλεν. 6) Οὐκ ἐστερ. Hebr. לא־זרו *non recesserunt*, s. destiterunt. *Symm.* οὐκ ἀπέστησαν. 7) *Βρώσεως.* In Textu τῶν ό. addi solet *αὐτῶν.* 8) *πλείοσιν.* Ita leg. in edit. *ald.* et *compl.* Præstat autem rec. lectio *πίοσιν.* Hebr. במשמניהם. 9) *ἐκλεκτούς.* Hebr. בחורים *iuuenes.* 10) *συνεπόδισεν.* Hebr. הכריע *prostrauit.* Symm. ὤκλασεν. 11) Θεόν. Cod. 2. præm. *φιλάνθρωπον.*

posse cibum suppeditare, castigationem intulit, docens, eum vtraque posse facere, et bona largiri, et pœnas infligere. Attamen nihilominus peccare perrexerunt. Hoc enim subiunxit. 32. *In omnibus bis peccauerunt adhuc, et non crediderunt in mirabilibus eius.* 33. *Et defecerunt in vanitate dies eorum, et anni eorum cum festinatione.* Peccantes, inquit, et delinquentes, et nullam curam gerentes de his, quæ prodesse ipsis poterant, sed inanibus inutilibusque curis affixi, et has cum omni studio persequentes, e vita excesserunt. 34. *Cum occideret eos, tunc quærebant eum, et reuertebantur, et sub diluculo veniebant ad eum.* * 35. *Et recordati sunt, Deum esse adiutorem eorum, et Deum excelsum esse redemptorem eorum.* Non frustra ipsis misericors Deus compedes iniecit: quia hinc non parum vtilitatis percipiebant. Nam bonis fruentes non intellexerunt: suppliciis vero affecti, diuinam benignitatem implorare cœperunt. 36. *Et dilexerunt eum ore suo, et lingua sua mentiti sunt ei.* 37. *Cor autem eorum non erat rectum cum eo, nec fideles habiti sunt in testamento eius.* Porro ipsum diligere spondebant, falsis sermonibus vtentes. Nam mens verbis re-

χορηγῆσαι τὴν τροφὴν, καὶ τὴν παιδείαν 1) ἐπήγαγε, 2) διδάσκων ὡς ἀμφότερα ποιεῖν ἱκανὸς, καὶ τὰ ἀγαθὰ παρέχειν, καὶ τὰς τιμωρίας ἐπάγειν. ἀλλ᾽ ὅμως, οὐδὲν ἧττον ἐπέμειναν πλημμελοῦντες. τοῦτο γὰρ ἐπήγαγεν. λβ΄. Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ. λγ΄. 3) Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν· καὶ τὰ ἔτη αὐτῶν 4) μετὰ σπουδῆς. Ἁμαρτάνοντές φησι, καὶ πλημμελοῦντες, καὶ τῶν μὲν ὠφελεῖν δυναμένων οὐδεμίαν 5) ποιούμενοι πρόνοιαν, τοῖς δὲ ματαίοις καὶ ἀκερδέσι προστετηκότες ἐπιτηδεύμασι, καὶ μετὰ πάσης ταῦτα μετιόντες σπουδῆς, τὸν βίον ὑπεξῆλθον. λδ΄. Ὅτ᾽ ἂν ἀπέκτεινεν αὐτοὺς, 6) τότε ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν. λε΄. Καὶ ἐμνήσθησαν ὅτι ὁ Θεὸς 7) βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι. Οὐ μάτην δὲ αὐτοῖς ὁ φιλάνθρωπος Δεσπότης τὰς 8) πέδας ἐπήγαγεν· ὠφέλειαν γὰρ ἐντεῦθεν οὐ σμικρὰν ἐκαρποῦντο. ἀπολαύοντες μὲν γὰρ τῶν ἀγαθῶν, οὐκ ᾐσθάνοντο· κολαζόμενοι δὲ, τὴν θείαν προσήεσαν 9) αἰτοῦντες φιλανθρωπίαν. λς΄. Καὶ 10) ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν· καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. λζ΄. Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ᾽ αὐτοῦ· οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. Ἀγαπᾶν δὲ αὐτὸν ὑπισχνοῦντο ψευδέσι 11) χρώμενοι λόγοις· 12) ἀντεφθέγγετο γὰρ τοῖς λόγοις 13) ὁ λογισμὸς,

1) ἐπήγαγε. Cod. 2. ἐπήνεγκε. 2) διδάσκων. Cod. 2. præm. καί. 3) Καὶ — αὐτῶν. *Hebr.* Et consumsit in vanitate dies eorum. *Aqu.* καὶ συνετέλεσεν ὡς ἀτμὸν τὰς ἡμέρας αὐτῶν. 4) μετὰ σπουδῆς. *Hebr.* בבהלה *in terrore.* 5) Cod. 2. ἐποιοῦντο. 6) τότε ἐξεζήτουν. Rec. lectio est ἐζήτουν, omisso τότε. 7) βοηθὸς αὐτῶν. Hebr. צורם *petra eorum.* 8) πέδας. Cod. 2. πληγάς. 9) αἰτοῦντες. Cod. 2. ζητοῦντες. 10) ἠγάπησαν. Hebr. ויפתוהו *et pellexerunt eum.* 11) χρώμενοι. Cod. 2. præm. δέ. 12) Cod. 2. ἀντεφθέγγοντο. 13) Cod. 2. οἱ λογισμοί.

λογισμὸς, ἐναντία τοῖς θείοις 1) βουλευόμενος νόμοις, καὶ πιςεύειν τοῖς θείοις 2) λογίοις οὐκ 3) ἀνεχόμενος. λή. Αὐτὸς δέ ἐςιν οἰκτίρμων, καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ. Ἀλλ' ὅμως αὐτὸς, τῇ οἰκείᾳ χρώμενος ἀγαθότητι, οὐκ ἠνέχετο αὐτοὺς παντελεῖ παραδοῦναι φθορᾷ. καὶ πληθυνεῖ τοῦ ἀποςρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. ὁ δὲ Σύμμαχος οὕτως· καὶ ἐπὶ πολὺ ἀπέςρεψε τὴν ὀργὴν αὐτοῦ, καὶ οὐ διήγειρεν ὅλον τὸν θυμὸν αὐτοῦ· οὐκ ἀξίαν αὐτοῖς, φησὶ, τῶν πεπλημμελημένων τιμωρίαν ἐπήγαγεν. λθ'. Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιςρέφον. Ἤιδει γὰρ αὐτῶν τῆς φύσεως τὴν ἀσθένειαν· καὶ ὅτι οὐκ εἰς μακρὰν δέξονται τοῦ βίου τὸ 4) πέρας. μ'. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ· παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ. μα'. Καὶ ἐπέςρεψαν, καὶ ἐπείρασαν τὸν Θεὸν, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ 5) παρώξυναν. Διὰ τούτων ἁπάντων, τὴν θείαν διδάσκει μακροθυμίαν. ἀκριβέςερον δὲ τούτων ἕκαςον ἐκ τῆς ἱςορίας καταμαθεῖν δυνατόν. ποτὲ μὲν γὰρ 6) τὸν μόσχον ἐθεοποίησαν· ποτὲ δὲ τῷ Βεελφεγὼρ ἐτελέσθησαν. ἄλλοτε τὴν κατὰ τοῦ μεγάλου Μωσοῦ ἐμελέτησαν τυραννίδα· τῆς τοῦ μάννα τροφῆς ἀπολαύοντες, ἠχαρίςησαν· ἀπολαβεῖν τὴν ἐπηγγελμένην κελευσθέντες γῆν, τὸ δέος προὐβάλλοντο. καὶ ἄλλα μυρία πρὸς τούτοις εἰργάσαντο, ἅπερ μηκύνειν οὐκ ἐθέλοντες 7) τὸν λόγον παραλείψομεν. μβ'. Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ

pugnabat, contraria diuinis legibus volens, diuinisque oraculis credere nolens. 38. *Ipse autem est misericors, et propitius fiet peccatis eorum, et non disperdet eos.* Ceterum ipse propria benignitate ductus, noluit ipsos penitus interimere. *Et abundabit, vt auertat iram suam; et non accendet omnem iram suam.* Symmachus autem sic, Et magnopere auertit iram suam, et totam suam iram non excitauit. Minime, inquit, dignam ipsis peccatorum pœnam inflixit. 39. *Et recordatus est, carnem esse illos, spiritum qui vadit, et non redit.* Nam eorum naturæ imbecillitatem nouit, et breui finem vitæ eos accepturos esse. 40. *Quoties exacerbauerunt eum in deserto, ad iram incitauerunt eum in terra sicca.* 41. *Et conuersi sunt, et tentauerunt Deum et sanctum Israelis exacerbauerunt.* Per hæc omnia longanimitatem Dei docet. Accuratius autem vnumquodque eorum ex historia disci potest. Nam aliquando quidem vitulum Deum fecerunt, aliquando vero Beelphegoro initiati sunt; a) alias tyrannidem contra magnum Mosen meditati sunt, et cum Manna consecuti essent, ingrati fuerunt; et cum iussi essent promissam terram accipere, timorem obiiciebant; et præter hæc innumerabilia alia fecerunt, quæ omittemus, ne iusto longiores simus. 42. *Non sunt recordati manus eius die*

1) Cod. 2. βουλευόμενοι. 2) Cod. 2. λόγοις. 3) Cod. 2. ἀνεχόμενοι. 4) πέρας. Cod. 2. τέλος. 5) παρώξ. Hebr. התוו limitibus circumscripserunt, s. circumscribere voluerunt. 6) τὸν — ποτὲ δὲ. Def. in Cod. 2. 7) τὸν λόγον. Del. in Cod. 2.

a) Exod. 32. Num. 25. Ps. 106, 28.

die quo redemit eos e manu tribulantis. Noluerunt in memoriam reuocare pristina beneficia, neque Dei * fortitudinem considerare, per quam ab Aegyptiorum seruitute liberati fuerunt. Deinde miracula, quæ ibi edita fuere, percurrit. 43. *Sicut posuit in Aegypto signa sua, et prodigia sua in campo Taneos.* Tanis Pharaonis regiam habebat: ibi vero pœnas magnus Moses Aegyptiis irrogauit. 44. *Et conuertit in sanguinem flumina eorum, et imbres eorum ne biberent.* Nam primum quidem non modo fluuiatiles aquas, verum etiam quæ pluuiis colliguntur, in sanguinis naturam conuertit, contradicentes siti premens. 45. *Misit in eos cynomyam, et comedit eos, ranam, et disperdidit eos.* 46. *Et dedit rubigini fructus eorum, et labores eorum locustæ.* Cynomya autem et ranis iræ ministris vsus, acerbos dolores ipsis incussit. Rubigine autem et locusta terræ fructus corrupit. 47. *Destruxit grandine vineas eorum, et moros eorum pruina.* Rubigine quidem et locusta fructus terræ consumsit: grandine vero et pruina ipsas etiam arborum radices perdidit. At moros alii interpretes sycomoros interpretati sunt. 48. *Et tradidit grandini iumenta eorum,*

ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. Οὐκ ἐβουλήθησαν λαβεῖν εἰς διάνοιαν τὰς προτέρας εὐεργεσίας, οὐδὲ λογίσασθαι τοῦ Θεοῦ τὴν ἰσχὺν, δι' ἧς ἀπηλλάγησαν τῆς Αἰγυπτίων δουλείας. εἶτα διέξεισι τὰς ἐκεῖ γεγενημένας θαυματουργίας. μγ'. 1) Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως. Ἡ Τάνις εἶχε τοῦ Φαραὼ τὰ βασίλεια. ἐκεῖ δὲ τοῖς Αἰγυπτίοις τὰς τιμωρίας ὁ μέγας ἐπήγαγε Μωσῆς. μδ'. Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ 2) τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν. Πρῶτον μὲν γὰρ, οὐ τὰ 3) ποτάμια μόνον ὕδατα, ἀλλὰ καὶ τὰ ἐξ ὑετῶν συνιστάμενα, μετέβαλεν εἰς αἵματος φύσιν, 4) τῷ δίψει πιέζων τοὺς ἀντιλέγοντας. με'. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτοὺς, καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς. μς'. Καὶ ἔδωκε 5) τῇ ἐρυσίβῃ 6) τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. Κυνομυίᾳ δὲ καὶ βατράχοις ὑπουργοῖς τῆς ὀργῆς χρησάμενος, πικρὰς αὐτοῖς τὰς ὀδύνας ἐπήγαγεν. ἐρυσίβῃ δὲ καὶ ἀκρίδι τῆς γῆς διέφθειρε τοὺς καρπούς. μζ'. 7) Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ 8) πάχνῃ. Ἐρυσίβῃ μὲν καὶ ἀκρίδι τὸν καρπὸν κατηνάλωσε, χαλάζῃ δὲ καὶ πάχνῃ καὶ αὐτὰς τὰς ῥίζας τῶν δένδρων ἐνέκρωσε. τὰς 9) μέντοι συκαμίνους οἱ ἄλλοι ἑρμηνευταὶ συκομόρους ἡρμήνευσαν. μη'. Καὶ παρέδωκεν 10) εἰς χάλαζαν τὰ κτήνη αὐτῶν,

1) Ὡς. Hebr. אשר *quo* sc. die. 2) τὰ ὀμβρ. Hebr. נחליהם *fluenta eorum.* Symm. τὰ ῥεῖθρα αὐτῶν. 3) Cod. 2. ποταμιαῖα. 4) Cod. 2. τῇ δίψῃ. 5) τῇ ἐρυσίβῃ. Hebr. לחסיל *brucho.* 6) Rec. lectio h. l. est τὸν καρπόν. 7) Ἀπέκτεινεν. Cod. 2. præm. Καὶ. 8) πάχνῃ. Hebr. בחנמל *grandine maiori.* 9) Cod. 2. μὲν. 10) Rec. lectio h. l. est ἐν χαλάζῃ.

αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν 1) τῷ πυρί. Ὁ δὲ Σύμμαχος οὕτως· τοῦ ἐκδόντος λοιμῷ τὰ κτήνη αὐτῶν, καὶ τὰ κτήματα αὐτῶν οἰωνοῖς· ἀθρόαν γὰρ δεξάμενα τελευτὴν, θοίνη τῶν σαρκοβόρων ὀρνίθων 2) ἐγένετο. μθ΄. Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ· θυμὸν, καὶ ὀργὴν, καὶ θλίψιν, 3) ἀποστολὴν δι᾽ ἀγγέλων πονηρῶν. Θυμὸν, καὶ ὀργὴν, καὶ θλίψιν, τὰς πικρὰς τιμωρίας ἐκάλεσεν. ἀγγέλους δὲ πονηροὺς, 4) τῆς τιμωρίας τοὺς ὑπουργούς. οὔτε φύσεως, οὔτε προαιρέσεως μοχθηρίαν, τὴν πονηρίαν καλῶν, ἀλλὰ τὴν τῆς κολάσεως τιμωρίαν. οὕτω πονηρὰν ἡμέραν, τὴν τῆς τιμωρίας 5) ἡμέραν καλεῖ· τοῦτο δὲ καὶ ὁ Σύμμαχος παρεδήλωσεν. ἀντὶ γὰρ ἀγγέλων πονηρῶν, ἀγγέλων κακούντων εἴρηκεν. ν΄. 6) Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ. Ἀντὶ τοῦ, οὐκ ἐκώλυσεν ἡ φιλανθρωπία τὴν τιμωρίαν, ἀλλ᾽ ἔδωκε χώραν τῇ δικαίᾳ παιδείᾳ. τοῦτο καὶ διὰ τῶν ἐπαγομένων ἐδήλωσεν. Οὐκ 7) ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν· καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. να΄. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν 8) παντὸς πόνου αὐτῶν, ἐν τοῖς σκηνώμασι Χάμ. Θεασάμενος γὰρ αὐτῶν τὴν ἀντίτυπον γνώμην, ἀφειδῶς αὐτοῖς τὰς τιμωρίας ἐπήγαγε· πρῶτον μὲν, τοῖς κτήνεσιν ὄλεθρον, ὕστερον δὲ τοῖς πρωτοτόκοις θάνατον ἐπάγων ἀπροσδόκητον. σκηνώματα δὲ Χὰμ, τὴν Αἴγυπτον προσηγόρευσεν, ἐπειδὴ τοῦ Χὰμ υἱὸς ὁ 9) Μεσρέμ, 10) Μεσρὲμ δὲ ἡ Αἴγυπτος.

et possessiones eorum igni. Symmachus vero sic, Qui tradidit pestilentiæ iumenta ipsorum, et possessiones eorum volucribus. Cum enim repentinum interitum paterentur, esca facta sunt vorucrum carniuorarum. 49. *Misit in eos iram indignationis suæ, indignationem, et iram, et tribulationem, immissiones per angelos malos.* Indignationem et iram, et tribulationem, acerbas pœnas nuncupauit: *angelos* autem *malos*, supplicii ministros; neque naturæ, neque electionis nequitiam, malitiam vocans; sed supplicii pœnam. Sic etiam malum diem, supplicii diem vocat. Hoc vero etiam Symmachus ostendit: Nam pro *angelis malis*, *angelos mala infligentes* dixit. 50. *Viam fecit iræ suæ.* Quasi diceret, Benignitas non * impediuit pœnam, sed locum dedit iustæ castigationi. Hoc etiam per ea quæ sequuntur ostendit. *Non pepercit a morte animabus eorum, et iumenta eorum in morte conclusit.* 51. *Et percussit omne primogenitum in terra Aegypti, primitias omnis laboris eorum in tabernaculis Cham.* Cum enim peruicacem eorum mentem vidisset, pœnas ipsis abunde incussit: primum quidem iumentis perniciem, deinde inopinatam mortem primogenitis infligens. *Tabernacula* vero *Cham* Aegyptum nominauit; quoniam Mesrem filius fuit Chami, Mesrem autem est Aegyptus.

52. *Et*

1) τῷ πυρί. Hebr. לרשפים *fulminibus.* 2) Cod. 2. ἐγένοντο. 3) ἀποστολήν. Des. in Cod. 2. 4) τῆς τιμωρ. Des. ibid. 5) ἡμέραν. Abest a Cod. 2. 6) Ὡδόπ. τρίβον. Hebr. יפלס נתיב *Ad trutinam disposuit.* 7) ἐφείσατο. Hebr. חשך *cobibuit.* 8) παντὸς πόνου αὐτῶν. Rec. lectio est πόνων αὐτῶν. Hebr. אונים *roborum.* 9) Cod. 2. Μεσραίμ. 10) Μεσραὶμ δέ. Cod. 2. τοῦ δέ.

52. *Et abstulit sicut oues populum suum, et duxit eos tanquam gregem in deserto.* Hoc pacto cum illos castigasset, in solitudinem populum suum deduxit, imitatus pastorem, qui suo gregi anteit. 53. *Et eduxit eos in spe, et non timuerunt.* Nam cum multa dedisset pignora suae potentiae, iussit vt sibi confiderent, neque timerent. Hoc quidem a Deo vniuersorum factum est: illi autem in diuina potentia confidere noluerunt. *Et inimicos eorum operuit mare.* Idem enim mare his quidem iter praebuit, illos vero fluctibus obruit. 54. *Et induxit eos in montem sanctificationis suae, montem hunc, quem acquisiuit dextera eius.* Cum igitur eos illinc liberasset, tradidit ipsis quam pollicitus est terram. Nam per *Zionem montem* totam terram significauit. *Et eiecit a facie eorum gentes, et sorte diuisit eis terram funiculo distributionis.* Cum enim liberasset terram illam ab antiquis incolis, his secundum promissiones illius imperium tradidit. Hoc enim ostendit illud, *funiculo distributionis.* Possessores enim solent terram suam metiri. Sortes autem, et distributiones, accuratius docet historia Iosuae Naue. 55. *Et habitare fecit in tabernaculis eorum tribus Israel.* Secundum tribus enim terram distribuerunt. Ostensa in hunc modum infidelitate eorum, qua in solitudine vsi sunt, persequitur iniquitates in terra pro-

νβ΄. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ· 1) καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ. Οὕτως ἐκείνους παιδεύσας, ἐπὶ τὴν ἔρημον ἤγαγε τὸν οἰκεῖον λαόν· ποιμένα 2) μιμούμενος, τῆς ποίμνης ἡγούμενον. νγ΄. Καὶ ὡδήγησεν αὐτοὺς 3) ἐπ᾽ ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν. Πολλὰ γὰρ 4) ἐνέγγυα τῆς οἰκείας δυνάμεως δεδωκώς, θαῤῥεῖν αὐτῷ, καὶ μὴ δεδιέναι προσέταξε, τοῦτο δὲ παρὰ μὲν τοῦ Θεοῦ τῶν ὅλων ἐγένετο· ἐκεῖνοι δὲ τῇ δυνάμει τοῦ Θεοῦ 5) θαῤῥεῖν οὐκ ἠβούλοντο. καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα. ἡ γὰρ αὐτὴ θάλασσα, τούτοις μὲν παρέσχεν ὁδόν, ἐκείνους δὲ τοῖς κύμασιν ἔχωσε. νδ΄. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. Ἐκεῖθεν τοίνυν ἐλευθερώσας, 6) ἔδωκεν αὐτοῖς ἣν ἐπηγγείλατο γῆν· διὰ γὰρ τοῦ Σιὼν ὄρους, πᾶσαν τὴν γῆν παρεδήλωσε. καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας. τῶν γὰρ παλαιῶν οἰκητόρων τὴν γῆν ἐκείνην ἐλευθερώσας, τούτοις κατὰ τὰς ὑποσχέσεις τὴν ταύτης δέδωκε δεσποτείαν· τοῦτο γὰρ δηλοῖ τὸ ἐν σχοινίῳ κληροδοσίας. τὴν γὰρ οἰκείαν εἰώθασι 7) γῆν οἱ κεκτημένοι μετρεῖν· τοὺς δὲ κλήρους, καὶ τὰς 8) διανεμήσεις, ἀκριβέστερον διδάσκει τοῦ Ἰησοῦ τοῦ Ναυῆ ἡ συγγραφή. νε΄. Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ. Κατὰ 9) „φυλὰς„ γὰρ τὴν γῆν διενείμαντο· οὕτω τὴν μετὰ τὴν ἔρημον αὐτῶν ἀπιστίαν διδάξας, διηγεῖται τὰς ἐν τῇ γῇ τῆς ἐπαγγελίας

1) καὶ ἀνήγαγεν. Rec. lectio h. l. est ἤγαγεν. 2) μιμ. τῆς ποίμνης. Cod. 2. κατασήσας αὐτοῖς καί. 3) ἐπ᾽ ἐλπίδι. Hebr. לבטח *secure.* Pro ἐπ᾽ in Textu τῶν ό. legi solet ἐν. 4) Cod. 2. ἐχέγγυα. 5) θαῤῥεῖν. Cod. 2. μαρτυρεῖν. 6) Cod. 2. ἀπέδωκεν. 7) γῆν. Abest a Cod. 2. 8) Cod. 2. διαμετρήσεις. 9) φυλάς. Suppl. e Cod. 2.

γελίας παρανομίας. νς'. Καὶ ἐπείρασαν, καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο. Μετὰ τοσαύτας καὶ τηλικαύτας εὐεργεσίας, ἐπέμειναν παρανομοῦντες, καὶ τὰς θείας παραβαίνοντες ἐντολάς. νζ'. Καὶ ἀπέστρεψαν, καὶ 1) ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν. Τὴν τῶν πατέρων ἐμιμήσαντο μοχθηρίαν, καὶ 2) τὴν ἐκείνων θεασάμενοι τιμωρίαν, οὐδὲν ἐντεῦθεν ἀπώναντο. μετεστράφησαν 3) εἰς τόξον στρεβλόν. τόξον, κατὰ μὲν τέχνην κατεσκευασμένον, κατὰ σκοποῦ πέμπει τὰ ἀφιέμενα βέλη· διαστροφὴν δέ τινα δεξάμενον, τὰ πεμπόμενα βέλη κατευθύνειν οὐ δύναται· κἀκεῖνοι τοίνυν τῆς διανοίας τὴν εὐθύτητα διαφθείραντες, οὔτε ταῖς θείαις εὐεργεσίαις εἰς δέον ἐχρήσαντο, καὶ βλάβης ἀφορμὰς τὰς τῆς ὠφελείας ἀπέφαινον ἀφορμάς. νη'. Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν. Παρὰ τοῦ Θεοῦ τῶν ὅλων δεχόμενοι τὰ ἀγαθὰ, τοῖς ἀψύχοις εἰδώλοις ἐδούλευον. νθ'. Ἤκουσεν ὁ Θεὸς, καὶ 4) ὑπερεῖδε. Δεομένους φησὶ τῆς οἰκείας οὐκ ἠξίου προνοίας. ταῦτα δὲ σαφέστερον ἡ τῶν Κριτῶν ἱστορία διδάσκει· παρέδωκε γὰρ αὐτοὺς, ποτὲ μὲν Ἀμμανίταις, ποτὲ δὲ Μωαβίταις. ἄλλοτε δὲ Μαδιηναίοις, καὶ Ἀλλοφύλοις ποινὴν 5) αὐτοὺς τῆς ἀσεβείας 6) εἰσπραττόμενος. καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ. τὸν γὰρ πολυθρύλλητον ἐκεῖνον λαὸν, τὸν παραδόξως τῆς Αἰγυπτίων δουλείας ἀπαλλαγέντα, ὃν ἡ θά-

missionis patratas. * 56. *Et tentauerunt, et exacerbauerunt Deum excelsum, et testimonia eius non custodierunt.* Post tot, tantaque beneficia perrexerunt delinquere, et diuina mandata violare. 57. *Et auerterunt se, et praeuaricati sunt, quemadmodum patres eorum.* Patrum imitati sunt nequitiam, et illorum conspicati supplicium, nihil inde adiuti sunt. *Conuersi sunt in arcum prauum.* Arcus artificiose elaboratus in scopum emissa iacula dirigit: si vero aliquam obliquitatem in se habuerit, coniectas sagittas dirigere nequit. Illi igitur mentis rectitudine deprauata, neque diuinis beneficiis, vt par erat, vsi sunt, et ea quae vtilitatis occasiones afferre poterant, damni occasiones reddiderunt. 58. *In iram concitauerunt eum in collibus suis, et in sculptilibus suis ad aemulationem eum prouocauerunt.* A Deo vniuersorum beneficiis affecti, inanimatis idolis seruierunt. 59. *Audiuit Deus, et spreuit.* Eos, inquit, precantes sua ope minime dignatus est. Haec autem manifestius Iudicum historia docet. Tradidit enim ipsos interdum quidem Ammonitis, aliquando autem Moabitis, alias vero Madianitis, et Allophylis, impietatis poenas ab illis exigens. *Et ad nihilum redegit valde Israelem.* Celeberrimum enim populum illum, qui ab Aegyptiorum seruitute miro modo liberatus fuit, quem mare

1) Rec. lectio est ἠσυνθέτησαν. 2) τὴν — τιμωρ. Def. in Cod. 2. 3) εἰς τόξον. Hebr. *sicut arcus*. 4) ὑπερεῖδε. Hebr. ויתעבר *indignatus fuit*. 5) Cod. 2. αὐτοῖς. 6) Cod. 2. πραττόμενος.

mare vidit et fugit, coram quo Iordanes conuersus est retrorsum, hunc inquam, finitimi facillime expugnabant. 60. *Et repulit tabernaculum Silo, tabernaculum suum, vbi habitauit in hominibus.* Hæc autem deinceps principium Regnorum historiæ docet, a) quæ mentionem fecit Eli pontificis, et iniquitatis filiorum ipsius. 61. *Et tradidit in captiuitatem virtutem eorum, et pulchritudinem eorum in manus inimici.* Virtutem ipsorum et pulchritudinem, arcam vocat. Hanc autem Ophni et Phinees in auxilium tribulium suorum cum eduxissent, suæ iniquitatis pœnas luerunt. Arcam vero cum cepissent alienigenæ, veluti manubias quasdam Dagoni consecrarunt. Idolum autem hoc erat, quod ab illis colebatur. * 62. * *Et conclusit gladio populum suum, et hereditatem suam spreuit.* Tradidit enim ipsos hostium manibus ob impietatis excessum. *Hereditatem* autem ipsos nominauit, vt qui ipsi Deo semper quam maximæ curæ fuerint. Sic autem eos et magnus Moses nuncupauit. b) Factus enim est, inquit, pars Domini populus eius Iacob, funiculus hereditatis eius Israel. Deinde supplicii species enumerat. 63. *Iuuenes eorum comedit ignis, et de virginibus eorum non instituta est lamentatio.* 64. *Sacerdotes eorum gladio occiderunt, et viduæ eorum non plorabuntur.* Hos enim igni tradidit, de illis

λασσα εἶδε καὶ ἔφυγε, καὶ ὁ Ἰορδάνης ἀνεχώρησεν εἰς τὰ ὀπίσω, τοῦτον οἱ ὅμοροι ῥαδίως 1) κατηγωνίζοντο. ξ΄. Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλὼμ, σκήνωμα 2) ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις. Ταῦτα δὲ λοιπὸν ἡ ἀρχὴ τῶν Βασιλειῶν διδάσκει, Ἠλεὶ μεμνημένη τοῦ ἀρχιερέως, καὶ τῆς τῶν ἐκείνου παίδων παρανομίας. ξα΄. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν καὶ 3) τὴν καλλονὴν αὐτῶν εἰς 4) χεῖρας ἐχθρῶν. Ἰσχὺν αὐτῶν καὶ καλλονὴν τὴν κιβωτὸν λέγει· ταύτην δὲ Ὀφνὶ καὶ Φινεὲς εἰς ἐπικουρίαν τῶν ὁμοφύλων ἐξαγαγόντες, τῆς οἰκείας παρανομίας ἔτισαν δίκας· τὴν δὲ κιβωτὸν οἱ Ἀλλόφυλοι λαβόντες, ἀνέθεσαν οἷόν τι ἀκροθίνιον, τῷ Δαγών· εἴδωλον δὲ τοῦτο ἦν, ὑπ' ἐκείνων θεραπευόμενον. ξβ΄. Καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ 5) ὑπερεῖδε. Παρέδωκε γὰρ αὐτοὺς ταῖς τῶν πολεμίων χερσὶ, διὰ τὴν τῆς παρανομίας ὑπερβολήν· κληρονομίαν δὲ αὐτοὺς ὠνόμασεν, ὡς κηδεμονίας ὅτι μάλιστα πλείστης παρ' αὐτοῦ τετυχηκότας ἀεί. οὕτω δὲ αὐτοὺς καὶ ὁ μέγας 6) προσηγόρευσε Μωσῆς. ἐγενήθη γάρ φησι μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. εἶτα 7) καταλέγει τῆς τιμωρίας τὰ εἴδη. ξγ΄. Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ· καὶ αἱ παρθένοι αὐτῶν, οὐκ 8) ἐπενθήθησαν. ξδ΄. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον, καὶ αἱ χῆραι αὐτῶν οὐ 9) κλαυθήσονται. Τοὺς μὲν γὰρ πυρὶ παρέδωκε· τῶν

δὲ ὁ

1) Cod. 2. κατηγώνιζον. 2) ὅ. Rec. lectio h. l. est αὐτοῦ, οὗ. 3) τὴν καλλονὴν αὐτῶν. Hebr. תפערתו *decus eius* 4) Rec. lectio est χεῖρα. 5) ὑπερεῖδε. Hebr. *contra hereditatem suam indignatus est.* Conf. p. 1161. n. 4. 6) Cod. 2. προσηγόρευσε Μωϋσῆς. 7) Cod. 2. λέγει. 8) Rec. lectio h. l. est ἐπένθησαν. Hebr. הוללו *laudatæ* s. epithalamio celebratæ *sunt.* Aqu. ὑμνήθησαν. Symm. ἐπηνέθησαν. 9) κλαυθήσονται. Hebr. תבכינה *flebant* s. flere poterant. Symm. οὐκ ἔκλαυσαν.

a) 1 Reg. 2. b) Deut. 32, 9.

δὲ ὁ συνήθης οὐκ ἐγένετο θρῆνος, ἑκάστου περὶ τὰ οἰκεῖα ἠσχολημένου κακά. Ὀφνὶ δὲ καὶ Φινεὲς οἱ ἱερεῖς, αὐτὴν ἐπιφερόμενοι τὴν κιβωτὸν, ἐδέξαντο τὴν σφαγὴν, δι' αὐτῶν διδασκόμενοι τῶν πραγμάτων, μὴ θαῤῥεῖν παρανομίᾳ συζῶντας τῇ θείᾳ κηδεμονίᾳ. ξε΄. 1) Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος. Ἀλλ' ὅμως 2) ταύταις αὐτοὺς ταῖς τιμωρίαις ὑποβαλὼν, καὶ τοὺς τούτων ἐδίδαξε πολεμίους τὰς τῶν γεγενημένων αἰτίας. Ὡς δυνατὸς, 3) καὶ 4) κεκραιπαληκὼς ἐξ οἴνου. ξϛ΄. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτῶν 5) εἰς τὰ ὀπίσω· ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. Οἷον γάρ τινα ὕπνον τὴν μακροθυμίαν ἀποσεισάμενος, τοῖς ἀλλοφύλοις ἐπήνεγκε τὴν πληγὴν, δι' ἣν ἐπονείδιστοι παρὰ πᾶσιν ἐγένοντο. λέγει δὲ τῆς ἕδρας τὸ πάθος, ὅπερ ἡ ἱστορία διδάσκει. 6) τοῦτο δὲ καὶ ἡ προφητεία δεδήλωκεν· ἔφη γάρ· καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτῶν εἰς τὰ ὀπίσω· σεμνότερον τὸ μέρος δηλώσασα τὸ δεξάμενον τὴν πληγήν. ὕπνον δὲ τὴν μακροθυμίαν ἐκάλεσεν· ἐξ οἴνου δὲ κραιπάλην, τὴν ἀγανάκτησιν. καθάπερ γὰρ ἐπείσακτόν ἐστι Θεοῦ, 7) τιμωρία 8) δικαίως τοῖς πλημμελοῦσιν ἐπαγομένη. ξζ΄. Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ, καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο. Πάλιν τὰς ἄλλας καταλιπὼν φυλὰς, μόνης μέμνηται τῆς Ἐφραὶμ, τὴν ἐσομένην προορῶν τυραννίδα. ἐκ ταύτης γὰρ Ἱεροβοὰμ ὁρμώμενος, τὰς δέκα φυλὰς ἐκ τῆς Δαβιτικῆς ἀπέῤῥηξε βασιλείας· Ἰωσὴφ δὲ καὶ Ἐφραὶμ τὴν αὐτὴν λέγει

autem vsitatus luctus non edebatur, cum vnusquisque suis malis occupatus esset. Ophni vero et Phinees sacerdotes, qui arcam ipsam inuexerunt, caesi sunt, ipso rerum euentu edocti, diuinae opi confidere non debere qui delinquere pergunt. 65. *Excitatus est tanquam dormiens Dominus.* Veruntamen cum ipsos huiusmodi poenis subiecisset, horum etiam hostes docuit, quaenam fuerint rerum illarum causae. *Tanquam potens, et crapulatus a vino.* 66. *Et percussit inimicos suos in posteriora: opprobrium sempiternum dedit illis.* Cum enim Deus a se patientiam, veluti somnum quendam excussisset, Allophylis plagam intulit, *a)* per quam apud omnes ignominiosi effecti sunt. Intelligit enim sedis morbum, quem historia docet. Hoc etiam prophetia significat dicens, *Percussit inimicos eorum in posteriora:* honeste designans partem, quae plagam accepit. *Somnum* vero, patientiam vocauit, *ebrietatem* autem *ex vino*, indignationem. Est enim quodammodo crapula aduentitia Deo, poena quae iuste peccatoribus infligitur. 67. *Et repulit tabernaculum Ioseph, et tribum Ephraim non elegit.* Rursus aliis tribubus derelictis, solius Ephraim meminit, futuram tyrannidem praeuidens. Ex hac enim ortus Ieroboam, a Dauidico regno decem tribus abduxit. Ioseph porro et Ephraim eandem tribum

Nn 2 dicit,

1) Ἐξηγέρθη. Cod. 2. praem. Καὶ, vt in Textu τῶν ό. 2) ταύταις. Cod. 2. praem. καί. 3) καί. Deest in Textu τῶν ό. 4) κεκραιπ. ἐξ οἴνου. Hebr. מתרונן מיין *qui iubilat vino hausto.* Symm. διαλαλῶν ἐξ οἴνου. 5) εἰς τὰ ὀπίσω. Hebr. אחור *retro* sc. pellens eos. 6) τοῦτο — δεδήλωκεν. Des. in Cod. 2. 7) τιμωρία. Cod. 2. praem. ἀλλά. 8) Cod. 2. δικαία.

a) 1 Reg. 5.

dicit, quia filius Iosephi fuit Ephraim. Reiectam autem hanc fuisse dicit, quod tabernaculum in Silo non permanserit, sed diuinae arcae gratia * translata fuerit Hierosolymam, in qua Salomo etiam postea diuinum templum erexit. *68. Et elegit tribum Iuda, montem Zion, quem dilexit.* Elegit hanc tribum Iudae ob virgam Iesse, quae exspectabatur vt floresceret. Hoc autem germen et patriarcha Iacob vaticinatus est, benedicens Iudae. Meminitque huius virgae etiam diuinus Paulus sic dicens, a) Manifestum autem est, ex Iuda Dominum nostrum Iesum Christum ortum esse. Propter hanc igitur virgam tribum Iudae aliis praetulit. Quoniam autem hoc mysterium a multis quodammodo ignorabatur, satis distincte addidit, *Montem Zion quem dilexit*, vt aliarum tribuum inuidiam restingueret: quasi diceret, Nullam inuidiae ansam arripite, quandoquidem ob Zionem montem Iudae tribum elegit. Praeterea et venerandum montem ostendere vult, eo quod in ipso templum aedificandum erat. *69. Et aedificauit sicut vnicornium Sanctuarium suum.* Vno cornu aiunt Vnicornem munitum esse. Vnum autem Deum colere etiam lex docuit. Iure igitur vnicum templum, vni Deo consecratum, Vnicorni comparauit. *In terra fundauit eam in saecula.* Symmachus autem sic, Vt terram, quam fundasti in saecula. Caeteri etiam

φυλήν· υἱὸς γὰρ τοῦ Ἰωσὴφ ὁ Ἐφραίμ. ἀπωσθῆναι δὲ αὐτήν λέγει, τῷ μὴ διαμεῖναι ἐν τῇ Σηλὼμ τὴν σκηνήν· ἀλλ᾽ ἐν τῇ Ἱερουσαλὴμ τῆς θείας κιβωτοῦ μεταβῆναι τὴν χάριν, ἐν ᾗ καὶ ὁ Σολομὼν μετὰ ταῦτα τὸν θεῖον νεὼν ἐδείματο. ξή. Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα· τὸ ὄρος τὸ Σιών, ὃ ἠγάπησεν. Ἐξελέξατο μέντοι τὴν φυλὴν Ἰούδα, διὰ τὴν ἐξ Ἰεσσαὶ ῥάβδον 1) ἀνθήσειν προσδοκωμένην· ταύτην δὲ τὴν βλάστην καὶ ὁ πατριάρχης Ἰακὼβ προεθέσπισεν εὐλογῶν τὸν Ἰούδαν· μέμνηται δὲ αὐτῆς καὶ ὁ θεσπέσιος Παῦλος, 2) οὑτωσὶ λέγων· πρόδηλον δὲ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. ταύτης οὖν ἕνεκα, τὴν Ἰούδα φυλὴν τῶν ἄλλων προείλετο· ἐπειδὴ δὲ τοῦτό πως ἠγνοεῖτο τοῖς πολλοῖς τὸ μυστήριον, μάλα 3) σαφῶς ἐπήγαγε· τὸ ὄρος τὸ Σιών, ὃ ἠγάπησεν· ἵνα τῶν ἄλλων φυλῶν κατασβέσῃ τὸν φθόνον· μονονουχὶ λέγων· μηδεμίαν ἀφορμὴν ζηλοτυπίας 4) εἰσδέξησθε. διὰ γὰρ τὸ Σιὼν ὄρος ἐξελέξατο τὴν Ἰούδα φυλήν. ἄλλως τε καὶ σεβάσμιον βούλεται δεῖξαι τὸ ὄρος, διὰ τὸν οἰκοδομηθησόμενον νεὼν ἐν αὐτῷ. ξθ´. Καὶ ᾠκοδόμησεν ὡς 5) μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ. Κέρατι τὸν μονόκερων ἑνὶ καθωπλίσθαι φασίν· ἕνα δὲ προσκυνεῖν Θεὸν καὶ ὁ νόμος 6) ἐδίδαξεν. εἰκότως τοίνυν ἀπείκασε μονοκέρωτι τὸν ἕνα νεών, τὸν τῷ ἑνὶ ἀφιερωμένον 7) Θεῷ. 8) ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. ὁ δὲ Σύμμαχος οὕτως· 9) ὡς τὴν γῆν, ἣν 10) ἐθεμελίωσας εἰς τὸν αἰῶνα· καὶ οἱ ἄλλοι

1) ἀνθήσειν. Cod. 2. τὴν ἀνθῆσαι. 2) Cod. 2. οὕτω. 3) Cod. 2. σοφῶς. 4) Cod. 2. εἰσδέξασθε. 5) Cod. 2. μονοκέρωτος. Hebr. כמו־רמים *instar palatiorum. Aqu.* ὁμοίως ὑψηλοῖς. *Symm.* ὡς τὰ ὑψηλά. 6) Cod. 2. ἐδίδασκεν. 7) Θεῷ. Abest a Cod. 2. 8) ἐν τῇ γῇ. Hebr. כארץ *sicut terram.* 9) ὡς. Cod. 2. ὅς, sed minus recte. 10) Cod. 2. ἐθεμελίωσεν, et sic quoque leg. apud MONTF. in Hexapl. ad h. l.

a) Hebr. 7, 14.

ἄλλοι δὲ τὴν αὐτὴν διάνοιαν ἡρμηνεύκασι. λέγει τοίνυν, ὅτι καθάπερ μίαν ἐδημιούργησε γῆν, οὕτω νεὼν Ἰουδαίοις ἕνα δημιουργῆσαι προσέταξε. ο. Καὶ ἐξελέξατο Δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων. Κατὰ ταυτὸν διὰ τούτων ἐδήλωσε, καὶ τοῦ Δαβὶδ τὴν ἀρετὴν, δοῦλον αὐτὸν ὀνομάσας Θεοῦ, καὶ τοῦ Θεοῦ τὴν φιλοτιμίαν, ὅτι τὸν προβατέα βασιλέα πεποίηκεν. οα΄. Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν. Ὁ δὲ Σύμμαχος οὕτως· ἀκολουθοῦντα ἐγκύμοσιν 1) ἤγαγεν αὐτόν· ἐπίτασις δὲ τῆς φιλοτιμίας καὶ τοῦτο· οὐδὲ γὰρ ποιμὴν 2) τέλειος ἦν, ἀλλ᾽ ὑπουργὸς ποιμένος, τοῖς τίκτουσι τῶν προβάτων ἑπόμενος. ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ. 3) καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς· καὶ τοῦτο 4) δὲ δείκνυσι τὴν τῆς κηδεμονίας ὑπερβολήν· οὐ γὰρ τοῖς τυχοῦσιν ἀνθρώποις ἐπέστησε τὸν τῶν προβάτων 5) νομέα, ἀλλ᾽ ἁπλότητι σύνεσιν κεράσας, κατὰ τοὺς θείους αὐτοὺς ἐποδήγησε νόμους. τούτοις ἔοικεν ἡ τοῦ Κυρίου νομοθεσία· γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί· 6) ἑκατέρου γὰρ ἐξορίσας κακίαν, καὶ τοῦ μὲν τὴν κακουργίαν, τῆς δὲ τὴν ἄνοιαν ἐξελὼν, τὴν ἐπαινουμένην ἐκέρασεν ἀρετήν. ταύτην καὶ ἡμᾶς ἐν

eundem sensum expresserunt. Dicit igitur, quod sicut vnam terram condidit, sic Iudaeis praeceperit vt vnum templum erigerent. 70. *Et elegit Dauidem seruum suum, et suscepit eum de gregibus ouium.* Eadem opera his verbis ostendit, et Dauidis virtutem, nominans ipsum seruum Dei, et eximiam Dei liberalitatem, quoniam pastorem regem fecit. 71. *Sequentem foetas accepit eum.* Symmachus vero sic, Sequentem praegnantes adduxit ipsum. Est autem hoc etiam diuinae liberalitatis amplificatio. Neque enim perfectus pastor erat, sed pastoris minister, qui parientes oues sequebatur. *Pascere Iacobum seruum suum, et Israelem hereditatem suam: et pauit eos innocentia cordis sui, et pro prudentia manuum suarum duxit eos.* Hoc autem prouidentiae curaeque magnitudinem ostendit. Non enim pastorem ouium quibuslibet hominibus praefecit, sed prudentiam simplicitate temperans, secundum diuinas * leges ipsos deduxit. His simile est praeceptum Domini, a) Sitis prudentes sicut serpentes, et simplices sicut columbae. Nam cum vtriusque vitium separasset, et illius quidem maleficentiam, huius vero inscitiam abstulisset, laudatam virtutem miscuit. Hanc etiam nos in

 nobis

1) ἤγαγεν. Cod. 2. ἔλαβεν. 2) τέλειος. Cod. 2. praem. φησί. 3) καὶ — ὡδηγ. αὐτούς. Haec post pauca interiecta sequuntur in Cod. 2. 4) δέ. Abest a Cod. 2. 5) νομέα. Cod. 2. add. ἀλλὰ τοῖς τοῦ Ἰσραὴλ ἀπογόνοις τοῖς τὴν προσηγορίαν τοῦ προπάτορος δεξαμένοις καὶ τοῖς τοῦ Θεοῦ ἀπολαύουσι προμηθείας, οὓς καθάπερ τινὰ κλῆρον ἀπένειμεν ἑαυτῷ. „ sed Israelis posteris, qui a gentis auctore nomen sortiti sunt, et prouidentia diuina fruuntur, quos vt sortem sibi vindicauit. „ Deinde sequuntur illa, καὶ ἐποίμανεν — ὡδήγησεν αὐτούς, hoc addito Commentario, οὐ γὰρ ἐγένετο περὶ τὰς θείας εὐεργεσίας ἀγνώμων, ἀλλ᾽ „ non erat autem erga diuina beneficia ingratus, sed „ 6) Cod. 2. ἑκατέρων.

a) Matth. 10, 16.

nobis ipsis exercere decet. Nos, inquam, qui instar beati Dauidis vocati sumus, immo vero maioribus in rebus. Nam maiorum rerum ministerium nobis commissum est, vt ambulemus digne vocatione, qua vocati sumus, iuxta diuini Pauli præceptum.

ἑαυτοῖς κατορθῶσαι προσήκει, καὶ τῷ μακαρίῳ Δαβὶδ κληθέντας παραπλησίως, μᾶλλον δὲ ἐπὶ μείζοσι· μειζόνων γὰρ πραγμάτων διακονίαν ἐνεχειρίσθημεν. ἀξίως περιπατῆσαι 1) τῆς κλήσεως, ἧς ἐκλήθημεν, κατὰ τὴν τοῦ 2) θεσπεσίου Παύλου νομοθεσίαν.

INTERP. PSALMI LXXVIII.

ΕΡΜΗΝ. ΤΟΥ οη' ΨΑΛΜΟΥ.

1. *Psalmus Asaph.* Propheticus sermo Antiochi, cognomento illustris, furorem in Iudæorum populum prædicit. Vaticinationem autem in deprecationem effingit, tanquam a piis futuris hominibus, tunc oblatam, qui nondum quidem vicerant, sed adhuc calamitatibus cincti erant. *O Deus, venerunt gentes in hereditatem tuam, polluerunt templum sanctum tuum.* Sapienter Spiritus gratia eos, qui cum grauioribus illis calamitatibus luctabantur, preces exordiri docuit. Non enim propria mala primum narrant, sed impietatem in diuinum templum patratam, quod nihil in diuinas leges commiserat. Gentes, inquit, impietati et iniquitati assuetæ, tua hereditate potitæ sunt. Ausi enim sunt in templi tui adyta ingredi. Non solum autem altaribus sacrificiisque dæmonum, tua sancta macularunt. 2. *Posuerunt Hierosolymam in pomorum custodiam.* Nam cum funditus totam vrbem destruxissent, fecerunt vt inclyta illa Hierosolyma nihil differret a tugurio, quod in pomorum custodiam exstruitur. *Posuerunt*

α'. Ψαλμὸς τῷ Ἀσάφ. Ἀντιόχου, τοῦ ἐπίκλην Ἐπιφανοῦς, τὴν κατὰ τοῦ 3) λαοῦ τῶν Ἰουδαίων μανίαν ὁ προφητικὸς προθεσπίζει λόγος. τὴν δὲ χρησμολογίαν εἰς εὐχὴν σχηματίζει, ὡς ὑπὸ τῶν εὐσεβῶν τῶν ἐσομένων τηνικαῦτα προσφερομένην· οὐδέπω μὲν νενικηκότων, ἔτι δὲ περικλυζομένων ταῖς συμφοραῖς. Ὁ Θεὸς, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. 4) Σοφῶς ἡ τοῦ Πνεύματος χάρις τοὺς ταῖς χαλεπαῖς ἐκείναις προσπαλαίοντας συμφοραῖς ἐδίδαξεν ἄρξασθαι τῆς ἱκετείας. οὐ γὰρ τὰ οἰκεῖα πρότερον διηγήσαντο πάθη· ἀλλὰ τὴν κατὰ τοῦ θείου νεὼ τολμηθεῖσαν ἀσέβειαν, ὡς τοῦ νεὼ μηδὲν εἰς τὸν θεῖον πλημμελήσαντος νόμον. ἔθνη, φησὶ, δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶντα τῆς σῆς κληρονομίας ἐκράτησαν· ἐπιβῆναι γὰρ τῶν ἀδύτων τοῦ σοῦ νεὼ κατετόλμησαν· οὐ βωμοῖς δὲ μόνον, καὶ θυσίαις δαιμόνων, τὰ σὰ 5) κατεμίαναν ἅγια. β'. 6) Ἔθεντο Ἱερουσαλὴμ 7) εἰς ὀπωροφυλάκιον. Ἄρδην γὰρ πᾶσαν τὴν πόλιν πορθήσαντες, οὐδὲν σκηνῆς διαφέρειν εἰς ὀπωροφυλάκιον 8) γενομένης, τὴν πολυθρύλλητον 9) ἐπέφηναν Ἱερουσαλήμ. ἔθεντο τὰ θνησι-

1) τοῦς. Cod. 2. præm. ἀντί. 2) θεσπεσίου. Cod. 2. θείου. 3) λαοῦ. Cod. 2. præm. ἐπιφανοῦς. 4) Σοφῶς. Cod. 1. τὸ φῶς. 5) Cod. 1. ἐμίαναν. 6) Ἔθεντο. Cod. 1. et 2. præm. ἀλλ'. 7) εἰς ὀπωροφ. Hebr. לעיים in aceruos. *Aqu.* εἰς λιθολογίαν. Pro εἰς Cod. 2. habet ὡς, vt in edit. *ald.* et *compl.* 8) Cod. vterque γεγενημένης. 9) Cod. vterque ἀπέφηναν.

θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. τοσαύτῃ θηριωδίᾳ καὶ μανίᾳ κατὰ τῶν σῶν θεραπόντων ἐχρήσαντο, ὡς τοῖς θηρίοις, καὶ τοῖς τῶν πετεινῶν σαρκοβόροις, τὰ τούτων σώματα προθεῖναι θοίνην. γ'. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ 1) κύκλω Ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων. 2) Μιαιφόνον δὲ κεκτημένοι τὴν γνώμην, ἀναιροῦσι μὲν τοὺς εὐσεβείᾳ συζῶντας· αἱμάτων δὲ ὀχετοὺς κατὰ τῆς γῆς παρασκευάζουσι φέρεσθαι, 3) τάφου δὲ ἀξιοῦσθαι τοὺς σφαττομένους οὐ συγχωροῦσιν. δ'. Ἐγενήθημεν 4) ὄνειδος τοῖς γείτοσιν ἡμῶν μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. Ταῦτα ἡμᾶς ἐπονειδίστους τοῖς ὁμόροις εἰργάσαντο· διὰ ταῦτα ἐπίχαρτοι τοῖς πλησιοχώροις γεγόναμεν· γείτονας δὲ καλεῖ τοὺς Ἀλλοφύλους, τοὺς Ἰδουμαίους, τοὺς Ἀμμανίτας, τοὺς Μωαβίτας, καὶ τὰ ἄλλα ἔθνη τὰ ὅμορα, ἅπερ αὐτοῖς ἀντίπαλα καὶ πολέμια ἦν ἀεί. ε'. Ἕως πότε Κύριε ὀργισθήσῃ εἰς τέλος· ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου; Νομοθετῶν ὁ Θεὸς αὐτῷ μόνῳ λατρεύειν προσέταξε, καὶ ἕτερον μηδένα καλούμενον προσκυνῆσαι Θεὸν, ὅτι ἐγώ φησι Κύριος ὁ Θεός 5) σου, Θεὸς ζηλωτὴς, πῦρ καταναλίσκον. 6) „ἀλλ᾽ ὡς πολλάκις ἡμῖν εἴρηται, μηδεὶς ἀκούων ἕνα Θεὸν „μοναρχίαν ὑπολάβοι· τὴν γὰρ ἀπερινόητον καὶ ἀεὶ οὖσαν οὐσίαν τὴν ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι προσκυνουμένην, Θεὸν ὀνομάζει· ὅτι δὲ νομοθετεῖ ὁ Θεὸς λόγος, ὅς ἐστιν Ἰησοῦς „Χριστὸς ὁ σωτὴρ ἡμῶν, οὐκ ἂν ἀμφιβάλλοι ἕκαστος τῶν φιλομαθεστέρων. „

mortitina seruorum suorum escas volatilibus caeli, carnes sanctorum tuorum bestiis terrae. Tanta inhumanitate et furore in tuos cultores saeuierunt, vt horum corpora feris, auibusque carniuoris escam exponerent. 3. *Effuderunt sanguinem ipsorum tanquam aquam in circuitu Hierosolymae, et non erat qui sepeliret.* Porro caedis cupidam mentem habentes, pios homines necant, faciuntque vt sanguinis riui per terram fluant, nec permittunt eos qui occiduntur sepultura donari. 4 *Facti sumus opprobrium vicinis nostris, subsannatio, et illusio his qui in circuitu nostro sunt.* Haec apud finitimos nos infames reddiderunt, propterea ludibrio vicinis facti sumus. Vicinos autem vocat Allophylos, Idumaeos, Ammonitas, Moabitas, et alias finitimas gentes, quae semper contrariae et inimicae ipsis fuerunt. 5 *Quousque Domine irasceris in finem, accendetur velut ignis zelus tuus?* Deus legem ferens, se solum coli praecepit, et nullum alium, qui deus vocetur, adorari. Quoniam ego, inquit, a) Dominus Deus tuus, Deus zelotes, ignis consumens. „ Sed, „ vt iam saepius a nobis dictum „ est, nemo qui audiuerit vnum „ esse Deum, Monarchiam suspi„ cetur. Substantiam enim illam „ sempiternam et mente nostra „ vix comprehendendam, quam „ in Patre, Filio et Spiritu Sancto „ adoramus, Deum vocat. Legisla„ torem autem esse Deum Verbum, „ Iesum Christum Saluatorem no„ strum, haud dubitauerit, quis„ quis discendi cupidus fuerit. „

1) κύκλῳ — θάπτων. Des. in Cod. 1. 2) Μιαιφόνον. Cod. 1. praem. λέγει ὅτι, omisso δέ. 3) Cod. 2. ταφῆς. 4) ὄνειδος. In Textu τῶν ό. praemitti solet εἰς. 5) σου, Θεός. Des. in Cod. 2. 6) E Cod. 1. Conf. p. 1075. n. 8.

a) Exod. 34, 14. coll. Deut. 4, 24.

De hoc autem et sermo propheticus hoc loco mentionem fecit, *Accendetur velut ignis zelus tuus.* Ne amplius Domine, inquit, irascaris, neue ignis instar ob peccata nostra iram contra nos accendas. *6. Effunde iram tuam in gentes, quae te non nouerunt, et in regna, quae nomen tuum non inuocauerunt.* Quoniam peccatorum poenas ab hominibus exigis, obsecro te vt in illos iram transferas, qui penitus tuum nomen discere noluerunt, sed supremae impietati seruiunt. 7. *Quia comederunt Iacobum, et locum eius desolauerunt.* Manifestum autem est hoc signum illorum impietatis: quod nihil mali a nobis passi, nos tamen internecioni dederunt, regionem vero depopulati sunt, et ciuitates euerterunt. Pro *Locus eius*, Aquila *Speciem eius.* Symmachus vero, *Pulchritudinem eius*, Theodotio *Decorem eius* interpretati sunt, per quae magis diuina domus ostenditur. Scite autem populum Iacob appellauit, mentione proaui Deum ad misericordiam excitans. *8. Ne memineris iniquitatum nostrarum antiquarum.* Religiosi erant, qui hanc deprecationem instituerunt, et multum studium pro pietate susceperunt. Celebris enim est Maccabaeorum virtus. Merito igitur supplicant, ne pristinorum peccatorum poenas a populo exigat. Sed hoc quidem dixerunt, nec alterum apposuerunt, vt Deus praesentem eorum pietatem intueretur. Hoc enim maxime eximium eorum virtutem demonstrat, videlicet pristinorum quidem pecca-

τοῦτο καὶ ἐνταῦθα ὁ προφητικὸς ἀνέμνησε λόγος· ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου. μὴ ἐπιπλεῖστον Δέσποτα 1) φησὶν ὀργισθῆς, μηδὲ πυρὸς δίκην διὰ τὰς ἡμετέρας πλημμελείας τὸν καθ' ἡμῶν ζῆλον ἐξάψῃς. ϛ'. Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη, τὰ μὴ 2) γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο. Ἐπειδὴ δίκας ἁμαρτημάτων τοὺς ἀνθρώπους εἰσπράττῃ, κατ' ἐκείνων ἱκετεύω σε τὴν ὀργὴν μεταθεῖναι, οἳ παντάπασι τὸ σὸν μαθεῖν οὐκ ἐθέλουσιν ὄνομα, ἀλλὰ τῇ ἀκροτάτῃ δυσσεβείᾳ δουλεύουσιν. ζ'. Ὅτι κατέφαγον τὸν Ἰακώβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν. Σαφὲς δὲ καὶ τοῦτο τῆς ἐκείνων παρανομίας τεκμήριον· οὐδὲν γὰρ παρ' ἡμῶν κακὸν ὑπομείναντες, ἡμᾶς μὲν σφαγαῖς κατανάλωσαν, τὴν δὲ χώραν ἐδῄωσαν, καὶ τὰς πόλεις ἐπόρθησαν. τὸν δὲ τόπον αὐτοῦ, Ἀκύλας μὲν ὡραῖον αὐτοῦ, Σύμμαχος δὲ καλλονὴν αὐτοῦ· ὁ δὲ Θεοδοτίων, εὐπρέπειαν αὐτοῦ ἡρμήνευσαν· δι' ὧν μᾶλλον ὁ θεῖος οἶκος δεδήλωται. καλῶς δὲ τὸν λαὸν Ἰακὼβ προσηγόρευσε, τῇ τοῦ προπάτορος μνήμῃ τὸν Θεὸν εἰς ἔλεον διεγείρων. η'. Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων. Εὐσεβεῖς ἦσαν οἱ ταύτην προσφέροντες τὴν εὐχήν, καὶ πολὺν ὑπὲρ εὐσεβείας ἀναδεξάμενοι 3) ζῆλον. ἀοίδιμος γὰρ ἡ τῶν Μακκαβαίων ἀρετή. εἰκότως τοίνυν ἀντιβολοῦσι, μὴ τῶν προτέρων ἁμαρτημάτων εὐθύνας τὸν λαὸν εἰσπραχθῆναι. ἀλλὰ τοῦτο μὲν τεθείκασιν, οὐ μὴν 4) καὶ τὸ δεύτερον 5) προστεθείκασιν, ὥστε τὸν Θεὸν τὴν παροῦσαν αὐτῶν εὐσέβειαν κατιδεῖν. τοῦτο γὰρ μάλιστα τὴν πολλὴν αὐτῶν δείκνυσιν ἀρετήν· τὸ τῶν μὲν προτέρων ἁμαρτημάτων μνηθῆ-

1) φησίν. Cod. 2. add. ἡμᾶς, pro ἡμῖν, vt videtur. 2) γιν. Rec. lectio h. l. est ἐπιγινώσκοντα. 3) ζῆλον. Cod. 1. ἀγῶνα. 4) καί. Abest a Cod. 2. 5) Cod. 1. τεθείκασι.

σθῆναι, κρύψαι δὲ τὴν παροῦσαν εὐσέβειαν. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου 1) Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα, θ΄. Βοήθησον ἡμῖν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν. 2) Ὄρεξον ὅτι 3) τάχιστα τὴν ἄμαχόν σου ῥοπήν· πάσης γὰρ ἔρημοι προνοίας γεγόναμεν· σὲ δὲ μόνον ἐπίκουρον ἔχομεν καὶ σωτῆρα. ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου Κύριε ῥῦσαι ἡμᾶς· καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου. οὐδαμοῦ τῆς σφετέρας μνημονεύουσιν ἀρετῆς, ἀλλὰ 4) διὰ τὸ θεῖον ὄνομα τῆς θείας ἐπικουρίας ἀντιβολοῦσι τυχεῖν· ἡμῶν γάρ φησι κακοπραγέντων, κατὰ τοῦ σοῦ ὀνόματος ἡ βλασφημία χωρεῖ. ἀντιβολοῦμεν τοίνυν, παριδεῖν μὲν σὲ τὰ πλημμελήματα· μεταβαλεῖν δὲ τὰς συμφορὰς, καὶ τὴν σὴν δύναμιν ὑποδεῖξαι τοῖς ἀγνοοῦσι. ι΄. 5) Μήποτε εἴπωσι 6) τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Οἱ δὲ ἄλλοι ἑρμηνευταὶ ὡς γεγενημένον τοῦτο εἰρήκασιν. εἰς τί λέγει τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; τοῦτό με, φησὶν, ἀνιᾷ, τοῦτό 7) με κεντεῖ πάσης ἀκίδος ὀξύτερον, τὸ ὑπὸ τῶν ἐθνῶν κατὰ σοῦ τὴν βλασφημίαν τολμᾶσθαι, καὶ ἐπιτωθάζοντας λέγειν, ποῦ ἐστιν ὁ Θεὸς ὑμῶν; ὃν λέγετε μαστιγῶσαι τὴν Αἴγυπτον, διηρηκέναι 8) τὴν θάλατταν, 9) „ὑμῖν δὲ δωρῆσαι διάβασιν, „καὶ τ' ἄλλα πάντα δεδρακέναι „ τὰ μεγάλα καὶ 10) πολυθρύλλητα; καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου, τοῦ ἐκκεχυμένου. ἀντιβολοῦμεν τοίνυν, τούτους μὲν τῖσαι τῆς μιαιφονίας ποινὴν, τοὺς δὲ ἄλλους ἅπαντας ἰδεῖν σὺν

torum reminisci, praesentem vero pietatem occulere. *Cito anticipent nos misericordiae tuae, quia valde pauperes facti sumus.* 9. *Adiuua nos o Deus Saluator noster.* Porrige quamprimum tuam inexpugnabilem opem: nam omni praesidio destituti sumus, te autem solum adiutorem et saluatorem habemus. *Et propter gloriam nominis tui Domine libera nos, et propitius esto peccatis nostris propter nomen tuum.* Nusquam de sua virtute mentionem faciunt, sed orant, vt ob diuinum nomen diuinum auxilium consequantur. Nobis enim, inquiunt, male habentibus, in tuum nomen opprobrium recidit. Precamur igitur, vt errata despicias, calamitatesque conuertas, et potentiam tuam insciis ostendas. 10. *Ne forte dicant gentes, vbi est Deus eorum?* Interpretes alii hoc velut factum, dixerunt, *Cur dicunt gentes, vbi est Deus eorum?* Hoc, inquit, me affligit, hoc me pungit qualibet cuspide acutius, quod gentes contra te opprobria impune iactentur, et insultantes dicant, Vbi est Deus vester, quem dicitis Aegyptum castigasse, diffidisse mare, „vobis autem transitum concessisse, omniaque alia „fecisse„ magna illa et celeberrima? *Et innotescat in nationibus coram oculis nostris vltio sanguinis seruorum tuorum, qui effusus est.* Obsecramus igitur, vt isti cruentae caedis poenas luant: alii autem omnes nobiscum iustum

Nn 5 tuum

1) Κύριε. Cod. 1. add. λέγει καὶ τίνος ἕνεκεν διὰ τῶν ἑξῆς. 2) Ὄρεξον. Cod. 1. add. ἡμῖν. 3) τάχιστα. Cod. vterque add. Δέσποτα. 4) διά. Abest a Cod. 2. 5) Μήποτε — ἔθνη. *Hebr.* Cur dicerent gentes? 6) Rec. lectio est ἐν τοῖς ἔθνεσι. 7) μέ. Abest a Cod. 2. 8) τὴν θάλατταν. Cod. 1. et 2. τὸ πέλαγος. 9) E Cod. vtroque suppl. 10) πολυθρ. Cod. 1. add. διὰ δὴ ταῦτα ἀντιβολοῦσι

tuum iudicium perſpiciant, iramque ob necatos cultores tuos. 11. *Introëat in conſpectum tuum gemitus compeditorum, ſecundum magnitudinem brachii tui ſerua filios mortificatorum.* Obſecro etiam, vt reſpicias in eos, qui ſuperſtites quidem adhuc ſunt, ſed in vincula coniecti ſunt, mortemque exſpectant; et ne ad extremam perniciem noſtrum genus condemnare velis, ſed filios eorum, qui interfecti ſunt, ſaluos reddas, nouamque iuuentutem ex ipſis efficias. 12. *Redde vicinis noſtris ſeptuplum in ſinu eorum, opprobrium ipſorum, quod* * *intulerunt tibi Domine.* * Multiplices pœnas blaſphemiæ finitimis irroga. Non enim certum numerum his verbis declarauit, ſed maximam pœnam ipſis infligi petiit. Simile eſt illud, a) Sterilis genuit ſeptem, hoc eſt multos. Dixit autem *ſinum* per Metaphoram ductam ab illis, qui aliquid in ſinu ferunt, et tuto continent, vt nihil excidat: quaſi dicat, imple eos calamitatibus ſemper imminentibus. 13. *Nos autem populus tuus, et oues paſcui tui, confitebimur tibi in ſeculum, in generationem et generationem annunciabimus laudem tuam.* Nos autem, qui tuus populus vocamur, tuusque grex nominamur, ſemper hymnos tibi offeremus, et gratias pro beneficiis agemus: cumque literis ea mandauerimus, poſteris homini-

ἡμῶν τὴν δικαίαν σοῦ ψῆφον, καὶ τὴν ὑπὲρ τῶν ἀνῃρημένων σοῦ θεραπόντων ὀργήν. ια΄. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων. κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Ἀπιδεῖν ἱκετεύω σε, καὶ εἰς τοὺς ἔτι μὲν περιόντας, δεσμὰ δὲ περικειμένους, 1) καὶ προσδεχομένους τὸν θάνατον, καὶ μὴ πανωλεθρίαν τοῦ ἡμετέρου καταψηφίσασθαι γένους· ἀλλὰ τῶν ἀνῃρημένων 2) περισῶσαι τοὺς παῖδας, καὶ νεολαίαν ἐξ αὐτῶν καταστῆσαι. ιβ΄. Ἀπόδος τοῖς γείτοσιν ἡμῶν 3) ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν· τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε Κύριε. 4) Πολλαπλασίαν τοῖς ὁμόροις 5) τῆς βλασφημίας τὴν τιμωρίαν ἐπάγαγε. οὐ γὰρ ὡρισμένον ἀριθμὸν διὰ τῶν εἰρημένων ἐδήλωσεν, ἀλλὰ μεγίστην αὐτοῖς 6) ἐπαχθῆναι τιμωρίαν ἐζήτησε. 7) τοιοῦτο καὶ τὸ, στεῖρα ἔτεκεν ἑπτὰ, ἀντὶ τοῦ πολλά. τὸν δὲ κόλπον εἴρηκεν, ἐκ μεταφορᾶς τῶν ἐν τῷ κόλπῳ τὶ φερόντων, καὶ ἀσφαλῶς συνεχόντων, ὥστε μηδὲν ἐκπεσεῖν· ἀντὶ τοῦ, πλήρωσον αὐτοὺς συμφορῶν ἐπικειμένων διηνεκῶς. ιγ΄. Ἡμεῖς 8) δὲ λαός σου, καὶ πρόβατα νομῆς σου· ἀνθομολογησόμεθά σοι 9) ὁ Θεὸς εἰς τὸν αἰῶνα· εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου. 10) Ἡμεῖς δὲ 11) οἱ λαὸς σὸς χρηματίσαντες, καὶ ποίμνιον ὀνομαζόμενοι σὸν, ἐνδελεχῶς σοι τοὺς ὕμνους προσοίσομεν· καὶ τὰς ὑπὲρ τῆς εὐεργεσίας ὁμολογήσομεν χάριτας· καὶ ἀναγράπτους ταύτας πεποιηκότες, τοῖς ἐσομένοις ἀνθρώποις

1) καὶ — θάνατον. Deſ. in Cod. 2. 2) περισῶσαι. Abeſt a Cod. 2. Cod. 1. φυλάξαι. 3) Rec. lectio eſt ἑπταπλάσια. 4) Cod. 1. Πολλαπλασίονα. 5) τῆς βλασφ. Deſ. in Cod. 2. 6) Cod. 2. ἐπενεχθῆναι. 7) Cod. 1. τοιοῦτον ἐστι. 8) δέ. Rec. lectio h. l. eſt γάρ. 9) ὁ Θεός. Additur in edit. *ald.* et *compl.* 10) Ἡμεῖς δέ. Cod. 1. λέγει δὲ ὅτι ἡμεῖς. 11) οἱ. Abeſt a Cod. 2.

a) 1 Reg. 2, 5.

ποις προσοίσομεν τὴν τέτων διήγησιν· τὸ μέν τοι ἀνθομολογησόμεθα, 1) ἀντὶ τȣ̃ ἐξομολογησόμεθα εἴρηκε. τὴν εὐχαριςίαν δὲ τὸ 2) ὄνομα δηλοῖ.

ΕΡΜΗΝ. ΤΟΥ οθ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, 3) ἐν ὕμνοις· ὑπὲρ τῶν ἀλλοιωθησομένων. μαρτύριον τῷ Ἀσάφ. 4) ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίȣ. Μεταβολὴν τινῶν πραγμάτων ὁ παρὼν προλέγει ψαλμός. ἡ γὰρ ἀλλοίωσις τȣ̃το δηλοῖ, καὶ μαρτύρεται· διὰ τȣ̃το καὶ μαρτύριον 5) πρόσκειται· προθεσπίζει δὲ ἡ χάρις τȣ̃ Πνεύματος, τὸν τῶν Ἰȣδαίων ἀνδραποδισμόν, καὶ τὴν ἐν Βαβυλῶνι δȣλείαν· ἐσχημάτισαι δὲ εἰς εὐχὴν ὁ ψαλμὸς τῷ Θεῷ τῶν ὅλων, ὡς ὑπ' αὐτῶν ἐκείνων προσφερομένην. διδάσκει γὰρ αὐτȣ̀ς ἡ προφητικὴ χάρις, ὁποίοις δεῖ τὸν Θεὸν ἱλεώσασθαι ῥήμασι, καὶ εἰς ἔλεον διεγεῖραι· προλέγει δὲ καὶ τὴν ἐσομένην 6) πᾶσιν ἀνθρώποις διὰ τȣ̃ Δεσπότȣ Χριςȣ̃ σωτηρίαν.

β΄. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες. Σὲ Δέσποτα τὸν ποιμένος δίκην τȣ̃ λαȣ̃ προμηθȣ́μενον δέξασθαί μȣ τὴν ἱκετείαν ἀντιβολῶ. 7) ὁ ὁδηγῶν ὡσεὶ 8) πρόβατον τὸν Ἰωσήφ. οἷόν τισι λύκοις 9) περιπεσόντα τοῖς ἀδελφοῖς, τῶν ἐκείνων ἀπαλλάξας χειρῶν, ἐποδήγησας εἰς Αἴγυπτον, καὶ 10) κρείττονα τῶν ἐπιβȣλευσάντων ἀπέφηνας. Ὅτω τὴν εἰς αὐτȣ̀ς γεγενημένην κηδεμονίαν διεξελθών, ἐπὶ τὴν γενικωτέραν ἐξȣσίαν μετέβη. ὁ καθήμενος ἐπὶ τῶν Χερȣβὶμ ἐμφάνη-

bus horum narrationem trademus. Verbum *Confitebimur*, quo vsi sunt, idem est quod gratias agemus: gratiarum actionem autem verbum illud exprimit.

INTERP. PSALM. LXXIX.

1. *In finem, in hymnis: pro his qui mutabuntur. Testimonium Asaph. Psalmus pro Assyrio.* Praesens psalmus quarundam rerum vicissitudinem praedicit: mutatio enim hoc declarat, et testificatur; propterea et *Testimonium* inscriptioni apponitur. Praedicit autem Spiritus gratia Iudaeorum captiuitatem, et seruitutem quam apud Babylonios seruierunt. Formatus est autem Psalmus in deprecationem vniuersorum Deo ab illis ipsis quasi oblatam. Docet enim ipsos prophetica gratia, quibus verbis Deum placare, et ad misericordiam excitare oporteat. Vaticinatur etiam salutem omnibus hominibus futuram per Dominum Christum. 2. *Qui pascis Israëlem, attende.* Te Domine obsecro, vt meas preces admittas, qui pastoris instar populum gubernas. *Qui ducis Iosephum velut ouem.* Iosephum, qui in fratres, velut in quosdam lupos inciderat, ab illorum manibus liberatum, in Aegyptum deduxisti, insidiantibusque superiorem fecisti. Sic curam iis exhibitam cum enarrasset, ad magis generalem potentiam sermonem transfert. * *Qui sedes super Cherubim, manifestare,*

1) ἀντὶ — δηλοῖ. Def. in Cod. 2. vbi post ἀνθομολ. sequitur εἰρήκασι. 2) ὄνομα, Cod. 1. add. τοῦτο. 3) ἐν ὕμνοις. Abest a Cod. 1. et a Textu hebr. ac graeco τῶν ό. 4) ψαλμὸς — Ἀσσυρίȣ. Def. in Cod. 2. In Cod. 1. def. tantum ψαλμός. 5) Cod. 2. πρόκειται. 6) πᾶσιν — σωτηρίαν. Cod. 1. τῶν ἐθνῶν καὶ πάντων ἀνθρώπων σωτηρίαν διὰ τῆς ἐνσάρκȣ παρȣσίας τῆς ἐκ παρθένȣ τȣ̃ Δεσπότȣ Χριςȣ̃ τȣ̃ Θεȣ̃ ἡμῶν. 7) ὁ ὁδηγῶν. Cod. 1. praem. σὺ γὰρ εἶ. 8) Rec. lectio h. l. est πρόβατα. 9) Cod. 2. περιπεσόντας τȣ̀ς ἀδελφȣ́ς. 10) Cod. 2. κρείττονας.

re. Quoniam enim horum duntaxat magnus Moses effigies quasdam in sanctis sanctorum consecrauit, et in medio horum propitiatorium posuit, per illud vero pontificibus Deus se aliqua ratione conspiciendum præbebat, iure hoc in loco de Cherubim mentionem fecit, atque illum, qui supra hos sedet, manifestari precatus est. *3. Coram Ephraim, et Beniamin, et Manasse.* Vt tuo populo appareas, inquit, obsecro. Per tribus enim commemoratas omnem designauit populum. Harum autem meminit, quoniam de Iosepho mentionem fecit. Ephraim vero, et Manasses filii fuerunt Iosephi, et Beniamin frater eius vterinus. *Excita potentiam tuam, et veni, vt saluos facias nos.* Tanquam patientem et quiescentem, Deum excitat; Omnem tuam, inquit, potentiam excita, nostram salutem procurans. „Illud quidem, „vt iam in superioribus a me „dictum est, populus precatur „qui tunc ab Assyriis captiuus „tenebatur, hoc vero etiam gen„tes orant, quibus salus a be„nefactore conferenda curæ fuit. „Hanc enim esse mentem Pro„phetæ, innuunt etiam ea quæ „sequuntur.„ *4. Deus virtutum conuerte nos.* A seruitute nos libera, et reditum largire. Illi „quidem, vt e Babylone redu„ces fiant, hi vero, vt ab idolis „liberentur, orant.„ Deinde negotii facilitatem docet. *Et fac vt splendeat facies tua, et salui erimus.* Satis enim est, si apparueris, vt nostris calamitatibus finem imponas. *5. Domine Deus virtutum quousque*

θι. ἐπειδὴ γὰρ τούτων 1) μόνων ὁ μέγας Μωσῆς ἐκτυπώματά τινα ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἀνέθηκε, καὶ μέσον τούτων τὸ ἱλαστήριον 2) τέθεικε, δι' ἐκείνου δέ τις 3) ἐπιφάνεια θεία τοῖς ἀρχιερεῦσιν ἐγένετο, εἰκότως ἐνταῦθα καὶ τῶν Χερουβὶμ ἐμνημόνευσε, καὶ τὸν τούτοις ἐπικαθήμενον ἐπιφανῆναι 4) ἱκέτευσεν. γ'. Ἐναντίον Ἐφραὶμ, καὶ Βενιαμὶν, καὶ Μανασσῆ. Ἐπιφανῆναί σε φησὶν ἱκετεύω τῷ σῷ λαῷ· διὰ γὰρ τῶν εἰρημένων φυλῶν, πάντα δεδήλωκε τὸν λαόν. τούτων δὲ ἐμνημόνευσεν, ἐπειδὴ καὶ τοῦ Ἰωσὴφ ἐποιήσατο μνήμην· τοῦ δὲ Ἰωσὴφ, ὁ μὲν Ἐφραὶμ καὶ ὁ Μανασσῆς παῖδες· ὁ δὲ Βενιαμὶν ἀδελφὸς ὁμομήτριος. ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. ὡς 5) μακροθυμοῦντα, καὶ ἡσυχίᾳ χρώμενον, τὸν Θεὸν διανίστησιν. ἅπασάν σου τὴν δύναμίν φησι κίνησον, τὴν ἡμετέραν 6) πραγματευσάμενος σωτηρίαν. 7) „τοῦτο μὲν, ὡς εἴ„ρηταί μοι ἀνωτέρω, ὁ ἀνδραποδισθεὶς τὸ „τηνικαῦτα παρὰ τῶν Ἀσσυρίων λαὸς, „τοῦτο δὲ τὰ ἔθνη ἀντιβολεῖ, κηδόμενα „τὴν παρὰ τοῦ εὐεργέτου σωτηρίαν· τοῦ„το γὰρ θέλει εἰπεῖν ὁ προφητικὸς νοῦς „καὶ διὰ τῶν ἑξῆς.„ δ'. Ὁ Θεὸς 8) τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς. 9) Τῆς δουλείας ἐλευθέρωσον, καὶ τὴν ἐπάνοδον χάρισαι. 10) „ὁ μὲν τὴν ἐκ Βαβυλῶνος „ἱκετεύων, ὁ δὲ τὴν ἐκ εἰδώλων ἐπιστρο„φήν.„ εἶτα τοῦ πράγματος διδάσκει τὴν εὐκολίαν. καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. ἀρκεῖς γὰρ φαινόμενος λῦσαι τὰς συμφοράς. ε'. Κύριε ὁ Θεὸς τῶν δυνάμεων· ἕως πότε ὀργί-

1) μόνων. Cod. 1. addit, τῶν Χερουβὶμ λέγω. 2) Cod. 2. ἀνέθηκε. 3) Cod. 1. ἐμφάνεια. 4) ἱκέτευσεν. Cod. 1. add. καὶ τίνος ἕνεκεν διὰ τῶν ἑξῆς λέγει. 5) Cod. 2. μακροθυμίᾳ. 6) Cod. 2. πραγματευόμενος. 7) E Cod. 1. 8) τῶν δυν. Abest a Cod. 1. et a Textu hebr. ac græco τῶν ό. 9) Τῆς. Cod. 1. præm. ἀντὶ τοῦ. 10) E Cod. 1.

ὀργίζῃ ἐπὶ τὴν προσευχὴν 1) τῶν δούλων σου. Μέχρι πότε Δέσποτα, τὰς ἐμὰς παραπέμπῃ λιτὰς, ἐπὶ τοῖς ἐμοῖς πλημμελήμασιν ὀργιζόμενος; δοῦλον δὲ αὐτοῦ τὸν λαὸν ὀνομάζει· καὶ γὰρ οἱ ἄλλοι ἑρμηνευταὶ, ἐπὶ τὴν προσευχὴν τοῦ λαοῦ σου, ἀντὶ 2) τοῦ δούλου σου τεθείκασιν. ϛʹ. Ψωμιεῖς 3) ἡμᾶς ἄρτον δακρύων· καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν 4) ἐν μέτρῳ. Ὁ χρόνος ἐνταῦθα ἐνήλλακται· καὶ γὰρ οἱ ἄλλοι ὡς γεγενημένα ταῦτα εἰρήκασιν· ἐψώμισας ἡμᾶς ἄρτον δακρύων, καὶ ἐπότισας ἡμᾶς 5) μετὰ δακρύων μέτρῳ· λέγει δὲ, ὅτι καὶ τὴν τροφὴν ἡμῶν, καὶ τὸ πόμα δάκρυσι συνεκέρασας· ὀδυρόμενοι γὰρ καὶ στένοντες 6) μεταλαγχάνομεν τῆς ἀναγκαίας τροφῆς· τοῦτο δὲ 7) πεποίηκεν ἀντιμετρήσας ταῖς ἁμαρτίαις τὴν τιμωρίαν· 8) τοῦτο καὶ ὁ Κύριος· ᾧ μέτρῳ μετρεῖτε, 9) ἀντιμετρηθήσεται ὑμῖν· τοῦτο καὶ Ζαχαρίας εἶδεν ὁ προφήτης τὸ μέτρον, τῆς Βαβυλῶνος προθεσπίζων τὸν ὄλεθρον. δύο γὰρ 10) ἔφησε θεάσθαι γυναῖκας, 11) ἔποπος μὲν ἐχούσας πτερὰ, τὸ δὲ μέτρον φερούσας, καὶ τοῦτο προσταχθείσας εἰς Βαβυλῶνα κομίσαι· διὰ τούτων 12) δὲ διδασκόμεθα τῆς θείας ψήφου τὸ δίκαιον. ζʹ. Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. 13) Ἐπονείδιστοι γεγόναμεν καὶ τοῖς γειτονεύουσιν ἔθνεσιν, ἀεὶ τὴν πρὸς ἡμᾶς 14) ἐσχηκόσι δυσμένειαν· 15) „ἀλλ' „ὅμως οὐκ ἀπέστημέν σου· τοῦτο γὰρ διὰ

irasceris orationi seruorum tuorum? Quousque Domine meas preces respuis, ob mea delicta iratus? Seruum autem eius, populum nominat. Nam et alii Interpretes, *In orationem populi tui*, pro *serui tui*, posuerunt. *6. Cibabis nos pane lacrymarum, et potum dabis nobis cum lacrymis in mensura.* Tempus hoc loco mutatum est: nam ceteri tanquam gesta hæc essent dixerunt, *Cibasti nos pane lacrymarum, et potum dedisti nobis cum lacrymis mensura.* Dicit autem, Et cibum nostrum et potum lacrymis miscuisti. Lugentes enim, et mœrentes necessarium cibum sumimus. Hoc autem fecit supplicia peccatis rependens. Hoc etiam Dominus dicit, a) Qua mensura mensi fueritis, iterum mensurabitur vobis. Hanc mensuram etiam propheta Zacharias vidit, b) Babylonis interitum prædicens. Duas enim mulieres se vidisse ait, alas quidem vpupæ habentes, mensuram autem ferentes, et iussas hanc * Babylonem ferre. *ſibi Per hæc autem diuinæ sententiæ iustitiam discimus. *7. Posuisti nos in contradictionem vicinis nostris, et inimici nostri subsannauerunt nos.* Ignominiosi facti sumus etiam apud finitimas gentes, quæ semper nobiscum inimicitias gesserunt: „Tamen non „defecimus a te. Hoc enim per „sequen-

1) τῶν δούλων σου. Hebr. עַמְּךָ *populi tui.* Rec. lectio est τοῦ δούλου. 2) Cod. 2. τῶν δούλων. 3) ἡμᾶς. Hebr הֶאֱכַלְתָּם *cibasti eos.* Sicque deinde *potum dedisti illis.* 4) ἐν μέτρῳ. Hebr שָׁלִישׁ *mensura magna.* 5) μετὰ — μέτρῳ. Cod. 1. ἐν δάκρυσιν ἐν μέτρῳ. 6) Cod. 1. μεταλαμβανομεν. 7) Cod. 2. πεποίηκας. 8) τοῦτο. Cod. 1. οὕτω. 9) Cod. 2. μετρηθήσεται. 10) Cod. vterque, ἔφη τε θεᾶσθαι. 11) ἔποπος μὲν. Cod. 2. ἐπ' ὤμων. 12) δὲ. Abest a Cod. 1. 13) ἐπον. Cod. 1. præm. λέγει δὲ ὅτι. 14) Cod. 2. ἐσχηκότες. 15) E Cod. 1.

a) Matth. 7, 1. b) Zach. 5, 9.

„ sequentia indicat. „ *8. Domine Deus virtutum conuerte nos, et fac vt splendeat facies tua, et salui erimus.* Tua igitur apparitione tenebrosam calamitatum caliginem discute, et reditum largire: „ Hoc quidem populus precatur, idem vero etiam Gentes rogant, apparitionem dicentes aduentum in carne. „ potens enim es, et potentiarum Dominus, „ qui tunc quidem inuisibili modo illos e captiuitate euocasti, gentes autem œconomia tua saluasti. „ Deinde antiqua beneficia persequitur, obsecrans vt eandem opem consequatur. *9. Vitem ex Aegypto transtulisti: eiecisti gentes, et plantasti eam. 10. Dux itineris fuisti in conspectu eius: plantasti radices eius, et impleuit terram.* Tu Domine iniustum Aegyptiorum dominatum euertisti, tu Cananæorum gentes omnino deleuisti; cumque populum tuum velut vitem ex Aegypto transtulisses, omnemque commeatus copiam pariter largitus esses, in Cananæorum terram ipsum transplantasti. *11. Operuit montes umbra eius, et arbusta eius cedros Dei. 12. Extendit palmites suos usque ad mare, et vsque ad flumina propagines suas.* Cum per translationem populum nominasset vitem, perstitit in figura, et *montes* quidem vocat finitimarum gentium robur, *umbram* vero quæ hos operit, Israelis potentiam

„ τῶν ἑξῆς ἔφη. „ η΄. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς· καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Τῇ σῇ τοίνυν ἐπιφανείᾳ σκέδασον τὸ ζοφῶδες νέφος τῶν συμφορῶν, καὶ τὴν 1) ἐπάνοδον χάρισαι· 2) „ τοῦτο μὲν „ ὁ λαὸς ἀντιβολῶν· τοῦτο δὲ καὶ τὰ „ ἔθνη· ἐπιφάνειαν λέγων τὴν ἔνσαρκον „ παρουσίαν. „ δυνατὸς γὰρ εἶ, καὶ τῶν δυνάμεων κύριος. 3) „ τότε μὲν ἀοράτως „ ἐκείνους ἐκ τῆς αἰχμαλωσίας ἀνακαλούμενος, τὰ δὲ ἔθνη τῇ σῇ οἰκονομίᾳ „ περιποιησάμενος. „ εἶτα τὰς παλαιὰς εὐεργεσίας διέξεισι, τῆς ὁμοίας ἀπολαῦσαι προμηθείας ἀντιβολῶν. θ΄. 4) Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. ι΄. 5) Ὡδοποίησας ἔμπροσθεν αὐτῆς· καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ 6) ἐπλήρωσε τὴν γῆν. 7) Σὺ Δέσποτα, τὴν ἄδικον τῶν Αἰγυπτίων κατέλυσας δυναστείαν· σὺ 8) τὰ τῶν Χαναναίων ἔθνη πανωλεθρίᾳ παρέδωκας, καὶ τὸν σὸν λαὸν καθάπερ ἄμπελον ἐξ Αἰγύπτου μεταγαγών, καὶ πᾶσαν κατὰ τὴν ὁδὸν δωρησάμενος εὐκολίαν, ἐν τῇ τῶν Χαναναίων 9) αὐτὸν κατεφύτευσας γῇ. ια΄. 10) Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ. ιβ΄. 11) Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης· καὶ ἕως 12) ποταμῶν τὰς παραφυάδας αὐτῆς. Ἄμπελον τροπικῶς τὸν λαὸν ὀνομάσας, ἐπέμεινε τῇ τροπῇ· καὶ ὄρη μὲν καλεῖ τὴν τῶν ὁμόρων ἐθνῶν ἰσχύν· σκιὰν δὲ 13) ταῦτα καλύπτουσαν τὴν τοῦ Ἰσραὴλ δυναστείαν τούτοις

1) ἐπάνοδον. Cod. 1. præm. σήν. 2) 3) E Cod. 1. 4) ἄμπελον: Cod. 1. add. λέγων. 5) Ὡδοπ. ἔμπρ. αὐτῆς. Hebr. *purgasti* (terram) *ante eam.* Symm. ἀπεσκεύασας ἔμπροσθεν αὐτῆς. 6) Rec. lectio h. l. est ἐπλήσθη ἡ γῆ. 7) Σύ. Cod. 1. præm. λέγει δὲ ὅτι. 8) τὰ — ἄμπελον. Des. in Cod. 1. 9) Cod. vterque, αὐτήν. 10) Ἐκάλυψεν. Hebr. כסו *obtecti sunt.* 11) Ἐξέτεινε. Hebr. תשלח *emisisti.* 12) Rec. lectio h. l. est ποταμοῦ. 13) ταῦτα. Cod. 2. præm. τήν.

τούτοις ἐπιτεθεῖσαν· κέδρους δὲ τοῦ Θεοῦ τοὺς ὑψηλοὺς ἄρχοντας, τοὺς ὑπὸ τοῦ Θεοῦ τὸ ἄρχειν 1) εἰληχότας. ἀναδενδράδας 2) δὲ τὰς κέδρους συγκαλυπτούσας, τὴν Ἰσραηλιτικὴν βασιλείαν περιφανεστέραν τούτων γεγενημένην. τοῦτο δὲ καὶ ἐπὶ τοῦ μακαρίου Δαβὶδ, καὶ ἐπὶ τοῦ Σολομῶντος, μεμαθήκαμεν γεγενῆσθαι. ὁ μὲν γὰρ 3) „μέγας„ Δαβὶδ οὐ μόνον παρὰ τῶν Ἀλλοφύλων, καὶ 4) Ἰδουμαίων, καὶ Ἀμμανιτῶν, καὶ Μωαβιτῶν, ἀλλὰ καὶ παρὰ Σύρων ἑκατέρων, δασμὸν 5) ἐκομίζετο· πρὸς δὲ τὸν Σολομῶντα καὶ ἡ 6) Αἰθιόπων ἔδραμε 7) βασιλίς· οὕτω παρὰ πᾶσιν ἐγένετο πολυθρύλλητος· κλήματα δὲ τῆς ἀμπέλου, τοῦ λαοῦ λέγει τὸ πλῆθος· παραφυάδας δὲ, τοὺς προσηλύτους, τοὺς ἐκ τῶν ἐθνῶν προσεληλυθότας, καὶ τὴν θείαν 8) ὑποδεξαμένους ἐπίγνωσιν. διὰ πάντων δὲ τὴν προτέραν εὐκλήρίαν ἐδήλωσε τοῦ λαοῦ. ιγ'. Ἱνατί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; Τί δήποτε τῆς σῆς 9) αὐτὴν προνοίας ἐγύμνωσας, καὶ πεποίηκας τοῖς ἀδικεῖν βουλομένοις 10) εὐχείρωτον; φραγμὸν δὲ τὴν ἀσφάλειαν κέκληκεν· ὃ γάρ ἐστιν 11) ἀμπελῶνι φραγμὸς, τοῦτο ἡ τοῦ Θεοῦ πρόνοια τοῖς 12) αὐτῆς ἠξιωμένοις· παραπορευομένους δὲ ὁδὸν, τοὺς πολεμίους. καθάπερ γὰρ οἱ ὁδοιπόροι τὴν ἄφρακτον 13) καὶ ἀφύλακτον ἄμπελον τρυγῶσιν ἀδεῶς, καὶ τὸν αὐτῆς ἀφαιροῦνται καρπόν· οὕτως ὁ τῆς θείας γεγυμνωμένος κηδεμονίας τοῖς ἀδικεῖν ἐθέλουσιν εὐχείρωτος

his impositam, *cedros* autem *Dei*, sublimes principes, qui a Deo imperium sortiti sunt, *arbusta* vero, quae cedros operuerunt, Israeliticum regnum, quod illustrius illas effecturum est. Hoc vero tempore beati Dauidis et Salomonis euenisse scimus. Nam magnus Dauid non modo ab Allophylis, et Idumaeis, et Ammonitis, et Moabitis, verum etiam ab vtrisque Syris vectigal recipiebat: ad Salomonem vero etiam Aethiopum regina cucurrit: sic apud omnes euaserat celeberrimus. *Vitis* porro *palmites*, populi frequentiam dicit: et propagines, proselytos, qui ex gentibus accesserunt, quique diuinam cognitionem receperunt. Per omnia autem haec pristinam populi felicitatem declarauit.

* 13. *Cur destruxisti maceriem eius, et vindemiant eam omnes, qui praetergrediuntur viam?* * Cur illam cura tua destituisti, expugnabilemque fecisti quibuslibet cupientibus offendere? *Maceriem* autem tutelam vocauit. Nam quod est maceries vineae, hoc Dei prouidentia est his, qui ipsa digni habiti sunt. *Praetergredientes porro viam* hostes nuncupauit. Quemadmodum enim viatores vitem, quae sine sepe et sine custodia est, audacter vindemiant et fructum eius auferunt: sic qui diuina prouidentia privatus est, facile expugnabilis fit quibuslibet laedere volen-

1) Cod. 1. εἰληφότας. 2) δὲ. Abest a Cod. 2. 3) E Cod. vtroque suppl. 4) Ἰδουμαίων. E Cod. 1. substitutum pro Ἰουδαίων. 5) Cod. 2. ἐμερίζετο. 6) Αἰθιόπων. Cod. 2. praem. τῶν. Cod. 1. add. μὲν. 7) Cod. 1. βασίλισσα. 8) Cod. vterque δεξαμένους. 9) Cod. 2. αὐτῆς. 10) εὐχείρωτον. Cod. 2. add. φραγμόν. 11) Cod. vterque ἀμπέλῳ. 12) Cod. 2. ταύτης. 13) καὶ ἀφυλ. Abest a Cod. 2.

volentibus. 14: *Deuastauit eam aper de silua, et singularis ferus depastus est eam.* Diuersas Assyriorum incursiones per hæc innuit. Nam Salmanasar, et Sennacherim, alias ciuitates diripuerunt. Nabuchodonosor autem, expugnata Hierosolyma, eos qui mortem euitauerant in seruitutem abduxit. Et quia Hierosolymam vitem nuncupauerat, iure agrestem aprum eius hostem vocauit: præcipue enim vitis inimica est hæc fera. Porro *singularem ferum* appellat, qui soliuagus viuit, quique aliis truculentior est, vtpote qui cum ceteris consuetudinem minime habet. Quoniam igitur Nabuchodonosor aliis regibus truculentior erat, merito singularem ferum ipsum nominauit. 15. *Deus virtutum conuertere quæso: respice de cælo, et vide, et visita vitem istam.* 16. *Et perfice eam, quam plantauit dextera tua.* Oro te igitur potentem Dominum, vt e cælo vitis vastationem intuearis, maloque curationem ac medelam adhibeas. Tua enim ipsa prouidentia pristinam felicitatem illi donauit. *Dexteram* vero vocat prouidentiam, *Et super filium hominis, quem confirmasti sibi.* Hoc in loco Domini Christi ex hac vite ortum docet. Orat enim vt vitis

γίνεται. ιδ΄. Ἐλυμήνατο αὐτὴν 1) ὗς ἐκ δρυμοῦ· καὶ 2) μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. Τὰς διαφόρους τῶν Ἀσσυρίων ἐφόδους διὰ τούτων ἐδήλωσε. Σαλμανασὰρ γὰρ καὶ Σεναχηρεὶμ, τὰς ἄλλας ἐξεπόρθησαν πόλεις· ὁ δὲ Ναβουχοδονόσορ τὴν Ἱερουσαλὴμ πολιορκήσας, τοὺς τὸν θάνατον διαφυγόντας 3) ἐξηνδραποδίσατο· καὶ ἐπειδὴ ἄμπελον 4) τὸν Ἰσραὴλ 5) προσηγόρευσεν, εἰκότως 6) ὗν ἄγριον 7) ὠνόμασε τὸν 8) τούτου πολέμιον· διαφερόντως 9) δὲ τόδε τὸ θηρίον ἀμπέλων ἐπίβουλον. μονιὸν δὲ ἄγριον καλεῖ, τὸν καθ᾽ ἑαυτὸν διάγοντα 10) σὺν, ὃς τῶν ἄλλων ἐστὶν ἀγριώτερος, 11) ἅτε δὴ καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν ἀποστρεφόμενος. ἐπειδὴ τοίνυν καὶ ὁ Ναβουχοδονόσορ τῶν ἄλλων βασιλέων θηριωδέστερος ἦν, εἰκότως αὐτὸν 12) ὠνόμασε μονιὸν ἄγριον. ιε. Ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή· καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε· καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην. ιϛ΄. Καὶ 13) καταρτίσαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου. 14) Ἱκετεύω σὲ τοίνυν τὸν δυνατὸν Δεσπότην, ἰδεῖν ἄνωθεν τῆς ἀμπέλου τὴν λώβην, καὶ θεραπείας ἀξιῶσαι τὸ πάθος. ἡ σὴ γὰρ 15) αὐτὴ πρόνοια τὴν προτέραν ἔδωκεν εὐκληρίαν· δεξιὰν δὲ καλεῖ τὴν πρόνοιαν. καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας 16) ἑαυτῷ. 17) ἐνταῦθα 18) τὴν ἐκεῖθεν βλάστησιν τοῦ Δεσπότου διδάσκει Χριστοῦ· ἱκετεύει γὰρ ἐπιμελείας ἀξιω-

1) ὗς. Rec. lectio h. l. est σῦς. 2) μονιὸς ἄγριος. Hebr. זיז שדי *fera agrestis.* 3) Cod. vterque ἐξηνδραπόδισε. 4) τὸν Ἰσραήλ. Cod. 2. τὴν Ἱερουσαλὴμ, quam lectionem *Carafa* sequutus est. 5) προσηγ. Cod. 1. add. καὶ ὠνόμασεν ὁ προφήτης. 6) ὗν. Cod. 2. ἓν, nisi ex errore Librarii ita scriptum sit. 7) ὠνόμ. Cod. 1. ἐκάλεσε. 8) Cod. 2. ταύτης. 9) δὲ τόδε. Cod. 2. γάρ. 10) σῦν. Abest ab vtroque Cod. 11) ἅτε δή. Def. in Cod. 2. 12) ὠνόμ. μον. ἀγρ. Cod. 1. ἡ προφητεία μονιὸν ἄγριον προσηγόρευσε· διὸ δὴ ταῦτα φησί. 13) καταρτίσαι αὐτήν. Hebr. כנה *plantam* s. surculum. 14) ἱκετεύω. Cod. 1. præm. λέγει δὲ ὅτι. 15) Cod. vterque αὐτη. 16) Cod. 1. σεαυτῷ, quæ est rec. lectio h. l. 17) Cod. 2. ἐντεῦθεν. 18) τὴν — Χριστοῦ. Cod. 1. τὴν οἰκονομίαν προλέγει τοῦ δεσπότου Χριστοῦ.

mo Samaritas, qui cum Assyriorum coloni essent, post decem tribuum seruitutem, in earum ciuitatibus habitarunt. *Facti sunt in adiutorium filiis Lot.* Significat Moabitas et Ammonitas potissimum aduersus populum insurrexisse, reliquasque gentes congregasse. *10. Fac illis sicut Madian, et Sisaræ, sicut Iabin in torrente Cisson. 11. Disperierunt in Endor.* Beneficia præterita grato animo commemorant, eandem opem efflagitantes. Hos porro duces Barac et prophetissa Debora profligarunt. a) *Facti sunt vt stercus terræ.* Nam cum insepulti mansissent, consumti sunt, et velut quoddam stercus cum terra misti sunt. * *12. Pone principes eorum sicut Oreb, et Zeb, et Zebee, et Salmana. 13. Omnes principes eorum.* De his omnibus Iudicum historia meminit. b) Necauit autem ipsos Gedeon diuina gratia ductus. Horum instar, vt eorum hostes conterantur, obsecrant, causamque docent. *Qui dixerunt, hereditate possideamus sanctuarium Dei.* Iuueniliter enim exultant, et insaniunt,

1) εἰς ἀντιλ. *Hebr.* brachium. 2) Cod. 2. συνεγείροντας. 3) ἔθνη. Cod. 1. add. διὰ δὴ ταῦτα φησίν. 4) Cod. 2. αὐτούς. 5) Rec. lectio est Σεισάρᾳ. 6) Cod. 2. Ἰαβείμ. 7) Rec. lectio est Κεισῶν. 8) Cod. 1. ἐξωλοθρευθείησαν. 9) Ἀενδώρ. In margine Cod. 2. adscriptum est ἐν ἀσχήμῳ (Leg. esse videtur vel εὐσχήμονι vel εὐσήμῳ) τόπῳ· ἀενδὼρ γὰρ εὐπρέπεια ἑρμηνεύεται. 10) Cod. 2. εὐγνωμόνως. 11) Cod. 2. Βαράκ. 12) κατέλυσεν. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 13) Cod. 2. ἐλύθησαν. 14) Θοῦ. *Hebr.* pone eos. 15) Rec. lectio h. l. est εἴπαν κληρονομήσωμεν. 16) Cod. 2. ἑαυτούς. 17) ἁγιας. Rec. lectio est θυσιαστήριον.

a) Iudic. 4. b) Iud. 7. et 8.

saniunt, vt templo etiam tibi consecrato potiantur. *Sanctuarium* enim Dei templum appellauit. Symmachus vero sanctuarium *mansionem* dixit. Hinc perspicuum factum est totum psalmi argumentum. Quoniam enim reuersi templum erexerunt, et omnis legis cultus in hoc peragebatur; (sine hoc enim secundum legem minime licebat cultum exhibere;) porro ob conversationem secundum legem finitimi Iudæis inimici erant: in templum totum impetum fecerunt, vt cum hoc et Hebræorum genus, et legis cultum delerent. 14. *Deus mi pone illos vt rotam.* Quasi dicat, impera, vt ipsi variis calamitatibus obsideantur, continuisque malis circumda eos. *Et sicut stipulam ante faciem venti.* Dissipa ipsos instar stipulæ a vento agitatæ. 15. *Sicut ignis qui comburet silvam, et sicut flamma comburens montes:* 16. *Ita persequeris illos in tempestate tua, et in ira tua turbabis eos.* In nemoribus sponte flamma accenditur, cum arbores vehementiori vento agitantur, et inter se colliduntur, et collisione æstum efficiunt, et paulatim inuicem accenduntur. Pari ratione igitur, vt isti a se inuicem perimantur, et suis iniquitatibus prodantur, obsecrant, iuxta vaticinationem

σύνονται καὶ τοῦ ἀνακειμένου σοι κρατήσειν 1) ναοῦ. ἁγιαστήριον γὰρ τοῦ Θεοῦ τὸν ναὸν προσηγόρευσεν. ὁ δὲ Σύμμαχος τὸ ἁγιαστήριον δίαιταν εἴρηκεν· ἐντεῦθεν δήλη γέγονε πᾶσα τοῦ ψαλμοῦ ἡ ὑπόθεσις. ἐπειδὴ γὰρ ἐπανελθόντες ἀνῳκοδόμησαν τὸν 2) νεὼν, πᾶσα δὲ ἡ νομικὴ λατρεία διὰ 3) τούτου ἐπετελεῖτο· τούτου γὰρ δίχα λατρεύειν οὐκ ἦν κατὰ νόμον· διὰ δὲ τὴν κατὰ νόμον πολιτείαν ἀπηχθάνοντο πρὸς Ἰουδαίους οἱ ἀστυγείτονες· 4) κατὰ τοῦ ναοῦ πᾶσαν ἐποιήσαντο τὴν ὁρμὴν, ὥστε σὺν τούτῳ καὶ τὸ ἔθνος, καὶ τὴν κατὰ νόμον 5) καταπαῦσαι λατρείαν. ιδ'. Ὁ Θεός μου θοῦ αὐτοὺς 6) ὡς τροχόν. Ἀντὶ τοῦ, ἐν συμφοραῖς αὐτοὺς παντοδαπαῖς περιστρέφεσθαι κέλευσον, καὶ κακοῖς 7) ἐπαλλήλοις περίβαλλε. ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. σκέδασον αὐτοὺς 8) δίκην καλάμης ὑπὸ ἀνέμου ῥιπιζομένης. ιε'. 9) Ὡς πῦρ, ὃ διαφλέξει 10) δρυμὸν, ὡσεὶ φλὸξ 11) ἣ κατακαύσει ὄρη. ιϛ'. Οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ 12) ἐν τῇ ὀργῇ σου 13) ταράξεις αὐτούς. Ἐν τοῖς δρυμοῖς 14) αὐτομάτως ἐξάπτεται φλὸξ, τῶν δένδρων ὑπὸ σφοδροτέρου πνεύματος κινουμένων, καὶ ἀλλήλοις συντριβομένων, καὶ τῇ τρίψει τὸ θάλπος ἐργαζομένων, καὶ κατὰ μικρὸν δι' ἀλλήλων ἐξαπτομένων. παραπλησίως τοίνυν καὶ τούτους ἱκετεύουσιν ὑπ' ἀλλήλων ἀναλωθῆναι, καὶ ταῖς οἰκείαις ἐκδοθῆναι παρανομίαις, κατὰ τὴν προφητείαν τὴν

1) ναοῦ. Cod. 2. add. οἴονται. 2) Cod. 1. ναόν. 3) Cod. 2. τούτων. 4) κατά. Cod. 1. præm. καί. 5) καταπ. λατρ. Cod. 1. πολιτείαν παῦσαι καὶ λατρείαν. 6) ὡς τροχόν, *Hebr*. instar turbinis. 7) ἐπαλ. Cod. 2. præm. ἀλ'. 8) δίκην καλ. Cod. 2. ὡς καλάμην. 9) Cod. 1. ὡσεί, quæ est rec. lectio h. l. 10) Cod. 2. δρυμούς. 11) ἣ καταx. Rec. lectio est κατακαύσαι. 12) ἐν — σοῦ. *Hebr*. et turbine tuo. 13) Cod. vterque συνταράξεις. 14) Cod. 2. αὐτόματος.

τὴν λέγουσαν· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. ιζ΄. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας· καὶ ζητήσουσι τὸ ὄνομά σου Κύριε. Διαμαρτόντες γὰρ ὧν βούλονται, καὶ αἰσχύνης ἐμπλησθέντες, ἐπιγνώσονταί σου τὴν δύναμιν. ιη΄. Αἰσχυνθήτωσαν, καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καὶ ἐντραπήτωσαν, καὶ ἀπολέσθωσαν. ιθ΄. Καὶ γνώτωσαν ὅτι ὄνομά σοι Κύριος· σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. Ἀγαθὰ τοῖς ἐχθροῖς αἰτοῦσι καὶ πολεμούμενοι· ἱκετεύουσι γὰρ αὐτοὺς, ἀντὶ μὲν τῆς θρασύτητος 1) αἰσχύνῃ περιβληθῆναι· διὰ δὲ τῆς 2) αἰσχύνης καρπώσασθαι τὴν θείαν ἐπίγνωσιν· καὶ τῆς μὲν τῶν εἰδώλων πλάνης ἀπαλλαγῆναι, μαθεῖν δὲ τῇ πείρᾳ, ὡς αὐτὸς 3) ἐστι μόνος καὶ Θεὸς καὶ Δεσπότης, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ πᾶσαν κυβερνῶν καὶ 4) πρυτανεύων τὴν κτίσιν, 5) „ἧς τὴν σωτηρίαν ἐπραγματεύσατο „ὁ ἐκ Θεοῦ Θεός, ὁ μονογενὴς υἱὸς μετὰ „τὴν ἀκατάληπτον αὐτοῦ ἐνανθρώπη„σιν.„

dicentem, a) Ambulabitis in lumine ignis vestri, et flamma, quam accendistis. 17. *Imple facies eorum ignominia, et quærent nomen tuum Domine.* Frustrati enim rebus optatis, et ignominia referti, tuam potentiam agnoscent. 18. *Erubescant: et conturbentur in seculum seculi, et confundantur, et pereant.* 19. *Et cognoscant, te esse quem vocamus Dominum, te solum altissimum esse in omni terra:* * Bona inimicis petunt, etsi bello appetiti. Orant enim, vt ipsi pro audacia quidem ignominia afficiantur: per ignominiam autem diuinam cognitionem reportent, et ab idolorum errore liberi fiant, experientiaque discant, ipsum solum esse et Deum et Dominum, qui in excelsis habitat, et humilia respicit, totumque orbem gubernat et moderatur, „cuius salutem effecit „Deus ex Deo, vnigenitus Filius, „postquam modo quem non satis „comprehendere possumus, ho„mo est factus.„

ΕΡΜΗΝ. ΤΟΥ πγ΄ ΨΑΛΜΟΥ.

α΄. 6) Ὑπὲρ τῶν ληνῶν, τοῖς υἱοῖς 7) Κορέ. Διπλῆ τοῦ ψαλμοῦ ἡ προφητεία· προαγορεύει γὰρ οὐ μόνον 8) τὴν Ἰουδαίων 9) ἀνάκλησιν, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης τὴν σωτηρίαν· ληνοὺς δὲ, ὡς καὶ ἤδη προειρήκαμεν, τὰς ἐκκλησίας 10) καλεῖ· ἐν ταύταις γὰρ καὶ ὁ πνευματικὸς ἀμπελὼν τὸν οἰκεῖον προσφέρει 11) καρπὸν, καὶ τὸν 12) σωτήριον

INTERP. PSALMI LXXXIII.

1. *Pro torcularibus, filiis Core.* Psalmus geminam vaticinationem continet. Prædicit enim non modo Iudæorum reuocationem, verum etiam totius orbis salutem. *Torcularia* autem, vt iam supra diximus, Ecclesias appellat. In his enim spiritualis vinea proprium fert fructum, et salutare con-

1) αἰσχύνῃ — δὲ τῆς. Def. in Cod. 2. 2) αἰσχ. Cod. 2. præm. καί. 3) ἐστι. Abest a Cod. 2. 4) πρυταν. Cod. 2. πραγματεύων. 5) E Cod. 1. 6) Ὑπέρ. In Textu τῶν ό. præc. Εἰς τὸ τέλος. 7) Κορέ. Cod. 1. add. ψαλμὸς, vt in Textu τῶν ό. 8) τήν. Cod. 2. τῶν. 9) ἀνάκλ. Cod. 2. præm. τήν. 10) καλεῖ. Cod. 2. δηλοῖ. 11) καρπόν. Cod. 1. add. τῷ Θεῷ καὶ σωτῆρι. 12) σωτ. Cod. 1. θεῖον,

a) Es. 50, 11.

conficimus vinum, quod fidelium corda vere lætificat. 2. *Quam dilecta tabernacula tua Domine virtutum.* 3. *Concupiſcit, et deficit anima mea deſiderio atriorum Domini.* Hæc et ii, qui Babylone degebant, docti ſunt dicere, vt reditum exoptarent, et cultum ſecundum legem expeterent. Atque etiam nos inſtruimur eadem dicere, qui ſalutem conſecuti ſumus, et ex diuinis altaribus vtilitatem percipimus. Nobis vero præcipue vaticinatio conuenit. Multa enim tabernacula fore præcinit, et multa nominat torcularia, et altaria multa ſimiliter commemorat. Iudæi autem vnum habebant templum, et vnum ſimiliter altare. Singula porro verba prophetæ in amorem diuinum accendunt mentem. *Dilecta* enim dicit, amoreque digna Dei tabernacula eſſe: nec ſimpliciter ſe ea deſiderare, ſed deficere deſiderio atriorum Domini. Conſonantia vero his ſunt ea quæ ſequuntur. *Cor meum et caro mea exultauerunt in Deo viuo.* Non ſola autem anima exultat, et lætatur, ſed etiam corpus lætitiæ particeps fit, reſurrectionis ſpem accipiens. Hoc enim ſermo tacite innuit. Propterea et *viuum* Deum appellauit, tanquam vitæ largitorem. Quoniam enim Babyloniorum atque etiam maio* rum * noſtrorum dii, penitus inanimati et ſenſu deſtituti erant; ſatis appoſite ii, qui ab his liberati ſunt, verum Deum

κατασκευάζομεν οἶνον, τὸν ἀληθῶς εὐφραίνοντα τῶν 1) πεπιστευκότων τὰς καρδίας. β΄. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου Κύριε τῶν δυνάμεων. γ΄. Ἐπιποθεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ταῦτα καὶ οἱ ἐν Βαβυλῶνι διάγοντες ἐδιδάχθησαν λέγειν, ἵνα ποθήσωσι τὴν ἐπάνοδον, καὶ τῆς κατὰ νόμον ὀρεχθῶσιν λατρείας· καὶ μέντοι καὶ 2) ἡμεῖς, οἱ τῆς σωτηρίας 3) τετυχηκότες, καὶ ἐκ τῶν θείων σηκῶν τὴν ὠφέλειαν 4) καρπούμενοι. διαφερόντως 5) δὲ ἡμῖν ἡ προφητεία προσήκει. πολλὰ γὰρ ἔσεσθαι προλέγει σκηνώματα, καὶ πολλὰς ὀνομάζει ληνούς, καὶ θυσιαστηρίων ὡσαύτως μνημονεύει πολλῶν· Ἰουδαῖοι δὲ ἕνα εἶχον νεών, καὶ ἓν 6) ὁμοίως θυσιαστήριον. ἑκάστη μὲν τῶν 7) εἰρημένων λέξις εἰς ἔρωτα θεῖον πυρσεύει τὴν γνώμην· ἀγαπητὰ μὲν 8) γὰρ λέγει, καὶ ἀξιέραστα τοῦ Θεοῦ τὰ σκηνώματα· οὐχ ἁπλῶς δὲ ποθεῖν, ἀλλὰ καὶ ἐκλείπειν εἰς τὰς αὐλὰς τοῦ 9) Κυρίου. σύμφωνα δὲ τούτοις καὶ τὰ μετὰ ταῦτα. ἡ καρδία μου, καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. οὐχ ἡ ψυχὴ δὲ 10) μόνη γάννυται, καὶ ἀγάλλεται, ἀλλὰ καὶ τὸ σῶμα κεκοινώνηκε τῆς θυμηδίας, δεξάμενον τὴν ἐλπίδα τῆς ἀναστάσεως· τοῦτο γὰρ ὁ λόγος αἰνίττεται. διὰ τοῦτο καὶ ζῶντα τὸν Θεὸν προσηγόρευσεν, ὡς ζωῆς ὑπάρχοντα 11) χορηγόν. ἐπειδὴ γὰρ καὶ οἱ Βαβυλωνίων θεοὶ, καὶ μὲν δὴ καὶ οἱ τῶν ἡμετέρων προγόνων, καὶ ἄψυχοι ἦσαν καὶ ἀναίσθητοι παντελῶς, μάλα εἰκότως οἱ ἐκείνων ἀπαλλαγέντες ζῶντα τὸν ἀληθῆ

1) πεπισ. Cod. 1. add. ἀνθρώπων. 2) Cod. 2. ἡμῖν omiſſo οἱ. 3) Cod. 2. τετυχηκόσι. 4) Cod. 2. καρπουμένοις. 5) δὲ ἡμῖν Deſ. in Cod. 2. 6) ὁμοίως. Cod. 2. μόνον. 7) Cod. vterque προειρημένων. 8) γάρ. Abeſt a Cod. 2. 9) Κυρίου. Cod. 1. add. διδάσκει. 10) Cod. 2. μόνον. 11) χορηγόν. Cod. 1. add. καὶ διὰ θανάτου ζωὴν χαρισάμενον. „et qui vitam per mortem largitur.„

δὴ Θεὸν ὀνομάζουσιν. 1) „αὐτοῦ γὰρ „ἐστι φωνή· ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνά„στασις. καὶ ὁ τρώγων με ζήσεται ἐν ἐ„μοί.„ δ΄. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Ὁ δὲ Ἀκύλας οὕτω· καί 2) γε ὄρνεον εὗρεν ἑαυτῷ οἶκον, καὶ στρουθίον νοσσιὰν 3) αὐτῷ, οὗ ἔθετο νεόσσους 4) αὐτοῦ. καθάπερ γὰρ στρουθία καὶ 5) τρυγόνες, καὶ 6) μὲν δὴ καὶ οἱ ἄλλοι ὄρνιθες, πλανῶνται μὲν οὐκ ἔχοντες καλιὰν, πηξάμενοι δὲ ταύτην ἐν αὐτῇ διατρίβειν εἰώθασι, καὶ τοὺς οἰκείους 7) ἑαυτῶν τρέφουσι νεοττούς· 8) οὕτως ἡμεῖς πάλαι μὲν ἐπλανώμεθα, νῦν δὲ ὑπὸ τῆς σῆς χάριτος 9) προκληθέντες, καὶ τὰς σὰς εὑρόντες σκηνὰς, παρὰ τὰ θυσιαστήριά σου τοὺς οἰκείους ἐκπαιδεύομεν νεοττοὺς, μετὰ τῶν ἡμετέρων 10) σοι 11) προσεδρευόντες παίδων, καὶ τὴν 12) πνευματικὴν τροφὴν παρὰ σοῦ 13) κομιζόμενοι. τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου. ἡμῶν γὰρ καλιὰ, καὶ 14) νοττιὰ, καὶ ἀπόλαυσις ἀγαθῶν, τὰ ἅγιά σου θυσιαστήρια· παρ' ἐκεῖνα γὰρ, καθάπερ νεοττοὶ κεχηνότες, παρὰ σοῦ κομιζόμεθα τὴν θείαν τροφὴν καὶ 15) σωτήριον. ε΄. Μακάριοι 16) πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, 17) εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Τούτων 18) δὲ ἕκαστον τυπικῶς μὲν τοῖς ἐν Βαβυλῶνι συμβαίνει. ἡμῖν δὲ προσήκει

nominant viuum. „ Ipsius enim „ est vox: a) ego sum vita et „ resurrectio. Et, b) qui edit „ me, viuet in me. „ *4. Etenim passer inuenit sibi domum, et turtur nidum, vbi reponat pullos suos.* Aquila autem sic, Etenim auis inuenit sibi domum, et passer nidum sibi, vbi reposuit pullos suos. Quemadmodum enim passeres et turtures, atque etiam reliquæ aues, vagantur quidem quando non habent nidum, cum vero hunc construxerint, in ipso commorari solent, et suos ibi pullos alunt: sic nos olim quidem errauimus, nunc vero tua gratia vocati, et tabernacula tua nacti, prope tuas aras pullos nostros instruimus, cum filiis nostris tibi assidentes, et spiritualem cibum a te reportantes. *Altaria tua, Domine virtutum, Rex mi, et Deus mi.* Nostri enim nidi et cubilia, et bonorum fruitio, tua sancta altaria sunt. Apud illa enim, veluti pulli hiantes, diuinum et salutarem cibum a te percipimus. *5. Beati omnes, qui habitant in domo tua: in secula seculorum laudabunt te.* Horum autem singula figurate quidem iis congruunt, qui Babylone degebant: nobis vero secundum

1) E Cod. 1. 2) γε. Cod. 2. γάρ. 3) Cod. 2. ἑαυτῷ. 4) Cod. 1. αὐτῆς. 5) Cod. 2. τρυγών. 6) μὲν δὴ καί. Des. in Cod. 1. 7) Cod. 2. αὐτῶν. Cod. 1. ἐν αὐτῇ. 8) Cod. 2. οὕτω καί. 9) Cod. 2. προσκληθέντες. Cod. 1. præm. ὦ Δέσποτα. 10) σοί. Abest a Cod. 2. 11) Cod. 2. προσεδρεύομεν. 12) πνευμ. Cod. 1. add. καὶ ζωοποιόν. 13) κομιζ. Cod. 1. add. τοῦτο γὰρ θέλει εἰπεῖν διὰ τῶν ἑξῆς. 14) Cod. 1. νεοττία. 15) σωτήριον. Cod. 1. add. τοῦτο γὰρ σαφέστερον διὰ τῶν ἑξῆς ἔφησεν. 16) πάντες. Abest ab vtroque Cod. et a Textu τῶν ό. 17) εἰς — αἰώνων. Hebr. עוד adhuc. 18) δέ. Abest a Cod. 2.

a) Ioh. 11, 25. b) Ib. c. 6, 57.

dum ipsam veritatem conueniunt. Etenim illi longe a diuino templo remoti beatos esse dicunt eos, qui ibi opem consequuntur; et nos diuina dulcedine gustata, beatos nuncupamus eos, qui Deo continue assistunt, diuinisque bonis perfruuntur. *6. Beatus vir, cuius est auxilium abs te, adscensiones in corde suo.* Beatum esse dicit eum, qui semper diuinæ curæ est compos, quique diuina gratia mentem habet illustratam, et semper pias cogitationes in ea reuoluit. *Adscensiones* enim *Dei in corde* factas, pias cogitationes de Deo propheticus sermo nuncupauit. 7. *Disposuit in valle lacrymarum in loco quem posuit. Etenim benedictionem dabit legislator.* Qui enim adscensiones Dei in suo corde recipit, et legislatoris benedictiones adeptus est, non risui deliciisque dat sese, sed luctui et lacrymis, ex hac vita excedere cupiens. Audiuit enim * Deum dicentem, *a*) Beati qui lugent, quoniam ipsi solatium accipient, et beati qui mœrent, quoniam ipsi ridebunt. Cum igitur hæc pacta inierit,

κατ' αὐτὴν τὴν ἀλήθειαν. καὶ γὰρ ἐκεῖνοι πόῤῥω ὄντες τοῦ θείου νεὼ, μακαρίζουσι τοὺς τῆς ἐκεῖθεν ἀπολαύοντας προμηθείας· καὶ ἡμεῖς γευσάμενοι τῆς θείας γλυκύτητος, ζηλωτοὺς ἀποκαλοῦμεν τοὺς διηνεκῶς τῷ Θεῷ προσεδρεύοντας, καὶ τοῖς θείοις 1) ἀγαθοῖς 2) ἐντρυφῶντας. ϛ'. Μακάριος ἀνὴρ 3) οὗ ἐστιν ἀντίληψις αὐτῷ παρά σου, ἀναβάσεις ἐν τῇ καρδίᾳ 4) αὐτοῦ. Μακαρίζει ὁ λόγος τὸν τῆς θείας ἀεὶ κηδεμονίας 5) τυγχάνοντα, καὶ τῇ θείᾳ χάριτι τὸν νοῦν φωτιζόμενον, καὶ ἀεὶ τοὺς εὐσεβεῖς ἐν αὐτῷ 6) στρέφοντα λογισμούς. 7) Θεοῦ γὰρ ἀναβάσεις εἰς καρδίαν γινομένας, τοὺς εὐσεβεῖς περὶ Θεοῦ λογισμοὺς ὁ προφητικὸς ὠνόμασε 8) λόγος. ζ'. 9) Διέθετο εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τόπον ὃν 10) ἔθετο. καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν. Ὁ γὰρ τοῦ 11) Θεοῦ τὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ 12) δεχόμενος, καὶ τοῦ 13) νομοθέτου τὰς εὐλογίας 14) μεμαθηκὼς, οὐκ εἰς γέλωτα ἑαυτὸν ἐκδίδωσι καὶ τρυφὴν, ἀλλὰ εἰς κλαυθμὸν καὶ δάκρυα, τῆς ἐντεῦθεν ἀπαλλαγῆς ἐφιέμενος· ἤκουσε γὰρ τοῦ 15) Θεοῦ λέγοντος· μακάριοι οἱ 16) πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται, 17) καὶ μακάριοι οἱ 18) κλαίοντες, ὅτι 19) αὐτοὶ 20) γελάσονται. ταύτας τοίνυν τὰς συνθήκας ποιησάμενος, προσμένει τοῦ νομο-

1) ἀγαθ. Abest a Cod. 1. 2) ἐντρυφ. Cod. 1. add. διὰ δὴ ταῦτά φησιν ὁ προφητικὸς νοῦς. 3) οὗ — αὐτοῦ. *Hebr.* cui robur est in te, in quorum corde sunt semitæ (tuæ). 4) αὐτοῦ. Cod. 2. add. διέθετο. 5) τυγχ. Cod. 1. ἀπολαύοντα, adscripta tamen lectione altera. 6) Cod. 1. τρέφοντα. 7) Θεοῦ — λόγος. Des. in Cod. 2. 8) λόγος. Cod. 1. add. τοῦτο γὰρ διὰ τῶν ἑξῆς λέγει. 9) Διέθετο — νομοθετῶν. *Hebr.* Transeuntes per vallem fletus, fontem ponent (s. facient) eam: immo benedictionibus induet (eos) Doctor. 10) Cod. vterque διέθετο. 11) Θεοῦ. Cod. 2. præm. ἀγαθοῦ. 12) Cod. 1. δεξάμενος. 13) Cod. 2. νόμου. 14) Cod. 1. διαμεμαθηκώς. 15) Θεοῦ. Cod. 1. add. Κυρίου. 16) πενθ. Cod. 1. add. νῦν. 17) καί. Abest a Cod. 1. 18) κλαίοντες. Cod. vterque add. νῦν. 19) αὐτοί. Abest a Cod. 2. 20) Rec. lectio Luc. 6, 21. est ὅτι γελάσετε.

a) Matth. 5, 4. coll. Luc. 6, 21.

νομοθέτου τὴν εὐλογίαν· κοιλὰς δὲ κλαυθμῶνος τυπικῶς μὲν 1) ὁ τόπος, ἐν ᾧ φανεὶς ἄγγελος, τὴν τοῦ λαοῦ παρανομίαν διήλεγξε, καὶ εἰς κλαυθμὸν τὸ πλῆθος ἐκίνησεν. οὕτω γὰρ 2) ἐκεῖνο τὸ χωρίον ἐξ ἐκείνου προσηγορεύθη. κυρίως δὲ καὶ ἀληθῶς κλαυθμῶνος κοιλὰς ὁ παρὼν βίος, ἐν ᾧ καὶ ὁ Ἀδὰμ ἐν ἱδρῶτι τοῦ προσώπου 3) ἐσθίει τὸν 4) ἄρτον, καὶ ἡ Εὔα ἐν 5) λύπαις 6) τίκτει τέκνα· καὶ οὐ μόνον οἱ ἁμαρτάνοντες, ἀλλὰ καὶ οἱ ἅγιοι στένουσι, καὶ ὁ μὲν φησὶν ἕως θανάτου 7) λυπεῖται, ὁ δὲ βοᾷ, λάβε τὴν ψυχήν μου, καὶ ὅτι καλόν μοι τὸ ἀποθανεῖν, ἢ ζῆν με· καὶ ὁ μέγας δὲ κῆρυξ τῆς ἀληθείας φησὶ, καὶ ἡμεῖς τὴν 8) ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες ἐν 9) αὐτοῖς 10) στενάζομεν· οὕτως ἐστὶν ἰδεῖν καὶ τοὺς 11) ἀγωνιζομένους 12) ἁγίους δάκρυσιν ἐνδελεχῶς κεχρημένους, καὶ τὴν ἐντεῦθεν εὐφροσύνην κομιζομένους. ἐν ταύτῃ τοίνυν τῇ κοιλάδι τοῦ κλαυθμῶνος οἱ τὰς 13) ἀναβάσεις δεξάμενοι, καὶ τὰ δάκρυα προχέουσι, καὶ τὸν ἐπίπονον ἀσπάζονται 14) βίον, καὶ τοῦ νομοθέτου τὴν εὐλογίαν 15) προσμένουσιν. ή. Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν. Αὔξουσι γὰρ ὁσημέραι τὴν ἰσχὺν, καὶ τῇ προσθήκῃ τῆς ἀρετῆς πολλὴν ἐπικτῶνται ῥώμην· οὕτως οἱ τὸν ἀσκητικὸν ἀσπαζόμενοι βίον ἀπὸ προσευχῆς εἰς ὑμνῳδίαν βαδίζουσιν· ἀπὸ τῆς ὑμνῳδίας ἐπὶ τὴν ἱκετείαν· ἐξ ἐκείνης ἐπὶ τὴν τῶν θείων λογίων ἀνάγνωσιν· ἐντεῦθεν ἐπὶ τῶν

legislatoris benedictionem exspectat. *Vallis* autem *lacrymarum*, secundum figuram quidem est locus, in quo apparens angelus populi transgressionem redarguit, a) et in lacrymas concionem mouit. Sic enim locus ille ab euentu appellatus est. Proprie autem et vere præsens vita lacrymarum vallis est, in qua et Adam in sudore vultus pane vescitur, et Eua in doloribus filios parit: et non modo peccatores, verum etiam sancti ingemiscunt, et ille quidem dicit, b) ad mortem vsque se tristem esse, hic vero exclamat, c) Tolle animam meam, et melius est mihi mori, quam viuere. Et magnus veritatis præco dicit, d) Et nos primitias spiritus habentes in nobis ipsis ingemiscimus. Sic cernere licet etiam sanctos decertantes, lacrymis continue vtentes, et lætitiam hinc reportantes. In hac igitur valle lacrymarum qui adscensiones receperunt, et lacrymas effundunt, et laboriosam vitam amplectuntur, et legislatoris benedictionem exspectant. *8. Ibunt de virtute in virtutem.* Augebunt enim quotidie robur, incrementoque virtutis magnam vim sibi parant. Sic ii, qui religiosam vitam amplexi sunt, a precibus ad hymnorum cantilenam pergunt, et ab hymnorum cantilena ad supplicationem, et ex illa ad diuinorum oraculorum lectionem, hinc ad con-

1) ὁ τόπος. Cod. 1. præm. ὠνόμασται. 2) ἐκεῖνο. Abest a Cod. 1. 3) Cod. 2. ἐσθίειν. 4) ἄρτον. Cod. 2. add. προσετάχθη. 5) Cod. 1. λύπῃ. 6) Cod. 2. τίξειν. 7) Cod. vterque λυπεῖσθαι. 8) ἀπαρχήν. Cod. 1. χάριν. 9) Cod. 2. ἑαυτοῖς. 10) στεν. Cod. 1. add. στεναγμῷ ἀλαλήτῳ. 11) ἀγων. Cod. 2. præm. νῦν. 12) ἁγίους. Cod. 2. ἄλλους. 13) ἀναβ. Cod. vterque præm. θείας. 14) βίον. Cod. 1. add. καὶ μάλιστα οἱ τὸν ἀσκητικὸν καὶ ἀλώβητον μετερχόμενοι. „ maxime illi qui religiosam agunt vitam eamque illæsam seruant. „ 15) προσμένουσιν. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς.

a) Iudic. 2, 1. sqq. b) Matth. 26, 38. coll. Marc. 14, 34. c) Ion. 4, 3. d) Rom. 8, 23.

consilia et admonitiones imperfectiorum hominum, et a virtute in virtutem transeuntes, quotidie proprias diuitias augent. *Conspicietur Deus deorum in Zione.* Hanc vero inquit mutationem rerum effecit Deus Verbum, cum homo factus esset, hominibusque per carnem apparuisset, cum primo in Zione se conspiciendum praebuisset. *9. Domine Deus virtutum exaudi orationem meam, auribus percipe Deus Iacobi. 10. Protector noster, adspice o Deus, et respice in faciem Christi tui.* Haec propheta deprecatur, e longinquo hominum salutem prospiciens, et obsecrans vniuersorum Deum, vt preces admittat, et semper sua cura populum dignetur, qui salutem adeptus est. Hunc quippe Christi faciem nuncupauit. Sic enim illum et diuinus apostolus * appellauit, a) Vos enim estis corpus Christi, et membra de membro. Et rursus, b) Non potest oculus dicere manui, opera tua non indigeo: aut iterum caput pedibus, non estis mihi necessarii. *11. Quoniam melior est dies vnicus in atriis tuis, super millia.* Nam populus tuus ope tua semper fruens, templo tuo assidet, vtilitatem maximam hinc reportans. Quae enim quis vno die hinc decerpere potest, aliunde non esset collecturus, licet multa millia dierum contere-

1) ἀτελεστέρων παραίνεσίν τε καὶ συμβουλὴν, καὶ ἀπὸ δυνάμεως εἰς δύναμιν μεταβαίνοντες καθ' ἑκάστην ἡμέραν τὸν οἰκεῖον αὔξουσι πλοῦτον. ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών. Ταύτην δέ φησι τῶν πραγμάτων εἰργάσατο τὴν μεταβολὴν 2) ἐνανθρωπήσας ὁ Θεὸς λόγος, καὶ διὰ σαρκὸς τοῖς ἀνθρώποις ἐπιφανεὶς, καὶ πρῶτον ἐν τῇ Σιὼν τὴν οἰκείαν ποιησάμενος ἐπιφάνειαν. θ'. Κύριε ὁ Θεὸς τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου· ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. ι'. Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεὸς, καὶ ἐπίβλεψον 3) εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ταῦτα ὁ προφήτης ἐπεύχεται, πόῤῥωθεν τῶν ἀνθρώπων τὴν σωτηρίαν ἰδὼν, καὶ ἀντιβολῶν τὸν τῶν ὅλων Θεὸν, τὴν ἱκετείαν δεξάμενον, ἀεὶ τῆς οἰκείας κηδεμονίας τὸν σεσωσμένον ἀξιῶσαι λαόν· τοῦτον γὰρ 4) ἐπεκάλεσε πρόσωπον τοῦ 5) Χριστοῦ· οὕτω γὰρ αὐτὸν καὶ ὁ θεῖος ἀπόστολος προσηγόρευσεν· ὑμεῖς 6) γάρ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ 7) μέλους. καὶ πάλιν, οὐ δύναται ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσὶ, χρείαν ὑμῶν οὐκ ἔχω. ια'. Ὅτι κρείσσων 8) ἡ ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Τῆς σῆς γὰρ κηδεμονίας ὁ σὸς λαὸς ἀπολαύων ἀεὶ τῷ σῷ προσεδρεύει ναῷ· πολλὴν ἐντεῦθεν τὴν ὠφέλειαν καρπούμενος. ἃ γὰρ ἐν μιᾷ 9) τὶς ἡμέρᾳ δρέψαιτο ἐντεῦθεν, 10) οὐκ ἂν ἑτέρωθεν συναγάγοι πολλὰς ἀναλώσας ἡμερῶν χιλιάδας·

1) Cod. 2. ἐντελεστέρων. 2) ἐνανθρωπίσας. Cod. 1. add. ἐκ παρθένου. 3) εἰς. Rec. lectio h. l. est ἐπί. 4) Cod. 1. ἐκάλεσε. 5) Χριστοῦ. Cod. 1. add. ὃν σὺ, φησὶ, διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας ἀνέπλασας, τῷ θείῳ μύρῳ χρίσας καὶ σεαυτῷ ἑνώσας, Χριστὸν ἐκάλεσας διὰ τοῦ καλεῖσθαι χριστιανόν. „quem tu, inquit, per lauacrum regenerationis quasi denuo formasti, sancto oleo vnxisti, et tecum vnitum Christum vocasti, propterea quod Christianus dicitur." 6) γάρ. Abest a Cod. 2. 7) Cod. 1. μέρους, quae est rec. lectio l. c. 8) ἡ. Abest a Cod. 2. 9) τίς. Cod. 2. praem. ἄν. 10) οὐκ. Cod. 1. praem. ταῦτα.

a) 1 Cor. 12, 27. b) Ibid. v. 21.

δας· ταῦτα μέν τοι καὶ τοῖς ἐν Βαβυλῶνι δορυαλώτοις λέγειν ἥρμοττεν, ἀσεβέσι μὲν ἀνθρώποις συμβιοτεύειν ἠναγκασμένοις, κέρδος δὲ 1) ἐκεῖθεν πορίζομένοις οὐδὲν, λογιζομένοις δὲ τὴν ἀπὸ τοῦ θείου νεὼ παλαιὰν 2) ὠφέλειαν. ἐξελεξάμην 3) παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ 4) μου μᾶλλον, ἢ οἰκεῖν με 5) ἐν σκηνώμασιν ἁμαρτωλῶν. οὕτω δέ μοι ὁ θεῖος ἀξιέραστος οἶκος, ὡς αἱρεῖσθαι παρὰ 6) τοῦτον ἐπ' ἐδάφους ἐῤῥίφθαι, καὶ πρὸ τῶν τούτου καλινδεῖσθαι 7) θυρῶν, ἢ ἐν ταῖς μεγάλαις καὶ λαμπραῖς τῶν παρανομίᾳ συζώντων οἰκίαις διαιτᾶσθαι· ὡσαύτως καὶ ταῦτα καὶ τοῖς ἐν Βαβυλῶνι πρόσφορα, καὶ ἡμῖν ἐπιτήδεια· καὶ γὰρ ἐκείνους ἐδίδασκεν ἡ χάρις τοῦ πνεύματος, μὴ παραβλέπειν τοῦ θείου οἴκου τὴν ἐρημίαν, καὶ ἡμεῖς παιδευόμεθα καὶ τοὺς τῷ 8) Θεῷ ἀφιερωμένους 9) οἴκους ποθεῖν ἀεί· 10) „ὅταν μάλιστα ὦσιν οἱ „τούτων πρόεδροι ἀνεπίληπτοι καὶ πί„στει καὶ βίῳ λαμπροί.„ ιβ'. 11) Ὅτι 12) ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός· 13) „οὐδὲν γὰρ οὕτως Θεῷ προσ„φιλὲς ὡς ἡ ἐλεημοσύνη καὶ ἡ ταύτης „σύντροφος ἀλήθεια.„ χάριν καὶ δόξαν δώσει Κύριος. ιγ'. 14) Οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Οἱ γὰρ ταύτην ἔχοντες περὶ τὸν Θεὸν τὴν διάθεσιν, τούτων ἁπάντων ἀπολαύουσι τῶν ἀγαθῶν· ἔλεος γὰρ ἐκ τῶν θείων ἀναβλαστάνει σηκῶν· καὶ πολλὴ ἐκεῖθεν καὶ ἄφθονος τῆς ἀληθείας ἡ χο-

ret. Hæc porro dicere conueniebat etiam eos, qui Babylone captiui detinebantur, qui cum impiis hominibus viuere cogebantur, et nihil emolumenti inde reportabant, sed animo reuoluebant pristinam vtilitatem, quam ex diuino templo percipere soliti erant. *Elegi potius abiectus esse in domo Dei mei, quam habitare in tabernaculis peccatorum.* Sic autem diuina domus mihi amabilis est, vt elegerim prope hanc in solo proiectus esse, et ante huius ianuas volutari, quam in eximiis illustribusque peccatorum domibus commorari. Eodem modo hæc tum iis, qui Babylone captiui tunc erant, conducibilis erant, tum nobis sunt accommodata. Etenim illos Spiritus sancti gratia docebat, ne diuinæ domus solitudinem despicerent: et nos instruimur domus Deo consecratas semper concupiscere, „ quum potissimum harum præsules a culpa vacui „ sunt, et fide ac vita conspicui.„ 12. *Quia misericordiam et veritatem diligit Deus Dominus.* „ Nihil „ enim est, quo Deus magis delectetur, quam misericordia, et „ quæ huius æmula est, veritas.„ *Gratiam et gloriam dabit Dominus.* 13. *Non priuabit bonis eos, qui ambulant in innocentia.* Qui enim hac ratione erga Deum affecti sunt, omnibus his bonis perfruuntur. Ex diuinis enim ædibus misericordia scaturit, et multa illinc et affluens veritatis largitio.

1) Cod. 2. ἐντεῦθεν. 2) ὠφέλειαν. Cod. 1. add. τοῦτο γὰρ διὰ τῶν ἑξῆς σαφέστερον ἔφησεν. 3) παραῤῥ. Hebr. הסתופף *stare ad limen.* 4) μου. Abest a Cod. vatic. 5) ἐν. Rec. lectio h. l. est ἐπί. 6) Cod. 2. τούτῳ. 7) θυρῶν. Cod. 2. ποδῶν. 8) Θεῷ. Cod. 2. ἀγαθῷ. 9) οἴκους. Cod. vterque σηκούς. 10) E Cod. 1. 11) Ὅτι — Θεός. *Hebr.* „Nam sol et clipeus est Iehoua Deus.„ Sicque verba ista interpretati sunt *Aquila* et *Symm.* Consentit quoque Edit. V. 12) Rec. lectio h. l. est ἔλεον. 13) E Cod. 1. 14) Οὐ στερήσει. Rec. lectio h. l. est οὐχ ὑστερήσει.

tio. Illinc enim bonorum dogmatum doctrinam recipimus: diuinamque gratiam ex Spiritus sancti fontibus haurimus. Quin etiam insignes inde et valde illustres euadimus, et vt vno verbo dicam, omnium bonorum fruitionem percipimus, omnem quidem malitiam atque prauitatem abiicientes, simplicem autem, et veritati congruam vitam eligentes. *Domine Deus virtutum, beatus homo, qui sperat in te.* Finis toti psalmo accommodatus est. Beatum enim, et felicem nuncupat eum, qui omnem præsentis vitæ felicitatem pro nihilo ducit, * et soli spei, quam in Deo fixam habet, confidit, et inde manantem salutem percipit.

ρηγία. ἐκεῖθεν γὰρ τῶν ἀγαθῶν δογμάτων τὴν διδασκαλίαν δεχόμεθα, καὶ χάριν δὲ θείαν ἐκ τῶν τοῦ 1) παναγίου πνεύματος κρουνῶν ἀρυόμεθα· καὶ μέντοι καὶ περίβλεπτοι γινόμεθα ἐντεῦθεν, καὶ λίαν περιφανεῖς· καὶ συλλήβδην εἰπεῖν, πᾶσαν τῶν ἀγαθῶν δεχόμεθα τὴν ἀπόλαυσιν, κακίας μὲν καὶ πονηρίας 2) ἀπαλλαττόμενοι, ἁπλότητι δὲ καὶ ἀληθείᾳ συζῆν προαιρούμενοι. Κύριε 3) ὁ Θεὸς τῶν δυνάμεων· μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. κατάλληλον παντὶ τῷ ψαλμῷ τὸ ἀκροτελεύτιον· μακαρίζει γὰρ, καὶ ζηλωτὸν ὀνομάζει, τὸν 4) πάσης 5) βιωτικῆς εὐκληρίας καταφρονοῦντα· μόνῃ δὲ τῇ ἐπὶ τὸν Θεὸν ἐλπίδι θαῤῥοῦντα, καὶ τὴν ἐντεῦθεν φυομένην σωτηρίαν 6) τρυγῶντα.

INTERP. PSALM. LXXXIV.

1. *In finem, filiis Core Psalmus.* Et vmbram simul et veritatem psalmus præcinit. Adumbrauit enim vniuersorum Deus, per ea quæ Israelitis acciderunt, omnium hominum salutem. Etenim illos liberauit, nunc quidem ab Aegyptiorum, nunc vero a Babyloniorum seruitute. Sic omnium hominum naturam, ab vrgente diaboli tyrannide, et ab interitu vindicauit. Vaticinatur igitur psalmus et Iudæorum e Babylone reditum, et totius orbis terrarum salutem. 2. *Benedixisti Domine terræ tuæ.* *Benedicere* est

ΕΡΜΗΝ. ΤΟΥ πδ′ ΨΑΛΜΟΥ.

α′. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός. Καὶ τὴν σκιὰν κατὰ ταυτὸν καὶ τὴν ἀλήθειαν ὁ ψαλμὸς προθεσπίζει· 7) ἐσκιαγράφησε γὰρ ὁ τῶν ὅλων Θεὸς 8) τοῖς κατὰ τὸν Ἰσραὴλ πάντων 9) ἀνθρώπων τὴν σωτηρίαν. καὶ γὰρ ἐκείνους ἠλευθέρωσε, ποτὲ μὲν τῆς Αἰγυπτίων, ποτὲ δὲ τῆς Βαβυλωνίων δουλείας, καὶ 10) πάντων ἀνθρώπων τὴν φύσιν ἐῤῥύσατο 11) τῆς 12) ἐπικρατούσης διαβόλου τυραννίδος καὶ φθορᾶς. προλέγει τοίνυν ὁ ψαλμὸς, τήν τε Ἰουδαίων ἐκ Βαβυλῶνος ἐπάνοδον, καὶ τῆς οἰκουμένης ἁπάσης τὴν σωτηρίαν. β′. 13) Εὐδόκησας Κύριε τὴν γῆν σου. Εὐδοκῆσαί ἐστι

τὸ

1) παναγίου. Cod. 2. θείου. 2) Cod. 2. ἀπαλλαττόμεθα. 3) ὁ Θεός. Additur in edit. *ald.* et *compl.* 4) πάσης. Cod. 1. add. μέν. 5) βιωτ. Abest a Cod. 2. 6) τρυγ. Cod. 1. add. ἀμήν. 7) Cod. 2. ἐσκιαγραφήσατο. 8) τοῖς. Cod. 1. præm. ἐν. 9) ἀνθρ. Cod. vterque præm. τῶν. 10) πάντων. Cod. vterque πᾶσαν τῶν. 11) τῆς — φθορᾶς. Cod. 1. τῆς τε πικρᾶς τοῦ διαβόλου τυραννίδος καὶ τῆς ἀνιαρᾶς τοῦ θανάτου φθορᾶς. 12) ἐπικρατ. Cod. 2. πικρᾶς. 13) Εὐδοκ. Hebr. רצית *Propitius fuisti.*

τὸ ἀγαθόν τι θελῆσαι· ἐπειδὴ τοίνυν καὶ τῆς Ἰϐδαίας διὰ τὴν τῶν οἰκητόρων παρανομίαν 1) ἐρημίαν κατεψηφίσατο· καὶ τῷ Ἀδὰμ μετὰ τὴν ἁμαρτίαν τιμωρίαν ἐπήγαγε τῆς γῆς 2) ἀρὰν· ἀκάνθας γὰρ 3) ἔφη καὶ τριβόλϐς 4) „ἀνατελεῖ σοι·„ τὴν τῶν λυπηρῶν 5) ἀποβολὴν διὰ τῆς εὐδοκίας ὁ προφητικὸς 6) παρεδήλωσε λόγος, 7) „καὶ τῆς φύσεως ἁπάσης τὴν „ἀνανέωσιν.„ Ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. γ΄. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σϐ· ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Ἔλυσας τὰ 8) λυπηρὰ τῆς δϐλείας δεσμὰ, καὶ τὴν ἐλευθερίαν ἐδωρήσω τοῖς αἰχμαλώτοις, τὰ πεπλημμελημένα παριδεῖν ἐθελήσας· ὅτι δὲ καὶ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις αἰχμάλωτος ἦν, καὶ παρὰ τοῦ σωτῆρος ἡμῶν 9) Θεϐ τὴν ἐλευθερίαν ἐδέξατο, 10) μάρτυς αὐτὸς διὰ Ἡσαΐου βοῶν· πνεῦμα Κυρίϐ ἐπ' ἐμὲ, ϐ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τϐς συντετριμμένϐς τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· ταύτην γὰρ ἐν τῇ συναγωγῇ τὴν προφητείαν ἀναγνϐς ὁ Δεσπότης ἔφη πρὸς Ἰϐδαίϐς· σήμερον ἡ γραφὴ αὕτη ἐπληρώθη ἐν τοῖς ὠσὶν ὑμῶν. δ΄. 11) Κατέπαυσας πᾶσαν τὴν ὀργήν σϐ· ἀπέστρεψας ἀπὸ ὀργῆς θυμϐ σϐ. 12) Ἔλυσας τὴν

aliquid boni velle. Quoniam igitur, et ob incolarum iniquitatem condemnauit Iudæam vt terra deserta esset, et Adamo post peccatum patratum pœnam inflixit, terræ maledictionem, (Spinas enim, inquit, *a*) et tribulos „producet tibi, „) rerum tristium expulsionem per benedictionem demonstrauit, „et totius naturæ innouationem. „ *Auertisti captiuitatem Iacobi.* *3. Remisisti iniquitates populo tuo, operuisti omnia peccata eorum.* Soluisti tristia seruitutis vincula, et libertatem captiuis largitus es, cum patrata peccata despicere statuisses. Cæterum totam hominum naturam captiuam fuisse, et a Saluatore nostro Deo libertatem accepisse, ipse testis est, per Esaiam exclamans, *b*) Spiritus Domini super me est, propterea vnxit me, euangelizare pauperibus misit me, sanare contritos corde, prædicare captiuis remissionem, et cæcis visum. Cum enim in Synagoga hanc vaticinationem Dominus legisset, Iudæis dixit, *c*) Hodie impleta est hæc scriptura in auribus vestris. *4. Mitigasti omnem iram tuam, auertisti te ab ira indignationis tuæ.* Dimisisti indi-

1) ἐρημ. Abest a Cod. 1. 2) ἀράν. Cod. vterque præm. τήν. 3) ἔφη. Abest a Cod. 2. 4) E Cod. vtroque. 5) ἀποβ. Cod. 1. μεταβολήν. 6) Cod. 2. ἐδήλωσε. 7) E Cod. 1. 8) λυπηρά. Cod. vterque πικρά. 9) Θεοῦ. Abest a Cod. 1. 10) μάρτυς — ὠσὶν ὑμῶν. Cod. 1. ita: δῆλον παντὶ ἔθνει· ἐῤῥαπίσθη γὰρ ἐπὶ τοῦ σταυροῦ ἐκεῖνος, ἵνα τοὺς πιστεύοντας εἰς αὐτὸν τῆς τοῦ θανάτου δουλείας ἀπαλλάξῃ· σχίσας ἐν αὐτῷ τὸ κατὰ πάντων χειρόγραφον· τῷ γὰρ μώλωπι αὐτοῦ, φησὶ, πάντες ἰάθημεν. „omnibus manifestum esse potest: virgis enim cæsus et cruci affixus est ille, vt a mortis iugo liberaret eos qui credituri essent in illum, discisso, quod contra omnes erat, chirographo (Col. 2, 14.). Per eius enim vulnus, inquit (Es. 53, 5.) omnes sanati sumus.„ 11) Κατέπαυσας. Hebr. אספת *Collegisti* s. abstulisti. 12) Ἔλυσας. Cod. 1. præm. λέγει δὲ ὅτι,

a) Gen. 3, 18. *b*) Es. 61, 1. *c*) Luc. 4, 18.

indignationem in nos, et benignitatem ostendisti. 5. *Conuerte nos Deus salutaris noster, et auerte iram tuam a nobis.* Videntur hi et illi bonum libertatis * nuncium accepisse, sed nondum hanc consecuti esse: idcirco obsecrant, vt perfecte benignitatem consequantur. 6. *Numquid in aeternum irasceris nobis? aut extendes iram tuam a generatione in generationem?* Conuenit his, qui a calamitatibus liberati sunt, his verbis vti, et nequaquam peccatorum veniae confidere, sed timere, et iudicem placare. Supplicant igitur et hi, ne eadem ira extendatur, vt in alteram generationem perseueret, sed quamprimum finiatur. 7. *O Deus, tu conuersus viuificabis nos, et plebs tua laetabitur in te.* Nouimus te Domine benignum esse, et credimus te reditum et vitam nobis largiturum esse: nos vero haec adepti cum laetitia hymnum tibi offeremus. 8. *Ostende nobis Domine misericordiam tuam, et salutare tuum da nobis.* Cum Cyrus Persarum rex, secundum Esaiae prophetiam, redeundi potestatem largitus esset, festinant in patriam peruenire. Propterea igitur Deum orant, vt celerem salutem ob benignitatem ipsis concedat. Tuam, inquit, nobis bonitatem, o Domine, quamprimum ostende, et salutem,

καθ' ἡμῶν ἀγανάκτησιν, καὶ τὴν εὐμένειαν ἔδειξας. ε'. Ἐπίστρεψον ἡμᾶς ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· 1) καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Ἐοίκασι καὶ οὗτοι κἀκεῖνοι τὰ μὲν εὐαγγέλια τῆς ἐλευθερίας 2) δεδέχθαι, μηδέπω δὲ ταύτης τετυχηκέναι· οὗ δὴ χάριν ἀντιβολοῦσι τελείως τυχεῖν τῆς 3) φιλανθρωπίας. ς'. Μὴ εἰς 4) τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν, ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν. Πρέπει καὶ 5) τοῖς ἀπαλλαγεῖσι τῶν συμφορῶν τούτοις κεχρῆσθαι τοῖς ῥήμασι, καὶ 6) μὴ θαῤῥεῖν τῇ τῶν ἁμαρτημάτων ἀφέσει, ἀλλὰ δεδιέναι καὶ τὸν κριτὴν ἐκμειλίσσεσθαι· ἱκετεύουσι τοίνυν καὶ οὗτοι, μὴ ἐπιταθῆναι 7) τὴν αὐτὴν ὀργὴν, ὥστε 8) εἰς ἑτέραν γενεὰν διαρκέσαι, ἀλλὰ λυθῆναι 9) ταχέως. ζ'. 10) Ὁ Θεὸς σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί. Ἴσμεν σου Δέσποτα τὸ φιλάνθρωπον, καὶ πεποίθαμεν, ὅτι σὺ καὶ τὴν ἐπάνοδον παρέξεις, καὶ τὴν ζωήν. ἡμεῖς δὲ τούτων ἀπολαύσαντες, μετ' εὐφροσύνης σοι τὸν ὕμνον προσοίσομεν. η'. Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σου· καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. Κύρου τοῦ Περσῶν βασιλεύσαντος κατὰ τὴν Ἡσαΐου προφητείαν δεδωκότος τῆς ἐπανόδου τὴν ἐξουσίαν, ἐπείγονται τὴν ἐνεγκοῦσαν καταλαβεῖν· διὰ δὴ τοῦτο τὸν Θεὸν ἱκετεύουσι, ταχεῖαν αὐτοῖς διὰ φιλανθρωπίας παρασχεῖν σωτηρίαν. τάχιστά φησιν 11) δὲ ὦ Δέσποτα τὴν σὴν ἡμῖν ἀγαθότητα δεῖξον, 12) καὶ τύχωμεν

τῆς

1) καὶ — ἡμῶν. *Hebr.* et irritam fac, s. remoue, indignationem tuam apud nos. 2) Cod. vterque δέχεσθαι. 3) φιλανθρ. Cod. 1. add. τὴν ψῆφον. 4) Rec. lectio h. l. est τὸν αἰῶνα. 5) τοῖς. Cod. 1. add. ἄλλοις. 6) Cod. 1. μηδέπω. 7) τὴν αὐτήν. Cod. 1. τοῦ Θεοῦ τήν. Cod. 2. τοῦ φιλανθρώπου Θεοῦ τήν. 8) εἰς. Cod. 2. praem. καί. 9) ταχέως. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 10) ὁ Θεὸς σύ. Hebr. הלא אתה *Anne tu?* 11) δέ. Abest ab vtroque Cod. 12) καὶ — ἀπαλλαγῆς. Cod. 1. ita: τὸ δὲ δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σου καὶ τὸ σωτήριόν σου

τῆς σωτηρίας, καὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς· οὕτω τὴν ἱκετείαν 1) ὁ προφήτης ὡς ἐξ ἐκείνων προσενεγκὼν, δέχεται 2) τοῦ Θεοῦ τὴν ἀπόκρισιν, καὶ φησί· θ'. Ἀκούσομαι τί λαλήσει 3) ἐν ἐμοὶ Κύριος ὁ Θεός· ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ· καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ· 4) καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας 5) καρδίαν ἐπ' αὐτόν. Ἤκουσέ φησι τῆς ἱκετείας ὁ φιλάνθρωπος Δεσπότης, καὶ τῆς εἰρήνης τὴν ψῆφον 6) ἐξήνεγκε, καὶ δεδώρηται ταύτην τοῖς μεταμελείᾳ χρησαμένοις, καὶ πρὸς τον Θεὸν νεύειν τὸν λογισμὸν ἐκπαιδεύσασιν· ἡ γὰρ πρὸς τὸν Θεὸν τῆς καρδίας ἐπιστροφὴ, 7) τοῦ πταίειν ἀπαλλαγὴ, καὶ τῆς δικαιοσύνης ἀρχή· „ 8) εἴρηται δὲ καὶ ἐκ προσώπου „ τοῦτο μὲν τῶν μακαρίων ἀποστόλων, „ τοῦτο δὲ καὶ τῶν πιστευόντων δι' αὐτῶν „ τῷ σωτῆρι· καί φησίν· ἀκούσομαι τί λα„λήσει ἐν ἐμοὶ Κύριος ὁ Θεὸς, ὅτι λα„λήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, ἣν „ διὰ τῶν ἀποστόλων ἐχαρίσατο τοῖς τρο„φίμοις τῆς χάριτος· τοῦτο γὰρ λέγει „ διὰ τῶν ἑξῆς· καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ „ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας τὴν καρδίαν „ ἐπ' αὐτόν· καὶ πότε ταύτην ἐδωρήσα„το; ὅτε ἐκ τοῦ ὄρους τῶν ἐλαιῶν ὁ ἁπαν„ταχοῦ καὶ τοῦ πατρὸς ἀχώριστος ἀνε„λαμβάνετο, ὅθεν καὶ καταβάς· εἰρή„νην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν „ ἐμὴν ἀφίημι ὑμῖν· αὕτη γὰρ τῆς δι-

liberationemque conſequamur. Cum ergo deprecationem propheta tanquam ex illorum perſona obtuliſſet, Dei reſponſum recipit, et ait: 9. *Audiam quid loquuturus ſit in me Dominus Deus: quoniam loquetur pacem ad populum ſuum, et ſuper ſanctos ſuos, et in eos qui conuertunt cor ad ipſum.* Audiuit, inquit, miſericors Dominus preces, et pacis ſententiam pronunciauit, et hanc iis largitus eſt, qui pœnitentia vſi ſunt, quique ad Deum mentem flectere nouerunt. Cordis enim conuerſio ad Deum eſt liberatio a peccatis, et iuſtitiæ principium. „ Dictum autem eſt hoc ex perſona tum beatorum Apoſtolorum, tum eorum qui per illos adducti ſunt vt crederent in Saluatorem. Audiam, inquit, quid loquuturus ſit in me Dominus Deus: quoniam loquetur populo ſuo pacem, quam per Apoſtolos largitus eſt alumnis gratiæ. Hoc enim dicit per ea quæ ſequuntur: et Sanctis ſuis, iiſque qui cor ad illum conuertunt. Quando autem hanc largitus eſt? quum de monte olearum is qui vbique et omni tempore a Patre inſeparabilis fuit, ſublatus eſſet in cælum vnde deſcenderat. Do enim vobis, inquit, a) pacem meam, pacem meam relinquo vobis. Hoc enim „ eſt

σου δόξης ἡμῶν, ἀντιβολεῖ τὰ ἔθνη τυχεῖν τῆς σωτηρίας καὶ τὴν τῶν προλαβόντων κακῶν ἀπαλλαγὴν δέξασθαι. „ Illa autem, Oſtende nobis Domine miſericordiam tuam, et ſalutem tuam da nobis, continent ſupplicationem Gentilium, vt ſalutis compotes fiant, et a malis quibus premebantur, liberentur. „

1) ὁ — προσεν. Cod. 1. ὡς ἐξ ἐκείνων ὁμοίως δὲ καὶ τούτων ὁ προφήτης προσενεγκών. 2) τοῦ Θεοῦ. Cod. 1. præm. παρά. 3) ἐν ἐμοί. Abeſt a Textu hebr. 4) καὶ — αὐτόν. *Hebr.* et ne redeant ad ſtultitiam. 5) Rec. lectio h. l. eſt πρὸς αὐτὸν, καρδίαν. 6) Cod. vterque ἐπήνεγκε. 7) τοῦ πταίειν. Cod. 1. τῶν κακῶν. 8) E Cod. 1.

a) Ioh. 14, 27.

„ est iustitiae principium. „ His et ea quae sequuntur respondent. 10. *Veruntamen prope timentes eum salutare ipsius, vt habitet gloria in terra nostra.* Appropinquat enim Deum timentibus salus, et hanc consequuntur, qui diuinas leges implere decreuerunt. Talis mutatio et reditum nobis * largita est, quem cum gloria faciemus, et pristinum patriae splendorem videbimus. 11. *Misericordia et veritas occurrerunt sibi, iustitia et pax exosculatae sunt sese.* Delinquentibus quidem, et poenitentiam agentibus, misericordiam indulgent benignitatis flumina: eos vero, qui veritatem amplectuntur, misericordiae fluenta inundant. Propterea dixit, *Misericordia et veritas occurrerunt sibi.* Nam Iudaei quidem, et tota hominum natura, veritatis cognitionem Deo obtulerunt: benignus autem Dominus misericordiam retribuit. Sic rursus, cum hi iustitiam obtulissent, pacem illis donauit, et reconciliationem largitus est, pristinasque inimicitias finiuit, et veritas iustitiae occurrit, et veritati misericordia. „ Perpendite autem „ illud, Misericordia et veritas oc-

„καιοσύνης ἡ ἀρχή. „ Τούτοις καὶ τὰ ἐπιφερόμενα συμφωνεῖ. ι. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ· τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. Πελάζει γὰρ τοῖς τὸν 1) Θεὸν φοβουμένοις ἡ σωτηρία, καὶ ταύτης ἀπολαύουσιν οἱ τοὺς θείους 2) πληροῦν προαιρούμενοι νόμους. ἡ τοιαύτη μεταβολὴ καὶ ἡμῖν κεχάρισται τὴν ἐπάνοδον, ἣν μετ' εὐκλείας 3) ποιησόμεθα, καὶ τὴν προτέραν τῆς πατρίδος ὀψόμεθα 4) περιφάνειαν. ια'. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, 5) δικαιοσύνη καὶ 6) εἰρήνη κατεφίλησαν. Ἁμαρτάνουσι μὲν, καὶ μεταμελείᾳ χρωμένοις, χορηγοῦσι τὸν ἔλεον οἱ τῆς φιλανθρωπίας κρουνοί, 7) τοῖς δὲ τὴν 8) ἀλήθειαν 9) ἀσπαζομένοις ἐπικλύζουσι τοῦ ἐλέου τὰ νάματα· διὰ τοῦτο ἔφη, ἔλεος καὶ ἀλήθεια συνήντησαν. Ἰουδαῖοι μὲν γὰρ, καὶ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις, 10) προσενηνόχασι τῷ Θεῷ τὴν τῆς ἀληθείας ἐπίγνωσιν. ἀντέδωκε δὲ τὸν ἔλεον ὁ 11) φιλάνθρωπος· οὕτω πάλιν τὴν δικαιοσύνην τούτων προσενεγκάντων, τὴν εἰρήνην αὐτοῖς ἐδωρήσατο, καὶ τὰς καταλλαγὰς ἐχαρίσατο, καὶ κατέλυσε τὴν προτέραν δυσμένειαν. καὶ προσέδραμεν, ἡ μὲν εἰρήνη τῇ δικαιοσύνῃ, τῇ δὲ ἀληθείᾳ 12) ὁ ἔλεος. „13) Θεωρεῖτε δὲ τὸ ἔλεος καὶ ἀλήθεια συνήντησαν·

1) Θεόν. Cod. 2. praem. ἀγαθόν. 2) Cod. 2. ἀποπληροῦν. 3) ποιησ. Cod. 1. add. διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας „ sacro lauacro regenerati. „ 4) περιφ. Cod. 1. add. Ἰουδαῖοι μὲν τὴν Ἱερουσαλήμ, ἡμεῖς δὲ πόλιν ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· περὶ ταύτης γὰρ βοᾷ Παῦλος· ἐξερχώμεθα τοίνυν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. „ Iudaei quidem, Hierosolymam, nos autem vrbem cuius opifex et conditor est Deus. De hac enim Paulus clamat (Hebr. 13, 13. 14.): Egrediamur itaque extra castra, opprobrium eius ferentes: nam hîc non habemus vrbem manentem, sed futuram quaerimus. „ 5) Cod. 2. δικαιοσύνην. 6) Cod. 2. εἰρήνην. 7) τοῖς δὲ. In Cod. 1. desid. Cod. 2. τούς. 8) ἀλήθ. Cod. 1. add. τῶν θείων νόμων. 9) Cod. 2. ἀσπαζομένους. 10) Cod. 1. προσενηνόχαμεν. 11) φιλ. Cod. 1. add. Δεσπότης. 12) ὁ. Cod. 1. τό. 13) E Cod. 1. ad

cuius

„τησαν· ὁ γὰρ ἐλεήμων ὁ φέρων τὰ
„πάντα ἐφέρετο ὑπὸ τῆς παρθένου καὶ
„μητρός· καὶ ὁ δίκαιος Ἰωάννης ἐσκίρτα
„ἐν τῇ μήτρᾳ τῆς Ἐλισάβετ· ἡ γοῦν
„φέρουσα τὴν δικαιοσύνην, τουτέστι τὸν
„Ἰωάννην, κατεφίλει τὴν φέρουσαν τὴν
„εἰρήνην· αὐτὸς γάρ ἐστιν, ὥς φησιν ὁ
„ἀπόστολος, ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ
„ἀμφότερα ἕν.„ καὶ τοῦτο σαφέστερον
διὰ τῶν ἐπιφερομένων ἐδήλωσε. ιβ΄. Ἀ-
λήθεια ἐκ τῆς γῆς ἀνέτειλε· „1) καὶ
„μυριάκις ἐστὶ καθαρὰ ἡ Θεοτόκος· ἀλλ'
„ὅμως ἐκ τοῦ Ἀδάμ, ἐκ τοῦ Ἀβραάμ,
„ἐκ τοῦ Δαβίδ, ἐξ αὐτῆς γοῦν ἀνέτειλεν
„ἡ ὄντως ἀλήθεια.„ καὶ δικαιοσύνη ἐκ
τοῦ οὐρανοῦ διέκυψεν.„ 2) ἡ δικαία ἐπὶ τὸν
„μονογενῆ υἱὸν τοῦ Πατρὸς μαρτυρία·
„ἡ φάσκουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ
„ἀγαπητός, ἐν ᾧ εὐδόκησα.„ Ἀσπα-
σαμένων 3) γὰρ 4) τὴν ἀλήθειαν τῶν
ἀνθρώπων, τούτων δικαίαν ἐποιήσατο
πρόνοιαν 5) ὁ τῶν ὅλων Θεός, καὶ τὸν
διάβολον τῆς τυραννίδος ἐξέβαλεν,
„6) καὶ τοῦ θανάτου τὰ κέντρα συνέτρι-
„ψε· τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς.„
ιγ΄. Καὶ γὰρ ὁ Κύριος δώσει 7) χρηστότη-
τα· καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐ-
τῆς. Τῇ αὐτῇ πάλιν ἐχρήσατο συζυ-
γίᾳ· 8) ἔφη γὰρ τὸν μὲν Θεὸν οἴκτῳ καὶ
φιλανθρωπίᾳ χρήσασθαι, αὐτοὺς δὲ
9) τῷ Θεῷ τὸν προσφυᾶ προσοίσειν καρ-
πόν· οὐ γὰρ εὐετηρίαν διὰ τούτων ἐδήλωσεν,
10) ἀλλὰ τὴν καρπογονίαν τῆς ἀρετῆς.

„ currerunt sibi. Misericors e-
„ nim ille qui fert cuncta, porta-
„ tus est a virgine et matre, et
„ iustus Iohannes subsiliit in vte-
„ ro Elisabethæ. Illa itaque quæ
„ gestabat iustitiam, hoc est Io-
„ hannem, exosculata est eam quæ
„ gestabat pacem. Ipse enim,
„ vt Apostolus inquit, *a*) est pax
„ nostra, vtpote qui e duobus
„ fecit vnum. „ Et hoc manife-
stius per ea quæ sequuntur decla-
rauit. 12. *Veritas de terra or-
ta est*, „ Et dici quidem non pot-
„ est, quam pura fuerit Deipara, ta-
„ men ex Adamo, ex Abraha-
„ mo, e Dauide, immo ex ipsa,
„ illa demum orta est quæ vere
„ est veritas. „ *et iustitia de cælo
„ prospexit.* „ Iustum de vnigeni-
„ to filio Patris testimonium il-
„ lud *b*): Hic est filius meus di-
„ lectus, in quo beneplacitum ha-
„ beo. „ Nam cum homines ve-
ritatem amplexi essent, vniuerso-
rum Deus iustam curam illorum
gessit, et diabolum tyrannide eie-
cit, „ et mortis stimulos confre-
„ git. Hoc enim dicit per ea
„ quæ sequuntur. „ 13. *Etenim
Dominus dabit benignitatem, et
terra nostra dabit fructum suum.*
Hac eadem rursus coniunctione
vsus est: dixit enim, misericordia
et benignitate Deum vsum esse,
ipsos vero congruentem fructum
Deo oblaturos esse. Non enim
frugum abundantiam per hæc
demonstrauit, sed virtutis fructum.
14. *Iu-*

cuius marginem adponuntur siglæ G et P. De priori conf. p. 822. et 1017. Posterior h. l. venustatem rei propositæ indicare videtur (ὡραῖον). Conf. p. 1017. n. 9.

1) — 2) E Cod. 1. 3) γάρ. Cod. 1. τοιγοῦν. 4) τὴν — τούτων. Cod. 1. ἀνθρώπων τὴν ἀλήθειαν ταύτην. 5) ὁ — Θεός. Cod. 1. ὁ σωτὴρ ὡς φιλάνθρωπος. 6) E Cod. 1. 7) χρησ. Cod. 1. add. ἀντὶ τοῦ σωτηρίαν. 8) ἔφη γάρ. Cod. 2. φήσας. 9) τῷ Θεῷ. Abest a Cod. 1. 10) ἀλλὰ — ἀρετῆς. Cod. 1. ἀλλὰ τῶν ἀρετῶν καὶ τῆς ἀλωβήτου πίστεως τῶν εἰς αὐτὸν πιστευόντων τὸν καρπὸν προεσήμανε „ sed virtutum et illæsæ fidei eorum qui credunt fructum prædictione significauit. „

a) Eph. 2, 14. *b*) Matth. 3, 17.

14. *Iustitia ante eum ambulabit*,
„ Nimirum Iohannes. De hoc
„ enim loquitur Habacuc Prophe-
„ ta, dicens: *a)* Faciem eius
„ præcedet verbum, et egredietur
„ ad pedes eius, ad disciplinam.
„ Ita quoque Zacharias ad filium
„ suum dicit: *b)* Et tu, puerule,
„ filius Altissimi vocaberis: præce-
„ des enim ante faciem Domini
„ vias parans illi. Recte itaque
„ mens Prophetæ (de Iohanne
„ enim dicit, Iustitia ante eum
„ ambulabit, et ponet in via
„ gressus suos, pro eo quod di-
„ citur, Dominus es, qui homo
„ factus es, Deus Verbum) vtri-
„ vsque exhibet prædictionem.
„ Iohannis enim est vox ista: *c)*
„ qui post me venit, ante me
„ fuit, quia prior fuit me. Et
„ vt paucis dicam, En, in-
„ quit, *d)* agnum Dei qui tol-
„ lit peccatum mundi. „ *et ponet in via gressus suos.* Psalmi potissimum finis manifesto nos docet, hanc vaticinationem communem omnium gentium salutem præcinere. Dicit enim, quod Dominus iustitia vtens, veluti quidam hospitum dux, nostri itineris dux sit, virtutis viam terens, et vestigiis suis hanc apertam nobis reddens. Confirmat autem ipse Dominus hunc sermonem, modo quidem Ioanni dicens: *e)* Sine modo, sic enim oportet impleri omnem iustitiam: modo vero propriis suis discipulis, *f)* Discite a me, quia mitis sum, et humilis corde, et inuenietis requiem animabus vestris. Alias vero cum eorum

ιδ΄. Δικαιοσύνη 1) ἐνώπιον αὐτοῦ προπο-
ρεύσεται, „ 2) ὁ Ἰωάννης δηλαδή· περὶ
„ γὰρ τούτου Ἀμβακοὺμ ὁ προφήτης
„ φησὶ, πρὸ προσώπου αὐτοῦ, λέγων,
„ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς
„ παιδείαν κατὰ πόδας αὐτοῦ· ὁμοίως
„ καὶ Ζαχαρίας πρὸς τὸν ἑαυτοῦ παῖδα·
„ καὶ σὺ παιδίον προφήτης ὑψίστου κλη-
„ θήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου
„ Κυρίου ἑτοιμάζων ὁδοὺς αὐτῷ. καλῶς
„ οὖν ἔχει ὁ προφητικὸς νοῦς· περὶ τοῦ
„ Ἰωάννου ἔφη, δικαιοσύνη ἐνώπιον αὐτοῦ
„ προπορεύσεται καὶ θήσει εἰς ὁδὸν τὰ
„ διαβήματα αὐτοῦ· ἀντὶ τοῦ Κύριος εἶ ὁ
„ ἐνανθρωπήσας Θεὸς λόγος· τῶν ἀμ-
„ φοτέρων τὴν πρόῤῥησιν. Ἰωάννου γάρ ἐστι
„ φωνὴ, τὸ ὁ ὀπίσω μου ἐρχόμενος ἔμ-
„ προσθέν μου γέγονεν, ὅτι πρῶτός μου
„ ἦν· καὶ ἵνα συνελὼν εἴπω, ἴδε ὁ ἀμνὸς
„ τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κό-
„ σμου. „ καὶ θήσει εἰς ὁδὸν τὰ διαβή-
ματα αὐτοῦ. Τὸ τέλος μάλιστα τοῦ ψαλ-
μοῦ διδάσκει ἡμᾶς σαφῶς, ὡς τὴν κοινὴν
πάντων ἀνθρώπων προλέγει σωτηρίαν
ἡ προκειμένη προφητεία· λέγει γὰρ, ὅτι
δικαιοσύνῃ χρώμενος ὁ Δεσπότης, οἷόν
τις 3) ξεναγὸς τῆς ἡμετέρας ἡγεῖται
4) πορείας, τρίβων τῆς ἀρετῆς τὴν ὁδὸν,
καὶ τοῖς οἰκείοις ἴχνεσι δήλην 5) ταύτην
ἡμῖν ἐργαζόμενος· βεβαιοῖ δὲ τὸν λόγον
αὐτὸς ὁ Δεσπότης, νῦν μὲν πρὸς τὸν
6) Ἰωάννην, ἄφες ἄρτι, οὕτω 7) γὰρ δεῖ
πληρωθῆναι πᾶσαν 8) δικαιοσύνην· νῦν
δὲ πρὸς τοὺς οἰκείους μαθητὰς, μάθετε
ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς
τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς
ψυχαῖς ὑμῶν. 9) ἄλλοτε δὲ νίψας αὐτῶν
τοὺς

1) Rec. lectio h. l. est ἐναντίον: 2) E Cod. 1. 3) Cod. 2. ξεναγωγὸς τῶν ἡμετέρων.
4) πορ. Cod. 1. σωτηρίας, adscr. tamen lectione altera. 5) ταύτην. Des. in Cod, 2.
6) Ἰωάννην. Cod. vterque add. λέγων. 7) γάρ. Abest a Cod. 2. 8) δικ. Cod. 1,
οἰκονομίαν, adscr. tamen lectione altera. 9) ἄλλοτε. Cod. 2. præm. καί.

a) Hab. 3, 5. b) Luc. 1, 76. c) Ioh. 1, 15. d) Ib. v. 29. e) Matth. 3, 15. f) Ib. c. 11, 29.

τοὺς πόδας, μεθ' ἕτερα καὶ ταῦτα 1) ἔφη· 2) ἐγὼ ὁ κύριος καὶ ὁ διδάσκαλος ἔνιψα ὑμῶν τοὺς πόδας· 3) ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς 4) ποιῶ, καὶ ὑμεῖς ποιῆτε. αὐτὸς τοίνυν πρότερος ὥδευσεν τὴν τῆς δικαιοσύνης ὁδὸν, καὶ μετέβαλε τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ τὴν τραχεῖαν εἰς ὁδοὺς λείας, καὶ γέγονεν ἡμῖν ὁδὸς, 5) ἢ φησὶν αὐτὸς 6) ὁ Δεσπότης· 7) ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· 8) οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ.

pedes lauisset, post alia et hæc dixit: *a)* Ego Dominus et magister laui pedes vestros: exemplum enim dedi vobis, * vt quemadmodum facio, ita et vos faciatis. Ipse igitur primus iustitiæ viam ingressus est, et mutauit obliquam in rectam, et asperam in vias planas, et factus est nobis via, vt inquit ipse Dominus, *b)* Ego sum via, veritas, et vita: nemo venit ad patrem, nisi per me. *

ΕΡΜΗΝ. ΤΟΥ πε' ΨΑΛΜΟΥ.

Προσευχὴ τῷ Δαβίδ. Ὁ μὲν μακάριος Δαβὶδ, 9) κατὰ τὴν ἐπιγραφὴν, προσενήνοχε 10) τὴν προσευχὴν τῷ Δεσπότῃ 11) Θεῷ, ἐπικουρίας τινὸς ἀπολαῦσαι δεόμενος· προθεσπίζει δὲ καὶ τὴν τῶν Ἀσσυρίων τὴν κατὰ τῆς Ἱερουσαλὴμ προσβολὴν, καὶ τοῦ Ἐζεκίου 12) δὲ τὴν πρὸς 13) τὸν Θεὸν ἐλπίδα· προαγορεύει δὲ καὶ τῶν ἐθνῶν ἁπάντων τὴν κλῆσιν, καὶ 14) σωτηρίαν. α'. Κλῖνον Κύριε τὸ οὖς σου, καὶ 15) ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Ταπεινοῦ φρονήματος τῆς προσευχῆς τὸ προοίμιον· τῆς γὰρ δικαιοσύνης ἄμφω κεκτημένοι τὸν πλοῦτον, καὶ ὁ θεσπέσιος Δαβὶδ, καὶ ὁ 16) θαυμάσιος Ἐζεκίας, τοῦτον μὲν οὐχ ἑώρων, εἰς δὲ τὴν τῆς φύσεως πενίαν ἀπέβλεπον, καὶ τὸν Θεὸν ἠντιβόλουν οἰκτεῖραι ταύτην πτωχεία

INTERP. PS. LXXXV.

Oratio Dauidi. Beatus quidem Dauid, secundum inscriptionem, deprecationem Domino Deo obtulit, opem aliquam consequi postulans. Præcinit autem et Assyriorum in Hierosolymam impetum, et Ezechiæ spem, quam in Deo posuit. Prædicit etiam omnium gentium vocationem, et salutem. 1. *Inclina Domine aurem tuam, et exaudi me, quoniam inops et pauper sum ego.* Exordium supplicationis est humillimæ mentis. Nam vterque iustitiæ diuitias possidens, et diuinus Dauid, et admirabilis Ezechias, has quidem non considerabant, ad naturæ vero paupertatem respiciebant, et Deum obsecrabant, vt huius paupertate afflictæ misereatur.

1) ἔφη. Cod. 2. λέγει. 2) ἐγώ. Cod. vterque præm. εἰ. 3) ὑπόδειγμα. Cod. 2. præm. καί. 4) ποιῶ. Cod. 2. præm. ἐγώ. 5) ἤ. Cod. 2. ὡς. 6) ὁ δεσπότης. Abest a Cod. 2. 7) ἐγώ. Cod. 1. præm. εἴρηκε γάρ. 8) οὐδείς. Cod. 2. præm. καί. 9) κατά. Cod. 2. καί. 10) τὴν προσευχ. Def. in Cod. 2. 11) Θεῷ. Cod. 2. Χριστῷ. 12) δέ. Abest a Cod. 1. 13) τὸν Θεόν. Cod. 1. τὸ θεῖον. 14) σωτηρ. Cod. 1. add. καί φησι. 15) Rec. lectio h. l. est εἰσάκουσον. 16) θαυμ. Cod. 2. μακάριος.

a) Ioh. 13, 14. 15. *b)* Ib. c. 14, 6.

„ ita habet: meus vero gemitus „ ad te o Domine (directus est), „ et mane preces meæ præue- „ nient te „ Nam in vita desiderans ab incumbentibus malis liberari, mœrens te veneror, et diluculum deprecatione prævenio. 15. *Cur o Domine repellis orationem meam, auertis faciem tuam a me?* Cur igitur Domine reiicis me, tuamque beneuolentiam non impertis? * 16 *Pauper sum ego, et in laboribus a iuventute mea.* Iuuentus Israelis quidem, exitus est ex Aegypto: omnium autem hominum vita extra paradisum post mandati transgressionem. Et hi autem, et illi per omne tempus intermedium calamitosam vitam egerunt. *Exaltatus autem humiliatus sum, et conturbatus.* Nam et Iudæi post splendorem in seruitutem inciderunt: et hominum natura, secundum diuinam similitudinem facta, et vita paradisi digna habita, cum maiora con cupiuisset, etiam bonis, quæ dono acceperat, excidit. 17. *In me transierunt iræ tuæ, et terrores tui conturbauerunt me. 18. Circumdederunt me sicut aqua.* Omnem, inquit, iram in me excitasti, et maxime horrendis suppliciis me perterruisti, et in his velut aquis me submersisti. *Toto die circumdederunt me simul.* Ab his quotidie inundor. 19. *Longe remouisti a me amicum,*

„ τως· ἐμȣ̃ δὲ πρὸς σὲ Κύριε ἡ οἰμωγὴ, „ καὶ κατ' ὄρθρον ἡ προσευχή μȣ προ- „ φθάσει σε. „ Ἐπιθυμῶν γὰρ ἐν τῇ ζωῇ τῶν ἐπικειμένων ἀπαλλαγῆναι 1) κακῶν, ὀδυνώμενος ποτνιῶμαι, καὶ φθάνω τῇ δεήσει τὸν ὄρθρον. ιε. Ἱνατί Κύριε ἀπωθεῖς τὴν 2) ψυχήν μȣ, ἀποστρέφεις τὸ πρόσωπόν σȣ ἀπ' ἐμȣ̃; Τί δήποτε τοίνυν 3) ἀποπέμπεις με Δέσποτα· καὶ τῆς εὐμενείας ȣ̓ μεταδίδως τῆς σῆς; ις. Πτωχός εἰμι ἐγὼ 4) καὶ ἐν κόποις ἐκ νεότητός μȣ. Νεότης τȣ̃ μὲν Ἰσραὴλ, ἡ ἐξ Αἰγύπτȣ ἔξοδος· πάντων δὲ ἀνθρώπων ἡ μετὰ τὴν παράβασιν τῆς ἐντολῆς ἔξω τȣ̃ παραδείσȣ ζωή· καὶ ȣ̂τοι δὲ κἀκεῖνοι πάντα τὸν ἐν μέσῳ χρόνον ταλαιπωρȣ́μενοι διετέλεσαν. 5) ὑψωθεὶς δὲ ἐταπεινώθην, καὶ ἐξηπορήθην. οἵ τε γὰρ Ἰȣδαῖοι μετὰ τὴν περιφάνειαν περιέπεσον τῇ δȣλείᾳ· καὶ τῶν ἀνθρώπων ἡ φύσις, κατ' εἰκόνα 6) θείαν γεγενημένη, καὶ τῆς ἐν παραδείσῳ 7) ζωῆς ἠξιωμένη, μειζόνων ἐπιθυμήσασα, καὶ τῶν δεδωρημένων ἐξέπεσεν. ιζ. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σȣ, 8) οἱ φοβερισμοί σȣ ἐξετάραξάν με. ιη. Ἐκύκλωσάν με 9) ὡσεὶ ὕδωρ. Πᾶσάν φησιν ἐκίνησας κατ' ἐμȣ̃ τὴν ὀργὴν, καὶ ταῖς φοβερωτάταις με διετάραξας 10) τιμωρίαις, καὶ ταύταις καθάπερ 11) ὕδασιν ὑποβρύχιόν με πεποίηκας. ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. 12) ὑπὸ τȣ́των καθ' ἑκάστην περικλύζομαι τὴν ἡμέραν. ιθ. Ἐμάκρυνας ἀπ' ἐμȣ̃ φίλον καὶ

1) κακῶν. Cod. 2. δεινῶν. 2) ψυχήν. Hæc est lectio Cod. *alex.* quæ respondet Textui hebraico. Codex *vatic.* habet προσευχήν. 3) Cod. 2. ἀποπέμπη. 4) καὶ ἐν κόποις. Hebr. וְגֹוֵעַ *et exspirans* s. in summo vitæ periculo constitutus. *Symm.* καὶ ἐκλείπων. 5) ὑψωθεὶς — ἐξηπορήθην. *Hebr.* sustineo terrores tuos, et anxius sum. *Symm.* ἀνέλαβον τὸν φόβον σȣ. 6) θείαν. Cod. 1. Θεȣ̃. 7) ζωῆς. Cod. 1. διαίτης. 8) οἱ. In Textu τῶν ό. præm. καί. 9) Rec. lectio h. l. est ὡς. 10) τιμωρ. Cod. 2. τρικυμίαις. 11) ὕδασιν. Cod. 2. præm. ἐν. 12) Cod. 2. ἀπό.

1) καὶ πλησίον, 2) καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Τοσαύταις δὲ συμφοραῖς προσπαλαίων οὐδὲ τὴν ἀπὸ τῶν συνήθων ἔχω παραψυχὴν, ἔρημος τῆς τούτων συνουσίας διὰ τὴν τῆς δουλείας ταλαιπωρίαν γενόμενος. ταῦτα δὲ οὐ μόνον Ἰουδαίοις 3) ἥρμοττε λέγειν, οὐδὲ πᾶσιν ἀνθρώποις πρὸ τῆς τοῦ 4) σωτῆρος ἐπιφανείας, ἀλλὰ καὶ νῦν τοῖς τὰ ὅμοια πάσχουσιν ἡ ἱκετεία προσφυὴς καὶ κατάλληλος· ὅσα γὰρ προεγράφη, κατὰ τὸν θεῖον ἀπόστολον, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς ὑπομονῆς, καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν.

et proximum, et notos meos a miseria. Cum tantis autem calamitatibus colluctans, nullam vel a familiaribus consolationem habeo, ob seruitutis miserias horum consuetudine priuatus. Ceterum hæc non modo Iudæis dicere conueniebat, omnibusque hominibus ante Saluatoris aduentum: sed nunc etiam iis, qui similia patiuntur, hæc deprecatio accommodata et congruens est: quandoquidem iuxta diuinum apostolum, a) Omnia quæ ante scripta sunt, ad nostram doctrinam ante scripta sunt, vt per patientiam, et consolationem scripturarum, spem habeamus.

ΕΡΜΗΝ. ΤΟΥ πή ΨΑΛΜΟΥ.

α'. Συνέσεως 5) Αἰθὰμ 6) τῷ Ἰσραηλίτῃ. 7) Ὁ μακάριος Δαβὶδ 8) σηκοῖς τετιμημένους ὁρῶν τοὺς ψευδωνύμους θεοὺς, 9) μόνην δὲ 10) τοῦ Θεοῦ τὴν κιβωτὸν ἀγέραστον διαμένουσαν, ὑπέσχετο τὸν θεῖον 11) οἰκοδομήσειν νεών. ταύτην αὐτοῦ τὴν γνώμην ἀποδεξάμενος ὁ 12) Θεὸς, τὴν καλὴν ἐπαγγελίαν ἀμείβεται, καὶ ὑπισχνεῖται ἐκ τῆς ὀσφύος αὐτοῦ 13) λογικὸν ἑαυτῷ 14) κατασκευάσαι νεὼν, καὶ διὰ τούτου τὴν ἁπάντων 15) ἀνθρώπων πραγματεύσασθαι σωτηρίαν, καὶ ἀτελεύτητον 16) αὐτῷ 17) πα-

INTERP. PS. LXXXVIII.

1. *Intellectus Aetham Israelitæ.* Beatus Dauid falsos deos templis honoratos videns, solam vero Dei arcam sine honore esse, diuini templi ædificationem promisit. Quam eius mentem amplectens Deus, præclaram promissionem remunerat, spondetque ex eius lumbis se rationale sibi templum erecturum, et per hoc omnium hominum salutem effecturum, et regnum ei sine fine largiturum

1) καὶ πλησ. Abest a Cod. *vatic.* 2) καὶ — ταλαιπ. *Hebr.* familiares mei sunt quasi loca tenebris plena, f. in tenebris nunc latent, qui olim erant familiares mei. 3) Cod. 1. ἁρμόττει. 4) σωτ. Cod. 1. Θεοῦ καὶ σωτῆρος ἡμῶν. 5) Cod. 2. Αἰμάν. 6) τῷ Ἰσρ. Hebr. האזרחי *Esrachitæ.* conf. p. 1221. n. 10. 7) Ὁ — ταύτας δὲ τάς. Hæc parum differunt ab illis quæ MONTF. in Palæogr. græca, p. 279. e Cod. quodam Sec. X. attulit. 8) σηκοῖς — ψευδων. Cod. 1. πανταχοῦ προορῶν κατὰ καιροὺς τινας σηκοῖς τετιμημένους τοὺς ψευδωνύμους. 9) μόνην. Cod. 1. præm. προβλέπων τε καὶ ἐκείνων λύσιν καὶ ἀπώλειαν „ et prævidens eorum destructionem ac interitum. „ 10) τοῦ — κιβωτόν. Cod. 1. τὴν θείαν κιβωτόν. A Cod. 2. abest τοῦ Θεοῦ. 11) Cod. 1. οἰκοδομεῖν. Cod. 2. οἰκοδομῆσαι. 12) Θεός. Cod. 1. add. καὶ πατήρ. 13) λογικὸν — νεών. Cod. 1. ἀναστήσειν σωτῆρα. 14) κατασκ. In Specimine illo quod MONTF. l. c. exhibuit, leg. παρασκευάσειν. 15) ἀνθρ. Abest a Cod. 2. 16) αὐτῷ παρέξειν. Cod. 1. αὐτοῦ ὑπάρχειν. 17) Cod. 2. παρέξει.

a) Rom. 15, 4.

rum esse. Hæc autem promissa per prophetam * Nathan ei fecit, et hoc aperte Paralipomenon docet historia. a) Et in secundo quoque Regnorum libro Nathan ei dicit, b) Et annunciabit tibi Dominus, fore vt domum ædificet sibi. Horum etiam meminit Actuum historia. Nam beatus Petrus inter Iudæos concionem habens, post alia multa et hæc locutus est, c) Propheta igitur cum esset Dauid, et sciret, quod iureiurando iurasset illi Deus, fore vt de fructu lumbi eius Christus secundum carnem oriatur, sedeatque super sedem eius, præuidens locutus est de resurrectione Christi, dicens, non derelictam esse in inferno animam eius, neque carnem eius vidisse corruptionem; „ eius scilicet, qui fuit absque peccato: „ inter homines autem non est „ qui sit absque peccato, præter Deum Verbum, Iesum „ Christum, qui ex Dauidis prole carnem adsumsit.„ Has pollicitationes etiam patriarchæ Abrahamo fecit. Dixit enim illi, d) In semine tuo benedicentur omnes gentes terræ. Interpretans autem hoc diuinus Paulus, sic dicit, e) Abrahamo autem dictæ sunt promissiones, et semini eius. Non dicit, et seminibus, quasi in multis, sed quasi in vno, et semini tuo, qui est Christus. In

ῥέξειν τὴν βασιλείαν. ταύτας δὲ τὰς ὑποσχέσεις διὰ τοῦ προφήτου Νάθαν πρὸς αὐτὸν ἐποιήσατο· 1) καὶ τοῦτο σαφῶς ἡ τῶν παραλειπομένων ἱστορία διδάσκει· καὶ ἐν τῇ δευτέρᾳ δὲ τῶν βασιλειῶν Νάθαν πρὸς αὐτὸν ἔφη, καὶ ἀπαγγελεῖ σοι Κύριος, ὅτι οἶκον 2) οἰκοδομήσει ἑαυτῷ· μέμνηται δὲ τούτων καὶ ἡ τῶν πράξεων ἱστορία. ὁ γὰρ μακάριος Πέτρος ἐν Ἰουδαίοις δημηγορῶν, πρὸς ἄλλοις πολλοῖς καὶ ταῦτα διεξελήλυθεν· προφήτης οὖν ὑπάρχων ὁ Δαβίδ, καὶ εἰδὼς ὅτι 3) ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστήσειν τὸ κατὰ σάρκα τὸν Χριστὸν, 4) καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ· 5) προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως αὐτοῦ, ὅτι οὐκ ἐγκατελείφθη εἰς ᾅδου ἡ ψυχὴ αὐτοῦ, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν 6) „ ὁ δίχα ἁμαρτίας· „ οὐκ ἔστι δὲ ἐν ἀνθρώποις τις δίχα ἁμαρτίας, εἰ μὴ Ἰησοῦς ὁ Χριστὸς, ὁ ἐκ Δαβὶδ „ σαρκωθεὶς Θεὸς λόγος.„ ταύτας τὰς ὑποσχέσεις καὶ πρὸς τὸν πατριάρχην Ἀβραὰμ 7) ἐποιήσατο· ἔφη γὰρ πρὸς αὐτόν· ἐν τῷ σπέρματί σου 8) εὐλογηθήσονται πάντα τὰ ἔθνη τῆς γῆς. ἑρμηνεύων δὲ 9) τοῦτο ὁ θεσπέσιος Παῦλος οὕτως ἔφη· τῷ δὲ Ἀβραὰμ ἐρρήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει, καὶ τοῖς 10) σπέρμασιν ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς, καὶ τῷ σπέρματί 11) σου, ὅς ἐστιν ὁ 12) Χριστός. εἰς ταύτας

1) καὶ τοῦτο. Cod. 2. οὕτω γάρ. 2) οἰκοδ. ἑαυτῷ. Cod. vterque οἰκοδομήσεις αὐτῷ. Vid. supra p. 418. n. 1. 3) Cod. 2. ὅρκον. 4) καθίσαι. Cod. 2. præm. καί. 5) προϊδὼν — ἔθνη τῆς γῆς. Def. in Cod. 2. 6) E Cod. 1. 7) ἐποιήσ. Cod. 1. add. ὁ Θεὸς καὶ πατήρ. 8) Cod. 1. ἐνευλογηθήσονται. 9) τοῦτο. Cod. 2. καί. 10) σπέρμασι. Cod. 1. add. αὐτοῦ. 11) σου, ὅς ἐστι. Cod. 2. αὐτοῦ, ὅ ἐστι. 12) Χριστός. Cod. 1. add. ὅτε δὲ Χριστὸν ἀκούσεις, μὴ ἕτερον ὑπονοήσεις παρὰ τὸν Θεὸν λόγον. Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· ἀντὶ τοῦ πατρὸς δύναμις καὶ σοφία αὐτὸς οὗτος ὁ ἐκ σπέρματος Ἀβραὰμ καὶ Δαβὶδ σαρκωθεὶς Κύριος τῆς δόξης. „ Si autem

a) 1 Paral. 17. b) 2 Reg. 7, 11. c) Act. 2, 30. 31. coll. Ps. 15, 10. d) Gen. 22, 18. e) Gal. 3, 16.

τες ἀφορῶντες τὰς ἐπαγγελίας οἱ τούτων ἀπόγονοι, καὶ βλέποντες σφᾶς αὐτοὺς αἰχμαλώτους γεγενημένους καὶ τὴν ἀλλοτρίαν οἰκεῖν 1) ἠναγκασμένους, καὶ τὴν μὲν βασιλίδα πόλιν ἔρημον γεγενημένην, ἐσβεσμένην δὲ 2) τὴν βασιλείαν, ἀναμιμνήσκουσι τῶν ὑποσχέσεων τὸν 3) τῶν ὅλων Θεόν· καὶ ποτὲ μὲν τὸν πατριάρχην Ἀβραὰμ εἰς μέσον 4) προφέρουσι, καὶ τὸν υἱὸν τὸν ἐκείνου, καὶ τὸν ἔκγονον, τῶν συνθηκῶν ἀναμιμνήσκοντες τὸν Θεόν· ποτὲ δὲ τὸν μακάριον Δαβὶδ, καὶ τὰς πρὸς αὐτὸν γεγενημένας ἐπαγγελίας. οὕτως οἱ μακάριοι μάρτυρες, 5) Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ, τοῦ Ἀβραὰμ, καὶ τοῦ Ἰσαὰκ, καὶ τοῦ Ἰσραὴλ, ἐν τῇ καμίνῳ τὸν Θεὸν ἀντιβολοῦντες ἐποιήσαντο μνήμην. καὶ τοῦτον τοιγαροῦν τὸν ψαλμὸν εἰς τὴν ἐκείνων ὠφέλειαν ἡ προφητικὴ συνέγραψε χάρις· διδάσκουσα πῶς δεῖ τὸν Θεὸν ἐκμειλίξασθαι, καὶ τὴν παρ' αὐτοῦ φιλανθρωπίαν καρπώσασθαι. διὰ τοῦτο καὶ συνέσεως ἐπιγέγραπται. 6) ταύτης γὰρ δεῖ τοῖς παιδευομένοις διαφερόντως, ἵνα μηδὲν ἀπηχὲς εἴπωσι σχετλιάζοντες, ἀλλὰ τὸν θεῖον 7) προσμείνωσιν ἔλεον. ὁ δὲ 8) Αἰθὰμ, χορὸν καὶ αὐτὸς ἐμπεπίστευτο ᾀδόντων 9) ἐν τῷ ναῷ, καὶ τὸν Θεὸν ἀνυμνούντων. 10) „οὐ „γὰρ, ὥς τινες ἔφασαν εἶναι τὸν ψαλ„μὸν τοῦ Αἰμὰν· ἀλλ' ὡς ἔφαμεν, ἐξῆρχε „χοροῦ τῶν ᾀδόντων καὶ αὐτὸς οὗτος·

has promissiones intuentes horum posteri, et videntes se ipsos captiuos esse factos alienamque terram incolere coactos, et regiam ciuitatem desertam, exstinctumque esse regnum; promissa Deo vniuersorum in memoriam reuocant. Et modo quidem patriarcham Abrahamum in medium afferunt, et filium eius ac nepotem, Deum admonentes de fœderibus: modo vero beatum Dauidem, et promissiones ei factas. Eodem modo et beati martyres Ananias, Azarias, et Misael, in camino Deum orantes, de Abrahamo, et Isaaco, et Israele mentionem fecerunt. Prophetica ergo gratia in illorum vtilitatem hunc quoque conscripsit psalmum, docens quomodo oporteat Deum demulcere, et ab ipso benignitatem percipere. Idcirco *Intellectus* inscriptus est: hoc enim iis, qui castigantur, potissimum opus est, ne quid absoni, dum conqueruntur, dicant, sed diuinam præstolentur misericordiam. Aetham vero etiam ipse canentium in templo, Deumque collaudantium choro præfectus erat. a) „Non enim „ita se habet, vt quidam dixe„runt, Aemanis esse hunc psal„mum, sed vt iam diximus, „præfuit ille choro canto-

Rr 3 „rum,

tem audiueris Christum dici, ne alium quendam opineris quam Deum Verbum. Christus enim est Dei virtus et Dei sapientia: (1 Cor. 1, 24.) hoc est, Patris virtus et sapientia est idem ille, qui ex semine Abrahami et Dauidis homo natus est, Dominus gloriæ. „

1) Cod. 1. κατηναγκασμένοι. 2) τήν. Cod. 2. præm. καί. 3) τῶν ὅλων Θεόν. Cod. 1. τὸν Θεὸν καὶ πατέρα. 4) Cod. 2. προσφέρουσι. 5) Ἀνανίας — Μισαήλ. Des. in Cod. 2. 6) ταύτης — παιδευομένοις. Cod. 2. δεῖ γὰρ τοὺς ταύτην παιδευομένους. 7) Cod. 1. περιμένωσι. 8) Cod. 1. Αἰμάν. 9) ἐν τῷ ναῷ. Abest a Cod. 2. 10) E Cod. 1.

a) 1 Paral. 6, 31. 44.

„ rum, vtpote cui, vt reliquis, „ commissum erat a beatissimo „ Dauide canendi officium. „ 2. *Misericordias tuas Domine in æternum cantabo, in generationem et generationem annunciabo veritatem tuam ore meo.* Diuinam misericordiam efflagitantes, misericordiam celebrant, et veritatem pollicitationum, quæ Dauidi * factæ fuere, videre desiderantes, omnes posteros se docturos esse promittunt. 3. *Quoniam dixisti, in æternum misericordia ædificabitur in cælis, præparabitur veritas tua in eis.* Dei est sermo Dauidi dictus, se misericordiam in æternum ipsius semini custoditurum esse. Hanc igitur promissionem in memoriam reuocant. Tu enim, inquit, a) dixisti, te misericordiam aucturum, et non imminuturum esse. *Aedificabitur* enim pro *augebitur* „ et incrementum capiet „ posuit. Et Symmachus *stabilietur* dixit. Spopondisti, inquit, te verborum veritatem re ipsa corroboraturum esse. 4. *Disposui testamentum electis meis.* „ Ex persona Dei et Patris hæc dicta sunt, „ nec non quæ sequuntur. „ *Iuraui Dauid seruo meo.* 5. *Vsque in æternum præparabo semen tuum, et ædificabo in generationem et generationem sedem tuam.* Cum verbo *dixisti* et ista copulata sunt. Has pactiones cum electis feci. *Electos* vero

„ παραλαμβάνων παρὰ τοῦ θειοτάτου „ Δαβὶδ καὶ ᾄδειν μετὰ καὶ τῶν λοιπῶν. „ β΄. Τὰ ἐλέη 1) σου Κύριε εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου. Τὸν θεῖον αἰτοῦντες ἔλεον, ὑμνοῦσι 2) τὸν ἔλεον, καὶ τῶν πρὸς τὸν Δαβὶδ ὑποσχέσεων ποθοῦντες ἰδεῖν τὴν ἀλήθειαν, ἑκάστην 3) γενεὰν ὑπισχνοῦνται 4) διδάξειν. γ΄. Ὅτι 5) εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται ἐν τοῖς οὐρανοῖς, 6) ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. Τοῦ Θεοῦ ἐστι λόγος πρὸς τὸν Δαβὶδ εἰρημένος, ὡς φυλάξει τὸν ἔλεον εἰς τὸν αἰῶνα τῷ σπέρματι· τῆς ἐπαγγελίας τοίνυν ἀναμιμνήσκουσι ταύτης· σύ, φησίν, 7) εἶπας αὐξήσειν, ἀλλ' οὐ μειώσειν τὸν ἔλεον· τὸ γὰρ οἰκοδομηθήσεται, ἀντὶ τοῦ αὐξηθήσεται 8) „ καὶ προσθήκην λήψεται τέθεικεν. „ 9) ἑδρασθήσεται ὁ Σύμμαχος εἴρηκεν. 10) ὑπέσχου, 11) φησίν, ἔργῳ βεβαιοῦν τὴν τῶν λόγων 12) ἀλήθειαν. δ΄. Διεθέμην διαθήκην 13) τοῖς ἐκλεκτοῖς μου. 14) „ ἐκ προσώπου Θεοῦ καὶ πατρὸς „ εἴρηται ταῦτα, ὁμοῦ δὲ καὶ τὰ ἑξῆς. „ Ὤμοσα Δαβὶδ τῷ δούλῳ μου. ε΄. Ἕως τοῦ αἰῶνος 15) ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Τῷ εἶπας καὶ ταῦτα συνῆπται· ὅτι ταύτας πρὸς τοὺς 16) ἐκλεκτοὺς ἐποιησάμην τὰς συνθήκας. ἐκλεκτοὺς δὲ καλεῖ

1) σου. Abest a Textu hebr. 2) τὸν ἔλεον. Cod. 1. τὴν ἐλεημοσύνην. 3) γενεάν. In Cod. 1. sequitur ταύτην. 4) Cod. 1. διδάξαι. Ibidem sequuntur ista: δικαίως δ' ἂν εἴποιεν αὐτὰ ταῦτα καὶ οἱ διὰ μετανοίας τὸν θεῖον ἐξαιτοῦντες ἔλεον. „ Iure autem hæc dixerint quoque, qui per pœnitentiam efflagitant misericordiam diuinam. „ 5) εἶπας. Hebr. *dico.* 6) ἑτοιμ. Hebr. תכין *firmabis.* 7) εἶπας. Cod. 1. add. ὦ Δέσποτα. 8) Ex vtroque Cod. 9) ἑδρασθ. Cod. 1. præm. τὸ δὲ ἑτοιμασθήσεται ἀντὶ τοῦ. 10) ὑπέσχου, φησίν. Cod. 1. λέγει δὲ ὅτι ὑπέσχου. 11) φησίν. Cod. 2. præm. τοίνυν. 12) ἀλήθ. Cod. 1. add. εἶτα φησίν. 13) τοῖς ἐκλ. μου. Hebr. לבחירי *Electo meo.* 14) E Cod. 1. 15) ἑτοιμ. Hebr. אכין *firmabo.* 16) ἐκλ. Cod. 1. add. καὶ ἁγίους.

a) 2 Reg. 7.

καλεῖ τὸν Ἀβραὰμ, 1) καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰσραήλ· πρὸς δὲ τούτοις ἔφη ὀμωμοκέναι καὶ τῷ Δαβὶδ, ἀνώλεθρον αὐτοῦ 2) φυλάξαι τὸ σπέρμα, καὶ ἐν πάσῃ γενεᾷ τὸν τούτου θρόνον 3) ἀνθήσειν. Οὕτω τὰς 4) Θεοῦ τὰς ὑποσχέσεις διεξελθόντες, καὶ τῶν πραγμάτων τὸ τέλος οὐ βλέποντες, ἀπηχὲς μὲν οὐδὲν ὑπὸ τῶν συμφορῶν 5) εἰπεῖν ἀναγκάζονται, ὕμνοις δὲ γεραίρουσι τὸν 6) τῶν ὅλων πρύτανιν. ς'. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου Κύριε· καὶ 7) γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. Ὁ δὲ Θεοδοτίων, καί γε τὴν πίστιν σου ἐν ἐκκλησίᾳ ἁγίων· 8) „ἀντὶ τοῦ, τὴν πίστιν σου „ ἅπαντες οἱ τὴν πεποίθησιν ἔχοντες εἰς „ σὲ διαφυλάξουσιν.„ σὲ γὰρ προσήκει παρὰ πάντων ὑμνεῖσθαι· οὐχ ἥκιστα δὲ παρὰ τῶν τὸν οὐρανὸν 9) οἰκούντων, ἀκριβέστερον τὰ σὰ καθορώντων 10) θαυμάσια, καὶ τῶν ἐπαγγελιῶν ἐπισταμένων τὸ βέβαιον· τῆς ἐπουρανίου ταύτης ἐκκλησίας καὶ ὁ μακάριος μέμνηται Παῦλος· προσεληλύθατε, λέγων, Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν 11) οὐρανοῖς. ζ'. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς 12) Θεοῦ; 13) Ὁ δὲ Σύμμαχος οὕτως· τίς γὰρ ἐν αἰθέρι ἀντιπαραθήσει τῷ Κυρίῳ, ἐξισάσει τῷ Κυρίῳ ἐν

nuncupat Abrahamum, et Isaacum, et Israelem. Et insuper iurasse ait Dauidi, in æternum eius semen se conseruaturum, et fore vt per omnia secula eius thronus florescat. Dei promissis hoc modo recensitis, et finem rerum minime cernentes, nihil quidem absurdi a calamitatibus dicere coguntur, sed laudibus vniuersorum præsidem prosequuntur. *6. Confitebuntur cæli mirabilia tua Domine: etenim veritatem tuam in ecclesia sanctorum.* Theodotio vero sic, Et fidem tuam in ecclesia sanctorum; „ hoc est, fidem tuam omnes qui fiduciam „ suam in te ponunt, tuebun- „ tur. „ Te enim ab omnibus laudari conuenit: maxime vero ab his, qui cælos incolunt, quique accuratius tua mirabilia cernunt, et promissionum firmitatem sciunt. Huius ecclesiæ, quæ in cælis est, beatus etiam Paulus meminit, Accessistis enim, dicit, *a)* ad Zionem montem, ciuitatem Dei viuentis, Hierosolymam cælestem, et ecclesiam primogenitorum, qui conscripti sunt in cælis. 7. *Quoniam quis in nubibus æquabitur Domino? similis erit Domino in filiis Dei?* Symmachus autem sic, Quis enim in æthere se æquiparabit Domino, seque æquabit Domino in filiis

1) καὶ — Ἰσραήλ. Des. in Cod. 2. 2) Cod. 2. φυλάξειν. Cod. 1. διαφυλάξειν. 3) ἀνθ. Cod. 2. θήσειν. 4) Θεοῦ. Cod. 2. præm. φιλανθρώπου. 5) εἰπεῖν. Abest a Cod. 2. 6) τῶν ὅλων. Cod. 1. ὅλων Θεὸν τόν. 7) γάρ. Exstat tantum in Cod. *alex.* 8) E Cod. 1. 9) οἰκούντων. Cod. 1. add. δυνάμεων. 10) Cod. 2. θαύματα. 11) οὐρανοῖς. Cod. 1. add. ὁρᾷς, ὅτι σαφῶς οἶδε τοὺς ἀνθρώπους οὐρανίους, ὧν μάλιστα τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. „ Vides manifesto sermonem ipsi esse de hominibus cælestibus, quorum municipium est in cælis (Phil. 3, 20.). „ 12) Θεοῦ. Hebr. אלים *Deorum.* 13) Ὁ δὲ — τοὺς ἀνθρώπους. Cod. 1. ita: υἱοὺς Θεοῦ καλεῖ τοὺς θείους, ὡς υἱοὺς τῶν ἀνθρώπων τοὺς ἀνθρώπους· ἢ υἱοὺς Θεοῦ καλεῖ τοὺς θειοτέρους ἀνθρώπους, περὶ ὧν ἀνωτέρω εἴρηται ὑπάρχειν τὸ πολίτευμα ἐν οὐρανοῖς.

a) Hebr. 12, 22. 23.

filiis Deorum? *Filios* Dei appellat Deos, sicuti filios hominum homines. Nuncupat autem Deos, non qui sunt, sed qui ab infidelibus existimantur Dii esse. Dicit * igitur, cælitibus præstas, omnibusque sine comparatione superior es, et nullus eorum, qui sunt, conferri tecum poterit. Redarguitur enim falsitas Deorum, qui ab hominibus facti sunt: at tua virtus perpetua est et immortalis. Similibus verbis etiam alibi vsus est, dicens, a) Et Deus noster præ omnibus Diis. Ceterum hanc comparationem prophetæ faciunt, minime ignorantes differentiæ magnitudinem, sed vt infidelium imbecillitati accommodatam doctrinam afferant. 8. *Deus qui glorificatur in consilio sanctorum, magnus et terribilis est super omnes, qui in circuitu eius sunt.* Quoniam Deorum qui non sunt mentionem fecit, ignorabatur vero ab impiis hominibus Deus qui est, merito sanctos in medium attulit, a quibus verus Deus laudatur, quibus etiam terribilis est, vt qui propinquiores illi sunt, et inexplicabilem eius potentiam cognoscunt. *Consilium* autem *sanctorum* nominauit hoc loco sanctorum cœtum. 9. *Domine Deus virtutum, quis similis tibi? potens es Domine, et veritas tua in circuitu tuo.* Continue veritatis mentionem faciunt,

υἱοῖς 1) Θεῶν; υἱοὺς Θεοῦ καλεῖ τοὺς θεοὺς, ὡς υἱοὺς ἀνθρώπων τοὺς ἀνθρώπους. καλεῖ δὲ θεοὺς, οὐχ ὡς ὄντας, ἀλλ' ὡς 2) παρὰ τοῖς ἀπίστοις νομιζομένους· λέγει τοίνυν, ὅτι καὶ τῶν 3) ἐπουρανίων ὑπέρκεισαι, καὶ πάντων ἀσυγκρίτως ὑπέρτερος 4) εἶ, καὶ οὐδείς σοι τῶν ὄντων παραβληθῆναι δυνήσεται· ἐλέγχεται γὰρ τῶν ὑπὸ τῶν ἀνθρώπων θεοποιουμένων τὸ ψεῦδος. ἡ δὲ σὴ δύναμις διαρκὴς καὶ ἀνώλεθρος. τοιούτοις καὶ ἀλλαχοῦ κέχρηται λόγοις φάσκων, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. ταύτην δὲ ποιοῦνται τὴν παρεξέτασιν, οὐκ ἀγνοοῦντες οἱ προφῆται τῆς διαφορᾶς τὴν ὑπερβολὴν, ἀλλὰ τῇ τῶν ἀπίστων ἀσθενείᾳ σύμμετρον διδασκαλίαν 5) προσφέροντες. η'. Ὁ Θεὸς 6) ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων· μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς 7) περὶ κύκλῳ αὐτοῦ. Ἐπειδὴ τῶν οὐκ ὄντων θεῶν ἐμνημόνευσεν, ἠγνοεῖτο δὲ παρὰ τοῖς 8) δυσσεβέσιν ὁ ὢν Θεὸς, εἰκότως τοὺς ἁγίους παρήγαγε, παρ' ὧν ὁ ἀληθὴς ὑμνεῖται Θεὸς, οἷς καὶ φοβερός ἐστιν, ἅτε δὴ πελάζουσιν αὐτῷ, καὶ τὴν ἄρρητον αὐτοῦ γινώσκουσι δύναμιν· βουλὴν 9) δὲ ἁγίων ὠνόμασεν ἐνταῦθα τῶν ἁγίων τὸν σύλλογον. θ'. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ Κύριε, καὶ ἡ ἀλήθειά σου 10) κύκλῳ σου. Συνεχῶς τῆς ἀληθείας μνημονεύουσι, ποθοῦν-

1) Cod. 2. Θεοῦ. 2) *παρὰ — νομιζομένους.* Cod. 1. *χάριτι κληθέντας Θεοῦ· αὐτοῦ γάρ ἐστι φωνή· ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες· καὶ πάλιν περὶ τοῦ σωτῆρος μετὰ τὴν ἀνάστασιν· ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν.* „ gratia Dei ita vocatos. Ipsius enim est vox: Dixi, dii estis et filii Altissimi omnes. Et porro de Saluatore post resurrectionem eius dicitur, Deus stetit in cœtu deorum. „ 3) *ἐπουρ.* Cod. 1. add. *καὶ ἐπιγείων* „ iisque qui in terra sunt. „ 4) *εἶ.* Cod. 1. add. *ὡς αἴτιος τοῦ παντός.* „ vtpote qui conditor es omnium. „ 5) Cod. 2. *προσφέρονται.* 6) *ἐνδοξ. — μέγας.* *Hebr.* Terribilis es in cœtu (vt Ps. CXI. 1. in Textu hebr.) Sanctorum *magno.* 7) *περὶ κύκλῳ αὐτοῦ.* Cod. 1. *θεῶν.* 8) Cod. 2. *ἀσεβέσι.* 9) *δέ.* Cod. 1. *γάρ.* 10) *κύκλῳ σου.* Abest a Cod. 1.

a) Ps. 134, 5.

ποθοῦντες ἰδεῖν τὸ 1) τῶν ὑποσχέσεων ἀψευδές· καὶ φασὶ πρὸς αὐτὸν, τίς σοι Δέσποτα τῶν ὄντων δύναται συγκριθῆναι; τῶν δυνάμεων εἶ Κύριος καὶ 2) Θεὸς, δύναμιν ἔχεις σύνδρομον τῇ θελήσει· ἀληθῆ πάντα καὶ βέβαια παρά σοι. εἶτα διέξεισι τῆς δυνάμεως τὰ τεκμήρια. ί. Σὺ δεσπόζεις 3) τὸ κράτος τῆς θαλάσσης· τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. ιά. Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον· 4) ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου. Σὺ εἶ φησὶ, τῶν ἁπάντων δημιουργὸς καὶ δεσπότης· καὶ ῥᾴδιόν σοι καὶ διεγεῖραι τὴν θάλασσαν, καὶ γαλήνην ἐργάσασθαι· τῆς δὲ θαλάσσης μνημονεύσας, καὶ τῶν ἐν ταύτῃ γεγενημένων ἀναμιμνήσκει. ὑπερήφανον γὰρ τὸν Φαραὼ καλεῖ, καὶ ἐχθροὺς τοὺς Αἰγυπτίους, οὓς τῇ θαλάττῃ παρέδωκε, καὶ διέσωσε τὸν οἰκεῖον λαόν. προλέγει δὲ κατὰ ταυτὸν καὶ 5) τῶν τῆς ἀλαζονείας διδασκάλων τὸν ὄλεθρον· καὶ τούτους γὰρ σὺν τῇ πονηρᾷ στρατιᾷ ἐν τῷ παναγίῳ καταλύει βαπτίσματι· 6) „καθάπερ ἐκεῖ διὰ Μωϋσοῦ, ἐνταῦθα „διὰ τοῦ ἱερέως.„ ιβ΄. Σοί εἰσιν οἱ οὐρανοὶ, καὶ σή ἐστιν ἡ γῆ· τὴν οἰκουμένην, καὶ τὸ πλήρωμα αὐτῆς, σὺ ἐθεμελίωσας. Οὐ γὰρ μόνον τῆς θαλάττης, καὶ τῆς 7) γῆς ἁπάσης, ἀλλὰ καὶ τῶν ὑπερκειμένων οὐρανῶν σὺ εἶ ποιητὴς καὶ δημιουργός· σὸν γὰρ ἔργον οὐ μόνον ὁ ὁρώμενος οὐρανὸς, ἀλλὰ καὶ ὁ τούτου ὑπέρτερος. ιγ΄. Τὸν Βορρᾶν καὶ 8) τὴν θάλασσαν σὺ ἔκτισας. 9) Ὁ δὲ Θεοδοτίων 10) οὕ-

cupientes promissionum euentum videre; et dicunt ei, Quis eorum qui sunt tibi Domine comparari poterit? Dominus et Deus es virtutum, potentiam voluntati respondentem habes: vera omnia, et firma sunt apud te. Deinde potentiæ signa prosequuntur. *10. Tu dominaris potestati maris, motum autem fluctuum eius tu mitigas. 11. Tu humiliasti sicut vulneratum superbum: brachio virtutis tuæ dispersisti inimicos tuos.* Tu es, inquit, omnium creator et Dominus, et facile est tibi et mare perturbarè, et tranquillitatem efficere. Postquam autem maris meminit, de his etiam, quæ in hoc facta fuere, mentionem facit. *Superbum* enim Pharaonem appellat, et inimicos Aegyptios, quos mari obruit, suoque populo salutem dedit. Simul autem vaticinatur præceptorum superbiæ interitum. Hos enim quoque cum malo exercitu suo euertit sancto baptismate: „ vt ibi per Mosen, ita hîc per „ Sacerdotem. „ *12. Tui sunt cæli, et tua est terra; orbem terræ, et plenitudinem eius tu fundasti.* * Non modo enim maris * et totius terræ, verum etiam illis imminentium cælorum tu es auctor et opifex. Tuum enim opus est, non solum cælum quod conspicitur, sed etiam quod hoc superius est. *13. Aquilonem et mare tu creasti.* Theodotio sic,

 Bo-

1) Cod. 2. τῆς ὑποσχέσεως. 2) Θεός. Cod. 1. præm. ὡς. 3) τὸ κράτος. Cod. vterque τοῦ κράτους, quæ est rec. lectio τῶν ό. 4) ἐν. In Textu τῶν ό. præm. solet καί. 5) τῶν — διδασκάλων. Cod. vterque τοῦ διδασκάλου. 6) E Cod. 1. 7) γῆς. Cod. 2. add. βασιλεύεις. 8) τὴν θάλασσαν. Hebr. וימין et *Austrum*. 9) Ὁ — οὕτως. Sic quoque habet Editio V. Reliqui Interpretes perperam h. l. adhibuerunt vocem δεξιάν. 10) οὕτως. Abest a Cod. 2.

Boream et Notum tu creaſti. „ Notum vero vocat *mare*, quia „ alueos maris potiſſimum per„ turbat. „ Et venti, inquit, et orbis partes opera tua ſunt. Porro non temere harum duarum partium meminit: ſed quoniam ex parte auſtrali Hieroſolymæ ſunt Aegyptii, et ex aquilonari parte ſunt Aſſyrii: cum euertiſſet autem Aegyptiorum audaciam, libertatem ipſis largitus eſt. Facile, inquit, eſt tibi et hos vt illos deſtruere. Quod vbi acciderit, *Thabor et Hermon in nomine tuo exultabunt.* Per hæc autem totam promiſſionis terram oſtendit: quia hi montes terræ illius ſunt. Pro *exultabunt*, Aquila *laudabunt*, Symmachus vero *celebrabunt* dixit. Non tamen dixit hoc montes facturos eſſe, ſed homines, qui montes vel iuxta montes habitant. 14. *Tuum brachium cum poteſtate.* Proprium tibi eſt potenter omnia efficere. Nam *brachium* pro efficacitate, *poteſtatem* vero, pro potentia accepit; nam et Aquila pro poteſtate, potentiam poſuit. *Firmetur manus tua, et exaltetur dextera tua.* Symmachus autem ſic, Inexpugnabilis manus tua, ſublimis dextera tua. Sæpius

τως· Βοῤῥᾶν καὶ Νότον σὺ ἔκτισας. 1) „ τὸν δὲ Νότον θάλασσαν καλεῖ, ἐπει„δὴ αὐτὸς μάλιστα τὸ κύτος αὐτῆς συν„ταράσσει· „ καὶ οἱ ἄνεμοι, φησὶ, καὶ αὐτὰ τῆς οἰκουμένης τὰ τμήματα, 2) σοῦ ὑπάρχει δημιουργήματα. οὐχ ἁπλῶς δὲ τῶν δύο τμημάτων ἐμνημόνευσε τούτων· ἀλλ' ἐπειδὴ τῆς Ἱερουσαλὴμ κατὰ Νότον μὲν εἰσὶν οἱ Αἰγύπτιοι, κατὰ Βοῤῥᾶν δὲ οἱ Ἀσσύριοι· καταλύσας δὲ Αἰγυπτίων τὸ θράσος, τὴν ἐλευθερίαν αὐτοῖς ἐδωρήσατο· ῥᾴδιόν σοι, φησὶ, καταλῦσαι καὶ τούτους ὡς ἐκείνους. οὗ γενομένου, Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου 3) ἀγαλλιάσονται. 4) διὰ τούτων δὲ πᾶσαν τὴν γῆν τῆς ἐπαγγελίας 5) παρεδήλωσε. ταῦτα γὰρ ἐκείνης εἰσὶ τὰ 6) ὄρη τῆς γῆς· τὸ δὲ ἀγαλλιάσονται, ὁ μὲν Ἀκύλας αἰνέσουσιν, ὁ δὲ Σύμμαχος, εὐφημήσουσιν εἴρηκεν. 7) οὐ μὴν τὰ ὄρη τοῦτο 8) δράσειν εἴρηκεν, ἀλλὰ τοὺς τὰ ὄρη, ἢ παρὰ τὰ ὄρη, 9) οἰκοῦντας ἀνθρώπους. ιδ'. Σὸς ὁ βραχίων μετὰ δυναστείας. Ἴδιόν σου τὸ δυνατῶς ἅπαντα ἐνεργεῖν· τὸν γὰρ βραχίονα ἐπὶ τῆς ἐνεργείας, τὴν δὲ δυναστείαν ἐπὶ τῆς δυνάμεως ἔλαβε. 10) καὶ γὰρ ὁ Ἀκύλας ἀντὶ 11) δυναστείας δύναμιν τέθεικεν. κραταιωθήτω ἡ χείρ σου· ὑψωθήτω ἡ δεξιά σου. 12) ὁ δὲ Σύμμαχος οὕτως· ἀήττητος ἡ χείρ σου, ὑψηλὴ ἡ δεξιά σου· πολλάκις εἰρη-

1) E Cod. 1. 2) Cod. 2. σοὶ ὑπάρχειν. 3) ἀγαλλ. In margine Cod. 2. hoc exſtat Scholion: ἐπειδὴ καὶ ταῦτα ὄρη ἐλάχιστα ὄντα πολλῆς ἠξιώθησαν δόξης· ἐν γὰρ τῷ Θαβὼρ μετεμορφώθη ὁ Κύριος· ἐκ δὲ τοῦ Ἑρμωνιεὶμ ἀνελήφθη Ἡλίας· καὶ διὰ τοῦτο ἠγαλλιάσαντο ἐν τῷ Θεῷ. „ Siquidem etiam hi montes, licet ſint ſatis parui, multa digni habiti ſunt gloria. In monte enim Thabor glorificatus eſt Dominus: e monte vero Hermonim in cælum ſublatus eſt Elias. Et propterea exultarunt in Deo. „ 4) δ.— τούτων κ. τ. λ. In Cod. 1. præcedunt, quæ poſt pauca deinde ſequuntur τὸ δὲ — εἴρηκεν. 5) Cod. 2. ἐδήλωσε. 6) Cod. 2. ὄρια. 7) οὐ μὴν τὰ Cod. 1. τὸ δὲ ἀγαλλιάσονται οὐ τὰ ὄρη. 8) δράσειν εἴρηκεν, Cod. 2. δρῶσιν. 9) Cod. 1. κατοικοῦντας. 10) καὶ — τέθεικεν. Deſ. in Cod. 1. 11) δυνασ. Cod. 2. præm. τῆς. 12) ὁ — δεξιά σου. Deſ. in Cod. 2.

εἰρήκαμεν, ὡς διὰ 1) τῆς χειρὸς τὴν ἐνέργειαν δηλοῖ, διὰ δὲ τῆς δεξιᾶς, τὴν ἀγαθὴν ἐνέργειαν· διπλῆς τοίνυν ἐνεργείας δεόμενοι, ἀμφοτέρων 2) ἐμνήσθησαν. καὶ γὰρ τοὺς πολεμίους καταλυθέντας ἐπιθυμοῦσιν ἰδεῖν, καὶ αὐτοὶ τῆς σωτηρίας ποθοῦσι τυχεῖν· οὗ δὴ χάριν ἀήττητον μὲν τὴν χεῖρα, ὑψηλὴν δὲ καλοῦσι τὴν δεξιὰν, ὡς δυναμένην κἀκείνους κολάσαι, καὶ 3) αὐτοὺς ἐλευθερῶσαι· τοῦτο δὲ καὶ διὰ τῶν ἐπιφερομένων δηλοῦσι. ιε'. Δικαιοσύνη καὶ κρίμα 4) ἑτοιμασία τοῦ θρόνου σου· ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου. Αὐτοῖς γὰρ καὶ Βαβυλωνίοις δικάσαι τὸν Θεὸν ἱκετεύοντες, ἀντιβολοῦσι κατ' ἐκείνων μὲν δικαίαν τὴν ψῆφον ἐξενεγκεῖν, αὐτοῖς δὲ τὸν ἔλεον παρασχεῖν, καὶ τῆς ὑποσχέσεως τὴν ἀλήθειαν δεῖξαι· διά τοι τοῦτο τῇ μὲν δικαιοσύνῃ καὶ τῷ κρίματι τὸν δικαστικὸν 5) ἔφασαν κεκοσμῆσθαι θρόνον, ἔλεον δὲ καὶ ἀλήθειαν τοῦ Θεοῦ προοδεύειν, ὡς πρὸ πολλῶν γενεῶν τῆς ὑποσχέσεως γενομένης. ιϛ'. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Ἀλαλαγμὸς, ὡς πολλάκις εἰρήκαμεν, νενικηκότων ἐστὶ φωνή· ἐπειδὴ τοίνυν ἡττηθέντες ἠνδραποδίσθησαν, μακαρίζουσι τοὺς νικήσαντας· προθεσπίζει δὲ ὁ λόγος καὶ τὸν λαὸν, τὸν ἐν πάσῃ γῇ καὶ θαλάττῃ τὸν μυστικὸν ἀλαλαγμὸν προσφέροντα τῷ Θεῷ, καὶ τὸν ἐπινίκιον ὕμνον ᾄδοντα. ταύτῃ δὲ 6) διανοίᾳ καὶ 7) ἐπαγόμενα συμφωνεῖ. Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται. ιζ'. Καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν· καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται. Ἀλαλάζουσι δὲ, καὶ κατὰ τῶν ἐχθρῶν παιανίζουσι, καί σοι τῷ νι-

diximus, per *brachium* efficaciam declarari, per *dexteram* vero bonam efficaciam. Duplicis igitur efficaciæ indigentes, vtriusque mentionem fecerunt. Etenim hostes profligatos cernere desiderant; et ipsi salutem consequi efflagitant. Idcirco inexpugnabilem manum, sublimem vero dexteram vocant: quippe quæ illos suppliciis afficere potest, ipsosque liberare. Hoc autem et per ea quæ subiiciuntur, declarant. 15. *Iustitia et iudicium præparatio sedis tuæ; misericordia et veritas præcedent faciem tuam.* Supplicantes enim, vt ipsos et Babylonios iudicet, precantur vt in illos quidem iustam proferat sententiam, ipsis vero misericordiam præbeat, et promissionis veritatem ostendat. Propterea dixerunt iudiciale eius solium iustitia et iudicio ornatum esse, * misericordiam autem et veritatem Deum præire, quia multis ante seculis promissio facta est. 16. *Beatus populus, qui scit iubilationem. Iubilatio*, vt sæpius diximus, vox est eorum qui vicerunt. Quoniam igitur victi in seruitutem abducti fuerunt, beatos esse dicunt eos, qui victoriam consecuti sunt. Prædicit autem sermo et populum, mysticam exvltationem in omni terra et mari Deo offerentem, triumphalemque hymnum canentem. Huic autem sententiæ ea quæ sequuntur conueniunt. *Domine in lumine vultus tui ambulabunt. 17. Et in nomine tuo exultabunt toto die, et in iustitia tua exaltabuntur.* Exultant autem, et pæana canunt, ob victoriam contra inimicos partam, et tibi victo-

1) τοῖς. Cod. 1. præm. μὲν 2) Cod. 2. ἐμνήσθημεν. 3) αὐτοὺς. Cod. 1. τούτους. 4) ἑτοιμ. Hebr. מכון *fulcrum*. Aqu. ἑδρασμ. Symm. βάσις. 5) Cod. 2. ἔφη. 6) διαν. Cod. 2. præm. τῇ. 7) ἐπαγ. Cod. 2. præm. τά.

victoriæ auctori triumphalem hymnum offerunt, tuo aduentu illustrati, et a te splendorem „ per „ lauacrum regenerationis „ consecuti, et perenni gaudio perfruentes, iustitiamque secundum legem exequentes, et hine sublimes atque illustres redditi. 18. *Quoniam gloria virtutis eorum tu es.* Ob tuam potentiam, inquit, efferentur: a te enim hanc ipsam acceperunt. *Et in iustitia tua exaltabitur cornu nostrum.* Porro nos, inquit, hanc spem habemus, tuamque opem præstolamur: per hanc enim hostibus superiores erimus. Nam *cornu* robur et imperium vocauit, Metaphora desumta ab animalibus cornutis, quæ cornibus munita his vtuntur contra aggredientes. 19. *Quia Domini est susceptio, et sancti Israel regis nostri.* Hac vero spe alimur, te regem habentes, et sub tua gubernatione viuentes. 20. *Tunc locutus es in visione sanctis tuis.* Symmachus autem sic, Tunc locutus es per visionem filiis tuis. Nouimus enim promissiones, quas

κοποιῷ τὸν ἐπινίκιον ὕμνον 1) προσφέρουσι, τῇ σῇ ἐπιφανείᾳ καταυγαζόμενοι, καὶ τὸ παρά σου δεχόμενοι φῶς 2) „ διὰ „ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, „ καὶ 3) διηνεκῶς ἀπολαύοντες θυμηδίας, καὶ τὴν νενομοθετημένην κατορθοῦντες δικαιοσύνην, καὶ ὑψηλοὶ καὶ περιφανεῖς ἐντεῦθεν γινόμενοι. ιή. Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. Μέγα φησὶν ἐπὶ τῇ σῇ δυνάμει 4) φρονοῦσι· παρά σου γὰρ ταύτην ἐδέξαντο. καὶ ἐν τῇ 5) δικαιοσύνῃ σου ὑψωθήσεται τὸ κέρας 6) ἡμῶν. καὶ ἡμεῖς δέ φησι ταύτην ἔχομεν τὴν ἐλπίδα, καὶ τὴν σὴν ἐπικουρίαν προσμένομεν· διὰ 7) ταύτην γὰρ κρείττους τῶν πολεμίων ἐσόμεθα· κέρας γὰρ 8) τὴν ἰσχὺν καὶ τὸ κράτος ἐκάλεσεν, ἐκ μεταφορᾶς τῶν κερασφόρων ζώων, ἃ τοῖς κέρασι 9) καθωπλισμένα, 10) τούτοις κέχρηνται κατὰ τῶν 11) ἐπιόντων. ιθ'. 12) Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν. 13) Ταύτῃ δὲ τῇ ἐλπίδι τρεφόμεθά σε βασιλέα ἔχοντες, 14) ὑπὸ τὴν σὴν κηδεμονίαν τελοῦντες. κ'. Τότε ἐλάλησας ἐν ὁράσει 15) τοῖς υἱοῖς σου. 16) Ὁ δὲ Σύμμαχος οὕτως· τότε ἐλάλησας δι' ὁράσεως τοῖς υἱοῖς σου· οἴδαμεν γάρ σου τὰς διὰ τῶν προφητῶν γε-

1) Cod. 1. προσφέροντες. 2) E Cod. 1. 3) Cod. 2. διηνεκοῦς. 4) φρον. Cod. 1. θαῤῥοῦσι, adscr. tamen altera lectione. 5) δικαιοσ. Cod. vterque εὐδοκίᾳ, quæ est rec. lectio h. l. Hebr. ברצנך *beneplacito tuo.* 6) ἡμῶν. Cod. 1. add. ἀντὶ τοῦ ἐν τῇ ἐνανθρωπήσει σου ἀναστήσεται τὸ ὅπλον τὸ ἡμέτερον· κέρας γὰρ τὸν σταυρὸν ὀνομάζει. „ Hoc est, quum homo factus fueris, erigetur scutum nostrum. *Cornu* enim vocat crucem. „ 7) Cod. vterque ταύτης. 8) τὴν ἰσχύν. Cod. 1. præm. ὡς πρὸς ἐκείνους τοὺς Ἰουδαίους λέγω. 9) καθωπλ. Cod. 2. præm. εἰσί. 10) τούτοις. Cod. 2. præm. καί. 11) ἐπιόντων. Cod. 1. add. καθάπερ καὶ ἡμεῖς τῷ σταυρῷ κατὰ τῶν πονηρῶν δαιμόνων. „ Sicuti nos quoque cruce contra malos dæmonas vtimur. „ 12) Ὅτι — ἡμῶν. *Hebr.* Nam apud Iehouam est clipeus noster, et apud Sanctum Israelis, regem nostrum. 13) Ταύτῃ — τελοῦντες. Def. in Cod. 2. 14) ὑπό. Cod. 1. præm. καί. 15) τοῖς υἱοῖς σου. Hebr. לחסידך *sancto tuo.* 16) Ὁ — υἱοῖς σου. Def. in Cod. 2. In Cod. 1. leg. ἀντὶ τοῦ ὑπέσχου τέθεικεν· „ Pro eo quod dicitur *promisisti*, hæc posuit. „

γεγενημέναις ἐπαγγελίας· 1) τούτους γὰρ καὶ ὁρῶντας καὶ βλέποντας 2) ὠνόμαζον. Καὶ εἶπας, ἐθέμην βοήθειαν ἐπὶ 3) δυνατόν· ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ 4) μου. κα΄. Εὗρον Δαβὶδ τὸν δοῦλόν μου ἐν 5) ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. 6) Σύ φησι τῷ θεράποντί σου Δαβὶδ ἐμαρτύρησας, καὶ δυνατὸν ἐν τοῖς τῆς ἀρετῆς εὑρὼν κατορθώμασι τῆς σῆς βοηθείας ἠξίωσας, καὶ ἐξελέξω, καὶ ἔχρισας, καὶ βασιλέα κεχειροτόνηκας. κβ΄. Ἡ γὰρ χείρ μου 7) συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. 8) Εἶπας δὲ αὐτῷ παρέξειν ἰσχὺν, καὶ τῆς σῆς αὐτῷ μεταδώσειν κηδεμονίας. κγ΄. 9) Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ. καὶ 10) υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. Ὑπέσχου δὲ καὶ τὰς τῶν ἐχθρῶν αὐτοῦ ματαίας 11) δείξειν ἐπιβουλὰς, καὶ τῶν λωβᾶσθαι πειρωμένων κρείττονα 12) καταστήσειν. κδ΄. Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς

per prophetas fecisti. Hos nimirum et *videntes* et *intuentes* appellabant. *Et dixisti, posui adiutorium in potente, et exaltaui electum de plebe mea.* 21. *Inueni Dauidem seruum meum, oleo sancto meo vnxi eum.* Tu, inquit, seruo tuo Dauidi testatus es, et cum in virtutis officiis potentem * inuenisses eum, tua ope eum dignatus es, et elegisti, et vnxisti, et regem creasti. 22. *Manus enim mea auxiliabitur ei, et brachium meum confortabit eum.* Dixisti autem te ipsi robur præbiturum, et curam tuam ei largiturum esse. 23. *Nihil proficiet inimicus in eo, et filius iniquitatis non iterum nocebit ei.* Promisisti autem, te etiam inimicorum eius insidias vanas redditurum, eisque, qui eum lædere conarentur, superiorem effecturum. 24. *Et concidam a facie ipsius inimicos*

1) τούτους — ὠνόμαζον. In Cod. 2. hæc ad marginem adscripta sunt: τίνες εἰσὶν οἱ ὁρῶντες καὶ τίνες οἱ βλέποντες; „ Quinam sunt *videntes* et *intuentes?* „ Satis aperta autem est horum ad præcedens προφητῶν relatio. 2) ὠνόμαζον, Cod. 1. præm. τηνικαῦτα. 3) δυνατόν. In Cod. 2. sequuntur ea quæ deinde ad versic. 22. locum nacta sunt, Εἶπας — κηδεμονίας. 4) μου. Abest a Textu hebr. 5) ἐλαίῳ. Cod. vatic. habet ἐλέει, sed in Textu hebr. est בְּשֶׁמֶן *oleo.* 6) Σὺ — κεχειροτ. Def. in Cod. 2. 7) συναντ. αὐτῷ. *Hebr.* firma erit cum illo. *Symm.* βεβαίως συνέσται αὐτῷ, firmiter aderit illi. 8) Εἶπας — κηδεμ. Cod. 2. hæc habet: λέγει δὲ τὸν Δαβὶδ κατὰ τῶν πολεμίων· ὁμοίως δὲ καὶ πᾶς πιστὸς τῇ δυνάμει τοῦ σταυροῦ νικᾷ τοὺς δαίμονας· καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐνίκησε τὸν πόλεμον τοῦ ἐχθροῦ ἐπὶ τοῦ σταυροῦ. „ Respicit autem ad Dauidem contra hostes roborandum. Similiter quoque omnis qui credit, virtute crucis vincit dæmonas: prout etiam Dominus noster Iesus Christus, cum cruci affixus esset, victor discessit e pugna contra hostem suum. „ 9) Οὐκ — αὐτῷ. *Hebr.* Non decipiet eum hostis. *Symm.* οὐκ ἐξαπατήσει αὐτὸν ἐχθρός. 10) υἱὸς ἀνομ. Ad marginem Cod. 2. hoc Scholion adscr. est: Αἰνίττεται τὸν Ἰούδαν ὡς υἱὸν ἀνομίας· ὅτι οὐ δύναταί τι κατὰ τοῦ Χριστοῦ λογίσασθαι· χρὴ δὲ νοεῖν τὸν διάβολον· ὅτι οὐκ ἐξουσιάζει τοῦ ἀνθρώπου· ἀφ᾽ ὅπερ ἐσφράγισται τῷ ὀνόματι τοῦ Χριστοῦ καὶ Θεοῦ. „ Alludit ad Iudam, ceu filium iniquitatis, quod non potuerit culpam quandam Christo tribuere. Intelligi autem debet de diabolo, quod nihil valeat contra hominem, ex quo obsignatus est nomine Christi et Dei. „ 11) Cod. 1. δεῖξαι. 12) Cod. 1. καταστῆσαι.

inimicos eius, et osores eius in fugam conuertam. 25. *Et veritas mea, et misericordia mea cum ipso erunt, et in nomine meo exaltabitur cornu eius.* Promisisti et omnes eius inimicos te euersurum, et perennem benignitatem ipsi largiturum, illustremque atque conspicuum ipsum facturum esse. 26. *Et ponam in mari manum eius, et in fluminibus dexteram eius.* Dabo autem illi terræ et maris imperium: per flumina enim, continentem terram designauit. 27. *Ipse inuocabit me, Pater meus es tu; Deus meus, et susceptor salutis meæ.* „ Cum diceret Christus: a) Si fieri „ potest, transeat a me calix iste. „ Et iterum, cum diceret Apo„ stolis suis; b) Abeo ad Pa„ trem meum, Deumque meum „ ac vestrum. „ 28. *Et ego primogenitum ponam illum, excelsum præ regibus terræ.* Hæc sane nec Dauidis, nec celeberrimi Salomonis temporibus finem sortita sunt: quandoquidem neque Salomo, neque Dauid mari potitus est, neque primogenitus Dei nominatus est, neque regum omnium

ἐχθροὺς αὐτοῦ· καὶ τοὺς μισοῦντας αὐτὸν 1) τροπώσομαι. κέ. Καὶ ἡ ἀλήθειά μου, καὶ τὸ ἔλεός μου μετ᾽ αὐτοῦ· καὶ ἐν τῷ ὀνόματί 2) μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. Ἐπηγγείλω δὲ καὶ ἅπαντας αὐτοῦ 3) καταλύσειν τοὺς πολεμίους, καὶ βεβαίαν αὐτῷ τὴν σὴν παρέξειν φιλανθρωπίαν, καὶ περιφανῆ ποιήσειν αὐτὸν καὶ περίβλεπτον. κς´. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ· καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Δώσω δὲ αὐτῷ κατὰ θάλασσαν καὶ κατ᾽ ἤπειρον κράτος· διὰ γὰρ τῶν ποταμῶν, τὴν ἤπειρον 4) παρεδήλωσεν. κζ´. Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σύ· Θεός μου 5) καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. „ 6) ἐν τῷ λέγειν τὸν Χριστὸν, Πάτερ εἰ „ δυνατὸν, παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ πο„ τήριόν τοῦτο· καὶ ἐν τῷ λέγειν αὐτὸν „ πάλιν τοῖς ἀποστόλοις· πορεύομαι εἰς „ τὸν πατέρα μου, καὶ Θεόν μου καὶ „ Θεὸν ὑμῶν. „ κή. Κἀγὼ πρωτότοκον θήσομαι 7) αὐτόν· 8) ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς 9) γῆς. Ταῦτα μέντοι οὔτε ἐπὶ τοῦ Δαβὶδ, οὔτε ἐπὶ τοῦ πολυθρυλλήτου Σολομῶντος τετύχηκε πέρατος. οὔτε γὰρ τῆς θαλάττης ἐκράτησε Σολομὼν, ἢ Δαβὶδ, οὔτε πρωτότοκος ὠνομάσθη Θεοῦ, οὔτε τῶν βασιλέων ἁπάντων

τὴν

1) τροπώσομαι. *Hebr.* percutiam. *Symm.* κατάξω. 2) μου. Cod. 1. σου. 3) Cod. 2. καταλύειν. 4) Cod. 1. ἐδήλωσεν. 5) καὶ — μου. *Hebr.* et petra salutis meæ. 6) E Cod. 2. In Cod. 1. sequitur post μου· πατὴρ μὲν, ὡς κηδεμὼν, Θεὸς δὲ ὡς δημιουργός· μετάβασιν ἐντεῦθεν ἡ προφητεία ποιεῖται τοῦ λόγου· εἰρηκυῖα γὰρ τοῦ Δαβὶδ καὶ τὰ περὶ τὸν Δαβὶδ γεγενημένα, ἐφ᾽ ἕτερον πρόσωπον μετέβη φάσκουσα. „ Pater quidem, vt qui curam eius gerebat, Deus autem, vt creator. Alio autem deinde transfertur Prophetia, quæ, postquam de rebus Dauidis sermo fuerat, deinceps ad aliud obiectum dirigitur, quum dicit. „ 7) αὐτόν. Cod. 1. add. ἀντὶ τοῦ διὰ πάντων πρωτότοκον αὐτὸν τοῖς ἀνθρώποις δείξω· „ hoc est, per omnia pro Primogenito eum declarabo inter homines. „ 8) ὑψηλόν. Cod. 1. præm. καὶ τό. 9) γῆς. Cod. 1. add. ὑπέρτερος γὰρ τῶν βασιλέων καὶ δημιουργὸς τούτων καὶ τοῦ παντὸς, οὗ ἕνεκεν τὸν λόγον ποιεῖται ἡ προφητεία. „ Superior enim est regibus, horumque et totius vniuersi creator: propterea sic composita est Prophetia. „

a) Matth. 26, 39. b) Ioh. 20, 17.

τὴν 1) ἐξουσίαν ἐδέξατο. οὕτω γὰρ καὶ ὁ Ἀκύλας ἡρμήνευσεν, ὕψιστον „ 2) παρὰ„ τοῖς βασιλεῦσι τῆς γῆς· καὶ ὁ Σύμμαχος, ἀνώτατον τῶν βασιλέων τῆς γῆς. εἰ δὲ μήτε τῷ Δαβίδ, μήτε τῷ Σολομῶντι ἁρμόττει ταῦτα τὰ 3) ῥήματα, ἀψευδὴς δὲ τοῦ Θεοῦ ἡ ὑπόσχεσις, τυφλώττουσιν Ἰουδαῖοι τὸν ἐκ Δαβὶδ κατὰ σάρκα προσκυνεῖν οὐκ ἐθέλοντες, ὃς καὶ τῆς γῆς καὶ τῆς θαλάττης ἔχει τὸ κράτος, καὶ πάντων ἐστὶ τῶν βασιλέων ὑπέρτερος· τοὺς μὲν ἑκόντας ἔχων προσκυνητάς, τῶν δὲ ἀντιλέγειν τολμώντων τὴν ἀσθένειαν 4) διελέγχων· μυρίαις γὰρ χρώμενοι μηχαναῖς, τῶν ὑπ' 5) αὐτῶν τεθέντων περιγενέσθαι νόμων οὐ δύνανται· πρωτότοκον δὲ αὐτὸν καὶ ὁ μακάριος ὀνομάζει Παῦλος, εἰς τὸ εἶναι „ 6) αὐ„τὸν„ πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· 7) καί, πρωτότοκος ἐκ τῶν νεκρῶν· καί, πρωτότοκος πάσης κτίσεως. καὶ αὐτὸς δὲ ὁ Δεσπότης τῇ Μαρίᾳ μετὰ τὴν ἀνάστασιν ἔφη· πορευθεῖσα εἰπὲ τοῖς ἀδελφοῖς μου· πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου 8) καὶ Θεὸν ὑμῶν. ὥσπερ γὰρ μονογενής ἐστιν ὡς Θεός· μόνος γὰρ ἐκ 9) Πατρὸς ἐγεννήθη· πρωτότοκος δὲ ὡς ἄνθρωπος· ἀδελφοὺς γὰρ ἔχει τοὺς πεπιστευκότας 10) ὡς ἄνθρωπος· οὕτω πατέρα αὐτοῦ καλεῖ τὸν Θεὸν ὡς Θεός, Θεὸν δὲ 11) αὐτοῦ ὀνομάζει ὡς 12) ἄνθρωπος· ἐπ-

potestatem accepit. Sic enim et Aquila interpretatus est, altissimum inter reges terræ; et Symmachus, supremum regum terræ. Si autem hæc verba nec Dauidi, nec Salomoni congruunt, et vera Dei promissio est, cæcutiunt Iudæi, nolentes eum, qui secundum carnem ex Dauide ortus est, adorare, qui totius terræ et maris imperium habet, omnibusque regibus superior est: habens alios quidem voluntarios cultores, aliorum vero imbecillitatem redarguens; qui contradicere audent. Nam infinitis machinationibus adhibitis leges ab ipso latas superare non possunt. Primogenitum porro illum beatus etiam Paulus * nuncupat, *a*) Vt esset „ ille„ primogenitus in multis fratribus. Et, *b*) Primogenitus ex mortuis, et, *c*) Primogenitus totius creaturæ. Quin et Dominus ipse Mariæ post resurrectionem ait: *d*) Vade, et dic fratribus meis, vado ad patrem meum, et patrem vestrum, Deum meum, et Deum vestrum. Sicut enim quatenus Deus, vnigenitus est, (solus enim ex patre genitus est:) primogenitus autem quatenus homo, (fratres enim vt homo habet eos qui crediderunt): sic vt Deus Deum patrem suum vocat, Deum vero suum nominat vt homo. In ipso

1) ἐξουσ. Cod. 1. præm. *βασιλείαν καί.* 2) E Cod. 2. 3) ῥήματα. Cod. 1. add. *μήτε μηδενὶ τούτων συμβαίνει.* 4) διελ. Cod. 1. add *ὡς καρδιογνώστης.* 5) Cod. 2. *αὐτοῦ.* 6) Ex vtroque Cod. 7) *καὶ — νεκρῶν.* Def. in Cod. 2. 8) *καὶ Θεὸν ὑμῶν.* Def. ibid. 9) *Πατρός.* Cod. vterque præm. *τοῦ.* 10) *ὡς ἄνθρωπος.* Def. in Cod. 2. 11) Cod. vterque *αὐτόν.* 12) *ἄνθρωπος.* Cod. 1. add. *ἢ καὶ ἄλλως· ὥσπερ μονογενής ἐστιν ὡς Θεός· μόνος γὰρ ἐκ τοῦ Πατρὸς γεννᾶται πρὸ τῶν αἰώνων ἁπάντων, ἀρεύστως, ἀμεσιτεύτως, ὡς σοφία καὶ ἡ δύναμις καὶ λόγος ἐνυπόστατος· οὕτω καὶ διὰ πολλὴν φιλανθρωπίαν ἐκ παρθένου σαρκωθεὶς, ὡς οἶδεν, αὐτὸς πρωτότοκος. οὐδὲ γὰρ ἀπ' αἰῶνος ἠκούσθη, ὅτι παρθένος τεκοῦσα ἔμεινεν παρθένος, εἰ μὴ ἡ παναγία*

a) Rom. 8, 29. *b*) Coloss. 1, 18. *c*) Ib. v. 15. *d*) Ioh. 20, 17.

ipso igitur vaticinatio finem accepit. Et sequentia hoc testantur. 29. *In aeternum seruabo illi misericordiam meam, et foedus meum fidele ipsi.* „ Foedus autem dicit illud, quod pepigerat cum patribus illorum Deus Pater, se e semine illorum excitaturum esse Dominum. „ 30. *Et ponam in saeculum saeculi semen eius, et thronum eius sicut dies caeli.* „ Gratiae alumni sunt *semen* eius, regnum autem est illud quod ipsemet dedit illis: de quo dicit credentibus in illum, a) Venite benedicti Patris mei, adite hereditatem regni vobis inde a mundi fundatione parati. „ Ostendant igitur Iudaei regium Dauidis solium vsque in hodiernum diem permanens, quod in aeternum Deus se custoditurum promisit. Demonstrent autem et illius semen regno praeditum. Si autem neutrum horum ostendere possint, quantumuis haec valde impudenter iactent, duorum alterum superest, vel falsam Dei

αὐτοῦ τοίνυν ἡ προφητεία τὸ 1) τέλος ἐδέξατο· 2) μαρτυρεῖ δὲ καὶ τὰ ἐπαγόμενα. κθ'. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός 3) μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ. „ 4) διαθήκην δὲ λέγει ἣν διέθετο „ τοῖς πατράσιν ὁ Θεὸς Πατὴρ, ἀναστήσειν, ὥς φαμὲν, ἐκ τοῦ σπέρματος αὐτῶν τὸν Κύριον. „ λ'. Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ· καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. „ 5) σπέρμα αὐτοῦ ἡ τῆς χάριτος τρόφιμοι, καὶ ἡ βασιλεία, ἣν αὐτὸς ἐδωρήσατο αὐτοῖς· περὶ ἧς αὐτὸς ὁ Κύριος πρὸς τοὺς πιστεύοντας εἰς αὐτὸν ἔφη· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. „ Δειξάτωσαν τοίνυν οἱ Ἰουδαῖοι τὸν βασιλικὸν τοῦ Δαβὶδ θρόνον μέχρι 6) καὶ τήμερον διαρκέσαντα, ὃν εἰς αἰῶνα φυλάξειν ὁ 7) Θεὸς ἐπηγγείλατο. δειξάτωσαν δὲ καὶ τὸ σπέρμα τὸ ἐκείνου τῇ βασιλείᾳ κοσμούμενον. εἰ δὲ τούτων οὐδέτερον δύναιντο ἂν ἀποδεῖξαι, καὶ ταῦτα λίαν ἀναισχυντοῦντες· λείπεται δυοῖν θάτερον, ἢ ψευδῆ καλεῖν τοῦ Θεοῦ

γία Μαρία τὸν ἀχώρητον χωρήσασα καὶ γεννήσασα αὐτὸν ἔμεινε παρθένος· καὶ πρωτότοκος ἐν τοῖς νεκροῖς· ὅτε τὸν ὑπὲρ ἡμῶν θάνατον ἑκὼν κατεδέξατο· αὐτὸς μόνος κατέβη εἰς τὰ κατώτερα μέρη τῆς γῆς, ἵνα ἀναστήσῃ τὰς ἀπ' αἰῶνος ἀγίας κεκοιμημένας.
„ Vel etiam aliter: Sicuti vnigenitus est, quatenus est Deus; solus enim ante omnia secula e Patre natus est, absque mortalitate, et sine vllius interuentu, ceu sapientia, virtus et Verbum per se subsistens: ita quoque postquam pro multo suo in homines amore carnem e virgine assumsit, ipse fuit primogenitus. Non enim auditum est vnquam, virginem quae peperit, mansisse virginem, praeter sanctissimam Mariam, quae cum illum qui alias comprehendi nequit, comprehendisset et peperisset, tamen mansit virgo. Immo etiam fuit primogenitus inter mortuos. Postquam enim sponte mortem pro nobis subiit, ipse solus descendit in infima loca terrae, vt resuscitaret qui inde a seculo obdormiuerunt. „

1) τέλος. Cod. 2. πέρας. 2) μαρτ. Cod. 2. δηλοῖ. 3) μου. Cod. 1. add. τῷ πεπιστευκότι λαῷ δηλαδή. „ Scilicet populo credenti. „ 4)—5) E Cod. 1. 6) καὶ τήμερον. Cod. 1. τῆς σήμερον. 7) Θεός. Cod. 1. add. καὶ Πατήρ.

a) Matth. 25, 34.

1) Θεοῦ τὴν ὑπόσχεσιν, ἢ ἀληθῆ 2) τὴν ἐπαγγελίαν ὁμολογοῦντας δέχεσθαι τῶν πραγμάτων τὴν μαρτυρίαν. ὁ γὰρ ἐκ Δαβὶδ 3) κατὰ σάρκα Χριστὸς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, 4) τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα· τίνι γὰρ εἶπε ποτὲ τῶν 5) ἀγγέλων· υἱός μου εἶ σὺ, 6) ἐγὼ σήμερον γεγέννηκά σε; 7) περὶ τούτου ὁ μακάριος Δαβὶδ ἔφη, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· τοιγαροῦν διὰ 8) τοῦ Δεσπότου Χριστοῦ τὸ σπέρμα τοῦ Δαβὶδ εἰς αἰῶνα διέμεινε, καὶ ὁ θρόνος „ 9) αὐτοῦ „ ἔχει τὸ διαρκές. 10) οὕτω γὰρ καὶ ὁ μακάριος ἐθέσπισεν Ἡσαΐας. εἰρηκὼς γὰρ, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· „ 11) ἵνα μή τις ὑπολάβῃ τὸ „ παιδίον ἄνθρωπον καὶ οὐ Θεὸν, διὰ τῶν „ ἑξῆς σαφέστερον ἔδειξε, τῷ εἰπεῖν „ καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, 12) θαυμαστὸς, σύμβουλος, 13) Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος, ἐπήγαγε μετ' ὀλίγον· ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ τὴν βασιλείαν αὐτοῦ, κα-

promissionem nuncupare, vel veram promissionem confitentes, rerum testimonia admittere. Quandoquidem Christus ex Dauide secundum carnem natus, *a)* sedit ad dexteram maiestatis in excelsis, tanto melior angelis factus, quanto excellentius præ illis nomen hereditauit. Cui enim angelorum dixit aliquando, Filius meus es tu, *b)* ego hodie genui te? De hoc etiam beatus inquit Dauid, *c)* Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. Iam vero per Dominum Christum Dauidis semen in æternum permanet, et eius solium perenne est. Sic enim beatus quoque Esaias vaticinatus est. Nam cum dixisset, *d)* puer natus est nobis, et filius datus est nobis, cuius imperium est super humero eius. „ Ne quis autem putet, puerum „ illum hominem, non Deum „ esse, rem distinctius exprimit „ per ea quæ sequuntur. „ Et vocatur nomen eius magni consilii angelus, admirabilis, consiliarius, Deus fortis, potens, princeps pacis, pater futuri sæculi: subdidit paulo post *e)*: Super solio Dauidis et super regno eius sedebit,

vt

1) Θεοῦ. Cod. 2. præm. ἀγαθοῦ. 2) τὴν ἐπαγγ. Cod. 1. ταύτην. 3) κατὰ σάρκα Χριστός. Cod. 1. σαρκωθεὶς Κύριος τῆς δόξης. 4) τοσούτῳ — ὄνομα. Def. in Cod. 2. Horum loco in Cod. 1. leg. οὐ χωρισθεὶς μετὰ τὴν πρὸς ἡμᾶς αὐτοῦ συγκατάβασιν τῆς χερουβικῆς καθέδρας· ἀλλ' ἵνα δείξῃ ὁ λόγος, ὅτι αὐτός ἐστι καὶ οὐκ ἄλλον προσλαβὼν κατὰ τὸν μῦθον τοῦ ἀκατεῶνος Νεστορίου ἢ τῶν φρονούντων τὰ αὐτοῦ. „ Non quidem a cælesti throno seiunctus post suum ad nos descensum, sed vt declaretur hoc sermone, eum venisse ipsum, non autem alium quendam assumsisse, vt perperam statuit Nestorius et qui eiusdem sunt farinæ. „ 5) ἀγγέλων. Cod. 1. add. ἵνα μὴ λέγω, ἀνθρώπων. 6) ἐγὼ σήμ. γεγ. σε. Def. in Cod. 2. 7) περὶ — ἔφη. Cod. 2. καὶ πάλιν ὁ Δαβίδ. 8) τοῦ Δεσπ. Χρ. Cod. 1. διὰ τῆς οἰκονομίας τοῦ Θεοῦ λόγου. 9) E Cod. 2. 10) οὕτω — αἰῶνα χρόνον. Def. in Cod. 2. 11) E Cod. 1. 12) θαυμ. — αἰῶνος. Def. in Cod. *vatic.* l. c. In Cod. 1. præm. εἶτα φησί. 13) Θεός. Cod. 1. præm. καὶ αὖθις.

a) Hebr. 1, 3-5. *b)* Ps. 2, 7. *c)* Ps. 109, 1. *d)* Es. 9, 6. *e)* Ib. vers. 7.

vt corrigat illud inde ab hoc tempore vsque in perpetuum. Postquam hæc ita de Domino Christo prædixit, de regibus, qui in medio fuerunt, verba facit. * 31. * *Si autem dereliquerint filii eius legem meam, et in iudiciis meis non ambulauerint;* 32. *Si iustitias meas profanauerint, et mandata mea non custodierint:* 33. *Visitabo virga iniquitates eorum, et verberibus peccata eorum.* 34. *Misericordiam autem meam non dispergam ab eo, neque nocebo in veritate mea.* Licet, inquit, innumerabilia patrauerint delicta, qui a Dauide genus ducunt, ipsis quidem pœnas irrogabo, promissionem tamen, quam Dauidi pollicitus sum, firmam seruabo. Misericordiam meam vero non dispergam ab eo, nempe Dauide, neque nocebo in veritate mea. Pro *nocebo*, Symmachus dixit *transgrediar*, Aquila vero, *non mentiar*. „ *Non nocebo* idem est quod „ non auferam nec fallam meas „ promissiones. „ 35. *Neque profanabo testamentum meum, et quæ procedunt de labiis meis non faciam irrita.* Non fallam meas promissiones, non transgrediar pacta, sed promissorum veritatem ostendam, „ quum „ filius meus qui aeque ac ego „ caret principio ac fine, e Daui„ de homo factus fuerit. Hoc e„ nim dicit per ea quæ sequuntur.„

τορθῶσαι αὐτὴν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον. οὕτω τὰ περὶ τοῦ Δεσπότου 1) Χριστοῦ προθεσπίσας ὁ λόγος, περὶ τῶν ἐν μέσῳ γενομένων διεξέρχεται βασιλέων. λα΄. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν. λβ΄. Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν. λγ΄. Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν καὶ ἐν μάστιξι τὰς 2) ἀδικίας αὐτῶν. λδ΄. Τὸ δὲ ἔλεός μου οὐ μὴ 3) διασκεδάσω ἀπ᾽ αὐτοῦ, 4) οὐδ᾽ οὐ μὴ 5) ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. 6) Κἂν μυρία, φησὶ, παράνομα 7) δράσωσιν οἱ ἐκ τοῦ Δαβὶδ τὸ γένος κατάγοντες, αὐτοὺς μὲν ὑποβαλῶ τιμωρίαις, τὴν δὲ πρὸς τὸν Δαβὶδ ἐπαγγελίαν βεβαίαν διαφυλάξω. τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ᾽ αὐτοῦ, 8) τουτέστι τοῦ Δαβὶδ, 9) οὐδ᾽ οὐ μὴ ἀδικήσω 10) ἐν τῇ ἀληθείᾳ μου. τὸ 11) ἀδικήσω, 12) παραβήσομαι ὁ Σύμμαχος εἴρηκεν. ὁ δὲ Ἀκύλας, οὐ ψεύσομαι. „ 13) οὐδ᾽ „ οὐ μὴ ἀδικήσω, ἀντὶ τοῦ οὐ μὴ παραβι„ βάσω, οὐδ᾽ οὐ μὴ ψεύσομαί μου τὰς „ ἐπαγγελίας. „ λε΄. 14) Οὐδ᾽ οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. 15) Οὐ ψεύσομαί μου τὰς ἐπαγγελίας, οὐ παραβήσομαι τὰς 16) συνθήκας, ἀλλὰ δείξω τῶν ὑποσχέσεων τὴν ἀλήθειαν. „ 17) ὅτε ὁ ἐμὸς υἱὸς ὁ συνάναρ„ χός μοι καὶ συναΐδιος ἐκ Δαβὶδ σαρ„ κωθῇ· τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. „ λϛ΄. Ἅπαξ

1) Χριστοῦ. Cod. 1. add. τοῦ Θεοῦ λόγου. 2) ἀδικίας. Cod. vatic. h. l. habet ἁμαρτίας. 3) διασκ. Hebr. אפיר *irritam faciam* f. remouebo. 4) Cod. vatic. οὐδὲ μή. 5) ἀδικήσω. Hebr. אשקר *mentiar*, f. fallam. 6) Κἂν μυρ. φησί. Cod. 2. Ἐὰν γάρ, φησὶ, μυρία. 7) δράσωσιν. Cod. 2. πράξωσιν. 8) τουτέστι — Δαβίδ. Def. in Cod. 2. 9) οὐδ᾽. Abest a Cod. 2. 10) ἐν — μου. Def. in Cod. 2. 11) ἀδικ. Cod. 1. præm. οὐ μή. 12) παραβ. Cod. 1. eadem præm. 13) E Cod. 1. 14) Οὐδ᾽ οὐ. Rec. lectio h. l. est οὐδέ. 15) Οὐ — ἐπαγγελίας. Def. in Cod. 1. 16) συνθ. Cod. 1. add. μου. 17) E Cod. 1.

λϛ΄. Ἅπαξ ὤμοσα 1) τῷ 2) ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι. Βεβαίαν γὰρ πρὸς αὐτὸν ποιησάμενος τὴν ὑπόσχεσιν, ἐπιθήσω ταύτῃ τὸ πέρας· τὸ γὰρ ὤμοσα 3) ἐπὶ τοῦ βεβαίου τέθεικεν, ὡς τῶν ἐπαγγελλομένων ὅρκῳ βεβαιούντων τὰς ὑποσχέσεις. λζ΄. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ· καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου. λη΄. Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα· καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Ἀντὶ τοῦ ὁ μάρτυς, ὁ Σύμμαχος ὁ διαμαρτυράμενος τέθεικε· καὶ ἐν τῷ ἑβδομηκοστῷ καὶ πρώτῳ ψαλμῷ 4) ὁ μακάριος Δαβὶδ περὶ τοῦ Δεσπότου 5) Χριστοῦ 6) προηγόρευσε· πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ, 7) καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, 8) καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν. ἐπειδὴ 9) γὰρ ὁ ἥλιος τὸν χρόνον μετρεῖσθαι ποιεῖ ἀνίσχων τε καὶ δυόμενος, καὶ ἡμέραν καὶ νύκτα ποιῶν, διὰ 10) τοῦ ἡλίου, τοῦ θρόνου τὸ ἀκατάλυτον ἠβουλήθη δηλῶσαι, τὸ δὲ σπέρμα εἰς 11) αἰῶνα 12) διατηρήσειν ὑπέσχετο. „ 13) σπέρμα δὲ τοῦ „Θεοῦ λόγου οἱ εἰς αὐτὸν πιστεύοντες ἅπαντες.„ ὁ δὲ ταῦτα ὑποσχόμενος, καὶ διαμαρτυράμενος, ἐν οὐρανῷ τε ἐστὶ, καὶ ἀληθέσι καὶ πιστοῖς κέχρηται λόγοις. „ 14) ὡς μόνος ὑπάρχων ἀψευδής· „ οὕτω τὰς πρὸς τὸν Δαβὶδ γεγενημένας ὑποσχέσεις εἰρηκότες, τὰς συμβάσας αὐτοῖς ὀλοφύρονται συμφοράς. λθ΄. Σὺ δὲ 15) ἀπώσω, καὶ ἐξουδένωσας· 16) ἀνεβάλου τὸν Χριστόν σου. μ΄. Κατέστρεψας τὴν

36. *Semel iuraui in sancto meo, si Dauidi mentiar.* Firmam enim cum fecerim ipsi promissionem, hanc ad finem perducam. Verbum enim *iuraui* confirmandi gratia posuit. Siquidem qui aliquid pollicentur, solent suas pollicitationes iureiurando confirmare. 37. *Semen eius in aeternum manebit, et thronus eius sicut sol in conspectu meo.* 38. *Et sicut luna perfecta in aeternum, et testis in caelo fidelis.* Pro *testis* Symmachus posuit, qui testificatus est. Et in septuagesimo primo psalmo beatus Dauid de Domino Christo praedixit: Ante solem permanet nomen ipsius, et simul cum sole permanebit, et ante lunam saeculi saeculorum. Quoniam enim sol constituit modum quo tempus metimur, exoriens et occidens, et diem noctemque efficiens, per solem voluit solii aeternitatem ostendere: promisit autem se semen illius in perpetuum esse conseruaturum. „ *Semen* autem „ Dei Verbi sunt omnes qui cre„ dunt in eum. „ Qui autem haec pollicitus et testatus est, in caelo est, et veris fidelibusque vtitur verbis, „ vtpote qui so„ lus mentiri nescit. „ Hoc modo cum dixissent promissiones Dauidi factas, deplorant calamitates sibi immissas. * 39 *Tu vero repulisti, et despexisti, distulisti Christum tuum.* 40. *Euertisti foedus*

1) τῷ. Cod. vterque praem. ἐν, vt in Textu τῶν ὁ. 2) τῷ ἁγ. μου. *Hebr.* per sanctitatem meam. 3) ἐπί. Cod. 1. ἀντί. 4) ὁ μακ. Δαβ. Cod. 2. ἔφη. 5) Χριστοῦ. Cod. 1. add. τοῦ Θεοῦ λόγου. 6) προηγ. Abest a Cod. 2. 7) καί. Cod. vterque praem. καὶ πάλιν. 8) καὶ — γενεῶν. Des. in Cod. 2. 9) γάρ. Cod. 1. δέ. 10) τοῦ. Cod. 2. praem. δέ. 11) αἰῶνα. Cod. 2. praem. τόν. 12) Cod. vterque διαφυλάσσειν, quod in Cod. 1. ponitur ante εἰς αἰῶνα. 13) — 14) E Cod. 1. 15) ἀπώσω. Cod. 1. add. λέγων. 16) ἀνεβ. τὸν Χρ. σου. *Hebr.* iratus fuisti contra Vnctum tuum.

foedus serui tui. Symmachus vero sic, Tu autem ipse reiecisti, et reprobasti, iratus es aduersus Christum tuum, in execrationem dedisti pactum serui tui. Tu autem ipse, qui spopondisti te illa praebiturum esse, repulisti quidem Dauidis posteros, vilesque reddidisti, et in seruitutem abduxisti, euertisti autem huius regnum, et inita cum famulo tuo pacta rescidisti. *Christum* enim hoc loco regnum vocat. Sane captiui abducti fuerunt duo e Dauidis posteris, Iechonias, et Sedecias: in his vero Dauidis regnum desiit. Zorobabel enim, qui post seruitutem populum duxit, populi tribunus fuit, non rex. *Profanasti in terra sanctuarium eius. Sanctuarium* vocat templum, quod voluit quidem Dauid aedificare, Salomo autem post Dauidem erexit. Hoc dicit violatum fuisse Babyloniorum incursu, et simile factum esse herbae florenti. Euersum enim in puluerem redactum est, et solo aequatum. 41. *Destruxisti omnes sepes eius.* Omni ipsum tutela destituisti. *Posuisti firmamentum eius formidinem.* Qui enim olim in ciuitatum moenibus confidebat, sua audacia excidit, et horror circumstetit illum. 42. *Diripuerunt eum omnes transeuntes viam.* Moabitae, Ammanitae, Allophyli, Idumaei, Syri,

διαθήκην τοῦ δούλου σου. Ὁ δὲ Σύμμαχος οὕτως, σὺ δὲ 1) αὐτὸς ἀπέβαλες, καὶ ἀπεδοκίμασας, ἐχολώθης πρὸς τὸν Χριστόν σου, εἰς κατάραν 2) ἔδωκας τὴν 3) συνθήκην τοῦ δούλου σου. σὺ δὲ αὐτὸς, ὁ ἐκεῖνα παρέξειν ὑποσχόμενος, ἀπώσω μὲν τοὺς τοῦ Δαβὶδ ἀπογόνους, καὶ εὐτελεῖς ἔδειξας, καὶ εἰς δουλείαν παρέδωκας, κατέλυσας δὲ τὴν τούτου βασιλείαν, καὶ τὰς γεγενημένας πρὸς τὸν σὸν θεράποντα συνθήκας διέλυσας. 4) Χριστὸν 5) γὰρ ἐνταῦθα βασιλείαν καλεῖ. αἰχμάλωτοι δὲ ἀπηνέχθησαν οἱ δύο τοῦ Δαβὶδ ἀπόγονοι, Ἰεχωνίας καὶ Σεδεκίας· εἰς τούτους δὲ κατέληξεν ἡ τοῦ Δαβὶδ βασιλεία. Ζοροβάβελ 6) γὰρ, ὁ μετὰ τὴν αἰχμαλωσίαν ἡγεμονεύσας, δημαγωγὸς ἦν, οὐ βασιλεύς. ἐβεβήλωσας εἰς τὴν γῆν 7) τὸ ἁγίασμα αὐτοῦ. ἁγίασμα τὸν ναὸν καλεῖ, ὃν ἠβουλήθη μὲν ὁ Δαβὶδ οἰκοδομῆσαι, ἐδείματο δὲ Σολομὼν μετὰ τὸν Δαβίδ· τοῦτον λέγει βεβηλωθῆναι τῇ τῶν Βαβυλωνίων ἐφόδῳ, καὶ 8) γενέσθαι προσόμοιον 9) βοτάνῃ ἀνθούσῃ. καταλυθεὶς γὰρ εἰς χῶμα κατέπεσε, καὶ χέρσῳ παραπλήσιος ἦν. μα΄. Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ. Πάσης αὐτὸν ἀσφαλείας ἐγύμνωσας. ἔθου τὰ ὀχυρώματα αὐτοῦ 10) δειλίαν. τοῖς γὰρ τῶν πόλεων περιβόλοις πάλαι θαῤῥῶν, ἐξέπεσε τοῦ θάρσους, καὶ δειλίαν περίκειται. μβ΄. 11) Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν. Μωαβῖται, Ἀμμανῖται, Ἀλλόφυλοι, 12) Ἰδουμαῖοι, Σύροι, Ἀσσύ-

1) Cod. 2. αὐτόν. 2) Cod. 2. ἔθηκας. 3) συνθ. MONTF. in Hexapl. habet διαθήκην. 4) Χριστὸν — καλεῖ. Cod. 1. τούτους γὰρ λέγει Χριστοὺς διὰ τὴν βασιλείαν· καὶ Χριστὸν, καθάπερ ἀνωτέρω ἡμῖν εἴρηται, καὶ ἐνταῦθα τὸν βασιλέα καλεῖ. 5) γάρ. Cod. 2. δέ. 6) γάρ. Cod. 2. δέ. 7) τὸ ἁγ. αὐτοῦ. Hebr. נזרו *coronam eius.* 8) γενέσθαι. Cod. 2. praem. γῆν. 9) Cod. 1. βοτάνας. 10) δειλίαν. Hebr. מחתה *terrorem* f. obiectum terroris. 11) Rec. lectio est διήρπασαν. 12) Ἰδουμ. Σύροι. Def. in Cod. 1. Σύροι abest quoque a Cod. 2.

Ἀσσύριοι, Βαβυλώνιοι. ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ. 1) ἐπίχαρτος ἐγένετο καὶ ἐπονείδιστος τοῖς ὁμόροις. μγʹ. Ὕψωσας τὴν δεξιὰν τῶν 2) θλιβόντων αὐτόν. Ἰσχυροτέρους αὐτοῦ τοὺς πολεμίους 3) ἀπέφηνας. εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ. καταγέλαστον 4) αὐτὸν τοῖς 5) δυσμενέσι πεποίηκας. μδʹ. Ἀπέστρεψας 6) τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου 7) αὐτοῦ ἐν τῷ πολέμῳ. 8) Ἄχρηστα αὐτῷ τὰ ὅπλα 9) γεγένηται, τῆς σῆς γυμνωθέντι κηδεμονίας. μεʹ. Κατέλυσας ἀπὸ καθαρισμοῦ 10) αὐτοῦ. Ὁ δὲ Σύμμαχος οὕτως, ἀπέπαυσας τὴν καθαρότητα αὐτοῦ· οὐ γὰρ δύναται περιῤῥαντηρίοις καθαίρεσθαι αἰχμάλωτος ὤν, καὶ πόῤῥω τοῦ σοῦ διάγων νεώ. τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥαξας. 11) πάμπαν αὐτοῦ τὴν βασιλείαν 12) καταλύσας. μϛʹ. Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ 13) χρόνου αὐτοῦ. Εἰς αἰῶνα φυλάξειν τὴν 14) βασιλείαν ἐπαγγειλάμενος, 15) ὀλίγῳ ταύτην περιώρισας χρόνῳ. 16) κατέχεας 17) αὐτῷ αἰσχύνην. ἐπονείδιστος γεγένηται, καὶ αἰσχύνης 18) ἐμπίπλαται· Σεδεκίας μὲν 19) γάρ, ἐκκοπέντων τῶν ὀφθαλμῶν, μύλωνι παρεδόθη πάντα τὸν λειπόμενον χρόνον· Ἰεχωνίας δὲ καὶ αὐτὸς ἐδούλευσεν· αἰσχύνης δὲ καὶ ὀνειδισμοῦ 20) ταῦτα μεστά. οὐ-

Assyrii, Babylonii. *Factus est opprobrium vicinis suis.* Ridiculus factus est, et ignominiosus finitimis. 43. *Exaltasti dexteram deprimentium eum.* Potentiores ipso hostes reddidisti. *Laetificasti omnes inimicos eius.* Fecisti vt suis inimicis ludibrio sit. 44. *Auertisti adiutorium gladii eius, et non es auxiliatus ei in bello.* Inutilia ipsi arma fuerunt, cum tua ope priuatus esset. 45. *Destruxisti eum ab emundatione.* Symmachus autem sic, Fecisti vt eius munditia desineret. Non enim potest adspersionibus expiari, cum in potestate sit hóstium, et procul a tuo templo viuat. *Et sedem eius in terra collisisti.* Funditus eius regnum euertisti. * 46. *Paucos fecisti dies temporis eius.* Cum in aeternum promiseris te eius regnum seruaturum, tamen exiguo tempore illud definisti. *Perfudisti eum confusione.* Ignominiosus factus est, et dedecore repletus est. Sedecias enim, erutis oculis, pistrino addictus est in omne reliquum tempus. Iechonias autem et ipse seruiit. Haec vero omnia ignominia et opprobrio referta sunt. Hoc

1) ἐπίχαρτος — ὁμόροις. Def. in Cod. 2. 2) θλιβ. αὐτόν. Cod. vat. habet ἐχθρῶν αὐτοῦ. 3) ἀπέφ. Cod. 2. πεποίηκας. 4) αὐτόν. Cod. 1. καί. 5) δυσμ. Cod. 2. δυσσεβέσι. 6) τὴν βοήθ. Hebr. *aciem gladii.* 7) Prior editio habebat αὐτόν. 8) Ἄχρηστα. Cod. 1. praem. λέγει δὲ ὅτι. 9) Cod. 2. ἐγένοντο. 10) Rec. lectio h. l. est αὐτόν. 11) πάμπαν. Cod. 1. praem. λέγει δὲ ὅτι. 12) κατέλ. Cod. 1. add. τοῦτο γὰρ καὶ διὰ τῶν ἑξῆς ἔφησεν. 13) χρόνου. Ita leg. in Cod. *alex.* sed *vatic.* habet θρόνου. Hebr. ימי עלומין *dies iuuentutis eius.* Symm. νεότητος αὐτοῦ. 14) βασιλ. Cod. 2. add. αὐτοῦ. 15) ὀλίγῳ ταύτην. Cod. 1. ὀλιγωτάτῳ. 16) κατέχ. αὐτῷ. Hebr. העטית עלין *operuisti eum.* 17) Rec. lectio h. l. est αὐτοῦ. 18) Cod. 2. ἐμπέπλησται. 19) γάρ. Abest a Cod. 2. 20) ταῦτα. Cod. 2. add. πάντα.

pacto cum propheta res aduersas narrasset, hortatur ad venerandum et precandum. 47. *Vsquequo Domine auertis (te) in finem, exardescet sicut ignis ira tua?* Symmachus autem, Quousque Domine occultaberis in finem, et exardescet instar ignis furor tuus? Quousque, inquit, o Domine, dolores nostros inspicere non vis, neque appares, et calamitatibus nostris finem impo nis, sed nostrorum peccatorum memoria tuam iram velut ignem accendis? 48. *Memor sis, quae mea sit substantia.* Auctor es et conditor, et modulos mearum virium cognoscis. *Numquid enim vane procreasti omnes filios hominum?* Non temere, neque frustra homines effinxisti, sed bonitas creationem praecedebat. Nam propter bonitatem solam nos formasti. Ne despexeris igitur nos tot tantisque malis addictos. 49. *Quis est homo, qui viuet et non videbit mortem, eruet animam suam de manu inferi?* Cuiuslibet hominis finis mors est: fieri enim non potest, vt ipsa morte superiores simus: viuentibus igitur tuam benignitatem impertias. Deinde rursus eum de promissionibus admonet. 50. *Vbi sunt misericordiae tuae antiquae Domine, sicut iurasti Dauidi in veritate tua?* Eleganter autem vbique veritatis affert testimonium, excitans ad confirmationem promissionum eum qui pollicitus

τω τὰς συμφορὰς ὁ προφητικὸς διηγησάμενος λόγος, ποτνιᾶσθαι καὶ ἱκετεύειν παρεγγυᾷ. μζ΄. Ἕως πότε 1) Κύριε 2) ἀποστρέφῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου. Ὁ δὲ 3) Σύμμαχος, ἕως 4) τίνος Κύριε ἀποκρυβήσῃ εἰς τέλος, φλεγήσεται ὡς πῦρ ὁ θυμός σου; μέχρι τίνος, φησὶ, 5) Δέσποτα οὐκ ἐθέλεις ἰδεῖν τὰς ἡμετέρας ὀδύνας, οὐδὲ ἐπιφαίνῃ, καὶ λύεις τὰς συμφορὰς ἀλλὰ καθάπερ πῦρ τὴν ὀργὴν 6) τῇ μνήμῃ τῶν ἡμετέρων 7) ἁμαρτάδων 8) ἐκκαίεις; μη΄. Μνήσθητι, 9) τίς μου ἡ ὑπόστασις. Ποιητὴς εἶ καὶ πλάστης, καὶ τῆς ἐμῆς δυνάμεως τὰ μέτρα γινώσκεις. μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων; οὐκ εἰκῇ, οὐδὲ μάτην τοὺς ἀνθρώπους διέπλασας, ἀλλ' ἀγαθότης τῆς δημιουργίας ἡγήσατο· δι' ἀγαθότητα γὰρ μόνην ἡμᾶς ἐδημιούργησας. μὴ παρίδῃς τοίνυν τοσούτοις 10) συγκληρωθέντας 11) κακοῖς. μθ΄. Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου. Παντὸς ἀνθρώπου τέλος ἡ τελευτή· περιγενέσθαι γὰρ 12) αὐτοῦ τοῦ θανάτου τῶν ἀδυνάτων· ζῶσι τοίνυν μετάδος φιλανθρωπίας. εἶτα πάλιν 13) ἀναμιμνήσκει τῶν ὑποσχέσεων. ν΄. Ποῦ 14) εἰσὶ τὰ ἐλέη σου τὰ ἀρχαῖα Κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου; Καλῶς δὲ πανταχοῦ τῆς ἀληθείας 15) προσφέρει 16) τὴν μαρτυρίαν, εἰς τὴν βεβαίωσιν τῶν ἐπαγγελιῶν διεγείρων τὸν

1) Κύριε. Cod. 1. praem. λέγων. 2) ἀποστρ. Hebr. תסתר occultaberis. 3) Σύμμαχος. Cod. 1. add. οὕτως. Cum Symmacho h. l. consentit etiam Aquila. 4) τίνος. Cod. 2. πότε. 5) Δέσποτα. Cod. 2. praem. ὦ. 6) τῇ μνήμῃ. Abest a Cod. 1. 7) Cod. 1. ἁμαρτημάτων. Cod. 2. ἁμαρτιῶν. 8) Cod. 1. διακαίεις. 9) τίς — ὑπόστασις. Hebr. מה־חלד quanti aeui s. quam caducus sim. 10) Cod. 2. συγκληρωθέντα. 11) κακοῖς. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 12) Cod. 1. αὐτοῖς. Cod. 2. ταῦ. 13) Cod. 2. ὑπομιμνήσκει. 14) Cod. 1. add. λέγων. 15) Cod. 1. προσφέρει. 16) Cod. 2. τὰς μαρτυρίας.

τὸν ὑποχόμενον· καὶ τὸ προοίμιον δὲ ἀπὸ τοῦ ἐλέȣ ἐξύφηνε, καὶ ἐν τῷ τέλει τοῦ ἐλέȣ πάλιν ἀναμιμνήσκει· 1) τȣ͂το γὰρ ἐδέοντο μάλιϛα· να΄. Μνήσθητι Κύριε τȣ͂ ὀνειδισμȣ͂ τῶν δούλων σȣ, ὃ ὑπέχον ἐν τῷ κόλπῳ μȣ πολλῶν ἐθνῶν. Ὁ δὲ Σύμμαχος οὕτως, καὶ ἐβάϛασα ἐν τῷ κόλπῳ μου 2) παμπολλῶν ἐθνῶν· μὴ παρίδῃς με, φησὶν, ὀνειδιζόμενον, οὐχ ὑφ᾽ ἑνὸς ἔθνȣς, ἀλλ᾽ ὑπὸ μυρίων· ȣ̓ γὰρ μόνον Ἀσσύριοι 3) μοι ἐπικερτομοῦσι, 4) καὶ Βαβυλώνιοι, 5) ἀλλὰ καὶ οἱ πλησιόχωροι πάντες, οἱ τὴν πρὸς ἐμὲ δυσμένειαν ἐσχηκότες ἀεί· οὐκ ἐμοὶ δὲ μόνον ἐπιχαίρουσιν, ἀλλὰ καὶ κατὰ σοῦ τὴν γλῶτταν κινοῦσι, καὶ βλασφήμοις κέχρηνται λόγοις, ἀσθένειαν σὴν τὴν ἐμὴν δουλείαν νομίζοντες· τȣ͂το γὰρ διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. νβ΄. Οὗ ὠνείδισαν οἱ ἐχθροί σȣ Κύριε· οὗ ὠνείδισαν 6) τὸ ἀντάλλαγμα τοῦ Χριϛȣ͂ σου. 7) Ὁ δὲ Σύμμαχος, καὶ ὁ Θεοδοτίων οὕτως· 8) ὠνείδισαν τὰ ἴχνη τȣ͂ Χριϛȣ͂ σȣ· ἴχνη δὲ Χριϛȣ͂ 9) προσηγόρευσε τοὺς κατ᾽ 10) ἐκεῖνον τὸν καιρὸν βασιλέας, δι᾽ ὧν ὥδευσεν ὁ περὶ τῆς Χριϛȣ͂ 11) βασιλείας λόγος· καὶ οἱ ἑβδομήκοντα 12) δὲ ἀντάλλαγμα αὐτοὺς προσηγόρευσαν, ὡς κατὰ σάρκα 13) αὐτοῦ γεγενημένους προγόνους, καὶ ὡς ἐν 14) σκοτίᾳ 15) τινὶ τὴν βασιλείαν ἰθύνοντας. διὰ τὸν Χριϛόν σȣ 16) τοίνυν, οὗ ἴχνη οὗτοι τυγχάνουσι, καὶ ἀντάλλαγμα, παῦσον ἡμῶν Δέσποτα τὰ ὀνείδη. νγ΄. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο. Ἀγα-

erat. Et a misericordia exorsus in fine rursus de misericordia mentionem facit. Hac enim maxime indigebant. 51. *Memor esto Domine opprobrii seruorum tuorum, quod continui in sinu meo multarum gentium.* Symmachus autem sic, Et portaui in sinu meo multarum gentium. Ne * despicias me, inquit, qui non ab vna, sed ab infinitis gentibus ignominia afficior. Non modo enim Assyrii, et Babylonii mihi insultant, sed etiam finitimi omnes, qui continenter aduersus me inimicitias exercent. Nec mihi tantum illudunt, sed etiam contra te linguam mouent, et maledicis verbis te incessunt, putantes meam seruitutem ex tua imbecillitate procedere. Hoc enim per ea quæ sequuntur ostendit. 52. *Quo exprobrauerunt inimici tui Domine, quo exprobrauerunt commutationem Christi tui.* Symmachus autem, et Theodotio sic, exprobrauerunt vestigia Christi tui. *Vestigia* vero *Christi* appellauit illius temporis reges, per quos sermo de Christi regno ambulauit. Septuaginta vero *commutationem* ipsos nuncupauerunt, vt qui fuerunt maiores ipsius secundum carnem, quique veluti in tenebris quibusdam regnum administrabant. Propter Christum igitur tuum, cuius vestigia et commutatio hi sunt, fac Domine, vt nostra opprobria cessent. 53. *Benedictus Dominus in æternum, fiat, fiat.* Bonæ spe

1) Cod. 2. τȣ́τȣ. 2) παμπ. Cod. 1. πολλῶν. Ita quoque habet MONTF. in Hexapl. 3) Cod. 2. μȣ. 4) καί. Cod. 2. præm. ἀλλά. 5) ἀλλά. Abest a Cod. 2. 6) τὸ ἀντ. Hebr עקבות *vestigia*. 7) Ὁ — Θεȣ͂. Ita quoque *Aquila* apud MONTF. in Hexapl. 8) ὠνείδ. Cod. 1. præm. ȣ̓. 9) προσηγ. Cod. 1. add. καὶ ἀντάλλαγμα τȣ́τȣ. 10) Cod. 2. ἐκείνους τοὺς καιρȣ́ς. 11) βασιλ. Cod. 1. ἐπαγγελίας. 12) δέ. Cod. 1. γάρ. 13) Cod. 2. αὐτȣ́ς. 14) σκοτ. Cod. 1. σκιᾷ. 15) τινί. Cod. 1. add. καὶ τύπῳ. 16) τοίνυν. In Cod. 1. sequ. τȣτέϛι τὸν υἱόν σου.

spei est hymnorum cantilena. Nam cum credidissent Deum preces admisisse, hunc hymnum ipsi obtulerunt. Sane hunc sensum et Aquila magis accurate ostendit. Nam cum Amen Amen interpretatus esset, inquit, Certus et fidelis; quasi diceret, verax es, et admodum verax. Benedictus igitur in æternum: promissa enim tua operibus confirmas.

θῆς ἐλπίδος ἡ ὑμνῳδία· πιστεύσαντες γὰρ 1) αἰτήσεις δέξασθαι, τόνδε τὸν ὕμνον προσενηνόχασι τῷ 2) Θεῷ· 3) ταύτην δὲ τὴν διάνοιαν καὶ ὁ Ἀκύλας δείκνυσιν ἀκριβέστερον, τὸ ἀμὴν ἀμὴν ἑρμηνεύσας· ἔφη γὰρ 4) πεπιστωμένος καὶ πεπιστευμένος, ἀντὶ τοῦ, ἀληθὴς εἶ, καὶ λίαν ἀληθής· εὐλογητὸς τοίνυν εἰς τὸν αἰῶνα· βεβαιοῖς γὰρ 5) σὺ τοῖς ἔργοις τὰς ὑποσχέσεις.

INTERP. PS. LXXXIX.

1. Oratio Mosi hominis Dei. Nonnulli quidem interpretum hanc orationem magnum Mosen fecisse dixerunt: aliqui vero magnum Dauidem eam conscripsisse, sed diuino Mosi accommodasse aiunt. At geminam vaticinationem psalmus continet. Non solas enim Iudæorum calamitates præcinit: verum etiam quam caduca et fluxa res sit humana natura tota, edocet. Vaticinatur etiam et horum et illorum mutationem in melius. „ Accurate autem hic „ etiam psalmus conscriptus est „ a beato Dauide, sicut „ reliqui omnes. „ * *Domine refugium factus es nobis a generatione in generationem.* Nam Iudæorum quidem refugium fuit, non modo in Aegypto, sed etiam in solitudine, et tempore Iosuæ filii Naue, et Gedeonis, et Barac,

ΕΡΜΗΝ. ΤΟΥ πθ ΨΑΛΜΟΥ.

α. Προσευχὴ 6) τῷ Μωσεῖ ἀνθρώπῳ τοῦ Θεοῦ. 7) Τινὲς μὲν τῶν συγγραφέων τὸν μέγαν ἔφασαν Μωσῆν τήνδε ποιῆσαι τὴν προσευχήν· τινὲς δὲ συγγραφέα αὐτῆς εἶπον τὸν μακάριον Δαβὶδ εἶναι, 8) προσαρμόσαι 9) δὲ αὐτὴν Μωσῇ τῷ θεσπεσίῳ· διπλῆν δὲ 10) ὅμως ὁ ψαλμὸς χρησμολογίαν ἔχει· προθεσπίζει γὰρ, οὐ 11) μόνας τῶν Ἰουδαίων τὰς συμφορὰς, ἀλλὰ καὶ πάσης τῆς 12) ἀνθρωπείας φύσεως διδάσκει τὸ φθαρτὸν, καὶ ἐπίκηρον· προλέγει δὲ τὴν ἐπὶ τὸ κρεῖττον 13) καὶ τούτων κἀκείνων μεταβολήν. „ 14) ἀκριβῶς δὲ καὶ ὁ παρὼν „ ψαλμὸς παρὰ τοῦ μακαρίου Δαβὶδ „ ἐγράφη, ὡς καὶ οἱ λοιποὶ ἅπαντες. „ Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἰουδαίων μὲν γὰρ ἐγένετο καταφυγὴ, οὐκ ἐν Αἰγύπτῳ μόνον, ἀλλὰ καὶ ἐν τῇ ἐρήμῳ καὶ 15) ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ ἐπὶ Γεδεὼν, Βαρὰκ τε

1) αἰτ. Cod. 2. præm. τάς. 2) Θεῷ. Cod. 2. Χριστῷ. 3) ταύτην — πεπιστευμένος. Cod. 1. τὸ γὰρ γένοιτο γένοιτο ἀμὴν ἑρμηνεύεται· λέγεται δὲ πεπιστωμένως πεπιστωμένως. 4) Cod. 2. πεπιστευμένως, omissis illis quæ sequuntur καὶ πεπισ. Apud MONTF. in Hexapl. ad h. l. hæc *Aquilæ* tribuitur interpretatio, πεπιστωμένως, πεπιστωμένως. 5) σου. Abest a Cod. 2. 6) Cod. *vat.* habet τοῦ Μωϋσῆ τοῦ ἀνθρώπου τοῦ Θεοῦ. 7) Τινὲς μὲν κ. τ. λ. Similia sunt quæ sub *Theodori* nomine habet CORD. T. II. p. 859. 8) προσαρμ. Cod. 2. præm. καί. 9) δέ. Abest a Cod. 2. 10) ὅμως. Def. ibid. 11) Cod. vterque μόνον. 12) Cod. 2. ἀνθρωπίνης. 13) καὶ τούτων κἀκ. Cod. 2. κἀκείνης. 14) E Cod. 1. 15) ἐπὶ — Σαμουήλ. Cod. 2. ἐπὶ τῶν κριτῶν.

τε καὶ Ἰεφθάε, καὶ Σαμψὼμ, καὶ Σαμουὴλ, καὶ Δαβίδ· καὶ διὰ τῶν προφητῶν αὐτοὺς 1) πάσης κηδεμονίας ἠξίωσε, καὶ βασιλευομένοις πάσης ἐπικουρίας μετέδωκε. πᾶσα δὲ τῶν ἀνθρώπων ἡ φύσις τούτοις κέχρηται τοῖς λόγοις, τῶν παντοδαπῶν εὐεργεσιῶν ἀναμιμνήσκουσα τὸν Θεὸν, ὅπως τὸν Ἐνὼχ μετέθηκεν, ὅπως ἁπάντων τὸν θηριώδη βίον 2) ἀσπασαμένων, σπινθῆρα τῷ γένει τὸν θεσπέσιον διεφύλαξε Νῶε, ὅπως τὸν πατριάρχην Ἀβραὰμ ἐκλεξάμενος, πᾶσιν ὑπέσχετο τὴν εὐλογίαν τοῖς ἔθνεσιν. οὐ γὰρ, ὥς τινες τῶν ἀπίστων τολμῶσι λέγειν, ἐκ μεταμελείας εἰς τὴν τῶν ἐθνῶν ἦλθεν εὐεργεσίαν τῶν ὅλων ὁ Κύριος, ἀλλὰ ἀεὶ πάντων ἀνθρώπων 3) προμηθούμενος διετέλεσε. „ 4) τῶν ὅ„λων ὁ Κύριος, καὶ πρὸ τῆς ἀκατα„λήπτου αὐτοῦ ἐνανθρωπήσεως.„ καὶ τοῦτο ἡμᾶς ἡ προφητεία 5) ἐδίδαξε λέγειν, Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν 6) ἐν γενεᾷ καὶ γενεᾷ· ἀεὶ γὰρ τῆς σῆς 7) ἐλπίδος ἀπηλαύσαμεν Δέσποτα. β. Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν, καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως 8) αἰῶνος 9) σὺ εἶ. Τῶν γενητῶν γὰρ προϋπάρχεις ἁπάντων, καὶ τῶν ὀρῶν, καὶ τῆς γῆς, καὶ τῆς οἰκουμένης 10) ἁπάσης. αἰώνιος γὰρ εἶ, ἄναρχός τε, καὶ ἀτελεύτητος, οὐδενὶ περιοριζόμενος πέρατι· τῷ γὰρ πρὸ τοῦ ὄρη γενηθῆναι, τὸ σὺ εἶ συναπτέον. γ. 11) Μὴ ἀποστρέψῃς ἄνθρωπον

et Iephthæ, et Simsonis, et Samuelis, et Dauidis: et per prophetas omni cura eos dignatus est, et cum reges haberent, ipsis omnem opem impertiit. Ceterum tota hominum natura his verbis vtitur, diuersa beneficia Deo in memoriam reuocans: quomodo Enochum transtulit, quomodo cum omnes ferinam vitam amplexi essent, diuinum Noë velut generis scintillam seruauit, quomodo cum patriarcham Abrahamum elegisset, omnibus gentibus benedictionem spopondit. Non enim, vt nonnulli infidelium dicere audent, ex pœnitentia Deus rerum omnium Dominus ad gentes beneficiis ornandas venit, sed semper de omnibus hominibus curam gessit. „ omnium Dominus, etiam ante„ quam incomprehensibili ratione „ humanam indueret naturam. „ Et hoc vaticinatio nos asserere docuit, *Domine refugium factus es nobis a generatione in generationem.* Semper enim tua spe potiti sumus, Domine. 2. *Priusquam montes fierent, aut formaretur terra, et orbis, a sæculo et vsque in sæculum tu es.* Ante omnes enim res genitas tu es, ante montes, et terram, et orbem vniuersum: sempiternus enim es, sine principio et sine fine, nullo termino circumscriptus. Nam cum verbis, *Priusquam montes fierent*, etiam illud *Tu es* coniungi debet. 3. *Ne auertas hominem*

1) πάσης — βασιλ. Def. in Cod. 2. 2) Cod. 1. ἀσπαζομένων. 3) Cod. 2. προνοούμενος. 4) E Cod. 1. 5) Cod. 2. διδάσκει. 6) ἐν — γενεᾷ. Def. in Cod. 2. 7) ἐλπ. Cod. 1. ἐπιμελείας. 8) αἰῶνος. Cod. 2. præm. τοῦ, vt in Textu τῶν ό. 9) σὺ εἶ. Reliqui Interpretes addunt ὁ Θεός. Sed οἱ ό. pro אֵל videntur legisse אַל quod ad sequentem versic. retulerunt. 10) ἁπάσης. Cod. 1. add. ὡς δημιουργὸς ἁπάντων. 11) Μὴ — ταπείνωσιν. *Hebr.* redigis hominem ad contritionem, f. ad statum contritionis.

in humilitatem. Obsecro te igitur, te perennem, sempiternum, qui semper refugium nostrum fuisti, ne penitus nos tot tantisque malis cinctos despicias. Quoniam enim ipse Adamum ad sudores et labores condemnauit, dicens, a) In sudore vultus tui vesceris pane tuo, donec reuertaris in terram, ex qua sumtus es, quoniam terra es, et in terram reuerteris, congruenter vaticinatio nos orare docet, ne omnino auertamur in humilitatem, atque in destinatas miserias. Quin etiam Iudaei seruire coacti hanc deprecationem offerunt, seruitutem deplorantes. *Et dixisti, conuertimini filii hominum.* Aquila autem sic, Et dices, conuertimini filii hominum. Non frustra, inquit, obsecramus, sed manifesto scientes, * te * nostras preces admissurum esse, malorumque praesentium mutationem nobis praestiturum, commonefaciendo vt conuertamur, vtque a pristina improbitate liberemur. 4. *Quoniam mille anni ante oculos tuos, tanquam dies hesternus qui praeteriit, et custodia in nocte.* Sensus verborum ordine mutato perplexus est. Haec enim clausula priori respondet, Ne conuertas hominem in humilitatem, quoniam mille anni ante oculos tuos, tanquam dies hesternus qui praeteriit, et custodia in nocte. In medio vero iacent haec verba, Et dixisti, conuertimini filii hominum. Dicit autem, Exigua sane et admodum calamitosa est hominum vita:

εἰς ταπείνωσιν. 1) Ἱκετεύω σε τοίνυν τὸν ἀΐδιον, 2) τὸν αἰώνιον, τὸν ἀεὶ καταφυγὴ ἡμῖν γενόμενον, μὴ παντελῶς ἡμᾶς παριδεῖν τοσούτοις περικλυζομένους κακοῖς. ἐπειδὴ γὰρ αὐτὸς τοῦ Ἀδὰμ τοὺς ἱδρῶτας, καὶ τοὺς πόνους κατεψηφίσατο 3) εἰρηκώς, ἐν ἱδρῶτι τοῦ 4) προσώπου φαγῇ τὸν ἄρτον σου, ἕως οὗ ἀποστρέψῃς εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ἁρμοδίως ὁ προφητικὸς λόγος ἱκετεύειν διδάσκει, μὴ ἀποστραφῆναι παντάπασιν εἰς ταπείνωσιν, καὶ εἰς τὴν συγκληρωθεῖσαν ταλαιπωρίαν. καὶ μέντοι καὶ Ἰουδαῖοι δουλεύειν ἠναγκασμένοι τήνδε τὴν ἱκετείαν προσφέρουσι, τὸν ἀνδραποδισμὸν καὶ τὴν δουλείαν ὀλοφυρόμενοι. καὶ εἶπας, ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. 5) ὁ δὲ Ἀκύλας οὕτως, καὶ ἐρεῖς, ἐπιστράφητε υἱοὶ τῶν ἀνθρώπων. οὐ μάτην, φησὶν, ἀντιβολοῦμεν, ἀλλ᾽ εἰδότες σαφῶς, ὡς δέξῃ τὰς ἡμετέρας ἱκετείας, καὶ μεταβολὴν ἡμῖν τῶν παρόντων ἐργάσῃ κακῶν· παραινῶν ἐπιστρέψαι, καὶ τῆς προτέρας πονηρίας ἀπαλλαγῆναι. δ. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου Κύριε· ὡς ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. Μεθυπέρβατός ἐστι τῶν 6) ῥημάτων ἡ διάνοια· τοῦτο γὰρ τῷ προτέρῳ συνήρμοσται, μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί· διὰ μέσου δὲ πρόσκειται 7) τὸ, καὶ εἶπας, ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. 8) λέγει δὲ ὅτι σμικρὰ 9) τίς ἐστι, καὶ ἀλγεινὴ λίαν ἡ τῶν ἀνθρώπων ζωή· σοὶ

1) Ἱκετ. Cod. 1. praem. λέγει δὲ ὅτι. 2) τὸν αἰώνιον. Def. in Cod. 2. 3) εἰρηκὼς — ἀπελ. Def. in Cod. 2. 4) προσώπου. Cod. 1. add. σου. 5) ὁ — ἀνθρώπων. Def. in Cod. 1. 6) ῥημάτων. Cod. 1. ῥητῶν. 7) τό. Abest a Cod. 2. 8) λέγει δέ. Def. ibid. 9) τίς. Cod. 2. τι.

a) Gen. 3, 19.

σοὶ δὲ τῷ ἀϊδίῳ, καὶ αἰωνίῳ, καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμὸς μία ἡμέρα παρέοικεν, 1) μᾶλλον δὲ σμικρῷ μορίῳ νυκτός· φυλακὴν γὰρ νυκτερινὴν, 2) τὸ τέταρτον μόριον ἐκάλεσε τῆς νυκτός· τετραχῇ γὰρ οἱ ταύτην 3) φυλάττειν πεπιστευμένοι 4) διῄρουν· τετάρτῃ δὲ φυλακῇ καὶ ὁ Κύριος πρὸς τοὺς 5) ἀποστόλους ἀφίκετο. ε. 6) Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. Ἐπὶ πλεῖστον δὲ αὐτούς φησι ταύτῃ τῇ ταλαιπωρίᾳ 7) συνέζευξας· σημαίνει δὲ κατὰ ταὐτὸν, καὶ τὴν μετὰ τὸ πάθος τοῦ 8) σωτῆρος ἡμῶν Ἰουδαίων ἀποβολὴν, καὶ τῆς θείας κηδεμονίας τὴν στέρησιν, οὐκ ἐπ' ὀλίγον χρόνον, ἀλλ' ἐπὶ πλεῖστον ἐσομένην. Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι. ς. Τὸ πρωῒ ἀνθήσαι, καὶ παρέλθοι· τὸ ἑσπέρας 9) ἀποπέσοι, σκληρυνθείη, καὶ ξηρανθείη. Εὐθὺς μὲν γὰρ Ἰουδαῖοι τῆς θείας ἐπιμελείας ἀξιωθέντες, καὶ ἤνθησαν καὶ ἐβλάστησαν, καὶ πολλὴν ἐκλήσαντο περιφάνειαν· ὥριμον δὲ καρπὸν τῷ 10) γεωργῷ δοῦναι μὴ βουληθέντες, ἀλλὰ τὴν καρδίαν σκληρύναντες, παντελῶς ἐξηράνθησαν· τῆς γὰρ προτέρας ἀρδείας οὐκ ἔτι μετέλαχον· πρωῒ δὲ καλεῖ, τὴν ἀρχὴν τῆς Ἰουδαίων ἐπιμελείας· ἑσπέραν δὲ, τῆς θείας κηδεμονίας τὴν παῦλαν. ταύτης δὲ μετὰ τὸν σταυρὸν ἐγυμνώθησαν, „ 11) ὅτι τὸν κατὰ τοῦ Θεοῦ „ καὶ σωτῆρος ἀνέστησαν σταυρόν· τοῦτο „ γὰρ λέγει διὰ τῶν ἑξῆς. „ ζ. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν. Καὶ Ἰουδαίοις

apud te vero, qui aeternus es sempiternus es, etiam mille annorum numerus vni diei similis est, vel potius exiguae noctis particulae. Nocturnam enim custodiam, quartam partem noctis appellauit: nam illi, quibus custodire iniunctum erat, noctem in quatuor vigilias diuidebant. Quarta autem vigilia etiam Dominus ad apostolos peruenit. a) 5. *Quae pro nihilo habentur, eorum anni erunt.* Ad longum tempus, inquit, eos hisce miseriis subdidisti. Vna autem opera indicat et Iudaeorum abiectionem post crucem Saluatoris nostri, et diuinae curae destitutionem, non parum temporis, sed diu duraturam. *Mane sicut herba transeat.* 6. *Mane floreat, et transeat; vespere decidat, induret, et arescat.* Nam Iudaei diuino auxilio dignati et statim floruerunt, et germinarunt, maximumque splendorem acquisiuerunt. Cum vero tempestiuum fructum agricolae dare noluissent, sed sua corda obdurassent, penitus exaruerunt: quandoquidem pristinam irrigationem non amplius sortiti sunt. Porro *Mane* vocat principium curae Iudaeorum, *Vespere* vero, diuini praesidii cessationem. Hoc autem post crucem orbati fuerunt, „ quia contra „ Deum et Saluatorem erexerunt „ crucem. Hoc enim in sequen„ tibus dicit. „ 7. *Quoniam defecimus in ira tua, et in furore tuo turbati sumus.* Et Iudaeis, et

1) μᾶλλον — νυκτός. Def. in Cod. 2. 2) τὸ τέταρτον μόριον. Cod. 2. τὴν τετάρτην μοῖραν. 3) φυλ. πεπισ. Cod. 2. πιστευόμενοι. 4) Cod. 1. διαιροῦσι. 5) ἀποστόλους. Cod. vterque praem. ἱερούς. 6) Τὰ — ἔσονται. *Hebr.* Inundas eos, instar somni erunt. 7) Cod. 2. συνέζευξε. 8) σωτ. Cod. 1. praem. Θεοῦ καί. 9) ἀποπ. σκληρ. Hebr. ימולל *exscindetur.* 10) γεωργῷ. Cod. 1. δημιουργῷ. 11) E Cod. 1.

a) Matth. 14, 25. Marc. 6, 48.

et omnibus hominibus hæc accommodata sunt. Etenim humana natura, peccatorum pœnas pendens, calamitatibus subdita est, et diuersis fluctibus circumdatur, et Iudæi * ob prauitatem mentis libertate exciderunt, „ sicut etiam multi hominum, „ quia credere noluerunt, fo„ ueam sibi foderunt. Lacum „ enim, inquit, a) fodit et effo„ dit eum, et incidet in foueam „ quam fecit. „ 8. *Posuisti iniquitates nostras in conspectu tuo, seculum nostrum in illuminatione vultus tui.* Symmachus autem sic, Apposuisti iniquitates nostras coram te, et negligentias nostras, vt apparerent faciei tuæ. His suppliciis nos subiecisti, cum vidisses nos contra leges tuas ex negligentia peccare, et cum iniquitate vitam traducere. 9. *Quoniam omnes dies nostri defecerunt, et in ira tua defecimus.* Peccatum, inquit, iram in nos concitauit, ira autem supplicium induxit, supplicium vero dolores: in doloribus enim nostram exiguam vitam duximus. 10. *Anni nostri sicut aranea meditabantur.* Nihil firmum, inquit, aut constans humana natura habet, sed instar araneæ facile conuellitur. *Dies annorum nostrorum in ipsis septuaginta anni. Si autem in summa potestate fuerint, octo-*

ταῦτα, καὶ πᾶσιν ἀνθρώποις ἁρμόδια· καὶ γὰρ τῶν ἀνθρώπων ἡ φύσις, παρανομίας τίνουσα δίκας, ὑπεβλήθη ταῖς συμφοραῖς, καὶ ταῖς παντοδαπαῖς περικλύζεται 1) τρικυμίαις, καὶ Ἰουδαῖοι διὰ τὴν πονηρίαν 2) τῆς γνώμης τῆς ἐλευθερίας ἐξέπεσον· „ 3) ὡς καὶ πολλοὶ τῶν „ ἀνθρώπων διὰ τῆς ἀπιστίας βόθρον ἑαυ„ τοῖς ὤρυξαν· λάκκον γὰρ ὤρυξε καὶ „ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς „ βόθρον ὃν εἰργάσατο. „ η΄. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου, 4) ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Ὁ δὲ Σύμμαχος οὕτως· 5) προσέθηκας τὰς ἀνομίας ἡμῶν 6) ἄντικρύς σου, τὰς ἀμελείας ἡμῶν φαίνεσθαι 7) τῷ προσώπῳ σου· ταύταις ἡμᾶς ταῖς τιμωρίαις ἐξέδωκας, θεασάμενος ἡμᾶς τῶν 8) μὲν σῶν ἀμελήσαντας νόμων, ἀνομίᾳ δὲ προελομένους συζῆν. θ΄. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. 9) Ἡ ἁμαρτία φησὶν 10) ὀργὴν ἐκίνησε καθ' ἡμῶν, ἡ δὲ ὀργὴ τὴν τιμωρίαν ἐπήγαγεν, ἡ δὲ τιμωρία τὰς ὀδύνας ἐπήνεγκεν· ἐν ὀδύναις γὰρ τὸν 11) ὀλίγον 12) ἡμῶν διετελέσαμεν βίον. ι΄. 13) Τὰ ἔτη ἡμῶν 14) ὡσεὶ ἀράχνη ἐμελέτων. 15) Οὐδὲν βέβαιον, φησὶν, οὐδὲ σταθερὸν ἡ ἀνθρωπεία 16) φύσις ἔχει· δίκην ἀράχνης διασπᾶται ῥᾳδίως. αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα

1) τρικ. Cod. 1. τιμωρίαις. 2) τῆς γνώμης. Des. in Cod. 2. 3) E Cod. 1. 4) ὁ αἰὼν ἡμῶν. Hebr. עֲלֻמֵנוּ occulta nostra sc. peccata. 5) Cod. 1. προέθηκας.

6) ἄντικρυς. Cod. 2. ἔμπροσθεν. 7) τῷ προσώπῳ. Cod. 2. πρὸ προσώπου. 8) μὲν σῶν. Hanc lectionem autoritate duorum Codicum substituimus pro μέσων, vt habebat prior editio. 9) Ἡ. Cod. 1. præm. λέγει δὲ ὅτι. 10) ὀργήν. Cod. 1. præm. τὴν σήν. 11) Cod. 1. ὅλον. 12) ἡμῶν. Abest a Cod. 2. 13) Τὰ — ἐμελέτων. Hebr. Annos nostros (consumsimus) instar sermonis. 14) Cod. vat. habet ὡς. 15) Οὐδὲν — ῥᾳδίως. Des. in Cod. 2. 16) φύσις ἔχει. Cod. 1. ἔχει ζωή· ἀλλὰ διαλυτός ἐστι, καί.

a) Ps. 7, 16.

κοντα ἔτη· καὶ 1) τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. ἔοικε ταῦτα τοῖς ὑπὸ τοῦ πατριάρχου Ἰακὼβ εἰρημένοις· αἱ ἡμέραι μου σμικραὶ καὶ πονηραὶ, οὐκ ἔφθασαν εἰς τὰς ἡμέρας τῶν πατέρων μου. εἰσὶ μὲν οὖν οἱ καὶ πλείονα 2) τοῦ εἰρημένου διαβιοῦσι χρόνον, ἀλλ᾽ ἐκεῖνο ἐπ᾽ ὀλίγων συμβαίνει· τὸ δὲ κοινὸν, καὶ ὡς ἐπὶ 3) πλεῖστον κρατοῦν, ἐνταῦθα διδάσκει. ὥσπερ γὰρ τῶν πρόωρον δεχομένων τὴν τελευτὴν οὐκ ἐποιήσατο μνήμην, οὕτω καὶ τῶν σφόδρα γηρώντων τὸ μακρόβιον καταλέλοιπεν· ἀλλ᾽ ὅμως, φησὶ, καὶ ὁ βραχὺς οὗτος χρόνος ὀδύνης καὶ 4) πόνων ἐμπέπλησται· „ 5) καθάπερ καὶ τῶν ἀνδραποδισθέντων ἐκ „ τῆς Ἱερουσαλὴμ ὁ τῶν ο. ἐτῶν χρόνος „ ὃν ἐδούλευον τοῖς ἀνδραποδίσασιν πα„ τώδυνος καὶ λίαν ὀδυνηρὸς ἐγένετο· „ 6) ὅτι ἐπῆλθε 7) πραότης ἐφ᾽ ἡμᾶς, καὶ παιδευθησόμεθα. ἰδοὺ γὰρ πόσοις περικλυζόμεθα κακοῖς διὰ τὴν σμικρὰν ὀργήν σου. πραότητα γὰρ ἐπελθοῦσαν αὐτοῖς τὴν μετρίαν τιμωρίαν ἐκάλεσεν. ια΄. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου· 8) καὶ ἀπὸ τοῦ φόβου 9) σου τὸν θυμόν 10) σου; Ὁ δὲ Σύμμαχος οὕτως· τίς οἶδε τὴν ἰσχὺν τοῦ θυμοῦ σου, καὶ κατὰ τὸν φόβον σου τὴν ὀργήν σου; εἰ ἡ μετρία σου, φησὶν, ἀγανάκτησις τοσαύτην ἡμῖν παιδείαν ἐπήγαγε, τίς ἱκανὸς συνιδεῖν τὴν ἀπὸ τῆς ὀργῆς σου τιμωρίαν προσφερομένην; αἰνίττεται δὲ ὁ λόγος τὴν αἰώνιον κόλασιν. ιβ΄. Ἐξαρι-

ginta anni, *et quod amplius est eorum, labor est et dolor.* Similia sunt hæc iis, quæ a patriarcha Iacobo dicta fuere, *a*) Dies mei pauci et mali, non peruenerunt ad dies patrum meorum. Sunt quidem, qui plus temporis, quam quod dictum est, viuunt, sed illud paucis contingit. Hic vero docet, quod communiter et vt plurimum accidit. Sicut enim nullam fecit mentionem de his, qui immatura morte pereunt, sic etiam missam fecit longæuam eorum vitam, qui consenescunt. At tamen, inquit, breue etiam hoc tempus dolore laboribusque refertum est. „ Sicut etiam illis „ qui ex Hierosolyma captiui ab„ ducti fuerunt, tempus illud „ septuaginta annorum, quibus „ seruierunt illis a quibus captiui „ facti erant, acerbissimum et ma„ xime ærumnosum fuit. „ *Quoniam superuenit mansuetudo super nos, et corripiemur.* Ecce enim quot malis conflictamur ob modicam tuam iram! Nam *mansuetudinem* vocauit mediocrem pœnam, quæ ipsis superuenit. 11. *Quis nouit potestatem iræ tuæ, et præ timore tuo iram tuam?* Symmachus autem sic, Quis nouit vires furoris tui, et secundum timorem tuum iram tuam? Si parua tua, inquit, indignatio, tantam animaduersionem nobis inflixit, quis potest mente complecti pœnam, quæ ab ira tua irrogatur? Innuit vero sermo sempiternum supplicium. 12. *Dinumerare*

1) τὸ πλεῖον. Hebr. רהבם *robur eorum.* 2) τοῦ εἰρ. Dest in Cod. 2. 3) πλεῖστον. Cod. 2. præm. το. 4) πόνων. Cod. 1. πολέμων. 5) E Cod. 1. 6) ὅτι — παιδευθ. *Hebr.* nam transit cito (vita nostra) et auolamus. *Aqu.* ὅτι διετέλεσεν ἀνὴρ καὶ ἐπετάσθη, nam transiuit vir et auolauit. *Symm.* τμηθέντες γὰρ ἄφνω ἐκπεταννύμεθα, Succisi enim cito auolamus. 7) Cod. *vatic.* habet πραΰτης. 8) καὶ — θυμόν σου. *Hebr.* et pro timore tui (s. tibi debito) iram tuam. 9) σου — σου. Cod. *vatic.* habet τοῦ θυμοῦ σου. 10) σου. Cod. 1. add. ἐξαριθμήσασθαι.

a) Gen. 47, 9.

merare dexteram tuam sic notum fac, et compeditos corde in sapientia. * Obsecro, inquit, vt tui beneficii compos sim, et vt dona tuæ dexteræ enumerare et narrare possim, atque a tua gratia eruditos imitari; qui alios ad tuam cognitionem deducunt. 13. *Conuertere Domine: vsquequo? et deprecabilis esto super seruos tuos.* Ne amplius, Domine, despicias dolentes, sed preces admitte, benignitateque tuos seruos dignare. 14. *Repleti sumus mane misericordia tua, et exultauimus, et delectati sumus in omnibus diebus nostris.* Apud Septuaginta tempus mutatum est. Nam Aquila, et ceteri sic dixerunt, Imple nos mane misericordia tua, et laudabimus, et exultabimus in omnibus diebus nostris. *Mane et diluculum*, vocant calamitatum mutationem, et supplicant, vt illæ tenebræ discutiantur, et lux ipsis oriatur, non ob eorum virtutem, verum propter diuinam misericordiam. Cum enim hoc, inquit, futurum sit, omni voluptate referti congruentes laudes offeremus. 15. *Lætati sumus pro diebus, quibus nos humiliasti: annis, quibus vidimus mala.* Hic et-

θμήσασθαι 1) τὴν δεξιάν σου οὕτως γνώριςόν 2) μοι· 3) καὶ τοὺς 4) πεπεδημένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Ἀπολαῦσαι, φησὶ, τῆς σῆς εὐεργεσίας ἀντιβολῶ, καὶ τῆς σῆς δεξιᾶς ἀριθμεῖν καὶ 5) διηγεῖσθαι τὰ δῶρα, καὶ μιμεῖσθαι τοὺς ὑπὸ τῆς σῆς χάριτος σοφισθέντας, οἳ τοὺς ἄλλους πρὸς τὴν σὴν ποδηγοῦσιν 6) ἐπίγνωσιν. ιγ'. Ἐπίςρεψον Κύριε· ἕως πότε; καὶ παρακλήθητι ἐπὶ 7) τοὺς δούλους σου. Μὴ ἐπὶ πλεῖςον Δέσποτα παρίδῃς ὀδυνωμένους, ἀλλὰ δέξαι τὴν ἱκετείαν, καὶ φιλανθρωπίας τοὺς σοὺς ἀξίωσον δούλους. ιδ'. 8) Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους 9) σου, καὶ ἠγαλλιασάμεθα, καὶ 10) ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Ὁ χρόνος ἐνήλλακται παρὰ τοῖς ἑβδομήκοντα· 11) ὁ γὰρ Ἀκύλας, καὶ οἱ ἄλλοι οὕτως εἰρήκασιν, 12) ἔμπλησον ἡμᾶς ἐν πρωΐᾳ ἐλέους σου, καὶ αἰνέσομεν, καὶ εὐφρανθησόμεθα ἐν πάσαις ἡμέραις ἡμῶν. 13) πρωΐαν 14) καὶ ὄρθρον καλοῦσι τῶν συμφορῶν τὴν μεταβολήν· καὶ ἱκετεύουσιν ἐκεῖνο μὲν σκεδασθῆναι τὸ 15) σκότος, ἀνατεῖλαι δὲ αὐτοῖς φῶς, οὐ διὰ τὴν οἰκείαν ἀρετὴν, ἀλλὰ διὰ τὸν θεῖον ἔλεον. τούτου γάρ φησιν ἐσομένου, πάσης θυμηδίας ἐμφορηθέντες, τὴν προσήκουσαν ὑμνῳδίαν προσοίσομεν. ιε'. 16) Εὐφράνθημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς· ἐτῶν, ὧν εἴδομεν κακά. Καὶ ἐνταῦθα

1) τὴν δεξιάν σου. Hebr. ימינו dies nostros. Sicque Aquila et Symm. habent, 2) μοι. Abest a Cod. *vat*. 3) καὶ — σοφίᾳ. Hebr. vt adducamus cor sapientiæ. *Aqu. Symm.* et Edit. V. ἵνα ἔλθωμεν ἐν τῇ καρδίᾳ τῆς σοφίας. 4) πεπεδ. Ita leg. in Cod. *alex.* in *vatic.* autem leg. πεπαιδευμένους, quam lectionem sequitur Noster in Commentario ad hæc verba. Conf. HIERON. Epist. ad *Cyprianum*, T. II. Edit. *mart.* p. 702 sq. 5) Cod. 2. διηγήσασθαι. 6) ἐπίγν. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 7) Cod. vterque τοῖς δούλοις, quæ est rec. lectio h. l. 8) Ἐνεπλ. *Hebr.* Satura nos. 9) σου. Cod. vterque add. Κύριε, sicque leg. in ed. *ald.* et *compl.* 10) Cod. 2. εὐφράνθημεν, quæ est rec. lectio h. l. 11) ὁ — οὕτως. Cod. 1. οἱ γὰρ λοιποί. 12) Cod. 2. ἐμπλήσεις. 13) Cod. 2. πρωΐ. 14) καί. Cod. 1. præm. δέ. 15) σκότος. Cod. 2. νέφος. 16) Εὐφρ. *Hebr.* lætifica nos.

ταῦθα ὁμοίως ὁ χρόνος ἐνήλλακται· 1) ὁ Σύμμαχός γάρ, καὶ οἱ λοιποὶ, εὔφρανον ἡμᾶς εἰρήκασι. παράσχου, φησὶν, εὐθυμίαν ἀντὶ τῆς 2) ἀθυμίας, καὶ χάρισαι τῆς ἐπικειμένης ἡμῖν δυσκληρίας 3) μεταβολήν. ιϛ΄. 4) Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου. Καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐχ ὡς γεγενημένα ταῦτα εἰρήκασιν, ἀλλ᾽ ὡς ἐσόμενα. οὐ γάρ 5) εἶπον, 6) εἶδες 7) ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου. σὰ γάρ φησιν ἡμεῖς ποιήματα, καὶ τῆς σῆς ὑπάρχομεν δεσποτείας οἰκέται· 8) διὸ τῆς σῆς προνοίας ἀντιβολοῦμεν 9) τυχεῖν. 10) καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. τουτέστι 11) τοὺς δούλους σου· οἵ τε γὰρ ἐν Βαβυλῶνι τὴν ἱκετείαν προσφέροντες ἀντιβολοῦσι τὸν Θεὸν τῶν τετελευτηκότων αὐτοῦ δούλων ἐπαναγαγεῖν τοὺς υἱοὺς, καὶ ἡ ἀνθρωπεία φύσις ὁδηγηθῆναι πρὸς τὴν ἀλήθειαν παρακαλεῖ τοὺς εὑρισκομένους ἀνθρώπους ἐν τῇ τοῦ σωτῆρος 12) ἡμῶν 13) ἐπιφανείᾳ. ιζ΄. Καὶ ἔστω 14) ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς. 15) „λαμπρότητα τὴν ἐνανθρώπησιν τοῦ „Θεοῦ λόγου καλεῖ· τότε γὰρ „ καὶ ἡμᾶς λαμπροὺς καὶ περιφανεῖς ἀπέφηνε τῆς θεογνωσίας τὸ φῶς· 16) „περὶ γὰρ „τούτου ὁ τῆς βροντῆς υἱὸς ἔφησε· τὸ „φῶς ἐν τῇ σκοτείᾳ φαίνει. „ καὶ Ἰουδαῖοι μετὰ τὴν ἐπάνοδον περίβλεπτοι πάλιν ἐγένοντο. καὶ τὰ ἔργα τῶν χει-

iam tempus mutatum est. Nam Symmachus, et ceteri, Lætifica nos dixerunt. Præbe, inquit, lætitiam pro mœrore, et largire nobis immutationem aduersarum rerum quibus premimur. 16 *Respice in seruos tuos, et in opera tua.* Et hinc patet, quod hæc non tanquam facta dicant, sed veluti futura. Non enim dixerunt, *Respexisti in seruos tuos, et in opera tua.* Tua enim, inquit, opera nos sumus, et serui tui imperii: idcirco vt tuam opem consequamur, efflagitamus. *Et dirige filios eorum.* Hoc est, seruos tuos. Nam et qui Babylone erant preces offerentes obsecrant Deum, vt filios seruorum suorum, qui mortem oppetierant, reducat: et natura humana orat, vt ad veritatem deducantur homines, qui in Saluatoris nostri aduentu inuenientur. 17. *Et sit splendor Domini Dei nostri super nos.* „ Splendorem vocat incarnationem Dei „ verbi, eo enim tempore „ nos claros et illustres diuinæ cognitionis lumen reddidit: „ De „ hoc enim filius tonitru dixit, a) „ Et lux in tenebris splendet. „ Et Iudæi post reditum rursus clarissimi fuerunt. * *Et opera manuum*

1) ὁ — οἱ. Cod. 1. *οἱ γάρ.* 2) ἀθυμ. Cod. 1. *θυμηδίας*, adscripta tamen altera lectione. 3) μεταβ. Cod. 1. add *τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς.* 4) Καὶ ἴδε. Hebr. יֵרָאֶה *conspiciatur.* 5) Cod. 1. *εἶπεν.* 6) Cod. 2. *εἶδε.* 7) ἐπὶ — ἔργα σου. Des. in Cod. 2. 8) διό. Cod. 1. add. *καί.* 9) τυχεῖν. Cod. 1. add. *τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς.* 10) καὶ — αὐτῶν. *Hebr.* et decus tuum (conspiciatur) super filiis eorum. 11) Cod. vterque *τῶν δούλων.* 12) ἡμῶν. Cod. 1. add. *καὶ Θεοῦ.* 13) ἐπιφ. Cod. 1. add. *τοῦτο γὰρ λέγει.* 14) ἡ λαμπρ. Hebr. נעם *suavitas*, s. fauor. 15) 16) E Cod. 1.

a) Ioh. 1, 5.

nuum nostrarum dirige super nos, et opus manuum nostrarum dirige. Recte additum est, *Super nos.* Nam iustitiae lucrum nostrum est: et Deus quidem virtutis studiosos adiuuat, et quae huius sunt vna perficit: horum vero fructum ferentes metunt. Deus enim nullius rei indiget, gaudet tamen secundis rebus et felicitate hominum, „si totos ipsi tra„dunt sese, instar victimae: „prout Paulus nos docet: a) „Adhortor autem vos per mi„sericordiam Dei, vt exhibeatis „corpora vestra, sacrificium vi„vum, sanctum et Deo gratum, „qui est cultus vester rationalis. „Amen.„

ρῶν ἡμῶν 1) κατεύθυνον 2) ἐφ' ἡμᾶς· 3) καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον. καλὴ τῦ ἐφ' ἡμᾶς ἡ προσθήκη· ἡμέτερον γὰρ τῆς δικαιοσύνης τὸ κέρδος· καὶ ὁ μὲν Θεός συνεργεῖ τοῖς τῆς ἀρετῆς ἐρασταῖς, 4) καὶ τὰ 5) ταύτης συγκατορθοῖ, τὸν δὲ τύτων καρπὸν οἱ σπείροντες δρέπονται. ὁ γὰρ Θεὸς ἀνενδεής· χαίρει δὲ ὅμως τῇ τῶν ἀνθρώπων εὐκληρίᾳ τε καὶ 6) εὐπραξίᾳ. 7) „ὅτ' ἂν ὅ„λυς ἑαυτὺς αὐτῷ θυσίαν προσκομίζω„σι· καθάπερ Παῦλος ἐκπαιδεύει· πα„ρακαλῶν δὲ ὑμᾶς διὰ τῶν οἰκτιρμῶν τῦ „Θεῦ, παραστῆσαι τὰ σώματα ὑμῶν „θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, „τὴν λογικὴν λατρείαν ὑμῶν. ἀμήν.„

INTERP. PSALMI XC.

Laus cantici Dauidi. Sine titulo apud Hebraeos. Psalmus quidem sine titulo est. Docet vero inexpugnabile robur spei in Deo collocatae. Nam cum beatus Dauid propheticis oculis ea quae beato Ezechiae acciderunt, e longinquo praeuidisset, et vidisset, quomodo spe sua in Deo fixa, Assyriorum profligauerit exercitum, hunc conscripsit psalmum, omnes homines docens, quantam ii, qui firmam spem in Deo constituunt bonorum affluentiam habeant, „quam „vnusquisque per hoc canticum „ductus de vita sua sibi prospici„ens et fiduciam suam in Deo po-

ΕΡΜΗΝ. ΤΟΥ ϟ'. ΨΑΛΜΟΥ.

8) Αἶνος ᾠδῆς 9) τῷ Δαβίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. Ἀνεπίγραφος 10) μὲν ὁ ψαλμός, διδάσκει δὲ τῆς εἰς Θεὸν ἐλπίδος τὸ ἄμαχον· 11) ὁ γὰρ μακάριος Δαβὶδ πνευματικοῖς ὀφθαλμοῖς τὰ κατὰ τὸν 12) μακάριον Ἐζεκίαν πόῤῥωθεν θεασάμενος, καὶ 13) ἰδὼν ὅπως εἰς Θεὸν ἐλπίσας τὴν 14) Ἀσσυρίων κατέλυσε στρατείαν, τῦτον 15) εἴρηκε τὸν ψαλμόν, πάντας διδάσκων ἀνθρώπυς, ὅσην ἀγαθῶν ἔχει φορὰν 16) τὸ πεποιθέναι Θεῷ. 17) „ἣν ἕκαστος „διὰ ταύτης ποδηγύμενος τῆς ᾠδῆς τὸν „ἑαυτῦ βίον ἀσφαλιζόμενος καὶ τὴν ἑ„αυτῦ πεποίθησιν ἔχων πρὸς τὸν σωτῆ-

„ρος

1) κατεύθυνον. *Hebr.* stabile fac. 2) ἐφ' — κατεύθυνον. Des. in Cod. 2. 3) καὶ — κατεύθ. Des. in Cod. *vatic.* 4) καὶ — συγκατ. Cod. 2. καὶ ταύτην κατορθοῖ. 5) ταύτης. Cod. 1. add. εἴδη. 6) Cod. 1. εὐπραγίᾳ. 7) E Cod. 1. 8) Αἶνος — Ἑβρ. Des. in Cod. 1. 9) τῷ Δαβ. Abest a Cod. 2. 10) μέν. Cod. 1. add. παρ' Ἑβραίοις. 11) ὁ — θεασάμενος. Cod. 1. ὁ γὰρ μακάριος Δαβὶδ ὐ μόνον τὰ συμβησόμενα αὐτῷ, ἀλλὰ καὶ τὰ κατὰ τὸν θαυμάσιον Ἐζεκίαν πνευματικοῖς ὀφθαλμοῖς πόῤῥωθεν θεασάμενος. 12) μακάριον. Cod. 2. θαυμάσιον. 13) Cod. 1. εἰδώς. 14) Cod. 2. Ἀσσυρίας. 15) εἴρηκε. Cod. 1. ἔγραψε. 16) τὸ πεποιθ. Des. in Cod. 2. 17) E Cod. 1.

a) Rom. 12, 1.

„ρα ἀντιβολεῖ.„ α΄. Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. 1) Ὁ τῇ θείᾳ, 2) φησὶ, κηδεμονίᾳ θαῤῥῶν, τῆς παρὰ τοῦ Θεοῦ τοῦ οὐρανοῦ φυλακῆς ἀπολαύσεται, καὶ τοῦτον ἕξει περίβολον ὀχυρὸν, καὶ ἀσφάλειαν ἄσυλον. 3) „ὅτε δὲ φορέσειε τὸν θυρεὸν τοῦτον καὶ ὑπ᾽ αὐτοῦ „βοηθούμενος ἄτρωτος φυλαχθείη· τό-„τε ἐρεῖ· „ β΄. Ἐρεῖ τῷ 4) Θεῷ, ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου· ὁ Θεός 5) μου, 6) καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν. 7) Βεβαίαν γὰρ ἔχων τὴν εἰς αὐτὸν ἐλπίδα, καὶ προστάτην καλέσει, καὶ κηδεμόνα, καὶ περίβολον 8) ἀκατάλυτον. γ΄. Ὅτι αὐτὸς ῥύσεταί 9) με ἐκ παγίδος θηρευτῶν, καὶ 10) ἀπὸ λόγου ταραχώδους. 11) Ἐντεῦθεν λοιπὸν πρὸς αὐτὸν ποιεῖται τὸν πεπιστευκότα τοὺς λόγους, καὶ παραθαῤῥύνει λέγων, ὡς οὐ μόνον 12) προφανῶν 13) αὐτὸν πολεμίων 14) ἀποφαίνει κρείττονα, ἀλλὰ καὶ τῶν ἐνεδρευόντων, καὶ λοχώντων, καὶ λάθρα 15) τυρευόντων 16) τὴν ἐπιβουλήν. διὰ μὲν γὰρ 17) τῆς παγίδος τὰς λαθραίας ἐπιβουλὰς παρεδήλωσε. τὸν δὲ ταραχώδη λόγον ἐπηρείας λόγον ὁ Σύμμαχος εἴρηκε· τοιοῦτοι δὲ οἱ ψεῦδος καὶ συκοφαντίας ῥάπτοντες· ἀλλ᾽ ὅμως καὶ τούτων

„ niens, rogat. „ 1. *Qui habitat in adiutorio altissimi, in protectione Dei cæli commorabitur.* Qui, ait, diuino auxilio fretus est, a Deo cæli præsidium consequetur, firmissimumque vallum habebit, atque tutam securitatem. „ Si nimirum hoc scutum gestaverit et ab eo adiutus a vulneribus liber manserit, tunc „ dicet: „ 2. *Dicet Deo, susceptor meus es tu, et refugium meum, Deus meus, et sperabo in eum.* Firmam enim in eo spem figens, adiutorem illum ac protectorem suum, et indissolubile vallum appellabit. 3. *Quoniam ipse liberabit me e laqueo venantium, et a verbo aspero.* Hinc deinceps cum illo qui credidit verba facit, et fiduciam ei addit, dicens, fore vt non modo manifestis inimicis superiorem ipsum reddat, verum etiam obseruantibus, et insidiantibus, et occultos dolos struentibus. Per *laqueum* enim, occultas insidias demonstrauit. *Verbum* autem *asperum*, verbum contumeliæ Symmachus dixit. Istiusmodi sane sunt, qui mendacia et calumnias struunt. Veruntamen multi hos supe-

1) Ὁ. Cod. 1. præm. λέγει δέ. 2) φησί. Abest a Cod. 1. 3) E Cod. 1. 4) Θεῷ. Cod. 1. Κυρίῳ, quæ est rec. lectio h. l. 5) μου. Cod. 2. add. βοηθός μου. 6) καί. Abest a Textu τῶν ό. in Cod. *alex.* et *vat.* 7) Βεβαίαν. Cod. 1. præm. καθάπερ καὶ αὐτὸς οὗτος ὁ μέγας Δαβὶδ τήνδε τὴν ἱκετείαν ἔχων καὶ ἀντιβολῶν ἔτυχε τῆς θείας προμηθείας. „Sicut etiam ipse ille magnus Dauid, cum has haberet et adhiberet preces, prouida Dei cura potitus est.„ 8) ἀκατ. Cod. 1. add. καὶ τίνος ἕνεκεν διὰ τῶν ἑξῆς λέγει. 9) με. Ita leg. in Cod. *alex.* præstat autem lectio σε, quam habet Cod. *vat.* Hebr. יַצִּילְךָ. 10) ἀπὸ — ταρ. *Hebr.* a peste ærumnosa. 11) Ἐντεῦθεν — πεπις. Cod. 1. τοῦ Ἀβεσσαλὼμ καὶ τῶν κατ᾽ αὐτόν· ἐντεῦθεν δὲ οὐ μόνον πρὸς τὸν Δαβὶδ ἀλλὰ καὶ πρὸς πάντα ἄνθρωπον ποιεῖται ὁ Θεός. Sequitur τοὺς λόγους κ. τ. λ. 12) Cod. 2. προφανῶς. 13) Cod. 2. αὐτῶν. 14) Cod. 1. ἀποφανεῖ. 15) τυρ. Cod. 2. θηρευόντων. 16) τὴν ἐπιβ. Dees. in Cod. 2. 17) Cod. 2. τῶν παγίδων.

superauerunt firmissima spe in Deo fixa. Sic magnus ille Ioseph, adulterii calumniam sustinens, huius laqueos * declinauit. Sic admirabilis Susanna cælesti præsidio adiuta est. „ Et non „ hanc tantum, sed etiam ad „ hanc vsque diem innumeram „ multitudinem saluatam noui„ mus ac audiuimus. „ 4. *Scapulis suis obumbrabit te, et sub pennis eius sperabis.* Propugnator enim tibi erit, teque bello petitum operiet. Hoc autem posuit per Metaphoram desumtam ab illis, qui primi in acie consistunt, et humeris eos qui a tergo sunt operiunt. *Pennas* porro vocat prouidentiæ vires. Dixit autem hoc ex auium similitudine: etenim illæ pullos alis operiunt. Sic beatus Moses Dei curam vocauit. Custodiuit ipsos, ait, a) vt pupillam oculi, et sicut aquila, vt tegat nidum suum, et super pullos suos desiderauit, expandens alas suas, assumsit eos, et assumsit eos in scapulis suis. Hoc etiam Dominus Hierosolymæ dixit, b) Quoties volui congregare filios tuos, sicut gallina congregat pullos suos sub alis suis, et noluistis. 5. *Scuto circumdabit te veritas*

κρείττους ἐγένοντο διὰ τῆς εἰς τὸν Θεὸν ἐλπίδος πολλοί. οὕτως ὁ μέγας Ἰωσὴφ, 1) μοιχείας ὑπομείνας 2) συκοφαντίαν, 3) τοὺς ταύτης 4) παγίδας 5) ἀπέφυγεν· οὕτως ἡ 6) θαυμασία Σουσάννα τῆς ἄνωθεν ἐπικουρίας ἀπήλαυσεν. 7) „ καὶ „ οὐ μόνον, ἀλλὰ καὶ μέχρι τοῦ παρόντος „ μυριάδας ἀναριθμήτους καὶ ἠκούσαμεν „ καὶ ἔγνωμεν σωθείσας. „ δ΄. 8) Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ 9) ἐλπιεῖς. Πρόμαχος γάρ σου γενήσεται, καὶ καλύψει σε πολεμούμενον. τέθεικε δὲ τοῦτο ἐκ μεταφορᾶς τῶν πρώτων ἐν πολέμοις ἑστώτων, καὶ τοῖς μεταφρένοις καλυπτόντων τοὺς ὄπισθεν· πτέρυγας δὲ καλεῖ τῆς προνοίας τὰς ἐνεργείας· τέθεικε δὲ τοῦτο τῇ τῶν 10) ὀρνίθων εἰκόνι χρησάμενος· καὶ γὰρ ἐκεῖνοι τοῖς πτεροῖς τοὺς νεοττοὺς 11) συγκαλύπτουσιν. οὕτως ὁ μακάριος Μωσῆς τὴν τοῦ Θεοῦ κηδεμονίαν ἐκάλεσε· διεφύλαξεν αὐτοὺς φησιν ὡς κόρην ὀφθαλμοῦ, ὡς ἀετὸς, σκεπάσαι νοσσιὰν ἑαυτοῦ, 12) καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε. διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ· τοῦτο καὶ ὁ 13) Δεσπότης πρὸς τὴν Ἱερουσαλὴμ ἔφη· ποσάκις ἠθέλησα 14) συναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις 15) ἐπισυνάγει τὰ νοσσία 16) ἑαυτῆς, καὶ οὐκ 17) ἠθελήσατε; ε΄. 18) Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

1) μοιχείας. Cod. 2. μυρίας. 2) Cod. 2. συκοφαντίας. 3) Cod. vterque τάς. 4) Cod. 1. πάγας. 5) Cod. vterque διέφυγε. 6) θαυμ. Cod. 2. μακαρία. 7) E Cod. 1. qui ad vocem ἔγνωμεν adscriptam habet lectionem aliam, εἴδομεν. „ 8) Ἐν — αὐτοῦ. Hebr. באברתו *ala sua.* 9) ἐλπιεῖς. Hebr. תחסה *refugium habebis.* 10) ὀρνίθων. Cod. 1. ἀετῶν. 11) συγκ. Cod. 2. φυλάττουσι. 12) καὶ — αὐτοῦ. Des. in Cod. 2. 13) δεσπ. Cod. 1. add. Χριστὸς ὁ Θεὸς ἡμῶν. 14) Cod. 1. ἐπισυναγαγεῖν. 15) ἐπισ. Des. in Cod. 2. 16) ἑαυτ. Cod. 1. add. ἐπὶ τὰς πτέρυγας αὐτῆς. 17) ἠθελ. Cod. 1. add. καλῶς ἂν ἔχειν διὰ τῶν ἑξῆς ἐδήλωσεν ὁ προφητικὸς νοῦς. 18) Ὅπλῳ — αὐτοῦ. *Hebr.* Scutum et clipeus veritas eius. *Aqu.* ὡς πανοπλία καὶ περιφορεία ἡ ἀλήθεια αὐτοῦ.

a) Deut. 32, 10. 11. b) Matth. 23, 37.

αὐτοῦ. 1) Ἐπειδὴ λόγου ταραχώδους καὶ ψεύδους ἐμνημόνευσεν ἄνω, εἰκότως ἐνταῦθα ὑπέσχετο πανοπλίαν 2) αὐτοῦ γενέσθαι τὴν ἀλήθειαν. Οὐ 3) φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας. ϛ. 4) Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, 5) ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. 6) Οὐ 7) μόνων δὲ τῶν αἰσθητῶν, ἀλλὰ καὶ τῶν νοητῶν περιγενήσῃ δυσμενῶν διὰ τῆς θείας ἐλπίδος, καὶ διαφεύξῃ καὶ τὰς νύκτωρ ἐπιούσας 8) ἐπιβουλὰς, καὶ τὰς 9) μεθ' ἡμέραν γενομένας παρὰ τῶν ἐχθρῶν 10) προσβολὰς, καὶ θάρσος ἔχων, ἅτε δὴ ὑπὸ τοῦ Θεοῦ φρουρούμενος, ἐξελάσεις τὸ δέος, καὶ 11) οὔτε μεσούσης ἡμέρας ἀγωνιάσεις, ἀλλὰ τὰς τῶν δαιμόνων ἐπιβουλὰς διαδράσεις, τῆς ἄνωθεν ἐπικουρίας μεταλαγχάνων. δαιμόνιον δὲ μεσημβρινὸν 12) κατὰ τὴν παρὰ τοῖς πολλοῖς 13) κατέχουσαν τέθεικε δόξαν· εἰκὸς δὲ καὶ τοὺς τῶν ἀνθρώπων ἐπιβούλους, μετὰ τροφὴν καὶ τὸν κόρον, ὡς ἐφ' ἕτοιμον θήραμα 14) τρέχειν, καὶ τοὺς ἐρήμους τῆς ἄνωθεν κηδεμονίας καταδουλῶσθαι ῥᾳδίως. ζ'. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς· καὶ μυριὰς ἐκ δεξιῶν σου· πρὸς σὲ 15) δὲ οὐκ ἐγγιεῖ. η'. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. 16) Ἀντὶ τοῦ κλίτους σου· 17) ὁ Σύμμαχος καὶ ὁ Ἀκύλας, ἐκ 18) πλαγίου 19) τεθείκασιν. λέγει δὲ, ὅτι κἂν ἐκ δεξιῶν 20) σου, κἂν ἐξ

eius. Quoniam superius verbi asperi, et mendacii mentionem fecit, iure hoc in loco armaturam eius veritatem promisit. *Non timebis a timore nocturno, a sagitta volante interdiu.* 6. *A negotio perambulante in tenebris, ab incursu, et daemonio meridiano.* Non modo hostes qui cernuntur, sed eos etiam qui non conspiciuntur superabis, spe in Deo fixa, et nocte superuenientes insidias declinabis, et impetus de die ab hostibus factos: et fiduciam habens, vt qui a Deo custodiaris, timorem exiges, neque meridie timore corripieris, sed daemonum insidias effugies, caelesti auxilio nixus. Ceterum daemonium meridianum posuit secundum opinionem, quae apud vulgus inualuit. Verisimile autem est, hominum insidiatores, post cibum atque satietatem, veluti ad paratam praedam concurrere, et eos, qui caelesti cura orbati sunt, facile superare. 7. *Cadent a latere tuo mille, et decem millia a dexteris tuis, ad te autem non appropinquabunt.* 8. *Veruntamen oculis tuis considerabis, et retributionem peccatorum videbis.* Pro *a latere tuo*, Symmachus et Aquila *ex transuerso* verterunt. Dicit autem, siue a dextera tua, siue a

Tt 2 laeua

1) Ἐπειδή. Cod. 1. add. δέ. 2) Cod. 1. αὐτῷ. 3) φοβ. Cod. 1. add. λέγων. 4) Ἀπὸ πράγματος. Hebr. מִדֶּבֶר *a peste*. Symm. ἀπὸ λοιμόν. 5) ἀπὸ — μεσημβ. *Hebr.* a lue quae deuastat sub meridiem. 6) Οὐ. Cod. 1. praem. λέγει δὲ ὅτι. 7) Cod. 1. μόνον. 8) ἐπιβ. Cod. 2. προσβολάς. 9) μεθ'. Cod. 2. καθ'. 10) προσβ. Des. in Cod. 2. 11) οὔτε. Cod. 1. add. νύκτωρ, οὔτε. 12) κατὰ τήν. Des. in Cod. 2. 13) κατέχ. Cod. 1. κρατοῦσαν. 14) Cod. 2. ἐπιτρέχειν. 15) δέ. Abest a Cod. 2. 16) Ἀντί. Cod. 2. add. δέ. 17) ὁ — Ἀκύλας. Cod. 1. οἱ λοιποί. Cod. 2. ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων. Aquilae et Symm. hanc lectionem tribuit MONTF. in Hexapl. ad h. l. 18) πλαγίου. Cod. 1. add. σου. 19) Cod. 1. εἰρήκασιν. 20) σου. Abest a Cod. 1.

* laeua tua, * multitudo infinita accesserit, tibi quidem nihil nocebit: videbis vero illos diuina plaga percussos. Hoc etiam Ezechiae tempore euenit. Nam centum octoginta et quinque millia Assyriorum caesa fuerunt absque bellicis instrumentis. Sic Gedeonis, ac Ionathanis, et Iosaphati, et Elisaei prophetae tempore hoc idem factum est. *9. Quoniam tu Domine spes mea, Altissimum posuisti refugium tuum.* Hanc autem opem, inquit, consequeris, si spem in Deum collocaueris, eumque tibi perfugium feceris. Nam orationis structurae hoc deest, *Dixisti*, tu Domine spes mea. Prophetica enim scriptura hunc proprium loquendi modum habet, et potissimum psalmi. Veruntamen ordo et series orationis ambiguitatem declarat. Quoniam enim, inquit, in Deo spem tuam constituis, et in auxilium ipsum vocas, opem ab ipso consequeris. *10. Non accedent ad te mala, et flagellum non appropinquabit ad tabernaculum tuum.* Superior eris diabolicis incursionibus, et inde nihil damni accipies. Hoc modo diuina gratia domum Iobi vallauit, et testis est ipse hostis exclamans, a) Nonne et tu vallasti ea, quae in domo eius et foris sunt? Postquam autem concessit, et ille malitiam suam ostendit, et iustus iudex ath-

εὐωνύμων σου, πλῆθος ἄπειρον 1) ἐξέλθῃ, σοὶ μὲν οὐδεμία προσγίνεται λώβη, ὄψῃ δὲ ἐκείνους θείᾳ καταβαλλομένους πληγῇ. τοῦτο καὶ ἐπὶ τοῦ Ἐζεκίου γεγένηται· ὀκτωκαίδεκα γὰρ μυριάδες, καὶ πέντε χιλιάδες τῶν Ἀσσυρίων κατηκοντίσθησαν πολεμικῶν ὀργάνων χωρίς. οὕτως ἐπὶ τοῦ Γεδεὼν, οὕτως ἐπὶ τοῦ 2) Ἰωνάθαν, καὶ μέντοι καὶ ἐπὶ τοῦ Ἰωσαφὰτ, καὶ ἐπὶ τοῦ προφήτου Ἐλισσαίου αὐτὸ τοῦτο γεγένηται. θ. Ὅτι σὺ Κύριε 3) ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου 4) καταφυγήν σου. Ταύτης δέ φησι τῆς προμηθείας 5) ἀπολαύσαις, τῇ εἰς Θεὸν ἐλπίδι χρησάμενος, καὶ τοῦτον 6) καταφυγὴν 7) ποιησάμενος· ἐλλείπει 8) γὰρ τῇ συνθήκῃ τοῦ λόγου τὸ 9) εἶπας σὺ Κύριε ἡ ἐλπίς μου· ἰδίωμα 10) γὰρ τοῦτο τῆς προφητικῆς συγγραφῆς, διαφερόντως δὲ τῶν ψαλμῶν· ἀλλ' ὅμως ἡ ἀκολουθία δῆλον ποιεῖ τὸ ἀμφίβολον. ἐπειδὴ γάρ φησιν ἐλπίζεις εἰς τὸν Θεὸν, καὶ εἰς ἐπικουρίαν αὐτὸν καλεῖς, τῆς παρ' αὐτοῦ κηδεμονίας 11) τυγχάνεις. ί. Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ 12) ἐν τῷ σκηνώματί σου. 13) Κρείττων ἔσῃ τῶν διαβολικῶν προσβολῶν, καὶ βλάβην ἐκεῖθεν οὐ δέξῃ· οὕτως ἡ θεία χάρις τὴν τοῦ Ἰὼβ 14) περιέφραττεν οἰκίαν· καὶ μάρτυς ὁ πολέμιος βοῶν, οὐ σὺ περιέφραξας τὰ 15) ἔσωθεν, καὶ τὰ ἔξωθεν 16) τῆς οἰκίας αὐτοῦ; ἐπειδὴ δὲ συνεχώρησε, κἀκεῖνος τὴν 17) οἰκείαν ἔδειξε πονηρίαν, καὶ ὁ δίκαιος κριτὴς τὸν νικηφό-

1) Cod. 1. ἔλθῃ. Cod. 2. ἐπέλθοι. 2) Cod. 2. Ἰωνάθα. 3) ἡ ἐλπ. μου. Hebr. *refugium meum.* 4) κατ. σου. Hebr. *habitationem tuam.* Aqu. κατοικητήριόν σου. *Symm.* κατοίκησίν σου. 5) Cod. 2. ἀπήλαυσα. 6) καταφ. Cod. 1. praem. ὁσημέραι. 7) Cod. 1. ποιούμενος. 8) Cod. 2. δέ. 9) εἶπας. Cod. 1. add. γάρ. 10) γάρ. Cod. 1. δέ. 11) τυγχ. Cod. 1. add. καὶ διὰ τῶν ἑξῆς σαφέστερον αὐτὸ ἔφησεν, τῷ εἰπεῖν. 12) ἐν. Abest a Textu τῶν ό. 13) Cod. 1. λέγει δὲ ὅτι κρείσσων. 14) Cod. 1. περιέφραξεν. 15) ἔσωθεν. Cod. 2. ἔνδοθεν. 16) τῆς οἰκ. αὐτοῦ. Des. in Cod. 2. 17) οἰκ. ἔδειξε. Cod. 2. ἰδίαν ἐδείξατο.

a) Hiob. 1, 10.

νηφόρον 1) ἐστεφάνωσεν 2) ἀθλητήν. ια΄. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Τοῦτο καὶ ἐν τῷ ΛΓ΄ ἔφη ψαλμῷ· παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς· 3) ἠκούσαμεν δὲ καὶ Ἰακὼβ τοῦ πατριάρχου λέγοντος, ὁ ἄγγελος ὁ 4) ῥυσάμενός με ἐκ πάντων τῶν κακῶν. καὶ ὁ μέγας Ἀβραὰμ τὸν οἰκέτην 5) παραθαῤῥύνων ἔφη, ὁ Θεὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου σου, καὶ λήψῃ γυναῖκα 6) Ἰσαὰκ τῷ υἱῷ μου ἐκεῖθεν. πανταχόθεν τοίνυν μανθάνομεν, 7) ὡς δι᾽ ἀγγέλων φρουρεῖ τοὺς εἰς αὐτὸν πεποιθότας ὁ τῶν ὅλων Θεός. ιβ΄. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. 8) Τῆς παντοδαπῆς 9) παρ᾽ αὐτῶν 10) ἀπολαύσεις προνοίας, ἵνα μηδὲ 11) βραχεῖα σοι ποθὲν προσγένηται βλάβη· τὸ σμικρὸν γὰρ τῆς βλάβης, διὰ τοῦ προσπταῖσαι τῷ λίθῳ δεδήλωκε. τὸ δὲ, ἐπὶ χειρῶν ἀροῦσί σε, ἀντὶ τοῦ χειραγωγήσουσι, 12) ποδηγήσουσι, 13) παντοδαπὴν ἐπικουρίαν προσοίσουσιν. ιγ΄. Ἐπ᾽ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Τῶν δυνατωτάτων καὶ πικροτάτων ἐμνήσθη θηρίων, τὴν κατὰ παντὸς εἴδους 14) πονηρίας ἐπικράτειαν δηλῶσαι θελήσας. διὰ μὲν γὰρ τοῦ λέοντος καὶ τοῦ δράκοντος τὴν ἰσχὺν ἐσήμανε· δυνατὰ γὰρ ταῦτα κομιδῇ τὰ θηρία. διὰ δὲ τῆς ἀσπίδος καὶ τοῦ βασιλίσκου, τὴν ἄκραν πονηρίαν

letam victorem coronauit. 11. *Quoniam angelis suis mandabit de te, vt custodiant te in omnibus viis tuis.* Hoc et in trigesimo tertio psalmo dixit, a) Castrametabitur Angelus Domini in circuitu timentium eum, et eripiet eos. Audiuimus etiam patriarcham Iacobum dicentem, b) Angelus qui eripuit me ex omnibus malis. Et magnus Abraham seruo fiduciam addens ait, c) Deus mittet angelum suum ante faciem tuam, et accipies illinc vxorem filio meo Isaac. Vbique igitur discimus, per angelos vniuersorum Deum eos, qui in eo spem collocarunt, custodire. 12. *In manibus portabunt te, ne forte offendas ad lapidem pedem tuum.* Omne genus auxilii ab ipsis consequeris, vt ne minimum quidem inde patiaris detrimentum. Parum enim mali per offensionem ad lapidem indicauit. Illud vero, *In manibus portabunt* * te, idem est, ac * manu regent, et ducent, ac omne genus auxilii tibi afferent. 13. *Super aspidem et basiliscum ambulabis, et conculcabis leonem et draconem.* Robustissimarum et acerbissimarum ferarum mentionem fecit, vt dominium in omnes species malitiæ ostenderet. Nam per leonem quidem et draconem, robur indicauit: admodum robustæ enim sunt hæ feræ. Per aspidem vero et basiliscum, extremam malitiam tacite

1) ἐστεφ. Cod. 1. ἔδειξεν. 2) ἀθλ. Cod. 1. add. τοῦτο γὰρ σαφέστερον διὰ τῶν ἑξῆς. 3) Cod. 2. ἀκούομεν. 4) Cod. 1. ῥυόμενος. 5) Cod. 2. θαῤῥύνων. 6) Ἰσαάκ. Abest a Cod. 1. 7) ὡς. Cod. 2. add. καί. 8) Τῆς. Cod. 2. add. δέ. 9) παρ᾽. Cod. 1. δι᾽. 10) Cod. 1. ἀπολαύσῃ 11) βραχ. Cod. 2. μία. 12) ποδηγ. Cod. 1. add. ὑπερείσουσιν ἀσθενοῦντα. 13) Cod. 2. παντοδαπὰς ἐπικουρίας. 14) πον. ἐπικρ. Cod. 1. πονηρίαν.

a) Ps. 33, 8. b) Gen. 48, 16. c) Ib. c. 24, 7.

tacite innuit. Aspis enim lethale venenum immittit: basiliscus vero adspectu ipso nocet. At vero multi, qui Deo crediderant, has feras superarunt. Sic admirabilis Daniel leonum ora ligavit; sic diuinus Paulus nihil damni passus est a vipera; a) „ vtque paucis dicam, ad antiquiorum temporum Historiam „ recurramus, „ sic Noë inter feras versans incolumis seruatus est. b) Sic innumeri solitariam vitam agentes, et cum feris vitam ducentes, ob firmam spem in Deo positam, harum perniciem euadunt. 14. *Quoniam in me sperauit, et liberabo eum; protegam eum, quoniam cognouit nomen meum.* 15. *Clamabit ad me, et ego exaudiam eum.* Hæc deinceps uniuersorum Deus fatur, docens, quinam sit spei fructus, Liberabo enim, inquit, eum ex supradictis visibilibus inuisibilibusque insidiatoribus, mea spe circumseptum. Idcirco eum custodiam, et protegam, ipsumque loquentem audiam, et preces admittam. *Cum ipso sum in tribulatione.* Etsi in aliquam tentationem inciderit, adero, et idoneam consolationem

ἠνίξατο· ἡ μὲν γὰρ ἐνίησι θανατηφόρον ἰὸν, ὁ δὲ καὶ τῇ θέᾳ λώβην ἐργάζεται. καὶ αὐτῶν μέντοι τῶν θηρίων κρείττους ἐγένοντο πολλοὶ πεπιστευκότες Θεῷ· 1) οὕτως ὁ θαυμάσιος Δανιὴλ 2) τὰ τῶν λεόντων ἐπέδησε στόματα· οὕτως ὁ θεσπέσιος 3) Παῦλος τὴν ἀπὸ τῆς ἐχίδνης οὐκ ἐδέξατο βλάβην· 4) „ καὶ ἵνα συντόμως „ εἴπω, ἐπὶ τὰ παλαιὰ ἀναδράμωμεν· „ 5) οὕτως ὁ Νῶε τοῖς θηρίοις συνδιαιτώμενος ἀλύμαντος διεσώθη· οὕτω μυρίοι τὸν ἐρημικὸν 6) ἀσπασάμενοι βίον, καὶ θηρίοις 7) συμβιοτεύοντες 8) διὰ τῆς εἰς τὸν Θεὸν ἐλπίδος τῆς τούτων περιγίνονται 9) λύμης. ιδʹ. Ὅτι 10) ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· 11) σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου. ιεʹ. 12) Κεκράξεται πρός με, καὶ 13) ἐπακούσομαι αὐτοῦ. Ταῦτα λοιπὸν 14) ὁ τῶν ὅλων ἔφη Θεὸς, διδάσκων, τίς ὁ τῆς ἐλπίδος καρπός· ῥύσομαι γὰρ αὐτόν φησιν ἐκ τῶν εἰρημένων ὁρατῶν τε καὶ ἀοράτων ἐπιβούλων, τῇ ἐμῇ ἐλπίδι φραξάμενον· διὰ τοῦτο αὐτὸν φρουρήσω τε καὶ σκεπάσω, καὶ λαλοῦντος ἀκούσομαι, καὶ τὴν 15) δέησιν 16) δέξομαι. μετ' αὐτοῦ εἰμι ἐν θλίψει. 17) κἄν τινι πειρασμῷ περιπέσῃ, συνέσομαι, καὶ τὴν ἀρκοῦσαν προσοίσω παρα-

1) οὕτως. Cod. 1. ὡς. 2) τὰ — στόματα. Cod. 1. οὕτω καὶ ἐν γυναιξὶν ἡ πρωτομάρτυς Θέκλα· τὸ ἐμὸν φυλακτήριον· τὰ τῶν λεόντων ἐμφράξασα στόματα ἔσβεσε δύναμιν πυρός. „ Ita quoque, quæ prima inter mulieres martyrium subiit, Thecla, præsidium meum, leonum faucibus obstructis vim ignis exstinxit. „ Hic locus suspectus est. conf. p. 1048. n. 5. 3) Παῦλος. Cod. 1. add. ὁ Θέκλης καὶ τῆς οἰκουμένης διδάσκαλος. 4) E Cod. 1. 5) οὕτως — διεσώθη. Def. in Cod. 2. 6) Cod. 1. ἀσπαζόμενοι. 7) Cod. 2. συμβιωτεύουσιν. 8) διὰ — λύμης. Def. in Cod. 2. 9) λύμης. Cod. 1. βλάβης. Ibidem sequitur: καὶ ὅρα, πῶς, σαφέστερον διὰ τῶν ἑξῆς ἐδήλωσεν τῆς βοηθείας ταύτης τὴν δύναμιν. 10) ἐπ' ἐμὲ ἤλπισε. *Hebr.* adhæret mihi. 11) σκεπ. αὐτόν. *Hebr.* exaltabo eum. 12) Κεκρ. Cod. *vat.* habet ἐπικαλέσεται. Cod. *alex.* καὶ κράξεται. 13) ἐπακ. Cod. 1. εἰσακούσομαι, quæ est rec. lectio h. l. 14) ὁ — Θεός. Cod. 1. ὁ τοῦ παντὸς Δεσπότης ἔφη πρὸς τοὺς εἰς αὐτὸν πεποιθότας. 15) δέησιν. Cod. 2. add. αὐτοῦ. 16) δέξομαι. Cod. 1. add. καὶ τρανότερον αὐτὸ ἔφησε τῷ εἰπεῖν· „ et clarius hoc proponit, dicendo. „ 17) κἄν. Cod. 2. ἐάν.

a) Act. 28, 5. b) Gen. 7.

1) παραψυχήν. 2) ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν. 3) οὐ μόνον δὲ αὐτὸν ἐλευθερώσω τῶν λυπηρῶν, ἀλλὰ καὶ περίβλεπτον ἀπεργάσομαι. ιϛʹ. Μακρότητα ἡμερῶν ἐμπλήσω 4) αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. 5) Παρέξω δὲ αὐτῷ καὶ 6) τὸ εἰς γῆρας ἐλάσαι βαθὺ, καὶ τὴν ἐσομένην αὐτῷ κατὰ 7) τὸν μέλλοντα βίον σωτηρίαν 8) προδείξω· τούτων καὶ ὁ μακάριος ἀπήλαυσεν Ἐζεκίας· προσθήκην 9) γὰρ αἰτήσας ζωῆς, πέντε καὶ δέκα ἐτῶν 10) ἔλαβεν ἀριθμόν· πολλὴν δὲ καὶ ἐκ τῆς τῶν Ἀσσυρίων ἀπωλείας ἐκτήσατο περιφάνειαν· καὶ λίαν αὐτῷ 11) ἁρμόττει τὸ ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω 12) αὐτὸν, 13) καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. ἀλλὰ καὶ ἅπαντες 14) οἱ εἰς τὸν Θεὸν 15) ἠλπικότες παντοδαπῶν ἀπολαύσουσιν ἀγαθῶν· 16) ὡς καὶ αἱ παλαιαὶ διδάσκουσιν ἱστορίαι, 17) καὶ τὰ νῦν ὁρώμενα 18) μαρτυρεῖ.

afferam. *Eripiam eum, et glorificabo eum.* Non modo ab aduersis rebus ipsum liberabo, verum etiam illustrem efficiam. 16. *Longitudine dierum replebo eum, et ostendam illi salutare meum.* Faciam quoque, vt ad summam senectutem perueniat, et paratam ipsi in futura vita salutem præmonstrabo. Hæc etiam beatus Ezechias consecutus est. Nam cum vitæ incrementum petiisset, quindecim annorum numerum accepit, *a)* maximamque ex Assyriorum internecione gloriam sibi comparauit. Et valde ipsi conuenit illud, *Eripiam eum, et glorificabo eum, et ostendam illi salutare meum.* Verum et omnes, qui spem suam in Deo collocarunt, omnis generis bonis perfruentur, * quemadmodum et antiquæ docent historiæ, et ea quæ nunc cernuntur, testantur.

1) παραψ. Cod. 1. præm. βοήθειαν καί. 2) ἐξελοῦμαι. In Textu τῶν ό. præm. καί. 3) οὐ — ἀπεργ. Def. in Cod. 2. 4) αὐτόν. Cod. 1. add. καὶ τίνος ἕνεκεν διὰ τῶν ἑξῆς ἔφησεν τῷ εἰπεῖν. 5) Παρέξω. Cod. 1. προλέγω. 6) τό. Abest a Cod. 2. 7) τὸν — βίον. Cod. 2. τὴν μέλλουσαν ἡμέραν. 8) Cod. 1. παραδείξω, quod ponitur ante σωτηρίαν. 9) γάρ. Abest a Cod. 2. 10) ἔλαβεν. Cod. 2. προσλαβών. 11) ἁρμ. Cod. 1. præm. μάλιστα. 12) αὐτόν. Cod. 1. add. μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν. 13) καὶ — μου. Def. in Cod. 2. 14) οἱ. Cod. 1. ἄνθρωποι. 15) ἠλπικ. Cod. 1. add. καὶ μάλιστα τὸ στίφος τῶν ὑπὲρ τῆς ἀληθείας αὐτῆς ἀθλησάντων, „ et potissimum cœtus eorum qui pro ipsa veritate certarunt. „ 16) ὡς — μαρτυρεῖ. Def. in Cod. 2. 17) καὶ — ὁρώμενα. Cod. 1. καὶ τὰ μετὰ τὴν χάριν μέχρι τοῦ παρόντος καὶ παντὸς τοῦ βίου ὁρώμενα. 18) μαρτυρεῖ. Cod. 1. add. αἱ γὰρ ψυχαὶ τῶν γενναίων ἐν χειρὶ Κυρίου. τὰ μέντοι σώματα αὐτῶν ἐν θήκαις κείμενα διὰ τῶν γινομένων θεοσημειῶν τῆς δόξης τὸ σωτήριον δηλοῦσι· διὰ δὴ τὸν ὅρον τὸν δεσποτικὸν τῇ γῇ παραθέμενοι πηγάζουσι τὰς ἰάσεις, σωτῆρες ἄλλοι μετὰ τὸν σωτῆρα, καὶ ἰατροὶ κατὰ παντοδαπῶν παθῶν γινόμενοι· τρόπαιά τε τὰ παμμακαριώτατα αὐτῶν λείψανα μετὰ τὸ τρόπαιον τοῦ σταυροῦ κατὰ δαιμόνων ἀνέστησαν. „ Animæ enim illustrium eorum sunt in manu Domini. Corpora scilicet eorum in sepulcris recondita per miracula quæ ediderunt, gloriæ salutem significant. Terræ enim secundum Dei mandatum credita fontes fiunt sanationum, ceu alii post Saluatorem saluatores, et qui varias abigunt ægritudines, suasque sanctissimas reliquias instar tropæorum contra dæmonas erexerunt post tropæum crucis. „ Hic etiam locus suspectus est.

a) 4 Reg. 20, 6.

INTERPR. PS. XCI.

Psalmus cantici, in diem Sabbati. Sabbatum otium præcipiebat, sed non omne otium, quandoquidem spiritus opus multiplicabat: precibus enim et hymnis operam dare*, et Deo duplices hostias offerre iubebat: Corporeorum itaque laborum cessationem lex de sabbato iniunxit. Quoniam igitur futura quoque vita ab huiusmodi curis est libera, iure requies nuncupatur. Propterea et beatus Paulus exclamat, *a)* Festinemus ingredi in requiem eius. Et rursus, *b)* Reliqua itaque est quies populo Dei. Quia ergo psalmus iustorum præmium, et impiorum supplicium præcinit, et in illa quiete hæc fient, merito hanc accepit inscriptionem. 2. *Bonum est confiteri Domino, et psallere nomini tuo Altissime.* 3. *Ad annunciandum mane misericordiam tuam, et veritatem tuam nocte.* Vtile, ait, et quæstuosum est, de nocte et interdiu te beneficum laudibus prosequi, tuaque beneficia narrare, et tuam erga nos benignitatem, et contra impios homines veritatem. Nam in illos quidem veritate vtens iuste animaduertis: nos vero tuam cognitionem habentes

ΕΡΜΗΝ. ΤΟΥ ϞΑ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς ᾠδῆς, εἰς τὴν ἡμέραν τοῦ σαββάτου. Τὸ σάββατον 1) ἀργίαν ἐνομοθέτει, ἀλλ' οὐ 2) πᾶσαν ἀργίαν· τὴν γὰρ πνευματικὴν ἐργασίαν 3) πολλαπλασίαν ἐποίει· εὐχαῖς γὰρ καὶ ὕμνοις προσεδρεύειν 4) ἐκέλευσε, καὶ τῷ 5) Θεῷ διπλᾶς ἱερεύειν θυσίας· τῶν σωματικῶν τοίνυν 6) πόνων παῦλαν ἔχειν ὁ περὶ τοῦ σαββάτου 7) διηγόρευσε νόμος. ἐπεὶ τοίνυν καὶ ὁ μέλλων βίος τῶν τοιούτων ἐστὶ φροντίδων ἐλεύθερος, εἰκότως κατάπαυσις προσηγόρευται· διά τοι τοῦτο καὶ ὁ μακάριος Παῦλος βοᾷ· σπουδάσωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ· καὶ πάλιν· ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. 8) ἐπειδὴ τοίνυν ὁ 9) ψαλμὸς τῶν δικαίων τὴν τιμὴν, καὶ τῶν ἀδίκων προλέγει τὴν τιμωρίαν, ἐν ἐκείνῃ δὲ τῇ καταπαύσει 10) ταῦτα γενήσεται, εἰκότως ταύτην ἐδέξατο τὴν ἐπιγραφήν. β'. Ἀγαθὸν 11) ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε. γ'. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. 12) Ἐπωφελὲς 13) φησὶ καὶ κερδαλέον τὸ νύκτωρ καὶ μεθ' ἡμέραν σὲ τὸν εὐεργέτην ὑμνεῖν, καὶ τὰς σὰς εὐεργεσίας διεξιέναι, τὴν 14) περὶ ἡμᾶς φιλανθρωπίαν, τὴν κατὰ τῶν ἀδικούντων ἀλήθειαν. ἐκείνους μὲν γὰρ ἀληθείᾳ χρώμενος κολάζεις ἐνδίκως, ἡμᾶς δὲ τὴν σὴν ἐπίγνωσιν ἔχοντας

1) Cod. vterque ἀργίαν νενομοθέτηκεν. 2) Cod. vterque πᾶσαν ἀργίαν. 3) Cod. 1. πολλαπλασίον. 4) ἐκέλ. Cod. 2. ἐποίησε. 5) Θεῷ. Cod. 2. add. προσεύχεσθαι καί. 6) πόνων. Abest a Cod. 2. 7) Cod. 2. διηγόρευε. 8) Cod. 1. ἐπεί. 9) ψαλμός. Cod. 1. præm. παρών. 10) ταῦτα. Cod. 2. πάντα. 11) ἐξομολ. Codex vterque præm. τὸ, vt in Textu τῶν ό. 12) Ἐπωφελές. Cod. 1. præm. ὁρᾷς ὅτι κοινὴν ἐξομολόγησιν προτίθησι ταύτην τὴν ᾠδήν. „ Vides, hoc canticum instar communis confessionis proponi. „ 13) Φησι. Cod. 1. præm. γάρ. 14) περὶ ἡμᾶς. Cod. 2. ὑπὲρ ἡμῶν.

a) Hebr. 4, 11. b) Ib. vers. 9.

τας προμηθείας ἀξιοῖς. δ'. Ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ᾽ ᾠδῆς ἐν κιθάρᾳ. Τοιούτοις ὀργάνοις εἰώθασι τὸν Θεὸν ἀνυμνεῖν· λέγει τοίνυν, ὅτι καὶ ἐν τοῖς νενομισμένοις ἀνακρουομένους ὀργάνοις, καὶ τῇ τῆς γλώττης μελῳδίᾳ 1) χρωμένους, δίκαιον 2) σοι προσφέρειν 3) τὸν χαριστήριον ὕμνον. ε'. Ὅτι 4) ηὔφρανάς με Κύριε ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. Ὁρῶν γάρ σου τὰς δημιουργίας, καὶ τὰς ἀῤῥήτους οἰκονομίας, ἀγάλλομαί τε καὶ γάννυμαι, καὶ τῇ τῆς ψυχῆς ἡδονῇ τὴν γλῶτταν εἰς ὑμνῳδίαν κινῶ. ς'. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ 5) λογισμοί σου. 6) Ὁ δὲ Σύμμαχος 7) οὕτως· σφόδρα βαθεῖς οἱ διαλογισμοί σου· Ἀκύλας δὲ καὶ Θεοδοτίων, ἐβαθύνθησαν· τὰ μὲν γὰρ ἔργα σου, φησὶ, μεγάλα καὶ θαυμαστά· τὸ γὰρ ὡς ἐπιτατικῶς τέθεικεν· ἡ δὲ σοφία σου ἀνέφικτον ἔχει τὸ βάθος· ποῖος γὰρ νοῦς 8) ἱκανὸς ἐξετάσαι τῆς σῆς προνοίας τοὺς λόγους; ἀλλ᾽ ἡμεῖς μὲν 9) τοῦτο καὶ τοὺς ἀγνοοῦντας διδάσκομεν· οἱ δὲ φρενῶν ἐστερημένοι, καὶ τὸ λογικὸν ἀπολέσαντες, οὔτε συνιδεῖν ἐθέλουσιν, οὔτε μαθεῖν παρ᾽ ἑτέρων ἀνέχονται· ταῦτα γὰρ ἐπιφέρει. ζ'. Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος 10) οὐ συνήσει ταῦτα. Διαφόρως ταῦτα 11) εἴρηκεν· ὅτι ὁ τὰς φρένας νοσῶν, 12) καὶ συνέσεως ἐρη-

tua prouidentia dignaris. 4. *Cum decachordo psalterio cum cantico in cithara.* Huiusmodi symphoniacis instrumentis Deum laudare solebant. Dicit igitur, Iustum est nos et musica instrumenta lege praescripta pulsando, et cantu vocis vtendo, gratiarum actionis hymnum tibi offerre. 5. *Quia oblectasti me Domine factis tuis, et in operibus manuum tuarum exultabo.* Perspiciens enim opera tua quae creasti, tuasque inexplicabiles gubernationes: gaudeo, et exulto, animique voluptate linguam in hymnorum cantum impello. 6. *Quam magnifica sunt opera tua Domine? nimis profundae factae sunt cogitationes tuae.* * Symmachus vero sic, Valde profundae sunt cogitationes tuae. Aquila vero, et Theodotio, Profundae factae sunt. Tua enim opera, inquit, magna et admirabilia sunt, (nam illud *Quam*, amplificationem significat) sapientia autem tua inaccessam profunditatem habet. Quaenam enim mens tuae prouidentiae rationes aestimare potest? Sed nos hoc quidem, et ignaros docemus. Ceterum qui mente orbati, rationisque expertes sunt, nec scire volunt, nec discere ab aliis dignantur. Haec enim infert. 7. *Vir insipiens non cognoscet, et stultus non intelliget haec.* Diuersis modis haec dixit: quod is qui mente laborat, et prudentia pri-

Tt 5 uatus

1) χρωμ. Cod. 1. add. καὶ τῇ τῆς διανοίας κατανύξει διὰ πάντων τὴν δεκάλογον φυλακτέον· πρὸς τὸ μὴ τῇδε κἀκεῖσε κλίνειν τὸν τήνδε τὴν ἱκετείαν προσφέροντα, ἀλλά. Sequ. δίκαιον κ. τ. λ. „ et cum animi compunctione omnia Decalogi praecepta obseruanda esse, ne huc et illuc vagetur qui hanc instituit supplicationem, sed. „ 2) σοι. Abest a Cod. 1. 3) τόν. Cod. 1. ὡς. 4) Cod. vterque εὔφρανας, quae est rec. lectio h. l. 5) Cod. vterque διαλογισμοί. 6) Ὁ — θαυμαστά. Def. in Cod. 1. 7) οὕτως. Abest a Cod. 2. 8) ἱκανός. Cod. 1. add. γενήσεται. 9) ταῦτα καὶ τούς. Cod. 1. τούτους ἴσμεν καὶ τούς. 10) οὐ. Cod. 2. add. μή. 11) εἴρηκε. Cod. 1. add. ὁ προφήτης. 12) καί. Abest a Cod. 1.

natus est, nihil horum cognoscit, neque de his quicquam audire vult. 8. *Cum exorti fuerint peccatores sicut fœnum, et apparuerint omnes qui operantur iniquitatem, vt intereant in sæculum sæculi.* *Apparuerint*, Aquila *floruerint* dixit, eodemque modo Symmachus. Noluerunt intelligere insipientes, quoniam veluti fœnum floruerunt, et instar herbæ viridis e terra apparuerunt iniquitatis operarii, sempiternumque interitum post præsentem felicitatem reportabunt. Qui vero felices seipsos vocarunt, et putari voluerunt, breui miserrimum finem suum intuebuntur. 9. *Tu autem altissimus in æternum Domine.* 10. *Quoniam ecce inimici tui Domine, quoniam ecce inimici tui peribunt, et dispergentur omnes qui operantur iniquitatem.* Nam illi quidem fœni instar marcescunt, et intereunt: tu vero omnium imperium habes, cum sublimior sis omnibus, et suppliciis subiicis eos qui stultitia detinentur. 11. *Et exaltabitur sicut vnicornis cornu meum.* Nos vero, qui tui cognitionem habemus, tuorum hostium euersionem contemplati, in te gloriabimur, et exul-

μος, 1) τούτων οὐδὲν γινώσκει, οὔτε μὴν ἀκοῦσαι βούλεταί τι 2) περὶ τούτων. ή. Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, 3) καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν 4) ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. 5) Τὸ διέκυψαν, ἤνθησαν ὁ Ἀκύλας εἴρηκεν· οὕτω δὲ καὶ ὁ Σύμμαχος. 6) οὐκ ἠθελήθησαν 7) συνιέναι οἱ ἄφρονες, ὅτι ὁμοίως χόρτῳ 8) ἤνθησαν, καὶ χλόῃ παραπλησίως ἀπὸ τῆς γῆς διέκυψαν οἱ τῆς ἀνομίας ἐργάται,. 9) καὶ τὸν ὄλεθρον τὸν αἰώνιον μετὰ τὴν παροῦσαν 10) εὐημερίαν 11) κομίσονται. 12) ζηλωτοὺς δὲ αὐτοὺς, καὶ μακαρίους καλέσαντες ὄψονται συντόμως ἑαυτῶν τὸ τρισάθλιον τέλος. θ'. Σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα Κύριε. ί. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου 13) Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται· καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. 14) Ἐκεῖνοι μὲν γὰρ χόρτῳ παραπλησίως μαραίνονταί τε, καὶ φθείρονται· σὺ δὲ κατὰ 15) πάντων ἔχεις τὸ κράτος, πάντων ὑπέρτερος ὤν, καὶ τιμωρίαις ὑποβάλλων τοὺς παραπληξίᾳ 16) κατεχομένους. ιά. Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου. Ἡμεῖς δὲ οἱ τὴν σὴν ἐπίγνωσιν ἔχοντες, τὴν τῶν ἐχθρῶν σου κατάλυσιν θεασάμενοι γαυριάσομεν ἐπὶ σοὶ, καὶ 17) μεγαφρονή-

1) τούτων. Cod. 1. præm. καί. 2) περὶ τούτων. Des. in Cod. 2. 3) καὶ διέκ. *Hebr.* et quum floruerint. *Aqu.* et *Symm.* καὶ ἤνθησαν. 4) ἀνομ. In Cod. 1. sequuntur ea, Τὸ διέκυψαν — Σύμμαχος, quæ post verba Textus a *Sirmondo* posita sunt. 5) Τὸ διέκ. Cod. 2. τὸ δὲ ἔκυψαν. 6) οὐκ. Cod. 1. οὐδὲ γάρ. 7) συνιέναι. Cod. 2. præm. φησί. 8) Cod. 1. ἀνθήσαντες. 9) καὶ — αἰώνιον. Cod. 1. διὸ δὴ τὸν αἰώνιον ὄλεθρον. 10) εὐημ. Cod. 1. ζωήν. 11) κομ. Cod. 1. καρπώσονται. 12) ζηλωτοὺς — τέλος. Des. in Cod. 1. 13) Κύριε — ἐχθροί σου. Des. in Cod. vatic. 14) Ἐκεῖνοι. Cod. 1. præm. εἴρηται ταῦτα καὶ περὶ τῶν θεοκτόνων· ἐπειδὴ τὸν τοῦ παντὸς ποιητὴν ἤμελλον προσφέρειν τῷ Πιλάτῳ, βοῶντες, ἆρον, ἆρον, σταύρωσον αὐτόν. „ Dicta quoque sunt ista de Christi interfectoribus, quippe qui vniuersi conditorem ad Pilatum adducentes clamaturi essent, tolle, tolle, crucifige eum. „ 15) πάντων. Cod. 1. add. αἰώνων. 16) κατεχ. Cod. 1. add. καὶ σὲ πολεμεῖν αἱρουμένους. 17) μεγαφρ. Cod. 1. μεγάλα φρονήσομεν ἐπὶ σοί.

φρονήσομεν· ὥστε δὴ τῆς πολυθέου πλάνης ἀπηλλαγμένοι, καὶ σὲ τὸν ὄντως ὄντα προσκυνοῦντες Θεόν, „ 1) τὸ κέρας „ τοῦ σαυροῦ ὅπλον κατὰ παθῶν καὶ „ δαιμόνων δεξάμενοι·„ 2) τὸν γὰρ μονόκερων πάλιν ἐνταῦθα παρήγαγεν, ἵνα διὰ τοῦ ἑνὸς κέρατος τὸν ἕνα 3) παραδηλώσῃ 4) Θεόν. ὥσπερ γὰρ ἐκεῖνο τὸ ζῶον ἓν ἔλαβε παρὰ τῆς φύσεως κέρας, οὕτω τῆς εὐσεβείας οἱ τρόφιμοι μίαν προσκυνοῦσι 5) θεότητα. 6) Καὶ τὸ γῆράς μου ἐν 7) ἐλαίῳ πίονι. Ὁ δὲ Σύμμαχος οὕτως· ἡ 8) παλαίωσίς μου, ὡς ἐλαία 9) εὐθαλής· ἀνθήσω 10) γὰρ, καὶ τὸ γῆρας ἀποθήσομαι, 11) ἐλαίαν τεθηλυῖαν μιμήσομαι, καὶ 12) κατὰ τοὺς ἑβδομήκοντα οἷόν τινι ἐλαίῳ πιανθήσομαι τῇ θυμηδίᾳ. ιβ´. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς 13) μου· καὶ ἐν τοῖς ἐπανιςαμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου. 14) Τὸ ἐπεῖδε καὶ ὁ Σύμμαχος, καὶ ὁ Θεοδοτίων, καὶ αὐτὸς ὁ Ἑβραῖος ἐπόψεται εἴρηκε· μελλόντων γὰρ προῤῥήσεις τὰ λεγόμενα· ἀλλὰ συνήθως 15) οἱ ἑβδομήκοντα, ὡς γεγενημένα τὰ ἐσόμενα ἡρμήνευσαν· τὸ ἀναντίῤῥητον τῆς 16) προῤῥήσεως καὶ ἐν

turbimus: quippe qui a multorum Deorum errore liberati sumus, et te qui vere Deus es adoramus, „ cornu crucis ceu „ arma contra afflictiones et dæmonas, sumentes. „ Vnicornem enim rurſus hoc loco in medium attulit, vt per vnicum cornu vnum Deum oſtenderet. Vt enim illud animal a natura vnum accepit cornu, ſic pietatis alumni vnam diuinitatem venerantur. * *Et ſenectus mea in oleo pingui.* Symmachus autem ſic, Vetuſtas mea ſicut oliua florida. Florebo enim, et ſenium deponam, florentemque oliuam imitabor, et ſecundum ſeptuaginta veluti quodam oleo impinguabor voluptate. 12. *Et deſpexit oculus meus inimicos meos, et inſurgentibus in me malignantibus audiet auris mea.* Pro *Deſpexit*, Symmachus et Theodotio, et Hebræus ipſe, *Inſpiciet* dixerunt. Ea enim quæ dicta ſunt, futurorum ſunt vaticinatio: ſed more ſuo vſi ſeptuaginta, quæ futura erant tanquam facta interpretati ſunt, in hoc etiam declarantes vaticinationis firmi-

1) E Cod. 1. 2) τὸν γὰρ μονόκ. Cod. 1. τὸν μέντοι μονοκέρωτα. Cod. 2. τὸν γὰρ μονοκέρωτον. 3) Cod. 2. δηλώσῃ. 4) Θεόν. Cod. 1. add. ἵνα δὲ ἀκούων φιλομαθέςατε τὴν ἄχραντόν μοι τριάδα νόει, τὴν ἐν Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι ἁγίῳ προσκυνουμένην τε καὶ θεολογουμένην. „ Vnum autem audiens, tu qui diſcendi cupidus es, puriſſimam intelliges Trinitatem, quæ in Patre, Filio et Spiritu Sancto adoratur et docetur. „ 5) θεότητα. Cod. 1. add. ἀδιαιρέτως φυλάττοντα τὰς ὑποςάσεις. „ quæ vnica manet in tribus perſonis. „ 6) καὶ — πίονι. *Hebr.* perfuſus ſum oleo virente, ſ. recente. 7) ἐλαίῳ. Hæc lectio, quam habent edit. *ald.* et *compl.* magis reſpondet Textui hebr. quam lectio rec. ἐλέῳ. 8) Cod. 1. παλαιότης, adſcripta tamen lectione altera. 9) εὐθ. Cod. 1. add. ἀντὶ τοῦ ἐπαλαιώθην ὡς ἐλαία εὐθαλής. „ idem quod, conſenui vt oliua florida. „ 10) γάρ. Cod. 1. δέ. 11) ἐλαίαν. Cod. 1. præm. καί. 12) κατὰ τοὺς ἑβδ. Deſ. in Cod. 1. 13) μου. In Cod. 1. proxima ſunt illa, Τὸ ἐπεῖδε — εἴρηκε, quæ deinde poſt verba Textus ſequuntur. Pro εἴρηκε autem in Cod. leg. εἰρήκασιν. 14) Τὸ — εἴρηκε. Cod. 1. τὸ ἐπεῖδεν ἀντὶ τοῦ ἐποπτεύσει. 15) οἱ — ἡρμήν. Cod. 1. τὰ ἐσόμενα ὡς γεγενημένα προθεωροῦσα ἡ θεία χάρις ἡρμήνευσε. 16) προῤῥ. Cod. 1. προσωρίσεως.

firmitatem. Nam ficut fieri non poteft, vt ea quæ facta funt, infecta fint, fic etiam fieri non poteft, vt Spiritus fancti vaticinatio finem non affequatur. Dicit igitur, Non modo impiorum calamitofum finem cernam, verum etiam auribus percipiam cunctos hoc enarrantes, et pœnæ iuftitiam laudantes. Sic itaque diuidendum: *Et infurgentibus in me malignantibus*; hîc oportet diftinguere, deinde fubiungere, *audiet auris mea.* Audiam multis enarrantibus interitum eorum qui inique viuunt, et qui innumera mala in me machinati funt. 13. *Iuftus vt palma florebit, et ficut cedrus quæ in Libano eft multiplicabitur.* Peccatores igitur fœni inftar cum floruiffent, breui exftincti, et corrupti funt. Iuftus vero cedri denfitatem, et calorem, et vim nutriendi, palmæ vero altas comas, et fertilitatem imitabitur. Vtræque autem diuturno tempore permanent, et tempore ad crefcendum indigent. Talis etiam eft virtutis plantatio, quæ multo labore et tempore nafcitur: fed in altitudinem erecta tempeftiuum dulciffimumque fert fructum, copiofamque vmbram poffeffori præbet. „ Tanquam in paradifo „ plantatur in domo Dei. Hoc „ enim apertius dicit in fequen„ tibus. „ 14. *Plantati in domo Domini, in atriis domus Dei noftri florebunt.* Hi autem, inquit, qui arboribus his comparati funt, agricolam quidem habent

τούτῳ 1) δηλοῦντες. ὥσπερ γὰρ ἀδύνατον τὰ γεγενημένα μὴ γεγενῆσθαι· οὕτως ἀδύνατον τὴν τοῦ πνεύματος πρόῤῥησιν ἀπέραντον διαμεῖναι· λέγει τοίνυν, ὅτι οὐ μόνον ὄψομαι τῶν ἀδίκων τὸ ἐπώδυνον τέλος, ἀλλὰ καὶ ἀκούσομαι πάντων 2) τοῦτο διαγγελλόντων, καὶ θαυμαζόντων τῆς τιμωρίας τὸ δίκαιον· οὕτω μέντοι διαιρεῖται καὶ ἐν τοῖς ἐπανισαμένοις ἐπ' ἐμὲ πονηρευομένοις· ἐνταῦθα δεῖ ὑποστίξαι, εἶτα ἐπαγαγεῖν, ἀκούσεται τὸ οὖς μου· τῶν 3) παρανομίᾳ συζώντων, καὶ μυρία μοι τυρευόντων κακὰ τὸν ὄλεθρον, πολλῶν διηγουμένων ἀκούσομαι. ιγ'. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, 4) ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. Οἱ μὲν οὖν ἁμαρτωλοὶ, χόρτῳ παραπλησίως ἀνθήσαντες, συντόμως ἀπέσβησάν τε καὶ διεφθάρησαν· ὁ δὲ δίκαιος τῆς μὲν κέδρου τὸ δασὺ, καὶ θερμὸν, καὶ 5) θρέψιμον, τοῦ δὲ φοίνικος 6) μιμήσεται τὸ ὑψίκομόν τε καὶ κάρπιμον· διαρκεῖ δὲ ἀμφότερα καὶ ἐπὶ πλεῖστον 7) διαμένοντα χρόνον, χρόνου δὲ καὶ εἰς αὔξησιν δεῖται. τοιαύτη καὶ ἡ τῆς ἀρετῆς φυτουργία, πόνῳ πολλῷ καὶ χρόνῳ φυομένη, 8) ἀλλ' εἰς ὕψος αἰρομένη, ὥριμόν τε καὶ ἥδιστον φέρουσα τὸν καρπὸν, καὶ σκέπην ἱκανὴν τῷ κεκτημένῳ παρέχουσα. „ 9) ὡς ἐν θείῳ παραδείσῳ καταφυτεύ„ εται ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. τοῦτο γὰρ διὰ „ τῶν ἑξῆς σαφέστερον λέγει τῷ εἰπεῖν „ ιδ'. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν. Οὗτοι δέ φησιν οἱ τούτοις ἀπεικασμένοι τοῖς δένδροις φυτουργὸν 10) μὲν ἔχουσι τὸν Θεὸν,

1) Cod. 1. δηλοῦσι. 2) Cod. 2. τούτων. 3) Cod. 2. πονηρίᾳ. 4) Cod. 1. ὡς ἡ, quæ eft rec. lectio h. l. 5) Cod. 2. θρέψιν. 6) μιμ. Cod. 2. κομίσεται. 7) Cod. 2. διαμένει, 8) ἀλλ'. Cod. 1. καί. 9) E Cod. 1. 10) μὲν. Cod. 1. καλόν.

Θεόν, 1) παράδεισον δὲ τὸν θεῖον νεών. ιε΄. 2) Ἔτι 3) πληθυνθήσονται ἐν γήρει 4) πίονι, καὶ 5) εὐπαθοῦντες ἔσονται. ις΄. Τοῦ ἀναγγεῖλαι ὅτι εὐθὺς Κύριος 6) ὁ Θεὸς 7) ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν 8) αὐτῷ. Ὁ δὲ Σύμμαχος οὕτως· ἔτι καρποφορήσουσι γηρῶντες. πίονες καὶ εὐθαλεῖς ἔσονται, 9) ἀπαγγέλλοντες ὅτι ὀρθὸς Κύριος ὁ περιφράσσων με· καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. ἐν τῷ μέλλοντι γὰρ βίῳ τὴν ἐπηγγελμένην 10) ἀπολαμβάνοντες τελειότητα, πλείονά τε καὶ πίονα προσοίσουσι τῷ Θεῷ τὸν καρπὸν, τὴν δικαίαν 11) αὐτοῦ ψῆφον ὑμνοῦντες· τὴν γὰρ νῦν κεκρυμμένην οἰκονομίαν τηνικαῦτα φανερουμένην ὁρῶντες, καὶ τὴν σοφίαν θαυμάσουσι, καὶ τὸ δίκαιον ἀνυμνήσουσι· γῆρας μέντοι τὴν τελειότητα κέκληκε· τέλειον γὰρ καὶ ἡμεῖς τὸν γεγηρακότα καλοῦμεν, ἀτελῆ δὲ τὸν νεόν. διὰ τοῦ 12) γήρους τοίνυν τὴν μέλλουσαν 13) παρεδήλωσε τελειότητα, ἐν ᾗ φυήσεται πολλαπλάσιος ὁ τῆς δικαιο-

Deum, viridarium vero diuinum templum. 15. *Adhuc multiplicabuntur in senectute vberi, et bene patientes erunt.* * 16. *Vt annuncient rectum esse Dominum Deum nostrum, et non esse iniquitatem in eo.* Symmachus autem sic, Adhuc senes fructum ferent, opimi et floridi erunt, annunciantes, rectum esse Dominum, qui munit me, et non est iniustitia in eo. Nam in futura vita promissam perfectionem accipientes, multum et pinguem Deo afferent fructum, iustam eius sententiam laudantes. Gubernationem enim, quae nunc occulta est, tunc apertam cernentes, et sapientiam laudabunt, et iustitiam celebrabunt. *Senectutem* ergo perfectionem vocauit. Perfectum etenim nos quoque senem appellamus: imperfectum vero iuuenem. Per vetustatem igitur, futuram demonstrauit perfectionem, in qua iustitiae fructus multiplex

1) παράδεισον — νεών. Cod. 1. αὐτοῦ γὰρ ἐστι τοῦ σωτῆρος ἡ φωνή· ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ πατήρ μου ὁ γεωργός ἐστι. παράδεισον δὲ κἀνταῦθα λέγει τὸν θεῖον νεών· περὶ οὗ Παῦλος φάσκει· οὐδὲ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. „ Ipsius enim Saluatoris haec est vox (Ioh. 15, 1.): ego sum vitis, vos estis palmites: pater meus est vinitor. Paradisum autem hic etiam vocat sanctum templum, de quo Paulus dicit: (Hebr. 13, 14.) Nec enim manentem hic habemus vrbem, sed futuram quaerimus. „ 2) Ἔτι. Ita leg. in Cod. *alex.* iuxta Textum hebr. qui habet עוד. In Cod. *vat.* est τότε. Cod. *aug.* 2. habet ἐκεῖ. 3) πληθ. Hebr. ינובון *fructum ferent.* Symm. et Theodot. καρποφορήσουσι. 4) πίον. Hebr. דשנים *pingues.* Symm. et Theod. πίονες. Post πίονι in Cod. 2. sequitur: ἐκεῖ· ποῦ; ἐν τῇ ἐκκλησίᾳ· ἐκεῖ, φησὶ, καταγηράσουσιν οἱ πιστοὶ, πιαινόμενοι τῷ σώματι καὶ τῷ αἵματι τοῦ Ἰησοῦ Χριστοῦ. „ Ibi: vbi? in ecclesia. Ibi, inquit, ad senectutem perueniunt fideles, pingues facti corpore ac sanguine Iesu Christi. „ 5) εὐπ. Hebr. רעננים *virides* s. vegeti. *Symm.* εὐθαλεῖς. 6) ὁ Θεὸς ἡμῶν. Hebr. צורי *petra mea.* Symm. ὁ περιφράσσων με. 7) ἡμῶν. Cod. *vatic.* habet μου. 8) αὐτῷ. Cod. 1. add. καρποφορήσουσι γὰρ μέχρι γήρως βαθυτάτου, καὶ εὐθαλεῖς ἔσονται. „ Fructum enim ferent vsque ad decrepitam senectutem, et floridi erunt. „ 9) ἀπαγγ. Cod. 2. praem. καί. 10) Cod. 2. ἀπολαβόντες. 11) αὐτοῦ. Cod. 2. τοῦ Θεοῦ. 12) Cod. 1. γήρως. 13) Cod. 2. ἐδήλωσε.

plex producetur, Deique iustitia omnibus perspicua fiet.

INTERP. PS. XCII.

Laus cantici Dauidi. *Sine titulo apud Hebræos.* Verba, *Sine titulo apud Hebræos*, non habentur in Hexaplo, nec apud Eusebium. Mutationem hominum psalmus præcinit. Deus enim est immutabilis et inuariabilis, semper vno eodemque modo se habens. Non enim modo quidem regnat, modo regnum non habet: sed natura quidem semper est rex, etsi non semper hoc hominibus apertum fuit. Nam diutissime ipsum ignorantes plerique, cultum, qui Deo congruebat, idolis detulerunt: post incarnationem autem Dei et Saluatoris nostri, instar luminis diuina cognitio totum terrarum orbem peruasit. „ Ipse enim est „ lux vera, quæ illuminat omnem „ hominem qui in mundum „ venit. Propterea dicit Prophe„ ta, cuius animus futura præ„ uidebat. „ 1. *Dominus regnauit, decore indutus est.* Quoniam enim Christi passio tristis visa est iis, qui fructum hinc manantem sciebant, (ita vt propheta exclamaret, a) Et vidimus ipsum, et non habebat speciem, neque decorem, sed species eius despecta, deficiens præ filiis

σύνης καρπὸς, καὶ τοῦ Θεοῦ τὸ δικαίων δῆλον πᾶσι γενήσεται.

ΕΡΜΗΝ. ΤΟΥ ϞΒ´ ΨΑΛΜΟΥ.

1) Αἶνος ᾠδῆς τῷ Δαβὶδ, ἀνεπίγραφος παρ᾽ Ἑβραίοις. Τὸ ἀνεπίγραφος παρ᾽ Ἑβραίοις οὐκ ἔστιν ἐν τῷ ἑξαπλῷ, οὔτε παρ᾽ Εὐσεβίῳ. τὴν τῶν ἀνθρώπων μεταβολὴν ὁ 2) ψαλμὸς προθεσπίζει· ὁ Θεὸς γὰρ 3) ἄτρεπτός τε καὶ ἀναλλοίωτος, ἀεὶ ὡσαύτως καὶ κατὰ τὰ αὐτὰ ἔχων. οὐ γὰρ νῦν μὲν βασιλεύει, νῦν δὲ βασιλείαν οὐκ ἔχει· ἀλλὰ φύσει μέν ἐστιν ἀεὶ 4) βασιλεὺς, οὐκ ἀεὶ δὲ τοῦτο δῆλον τοῖς ἀνθρώποις γεγένηται. ἐπὶ πλεῖστον γὰρ χρόνον οἱ πλείους αὐτὸν ἀγνοήσαντες, τὴν τῷ Θεῷ προσήκουσαν θεραπείαν τοῖς εἰδώλοις προσήνεγκαν· μετὰ δὲ τὴν τοῦ 5) Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησιν, δίκην φωτὸς εἰς 6) πᾶσαν τὴν οἰκουμένην ἡ θεογνωσία διέδραμεν. „ 7) αὐτὸς γάρ ἐστι τὸ φῶς τὸ ἀληθινὸν, „ ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον „ εἰς τὸν κόσμον· διὰ δὴ ταῦτά φησιν ὁ „ προφητικὸς νοῦς προθεωρῶν „ α´. 8) Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. 9) Ἐπειδὴ γὰρ τὸ πάθος σκυθρωπὸν ὤφθη 10) τοῖς τὸν ἐντεῦθεν φυόμενον καρπὸν ἐπισταμένοις, ὡς βοᾷν τὸν προφήτην, καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς

τῶν

1) Αἶνος — Ἑβραίοις. Cod. 1. εἰς τὴν ἡμέραν τοῦ σαββάτου· ὅτε κατῴκιστο ἡ γῆ· αἶνος τῷ Δαβίδ. „ In diem Sabbati, quando condita est terra. Laus Dauidi. „ Hæc inscriptio propius accedit ad eam quæ in Textu τῶν ό. legi solet: sed pro σαββάτου in Cod. vtroq. leg. προσαββάτου, et pro κατῴκιστο ibidem est κατῴκισται. 2) ψαλμός. Cod. 1. præm. παρών. 3) ἄτρεπτος. Cod. 1. add. ὤν. 4) βασ. Cod. 1. præm. ἐστί. 5) Θεοῦ. Cod. 1. add. λόγου. 6) Cod. 2. ἅπασαν. 7) E Cod. 1. 8) Ὁ. Abest a Cod. 2. 9) Ἐπειδὴ — κόσμον γενέσθαι. Hæc *Eusebio* tribuuntur apud CORD. T. II. p. 915, diuersa autem sunt ab illis quæ habet MONTF. in Collect. noua Patrum p. 616. 10) τοῖς — ἐπισταμ. Dest in Cod. 1. In Cod. 2. ponitur καὶ ante τοῖς.

a) Es. 53, 2. 3.

τῶν ἀνθρώπων· μετὰ δὲ τὴν „ 1) ἐκ παρθένου γέννησιν καὶ τὸν ἑκούσιον σαυρὸν „ καὶ τὴν „ εἰς οὐρανοὺς ἄνοδον, τὰς θεοπρεπεῖς ἀφῆκεν ἀκτῖνας· εἰκότως ὁ προφήτης βοᾷ, ὁ Κύριος ἐβασίλευσεν, 2) εὐπρέπειαν ἐνεδύσατο· οὐ γὰρ ἃ μὴ εἶχεν ἔλαβεν, ἀλλ᾽ ἅπερ εἶχεν ὑπέδειξεν. οὕτω καὶ πρὸς τὸν οἰκεῖον πατέρα φησὶν, „ 3) Πάτερ „ δόξασόν με ἐν τῇ δόξῃ, ᾗ εἶχον παρά σοι, πρὸ τȣ̃ τὸν κόσμον γενέσθαι. „ 4) οὐκ ἄδοξος μετὰ „ τὴν ἐνανθρώπησιν· ἀλλ᾽ ἵνα μαρτυρηθῇ τὸ οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε. „ ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. 5) ὅτι Χριστὸς Θεȣ̃ δύναμις, καὶ Θεȣ̃ σοφία, 6) σαφῶς ἡμᾶς ὁ 7) θεῖος Παῦλος ἐδίδαξε· τοιγαροῦν οὐχ ἑτέρωθεν ποθὲν ἐδέξατο δύναμιν, ἣν μὴ πρό-

hominum:) postquam vero „ e „ virgine natus, sponte crucis „ supplicium sustinuit, et „ in cælos rediit, radios Deo dignos emisit: merito propheta exclamat, *Dominus regnauit, decore indutus est.* Non enim, quæ non habebat, assumsit, sed quæ habebat demonstrauit. Simili modo et ad patrem * dixit, a) * clarifica me pater claritate, quam habui apud te, priusquam mundus fieret. „ Non, quasi „ ab omni gloria destitutus fu„ isset post incarnationem: sed vt „ testimonio confirmaretur illud, b) „ Hic est filius meus dilectus, in „ quo beneplacitum habeo, illum „ audite. „ *Indutus est Dominus fortitudine, et præcinxit se.* Christum esse Dei potentiam, et Dei sapientiam, manifeste nos diuinus Paulus docuit. c) Quare non aliunde potentiam accepit, quam non prius

1) E Cod. 1. 2) εὐπρ. ἐνεδ. Cod. 1. οὐκ ἀρχὴν τῆς βασιλείας ἀπὸ τȣ̃ σαυρȣ̃ δεξάμενος· ἄπαγε· ἀεὶ γὰρ ἦν σὺν πατρὶ, καὶ οὐδέποτε κεχώριστο διὰ τὸ τῆς οὐσίας ἄτμητον· ἔχων οὖν τὴν βασιλείαν συνάναρχον κατεβασίλευσε διὰ τȣ̃ πάθους, καταργήσας ἐν αὐτῷ τὸν τὸ κράτος ἔχοντα τȣ̃ θανάτου, τουτέστι τὸν διάβολον. τὸ δὲ ὁ Κύριος ἐβασίλευσεν· οὐκ ἀρχὴν τῆς βασιλείας ἀπὸ τȣ̃ σαυρȣ̃ δεξάμενος· ἀεὶ γὰρ συνάναρχον εἶχε τὴν βασιλείαν· μετὰ δὲ τὸ ἐκ τȣ̃ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν τὰ πάντα, καὶ δημιουργῆσαι τὸν πρῶτον ἄνθρωπον· δι᾽ ὃν ὡς φιλάνθρωπος ἄνθρωπος εἵλετο γενέσθαι, βασιλεύει τῶν οἰκείων κτισμάτων. διὰ δὴ ταῦτά φησιν ὁ προφήτης· ὁ Κύριος ἐβασίλευσεν· εἶτα φησὶν, εὐπρέπειαν ἐνεδύσατο. εἴρηται ἡμῖν ἄτρεπτον τὸ θεῖον· ἀλλὰ τὸ εἰπεῖν εὐπρέπειαν ἐνεδύσατο τὴν τῶν ἀνθρώπων δηλαδὴ σωτηρίαν. „ non ac si post crucem demum regnandi initium habuisset, absit: semper enim erat cum Patre, nec vnquam ab illo seiunctus, quia indiuisibilis est essentia. Cum itaque regnum etiam haberet initii expers, regnauit quoque per passionem, qua aboleuit eum qui mortis habebat imperium, hoc est diabolum. Hinc illud *Dominus regnauit* non ita est intelligendum, ac si cum cruce initium cepisset imperium: nam coæternum habuit regnum. Sed postquam omnia ea quæ non erant, esse cœperunt, et ipsemet primum produxit hominem, cuius caussa, pro suo erga homines amore, homo nasci voluit, imperium exercet in suas creaturas. Propterea dicit Propheta, *Dominus regnauit.* Deinde dicit, *decore indutus est.* Iam dictum est a nobis, essentiam diuinam esse immutabilem, si itaque dicit, *decore indutus est*, de hominum salute hæc intelligenda sunt. „ 3) Ex vtroque Cod. 4) E Cod. 1. 5) ὅτι. Cod. 1. add. δέ. 6) σαφῶς — ἐδίδαξε. Cod. 1. παντὶ δῆλον δῆλον· „ vnicuique potest notum esse. „ 7) θεῖος. Abest a Cod. 2.

a) Ioh. 17, 5. b) Luc. 9, 35. c) 1 Cor. 1, 24.

prius habebat, sed propria potentia in hostes vsus est. Ipsum autem describit propheticus sermo, veluti quendam regem, armis omnibus indutum, cinguloque ornatum, et aduersus hostes dimicantem. Deinde ostendit recte acta, quae hinc procedunt. *Etenim firmauit orbem terrae, qui non commouebitur.* Stabilem, inquit, et firmum orbem reddidit, diuinae cogitationis firmitatem adeptum, et a falso errore liberatum. Non amplius enim homines, nunc quidem hos, nunc illos Deos honorant, sed vero Deo cultum deferunt. 2. *Parata est sedes tua ex tunc, a saeculo tu es.* Non nunc, ait, regni electionem accepisti, sed aeternum habes imperium, et regnum sempiternum. Ac de regno quidem etiam in quadragesimo quarto psalmo testatus est, *a)* Thronus tuus o Deus in saeculum saeculi. Quod vero immutabilis sit et inuariabilis, in centesimo primo psalmo rursus nos docuit: Tu enim, inquit, *b)* idem ipse es, et anni tui non deficient. „ Etsi enim „ homo natus fueris, tamen „ non caruisti diuina indole, „ nec a Patre aut Spiritu sancto „ seiunctus fuisti: vna enim pu„ rissimae Trinitatis est essentia, „ vnum est regnum, vnum est „ dominium. „ Vtraque porro testimonia beatus Paulus ad Dominum Christum retulit. *c)* 3. *Eleuauerunt flumina Domine,*

τερον εἶχεν, ἀλλὰ τῇ οἰκείᾳ δυνάμει κατὰ τῶν πολεμίων ἐχρήσατο· σχηματίζει δὲ αὐτὸν ὁ προφητικὸς λόγος, οἷόν τινα βασιλέα βασιλικὴν πανοπλίαν περιβαλλόμενον, καὶ ζώνῃ χρώμενον, καὶ κατὰ τῶν πολεμίων 1) ἀγωνιζόμενον· 2) εἶτα δείκνυσι 3) τὰ ἐντεῦθεν γινόμενα 4) κατορθώματα. καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥ τις οὐ σαλευθήσεται. ἑδραίαν, φησὶ, τὴν οἰκουμένην ἀπέφηνε, καὶ στεῤῥὰν, τὸ βέβαιον τῆς 5) θείας γνώσεως ἔχουσαν, καὶ τῆς τοῦ ψεύδους πλάνης ἀπηλλαγμένην· οὐκέτι γὰρ οἱ ἄνθρωποι, νῦν μὲν τούτους, νῦν δὲ ἐκείνους τοὺς Θεοὺς προσκυνοῦσιν, ἀλλὰ τῷ ἀληθινῷ Θεῷ τὸ σέβας 6) προσφέρουσιν. β΄. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Οὐ νῦν, φησὶ, 7) τῆς βασιλείας ἐδέξω χειροτονίαν, ἀλλ' ἀΐδιον ἔχεις τὸ κράτος, καὶ τὴν βασιλείαν αἰώνιον· καὶ περὶ μὲν τῆς βασιλείας, καὶ ἐν τῷ Μ΄ καὶ Δ΄ ἔφη ψαλμῷ· ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα 8) τοῦ αἰῶνος· τὸ δὲ ἀναλλοίωτον αὐτοῦ, καὶ ἄτρεπτον, ἐν τῷ ΡΑ΄ ψαλμῷ, πάλιν ἡμᾶς ἐδίδαξε· σὺ γὰρ 9) αὐτὸς εἶ, φησὶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. „ 10) εἰ „ γὰρ καὶ ἄνθρωπος ἐγένου, οὐκ ἐνδεὴς „ τῆς θεότητος, οὐδὲ τοῦ Πατρὸς ἢ τοῦ „ παναγίου πνεύματος ἐχωρίσθης· μία „ γὰρ οὐσία τῆς ἀχράντου τριάδος· μία „ βασιλεία, μία κυριότης. „ ἀμφοτέρας μέντοι τὰς μαρτυρίας ὁ 11) μακάριος Παῦλος προσήρμοσε τῷ δεσπότῃ 12) Χριστῷ. γ΄. Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν

1) ἀγων. Sequuntur nonnulla apud CORD. T. II. p. 915 sq. 2) εἶτα. Cod. 2. ἔτι. 3) τά. Cod. 2. praem. καί. 4) κατορθ. Cod. 1. add. καὶ τίς οὗτος· ὁ ἐπὶ τοῦ σταυροῦ. Quis autem est ille? Crucifixus. 5) θείας γνώσεως. Cod. vterque ἀληθείας. 6) Cod. 2. προσάγουσιν. 7) τῆς. Cod. 2. praem. τήν. 8) τοῦ αἰῶνος. Def. in Cod. 2. 9) αὐτός. Cod. 2. praem. ὁ. 10) E Cod. 1. 11) μακ. Cod. 2. θεσπέσιος. 12) Χριστῷ. Cod. 1. add. τῷ σαρκωθέντι Θεῷ λόγῳ.

a) Ps. 44, 6. b) Ps. 101, 27. c) Hebr. 1, 8. 12.

ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, 1) αἀροῦσιν οἱ ποταμοὶ 2) ἐπιτρίψεις αὐτῶν. Ποταμοὺς τοὺς ἱεροὺς ἀποστόλους καλεῖ, καὶ τοὺς 3) μετ' ἐκείνους 4) δεξαμένους τὸ κήρυγμα· οὗτοι γὰρ ποταμῶν δίκην 5) ἅπασαν ἀνθρώποις τὴν ἄρδειαν προσήνεγκαν· οὕτως αὐτοὺς καὶ ὁ μακάριος προσηγόρευσεν 6) Ἀββακούμ· 7) ποταμῶν ῥαγήσεται γῆ, τουτέστι διαιρεθήσεται, καὶ τὴν ἄρδειαν δέξεται· οὕτω καὶ ὁ Κύριος ἔφη, ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· οὗτοι τοίνυν οἱ ποταμοὶ ἐπῆραν αὐτῶν τὴν φωνὴν, τὰ θεῖα 8) κηρύττοντες δόγματα, καὶ τὰς οἰκείας πορείας ποιούμενοι· 9) τρίψεις γὰρ τὰς τρίβους ἐκάλεσεν· ἐπειδὴ γὰρ πέφυκε τῶν ὑδάτων ἡ φύσις τρίβειν τὴν ὑποκειμένην γῆν, καὶ πορείαν ἐργάζεσθαι, εἰκότως τρίψιν τῶν ποταμῶν τὴν πορείαν ἐκάλεσεν· οἱ γὰρ πρῶτοι πιστευθέντες τὸ κήρυγμα τὴν ὁδὸν 10) δευτέροις ηὐτρέπισαν, καὶ ἄπονον αὐτοῖς καὶ ἀταλαίπωρον τὴν διδασκαλίαν ἐπραγματεύσαντο. δ'. 11) Ἀπὸ φωνῶν ὑδάτων πολλῶν, θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης. Καθάπερ 12) τῶν μεγάλων ποταμῶν 13) εἰς τὸ πέλαγος εἰσβαλλόντων, καὶ τὴν κατὰ τῆς ψάμμου τῶν κυμάτων προσβολὴν ἐπεχόντων, ἐπὶ πλεῖστον κυρτοῦται τὰ κύματα τῇ μάχῃ τῶν ποταμίων ῥευμά-

eleuauerunt flumina voces suas: eleuabunt flumina illisiones suas. Fluuios vocat sacros apostolos, eosque, qui post illos euangelii prædicationem susceperunt. Hi enim fluuiorum instar omnem irrigationem hominibus attulerunt. Sic ipsos beatus etiam Habacuc appellauit, a) Fluminibus terra scindetur, hoc est, diuidetur, et irrigationem accipiet. Sic etiam Dominus ait, b) Qui credit in me, quemadmodum dicit scriptura, flumina ex ventre eius fluent aquæ viuæ. Hi igitur fluuii extulerunt vocem suam, diuina prædicantes dogmata, et propria itinera facientes. *Illisiones* enim semitas nuncupauit. Quoniam enim solet aquarum natura subiectam terram terere, semitamque efficere, merito * illisionem aquarum iter vocauit: quia primi illi, quibus diuina prædicatio credita fuit, viam secundis præpararunt, et expeditam facilemque doctrinam reddiderunt. *4. A vocibus aquarum multarum, mirabiles elationes maris.* Quemadmodum magnis fluminibus in pelagus influentibus, et in arena vndarum impetum inhibentibus, marinæ vndæ in multum spatium ob fluuialium aquarum pugnam resflectuntur:

1) ἀροῦσιν — αὐτῶν. Def. in Cod. 1. et in Textu græco τῶν ό. Exstant tamen ista in Textu hebr. 2) ἐπιτρ. αὐτῶν. Hebr. דכים *fragorem suum.* Aqu. βάθη αὐτῶν, profunda sua. 3) μετ'. Cod. 2. κατ'. 4) Cod. 2. διαδεξαμένους. 5) Cod. 2. ἅπασιν. 6) Ἀββ. Cod. 2. Μωϋσῆς. 7) ποταμῶν. Cod. 1. add. λέγων. 8) κηρ. δόγματα. Cod. 1. διδάγματα λέγοντες, adscripta tamen altera lectione. 9) Cod. 1. ἐπιτρίψεις. 10) δευτ. Cod. 2. præm. τοῖς. 11) Ἀπὸ — θαλάσσης. *Hebr.* Præ vocibus s. strepitu aquarum multarum (et) validarum, fluctuum maris, potens est in excelso, Iehoua. 12) τῶν. Cod. 1. præm. γάρ. 13) εἰς — εἰσβ. Cod. 2. τῶν εἰς τὴν θάλασσαν βαλλόντων.

a) Habac. 3, 9. b) Ioh. 7, 38.

tur: sic et dulci et potabili apostolorum doctrina ad salsum amarumque orbis mare perlata, tempestas quædam exorta fuit, et fluctus continui consurrexerunt. Hoc etiam beatus Habacuc vaticinatus est. Cum enim dixisset, *a*) Fluminibus terra scindetur, videbunt te, et dolebunt populi, diuidens aquas itineris, subdidit, Dedit abyssus vocem suam, altitudo cogitationis eius. Hac perturbatione vnaquæque ciuitas referta fuit. Ipsius enim Domini est vox, *b*) Non veni mittere pacem in terram, sed gladium, separare hominem a proximo suo, filium a patre suo, filiam a matre sua, sponsam a socru sua. Verum principium quidem diuinæ prædicationis tempestatem habuit: nunc vero maris Dominus procellam increpuit, et in auram constitit, et siluerunt fluctus eius, et facta est tranquillitas magna. *Mirabilis in altis Dominus.* Aquila autem sic, Maximus in altitudine Dominus. Valde accommodate autem hoc supradictis apposuit, eius qui perfecit vires ostendens. Nam maximus et altissimus est, et Dominus, et potentiam habens, nec lingua explicandam, nec mente comprehendendam. „ *Altos* autem vocat magnos Pa„triarchas, Prophetas, sanctos „Apostolos et quotquot sunt illis „similes.„ 5. *Testimonia tua Domine admodum credibilia facta sunt.* Omnia autem hæc olim annuntiasti

των· οὕτω 1) καὶ τῆς γλυκείας καὶ ποτίμου τῶν ἀποστόλων διδασκαλίας τῇ ἁλμυρᾷ καὶ πικρᾷ τῆς οἰκουμένης θαλάττῃ προσφερομένης, 2) ζάλη τις ἐγένετο, καὶ κύματα 3) ἐπάλληλα διανίστατο· τοῦτο καὶ ὁ μακάριος προείρηκεν 4) Ἀββακούμ· εἰρηκὼς γὰρ, ποταμῶν ῥαγήσεται γῆ, ὄψονταί σε καὶ ὠδινήσουσι λαοὶ, σκορπίζων ὕδατα πορείας, ἐπήγαγεν· ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς. τῆς τοιαύτης ἅπασα πόλις 5) ἐπέπληστο ζάλης· αὐτοῦ γάρ ἐστι τοῦ Κυρίου φωνὴ, οὐκ ἦλθον βαλεῖν εἰρήνην 6) εἰς τὴν οἰκουμένην, ἀλλὰ μάχαιραν, διχάσαι ἄνθρωπον ἀπὸ 7) πλησίον αὐτοῦ, υἱὸν ἀπὸ τοῦ πατρὸς αὐτοῦ, θυγατέρα ἀπὸ τῆς μητρὸς αὐτῆς, 8) νύμφην ἀπὸ τῆς πενθερᾶς αὐτῆς· ἀλλ' ἡ μὲν ἀρχὴ τοῦ κηρύγματος εἶχε τὴν ζάλην· νῦν δὲ ὁ τῆς θαλάττης δεσπότης ἐπετίμησε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησε τὰ κύματα αὐτῆς, καὶ ἐγένετο γαλήνη μεγάλη. θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. ὁ δὲ Ἀκύλας 9) οὕτως· ὑπερμεγέθης ἐν ὕψει Κύριος. μάλα δὲ ἀκολούθως τοῦτο τοῖς εἰρημένοις προστέθεικε, τοῦ 10) κατορθοῦντος δεικνὺς τὴν ἰσχύν. ὑπερμεγέθης γάρ ἐστι, καὶ ὕψιστος, καὶ Κύριος, καὶ δύναμιν ἔχων, οὔτε γλώττῃ μετρητὴν, οὔτε διανοίᾳ καταληπτήν. 11) „ὑψηλοὺς δὲ καλεῖ τοὺς μεγάλους πατριάρχας, προφήτας τε καὶ „τοὺς ἱεροὺς ἀποστόλους καὶ τοὺς κατ' ἐκείνους ἅπαντας.„ ε΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. Ταῦτα δὲ ἅπαντα ἄνωθεν 12) προεθέσπισας, καὶ διὰ

1) καί. Abest a Cod. 2. 2) ζάλη τις. Cod. 2. ζάλης, ἥτις. 3) ἐπάλληλα. Cod. 2. præm. ἀλλ'. 4) Cod. 2. Ἀμβακούμ. 5) Cod. 2. πεπλήρωτο. 6) εἰς τὴν οἰκουμ. Def. in Cod. 2. 7) πλησίον. Cod. 2. præm. τοῦ. 8) νύμφην. Cod. 1. præm. πενθερὰν ἀπὸ τῆς νύμφης. 9) οὕτως. Abest a Cod. 1. 10) Cod. 2. κατορθώσαντος. 11) E Cod. 1. 12) Cod. 1. προθεσπίσας.

a) Habac. 3, 9. 10. *b*) Matth. 10, 34. 35.

διὰ τῶν ἁγίων σου προφητῶν 1) προεκήρυξας· 2) τῇ δὲ μαρτυρίᾳ τῶν πραγμάτων 3) δέδεικται ἀληθῆ· καλὴ δὲ καὶ ἡ τοῦ σφόδρα προσθήκη, ἀντὶ τοῦ, οὐδὲ τὸ τυχὸν ἐν ταῖς προῤῥήσεσιν 4) ἔνεστι θεωρῆσαι ψεῦδος, ἀλλ᾽ ἀκριβῶς ἅπαντα τὰ νῦν ὁρώμενα 5) προεῤῥήθη. τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν. τὸ δὲ πάντων μέγιστόν τε καὶ κάλλιστον 6) τῶν ἀγαθῶν, ὅτι οὐ πρόσκαιρος ἡ τῶν δεδωρημένων ἀπόλαυσις, οὐδὲ χρόνοις τισὶ περιωρισμένη, κατὰ τὴν Ἰουδαίων λατρείαν· ἀλλὰ διαρκὴς, καὶ μόνιμος, καὶ αἰώνιος· 7) τῷ νέῳ γὰρ σου οἴκῳ ταῦτα πρόσφορά τε καὶ πρέποντα. οἶκον δὲ τοῦ 8) Θεοῦ τὸν τῶν πιστῶν προσηγόρευσε σύλλογον ὁ θεσπέσιος Παῦλος, ᾧ τὸν ἁγιασμὸν ἐπιπρέπειν εἴρηκεν ὁ προφήτης. προσήκει τοίνυν ἡμᾶς, κατὰ τὴν ἀποστολικὴν παραίνεσιν, καθαίρειν 9) μὲν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελεῖν δὲ ἁγιωσύνην ἐν φόβῳ Θεοῦ· ἵνα ἄξιον 10) τὸν οἶκον τοῦ Θεοῦ κατασκευάσαντες, 11) τὸν αἰώνιον ἔνοικον 12) εἰσδεξώμεθα.

et per tuos sanctissimos prophetas prædixisti. Effectuum autem testimonio veritas constat. Recte vero additum est *admodum.* Quasi dicat, Ne minima quidem falsitas in vaticinationibus deprehendi potest: sed accurate omnia, quæ nunc cernuntur, prædicta fuerunt. *Domum tuam decet sanctimonia, o Domine, in longitudine dierum.* Porro hoc omnium bonorum maximum et pulcherrimum est, quod non ad tempus bonorum delectatio concessa sit, neque temporibus quibusdam circumscripta, * secundum Iudæorum cultum, sed perennis, et stabilis, et sempiterna. Nam hæc recenti domui tuæ congruentia, et accommodata. *Domum* vero *Dei*, fidelium cœtum diuinus Paulus nuncupauit, cui sanctitatem conuenire propheta dixit. Conuenit igitur nos, secundum apostolicam admonitionem, a) purgare quidem nos ipsos ab omni inquinatione carnis, et spiritus: perficere autem sanctificationem in timore Dei, vt dignam Deo domum præparantes, æternum incolam hospitio excipiamus.

ΕΡΜΗΝ. ΤΟΥ ϟγʹ ΨΑΛΜΟΥ.

13) Ψαλμὸς τῷ Δαβὶδ· τετράδι σαββάτου· ἀνεπίγραφος παρ᾽ Ἑβραίοις. Δῆλον, ὡς τὴν 14) ἐπιγραφὴν ἄλλοι τινὲς τεθείκασι, καὶ οὔτε ὁ προφή-

INTERP. PSALMI XCIII.

Psalmus Dauidi, quarto die Sabbati: sine titulo apud Hebræos. Patet, inscriptionem quosdam alios adposuisse, non prophe-

 tam,

1) Cod. 1. προκηρύξας. 2) Cod. 1. τὴν μαρτυρίαν. 3) Cod. 1. ἔδειξας. 4) Cod. 1. ἔσται. 5) προεῤῥ. Cod. 1. add. ὁ γὰρ τὸ πάθος ἑλόμενος καὶ τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ τῶν προβάτων, αὐτός ἐστιν ὁ τὸν Ἰσραὴλ ποιμάνας· τοῦτο μὲν διὰ τῆς ἐρήμου, τοῦτο δὲ διὰ τῆς θαλάττης. „Is enim qui passiones subiit, et vitam suam pro ouibus suis deposuit, is est pastor ille, qui Israelem nunc per desertum, nunc per mare duxit.„ 6) τῶν ἀγ. Cod. 2. ἀγαθόν. 7) τῷ — πρέποντα. Des. in Cod. 2. 8) Θεοῦ. Cod. 1. add. καὶ σωτῆρος. 9) μέν. Abest a Cod. 1. 10) τὸν — Θεοῦ. Cod. 1. τῷ Θεῷ τὸν οἶκον. 11) Cod. 2. τήν. 12) εἰσδ. Cod. 2. add. ἀπόλαυσιν. 13) Ψαλμ. τῷ Δαβ. Des. in Cod. 1. 14) ἐπιγρ. Cod. 1. add. ταύτην.

a) 2 Cor. 7, 1.

tam, nec eos, qui hunc a principio interpretati sunt. Argumentum vero psalmi hoc est. Multi Iudaeorum, et principes et reges, iniquitatem dilexerunt, et iniuste iudicantes, sententiam protulerunt, homicidiaque ausi sunt, innocentium sanguinem muneribus vendentes. Hos etiam beatus Esaias accusauit dicens, a) Audite principes Sodomorum. Et rursus: b) Principes tui inobedientes, diligentes munera, sequentes retributiones, orphanis ius non dicentes, iudicio viduarum non attendentes. Non modo autem accusavit, verum etiam commonefecit, Ius dicite orphano, et iustificate viduam. Hanc etiam accusationem beatus Habacuc instituit, qui deprecationem Deo offerens, dicebat, c) Facies homines, quasi pisces maris, et quasi reptilia non habentia ducem, et impius deuorat iustum. Sic admirabilis quoque Ieremias, et reliqui prophetae, horum iniustitiam assidue arguebant. Haec propheticis oculis diuinus Dauid eminus praeuidens, hunc conscripsit psalmum, vt per concentus harmoniam, quae in diuino templo fiebat, illius temporis homines vtilitatem perciperent. Dei autem docet prouidentiam, et supplicium, quod hinc oritur iis, qui inique viuere decreverunt. Format vero psalmum ex persona piorum hominum,

της, ὅτε οἱ τοῦτον ἐξ ἀρχῆς ἑρμηνεύσαντες· τοῦ δὲ ψαλμοῦ ἡ ὑπόθεσις αὕτη· πολλοὶ τῶν Ἰουδαίων, καὶ ἄρχοντες καὶ βασιλεῖς, τὴν παρανομίαν ἠγάπησαν, καὶ δικάζοντες ἀδίκως ἐξῆγον τὴν ψῆφον, καὶ μιαιφονίας ἐτόλμων, δώροις ἀπεμπολοῦντες τῶν ἀθώων τὸ 1) αἷμα. τούτων 2) δὲ καὶ ὁ μακάριος 3) κατηγόρησεν Ἡσαΐας, ἀκούσατε, λέγων, ἄρχοντες Σοδόμων· καὶ πάλιν· οἱ ἄρχοντές σου ἀπειθοῦσιν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χηρῶν οὐ προσέχοντες. οὐ μόνον δὲ κατηγόρησεν, ἀλλὰ καὶ παρῄνεσε· κρίνατε 4) ὀρφανῷ, καὶ δικαιώσατε χήραν· 5) ταύτην καὶ ὁ μακάριος Ἀββακοὺμ τὴν κατηγορίαν ἐποιήσατο, καὶ τῷ Θεῷ προσφέρων τὴν ἔντευξιν ἔλεγε, ποιήσεις 6) τοὺς ἀνθρώπους, ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, 7) καὶ ὡσεὶ ἑρπετὰ μὴ ἔχοντα ἡγούμενον, καὶ καταφάγεται ὁ ἀσεβὴς τὸν δίκαιον· οὕτω καὶ ὁ θαυμάσιος Ἱερεμίας, καὶ μέντοι καὶ οἱ ἄλλοι προφῆται, τῆς τούτων ἀδικίας διετέλουν κατηγοροῦντες· ταῦτα πόῤῥωθεν προφητικοῖς ὀφθαλμοῖς προϊδὼν ὁ θεῖος Δαβὶδ, τοῦτον ἔγραψε τὸν 8) ψαλμόν· 9) ἵνα διὰ τῆς μελῳδίας, τῆς ἐν τῷ θείῳ ναῷ γινομένης, 10) τὴν ὠφέλειαν οἱ τηνικαῦτα καρπώσωνται· διδάσκει δὲ τοῦ 11) Θεοῦ τὴν 12) πρόνοιαν, καὶ τὴν 13) ἐντεῦθεν τιμωρίαν 14) τῶν πονηρίᾳ συζώντων· σχηματίζει δὲ τὸν ψαλμὸν ἐκ προσώπου τῶν εὐσεβείᾳ συντεθραμμένων, ταύτας

1) αἷμα. Cod. 1. add. καὶ μέχρι τήμερον ὁρῶμεν. 2) δέ. Abest a Cod. 2. 3) Cod. 1. κατηγόρησε καὶ κατηγορεῖ. 4) ὀρφ. Cod. 1. add. λέγων. 5) ταύτην. Cod. 2. τοίνυν. 6) τοὺς ἀνθρ. ὡς. Des. in Cod. 2. 7) καί. Abest a Cod. 2. 8) ψαλμόν. Cod. 2. praem. θεῖον. 9) ἵνα. Cod. 2. add. καί. 10) τὴν — καρπ. Cod. 1. καὶ ἕκαστος μέχρι παντὸς τοῦ βίου τὴν ὠφέλειαν καρπώσωνται. 11) Θεοῦ. Cod. 2. praem. ἀγαθοῦ. In Cod. 1. post Θεοῦ sequ. καὶ σωτῆρος ἡμῶν. 12) πρόνοιαν. Cod. 1. δευτέραν παρουσίαν. 13) ἐντ. Cod. vterque δικαίαν. 14) τῶν — συζ. Cod. 1. ἣν μέλλουσιν δέχεσθαι οἱ πονηρίᾳ συζῶντες. Cod. 2. τῶν ἐν πονηρίᾳ ζώντων.

a) Es. 1, 10. b) Ibid. vers. 23. c) Habac. 1, 14.

1) ταῦτα παρ' ἐκείνων ὑπομενόντων. α'. Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων 2) ἐπαῤῥησιάσατο. 3) Ἀντὶ δὲ τȣ̃ ἐπαῤῥησιάσατο, ὁ Ἀκύλας ἐπιφάνηθι εἴρηκεν· ȣ̃τω δὲ καὶ οἱ ἄλλοι ἑρμηνευταί· 4) σέ φησιν ἱκετεύω τὸν τῶν ἁπάντων 5) Θεὸν, καὶ Δεσπότην, 6) καὶ τὴν κτίσιν ἰθύνοντα, καὶ τὴν ἀξίαν τιμωρίαν τοῖς ἀδίκοις ἐπάγοντα, ἐπακοῦσαι, καὶ τὴν ἔντευξιν δέξαϑαι. β'. Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος 7) ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. 8) Δεῖξον ἅπασι τῆς σῆς δεσποτείας τὸ ὑψηλὸν, καὶ κατάλυσον τὴν τῶν ἀλαζόνων ὀφρὺν, διδάσκων διὰ τῆς πείρας, ὅτι σὺ εἶ 9) τῆς οἰκȣμένης κριτής. γ'. Ἕως πότε ἁμαρτωλοὶ, Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; δ'. Φθέγξονται, καὶ λαλήσȣσιν 10) ἀδικίαν, 11) λαλήσȣσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Οὐκ ὄλεθρον ὑπομεῖναι τȣ̀ς παρανόμȣς 12) ἱκετεύει· ἀλλὰ μὴ δυναςεύειν, καὶ τὴν ἐξȣσίαν ἐφόδιον ἔχειν εἰς 13) ἀδικίαν. ε'. Τὸν λαόν σȣ Κύριε ἐταπείνωσαν· καὶ τὴν κληρονομίαν σȣ ἐκάκωσαν. ς'. Χήραν καὶ 14) ὀρφανὸν ἀπέκτειναν, καὶ 15) προσήλυτον ἐφόνευσαν. Πᾶν εἶδος ἀδικίας Δέσποτα παρ' αὐτῶν τολμᾶται· ἐπὶ τῇ δυναςείᾳ βρενθύονται, ἀδίκοις δὲ κέχρηνται λόγοις. τὰ πράγματα τῶν λόγων ἐςὶ χαλεπώτερα· αἱ τῶν ὁμοζύγων ἐςερημέναι, καὶ οἱ 16) πατέρων ἐρημίαν ὀλοφυρόμενοι πρόκεινται

qui hæc ab illis patiuntur. 1. *Deus vltionum Dominus, Deus vltionum libere egit.* * Pro *Libere egit*, Aquila *appare* dixit: eodemque modo ceteri etiam interpretes. Te, ait, obsecro omnium Deum, et Dominum, et mundi machinam moderantem, condignumque supplicium impiis infligentem, vt exaudias, et precationem admittas. 2. *Exaltare, qui iudicas terram, redde retributionem superbis.* Ostende omnibus tui imperij sublimitatem, et euerte superborum hominum supercilium, experientia docens te totius orbis iudicem esse. 3. *Vsquequo peccatores, Domine, vsquequo peccatores gloriabuntur?* 4. *Effabuntur, et loquentur iniquitatem: loquentur omnes qui operantur iniustitiam.* Non orat, vt interitum patiantur iniqui, sed ne regnent, et imperium pro adminiculo ad iniuste agendum habeant. 5. *Populum tuum Domine humiliauerunt, et hereditatem tuam vexauerunt.* 6. *Viduam et pupillum interfecerunt, et aduenam occiderunt.* Omne genus iniquitatis, o Domine, ab his patratur. De potentia exultant, et iniustis vtuntur verbis, et res verbis asperiores sunt. Viris priuatæ, et parentum orbitatem deplorantes, his

1) ταῦτα. Cod. 2. præm. καί. 2) ἐπαῤῥ. Hebr. הופיע *appare.* 3) Ἀντὶ — ἑρμηνευταί. Cod. 1. οἱ ἄλλοι ἑρμηνευταὶ ἐπιφάνηθι εἰρήκασιν. Omnes alios Interpretes in hac interpretatione consentire testis est MONTF. in Hexapl. ad h. l. 4) σέ — Θεόν. Cod. 1. λέγει δὲ ὅτι σὲ ἱκετεύω τὸν τῶν ἁπάντων δημιȣργόν. 5) Θεόν. Cod. 2. ποιητήν. 6) καί. Cod. 1. præm. τόν. 7) Cod. 2. ἀνταπόδομα. 8) Δεῖξον. Cod. 1. add. ὦ Δέσποτα. 9) τῆς οἰκ. κριτής. Cod. 1. ȣ̓ μόνον τȣ̃ παντὸς δημιουργὸς, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης κριτής. 10) ἀδικ. Hebr. עתק *durum.* 11) λαλ. Hebr. יתאמרו *efferent sese.* 12) Cod. 1. ἱκέτευσεν. 13) ἀδικ. Cod. 1. add. καὶ τίνος ἕνεκεν αἰτεῖ ταῦτα διὰ τῶν ἑξῆς λέγει. 14) ὀρφ. Hebr. גר *aduenam.* 15) προσηλ. Hebr. יתומים *orphanos.* 16) πατ. ἐρημ. Cod. 1. πατέρας.

his velut parata præda proposi- ti sunt. Qui ex gentibus acces- serunt, et secundum tuas leges viuere cupiunt, iniustam cædem ab ipsis patiuntur: *aduenas* enim hos nuncupauit. 7. *Et dixerunt, non videbit homo, nec intelliget Deus Iacobi.* Hæc impietatis ex- aggeratio est. Hæc enim, in- quit, audent, minime existiman- tes te inspicere, neque de hu- manis rebus curam gerere. Non abs re autem apposuit *Deus Iacobi*, sed ad amplifica- tionem accusationis. Nam cum magnam Dei curam erga popu- lum didicerint, et per prophe- tas, et per sacerdotes, et in bello, et in pace, non timent, tanquam inspicientem, vniuerso- rum Deum. Hinc deinceps con- silium et admonitionem affert, „ non modo illis qui tunc ita „ affecti erant, sed etiam eius- „ modi hominibus qui nunc sunt, „ omnique erunt tempore. „ 8. *Intelligite insipientes in populo, et stulti aliquando sapite.* Sero ergo saltem, o insipientes, intel- ligere velitis, et rerum naturam discere: „ Telæ enim araneæ si- „ milis est vitæ huius conditio. „ 9. *Qui plantauit aurem, non au- diet, aut qui finxit oculum, non considerat?* Valido argumen-

τούτοις, ὡς ἕτοιμον θήραμα. οἱ ἐξ ἐθνῶν προσεληλυθότες, καὶ κατὰ τοὺς σοὺς νόμους ποθήσαντες πολιτεύεσθαι, τὴν ἄδικον παρ' αὐτῶν σφαγὴν ὑπομένουσι· προσηλύτους 1) γὰρ τούτους ὠνόμασε. ζ'. Καὶ εἶπαν, οὐκ ὄψεται 2) ἄνθρωπος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. Αὕτη τῆς ἀσεβείας 3) ἐπίτασις· ταῦτα γάρ φησι τολμῶσιν, οὐχ ἡγούμενοί σε ἐφορᾷν, οὐδὲ προμηθεῖσθαι τῶν 4) ἀνθρωπείων 5) πραγμάτων· οὐχ ἁπλῶς δὲ πρόσκειται τὸ ὁ Θεὸς Ἰακώβ, ἀλλ' εἰς αὔξησιν τῆς κατηγορίας· πολλὴν γὰρ περὶ τὸν λαὸν τοῦ Θεοῦ καταμαθόντες πρόνοιαν, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῶν ἱερέων, τὴν ἐν πολέμῳ, τὴν ἐν εἰρήνῃ, οὐ δειμαίνουσιν ὡς ἐφορῶντα τὸν τῶν ὅλων Θεόν· ἐντεῦθεν αὐτοῖς εἰσφέρει συμβουλὴν καὶ παραίνεσιν. 6) „ οὐ μόνον δὲ τοῖς „ τηνικαῦτα τοῖς τοιαῦτα νενοσηκόσιν, „ ἀλλὰ καὶ μέχρι τοῦ νῦν καὶ παντὸς τοῦ „ βίου κρατοῦσιν. „ η'. Σύνετε δὴ 7) ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί, 8) ποτὲ φρονήσατε. 9) Ὀψέ γ' οὖν ποτέ, ὦ ἀνόητοι, 10) συνιδεῖν ἐθελήσατε, καὶ μαθεῖν τῶν πραγμάτων τὴν φύσιν· 11) „ ὅτι ἀράχνῃ ἔοικεν ἡ τοῦ παρόντος βίου „ κατάστασις. „ θ'. Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει, ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ; Σφόδρα συλλογιστικῶς

1) *γάρ.* Cod. 1. *καί.* 2) *ἄνθρ.* Cod. vterque Κύριος, vt in Textu *τῶν ὀ.* 3) *ἐπίτασις.* Cod. 1. præm. *αὐτῶν ἡ.* 4) Cod. 2. *ἀνθρωπίνων.* 5) *πραγμ.* Cod. 1. add. *περὶ δὲ τῶν ἄνω οἰκονομηθέντων ἵνα μὴ λέγω κατατυραννηθέντων, οὐκ ἂν ἀμφιβάλλοι τίς· καὶ μέχρι τοῦ παρόντος τὸν ἀνδραποδισμὸν ὁρῶν τῶν ἀδικουμένων, τὴν ἅλωσιν καὶ τὴν ἀναίρεσιν τῶν πασχόντων καὶ ὑπομενόντων. καὶ ἵνα δεσποτικὴν μαρτυρίαν φέρω πρὸς τοὺς νοοῦντας· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.* „ Dari autem, qui tales, ne dicam tyrannos, se præstant, nemo dubitauerit. Videmus enim ad hunc vsque diem iniuria affectos in captiuitatem abduci, vinculis includi, aliosque qui multa passi sunt interfici. Vtque Domini nostri ad eos qui intelligunt, vtar testimonio, qui aures habet ad audiendum, audiat. 6) E Cod. 1. 7) *ἄφρ.* Cod. 1. præm. *λέγων.* 8) *ποτέ.* Hebr. מתי *quando.* 9) Ὀψὲ — *φύσιν.* Def. in Cod. 2. Ante *ὀψὲ* Cod. 1. præm. *λέγει δὲ ὅτι.* 10) *συνιδ. ἐθελ. καί.* Cod. 1. *θελήσατε.* 11) E Cod. 1.

κῶς τὴν διδασκαλίαν 1) προσήνεγκεν. ὁ ἐκ πηλοῦ γάρ φησι τὸν ὀφθαλμὸν διαπλάσας, καὶ τὴν ὀπτικὴν ἐνέργειαν αὐτῷ δωρησάμενος, καὶ τὰ ὦτα ὡσαύτως δημιουργήσας, καὶ τὴν ἀκουστικὴν αἴσθησιν χαρισάμενος, αὐτὸς οὐχ ὁρᾷ, οὐδὲ ἀκούει, ἀλλὰ ὁ τούτων δημιουργὸς ἐστέρηται τῆς ἐνεργείας, ἣν τοῖς ἄλλοις κεχάρισται; ι΄. Ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει; Τὰ ἔθνη, φησίν, ἃ μήτε νόμον ἐδέξαντο, μήτε προφητικῆς ἀπολαύει διδασκαλίας, ὑποβάλλει παιδείαις, καὶ τὴν ὑμετέραν οὐκ ἐλέγξει παρανομίαν; ὁ διδάσκων ἄνθρωπον γνῶσιν. καὶ μὴν τῶν ἀνθρώπων τὴν φύσιν αὐτὸς ἐδημιούργησε λογικήν, καὶ διὰ τῶν ἐν τῇ κτίσει θεωρουμένων, καὶ καθ᾽ ἑκάστην γιγνομένων ἡμέραν, πλείονα τὴν γνῶσιν 2) ἐργάζεται. ια΄. Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι. Ἀλλὰ γὰρ οὐ μόνον ὁρᾷ καὶ ἀκούει· ἀλλὰ καὶ τοὺς ἡμετέρους ἐπίσταται λογισμούς, τοὺς ψευδῆ περὶ τῆς 3) αὐτοῦ προνοίας τοπάζοντας· οὕτως 4) ἐκείνοις τὴν προσφυῆ ποιησάμενος θεραπείαν, προσφέρει τοῖς ἀδικουμένοις ἀποχρῶσαν ψυχαγωγίαν· πιθανωτέραν δὲ αὐτὴν ἐργαζόμενος 5) ποιεῖται τοὺς λόγους. ιβ΄. Μακάριος 6) ἄνθρωπος, ὃν ἂν παιδεύσῃς Κύριε· καὶ ἐκ τοῦ νόμου σου διδάξεις αὐτόν. Πολλοὶ μὲν γὰρ ἀθλίους εἰώθασιν ἀποκαλεῖν τοὺς τὴν εὐσέβειαν ἀσπαζομένους 7) „καὶ ἀδι„κίαν ὑφισταμένους. ἐγὼ δὲ αὐτοὺς ζηλω„τοὺς καὶ μακαρίους ἀποκαλῶ, παίδευσιν „γυμναζομένους, „ καὶ 8) τοὺς θείου 9) νόμου καρπουμένους τὴν ὠφέλειαν. ιγ΄. 10) Τοῦ πραῦναι 11) αὐτὸν ἀφ᾽ ἡμερῶν πονη-

to doctrinam adstruit. Qui ex luto, ait, oculum finxit, quique videndi vim ipsi largitus est, auresque similiter formauit, et audiendi sensum donauit, ipse non videt, et non audit, sed horum opifex viribus caret, quas aliis largitus est? 10. *Qui corripit gentes, anne arguet?* Gentes, ait, quae nec legem acceperunt, nec prophetica doctrina perfruuntur, suppliciis subiicit, et vestram iniquitatem non arguet? *Qui docet hominem scientiam.* Atqui hominum naturam rationis participem ipse composuit, et per ea, quae in totius mundi machina cernuntur, atque in singulos dies fiunt, maiorem scientiam efficit. 11. *Dominus scit cogitationes hominum, quoniam vanae sunt.* Etenim non modo videt et audit, verum etiam nostras cogitationes novit, falsa de eius prouidentia suspicantes. Congruente ad hunc modum illis adhibita medicina, iniuria affectis idoneam consolationem affert: probabiliorem vero ipsam verbis efficit. 12. *Beatus homo, quem tu erudiueris Domine, et de lege tua docueris eum.* Multi enim miseros vocare solent eos, qui pietatem amplexi sunt, „ et „ ab iniquitate recesserunt: ego „ vero summopere laudandos et „ beatos voco eos, vtpote qui „ in disciplina exercentur „ et qui ex diuina lege fructum percipiunt. 13. *Vt mitiges eum a diebus malis.*

1) Cod. 1. προήνεγκεν. 2) ἐργ. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 3) αὐτοῦ. Def. in Cod. 2. 4) Cod. 2. ἐκείνων. 5) ποιεῖται. Cod. 1. praem. ὡς πρὸς τὸν Θεὸν διαλεγόμενος. 6) ἄνθρ. Cod. vat. praem. ὁ. 7) E Cod. 1. Pro ἀδικ. ὑφιστ. legere mallem ἀπὸ ἀδικίας ἀφισταμένους. 8) Cod. 2. τοῦ. 9) νόμου. Cod. 1. add. καὶ τῆς χάριτος. 10) Τοῦ — αὐτόν. Hebr. להשקיט לו, *ut quietem ei concilies.* 11) Rec. lectio h. l. est αὐτῷ.

lis. Qui enim exiguam correptionem in præsenti vita sustinuit, futurum iudicium mitius habebit. *Diem* enim *malum* sempiternum vocauit supplicium. *Donec fodiatur peccatori fouea.* Qui enim iniquitatem adamarunt, perenni supplicio tradentur. Sicut enim is, qui in profundam foueam prolapsus est, nemine opem ferente, ex illa emergere nequit: sic fieri non potest, vt æternam pœnam declinent, nisi diuina benignitas hoc voluerit. 14. *Quia non repellet Dominus populum suum, et hereditatem suam non derelinquet.* „ *Hereditatem* non Israelem tantantum vocauit, sed etiam populum e Gentilibus collectum, et in primis hunc. De illo enim præstantissimus dixit Moses: a) Et portio Domini factus est populus eius, Iacob, funiculus hereditatis eius, Israel. Ad nouum autem quod attinet populum, quem Deus ex Deo spontanea morte sibi acquisiuit, coheredum nomine insignitur a beato Apostolo. Ipse enim nouum Testamentum et veram portionem constituit, scilicet illi quos per lauacrum regenerationis quasi denuo formauit. „ Et Dei populus in hac vita congruente ope perfruetur, vtpote qui hereditas et populus eius nuncupatur. * 15. *Quousque iustitia conuertatur in iudicium.* Hanc igitur opem consequetur, donec Dei iustitia apparuerit, omnibus hominibus iudicium reddens. Tacite autem innuit diuinus sermo

ρῶν. Ὁ γὰρ μικρὰν παιδείαν κατὰ τὸν παρόντα βίον δεχόμενος, πρᾳότερον ἕξει τὸ μέλλον κριτήριον. 1) ἡμέραν γὰρ πονηρὰν, τὴν αἰώνιον ἐκάλεσε κόλασιν. ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος. οἱ γὰρ τὴν παρανομίαν ἀσπαζόμενοι τῇ διηνεκεῖ τιμωρίᾳ 2) παραδοθήσονται· ὥσπερ γὰρ τὸν εἰς βαθὺ ἐμπεσόντα βόθρον ἀναβῆναι τῶν ἀδυνάτων, μηδενὸς ἐπαμύνοντος· οὕτω διαφυγεῖν τὴν αἰώνιον ἀδύνατον κόλασιν, μὴ τῆς θείας τοῦτο βουλομένης φιλανθρωπίας. ιδ΄. Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ· καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει. 3) „Κληρονομίαν οὐ τὸν Ἰσραὴλ ὠνόμασε μόνον, ἀλλὰ καὶ τὸν ἐξ ἐθνῶν λαόν. καὶ μάλιστα τοῦτον· περὶ μὲν γὰρ ἐκείνου ὁ μακάριος ἔφη Μωϋσῆς, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ· περὶ δὲ τοῦ νέου λαοῦ, ὃν ὁ ἐκ Θεοῦ Θεὸς τῷ ἑκουσίῳ θανάτῳ περιεποιήσατο, συγκληρονόμους ὀνομάζει ὁ θεῖος ἀπόστολος· αὐτὸς γὰρ τὴν νέαν διαθήκην καὶ ἀληθινὴν μερίδα ὁρίζεται· οὓς διὰ λουτροῦ παλιγγενεσίας ἀνέπλασεν.„ 4) Καὶ κατὰ τὸν παρόντα 5) δὲ βίον τῆς προσηκούσης 6) ἀπολαύσεται προμηθείας 7) ὁ θεῖος λαὸς, ἅτε δὴ 8) κληρονομία καὶ 9) λαὸς αὐτοῦ 10) χρηματίσας. ιε΄. 11) Ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν. Ταύτης μέντοι τεύξεται τῆς προνοίας, ἕως ἂν ἡ τοῦ Θεοῦ δικαιοσύνη φανῇ πάντων ἀνθρώπων ποιουμένη τὴν κρίσιν. αἰνίττεται δὲ ὁ λόγος τοῦ Θεοῦ

1) Cod. 1. ἡμέρας γὰρ πονηράς. 2) παραδ. Cod. 2. παραπεμφθήσονται. 3) E Cod. 1. 4) Καὶ κατά. Cod. 1. præm. τούτους γάρ. 5) δέ. Abest a Cod. 1. 6) Cod. 1. ἀπολαύσει. 7) ὁ θεῖος λαός. Des. in Cod. 1. 8) Cod. 1. κληρονομίαν. 9) Cod. 1. λαόν. 10) Cod. 1. χρηματίζοντας. 11) Ἕως — κρίσιν. *Hebr.* Nam ad iustitiam redibit iudicium.

a) Deut. 32, 9.

Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐνανθρώπησιν, καὶ τῶν Ἰουδαίων τὴν ἄρνησιν· δικαιοσύνην γὰρ αὐτὸν ἐκάλεσε τὸν Δεσπότην 1) Χριστόν· 2) αὐτὸς γὰρ καὶ ἥλιος δικαιοσύνης ὠνόμασται, καὶ περὶ αὐτοῦ ἔφη ὁ 3) μακάριος Παῦλος, 4) ἐδόθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. τῆς τοῦ Θεοῦ τοίνυν μνημονεύσας προνοίας, καὶ εἰρηκὼς, ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει, καὶ τὴν ἐσομένην αὐτῶν 5) προθεασάμενος 6) ἄρνησιν, εἰκότως 7) ἐπήγαγεν, ἕως οὗ ἐπιστρέψῃ δικαιοσύνη εἰς κρίσιν· ἕως γὰρ ἂν μὴ ἀρνηθῶσι τῆς δικαιοσύνης τὴν ἐπιφάνειαν, τῆς ἄνωθεν τεύξονται 8) προμηθείας. καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. 9) ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων, καὶ ὀπίσω αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ· 10) τούτῳ γάρ φησι 11) τῷ σωτηρίῳ, ὃ δικαιοσύνην ἐκάλεσεν, ἀκολουθήσουσιν οἱ καθαρὰν 12) ἀπιστίας διάνοιαν ἔχοντες, καὶ εὐθέσι χρώμενοι λογισμοῖς. συμβαίνει δὲ τοῖς εἰρημένοις καὶ τοῦ Κυρίου τὰ ῥήματα· ἰδὼν γὰρ τὸν Πέτρον, καὶ τὸν Ἀνδρέαν, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν, εἶπεν αὐτοῖς, δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· καὶ τῷ εἰρηκότι, ἐπίτρεψόν μοι ἀπελθεῖν θάψαι τὸν πατέρα μου, εἶπεν ὁ Κύριος, ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκροὺς, σὺ δὲ ἐλθὼν ἀκο-

Dei et Saluatoris nostri incarnationem, et Iudæorum abnegationem. *Iustitiam* enim ipsum vocauit Dominum Christum. Ipse enim sol iustitiæ nominatus est, et de ipso beatus Paulus dicit, *a*) Datus est nobis a Deo sapientia, iustitia, et sanctificatio, et redemtio. Cum igitur de Dei prouidentia mentionem fecisset, et dixisset, Quoniam non repellet Dominus plebem suam, et hereditatem suam non derelinquet, et futuram eorum negationem præuidisset, merito subdidit, *Donec iustitia convertatur in iudicium*. Nam quamdiu iustitiæ aduentum non negauerint, cæleste auxilium consequentur. *Et iuxta illam omnes qui recto sunt corde*. Aquila vero et Theodotio, Et post illam omnes, qui recto sunt corde. Hoc enim salutare, inquit, quod iustitiam vocauit, sequentur illi, qui mentem perfidiæ expertem habent, rectisque vtuntur ratiocinationibus. His vero Domini verba respondent. Nam videns Petrum et Andream mittentes rete in mare, dixit eis, *b*) Venite post me, et faciam vos piscatores hominum. Et ei qui dixit, Permitte mihi vt reuertar, et patrem meum sepeliam, dixit, *c*) Sine, vt mortui sepeliant mortuos suos, tu autem veniens se-

1) Χριστόν. Cod. 1. add. τὸν Θεὸν ἡμῶν. 2) αὐτὸς. Cod. 2. præm. ὁ. 3) μακ. Cod. 2. Ἀπόστολος. 4) ἐδόθη. Rec. lectio l. c. est ἐγενήθη. 5) Cod. 2. θεασάμενος. 6) ἄρνησιν. Cod. 1. add. τῶν Ἰουδαίων. 7) ἐπηγ. Cod. 1. περὶ αὐτῶν ἔφησεν. 8) προμ. Cod. 2. præm. προνοίας καί. 9) ὁ — καρδίᾳ. Cod. 1. ἀντὶ τοῦ ἀκολουθοῦσι τῇ σοφίᾳ· ὅσοι τοίνυν τούτῳ πιστεύσαντες Θεὸν ἐκ Θεοῦ ὁμολογοῦσιν αὐτὸν, τούτους εὐθεῖς ἐκάλεσε τῇ καρδίᾳ. „Hoc est, sapientiæ studio sunt dediti: quotquot itaque in eum credunt, et Deum ex Deo confitentur, hos rectos corde vocauit." 10) τούτῳ — ἀκολ. Cod. 1. τούτῳ δὲ ἀκολουθοῦσιν. Cod. 2. pro τούτῳ habet τοῦτο. 11) Cod. 2. τὸ σωτήριον. 12) ἀπισ. Cod. 1. τῆς πίστεως.

a) 1 Cor. 1, 30. *b*) Matth. 4, 19. *c*) Luc. 9, 60.

quere me. Iudæorum igitur curam, inquit, geret, vsque ad abnegationem: eos autem, qui recto sunt corde, asseclas habebit, ipsi adhærentes, et ipsum amplectentes, nec penitus volentes ipsum derelinquere. *16. Quis consurget mecum aduersus malignantes, aut quis stabit mecum aduersus operantes iniquitatem?* Manifestius Symmachus, Quis surget mei causa aduersus improbos? quis stabit pro me contra operantes iniquitatem? Omni humano, inquit, auxilio priuatus sum: sed habeo magnum adiutorem, qui facile hostium agmen profligare potest. Hoc enim per ea, quæ sequuntur, declarauit. *17. Nisi Dominus adiuuisset me, parum abfuisset quin habitasset in inferno anima mea.* Nisi enim ab ipso opem consecutus essem, omnino me morti tradidissent. *18. Si dicebam, motus est pes meus, misericordia tua Domine adiuuabat me.* Simulac enim tuam opem implorarem, meamque imbecillitatem docerem, tuam benignitatem adipiscebar. *19. Secundum multitudinem dolorum meorum in corde meo,*

λούθει μοι. Ἰουδαίων 1) μὲν οὖν, φησὶ, 2) μέχρι τῆς ἀρνήσεως 3) ποιήσεται πρόνοιαν, τοὺς δὲ εὐθεῖς τῇ καρδίᾳ ἀκολούθους 4) ἕξει, ἐχομένους 5) αὐτοῦ, καὶ ἀντεχομένους, 6) καὶ καταλιπεῖν οὐδ' ὅλως ἀνεχομένους. ιϛ'. Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους, ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν; 7) Σαφέστερον δὲ ὁ Σύμμαχος, τίς ἀναστήσεται ὑπὲρ ἐμοῦ πρὸς κακούργους; 8) τίς ἐνστήσεται ὑπὲρ ἐμοῦ πρὸς ἐργαζομένους 9) ἀδικίας; πάσης ἀνθρωπίνης 10) εἰμί φησιν ἔρημος βοηθείας, ἀλλ' ἔχω τὸν μέγαν 11) ἐπίκουρον, τὸν σκεδάσαι ῥᾳδίως δυνάμενον τῶν ἐναντίων τὸ στίφος· τοῦτο γὰρ διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. ιζ'. Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παρὰ βραχὺ παρῴκησε 12) τῷ ᾅδῃ ἡ ψυχή μου. Εἰ μὴ γὰρ τῆς παρ' αὐτοῦ προνοίας 13) ἀπήλαυσα, πάντως ἄν με θανάτῳ παρέδωκαν. ιη'. Εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου Κύριε ἐβοήθει μοι. Παραυτίκα γὰρ τὴν σὴν ἐπικαλούμενος πρόνοιαν, καὶ τὴν 14) οἰκείαν διδάσκων ἀσθένειαν, τῆς σῆς φιλανθρωπίας 15) ἀπήλαυον. ιθ'. 16) Κατὰ τὸ πλῆθος 17) τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρα-

1) μὲν οὖν, φησί. Cod. 1. μέντοι. 2) μέχρι. Cod. 2. χρή με. 3) Cod. 2. ποιῆσαι. 4) Cod. 2. ἔξω. 5) Cod. 2. αὐτοῖς. 6) καὶ — ἀνεχ. Des. in Cod. 2. 7) Σαφ. — Σύμμαχος. Cod. 1. Ὁ Σύμμαχος λέγει, ὅτι. 8) τίς. Cod. 1. præm. ἢ. 9) ἀδικ. Cod. 1. add. τούτους γὰρ λέγει ἐργαζομένους ἀνομίαν. 10) εἰμί. Abest a Cod. 1. 11) ἐπικ. Cod. 1. add. τὸν δι' ἐμὲ καὶ θάνατον ἑλόμενον, „ qui mei caussa etiam mortem subiit. „ 12) τῷ ᾅδῃ. *Hebr.* in silentio, s. loco silentii, i. q. sepulcro, vt Ps. 115, 17. iuxta Hebr. 13) ἀπήλαυσα — παρέδωκαν. Cod. 1. ἀπήλαυσαν ἅπαντες οἱ τὴν εἰς αὐτὸν ἔχοντες πεποίθησιν καὶ μάλιστα ὁ ἀναρίθμητος κατάλογος τῶν ἀθλοφόρων μαρτύρων, οἱ μακάριοι ἀπόστολοι, πάντως ἂν αὐτοὺς θανάτῳ πικροτάτῳ παρέδωκαν. „ (Nisi enim ab ipso opem) consecuti essent, qui fiduciam in eo collocabant, et potissimum innumerus strenuorum Martyrum cœtus, beatique Apostoli, omnino acerbissimæ morti eos tradidissent. „ 14) οἰκείαν. Cod. 1. ἐμαυτοῦ. 15) ἀπήλαυον. Cod. 1. add. τοῦτο γάρ ἐστι. 16) Κατά. Cod. *vatic.* præm. Κύριε, quod tamen a Textu hebr. et a Cod. *alex.* abest. 17) τῶν ὀδ. μου. *Hebr.* cogitationum mearum.

παρακλήσεις σου 1) εὔφραναν τὴν ψυχήν μου. Ἀναλογοῦσαν δὲ ταῖς ὀδύναις τὴν παρὰ τῆς σῆς ἀγαθότητος ἐδεχόμην παραψυχήν· οὕτω καὶ ὁ μακάριος ἔφη Παῦλος· καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ τοῦ 2) Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν· καὶ 3) πάλιν, ἐν παντὶ θλιβόμενοι, 4) ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ 5) ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. κ'. Μὴ 6) συμπροσέσται σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον 7) ἐπὶ πρόσταγμα. Σαφέστερον 8) δὲ ὁ Σύμμαχος, μὴ συναφθήσεταί σοι θρόνος ἐπηρείας, ὁ πλάσσων ταλαιπωρίαν κατὰ προστάγματος; οὐκ ἀνέξῃ, φησὶ, κοινωνῆσαι τῆς ἀδικίας τοῖς παρανόμως δικάζουσιν· οἱ ἐναντίαν τοῖς ὑπὸ σοῦ προστεταγμένοις τὴν ψῆφον ἐκφέροντες, τὴν ἐντεῦθεν φυομένην ἐπισπῶνται ταλαιπωρίαν· θρόνον γὰρ 9) ἐπηρείας καὶ ἀνομίας τοὺς ἀδίκους ἐκάλεσε δικαστὰς, οἳ κόπον καὶ ταλαιπωρίαν δρέπονται τῆς ἀδικίας καρπόν. κα'. 10) Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα ἀθῶον καταδικάσονται. Ἔργον γὰρ τοῖς παρανόμοις τούτοις δικασταῖς, πάσῃ μηχανῇ κατὰ τῶν δικαίων κεχρῆσθαι, καὶ 11) τῶν ἀθῶων καὶ ἀναιτίων καταψηφίζεσθαι θάνατον. 12) „καὶ τὰς ἄλλας τιμωρίας· δημεύσεις λέγω καὶ ἐξορίας, καὶ τὰ ὅμοια τούτοις.„ κβ'. Καὶ ἐ-

conſolationes tuæ lætificauerunt animam meam. Reſpondentem doloribus conſolationem a tua bonitate accipiebam. Sic etiam beatus ait Paulus, a) Sicut abundant paſſiones Chriſti in nobis, ita per Chriſtum abundat conſolatio noſtra. Et rurſus, b) In omnibus tribulationem patimur, ſed non anguſtia premimur: egemus, ſed non deſtituimur: perſecutionem patimur, ſed non derelinquimur: deiicimur, ſed non perimus. 20. *Numquid adhærebit tibi thronus iniquitatis, qui fingit laborem in præcepto?* Manifeſtius autem Symmachus, Numquid coniungetur tibi thronus iniuriæ, formans miſeriam contra præceptum? Non permittes, inquit, vt particeps iniuſtitiæ ſis cum iniuſte iudicantibus, qui ſententiam tuis præceptis aduerſantem proferentes, miſerias quæ hinc procedunt, attrahunt. *Thronum* enim *iniuriæ, et iniquitatis* iniuſtos vocauit iudices, qui laborem et calamitates iniuſtitiæ fructum metunt. 21. *Venabuntur animam iuſti, et ſanguinem innocentem condemnabunt.* Solent enim hi iniuſti iudices contra iuſtos omnes adhibere machinas, et innocentes atque inſontes morte damnare, „ aliiſque pœnis afficere: proſcriptiones puto, exilia et quæ „ ſunt his ſimilia.„ 22. *Et factus*

1) εὔφραναν. Ita leg. in Cod. *alex.* ſed *vat.* habet ἠγάπησαν. Hebr. ישעשעו *recreant.* 2) Χριστοῦ. Cod. 1. add. ἀντὶ τοῦ διὰ τῆς οἰκονομίας αὐτοῦ. 3) πάλιν. Cod. 1. add. ὁ αὐτός. 4) ἀλλ' — ἀπορούμενοι. Deſ. in Cod. 1. 5) Cod. 1. ἐγκαταλιμπανόμενοι. 6) Cod. vterque συμπροσέσται, quæ eſt lectio Cod. *alex.* 7) ἐπὶ προστ. *Hebr.* contra ſtatutum (tuum). 8) δὲ. Abeſt a Cod. 2. 9) ἐπηρ. καὶ. Deſ. in Cod. 1. 10) Θηρ. *Hebr.* turmatim conueniunt. 11) τῶν — αἰτίων. Cod. 2. τὸν ἀθῶον καὶ ἀναίτιον. 12) E Cod. 1.

a) 2 Cor. 1, 5. b) Ib. c. 4, 8. 9.

factus est mihi Dominus refugium, et Deus meus adiutorium spei meae. Ego autem a Domino opem consecutus sum, ipsumque tutissimum vallum habui. 23. *Et reddet illis Dominus iniquitatem ipsorum, et in malitia eorum disperdet eos, disperdet illos Dominus Deus.* Porro illi laborum suorum colligent fructus, condignaque sceleris praemia accipient. Haec non illis solis, sed etiam omnibus hominibus scripta sunt. De omnibus enim hominibus * vniuersorum Deus curam gerens, congruentem omnibus adhibet medicinam.

γένετό μοι Κύριος 1) καταφυγή· καὶ ὁ Θεός μȣ εἰς βοηθὸν ἐλπίδος μȣ. Ἐγὼ 2) δὲ τῆς παρὰ τοῦ Δεσπότȣ προνοίας 3) ἀπήλαυσα, καὶ αὐτὸν 4) ἔχον περίβολον 5) ἰσχυρόν. κγ΄. Καὶ 6) ἀποδώσει αὐτοῖς Κύριος τὴν ἀνομίαν αὐτῶν, καὶ 7) κατὰ τὴν πονηρίαν αὐτῶν 8) ἀφανιεῖ αὐτοὺς Κύριος ὁ 9) Θεός. Ἐκεῖνοι δὲ τρυγήσȣσι τȣ̀ς τῶν ἰδίων πόνων καρπȣ̀ς, καὶ τῆς πονηρίας ἄξια τὰ ἐπίχειρα δέξονται· ταῦτα οὐκ ἐκείνοις μόνοις, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ἐγράφη· πάντων γὰρ ἀνθρώπων 10) ὁ τῶν ὅλων Θεὸς προμηθούμενος, πᾶσι τὴν πρόσφορον προσφέρει θεραπείαν.

INTERP. PSALMI XCIV.

ΕΡΜΗΝ. ΤΟΥ ϞΔ΄ ΨΑΛΜΟΥ.

Laus cantici Dauidi. Sine titulo apud Hebraeos. Iosias rex admodum pius fuit. Hic cum vidisset maiorem partem populi idolorum cultum amplexam esse, praecepit a) omnes idolorum sacerdotes necari, et horum aras radicitus conuelli, et effossis sepulcris mortuorum sacerdotum, horum ossa in ipsis daemonum aris combussit. Deinde conuocatum vniuersum populum commonefecit, vt poenitentiam agerent, Deumque placarent, et hoc pacto declinarent perniciem minis intentatam. Olda enim prophetissa

Αἶνος ᾠδῆς τῷ Δαβὶδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. Ἰωσίας ὁ βασιλεὺς κομιδῆ γέγονεν εὐσεβής· 11) οὗτος θεασάμενος τȣ̃ λαȣ̃ τὸ πλεῖσον τὴν τῶν εἰδώλων ἀσπασάμενον θεραπείαν, προσέταξε μὲν ἅπαντας 12) κατασφαγῆναι τῶν εἰδώλων τοὺς ἱερέας, τοὺς δὲ 13) τȣ́των βωμοὺς ἐκ βάθρων ἀνασπασθῆναι· τῶν δὲ τετελευτηκότων 14) ἱερέων ἀνορύξας τοὺς τάφȣς, τὰ τούτων ὀςᾶ κατέκαυσεν 15) ἐν αὐτοῖς 16) τοῖς τῶν δαιμόνων βωμοῖς· εἶτα τὸν λαὸν ἅπαντα συναθροίσας, μεταμελείᾳ χρήσασθαι παραινεῖ, καὶ τὸν Θεὸν ἱλεώσασθαι, καὶ τȣ́τῳ διαφυγεῖν τῷ τρόπῳ τὴν ἠπειλημένην πανωλεθρίαν. Ὀλδὰ γὰρ ἡ προφῆτις δεινὰ

1) Rec. lectio h. l. est εἰς καταφυγήν. 2) δέ. Cod. 1. μὲν φησι. 3) ἀπήλαυσα. Cod. 1. add. καὶ ἀπολαύσω. 4) ἔχον. Cod. 1. add. καὶ ἕξω. 5) Cod. 1. ὀχυρόν. 6) Cod. 2. ἀνταποδώσει. 7) κατά. Abest a Textu τῶν ὁ. 8) ἀφαν. αὐτȣ́ς. Hebr. יצמיתם *exscindet eos*, quod repetitur in Textu hebr. 9) Θεός. In Textu τῶν ὁ. addi solet ἡμῶν. *Hebr*. Deus noster. 10) ὁ — Θεός. Cod. 1. Χριςὸς ὁ Θεὸς ἡμῶν καί. 11) οὗτος. Cod. 1. add. δέ. 12) Cod. 2. καταφλεγῆναι. 13) τȣ́των. Abest a Cod. 2. 14) ἱερέων. Cod. 2. Ἰȣδαίων. 15) ἐν — βωμοῖς. Des. in Cod. 2. 16) τοῖς — βωμοῖς. Cod. 1. καὶ σὺν αὐτοῖς τȣ̀ς τῶν δαιμόνων βωμȣ́ς.

a) 4 Reg. 23, 4. sqq.

δεινὰ καὶ χαλεπὰ παντὶ προεθέσπισε τῷ λαῷ. ταῦτα τοίνυν πόῤῥωθεν ὁ μακάριος Δαβὶδ τοῖς προφητικοῖς ὀφθαλμοῖς προϊδὼν, τοῦτον συνέγραψε τὸν ψαλμὸν, καὶ εἰς ἐκείνων ὠφέλειαν, καὶ διδασκαλίαν 1) πάντων ἀνθρώπων· ἐσχημάτισται δὲ ὁ ψαλμὸς ἐκ προσώπου τοῦ Ἰωσίου, καὶ τῶν τοῦ Θεοῦ ἱερέων. α'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν 2) τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν. Χορευόντων ἐστὶ τὸ προοίμιον, καὶ ἡδομένων ἐπὶ τῇ τῆς ἀσεβείας ἀπαλλαγῇ· 3) κοινῇ, φησὶ, τῷ Θεῷ τὸν ἐπινίκιον ἀναπέμψωμεν ὕμνον. ὁ γὰρ ἀλαλαγμὸς νικώντων ἐστὶ φωνή. ἐνίκησε δὲ τῶν εὐσεβῶν ὁ χορὸς τὸ στῖφος τῶν δυσσεβῶν. εἰκότως τοίνυν τὴν ἐπινίκιον ᾠδὴν προσφέρουσι τῷ Θεῷ· 4) „ καὶ μάλιστα ὁ τῶν ἀποστόλων καὶ μαρτύρων χορός· ἄλλως δ' ἂν „ νοήσειαν καὶ ἅπαντες οἱ κατ' αὐτοὺς, „ δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν, τῷ „ τὴν ἡμετέραν σωτηρίαν διὰ παθημάτων πραγματευσαμένῳ· ἵνα πάντας „ ἡμᾶς ἀπαθείας ἀξιώσειε· τῷ ἑλομένῳ „ κατελθεῖν μέχρι τοῦ ᾅδου ἵνα ἡμᾶς εἰς „ τοὺς οὐρανοὺς ἀναγάγῃ. „ β'. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει· καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. 5) Πρὸ τοῦ καιροῦ 6) τῆς τιμωρίας τῇ μεταμελείᾳ χρησώμεθα, 7) καὶ πρὶν τὴν καθ' ἡμῶν ἐξενεχθῆναι ψῆφον, τὸν Δεσπότην ἐκμειλιξώμεθα· προσενέγκωμεν δὲ αὐτῷ καὶ τὴν πρέπουσαν ὑμνῳδίαν· εἶτα διδάσκει τοῦ Θεοῦ τὴν νίκην, καὶ τῶν εἰδώλων τὴν

grauia et acerba toti populo prædixerat. a) Hæc igitur beatus Dauid propheticis oculis e longinquo præuidens, hunc conſcripſit pſalmum, tum in illorum vtilitatem, tum ad omnium hominum doctrinam. Compoſitus autem eſt pſalmus ex perſona Ioſiæ, et Dei ſacerdotum. *1. Venite, exultemus Domino, iubilemus Deo ſaluatori noſtro.* Tripudiantium eſt exordium, et gaudentium, quod ab impietate liberati ſint. Communiter, inquit, triumphalem Deo hymnum offerimus. Iubilatio enim vincentium eſt vox. Vicit quippe piorum chorus impiorum agmen. Merito igitur triumphalem Deo offerunt cantilenam: „ et inprimis Apoſtolorum ac Martyrum cœtus. Præterea vero „ omnes etiam qui his ſimiles „ ſunt, ſibi dicta eſſe putent iſta, „ Venite exultemus Domino, „ iubilemus Deo Saluatori noſtro, qui per paſſiones noſtram „ præſtitit ſalutem, vt nos omnes „ a doloribus immunes redderet; immó qui etiam ad Infernum deſcendere voluit, vt „ nos in cælum adduceret. „ *2. Veniamus ante faciem eius cum confeſſione, et cum pſalmis iubilemus ei.* Ante ſupplicii tempus pœnitentiam agamus, et priusquam in nos ſententiam proferat, Dominum demulceamus: offeramus vero ipſi congruentes laudes. Deinde Dei victoriam, et idolorum ſtragem

1) πάντων. Cod. 1. τῶν. 2) τῷ — ἡμῶν. *Hebr.* petræ ſalutis noſtræ. 3) κοινῇ, φησί. Cod. 1. λέγουσι δὲ, ὅτι κοινῇ τῷ. 4) E Cod. 1. 5) Πρὸ τοῦ. Cod. 1. præm. οὐ μόνον ταῦτα λέγουσι πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου, ἀλλὰ καί. „ Non modo ante incarnationem Dei Verbi hæc dicunt, ſed etiam „ 6) τῆς τιμ. τῇ. Cod. 1. τῆς δευτέρας αὐτοῦ παρουσίας, ἀντὶ τοῦ. 7) καί. Abeſt a Cod. 1.

a) 4 Reg. 22, 15. ſqq.

stragem docet. 3. *Quoniam Deus magnus est, et rex magnus super omnem terram.* Inexplicabilis enim est potentia Domini nostri. Hic est verus Deus, hic in omnes imperium habet, falsamque appellationem eorum, qui Dii appellantur, redarguit. Deinde, quantum humanae naturae licet, signa potentiae diuinae ostendit. 4. *Quoniam in manu eius sunt omnes fines terrae, et altitudines montium ipsius sunt.* 5. *Quoniam ipsius est mare, et ipse fecit illud, et aridam manus eius formauerunt.* Omnium est conditor, omnium Dominus, ipse omnia gubernat, manu continet rerum vniuersitatem, humidam substantiam et aridam ipse verbo fabricauit: ipsius sunt etiam montium cacumina, licet daemones stolidis hominibus millies persuaserint, vt eis ibi delubra erigerent. 6. *Venite, adoremus, et procidamus ante eum, et ploremus coram Domino, qui fecit nos.* Propenso igitur animo concurramus, et congruentem ipsi honorem offeramus, et lugentes ac plorantes misericordiam efflagitemus: ipse enim est opifex noster et dominus. Docet autem historia et Iosiae, et populi lacrymas, quas post Deuteronomii lectionem profuderunt.

1) ἧτ]αν. γ'. Ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ἄῤῥητος γὰρ ἡ τοῦ ἡμετέρȣ Δεσπότȣ δύναμις· οὗτος 2) Θεὸς ἀληθὴς, οὗτος κατὰ πάντων ἔχει τὸ κράτος, καὶ τὴν ψευδῆ προσηγορίαν ἐλέγχει τῶν καλȣμένων θεῶν. 3) εἶτα ὡς δυνατὸν ἀνθρωπείᾳ φύσει τῆς θείας δυνάμεως τὰ τεκμήρια δείκνυσιν. δ'. Ὅτι ἐν τῇ χειρὶ αὐτȣ̃ 4) τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτȣ̃ εἰσίν. ε'. Ὅτι αὐτȣ̃ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν· καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. Πάντων ἐστὶ ποιητὴς, πάντων Δεσπότης, αὐτὸς τὰ πάντα κυβερνᾷ· ἐν τῇ χειρὶ 5) περιέχει τὴν 6) κτίσιν, τὴν ὑγρὰν οὐσίαν, καὶ τὴν ξηρὰν αὐτὸς ἐδημιούργησε λόγῳ· αὐτοῦ εἰσὶ καὶ τῶν ὀρέων αἱ κορυφαὶ, κἂν μυριάκις οἱ δαίμονες πείθωσι τῶν ἀνθρώπων τȣ̀ς ἀνοήτȣς ἐν τούτοις αὐτοῖς τὰ τεμένη 7) πηγνύναι. ς'. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ, καὶ 8) κλαύσωμεν ἐναντίον 9) „Κυρίȣ„ τοῦ ποιήσαντος ἡμᾶς. Συνδράμωμεν τοίνυν προθύμως, καὶ τὸ προσῆκον αὐτῷ προσενέγκωμεν σέβας, καὶ ὀλοφυρόμενοι, καὶ δακρύοντες, τὸν ἔλεον ἐξαιτήσωμεν· αὐτὸς γὰρ ἡμῶν καὶ ποιητὴς καὶ δεσπότης. διδάσκει δὲ καὶ ἡ ἱστορία καὶ τοῦ Ἰωσίου, καὶ τοῦ λαοῦ τὰ δάκρυα, ἃ μετὰ τὴν ἀνάγνωσιν τȣ̃ Δευτερονομίȣ προέχεαν. ζ'. Ὅτι

1) ἥττα. Cod. 1. add. καὶ αὐτȣ̃ τȣ̃ διαβόλȣ τὴν κατάλυσιν. 2) Θεός. Cod. 2. γάρ. 3) εἶτα. Cod. 1. praem. εἰ γὰρ καὶ ἄνθρωπος διὰ πολλὴν φιλανθρωπίαν εἵλετο γενέσθαι ὁ φιλάνθρωπος, ἀλλὰ τὸ εἶναι Θεὸς ἔμεινεν ἄτρεπτος. „Etsi enim pro summo in homines amore homo nasci voluerit, tamen quoad essentiam diuinam permansit immutabilis.„ 4) τὰ — γῆς. *Hebr.* inuestigationes terrae, s. loca infima terrae. *Aqu.* ἐξιχνιασμοὶ γῆς. *Symm.* κατώτατα γῆς. 5) Cod. 2. ἔχει. 6) κτίσιν. Cod. 2. add. πᾶσαν. 7) πηγν. Cod. 1. add. ἀλλ' ἔν γε ἡμεῖς οἱ Θεὸν αὐτὸν ἀληθινὸν ὁμολογȣ̃ντες. „Nos itaque qui illum verum Deum esse profitemur.„ 8) κλαύσωμεν. Hebr. נברכה *genua flectamus.* 9) Ex vtroque Cod.

ζ΄. Ὅτι αὐτός ἐστιν ὁ Θεὸς 1) ἡμῶν, καὶ ἡμεῖς λαὸς 2) „νομῆς„ αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ. 3) Καὶ φύσει Δεσπότης ἡμῶν ἐστὶ, καὶ διαφερόντως ἡμῶν ὑπάρχει Θεός. λαὸν γὰρ ἡμᾶς οἰκεῖον καλεῖ, καὶ ὡς οἰκείοις προβάτοις προσφέρει τὴν ἐπιμέλειαν. 4) „λέγει δὲ „καὶ αὐτὸς ὁ Κύριος μετὰ τὴν ἀκατάληπτον αὐτοῦ ἐνανθρώπησιν· τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει· „καὶ πάλιν, ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς „καὶ τὴν ψυχὴν τίθημι ὑπὲρ τῶν προβάτων, καὶ τὰ ἑξῆς.„ εἶτα λοιπὸν ἀπειλοῦσι τοῖς μὴ πειθομένοις τὴν τιμωρίαν, καὶ τῇ τῶν πατέρων δεδιττόμενοι μνήμῃ, καὶ διὰ τῆς 5) ἐκείνης κατηγορίας τὴν ὠφέλειαν πραγματευόμενοι.

η΄. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

θ΄. Ὡς ἐν τῷ παραπικρασμῷ. Ἐπειδὴ τὴν προτέραν ὑμῶν ἀσέβειαν διὰ τὴν οἰκείαν φιλανθρωπίαν ὁ Δεσπότης 6) παρεῖδε, νῦν γοῦν αὐτοῦ παραινοῦντος ἀκούσατε, καὶ τὴν σωτήριον διδασκαλίαν προσφέροντος, καὶ μὴ μιμήσησθε τῶν πατέρων τὴν 7) ἀτέρμονα καὶ ἀντίτυπον γνώμην. παραπικρασμὸν γὰρ κέκληκε τὴν ἐν τῇ ἐρήμῳ πολλάκις γεγενημένην ἀντιλογίαν. οὕτω καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ, ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ; ἔδειξε δὲ καὶ τὸ τῆς γνώμης αὐθαίρετον· οὐ γὰρ ἁπλῶς εἶπε, μὴ σκληρυνθῆτε, ἀλλὰ μὴ σκληρύνητε τὰς καρδίας 8) ὑμῶν, διδάσκων ὡς αὐτοὶ εἰσὶ

7. *Quoniam ipse est Deus noster, nos autem sumus populus „pascui„ eius, et oues manus eius.* Et natura Dominus noster est, et præcipue noster est Deus, quandoquidem nos populum suum nuncupat, et de nobis veluti de propriis ouibus curam gerit. „ Ipse etiam Dominus, „ cum mirabili modo humanam „ induisset naturam, dicit: a) „ Oues meæ audiunt vocem „ meam. Et porro, b) Ego sum „ pastor bonus, et vitam meam „ depono pro ouibus, et quæ „ reliqua sunt. „ Quod reliquum est, deinde infidelibus minitantur pœnam, terrentes eos patrum commemoratione, ac per illam accusationem vtilitatem procurantes. 8. *Hodie si vocem eius audieritis, nolite obdurare corda vestra.* 9. *Sicut in exacerbatione.* Quoniam pristinam vestram impietatem Dominus pro benignitate sua a conspectu suo remouit, nunc saltem eum commonefacientem, salutaremque doctrinam afferentem audite, et ne instabilem et renitentem patrum mentem imitemini. *Exacerbationem* enim sæpius factam in solitudine contradictionem vocauit. Sic etiam in alio ait psalmo, c) Quoties exacerbauerunt eum in deserto, et irritauerunt ipsum in terra inaquosa. Ostendit porro et liberum mentis arbitrium. Non enim simpliciter dixit, Ne obduremini, sed *nolite obdurare corda vestra*, docens, ipsos esse aucto-

1) ἡμῶν. Cod. 1. add. *οὐ μόνον ἐκ προσώπου ἐκείνων εἴρηται, ἀλλὰ καὶ ἐκ προσώπου τῆς καθόλου ἐκκλησίας.* „Non ex eorum tantum persona, sed totius quoque ecclesiæ nomine hæc dicta sunt.„ 2) E Cod. 2. 3) Καί. Cod. 1. præm. *λέγει δὲ ὅτι.* 4) E Cod. 1. 5) Cod. 2. *ἐκείνων.* 6) *παρεῖδε.* Hoc loco desinit Cod. 2. aug. 7) Cod. 1. *ἀτεράμονα.* 8) *ὑμῶν.* Cod. 1. add. *ὡς ἐν τῷ παραπικρασμῷ.*

a) Ioh. 10, 14. 16. b) Ib. vers. 14. 15. c) Ps. 105, 14.

auctores huiusmodi duri cordis. Deinde manifestius parentum inobedientiam illis in memoriam reuocat. * *Sicut die tentationis in deserto, vbi tentauerunt me patres vestri, probauerunt, et viderunt opera mea.* 10. *Quadraginta annis.* Quoniam enim in promissam terram ingredi noluerunt, „ sed contradixerunt Deo iubenti, „ formidinem stolidam et metum obiicientes, dicentesque fore vt ipsi occiderentur, et liberi captiui fierent, permisit, vt per quadraginta annos ipsi in solitudine vitam degerent, donec consumerentur. *Infensus fui generationi huic, et dixi, semper hi errant corde.* Aquila et Symmachus, pro verbo *Infensus fui*, posuerunt, *non amice adfectus fui.* Idcirco, inquit, genus illud execratus sum, videns leuem et inconstantem eorum mentem. 11. *Ipsi vero non cognouerunt vias meas, sicut iuraui in ira mea, non introibunt in requiem meam.* Hi autem ad minas iuramento confirmatas noluerunt attendere, neque comminationes pœnitentia auertere voluerunt. Propterea terram patribus promissam minime consecuti sunt. Nam illam terram, *eius requiem* appellauit, vel secundum alios interpretes, quietem. Quoniam enim in solitudine iter facientes, frequentes loci mutationes faciebant, præeunte tabernaculo, in quo Deus habitare existimabatur, in terra vero promissionis, et ipsi ab iti-

τῆς τοιαύτης καρδίας δημιουργοί· εἶτα σαφέστερον τῆς τῶν πατέρων ἀπειθείας ἀναμιμνήσκει. Κατὰ τὴν ἡμέραν τοῦ 1) πειρασμοῦ ἐν τῇ ἐρήμῳ. οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασαν. 2) με, καὶ εἶδον τὰ ἔργα μου. ι΄. Τεσσαράκοντα ἔτη. Ἐπειδὴ γὰρ εἰς τὴν ἐπηγγελμένην εἰσελθεῖν οὐκ ἠβουλήθησαν γῆν, 3) „ ἀλλ᾿ ἀντεῖπον κελεύοντι τῷ Θεῷ, „ δέος ἄλογον προβαλλόμενοι, καὶ δειλίαν 4) φάσκοντες, ὡς αὐτοὶ μὲν ἀναιρεθήσονται, δορυάλωτα δὲ τὰ παιδία 5) γενηθήσεται, τὸν τεσσαρακοντούτην αὐτοὺς ἐν τῇ ἐρήμῳ 6) διαγαγεῖν παρεσκεύασε χρόνον, ἕως αὐτοὶ 7) κατηναλώθησαν. 8) προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ 9) εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ. ὁ δὲ Ἀκύλας, καὶ ὁ Σύμμαχος, ἀντὶ τοῦ προσώχθισα, δυσηρεστήθην εἰρήκασι· τοῦτο, φησὶν, ἕνεκα τὴν γενεὰν ἐκείνην ἐβδελυξάμην, τὸ κοῦφον αὐτῶν καὶ εὐρίπιστον τῆς γνώμης ἰδών. ια΄. 10) Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, 11) εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Οἱ δὲ ταῖς 12) ὠμοσμέναις ἀπειλαῖς προσέχειν οὐκ ἠθέλησαν, 13) οὐδὲ μεταμελείᾳ λῦσαι τὴν ἀπειλὴν ἠβουλήθησαν· οὗ δὴ χάριν τῆς τοῖς πατράσιν ἐπηγγελμένης οὐκ ἀπήλαυσαν γῆς. τὴν γῆν γὰρ ἐκείνην κατάπαυσιν αὐτοῦ προσηγόρευσεν, ἢ κατὰ τοὺς ἄλλους ἑρμηνευτὰς ἀνάπαυσιν. ἐπειδὴ γὰρ ἐν τῇ ἐρήμῳ μεταβάσεις 14) ὁδοιποροῦντες ἐποιοῦντο συχνάς, τῆς σκηνῆς ἡγουμένης, ἐν ᾗ κατοικεῖν ὁ Θεὸς ἐνομίζετο, ἐν δὲ τῇ γῇ τῆς ἐπαγγελίας, καὶ αὐτοὶ τῆς ὁδοιπορίας

1) πειρ. Cod. vatic. habet πικρασμοῦ. 2) με. Abest a Cod. alex. 3) E Cod. I. 4) φάσκοντες. Cod. I. præm. καί. 5) Cod. I. γενήσεται. 6) Cod. I. διάγειν. 7) κατην. Cod. I. præm. μὲν, et add. οἱ δὲ παῖδες ηὐξήθησαν. 8) προσώχθισα. Cod. I. præm. διό. 9) Cod. I. εἶπα. 10) Αὐτοί. Cod. vat. præm. καί. 11) εἰ. Abest a Cod. I. 12) Cod. I. ὀμωμοσμέναις. 13) οὐδὲ — ἠβουλ. Des. in Cod. I. 14) ὁδοιπ. Cod. I. præm. ὡς.

ρίας ἐπαύσαντο, καὶ ἡ σκηνὴ τοῖς ἀφιερωθεῖσιν ἐνεπάγη χωρίοις, εἰκότως κατάπαυσιν ἐκάλεσε τῆς ἐπαγγελίας τὴν γῆν, ὁδοὺς δὲ Θεοῦ τὰς οἰκονομίας 1) ἐκάλεσεν.

nere cessarunt, et tabernaculum in consecratis locis fixum fuit, iure *requiem* promissionis terram nuncupauit. *Vias* autem Dei gubernationes appellauit.

ΕΡΜΗΝ. ΤΟΥ 𝔥ε´ ΨΑΛΜΟΥ.

α´. Ὠδὴ τῷ Δαβὶδ, ὅτε ὁ οἶκος ᾠκοδόμηται μετὰ τὴν αἰχμαλωσίαν, ἀνεπίγραφος 2) παρ᾽ Ἑβραίοις. Οὐδὲ ταύτην ὁ μακάριος Δαβὶδ ἔγραψε τὴν ἐπιγραφὴν, οὔτε μὴν οἱ ἐξ ἀρχῆς τὴν προφητείαν ἡρμηνευκότες· ἄλλος δέ τις ὡς ἔοικεν τὴν 3) ἐξ ἐπιπολῆς διάνοιαν τοῦ ψαλμοῦ κατιδὼν, ταύτην τέθεικε τὴν ἐπιγραφήν· ἁρμόττει δὲ καὶ τοῖς ἐκ Βαβυλῶνος ἐπανελθοῦσι, καὶ τὸν θεῖον δειμαμένοις νεὼν ἡ τοῦ γράμματος ἐπιφάνεια· ἐπειδήπερ ἐν αὐτοῖς ἐσκιαγραφήθη πάντων ἀνθρώπων ἡ σωτηρία. προθεσπίζει δὲ ὅμως ἡ προφητεία καὶ τὴν προτέραν, καὶ τὴν δευτέραν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν, καὶ τὴν ἐσομένην κρίσιν, καὶ τὴν παραχεθεῖσαν ἤδη τοῖς ἔθνεσι 4) σωτηρίαν. ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἐπὶ καινοῖς γὰρ πράγμασι, καινῆς χρεία 5) καὶ τῆς ὑμνῳδίας. ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. πῶς ταῦτα Ἰουδαίοις ἁρμόττει παρὰ πάντων πολεμουμένοις ἀνθρώπων; οὐ γὰρ ἥσθησαν οἱ τὴν ἐκείνων ἰδόντες ἐλευθερίαν· ἀλλὰ τοὐναντίον ἠχθέσθησαν, καὶ παντοδαποῖς αὐτοὺς κακοῖς περιβαλεῖν ἐπειράθησαν· ὁ δὲ προφητικὸς λόγος πᾶσαν τὴν οἰκουμένην εἰς 6) χορείαν 7) καλεῖ. β´. ἄ-

INTERPR. PS. XCV.

1. *Canticum Dauidi, quando domus aedificata fuit post captiuitatem; sine titulo apud Hebraeos.* Nec hanc inscriptionem beatus Dauid conscripsit, nec qui a principio prophetiam interpretati sunt: sed alius quispiam, vt verisimile est, superficie tenus ad sensum psalmi attendens, hunc posuit titulum. Prima facies vero literae conuenit etiam his, qui e Babylone reuersi fuere, diuinumque templum erexere, quoniam in ipsis omnium hominum salus adumbrata fuit. Praecinit tamen vaticinatio et primum et secundum Dei et Saluatoris * nostri aduentum, et futurum iudicium, et salutem gentibus iam indultam. *Cantate Domino canticum nouum.* Ob nouas enim res noua hymnorum cantilena opus est. *Cantate Domino omnis terra.* Quomodo haec Iudaeis, qui ab omnibus oppugnantur, conueniunt? Non enim laetati sunt ii, qui illorum libertatem viderunt: sed contra doluerunt, et omnis generis malis ipsos afficere conati sunt. Propheticus vero sermo totum terrarum orbem in choream vocat. 2. *Cantate*

1) ἐκάλεσεν. Cod. 1. εἴρηκεν. 2) παρ᾽ Ἑβραίοις. Immo etiam apud omnes Interpretes graecos. Conf. MONTF. in Hexapl. ad h. l. 3) ἐξ. Abest a Cod. 1. 4) σωτ. Cod. 1. add. καὶ ὅρα, τί φησιν. 5) καὶ τῆς. Dest. in Cod. 1. 6) χορ. Cod. 1. ὑμνῳδίαν. 7) καλεῖ. Cod. 1. add. διὰ τῶν ἑξῆς μάλιστα λέγων.

rate Domino, et benedicite nomini eius: annunciate de die in diem salutare eius. Singulis, inquit, diebus beneficium collatum narrate. Deinde docet, quibus oporteat hanc narrationem afferre. 3. *Annunciate inter gentes gloriam eius, in omnibus populis mirabilia eius.* Omne hominum genus hac perfruatur doctrina, diuinaque discat miracula. 4. *Quoniam magnus est Dominus, et valde laudabilis: terribilis est super omnes Deos.* Inexplicabilem enim vniuersorum Dominus sublimitatem habet, et potentiam suam in deos, qui falsum nomen habent, ostendit, illorumque deceptionem redarguit. Hoc enim per ea quæ sequuntur indicauit. 5. *Quoniam omnes dii gentium dæmonia, Dominus autem cælos fecit.* „ Hic enim est ille, de quo beatus Paulus dicit: a) si enim „ agnouissent, Dominum gloriæ „ non affixissent cruci. „ Nam qui dii vocantur, praui dæmones visi sunt: noster vero cælorum opifex declaratus est. „ Tempore enim quo passiones „ sponte subibat, sol obtenebratus est, rupes scissæ sunt, velum templi disruptum est, „ immo etiam vires cæli commotæ sunt, et vt paucis dicam, „ totum Vniuersum minabatur interitum, cum illum qui omnia

σατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα 1) αὐτοῦ· εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. 2) Καθ᾽ ἑκάστην, 3) φησὶν, ἡμέραν ἐξηγεῖσθε τὴν γεγενημένην εὐεργεσίαν. εἶτα διδάσκει καὶ τίσι χρὴ προσενεγκεῖν τὴν τοιαύτην ὑφήγησιν. γ΄. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ· ἐν πᾶσι 4) λαοῖς τὰ θαυμάσια αὐτοῦ. Πᾶν γένος ἀνθρώπων τῆς τοιαύτης διδασκαλίας ἀπολαυέτω, καὶ τὰς θείας μανθανέτω 5) θαυματουργίας. δ΄. Ὅτι μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα· φοβερός ἐστιν 6) ἐπὶ πάντας τοὺς θεούς. Ἄρρητον γὰρ ἔχει τὸ μέγεθος τῶν ὅλων ὁ 7) Κύριος, καὶ κατὰ τῶν ψευδωνύμων θεῶν τὴν οἰκείαν ἔδειξε δύναμιν, καὶ τὴν ἐκείνων ἀπάτην 8) ἐξήλεγξε· τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων ἐδήλωσεν. ε΄. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν 9) δαιμόνια, ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν. „10) περὶ γὰρ αὐτοῦ „ καὶ ὁ μακάριος Παῦλος φάσκει· εἰ γὰρ „ ἔγνωσαν, οὐκ αὐτὸν Κύριον τῆς δόξης „ ἐσταύρωσαν. „ Οἱ μὲν γὰρ καλούμενοι θεοὶ δαίμονες ὤφθησαν πονηροὶ, ὁ δὲ 11) ἡμέτερος τῶν οὐρανῶν ποιητὴς ἀπεφάνθη. „12) ἐπὶ γὰρ τοῦ ἑκουσίου πά„θους οὐ μόνον ἥλιος ἐσκοτίσθη καὶ πέ„τραι διεῤῥάγησαν, καὶ τὸ τοῦ ναοῦ κα„ταπέτασμα κατεσχίζετο· ἀλλὰ καὶ αἱ „ τῶν οὐρανῶν δυνάμεις ἐσαλεύοντο. καὶ „ συντόμως εἰπεῖν τὸ πᾶν ἀνυπαρξίαν „ ἠπείλει βλέπον τὸν φέροντα τὰ πάν„τα

1) αὐτοῦ. Cod. 1. add. καὶ οὐ μόνον ἀλλὰ καί. 2) Καθ᾽. Cod. 1. præm. λέγει δὲ ὅτι. 3) φησίν. Abest a Cod. 1. 4) λαοῖς. Cod. 1. præm. τοῖς. 5) θαυμ. Cod. 1. add. καὶ τίνος ἕνεκεν λέγει. 6) ἐπί. Cod. 1. ὑπέρ. 7) Κύριος. Cod. 1. add. ὅτι Θεὸς ὢν ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. „ quippe, licet Deus esset, humiliauit se vsque ad mortem, mortem vero crucis. „ 8) ἐξήλ. Cod. 1. præm. διὰ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας. „ cum ad nos venisset carne indutus. „ 9) δαιμ. Hebr. אלילים. *Aqu.* ἐπίπλαστοι. *Symm.* ἀνύπαρκτοι. 10) E Cod. 1. 11) ἡμ. Cod. 1. add. Κύριος. 12) E Cod. 1.

a) 1 Cor. 2, 8.

„τὸν ἐπὶ σαυρῷ κρεμάμενον.„ ς΄. 1) Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. 2) Καὶ γὰρ ἀνθρωπείαν φύσιν ἀναλαβὼν, καὶ διὰ ταύτης τοῖς ἀνθρώποις ἐπιφανεὶς, τὰς τῆς οἰκείας μεγαλοπρεπείας ἐκπέμπει μαρμαρυγὰς, καὶ πάντας εἰς προσκύνησιν ἕλκει· ἁγίασμα γὰρ αὐτοῦ 3) τὸν ναὸν προσηγόρευσεν, 4) ὃν ἀνείληφε. τῆς δὲ 5) ὡραιότητος ἐμνημόνευσεν ἤδη καὶ ἐν τῷ ΜΔ΄ ψαλμῷ· ὡραῖος γὰρ ἔφη κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ζ΄. Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, 6) ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ 7) τιμήν. η΄. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. 8) Προσδράμετε 9) τοίνυν ἅπαντες ἄνθρωποι τῷ σῶσαι βουλομένῳ Δεσπότῃ, καὶ τὸ προσῆκον αὐτῷ 10) προσενέγκαντες σέβας, 11) καὶ τὸν εὐεργέτην τοῖς τοῦ σώματος ὀφθαλμοῖς οὐχ ὁρῶντες, τῷ ὀνόματι αὐτοῦ τὴν ὑμνῳδίαν προσοίσατε. 12) Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. θ΄. Προσκυνήσατε τῷ Κυρίῳ 13) ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Θυσίας λέγει τὰς λογικὰς, ἃς ὁρῶμεν διηνεκῶς ὑπὸ τῶν 14) ἱερέων προσφερομένας καὶ 15) ἱερουργουμένας.

„ fert, videret cruci affixum. „ 6. *Confessio et pulchritudo in conspectu eius: sanctitas et magnificentia in sanctificatione eius.* Nam cum humanam naturam assumsisset, et per hanc hominibus apparuisset, suæ maiestatis fulgores emittit, et omnes ad sui cultum trahit. *Sanctificationem* enim eius vocauit templum, quod assumsit. Pulchritudinis autem iam meminit in quadragesimo quarto psalmo, a) Speciosus enim forma, inquit, præ filiis hominum. 7. *Afferte Domino familiæ gentium, afferte Domino gloriam et honorem.* 8. *Afferte Domino gloriam nomini eius.* Accurrite igitur omnes homines ad Dominum, qui salutem largiri vult, * congruentemque ipsi afferte honorem, et vos, qui beneficii auctorem corporeis oculis minime cernitis, nomini eius laudes offerte. *Tollite hostias, et introite in atria eius.* 9. *Adorate Dominum in aula sancta eius.* Hostias rationales dicit, quas continue a sacerdotibus offerri et sacrificari videmus.

1) Ἐξομολόγησις. Hebr. הוד maiestas. 2) Καὶ — ἐπιφανεὶς. Cod. I. καὶ γὰρ ἄνθρωπος γενόμενος καὶ τοῖς ἀνθρώποις ἐπιφανεὶς. 3) τὸν ναόν. Cod. I. τὴν ἐξ ἐθνῶν ἐκκλησίαν. 4) ὃν ἀνειλ. Def. in Cod. I. 5) ὡραιότητος. Cod. I. add. αὐτοῦ. 6) ἐνέγκατε — τιμήν. Def. in Cod. I. 7) τιμήν. Hebr. עז robur. 8) Προσδρ. Cod. I. præm. λέγει δὲ ὅτι. 9) τοίν. ἅπαντες. Cod. I. πάντες. 10) Cod. I. προσενέγκατε. 11) καὶ — προσοίσατε. Cod. I. καὶ τὸν ὑπομείναντα πάθος σαρκὶ δι' ἡμᾶς εὐεργέτην ὑπάρχοντα κοινὸν, τοῖς σωματικοῖς ὀφθαλμοῖς μὴ τὸ πάθος ὁρῶντες, ἀλλὰ τοῖς τῆς ψυχῆς τὴν φιλάνθρωπον αὐτοῦ περὶ ἡμᾶς συγκατάβασιν διακρίναντες, αὐτῷ τὴν ὑμνῳδίαν προσοίσατε. „ et illi qui nostri caussa passiones subiit carne, omniumque communis benefactor euasit, cuius passionem corporeis quidem oculis non videmus, summum tamen amorem quo ad nos quasi descendit, animo contemplari possumus, hymnum offerte. „ 12) Ἄρατε. Hebr. שאו adferte. 13) ἐν — αὐτοῦ. *Hebr.* in ornatu sancto. 14) ἱερέων. Cod. I. εὐσεβῶν. 15) ἱερουργ. Cod. I. add. ὑπὸ τῶν ἱερέων.

a) Ps. 44, 3.

Atriorum vero multitudo ecclesias significat. Nec enim Iudæis hoc imperauit, ne quis legis sacrificia suspicetur: sed familiis gentium, quæ noui Testamenti sacrificia in ecclesiis offerunt. De his et per alium prophetam Deus locutus est, Iudæos alloquens, *a*) Non est voluntas mea in vobis, et hostiam ex manibus vestris non accipiam: quoniam ab ortu solis, vsque ad occasum, magnum est nomen meum inter gentes, et in omni loco sacrificium offertur nomini meo, et hostia pura. *Commoueantur a facie eius vniuersa terra.* Aquila autem, Parturite a facie eius vniuersa terra. Sic etiam Symmachus. Similia autem sunt hæc iis, quæ a propheta Esaia dicta fuere, *b*) Ob timorem tuum Domine in vtero concepimus, et parturiuimus, et peperimus spiritum salutis tuæ, quem fecimus super terram. Hîc igitur etiam propheticus sermo adhortatur gentes, quæ salutis semina acceperunt, vt pietatem parturiant et pariant: et commoueantur quidem a pristino statu, sed in diuinis legibus firmentur et figantur. 10. *Dicite in gentibus, Dominum regnare: etenim correxit orbem terræ, qui non commouebitur.* Prædicate igitur vni-

καὶ τῶν αὐλῶν δὲ τὸ πλῆθος τὰς 1) ἐκκλησίας δηλοῖ· ἄλλως τε οὐδὲ Ἰουδαίοις τοῦτο προσέταξεν, ἵνα 2) τὶς τὰς νομικὰς ὑποπτεύσῃ θυσίας· ἀλλὰ ταῖς πατριαῖς τῶν ἐθνῶν, 3) αἳ τὰς τῆς καινῆς διαθήκης 4) θυσίας ἐν ταῖς ἐκκλησίαις 5) προσφέρουσι. περὶ τούτων καὶ δι᾽ ἑτέρου προφήτου 6) προσηγόρευσεν ὁ Θεὸς πρὸς Ἰουδαίοις διαλεγόμενος· οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ 7) τὸ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. ὁ δὲ Ἀκύλας, ὠδινήσατε ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ· οὕτω δὴ καὶ ὁ Σύμμαχος. ἔοικε δὲ ταῦτα τοῖς ὑπὸ τοῦ προφήτου Ἡσαΐου λεχθεῖσι, 8) διὰ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα 9) σωτηρίας σου, ὃ 10) ἐποιήσαμεν ἐπὶ τῆς γῆς. καὶ ἐνταῦθα τοίνυν ὁ προφητικὸς λόγος παρακελεύεται τοῖς ἔθνεσι δεξαμένοις τὰ σωτήρια 11) σπέρματα, ὠδινῆσαι καὶ τεκεῖν τὴν εὐσέβειαν, καὶ σαλευθῆναι μὲν ἀπὸ τῆς προτέρας στάσεως, ἐν δὲ τοῖς θείοις ἐρεισθῆναί τε καὶ παγῆναι 12) νόμοις. ι. Εἴπατε ἐν τοῖς ἔθνεσιν, 13) ὅτι Κύριος ἐβασίλευσε· καὶ γὰρ 14) κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. 15) Κηρύξατε 16) τοίνυν τοῦ Θεοῦ

1) ἐκκλ. Cod. 1. præm. κατὰ τόπον. 2) τις. Cod. 1. præm. μή. 3) Cod. 1. αἱς. 4) θυσ. Cod. 1. add. ἐνομοθέτησεν. 5) Cod. 1. προσφέρειν. 6) Cod. 1. προηγόρευσεν. 7) τὸ θυμ. Cod. 1. θυμίαμά μοι. 8) Cod. 1. διό. 9) Cod. 1. σωτηρία. 10) Cod. 1. ἐκυήσαμεν. In Commentario ad l. c. Esaiæ Noster sequitur lectionem ἐποίησας. 11) σπέρματα. Cod. 1. δόγματα, adscripta tamen lectione altera. 12) νόμοις. Cod. 1. τῆς ἐνανθρωπήσεως δόγμασιν. 13) ὅτι. Cod. vat. ὁ. 14) κατορθ. Hebr. תִּכּוֹן *stabilietur*. Symm. ἥδρασε. 15) Κηρ. Cod. 1. præm. λέγει δὲ ὅτι. 16) τοίνυν. Abest a Cod. 1.

a) Mal. 1, 10. 11. *b*) Es. 26, 18.

Θεοῦ 1) τῶν ὅλων τὴν βασιλείαν· 2) ἢ τὴν οἰκουμένην 3) πλανωμένην μετέβαλε, καὶ 4) τῆδε κἀκεῖσε 5) φερομένην βεβαίαν ἀπέφηνεν· οὕτω δὲ καὶ ὁ Σύμμαχος, Κύριος ἐβασίλευσε, καὶ ἔδρασε τὴν οἰκουμένην 6) ἀπερίτρεπτον. 7) δῆλον μέντοι, ὡς αἰώνιος ἡ τοῦ Θεοῦ βασιλεία· ἐδείχθη δὲ τηνικαῦτα διὰ τῆς τῶν πραγμάτων μεταβολῆς. Κρινεῖ λαοὺς εὐθύτητι. ἐπειδὴ βασιλέα 8) τὸν Θεὸν ἔδειξεν, εἰκότως καὶ κρίσεως μέμνηται, τὸ εὐθὲς ταύτης ἀνακηρύττων, καὶ 9) δίκαιον. ια΄. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. 10) Πᾶσά φησιν ἡ κτίσις κοινωνείτω τοῖς ἀνθρώποις τῆς εὐφροσύνης, καὶ τὰ οὐράνια, καὶ τὰ ἐπίγεια θυμηδίας ἐμφορηθήτω. εἰ γὰρ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσιν οἱ ἄγγελοι, μείζονα δήπουθεν ἔχουσιν εὐφροσύνην ἐπὶ τῇ πάντων ἀνθρώπων 11) μεταβολῇ. Σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς. ὁ δὲ Θεοδοτίων καὶ ὁ Σύμμαχος οὕτως· 12) ἠχήσει ἡ θάλασσα σὺν πληρώματι αὐτῆς· ἅπας γὰρ τῶν ἀνθρώπων ὁ βίος, ὁ τὴν θαλαττίαν μιμούμενος ζάλην, τῶν θείων κηρυγμάτων δέξεται τὴν ἠχήν. προλέγει δὲ κατὰ ταυτὸν, καὶ τὰς γεγενημένας τῶν ἀπίστων ἐπαναστάσεις κατὰ τῶν κηρύκων τῆς ἀληθείας, ὡς καὶ ἐν ἑτέροις ψαλμοῖς ἀπεδείξαμεν. ιβ΄. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς. Ὁ δὲ Σύμμαχος 13) οὕτως· γαυριάσει 14) ἀγρὸς, καὶ πάντα τὰ ἐν αὐτῷ. ἑρμηνεύων

uersorum Dei regnum, quod orbem errantem mutauit, illumque, qui huc et illuc ferebatur, firmum reddidit. Sic etiam Symmachus, Dominus regnauit, et firmauit orbem terrarum immobilem. Patet igitur, Dei regnum perenne esse: tunc vero demonstratum est per ipsam rerum mutationem. *Iudicabit populos in æquitate.* Postquam regem Deum ostendit, iure iudicii meminit, iustitiam et æquitatem huius demonstrans. 11. *Lætentur cæli, et exultet terra.* Tota, inquit, vniuersitas lætitiam cum hominibus communem habeat, et cælestia et terrestria voluptate impleantur. Si enim ob vnum peccatorem pœnitentiam agentem angeli gaudent, * maiorem profecto lætitiam habent de omnium hominum mutatione. *Commoueatur mare, et plenitudo eius.* Theodotio vero et Symmachus sic, Resonabit mare cum plenitudine eius. Omnis enim hominum vita, quæ marinam imitatur tempestatem, diuinarum prædicationum sonitum accipiet. Eadem opera vero prædicit impetus infidelium factos contra veritatis præcones, quemadmodum et in aliis psalmis ostendimus. 12. *Gaudebunt campi, et omnia quæ in eis sunt.* Symmachus autem sic, Gestiet ager, et omnia quæ in eo sunt. Explanans vero

1) τῶν ὅλων. Cod. 1. καὶ σωτῆρος. 2) ἢ. Cod. 1. ὅτι ὅλην. 3) πλανωμένην. Abest a Cod. 1. 4) τῆδε. Cod. 1. ὧδε. 5) Cod. 1. προσφερομένην. 6) Cod. 1. ἀπερίτρεπτος, Colo ad præc. vocem posito. 7) δῆλον. Abest a Cod. 1. 8) τόν. Cod. 1. πατέρα καί. 9) δικ. Cod. 1. add. ὁ προφήτης. 10) Πᾶσα. Cod. 1. præm. λέγει δὲ ὅτι. 11) μεταβ. Cod. 1. add. τε καὶ σωτηρίᾳ. 12) MONTF. in Hexapl. ad h. l. habet ἤχησεν. 13) οὕτως. Abest a Cod. 1. 14) ἀγρός. Cod. 1. præm. ὁ.

vero Dominus zizaniorum parabolam, agrum nominauit mundum. Dicit igitur, omnia gaudio et voluptate plena fore. *Tunc exultabunt omnia ligna ſiluæ.* Aquila autem, Tunc laudabunt omnia ligna nemoris. Illa potiſſimum Deo afferent hymnum: quandoquidem ex ipſis ſalutare lignum fuit, in quo Saluatoris corpus ſuffixum fuit, per quod hominibus germinant bona. Sciendum eſt igitur, prophetam proſopopœia vſum eſſe. Neque enim cælum, nec terra, nec mare, nec campi, nec ligna, ratione aut anima prædita ſunt: ſed ii, qui in illis ſunt, Deo offerunt laudes. Inſulares enim mare incolunt: terram vero ii, qui in continenti ſunt: cælum autem angeli. Qui vero vident nemora ab idolorum cultu libera, Deo gratias agunt. Eodem modo filiorum Iſraëlis ex Aegypto iter docens propheta rurſus proſopopœia vſus eſt, *a)* Mare vidit, et fugit, et Iordanes conuerſus eſt retrorſum. Montes exultauerunt ſicut arietes, et colles ſicut agni ouium. Et interrogationem profert, et reſponſionem recipit, ſaluatorum lætitiam per hæc oſtendens. 13. *A facie Domini, quoniam venit, quoniam aduenit iudicare terram.* Elegantiſſime hæc duo poſuit, *Quoniam venit*, et

δὲ ὁ Κύριος τὴν τῶν ζιζανίων παραβολὴν, ἀγρὸν τὸν κόσμον 1) ὠνόμασε· λέγει τοίνυν, ὅτι ἅπαντα χαρᾶς καὶ θυμηδίας πληθήσονται. Τότε ἀγαλλιάσεται πάντα τὰ ξύλα τοῦ δρυμοῦ. ὁ δὲ Ἀκύλας· τότε αἰνέσουσι πάντα τὰ ξύλα τοῦ δρυμοῦ. 2) ἐκεῖνα διαφερόντως τῷ Θεῷ προσξενήσει τὸν ὕμνον. ἐξ αὐτῶν γὰρ τὸ σωτήριον ξύλον, ἐν ᾧ 3) τοῦ σωτῆρος προσηλώθη τὸ σῶμα, 4) δι᾽ οὗ τοῖς ἀνθρώποις ἀναβλαστάνει τὰ ἀγαθά. εἰδέναι μέντοι προσήκει, ὡς προσωποποιΐᾳ ὁ προφητικὸς ἐχρήσατο λόγος. οὔτε γὰρ οὐρανὸς, οὔτε γῆ, οὔτε θάλασσα, οὔτε πεδία, οὔτε τὰ ξύλα, λογικά τε καὶ ἔμψυχα, ἀλλ᾽ οἱ ἐν τούτοις 5) ὄντες 6) τὴν ὑμνῳδίαν τῷ Θεῷ 7) προσφέρουσι. τὴν 8) γὰρ θάλασσαν οἰκοῦσιν οἱ νησιῶται, τὴν δὲ γῆν ἠπειρῶται, τὸν δὲ οὐρανὸν ἄγγελοι· οἱ δὲ τοὺς δρυμοὺς ὁρῶντες τῆς τῶν εἰδώλων θεραπείας 9) ἀπηλλαγμένους, τῷ Θεῷ τὸν ὕμνον προσφέρουσιν· οὕτω καὶ τῶν υἱῶν Ἰσραὴλ τὴν ἐξ Αἰγύπτου πορείαν διδάσκων ὁ προφήτης, τῇ προσωποποιΐᾳ πάλιν 10) ἐχρήσατο· ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν· ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. καὶ προσφέρει τὴν πεῦσιν, καὶ τὴν ἀπόκρισιν δέχεται, τῶν σεσωσμένων τὴν εὐθυμίαν διὰ τούτων 11) δηλῶν. ιγʹ. 12) Ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται· ὅτι 13) ἔρχεται κρῖναι τὴν γῆν. Καλῶς τὰ δύο τέθεικε, καὶ ὅτι ἥκει, καὶ ὅτι

1) ὠνομ. Cod. 1. ἐκάλεσε. 2) ἐκεῖνα. Cod. 1. add. γάρ. 3) τοῦ — σῶμα. Cod. 1. προσηλώθη ὁ Θεὸς καὶ σωτὴρ ἡμῶν. 4) δι᾽ οὗ. Cod. 1. καὶ δι᾽ αὐτοῦ τοῦ ξύλου. 5) ὄντες. Cod. 1. add. ἄνθρωποι. 6) τὴν — Θεῷ. Cod. 1. τῷ Θεῷ καὶ σωτῆρι τὴν ὑμνῳδίαν. 7) προσφ. Cod. 1. add. ἅτε δημιουργῷ τοῦ παντὸς καὶ τὴν σωτηρίαν διὰ τῆς οἰκονομίας τοῖς ἀνθρώποις χαρισαμένῳ. „ ceu Vniuerſi conditori, et qui per Oeconomiam ſuam hominibus ſalutem largitus eſt. „ 8) γάρ. Cod. 1. præm. μέν. 9) Cod. 1. ἀπηλλαγμένοι. 10) ἐχρ. Cod. 1. add. λέγων. 11) Cod. 1. παραδηλῶν. 12) Ἀπὸ. Cod. vatic. Πρό. 13) ἔρχεται. Cod. 1. ἥκει.

a) Pſ. 113. 3. 4.

ὅτι ἔρχεται· ἡ πρώτη μὲν γὰρ 1) ἐπιφάνεια δέδωκε τοῖς ἀνθρώποις τὴν 2) θείαν ἐπίγνωσιν· ἡ δὲ δευτέρα ποιήσεται τὴν τῶν πραγμάτων 3) διάκρισιν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ. τότε γάρ φησι, τότε τὴν δικαίαν κρίσιν ποιήσεται, οὐκ ἔτι τῇ προτέρᾳ μακροθυμίᾳ χρώμενος, ἀλλὰ τὴν τῶν πραγμάτων ἐξετάζων ἀλήθειαν, καὶ ὀρθὴν ἐκφέρων κατὰ πάντων τὴν ψῆφον.

quoniam aduenit: quia primus aduentus diuinam cognitionem hominibus dedit; secundus vero iudicium de rebus faciet. *Iudicabit orbem terræ in iustitia, et populos in veritate sua.* Tunc enim, inquit, tunc iustum iudicium faciet, non amplius * pristina patientia vtens, sed rerum veritatem discutiens, rectamque sententiam in omnes proferens.

ΕΡΜΗΝ. ΤΟΥ ϟϛʹ ΨΑΛΜΟΥ.

Τῷ Δαβίδ, ὅτε ἡ γῆ αὐτοῦ 4) καθίςαται· 5) ἀνεπίγραφος παρ' Ἑβραίοις. Ὡμολόγησε 6) καὶ ὁ ταύτην τεθεικὼς τὴν ἐπιγραφήν, μὴ εὑρηκέναι αὐτὴν παρ' Ἑβραίοις, ἀλλ' αὐτὸς τεθεικέναι· οὐκοῦν οὐδὲ αὐτὴ ἡ προφητική· οὐδὲ γὰρ ἁρμόττει τῇ τοῦ ψαλμοῦ διανοίᾳ· ἁπάσης γὰρ τῆς γῆς, ἀλλ' οὐ τῆς Ἰουδαϊκῆς μόνης, τὴν κατάςασιν ὁ προφήτης 7) λέγει· εἰκὸς δὲ καὶ τὸν τὴν ἐπιγραφὴν 8) ἐπιτεθεικότα τοῦ προφήτου 9) νοῆσαι γῆν πᾶσαν τὴν οἰκουμένην, ὡς τῇ τούτου μελῳδίᾳ πάντων χρησαμένων ἀνθρώπων· προθεσπίζει δὲ ὅμως ὁ ψαλμὸς καὶ τὴν προτέραν, καὶ τὴν δευτέραν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν, καὶ τῶν ἐθνῶν τὴν θεογνωσίαν, καὶ τὸ μέλλον κριτήριον. αʹ. Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. Διὰ τούτων τὴν προτέραν τοῦ σωτῆρος ἐπιφάνειαν προλέγει. οὗ δὴ χάριν, καὶ ἠπειρώτας, καὶ νησιώτας εἰς χορείαν διήγειρεν καὶ θυμηδίαν· καὶ 10) οὗτοι γὰρ κἀκεῖνοι τῇ τῶν μελλόντων

INTERPR. PS. XCVI.

Dauidi, *quando terra eius constituta est. Sine titulo apud Hebræos.* Qui hunc titulum posuit, confessus est, se non inuenisse illum apud Hebræos, sed ipsummet apposuisse. Igitur inscriptio non est ipsius prophetæ, neque enim psalmi sententiæ quadrat: totius quippe orbis terrarum constitutionem, et non Iudææ tantum propheta fatur. Verisimile autem est, et eum, qui inscriptionem posuit, prophetæ terram totum orbem intellexisse, tanquam omnibus hominibus eius concentu vtentibus. Præcinit tamen psalmus et primum, et secundum Dei et Saluatoris aduentum, gentiumque diuinam cognitionem, et futurum judicium. 1. *Dominus regnauit, exultet terra, lætentur insulæ multæ.* Per hæc priorem Saluatoris aduentum prædicit: propterea continentis et insularum incolas ad choream et lætitiam excitauit. Etenim et hi et illi ex futurarum rerum

 spe

1) ἐπιφ. Cod. 1. præm. καὶ ἔνσαρκος αὐτοῦ. 2) θείαν. Cod. 1. σωτηρίαν καὶ τὴν εἰς αὐτόν. 3) διάκρ. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 4) Rec. lectio h. l. est καθίςαται. 5) ἀνεπ. παρ' Ἑβρ. Additur in edit. *ald.* et *compl.* 6) καί. Cod. 1. præm. ὡς ἔοικε. 7) Cod. 1. προλέγει. 8) Cod. 1. ἐντεθεικότα. 9) νοῆσαι. Cod. 1. add. τὸν σκοπὸν, φάσκοντα. 10) τοῦτοι. Cod. 1. αὐτοί.

ſpe voluptatem capientes, exultant. Regnare vero Dominum dicit, non ac ſi regnum tunc acceperit, ſed prout tunc hominibus regnum ſuum oſtendit. Et ne eadem repetamus, * obſecramus eos, qui hoc accuratius diſcere voluerint, vt ea, quæ iam ante a nobis explanata ſunt, legant. 2. *Nubes et caligo in circuitu eius, iuſtitia et iudicium correctio ſedis eius.* Per *caliginem* et *nubem*, diuinam naturam, quæ minime cerni poteſt, docuit. Vt enim is, qui nube aliqua et caligine circumfuſus eſt, conſpici non poteſt: ſic omnino fieri nequit, vt inuiſibilis natura cernatur. Veruntamen commonefacit, ipſum eſſe, qui per nubem et caliginem in Sinai monte apparuit et docet, licet diuina natura conſpici non poſſit, tamen per operationem poſſe huius potentiam conſiderari. Iuſtitiam enim homines docuit, atque eos, qui omnia indifferenter faciunt, cum * recto iudicio viuere * docuit. Hæc eius thronus et regnum effecit. 3. *Ignis ante ipſum ardebit, et*

ἐλπίδι ψυχαγωγούμενοι γάννυνται· βασιλεῦσαι δὲ τὸν Κύριον ἔφη, οὐχ ὡς 1) τὸ τηνικαῦτα τὴν βασιλείαν δεξάμενον, ἀλλ' ὡς τότε τοῖς ἀνθρώποις τὴν οἰκείαν δείξαντα βασιλείαν. καὶ ἵνα μὴ ταυτολογῶμεν, 2) τοῖς ἤδη παρ' ἡμῶν ἑρμηνευθεῖσιν ἐντυχεῖν παρακαλοῦμεν τοὺς τοῦτο μαθεῖν ἀκριβέστερον βουλομένους. β. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ· δικαιοσύνη καὶ κρίμα 3) κατόρθωσις τοῦ θρόνου αὐτοῦ. Διὰ τοῦ γνόφου, καὶ τῆς νεφέλης, τὸ ἀθέατον τῆς θείας ἐδίδαξε φύσεως· ὥσπερ γὰρ 4) καὶ τὸν νεφέλῃ τινὶ, καὶ γνόφῳ συγκαλυπτόμενον ἀδύνατον κατιδεῖν· οὕτω πάμπαν ἀδύνατον θεάσασθαι τὴν ἀόρατον 5) φύσιν. ἀναμιμνήσκει δὲ ὅμως, ὡς αὐτός ἐστιν ὁ ἐν τῷ Σινᾷ ὄρει διὰ νεφέλης καὶ γνόφου τὴν οἰκείαν ποιησάμενος ἐπιφάνειαν· καὶ διδάσκει, ὅτι εἰ καὶ τὴν θείαν φύσιν ἀδύνατον κατιδεῖν, ἀλλ' οὖν διὰ τῆς 6) ἐνεργείας τὴν ταύτης δύναμιν ἔνεστι θεωρῆσαι· δικαιοσύνην γὰρ τοὺς ἀνθρώπους ἐπαίδευσε, καὶ τοὺς ἀδιακρίτως ἅπαντα δρῶντας, μετὰ κρίσεως ὀρθῆς ἐδίδαξε πολιτεύεσθαι· ταῦτα αὐτοῦ ὁ θρόνος καὶ ἡ 7) βασιλεία κατώρθωσεν. γ. Πῦρ 8) ἐνώπιον αὐτοῦ 9) καυθήσεται, καὶ φλο-

1) τὸ. Abeſt a Cod. 1. 2) τοῖς — βουλ. Cod. 1. τοὺς μὲν τοῦτο μαθεῖν ἀκριβέστερον βουλομένους διδάξει τὰ ἑξῆς. „ eos qui hoc accuratius diſcere voluerint, docebunt ſequentia. „ 3) κατ. Hebr. מכון *fulcrum.* 4) καὶ. Abeſt a Cod. 1. 5) φύσιν. Cod. 1. add. ἢ τίς ἢ ποταπή ἐστιν· εἰ γὰρ καὶ διὰ πολλὴν φιλανθρωπίαν ἠβουλήθη ὁ Θεὸς λόγος θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων· ὥσπερ γὰρ καὶ εἴδομεν αὐτὸν κατὰ τὸν υἱὸν τῆς βροντῆς φάσκοντα· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· κατ' ἀλήθειαν γὰρ σαρκωθεὶς ἐθεάθη παρὰ πάντων. „ quæ vel qualis ſit: etſi pro multo ſuo in homines amore Deus Verbum ab hominibus conſpici voluerit. Siquidem vidimus eum teſte filio tonitru, qui dicit, (1 Ioh. 1, 1.) Quod fuit ab initio, quod audiuimus, quod vidimus, et manus noſtræ palparunt de verbo vitæ. Vere enim, poſtquam carnem induit, conſpectus eſt ab omnibus. 6) ἐνεργείας. Cod. 1. add. καὶ τῆς ἐνσάρκου οἰκονομίας καὶ παρουσίας. „ eiusque in carne præſentiam et œconomiam. „ 7) βασ. Cod. 1. add. καὶ ἡ ἐνανθρώπησις. 8) ἐνώπιον. Rec. lectio h. l. eſt ἐναντίον. 9) καυθ. Cod. 1. προπορεύσεται, quæ eſt rec. lectio h. l.

φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Ταῦτα τῆς 1) δευτέρας ἐπιφανείας τὰ θεσπίσματα. ταῦτα καὶ ὁ θεῖος ἐθεάσατο Δανιήλ· ὁ θρόνος αὐτοῦ, φησὶ, φλὸξ πυρὸς, 2) οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς ἐκπορευόμενος εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισε, καὶ βίβλοι 3) ἠνεῴχθησαν. δ΄. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ. Δύο τοῦ πυρὸς 4) αἱ ἐνέργειαι· οὐ γὰρ μόνον τὸ καίειν, ἀλλὰ καὶ τὸ φωτίζειν ἔχει· ἀλλὰ τῆς μὲν ὁ τῶν ἁγίων ἀπολαύει χορὸς, θατέρας δὲ οἱ παρανομίᾳ συζήσαντες· 5) ἀστραπῇ δὲ αὐτοῦ τὴν παρουσίαν καὶ ὁ Δεσπότης ἀπείκασεν· ἔφη δὲ οὕτω· ὥσπερ 6) γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ 7) ἀνθρώπου. Εἶδε καὶ ἐσαλεύθη ἡ γῆ. τίς γὰρ οὐ δεδμαίνει τὸ φοβερὸν ἐκεῖνο 8) δικαστήριον; ε΄. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου Κυρίου, ἀπὸ προσώπου Κυρίου πάσης τῆς γῆς. Οὐ μόνοι γὰρ οἱ ἀρχόμενοι, ἀλλὰ καὶ αὐτοὶ οἱ δυναστεύοντες καὶ βασιλεύοντες, κηροῦ δίκην πυρὶ πελάζοντος, τῷ φόβῳ διαλυθήσονται· ὅσῳ γὰρ πλειόνων πραγμάτων οἰκονομίαν ἐνεχειρίσθησαν, τοσούτῳ πλείοσιν εὐθύναις ὑπόκεινται· ὅσῳ δὲ πλέον τὸ χρέος, τοσούτῳ πλέον τὸ δέος. ς΄. Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ· καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. Τοῦτο καὶ γέγο-

inflammabit in circuitu inimicos eius. Hæc secundi aduentus vaticinia sunt. Hæc et diuinus Daniel vidit, Thronus eius flamma ignis, inquit, *a)* et rotæ eius ignis accensus: fluuius igneus egrediens prouoluit sese in conspectu eius. Millia millium ministrabant ei, et myriades myriadum assistebant ei. Iudicium sedit, et libri aperti sunt. 4. *Illuxerunt fulgura eius orbi terræ.* Duplex est vis ignis. Non enim comburere solum, sed et illuminare potest. Verum hanc illustrandi vim sanctorum chorus consequitur: per alteram vero iniqui homines suppliciis afficiuntur. Fulguri vero aduentum suum Dominus comparauit. Dicit autem hoc modo: *b)* Sicut enim fulgur exit ab oriente, et lucet vsque ad occidentem, sic erit aduentus filii hominis. *Vidit et commota est terra.* Quis enim formidabile illud iudicium non perhorrescit? 5. *Montes sicut cera fluxerunt a facie Domini, a facie Domini omnis terræ.* Non enim tantum subditi, verum etiam ipsi dynastæ, et reges, ceræ instar, quæ igni admouetur, timore conficientur. Quanto enim plurium rerum regimen habuerunt, tanto maioribus suppliciis succumbent. Quanto autem maius est debitum, tanto maior est timor. 6. *Annunciauerunt cæli iustitiam eius, et viderunt omnes populi gloriam eius.* Hoc et fuit,

 et

1) δευτέρας. Cod. 1. add. αὐτοῦ. 2) οἱ — πυρός. Dest. in Cod. 1. 3) ἠνεῴχθ. Cod. 1. add. καλῶς οὖν ἔχειν διὰ τῶν ἑξῆς τὸ θεῖον πνεῦμα προθεσπίζει. 4) αἱ. Abest a Cod. 1. 5) ἀστραπῇ — ἀπείκασεν. Cod. 1. καὶ αὐτὴν δὲ αὐτοῦ τὴν παρουσίαν ἀστραπῇ αὐτὸς ὁ Δεσπότης ἀπείκασεν. 6) γάρ. Abest a Cod. 1. 7) ἀνθρ. Cod. 1. add. διὸ ἐπάγει περὶ ταύτης ὁ προφήτης. 8) δικασ. Cod. 1. κριτήριον. Sequitur, τοῦτο γὰρ λέγει.

a) Dan. 7, 9. 10. *b)* Matth. 24, 27.

et erit. Nam quando Dominus natus est, angelorum chorus apparens propter hominum salutem Deo hymnum obtulit, et clamabant laudantes, a) Gloria in excelsis Deo, et in terra pax, in hominibus beneplacitum. *Cælos* igitur vocauit cælestes virtutes: quemadmodum terram sæpius eos qui terram incolunt nuncupat. Ceterum viderunt populi orbis terrarum, per propriam mutationem, Dei et Saluatoris nostri potentiam. Secundus quidem aduentus manifesto Domini regnum omnes homines docebit: tunc etiam omnes angelorum concentum audiemus. 7. *Confundantur omnes qui adorant sculptilia, et qui gloriantur de simulacris suis.* * Vera igitur exorta luce, cedant tenebræ, et occultent se ii, qui errori seruiunt, delitescant qui simulacra venerantur. *Adorate eum omnes angeli eius.* Et hanc prophetiam beatus Paulus Saluatori accommodauit. Sic autem ait in epistola ad Hebræos, b) Cum iterum introducit primogenitum in orbem terræ, dicit, Et adorent eum omnes angeli Dei. Opportune autem hoc etiam loco propheta hoc posuit. Cum enim ostendisset, eos qui idola venerantur, pudore affectos esse, et sese occultasse, ostendit innumerabiles myriadas

νε, καὶ γενήσεται. ἡνίκα μὲν γὰρ 1) ὁ Δεσπότης ἐτέχθη Χριστὸς, χορὸς ἀγγέλων φανεὶς 2) τῷ Θεῷ τὸν ὕμνον ἐπὶ τῇ τῶν ἀνθρώπων προσενήνοχε σωτηρίᾳ, καὶ ἐβόων ὑμνοῦντες, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. οὐρανοὺς τοίνυν 3) ἐκάλεσε τὰς οὐρανίας δυνάμεις, ὥσπερ αὖ καὶ γῆν πολλάκις τοὺς τὴν γῆν 4) οἰκοῦντας καλεῖ. εἶδον δὲ καὶ οἱ κατὰ τὴν οἰκουμένην λαοὶ, διὰ τῆς οἰκείας μεταβολῆς, τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν δύναμιν· ἡ δευτέρα μέντοι παρουσία σαφῶς ἅπαντας ἀνθρώπους διδάξει τοῦ Δεσπότου τὴν βασιλείαν· τότε καὶ τῆς ἀγγέλων ὑμνῳδίας ἀκουσόμεθα 5) πάντες. ζ΄. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς 6) γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Τοῦ ἀληθινοῦ τοίνυν φωτὸς ἀνατείλαντος, ὑποχωρείτω τὸ σκότος, καὶ καταδυέσθωσαν οἱ τῇ πλάνῃ δουλεύοντες, ἐγκαλυπτέσθωσαν οἱ τοῖς εἰδώλοις λατρεύοντες. Προσκυνήσατε αὐτῷ πάντες 7) ἄγγελοι αὐτοῦ. καὶ ταύτην ὁ μακάριος Παῦλος τὴν προφητείαν 8) τῷ σωτῆρι προσήρμοσε. Φησὶ δὲ οὕτως ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· ὅτ' ἂν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. εἰς καιρὸν δὲ τοῦτο καὶ ἐνταῦθα τέθεικεν ὁ προφήτης· δείξας γὰρ αἰσχυνομένους καὶ ἐγκαλυπτομένους τοὺς τῶν εἰδώλων 9) προσκυνητὰς, ὑποδείκνυσι 10) τὰς ἀναριθμους τῶν ἀγγέλων μυριάδας,

1) ὁ — Χριστός. Cod. 1. σαρκωθεὶς ὁ Θεὸς λόγος ἐτέχθη ἐκ παρθένου. 2) τῷ Θεῷ. Cod. 1. αὐτῷ. 3) ἐκαλ. Cod. 1. add. ὁ προφήτης. 4) οἰκ. Cod. 1. add. ἀνθρώπους. 5) Cod. 1. ἅπαντες. 6) γλυπτοῖς. Cod. 1. add. οὕτω γὰρ αἰσχυνθήσονται. 7) ἄγγελοι. *Hebr.* Dii. 8) τῷ σωτ. Cod. 1. τῷ Θεῷ καὶ σωτῆρι ἡμῶν. 9) προσκ. Cod. 1. add. καθάπερ καὶ τὸν παμμίαρον Νεστόριον καὶ τοὺς φρονοῦντας τὰ αὐτοῦ· „ sicque etiam nefandum Nestorium et quotquot cum illo delirant. „ 10) τὰς ἀναρ. Des. in Cod. 1.

a) Luc. 2, 14. b) Hebr. 1, 6.

λας, τὸν ἡμέτερον προσκυνοῦντας 1) Θεόν. η'. Ἤκουσε καὶ εὐφράνθη Σιὼν, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας, 2) ἕνεκεν τῶν κριμάτων σου Κύριε. Καὶ ἐνταῦθα Σιὼν τὴν εὐσεβῆ πολιτείαν καλεῖ· θυγατέρας δὲ τῆς Ἰουδαίας, τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας. ἐξ Ἰουδαίων γὰρ κατῆγον τὸ γένος οἱ τοῦ 3) σωτῆρος ἀπόστολοι, οἱ ταύτας φυτεύσαντες καὶ γεννήσαντες· καὶ μάρτυς ὁ θεσπέσιος Παῦλος Κορινθίοις ἐπιστέλλων, καὶ διαῤῥήδην λέγων· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. ἐπειδὴ τοίνυν καὶ μία ἡ τοῦ 4) σωτῆρος ἐκκλησία· εἰς σῶμα γὰρ ἓν ἅπαντες 5) τελοῦσιν οἱ πιστεύσαντες· καὶ αὖ πάλιν πολλαί· πολλὰ γὰρ τὰ μέλη τοῦ σώματος· διὰ μὲν τῆς Σιὼν τὸ κοινὸν ἐκάλεσε σύστημα τῶν εὐσεβῶν· διὰ δὲ τῶν θυγατέρων τῆς Ἰουδαίας, τοὺς ἐν πόλεσι καὶ κώμαις, καὶ ἀγροῖς, καὶ ἐσχατιαῖς τῶν πεπιστευκότων συλλόγους· λέγει δὲ καὶ τούτους κἀκείνους εὐφροσύνης ἀναπεπλῆσθαι 6) τὰ δίκαια κρίματα τοῦ κριτοῦ. θ'. Ὅτι 7) σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν· σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς Θεούς. 8) Χαίρουσι δὲ 9) ἅπαντες καὶ ἀγάλλονται, τοῦ ἀληθοῦς Θεοῦ καὶ 10) βασιλέως δεξάμενοι τὴν 11) ἐπίγνωσιν, καὶ τῶν οὐκ ὄντων Θεῶν τὸν 12) ἔλεγχον θεασάμενοι. τῶν μὲν γὰρ ἐλέγχθη τὸ μάταιον, σοῦ δὲ τὸ ὕψος ἐδείχθη· ἐπειδὴ δὲ οὐ μόνης ἡμῖν δεῖ πίστεως, ἀλλὰ καὶ πράξεως ἀγαθῆς, ἀναγ-

angelorum Deum nostrum laudibus prosequentes. 8. *Audiuit, et laetata est Zion, et exultauerunt filiae Iudae, propter iudicia tua Domine.* Et hic piorum rempublicam Zionem nuncupat: *Filias* vero *Iudae*, ecclesias per orbem terrarum. Ex Iudaeis enim Saluatoris apostoli originem traxere, qui has plantauerunt et genuerunt. Et testis est diuinus apostolus Corinthiis praecipiens, et aperte dicens, *a)* In Christo Iesu enim per euangelium ego vos genui. Quoniam igitur vna est Saluatoris ecclesia, (ad vnum enim corpus omnes fideles pertinent,) et rursus multae sunt ecclesiae, (multa enim membra corporis sunt,) *Zionem* communem piorum coetum vocauit, *filias* vero *Iudaea*, conuentus credentium in vrbibus, et in oppidis, et in agris, et in praediis. Dicit autem et hos et illos ob iusta iudicia laetitia plenos fuisse. 9. *Quoniam tu Dominus altissimus super omnem terram, et valde exaltatus es super omnes Deos.* Porro omnes gaudent, et exultant, ob acceptam veri Dei et regis cognitionem, et quod Deorum qui non sunt, vituperationem viderint. Nam horum vanitas reprehensa, tua vero sublimitas declarata est. Quoniam vero non sola fide nobis opus est, verum etiam bonis operibus, necessario

1) Θεόν. Cod. 1. add. τὸν διὰ σταυροῦ καὶ θανάτου τὴν σωτηρίαν ἡμῶν πραγματευσάμενον. „ eum qui per crucem ac mortem effecit salutem nostram. „ 2) ἕνεκεν. Cod. 1. praem. καὶ τίνος ἕνεκεν διὰ τῶν ἑξῆς λέγει. 3) σωτῆρος. Cod. 1. add. ἡμῶν. 4) σωτ. Cod. 1. Θεοῦ καὶ σωτῆρος ἡμῶν. 5) Cod. 1. τελοῦμεν. 6) τά. Cod. 1. praem. διά. 7) σύ. Cod. vat. add. εἶ. 8) Χαίρ. δέ. Cod. 1. λέγει δὲ ὅτι χαίρουσι. 9) ἅπαντες. Cod. 1. add. ἄνθρωποι. 10) βασιλ. Cod. 1. add. μὴ μόνον παθόντος κατὰ τὸν ἀπόστολον σαρκί. 11) ἐπίγνωσιν. Cod. 1. add. αὐτοῦ. 12) ἔλεγχον. Cod. 1. add. καὶ τὸν ὄλεθρον.

a) 1 Cor. 4, 15.

sario et hanc admonitionem propheta affert. 10. *Qui diligitis Dominum odite mala.* Si bonum a vobis amatur, contrarium respuite. Quae enim communicatio est luci cum tenebris? a) Per malum vero, omnes improbitatis species detestatus est. *Custodit Dominus animam sanctorum suorum, e manu * peccatoris liberabit eos.* Auersantes malignitatem, et recto iustoque viuendi modo operam dantes, gubernatorem et custodem habebitis vniuersorum Dominum, superioresque insurgentibus inimicis eritis. 11. *Lux orta est iusto, et rectis corde laetitia.* Non enim omnes homines luce perfrui voluerunt, neque omnes ex fide lætitiam acceperunt. Nam sol iustitiæ salutis quidem radios omnibus emisit: sed sunt qui oculos suos compresserunt, et lucem cernere noluerunt. 12. *Lætamini iusti in Domino, et confitemini memoriæ sanctificationis eius.* Omnes igitur, qui lumen consecuti, virtutisque sortem amplexi estis, exultate, Deumque laudibus extollite, beneficiorum multitudinem enarrantes. *Confessionem* enim hoc in loco gratiarum actionem vocauit.

καίως καὶ ταύτην ὁ προφήτης 1) προσφέρει τὴν συμβουλήν. ί. Οἱ ἀγαπῶντες τὸν Κύριον μισεῖτε 2) πονηρά. Εἰ τὸ ἀγαθὸν ὑμῖν ἐπέραστον, τὸ ἐναντίον βδελύξασθε. τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; διὰ μέντοι τῆς πονηρίας ἀπηγόρευσε ἅπαντα τῆς κακίας τὰ εἴδη. Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς 3) ἁμαρτωλοῦ ῥύσεται 4) αὐτούς. ἀποστρεφόμενοι τὴν πονηρίαν, καὶ τῆς ὀρθῆς καὶ δικαίας ἐπιμελούμενοι πολιτείας, ἕξετε κηδεμόνα, καὶ φύλακα, 5) τῶν ὅλων τὸν Κύριον, καὶ κρείττους τῶν ἐπανισταμένων ὑμῖν γενήσεσθε 6) δυσμενῶν. ιά. Φῶς ἀνέτειλε τῷ δικαίῳ· καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Οὐ γὰρ πάντες ἠβουλήθησαν ἄνθρωποι τοῦ φωτὸς ἀπολαῦσαι, οὐδὲ πάντες τὴν ἀπὸ τῆς πίστεως εὐφροσύνην 7) ἐδέξαντο. αὐτὸς 8) γὰρ ὁ τῆς δικαιοσύνης ἥλιος πᾶσι τῆς σωτηρίας τὰς ἀκτῖνας κατέπεμψεν· ἀλλ᾽ εἰσὶν οἱ τοὺς ὀφθαλμοὺς ἔμυσαν, καὶ τὸ φῶς ἰδεῖν οὐκ 9) ἠβουλήθησαν. ιβ´. Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ· καὶ ἐξομολογεῖσθε 10) τὴν μνήμην τῆς ἁγιωσύνης αὐτοῦ. Ἅπαντες τοίνυν οἱ τοῦ φωτὸς ἀπολαύσαντες, 11) καὶ τὸν τῆς ἀρετῆς ἀσπασάμενοι κλῆρον, ἀγαλλιᾶσθε, καὶ τὸν Θεὸν ἀνυμνεῖτε, τὸ τῶν εὐεργεσιῶν ἐξηγούμενοι πλῆθος· ἐξομολόγησιν γὰρ ἐνταῦθα τὴν εὐχαριστίαν ἐκάλεσεν.

ΕΡΜΗΝ.

1) προσφ. Cod. 1. add. διὰ τῶν ἑξῆς. 2) πονηρά. Cod. 1. add. τὰ εἴδωλα μάλιστα, καὶ πᾶσαν ἐναντίαν πρᾶξιν. „ idola potissimum, omnemque malam legi contrariam actionem. „ 3) Cod. vat. ἁμαρτωλῶν. *Hebr.* impiorum. *Aqu.* ἀσεβῶν. *Symm.* παρανόμων. 4) αὐτούς. Cod. 1. add. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. 5) τῶν ὅλων. Cod. 1. Χριστὸν τὸν Θεὸν ἡμῶν ὡς τῶν ἁπάντων. 6) δυσμ. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 7) Cod. 1. δέξασθαι. In Cod. sequitur: καθάπερ ἴσμεν καὶ ὁρῶμεν τοὺς πολλοὺς τῇ ἀπειθείᾳ καὶ τῇ πλάνῃ κεκρατημένους. „ sicut multos nouimus ac videmus contumacia ac errore abreptos. „ 8) γάρ. Cod. 1. præm. μέν. 9) ἠβουλ. Cod. 1. ἠθέλησαν. 10) Rec. lectio est τῇ μνήμῃ. 11) καὶ — κλῆρον. Cod. 1. καὶ μάλιστα οἱ τὸν ἀσκητικὸν ἀναδησάμενοι βίον.

a) 2 Cor. 6, 14.

ΕΡΜΗΝ. ΤΟΥ ϟζʹ ΨΑΛΜΟΥ.

αʹ. Ψαλμὸς τῷ Δαβίδ. Καὶ οὗτος ὁ ψαλμὸς τὴν αὐτὴν ἔχει διάνοιαν· ἑκατέραν γὰρ τοῦ 1) σωτῆρος ἐπιφάνειαν προθεσπίζει· ἀλλὰ τὰ πλείονα περὶ τῆς προτέρας διέξεισιν. ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἐπειδὴ τῶν παλαιῶν πραγμάτων κηρύττει μεταβολὴν, καὶ καινήν τινα πολιτείαν προαγορεύει, εἰκότως καὶ ᾆσμα καινὸν κελεύει προσενεγκεῖν τῷ 2) Θεῷ. Ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος. ὑπερφυᾶ γὰρ καὶ παράδοξα τὰ ὑπὸ τοῦ 3) Θεοῦ τῶν ὅλων γινόμενα. Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων 4) αὐτοῦ ὁ ἅγιος. πολλάκις εἰρήκαμεν, ὅτι χεῖρα τὴν ἐνέργειαν λέγει, δεξιὰν δὲ τὴν ἀγαθὴν 5) ἐνέργειαν. λέγει δὲ, ὅτι τῆς αὐτοῦ δυνάμεως ἔργον, τῶν ἀνθρώπων ἡ σωτηρία. ἀμέτρῳ δὲ φιλανθρωπίᾳ χρώμενος, οἰκεῖον ἡγεῖται κέρδος τὴν τῶν ἀνθρώπων ζωήν. διά τοι τοῦτο οὐκ εἶπεν, ἔσωσεν αὐτοὺς ἡ δεξιὰ αὐτοῦ, ἀλλ᾽ ἔσωσεν αὐτῷ. τῆς γὰρ τῶν εἰδώλων αὐτοὺς πλάνης ἐλευθερώσας, καὶ τῆς αὐτοῦ βασιλείας τὸ ὑψηλὸν ὑποδείξας, τῆς σωτηρίας μετέδωκε. καὶ τοῦτο σαφέστερον διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. βʹ. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον τῶν ἐθνῶν, ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Πᾶσιν ἀνθρώποις τὰ σωτήρια προσενήνοχε νάματα, καὶ τὴν δικαίαν αὐτοῦ βασιλείαν τοῖς ἔθνεσιν ἔδειξεν. γʹ. Ἐμνήσθη τοῦ 6) ἐλέου αὐτοῦ 7) τῷ Ἰακώβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ· εἴδοσαν πάντα τὰ πέρατα τῆς

INTERP. PS. XCVII.

1. *Psalmus Dauidi.* Et hic etiam psalmus idem habet argumentum: vtrumque enim Saluatoris aduentum præcinit, sed plura de priori narrat. *Cantate Domino canticum nouum.* Quoniam priscarum rerum prædicat mutationem, et nouam quandam præcinit religionem, iure nouum canticum Deo offerri iubet. *Quia mirabilia fecit Dominus.* Supra naturam enim et conceptum sunt ea, quæ a Deo vniuersorum fiunt. *Salutem sibi præstitit dextera eius, et brachium sanctum eius.* Sæpius diximus, *Manum* actionem appellari, *Dexteram* vero, bonam actionem. Dicit autem, hominum salutem potentiæ eius esse opus: immensa autem benignitate vtendo, eum hominum vitam quæstum suum ducere. Propterea non dixit, *Saluauit* ipsos dextera eius, sed, *Salutem præstitit sibi.* Nam cum ab idolorum errore ipsos liberasset, sublimitatemque regni sui ostendisset, salutem impertiit. Et hoc manifestius per sequentia declarauit. 2. *Notum fecit Dominus salutare suum, in conspectu gentium reuelauit iustitiam suam.* * Omnibus hominibus * salutaria fluenta præbuit, iustumque regnum suum gentibus demonstrauit. 3. *Recordatus est misericordiæ suæ, Iacobo, et veritatis suæ, domui Israelis. Viderunt omnes fines terræ*

1) σωτ. Cod. 1. præm. Θεοῦ καί. 2) Θεῷ. Cod. 1. præm. σεσωκότι, et post Θεῷ addit, καὶ τίνος ἕνεκεν λέγει. 3) Θεοῦ τῶν ὅλων. Cod. 1. αὐτοῦ. 4) αὐτοῦ. In Cod. 1. ponitur post ἅγιος. 5) ἐνέργειαν. Cod. 1. add. βραχίονα δὲ τὴν ἰσχύν· „ brachium autem, robur. „ 6) Rec. lectio h. l. est ἐλέους. 7) τῷ Ἰακώβ.

* Abest a Textu hebr.

terræ ſalutare Dei noſtri. Hæc valde ſimilia ſunt vaticinationibus Eſaiæ prophetæ. Per illum enim vniuerſorum Deus Domino Chriſto ait, a) *Conſtitui te teſtamentum generis, lucem gentium, vt eſſes ſaluti vsque ad fines terræ.* Quoniam enim et admirabilibus patriarchis, Abrahamo, Iſaaco, et Iacobo, et diuino Dauidi vniuerſorum Deus ſpopondit, ſe ex eorum ſemine ſecundum carnem excitaturum eſſe Chriſtum, ſalutemque per ipſum omnibus hominibus præbiturum eſſe, *Teſtamentum* vocauit promiſſionem patribus factam. *Teſtamentum* enim alii interpretes *fœdus* dixerunt. *Genus* autem eius, Iſraelem nuncupauit: quoniam ex Iudæis Chriſtus ſecundum carnem ortus erat, vt ait Apoſtolus. Conſtitui igitur te „ inquit „ teſtamentum generis, hoc eſt, vt impleas fœdera cum Iudæis inita: verum *in lucem*, non amplius Iudæorum, ſed *gentium*. Hi enim per fidem ſalutem conſecuti ſunt: „ profitentes illum, „ et confitentes Deum ex Deo. „ Illi vero incredulitatis tenebras adamarunt. Illud hîc quoque beatus ait Dauid, *Recordatus eſt miſericordiæ ſuæ Iacobo, et veritatis ſuæ domui Iſrael*, quoniam promiſſiones illis factas impleuit. Viderunt itaque omnes fines terræ ſalutare Dei noſtri. Non enim ſolis Iudæis veritatis

γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Κομιδῆ ταῦτα ἔοικε τοῖς Ἡσαΐου τοῦ προφήτου θεσπίσμασι· δι᾽ ἐκείνου γὰρ ὁ 1) τῶν ὅλων Θεὸς πρὸς τὸν δεσπότην ἔφη 2) Χριστόν· ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. ἐπειδὴ γὰρ καὶ τοῖς 3) θαυμασίοις πατριάρχαις, τῷ Ἀβραάμ, καὶ τῷ Ἰσαάκ, καὶ τῷ Ἰακώβ, καὶ τῷ θεσπεσίῳ Δαβὶδ ὑπέσχετο ὁ 4) τῶν ὅλων Θεός, ἐκ τοῦ σπέρματος αὐτῶν κατὰ σάρκα τὸν Χριστὸν ἀναστήσειν, καὶ σωτηρίαν δι᾽ 5) αὐτοῦ πᾶσιν ἀνθρώποις 6) παρέξειν, διαθήκην ἐκάλεσε τὴν πρὸς τοὺς πατέρας γεγενημένην ἐπαγγελίαν. τὴν γὰρ διαθήκην οἱ ἄλλοι ἑρμηνευταὶ συνθήκην εἰρήκασι. γένος δὲ αὐτοῦ, τὸν Ἰσραὴλ κέκληκεν, ἐπειδὴ ἐξ Ἰουδαίων 7) ὁ Χριστὸς κατὰ σάρκα, ᾗ φησὶν ὁ ἀπόστολος. δέδωκά σε τοίνυν „ 8) ἔφη „ εἰς διαθήκην γένους· τουτέστιν ὥστε πληρῶσαι τὰς πρὸς Ἰουδαίους γεγενημένας συνθήκας· ἀλλ᾽ εἰς φῶς, οὐκ ἔτι Ἰουδαίων, ἀλλ᾽ ἐθνῶν· οὗτοι γὰρ διὰ τῆς πίστεως τῆς σωτηρίας μετέλαχον· „ 9) ὁμολογήσαντες αὐτὸν καὶ ὁμολογοῦντες „ Θεὸν ἐκ Θεοῦ „ ἐκεῖνοι δὲ τὸν ζόφον τῆς ἀπιστίας 10) ἠγάπησαν. τοῦτο καὶ ἐνταῦθα ὁ μακάριος ἔφη Δαβίδ· ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ· 11) τὰς γὰρ πρὸς ἐκείνους γεγενημένας ἐπαγγελίας ἐπλήρωσεν. εἶδον μέντοι πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ 12) ἡμῶν. οὐ γὰρ Ἰουδαίοις μόνοις ἀνέτειλεν,

1) τῶν — Θεός. Cod. 1. Θεὸς καὶ Πατήρ. 2) Χριστόν. Cod. 1. add. τὸν Θεὸν λόγον. 3) Cod. 1. θαυμασιωτάτοις. 4) τῶν ὅλων. Abeſt a Cod. 1. 5) αὐτοῦ. Cod. 1. add. τουτέστι διὰ τῆς ἐνανθρωπήσεως. 6) παρέξειν. Cod. 1. παρέδειξε. 7) ὁ — ἀπόστολος. Cod. 1. ὁ Κύριος ἡμῶν κατὰ τὸν μακάριον Παῦλον τὸ κατὰ σάρκα. 8) — 9) E Cod. 1. 10) ἠγάπ. Cod. 1. add. καθάπερ καὶ ὁ δυσσεβὴς Νεστόριος. 11) τάς. Cod. 1. præm. λέγει δὲ ὅτι, omiſſo γάρ. 12) ἡμῶν. Abeſt a Cod. 1.

a) Eſ. 42, 6.

λεν, ἀλλὰ πᾶσιν ἀνθρώποις τῆς ἀληθείας τὸ φῶς. δ'. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, ᾄσατε, καὶ ἀγαλλιᾶσθε, καὶ ψάλατε. Ἐπειδὴ τοίνυν ἅπαντες τῆς πικρᾶς τοῦ διαβόλου τυραννίδος ἠλευθερώθητε, τὸν ἐπινίκιον ὕμνον τῷ 1) σεσωκότι Θεῷ προσενέγκατε· ὁ γὰρ ἀλαλαγμὸς 2) νικώντων 3) φωνή. 4) διὸ πληροῦμεν τὸ κελευσθέν. τοῦτον γὰρ τὸν ὕμνον ἀλαλάζοντες καὶ βοῶντες κατὰ τὸν μυστικὸν 5) καιρὸν προσφέρειν εἰώθαμεν τῷ 6) Θεῷ, ᾄδοντες, καὶ ψάλλοντες, καὶ μετὰ πάσης εὐθυμίας χορεύοντες. ε'. Ψάλατε τῷ Κυρίῳ 7) ἐν κιθάρᾳ, καὶ φωνῇ ψαλμοῦ. Καὶ τοῦτον δὲ τὸν νόμον ἐστὶν ἰδεῖν διηνεκῶς ἐν ταῖς ἐκκλησίαις πληρούμενον· τῇ γὰρ πνευματικῇ 8) κιθάρᾳ τὴν θείαν ἀνακρουόμεθα μελῳδίαν· ποιοῦμεν δὲ καὶ ἡμεῖς λογικὰς 9) κιθάρας τὰ ἡμέτερα 10) σώματα, καὶ χρώμεθα, ἀντὶ μὲν χορδῶν τοῖς ὀδοῦσιν, ἀντὶ δὲ χαλκοῦ τοῖς χείλεσι, πλήκτρου δὲ παντὸς ὀξύτερον ἡ γλῶττα κινουμένη τὴν ἐναρμόνιον ἀποτελεῖ τῶν κρουσμάτων ἠχήν. κινεῖ δὲ τὴν γλῶτταν ὁ νοῦς, οἷόν τις μουσικὸς μετ' ἐπιστήμης ποιούμενος τὴν ταύτης μετάβασιν· αὕτη τῷ Θεῷ ἡ κιθάρα τῆς ἀψύχου θυμηρεστέρα. καὶ μάρτυς αὐτὸς διὰ τοῦ προφήτου πρὸς Ἰουδαίους βοῶν· ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ φωνὴν ὀργάνων σου οὐκ ἀκούσομαι. ς'. Ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης. Σάλπιγγα πολλάκις τὴν βοὴν ἡ θεία καλεῖ γραφή. οὕτως ὁ Κύριος ἐν τοῖς 11) εὐαγγελίοις φησίν· ὅτ' ἂν

lux, ſed etiam omnibus hominibus illuxit. 4. *Iubilate Deo omnis terra, cantate, exultate, et pſallite.* Quoniam igitur omnes ab acerba diaboli tyrannide liberati eſtis, triumphalem Deo, qui ſalutem donauit, offerte hymnum. *Iubilatio* enim vincentium eſt vox. Idcirco implemus quod præceptum eſt. Hunc enim hymnum iubilantes et exclamantes myſtico inſtituto Deo afferre ſolemus, canentes et pſallentes, et cum omni hilaritate tripudiantes. 5. *Pſallite Domino cum cithara, et cum voce pſalmi.* Et hanc ſane legem continuo in eccleſiis impletam videre licet. Spirituali quippe cithara diuinam pulſamus melodiam. Efficimus vero etiam nos noſtra corpora citharas rationales, et * vtimur pro chordis quidem dentibus, et pro ære labiis: lingua vero quolibet plectro celerius agitata concinnum pulſat ſonum. Mens autem linguam mouet, veluti quidam peritus muſicus illam ſcienter agitans. Hæc cithara gratior eſt Deo, quam illa, quæ anima caret. Et ipſe teſtis eſt ad Iudæos per prophetam clamans, *a)* Auerte a me ſonum cantionum tuarum, et vocem organorum tuorum non audiam. 6. *Cum tubis ductilibus, et voce tubæ corneæ.* Tubam ſæpius vociferationem ſacræ literæ vocant. Similiter Dominus in ſacris euangeliis inquit, *b)* Cum facis

1) σεσωκ. Cod. 1. add. καὶ σταυρωθέντι. 2) νικώντων. Cod. 1. præm. καθὼς πολλάκις ἡμῖν εἴρηται. 3) φωνή. Cod. 1 præm. ἐστί. 4) διό. Cod. 1. καὶ δὴ τὰ πλήθη καὶ μάλιστα οἱ τὸν μονήρη βίον ἀσπαζόμενοι. 5) καιρόν. Cod. 1. ὕμνον. 6) Θεῷ. Cod. 1. σωτῆρι. 7) ἐν κιθάρᾳ. Repetitur in Cod. 1. vt in Textu græco τῶν ό. 8) κιθ. Cod. 1. præm. τοῦ Δαβίδ. 9) κιθάρας. Cod. 1. λατρείας. 10) σώματα. Cod. 1. στόματα. 11) εὐαγγ. Cod. 1. præm. ἱεροῖς.

a) Amos 5, 23. *b)* Matth. 6, 2.

facis eleemosynam, noli tuba canere ante te, sicut hypocritæ faciunt: pro eo quod est, Ne prædices, neque manifestam omnibus facias, ne inani gloria benignitatis lædas fructum. In hoc igitur etiam loco *tubam*, doctrinam vocat, per quam beneficia in nos collata discimus, et fructuosas edocemur leges. *Ductiles* autem *tubas*, æneas dicit: *tubas* vero *corneas*, ex cornibus factas. His autem vti Iudæi solebant. Ceterum vmbra nostrarum rerum apud illos erat. Vt igitur illi agnum rationis expertem immolabant, nos vero salutarem, „ Deum ex „ Deo, „ qui tollit peccata mundi: sic illi inanimatis vtebantur tubis, nos vero tubis, quæ animam et rationem habent, vtimur. Nostræ igitur tubæ sunt sancti apostoli, et admirabiles prophetæ, et ii, qui post illos docendi gratiam sortiti sunt. *Iubilate in conspectu regis Domini.* Triumphalem offerte hymnum regi, et vniuersorum Domino. 7. *Commoueatur mare, et plenitudo eius, orbis terrarum, et vniuersi, qui habitant in eo.* Symmachus autem sic, Resonet mare cum plenitudine ipsius, orbis terræ, et qui ipsum incolunt. Potissimum autem in vrbibus frequentissimis hominibus vaticinationis euentum videre licet. Mare enim fluctuans piorum populorum in ecclesiis frequentia imitatur. Talis quoque est psallentium sonus.

ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν· ἀντὶ τοῦ, μὴ κηρύξῃς, μηδὲ δήλην ἅπασι καταστήσῃς· ἵνα μὴ τῇ κενῇ δόξῃ τὸν τῆς φιλανθρωπίας λυμήνῃ καρπόν. καὶ ἐνταῦθα τοίνυν σάλπιγγα τὴν διδασκαλίαν 1) καλεῖ, δι᾽ ἧς καὶ τὰς εἰς ἡμᾶς 2) γεγενημένας εὐεργεσίας μανθάνομεν, καὶ τοὺς ὀνησιφόρους παιδευόμεθα νόμους· ἐλατὰς δὲ σάλπιγγας τὰς χαλκᾶς 3) λέγει· κερατίνας δὲ, τὰς ἐκ κεράτων γεγενημένας. ταύταις δὲ 4) Ἰουδαίοις χρῆσθαι σύνηθες ἦν· σκιὰ δὲ τῶν ἡμετέρων παρ᾽ ἐκείνοις ἐπολιτεύετο· ὥσπερ τοίνυν ἐκεῖνοι τὸν ἄλογον ἔθυον ἀμνὸν, ἡμεῖς δὲ τὸν σωτήριον, „ 5) τὸν ἐκ „ Θεοῦ Θεὸν, „ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου· οὕτως ἐκεῖνοι ταῖς ἀψύχοις ἐκέχρηντο σάλπιγξιν, ἡμεῖς δὲ ταῖς ἐμψύχοις καὶ λογικαῖς. σάλπιγγες τοίνυν ἡμῶν οἱ θεῖοι ἀπόστολοι, καὶ οἱ θεσπέσιοι προφῆται, καὶ οἱ μετ᾽ ἐκείνους τοῦ διδασκαλικοῦ τετυχηκότες χαρίσματος. Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως 6) Κυρίου. 7) τὸν ἐπινίκιον ὕμνον προσενέγκατε τῷ 8) βασιλεῖ καὶ δεσπότῃ τῶν ὅλων. ζ΄. Σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ 9) πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Ὁ δὲ Σύμμαχος οὕτως· ἠχείτω ἡ θάλασσα σὺν πληρώματι αὐτῆς· ἡ οἰκουμένη, καὶ οἱ κατοικοῦντες αὐτήν. διαφερόντως δὲ ἐν ταῖς πολυανθρώποις πόλεσιν ἐστιν ἰδεῖν τῆς προφητείας τὸ τέλος· θάλατταν γὰρ κυμαίνουσαν τῶν εὐσεβῶν λαῶν ἐν ταῖς ἐκκλησίαις μιμεῖται τὸ πλῆθος. τοιαύτη δὲ καὶ ἡ τῶν ψαλλόντων ἠχὴ κατὰ

1) καλεῖ. Cod. 1. λέγει. 2) γεγεν. Cod. 1. præm. ὑπὸ τοῦ Θεοῦ. 3) λέγει. Cod. 1. δηλοῖ. 4) Cod. 1. Ἰουδαίοις κεχρῆσθαι. 5) E Cod. 1. 6) Cod. *vatic.* habet Κυρίῳ. 7) τόν. Cod. 1. præm. λέγει δὲ ὅτι. 8) βασιλεῖ. Cod. 1. add. τῶν βασιλευόντων. 9) πάντες — αὐτῇ. Rec. lectio h. l. est οἱ κατοικοῦντες αὐτήν.

κατὰ δὲ τοὺς ἑβδομήκοντα, τῶν τὴν θάλασσαν καὶ γῆν οἰκούντων ὁ προφητικὸς λόγος τὴν κίνησιν 1) ἐδήλωσε, καὶ μεταβολήν· σαλεύεται γὰρ τὸ κινούμενον· κινεῖται δὲ τὸ μεταβαλλόμενον. η'. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό. Πάλιν ποταμοὺς τοὺς τῆς διδασκαλικῆς μεταλαγχάνοντας ὠνόμασε χάριτος, καὶ ποταμῶν δίκην τὰ θεῖα προχέοντας νάματα· οὓς κροτεῖν ἔφη, καὶ τὸν Θεὸν ἀνυμνεῖν· νενικηκότων γὰρ πάλιν ὁ κρότος. Τὰ ὄρη 2) ἀγαλλιάσονται θ'. 3) Ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται· ὅτι ἥκει κρῖναι τὴν γῆν. Ἐνταῦθα ὄρη προσηγόρευσε τοὺς 4) ὑψηλὸν καὶ μετάρσιον ἔχοντας φρόνημα, ἐφ' ὧν ἡ τοῦ Θεοῦ ᾠκοδόμηται πόλις. οὐ δύναται γάρ 5) φησι πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· καὶ, οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις· τούτους ἔφη ἀγάλλεσθαι καὶ εὐφραίνεσθαι, τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν μανθάνοντας ἐπιφάνειαν· προσμένοντες γὰρ τῶν πόνων τὰς ἀντιδόσεις, ἀγάλλονται τοῦ κριτοῦ τὸ δίκαιον 6) ἐπιστάμενοι. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνη, καὶ λαοὺς ἐν εὐθύτητι. Προτέρα μὲν γὰρ 7) ἐπιφάνεια πολὺν ἔσχε τὸν ἔλεον· ἡ δὲ δευτέρα ἕξει τὸ 8) δίκαιον. πάντες γὰρ 9) φησιν παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. τοῦτο δὲ καὶ ὁ προφήτης ἔφη· ἅπαξ ἐλάλησεν ὁ Θεὸς, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ 10) Θεοῦ, καὶ σοῦ Κύριε τὸ 11) ἔλεος,

Secundum Septuaginta autem, motum et mutationem eorum qui mare et terram incolunt, sermo propheticus declarauit. Agitatur enim quod mouetur: mouetur vero quod mutatur. 8. *Flumina plaudent manu simul.* * Rursus *flumina* eos nominauit, * qui docendi gratiam sortiti sunt, et instar fluminum diuinos riuos profundunt: quos plaudere dicit, Deumque laudibus prosequi. Vincentium enim rursus est plausus. *Montes exultabunt* 9. *A conspectu Domini, quoniam venit: quoniam venit iudicare terram.* Hîc *montes* appellauit eos, qui excelsam et sublimem habent mentem, supra quos Dei ciuitas ædificata est. Non potest enim, inquit, a) ciuitas abscondi supra montem posita. Et, b) Fundamenta eius in montibus sanctis. Hos ait lætari et exultare cognito Dei et Saluatoris nostri aduentu. Exspectantes enim laborum præmia, gaudent, iudicis iustitiam scientes. *Iudicabit orbem terrarum in iustitia, et populos in æquitate.* Nam prior quidem aduentus multam habuit misericordiam, secundus vero iustitiam habebit. Omnes enim, inquit, c) stabimus ante tribunal Christi, vt vnusquisque referat quæ in corpore fecerit, secundum ea quæ gessit, siue bonum, siue malum. Hoc autem etiam propheta dixit, d) Semel locutus est Deus, duo hæc audiui, quod potestas Dei sit, et tua o Domine misericordia, quia

1) ἐδήλωσε. Cod. 1. ἐκίνησε. 2) Cod. 1. ἀγαλλιάσεται. 3) Ἀπὸ — ἔρχεται. Def. in Cod. *vatic.* 4) Cod. 1. ὑψηλοὺς. 5) φησί. Cod. 1. add. ὁ Κύριος. 6) ἐπισ. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 7) ἐπιφ. Cod. 1. add. τετέχθη ἡ ἐκ παρθένου. 8) δίκαιον. Cod. 1. add. ἐπιφέρουσα. 9) φησιν. Abest a Cod. 1. 10) Θεοῦ. Cod. 1. add. ἐπιφέρει καὶ τὸ δεύτερον, διὰ τοῦ εἰπεῖν. 11) ἔλεος. Cod. 1. add. καὶ τίνος ἕνεκεν λέγει.

a) Matth. 5, 14. b) Ps. 86, 1. c) Rom. 14, 10. coll. 2 Cor. 5, 10. d) Ps. 61, 11. 12.

quia tu reddes vnicuique iuxta opera sua.

INTERP. PSALMI XCVIII.

1. Psalmus Dauidi. *Sine titulo apud Hebraeos.* Hic quoque psalmus Iudaeorum e Babylone reditum vaticinatur: praecinit autem etiam Saluatoris nostri aduentum, Iudaeorumque incredulitatem. *Dominus regnauit, irascantur populi.* Nam et Iudaei, et gentiles insaniunt, et rabie ardent, cum regnum Domini Christi audiunt. Et quando Iudaei libertatem consecuti erant, in eos omnes finitimae regiones furebant, inopinatum eorum reditum intuentes. Declarabat autem hoc potentiam eius, quem colebant. *Qui sedes super Cherubim, moueatur terra.* Porro hic, inquit, qui a nobis praedicatur, caelestium quoque potentiarum Deus est, et Dominus. Illud porro, *Qui sedes*, tanquam cum hominibus sermocinans dixit. Nam incorporea natura, et incomprehensibilis, atque incircumscripta, et a) terrae ambitum habitantesque in ea vt locustas continens, cuiusnam sedis indiget? Fingit tamen oratione Deum vniuersorum regio more Cherubinis insidentem, territantem, timoremque audientibus iniicientem. 2. *Dominus in Zione magnus, et excelsus super omnes populos.* Cum Iudaei reuersi essent, diuinumque templum erexissent, Dei poten-

ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

ΕΡΜΗΝ. ΤΟΥ ϞΗ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβὶδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. Οὗτος ὁ ψαλμὸς προθεσπίζει μὲν 1) καὶ τὴν ἀπὸ Βαβυλῶνος Ἰουδαίων ἐπάνοδον, προαγορεύει δὲ καὶ τοῦ 2) σωτῆρος ἡμῶν τὴν ἐπιφάνειαν, καὶ τῶν Ἰουδαίων τὴν ἀπιστίαν. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. Καὶ Ἰουδαῖοι γὰρ, καὶ Ἕλληνες, μεμήνασι καὶ λυττῶσι τοῦ Δεσπότου 3) Χριστοῦ τὴν βασιλείαν ἀκούοντες· καὶ ἡνίκα δὲ τῆς ἐλευθερίας ἀπήλαυσαν Ἰουδαῖοι, πάντες οἱ πλησιόχωροι διεπρίοντο, τὴν παράδοξον αὐτῶν ἐπάνοδον θεασάμενοι. 4) ἐδήλου δὲ τοῦτο τοῦ 5) ὑπ' αὐτῶν προσκυνουμένου τὴν 6) δύναμιν. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σαλευθήτω ἡ γῆ. 7) Οὗτος δέ φησιν ὁ παρ' ἡμῶν κηρυττόμενος, καὶ τῶν ἄνω δυνάμεων Θεὸς ὑπάρχει καὶ Κύριος· τὸ δὲ καθήμενος, ὡς πρὸς ἀνθρώπους διαλεγόμενος εἴρηκεν· ἡ γὰρ ἀσώματος φύσις, ἡ ἀπερίληπτος, καὶ ἀπερίγραπτος, 8) κατέχουσα τὸν γῦρον τῆς γῆς, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας, ποίας δεῖται καθέδρας; σχηματίζει δὲ ὅμως τῷ λόγῳ τὸν τῶν ὅλων Θεὸν, βασιλικῶς τοῖς Χερουβὶμ ἐποχούμενον, καταπλήττοντα καὶ δεδιττόμενον τοὺς ἀκούοντας. β'. Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς. Καὶ τῶν Ἰουδαίων ἐπανελθόντων, καὶ τὸν θεῖον δειμαμένων νεὼν, ἡ τοῦ Θεοῦ δύναμις

1) καὶ — ἐπάνοδον. Cod. 1. τῶν ἀνδραποδισθέντων ἐκ Βαβυλῶνος τὴν ἐπάνοδον. 2) σωτ. Cod. 1. praem. Θεοῦ καί. 3) Χριστοῦ. Cod. 1. add. τοῦ Θεοῦ λόγου. 4) Cod. 1. δηλοῖ. 5) ὑπ'. Cod. 1. παρ'. 6) δύναμιν. Cod. 1. add. καὶ τίς οὗτος διὰ τῶν ἑξῆς λέγει. 7) οὗτος δέ φησιν. Cod. 1. λέγει δὲ ὅτι οὗτος. 8) κατέχουσα. Cod. 1. praem. καί.

a) Es. 40, 22.

μις ἅπασιν ἀπεδείχθη· διαφερόντως 1) γὰρ ὁ τὸν σταυρὸν ὑπομείνας οἰκουμένης ἁπάσης 2) ἀπεφάνθη Δεσπότης, τῶν ἱερῶν ἀποστόλων τὸ σωτήριον κήρυγμα προσενεγκάντων τοῖς 3) ἔθνεσιν. γ'. Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι. Χρὴ τοίνυν ἅπαντας ἀνυμνεῖν σε, καὶ τὰς σὰς εὐεργεσίας διεξιέναι, καὶ τὴν ἄῤῥητόν σου μὴ περιεργάζεσθαι 4) φύσιν· τῷ δὲ ὀνόματί σου προσφέρειν τὸ σέβας, καὶ φοβερῷ ὄντι, καὶ παναγίῳ. ἁγιάζει μὲν γὰρ τοὺς πιστεύοντας, ἐκδειματοῖ δὲ τοὺς ἀπιστοῦντας. δ'. 5) Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. Προσήκει δὲ ἡμᾶς δεδιέναι ὡς βασιλέα, καὶ δικαιοσύνῃ χρώμενον· ἴδιον γὰρ τῆς ἀληθοῦς βασιλείας τὸ δικαίως ἰθύνειν τοὺς ὑπηκόους· τιμὴ γὰρ βασιλέως κρίσιν ἀγαπᾷ, τουτέστι τίμιον ποιεῖ βασιλέα τὸ στέργειν τὸ δίκαιον. τοῦτο δὲ δηλοῖ καὶ τὸ ἐπαγόμενον. Σὺ ἡτοίμασας εὐθύτητας· κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. Ὡς γὰρ δίκαιος βασιλεύς, ὀρθὴν καὶ δικαίαν τὴν ψῆφον ἐξήνεγκας, καὶ τὸν Ἰσραὴλ τῆς τῶν καταδουλωσαμένων ἠλευθέρωσας δυναστείας, 6) „καὶ τὰ ἔθνη „τῆς τοῦ διαβόλου δουλείας.„ κατὰ δὲ τὴν ἑτέραν προφητείαν οὕτω νοητέον· ἔδειξας τῆς ἐπαγγελίας σου τὴν ἀλήθειαν, τὰς πρὸς τοὺς προγόνους τοῦ Ἰσραὴλ γεγενημένας ὑποσχέσεις πληρώσας, καὶ τὴν διὰ τοῦ σπέρματος τοῦ Ἀβραὰμ δωρησάμενος σωτηρίαν. ε'. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστιν. Ἀμείψασθε τοίνυν τὸν εὐεργέτην, οἷς δύνασθε, καὶ τὸ πρόσφορον αὐ-

tia omnibus demonstrata fuit. Praecipue enim is, qui crucem subiit, totius orbis Dominus declaratus est, cum sacri apostoli salutarem praedicationem gentibus attulissent. 3. *Confiteantur nomini tuo magno, quoniam terribile et sanctum est.* Decet igitur omnes te laudibus decantare, tuaque beneficia enarrare, et inexplicabilem tuam naturam curiosius non inquirere, sed nomini tuo honorem afferre, quod terribile et sanctum est: quoniam credentes sanctificat, terret vero incredulos. 4. *Et honor regis iudicium diligit.* Conuenit autem nobis timere eum vt regem, et iustitia vtentem: nam proprium veri regni est, subditos iuste gubernare. Honor enim regis iudicium diligit, hoc est, diligere iustitiam honoratum efficit regem. Hoc autem etiam quod sequitur declarat. *Tu parasti directiones: iudicium et iustitiam in Iacobo tu fecisti.* Nam velut iustus rex rectam et iustam sententiam protulisti, et Israelem a potentia eorum, qui illum seruituti addixerant, liberasti, „gentesque a iugo diaboli.„ Ceterum secundum aliam prophetiam sic intelligendum est: Ostendisti promissionis tuae veritatem, cum pollicitationes, quae maioribus Israelis factae fuerant, perfeceris, et per semen Abrahami salutem largitus fueris. 5. *Exaltate Dominum Deum nostrum, et adorate scabellum pedum eius, quoniam sanctus est.* Rependite ergo beneficii auctori quae potestis, congruentemque illi

1) γάρ. Cod. 1. add. δείκνυσιν ὅτι. 2) ἀπεφ. δεσπ. Cod. 1. δεσπότης ὑπάρχει. 3) ἔθνεσιν. Cod. 1. add. καλῶς οὖν ἔχειν διὰ τῶν ἑξῆς ἔφη. 4) φύσιν. Cod. 1. οἰκονομίαν. 5) Καὶ — ἀγαπᾷ. *Hebr.* Robur quidem est regi, iudicium tamen amat. 6) E Cod. 1.

li offerte honorem. *Exaltate* autem, idem quod, sublimitatem eius prædicate. *Scabellum* vero *pedum eius*, olim quidem quod Hierosolymis erat templum existimabatur: nunc vero ecclesiæ, quæ vbique terrarum et marium sunt, in quibus Deus sanctissimus colitur. * *6. Moses et Aaron in sacerdotibus eius, et Samuel inter eos, qui inuocant nomen eius.* Non temere, aliis prætermissis prophetis, de his tantum mentionem fecit: sed vt innatum Iudæorum furorem et tyrannidem doceret. Etenim sub Mose et Aarone sacerdotium subripere conati sunt: et Samuelis tempore, diuinum regnum adspernati, humanum adamarunt. Docet igitur diuinus sermo, eos nihil noui facere, qui in Saluatorem furorem emittunt, et salutare regnum eius non admittunt: quandoquidem a principio insania fuit ipsis familiaris. *Inuocabant Dominum, et ipse exaudiebat eos. 7. In columna nubis loquebatur ad eos.* Atqui, ait, multam erga Deum habebant fiduciam. Hi enim implorabant, ipse vero exaudiebat, et postulata concedebat, et cernentibus omnibus cum ipsis loquebatur, per nubem apparens. Deinde docet, se non iniuste ipsis hanc gratiam impertiisse. *Quoniam custodiebant testimonia eius, et præcepta quæ dedit illis.* Nam secundum legem vitam ducentibus, et secundum eius præcepta viuentibus, hanc largiebatur gratiam. *8. Domine Deus noster, tu exaudiebas*

τῷ προσενέγκατε σέβας· τὸ δὲ ὑψοῦτε, 1) ἀντὶ τὸ ὑψηλὸν αὐτοῦ κηρύττετε. ὑποπόδιον δὲ τῶν ποδῶν αὐτοῦ, πάλαι μὲν ὁ ἐν Ἱεροσολύμοις νεὼς ἐνενόμιστο, νῦν δὲ αἱ κατὰ πᾶσαν γῆν καὶ θάλασσαν ἐκκλησίαι, ἐν αἷς 2) τῷ παναγίῳ Θεῷ προσφέρομεν τὴν προσκύνησιν. ϛ´. Μωσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ· καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. Οὐχ ἁπλῶς τοὺς ἄλλους προφήτας καταλιπὼν, τούτων ἐμνημόνευσε μόνον, ἀλλὰ τὴν σύντροφον Ἰουδαίων λύτταν καὶ τυραννίδα διδάσκων· καὶ γὰρ ἐπὶ Μωσοῦ καὶ Ἀαρὼν ἁρπάσαι τὴν ἱερωσύνην ἐπειράθησαν· καὶ ἐπὶ Σαμουὴλ τὴν θείαν ἀτιμάσαντες βασιλείαν, τὴν ἀνθρωπείαν ἠγάπησαν. διδάσκει τοίνυν ὁ λόγος, ὅτι καινὸν οὐδὲν δρῶσι κατὰ τοῦ 3) σωτῆρος λυττῶντες, καὶ τὴν σωτήριον οὐ δεχόμενοι βασιλείαν· ἄνωθεν γὰρ αὐτοῖς ἡ μανία συνήθης. Ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουεν 4) αὐτῶν. ζ´. Ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς. 5) Καί τοι φησὶ, πολλὴν εἶχον πρὸς τὸν Θεὸν παῤῥησίαν· οἱ μὲν γὰρ 6) παρεκάλουν, ὁ δὲ ὑπήκουε, καὶ τὰς αἰτήσεις παρεῖχε, καὶ πάντων ὁρώντων τὴν πρὸς αὐτοὺς ἐποιεῖτο διάλεξιν, διὰ τῆς νεφέλης τὴν οἰκείαν δεικνὺς ἐπιφάνειαν· εἶτα 7) διδάσκει, ὡς οὐκ ἀδίκως ταύτης αὐτοῖς μετεδίδου χάριτος. 8) Ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα 9) αὐτοῦ, ἃ ἔδωκεν αὐτοῖς. Ἐννόμως γὰρ πολιτευομένοις, καὶ κατὰ τὰς ἐντολὰς αὐτοῦ βιοτεύουσι, ταύτην ἐδωρεῖτο τὴν χάριν. η´. Κύριε ὁ Θεὸς ἡμῶν σὺ ἐπήκουες αὐτῶν·

1) ἀντὶ τὸ ὑψ. Cod. 1. ἀντὶ τοῦ τὸ ὕψος. 2) τῷ παναγ. Θεῷ. Cod. 1. τῇ παναγίᾳ καὶ παμμακαρίᾳ Τριάδι. 3) σωτ. Cod. 1. præm. Θεοῦ καί. 4) αὐτῶν. Additur in Cod. *alex.* 5) Καί τοι φησί. Cod. 1. λέγει δὲ ὅτι. 6) Cod. 1. ἐκάλουν. 7) διδ. Cod. 1. add. διὰ τῶν ἑξῆς. 8) ὅτι. Abest a Cod. *vatic.* 9) αὐτοῦ. Dest. ibid.

αὐτῶν· ὁ Θεὸς 1) σὺ εὐίλατος ἐγένου αὐτοῖς. Σὺ εἶ Δέσποτά φησιν ὁ ὑφ' ἡμῶν κηρυττόμενος, ὁ τῆς τοσαύτης ἐκείνοις 2) μεταδοὺς παῤῥησίας, καὶ πολλῆς αὐτοὺς ἀξιῶν εὐμενείας. Καὶ ἐκδικῶν 3) ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν. Ὁ δὲ Σύμμαχος οὕτως, καὶ ἔκδικος ἐπὶ ταῖς ἐπηρείαις αὐτῶν. τοὺς μὲν γὰρ κατὰ τοῦ μεγάλου Μωσοῦ τυραννήσαντας πυρὶ 4) παραδέδωκε, καὶ τοὺς τὴν φλόγα διαφυγόντας ζῶντας τῷ τάφῳ παρέπεμψε, χάναι κελεύσας τὴν γῆν, καὶ τάφον αὐτοῖς αὐτοσχέδιον τῆς τυραννίδος τὸ χωρίον ἀπέφηνε, καὶ τοὺς διὰ θαλάσσης ὁδεύσαντας, καὶ τὸν βυθὸν ἐκεῖνον πεζεύσαντας, πεποίηκεν ὑποβρυχίους ἐν γῇ, παραδόξοις χρησάμενος κύμασι. τοὺς δὲ κατὰ τοῦ προφήτου Σαμουὴλ στασιάσαντας τῇ τοῦ Σαοὺλ δυναστείᾳ παρέδωκε, καὶ παντοδαπαῖς περιέβαλε 5) συμφοραῖς. θ'. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Τούτων τοιγαροῦν τῶν θαυμασίων ἀνδρῶν μιμούμενοι τὴν εὐσέβειαν, τὸ προσῆκον σέβας τῷ Θεῷ προσενέγκατε· ὄρος δὲ ἅγιον, πάλαι μὲν τὸ Σιὼν ἐκαλεῖτο, νῦν δὲ τῆς θεογνωσίας τὸ 6) ὕψος· οὕτω γὰρ καὶ Ἡσαΐας, καὶ Μιχαίας ἐθέσπισαν· ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, 7) τουτέστιν, ἡ τοῦ Θεοῦ 8) γνῶσις δήλη πᾶσι γενήσεται· οἶδε καὶ ὁ θεῖος ἀπόστολος νοητὸν ὄρος Σιών· προσεληλύθατε γὰρ Σιὼν ὄρει καὶ

eos, *Deus tu propitius fuiſti eis.* Tu es o Domine, ait, qui a nobis prædicaris, qui tantæ fiduciæ ipſos participes feciſti, et multa beneuolentia ipſos dignatus es. *Et vlciſcens omnia ſtudia eorum.* Symmachus autem ſic, Et vltor ſuper iniurias eorum. Eos enim qui contra magnum Moſen tyrannidem affectarant, igni tradidit, eosque qui flammam declinauerant, viuentes ſepulcro intulit, iubens terræ dehiſcere, locumque tyrannidis ſepulcrum illico paratum reddidit, et eos qui per mare ambulauerant, et profundum illud mare pedibus transierant, demerſit in terra, inuſitatis fluctibus obruens: alios vero, qui tempore prophetæ Samuelis ſeditionem concitarant, Saulis dominationi ſubiecit, et omnium generum calamitatibus circumdedit. 9. *Exaltate Dominum Deum noſtrum, et adorate in monte ſancto eius, quoniam ſanctus eſt Dominus Deus noſter.* * Horum igitur admirabilium virorum pietatem imitantes, congruentem Deo exhibete honorem. Ceterum *Mons ſanctus* olim quidem Zion appellabatur, nunc vero diuinæ cognitionis ſublimitas. Sic enim et Eſaias et Michæas vaticinati ſunt, a) Erit in vltimis diebus mons Domini manifeſtus: hoc eſt, Dei cognitio omnibus clara fiet. Nouit etiam diuinus apoſtolus myſticum montem Zion. Acceſſiſtis enim, inquit, b) ad Zionem montem, et ci-

Yy 3

1) σύ. Deeſt in Cod. *vat.* 2) Cod. 1. μεταδιδούς. 3) ἐπὶ — αὐτῶν. *Hebr.* et vindictam ſumens de actionibus eorum. 4) Cod. 1. παρέδωκε. 5) συμφ. Cod. 1. add. ἀκουέτωσαν καὶ νοείτωσαν ταῦτα οἱ μεμηνότες κατὰ τῶν τοῦ Θεοῦ ἱερέων, καὶ παυσάσθωσαν τῆς λύμης, μήποτε χείροσιν ἐκείνων ὑποπέσωσιν. „Audiant et intelligant hæc qui in Dei ſacerdotes iram euomunt, et deſiſtant a furore iſto, ne peiora hisce illis obtingant.„ 6) ὕψος. Cod. 1. add. τουτέστι τῆς εἰς τὸν δεσπότην Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν γνώσεως. 7) τουτέστιν ἡ τοῦ Θεοῦ. Cod. 1. ἀντὶ τοῦ ἡ τοῦ Σωτῆρος. 8) γνῶσις. Cod. 1. add. τε καὶ ἐπιφάνεια· αὕτη γάρ.

a) Eſ. 2, 2. Mich. 4, 1. b) Hebr. 12, 22.

ciuitatem Dei viuentis Hierosolymam cælestem. Iussi sumus igitur secundum scientiam, quæ data est nobis a Deo, cultum ipsi offerre, „et Deum ex Deo, vnigenitum Patris filium qui pro „nobis homo factus est, confiteri. Amen."

INTERP. PSALMI XCIX.

1. Psalmus Dauidi, *in confessionem. Sine titulo apud Hebræos.* Propheta hoc in loco omnes homines ad hymnorum cantum vocat, adhortans per omnia saluatorem Deum colere. 2. *Iubilate Deo omnis terra.* Omnes homines triumphalem Deo afferte hymnum. *Terram* enim, habitantes terram nuncupat. *Seruite Domino in lætitia.* Non enim est Dei et Saluatoris nostri regnum, sicut amara diaboli tyrannis, sed eius imperium benignum est et mansuetum. Gaudentes igitur ad servitutem accedite. *Introite in conspectu eius cum exultatione.* Symmachus, *cum benedictione*, dixit. Aquila vero, *cum laudatione.* Exultantium nimirum et lætantium est hymnus. 3. *Scitote ipsum esse Deum nostrum.* „Et„ si enim hominum amantissimus „voluerit homo fieri, omni tamen „tempore mansit Deus. Dicit „autem, „per ipsas res discite, Dominum nostrum ipsum esse

πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ· προστετάγμεθα τοίνυν κατὰ τὴν δοθεῖσαν ἡμῖν ὑπὸ τοῦ Θεοῦ γνῶσιν προσφέρειν αὐτῷ τὴν προσκύνησιν, 1) „καὶ „Θεὸν ἐκ Θεοῦ ὁμολογεῖν καὶ μονογενῆ „τῷ Πατρὶ υἱὸν, τὸν δι' ἡμᾶς ἐνανθρω„πήσαντα· ἀμήν."

ΕΡΜΗΝ. ΤΟΥ ϟθ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς 2) τῷ Δαβὶδ, εἰς ἐξομολόγησιν· ἀνεπίγραφος παρ' Ἑβραίοις. Ὁ προφήτης ἐνταῦθα πάντας ἀνθρώπους εἰς ὑμνῳδίαν καλεῖ, παρεγγυῶν διὰ πάντων θεραπεῦσαι τὸν 3) σωτῆρα Θεόν. β'. Ἀλαλάξατε τῷ 4) Κυρίῳ πᾶσα ἡ γῆ. Ἅπαντες ἄνθρωποι τὸν ἐπινίκιον ὕμνον προσενέγκατε τῷ 5) Θεῷ· γῆν γὰρ τοὺς κατοικοῦντας τὴν γῆν καλεῖ. Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ. Οὐ γάρ ἐστι κατὰ τὴν πικρὰν τοῦ διαβόλου τυραννίδα, τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἡ βασιλεία, ἀλλ' ἥμερος αὐτοῦ καὶ φιλάνθρωπος ἡ δεσποτεία· γεγηθότες τοίνυν τῇ δουλείᾳ 6) προσέλθετε. Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει. Ὁ δὲ Σύμμαχος, μετ' εὐφημίας εἴρηκεν· ὁ δὲ Ἀκύλας, ἐν αἰνέσει, ἀγαλλομένων 7) δὴ καὶ εὐφραινομένων ὁ ὕμνος. γ'. Γνῶτε ὅτι 8) αὐτός ἐστιν ὁ Θεὸς 9) ἡμῶν. 10) „εἰ „γὰρ καὶ ἄνθρωπος εἵλετο ὁ φιλάν„θρωπος γενέσθαι, ἀλλὰ τὸ εἶναι Θεὸς „ἔμεινεν ἔχων ἀεί· λέγει δὲ ὅτι „δι' αὐτῶν μάθετε τῶν πραγμάτων, ὡς ὁ ἡμέτερος 11) Δεσπότης αὐτός ἐστιν τῶν ὅλων

1) E Cod. 1. 2) τῷ Δαβ. Abest a Textu hebr. et græco Codicis *vat.* et *alex.* 3) σωτ. Θεόν. Cod. 5. Θεὸν καὶ σωτῆρα. 4) Κυρίῳ. Cod. 1. Θεῷ. 5) Θεῷ. Cod. 1. add. καὶ σωτῆρι. 6) προσελθ. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 7) δή. Cod. 1. δέ. 8) αὐτός. Cod. 1. præm. Κύριος, vt in Textu τῶν ό. leg. 9) ἡμῶν. Abest a Cod. *vat.* 10) E Cod. 1. Conf. p. 1286. n. 3. 11) δεσπ. Cod. 1. add. καὶ Θεός.

ὅλων 1) Θεός. ταῦτα τοῖς ἔθνεσι 2) προσέφερε. τὰ παιδεύματα καὶ ὁ ἱερὸς τῶν ἀποστόλων χορός, ὡς ἡ τῶν πράξεων ἱστορία διδάσκει. Αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. 3) Οὐ γὰρ ἡμεῖς ἡμῶν αὐτοὶ δημιουργοὶ καθεστήκαμεν, ἀλλ᾽ ὑπ᾽ αὐτοῦ 4) ἐπλάσθημεν. οὕτως ὁ μακάριος Παῦλος Ἀθηναίοις ἐδίδασκεν· ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται 5) προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. τοῦτο καὶ ἐνταῦθα ὁ προφήτης διδάσκει· αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. 6) ὁ δὲ Σύμμαχος οὕτως, αὐτὸς ἐποίησεν ἡμᾶς οὐκ ὄντας. 7) Ἡμεῖς δὲ λαὸς αὐτοῦ, καὶ πρόβατα νομῆς αὐτοῦ. Διὰ τούτων οὐ μόνον τὴν δεσποτείαν, ἀλλὰ καὶ τὴν κηδεμονίαν ἐδήλωσεν. οὐ μόνον γὰρ ἡμῶν Δεσπότης 8) ἐστίν, ἀλλὰ καὶ ποιμήν, τὴν ἀγαθὴν ἡμῖν προσφέρων νομήν· ἡμεῖς δὲ αὐτοῦ 9) καὶ λαὸς ὡς βασιλέως, καὶ πρόβατα ὡς ποιμένος. δ΄. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις. Πύλας 10) αὐτοῦ, καὶ αὐλὰς αὐτοῦ, τὰς ἐκκλησίας καλεῖ. αὗται γὰρ ἡμῶν τὴν πρὸς αὐτὸν παρέχουσιν εἴσοδον, ἐν αἷς προσήκει τὰς θείας αὐτοῦ καὶ σωτηρίους ἐργασίας διεξιέναι, καὶ τὸν χαριστήριον ὕμνον

vniuersorum Deum. Hæc documenta etiam sacer apostolorum chorus gentibus proferebat, vt Actuum historia docet. *Ipse fecit nos, non autem ipsi nos.* Non enim nos nostrum ipsorum conditores fuimus, sed ab ipso formati sumus. Sic beatus Paulus Athenienses docebat: a) Deus, qui fecit mundum, et omnia quæ in eo sunt, hic cæli et terræ cum sit Dominus, non in manufactis templis habitat, nec a manibus hominum colitur indigens aliquo, cum ipse dederit omnibus vitam, et halitum, et omnia: fecitque ex vno sanguine omne genus hominum habitare per vniuersam faciem terræ. Id * hoc etiam in loco propheta docet, *Ipse fecit nos, et non ipsi nos.* Symmachus vero, Ipse fecit nos, qui non eramus. *Nos autem populus eius, et oues pascui eius.* Per hæc non modo imperium, sed etiam curam ostendit. Non solum enim Dominus noster est, sed etiam pastor, bonum nobis porrigens pabulum: nos vero eius et populus sumus vt regis, et oues vt pastoris. 4. *Introite portas eius cum confessione, atria eius cum hymnis.* *Portas eius*, et *atria eius*, ecclesias vocat, vtpote quæ aditum nobis ad ipsum præbent: in quibus decet diuina et salutaria eius beneficia narrare, hymnumque gratiarum actionis

1) Θεός. Cod. 1. Κύριος. 2) προσέφερε. Cod. 1. add. καὶ προσφέρων ὁσημέραι οὐ παύεται. „et quotidie proferre non desinit.„ 3) οὐ γάρ. Cod. 1. præm. ὁ δὲ Σύμμαχος οὕτως· αὐτὸς ἐποίησεν ἡμᾶς οὐκ ὄντας. „Symmachus autem ita: ipse fecit nos non existentes.„ 4) Cod. 1. διεπλάσθημεν. 5) προσδ. Cod. 1. præm. ὡς. 6) ὁ — ὄντας. Cod. 1. ἀντὶ τοῦ οὐκ ὄντας ἡμᾶς ἐποίησεν. 7) ἡμεῖς δέ. Des. in Cod. *vatic.* 8) ἐστίν. Cod. 1. ἐστὶ φησίν. 9) καί. Abest a Cod. 1. 10) αὐτοῦ. Des. ibid.

a) Act. 17, 24-26.

velut donum aliquod offerre *Confitemini illi, laudate nomen eius.* 5. *Quoniam bonus est Dominus, in æternum misericordia eius, et vsque in generationem et generationem veritas eius.* Quomodo enim non est iustum laudibus prosequi eum, qui inexplicabili benignitate vtitur, bonisque promissionibus finem imponit? Quæ enim tempore maiorum nostrorum spopondit, hæc nostra tempestate perfecit, et salutem quam pollicitus est, vere donauit, „cum per cru„cem ac mortem salutem nostram „effecerit. Amen. „

οἷόν τι δῶρον προσφέρειν. Ἐξομολογεῖσθε αὐτῷ· αἰνεῖτε τὸ ὄνομα αὐτοῦ. ε. Ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ. Πῶς γὰρ οὐ δίκαιον 1) ὑμνεῖν τὸν ἀῤῥήτῳ φιλανθρωπίᾳ χρώμενον, καὶ ταῖς ἀγαθαῖς ὑποσχέσεσιν ἐπιτιθέντα τὸ πέρας; ἃ γὰρ ἐπὶ τῆς τῶν προγόνων ὑπέσχετο γενεᾶς, ταῦτα ἐπὶ τῆς ἡμετέρας πεπλήρωκεν, καὶ ἣν ἐπηγγείλατο σωτηρίαν, ἀληθῶς ἐδωρήσατο, 2) „διὰ σταυροῦ καὶ θανάτου τὴν „ἡμετέραν σωτηρίαν πραγματευσάμε„νος· ἀμήν. „

INTERP. PSALMI C.

ΕΡΜΗΝ. ΤΟΥ ρ' ΨΑΛΜΟΥ.

1. *Psalmus Dauidi.* Aliqua exemplaria habent, *Quarta Sabbati.* Verum neque apud Hebræum, neque apud alios interpretes, neque apud Septuaginta hanc inuenimus additionem. Hoc autem argumentum psalmus habet. Iosias rex omnes idolorum aras funditus euellit: *a*) horum vero sacerdotes necauit, et ad pristinam pietatem populum deduxit. Non autem de dogmatum sanitate tantum sollicitus fuit, verum etiam de officiis virtutis curam gessit, recte iudicans, honorans iustitiam, iniuria affectis opem ferens, et iniuria afficientes plectens, ciuium vtilitati prospiciens. Hæc cum beatus Dauid præuideret, hunc conscripsit psalmum, et illius virtutem explicans, et omnibus hominibus perfectionis characterem proponens. * *Misericordiam et iudicium cantabo tibi Domine.* Quoniam enim et iniuria affectorum miserebatur,

α'. Τῷ Δαβὶδ ψαλμός. Ἔνια 3) τῶν ἀντιγράφων ἔχει, τετράδι σαββάτων· οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς, οὔτε παρὰ τοῖς ἑβδομήκοντα ταύτην εὑρήκαμεν τὴν προσθήκην. ὑπόθεσιν δὲ ὁ ψαλμὸς ταύτην ἔχει· 4) Ἰωσίας ὁ βασιλεὺς ἀνέσπασεν ἅπαντας ἐκ βάθρων τοὺς τῶν εἰδώλων βωμούς· τοὺς δὲ τούτων κατηκόντισεν ἱερέας· εἰς δὲ τὴν προτέραν εὐσέβειαν ἐποδήγησε τὸν λαόν. οὐ μόνης δὲ τῆς τῶν δογμάτων ἐφρόντισεν ὑγείας, ἀλλὰ καὶ τῶν τῆς ἀρετῆς ἐπεμελήθη κατορθωμάτων, ὀρθῶς δικάζων, γεραίρων τὸ δίκαιον, ἐπαρκῶν ἀδικουμένοις, τοὺς ἀδικοῦντας κολάζων, τῆς τῶν συνοικούντων ὠφελείας ἐπιμελούμενος· ταῦτα πόῤῥωθεν ὁ μακάριος Δαβὶδ θεασάμενος, τοῦτον συνέγραψε τὸν ψαλμὸν, καὶ τὴν ἐκείνου διεξιὼν ἀρετὴν, καὶ πᾶσιν ἀνθρώποις τελειότητος προστιθεὶς χαρακτῆρα. 5) Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε. Ἐπειδὴ γὰρ καὶ τοὺς ἀδικουμένους ἠλέει, καὶ

1) Cod. 1. ἀνυμνεῖν. 2) E Cod. 1. 3) τῶν. Cod. 1. præm. δέ. 4) Ἰωσ. Cod. 1. præm. ὁ μακάριος. 5) Rec. lectio h. l. est ἔλεος.

a) 4 Reg. 22. et 23. et 2 Paralip. 34. et 35.

καὶ τῶν ἀδικέντων ὁ θαυμάσιος Ἰωσίας κατεψηφίζετο, τὴν περὶ ἐκείνων διήγησιν, εὐφημίαν ἐλέȣ καὶ κρίσεως προσηγόρευσε. β'. Ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. 1) Ὁ δὲ Σύμμαχος ὅτως· μελῳδήσω, ἐννοήσω ὁδὸν ἄμωμον· ἣν διὰ τῆς τȣ͂ πνεύματος χάριτος ἐθεασάμην ἄμωμόν ὁδὸν, καὶ θυμήρη Θεῷ, ταύτην νῦν διὰ τῆς μελῳδίας προσθήσω. Πότε ἥξεις πρός με; 2) τοσαύτην γὰρ ὁ 3) θαυμάσιος ὅτος ἀνὴρ ἐκτήσατο καθαρότητα, ὡς μετὰ παῤῥησίας βοῆσαι πρὸς τὸν Θεὸν, πότε ἥξεις πρός με; ἀντὶ τȣ͂, 4) εὐπρεπῆ σοι 5) τὰ βασίλεια κατέσησα, ποθῶ σȣ 6) „τὴν παρȣσίαν „ὦ Δέσποτα· ἱμείρομαί σȣ „ τῆς ἐπιφανείας, ἀλλὰ δὸς τὰ ποθȣ́μενον. Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μȣ ἐν μέσῳ τȣ͂ οἴκȣ μȣ. 7) Ἁπλότητι συζῶν διετέλεσα· ȣ̓κ ἐχρώμην 8) διπλόῃ, ȣ̓δὲ ἄλλος μὲν τοῖς ἐκτὸς ἐφαινόμην, ἐν δὲ τῇ οἰκίᾳ τἀναντία δρᾷν ἠνειχόμην, ἀλλὰ συνέβαινε τοῖς φαινομένοις τὰ κεκρυμμένα. γ'. Οὐ 9) προσετιθέμην πρὸ ὀφθαλμῶν μȣ πρᾶγμα παράνομον. Οὐ μόνον τὰς παρανόμȣς πράξεις ἐβδελυττόμην, ἀλλὰ καὶ τὰς περὶ τȣ́των ἐνθυμήσεις ἀπεσειόμην, τὸν λογισμὸν πρὸ τῶν ἄλλων ἁπάντων ῥυθμίζων καὶ 10) διευθύνων. 11) Ποιȣ͂ντας παραβάσεις ἐμίσησα. Ἀπεςρεφόμην δὲ καὶ τȣ̀ς τῶν θείων καταφρονȣ͂ντας θεσμῶν. δ'. 12) Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. Συνήθεις δὲ μοι ἦσαν οἱ τιμῶντες τὸ δίκαιον. τȣ̀ς δὲ τὰ ἐναντία προαιρȣμέ-

et iniuria afficientes admirabilis Iosias condemnabat, illorum narrationem, laudem misericordiæ et iudicii nuncupauit. 2. *Psallam, et intelligam in via immaculata.* Symmachus vero sic, Cantabo, considerabo viam immaculatam, quam per sancti Spiritus gratiam vidi esse viam puram Deoque gratam; hanc ego nunc per dulcem symphoniam adiungam. *Quando venies ad me?* Talem enim hic admirabilis vir puritatem habuit, vt cum fiducia ad Deum clamaret, *Quando venies ad me?* Quasi dicat, Regales aulas splendidas et magnificas tibi præparaui: tuum aduentum Domine exopto, tuamque præsentiam desidero, sed concede quod exoptatur. *Ambulabam in innocentia cordis mei in medio domus meæ.* Cum simplicitate vixi, non vsus sum fraude, neque alius eram intus, quam foris videbar, sed occulta apparentibus respondebant. 3. *Non proponebam ante oculos meos rem iniustam.* Non modo iniquas actiones detestabar, sed harum etiam cogitationes respuebam, cogitationem præ ceteris omnibus componens et dirigens. *Facientes præuaricationes odiui.* Auersabar autem despicientes diuina præcepta. 4. *Non adhæsit mihi cor prauum.* Familiares autem mihi erant, qui iustitiam honorabant: eos vero qui contraria præfere-

bant,

1) Ὁ — ἄμωμον. In Cod. 1. ponitur post προσηγόρευσε. 2) τοσ. Cod. 1. τοιαύτην. 3) Cod. 1. θαυμαζόμενος. 4) Cod. 1. εὐτρεπῆ. 5) τὰ βασ. κατέσ. Cod. 1. κατέσησα τῆς βασιλείας τὴν εἴσοδον. 6) E Cod. 1. Eandem lectionem habuit Carafa. 7) ἁπλ. Cod. 1. præm. λέγει δὲ ὅτι. 8) διπλόῃ. Cod. 1. διπλῇ γνώμῃ. 9) Rec. lectio h. l. est προεθέμην. 10) Cod. 1. διευθύνων. 11) ποιȣ͂ντας παρ. Hebr. עשׂה־סטים *Agere* s. modum agendi, *declinantium*, sc. a lege tua. 12) Οὐκ ἐκολ. Hæc rectius ad præc. vers. referri solent.

bant, et rectam mentem habere nolebant, longe a meis congressibus remouebam. *Declinantem a me malignum non cognoscebam.* Si quis autem familiarium malitia vtens a mea consuetudine recedere voluit, ne discessionem quidem duxi huiusmodi discessionem; sic nullius momenti erat mihi is, qui prauitatem eligebat. 5. *Clam detrahentem proximo suo hunc persequebar.* Porro occultas delationes non admittebam, verum eos, qui hoc facere conarentur, exigebam. *Superbo oculo, et insatiabili corde, cum hoc non edebam.* Neque superbia ,, et auaritia ,, vtentes meos sodales faciebam. * 6. *Oculi mei in fideles terræ intenti sunt, vt sedeant ipsi mecum.* Eos vero, qui fide præditi erant, magnique res diuinas ducebant, congressus mei atque consiliorum participes faciebam. *Ambulans in via immaculata, hic mihi ministrabat.* Non modo de amicis et consiliariis, verum etiam de ministris multam gessi curam. Seruis enim vtebar iis, qui virtutis studiosi erant, et cuiuslibet sceleris expertes. 7. *Non habitabat in medio domus meæ qui superbus erat.* Neminem autem superbia elatum domesticum habere volui. *Qui loquebatur iniqua, felici successu non gaudebat in conspectu oculorum meorum.* Si autem quis consuluit aut postulauit iniusta, spe sua exci-

νους, καὶ τὸν ὀρθὸν λογισμὸν οὐκ ἐθέλοντας ἔχειν, πόῤῥω τῶν ἐμῶν 1) ἐποιούμην 2) συλλόγων. 3) Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. Εἰ δέ τις τῶν συνόντων πονηρίᾳ χρώμενος ἀποστῆναι τῆς ἐμῆς ἠθέλησε συνουσίας, οὐδὲ χωρισμὸν ὑπελάμβανον τὸν τοιοῦτον χωρισμόν. οὕτως εὐκαταφρόνητος ἦν μοι λίαν ὁ τὴν κακίαν αἱρούμενος. ε'. Τὸν καταλαλοῦντα λάθρα 4) τοῦ πλησίον αὐτοῦ, τοῦτον 5) ἐξεδίωκον. 6) Τὰς δὲ λάθρα γινομένας κατηγορίας οὐ προσιέμην, ἀλλὰ τοὺς τοῦτο δρᾷν πειρωμένους ἐξήλαυνον. Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ 7) ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. 8) Οὔτε τοὺς ἀλαζονείᾳ 9) ,, καὶ ,, πλεονεξίᾳ ,, χρωμένους ἐποιούμην συσσίτους. ς'. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. 10) Συνεδρίων 11) δέ μοι καὶ βουλῆς ἐκοινώνουν οἱ πίστει κοσμούμενοι, καὶ περὶ πολλοῦ τὰ θεῖα ποιούμενοι. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ μόνον δὲ φίλων καὶ συμβούλων, ἀλλὰ καὶ τῶν 12) διακόνων πολλὴν ἐποιούμην φροντίδα. ὑπηρέταις γὰρ ἐχρώμην ἀρετῆς ἐπιμελομένοις, καὶ κακίας ἀπηλλαγμένοις. ζ'. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν 13) ὑπερηφανίαν. 14) Οὐδένα δὲ τῶν ὑπεροψίᾳ χρωμένων σύνοικον ἔχειν ἡγούμην. Λαλῶν 15) ἄδικα οὐ κατεύθυνεν 16) ἐνώπιον τῶν ὀφθαλμῶν μου. 17) Εἰ δέ τις συνεβούλευσεν, ἢ ἐξήτησεν ἄδικα, διαμαρτων

1) Cod. 1. ἐποιησάμην. 2) συλλ. Cod. 1. add. τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς. 3) ἐκκλ. ἀπ' ἐμοῦ. Hebr. *recedat a me*, sc. cor prauum. 4) Cod. 1. τὸν, pro quo legendum esse videtur τῶν, vt habet ed. *ald.* et *compl.* 5) ἐξεδ. Hebr. אצמית *exscindam*, quod deinde vers. 8. expr. per ἀπέκτενον. 6) Τὰς δέ. Cod. 1. λέγει δὲ ὅτι τάς. 7) ἀπλ. Editio prior habebat ἀπίστῳ. 8) οὔτε. Cod. 1. add. μήν. 9) E Cod. 1. 10) Συνεδρ. Cod. 1. præm. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. 11) δέ. Abest a Cod. 1. 12) Cod. 1. διακονούντων. 13) ὑπερηφ. *Hebr.* dolum, 14) Οὐδένα. Cod. 1. præm. ἀντὶ τοῦ. 15) ἄδικα. *Hebr.* mendacia. 16) ἐνώπ. Rec. lectio h. l. est ἐναντίον. 17) εἰ δέ. Cod. 1. præm. λέγει δὲ ὅτι.

τῶν ἀπελήλυθεν· 1) „σπȣδὴ γάρ μοι „ἀποκλείειν τὰς ἀκοὰς τοῖς διαβάλλειν „ἐθέλȣσι.„ η΄. Εἰς τὰς πρωΐας ἀπέκτενον πάντας τȣ̀ς ἁμαρτωλȣ̀ς τῆς γῆς, τȣ͂ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίȣ πάντας τȣ̀ς ἐργαζομένȣς τὴν 2) ἀνομίαν. Τȣ͂το σαφῶς παρὰ τῆς ἱςορίας ἐμάθομεν. ἅπαντας γὰρ τȣ̀ς δυσσεβεῖς ἱερέας τῷ θανάτῳ παρέπεμψε, καὶ τὴν ἱερὰν ἐξεκάθηρε πόλιν. 3) „πρωΐαν δὲ „καλεῖ τὴν ἀρχὴν τῆς αὐτȣ͂ βασιλείας· „ὡς ὄρθρος γὰρ αὐτὸς ἀνέτειλε μετὰ „τῆς πρεπȣ́σης καὶ φωτιζȣ́σης δικαιο„σύνης.„ ὁ δὲ βȣλόμενος τὴν τȣ͂ ἀνδρὸς ἀρετὴν 4) καταμαθεῖν ἀκριβέςερον, 5) εὑρήσεται ταύτην ἔκτȣ τῆς δευτέρας τῶν παραλειπομένων, καὶ ἐκ τῆς τετάρτης τῶν βασιλειῶν ἱςορίας. 6) „σπου„δασάτω τοίνυν ἕκαςος μιμητὴς τȣ͂δε τȣ͂ „ἀνδρὸς γενέσθαι· ἵνα τῆς ἴσης αὐτῷ „κοινωνήσῃ παρὰ Χριςῷ παῤῥησίας· „ἀμήν.„

dens abiit: „ studiose enim ob„ struxi aures pro illis qui obtre„ ctare volebant aliis.„ 8. *In matutino interficiebam omnes peccatores terræ, vt disperderem de ciuitate Domini omnes operantes iniquitatem.* Hoc manifesto ex historia didicimus. Omnes enim impios sacerdotes morte mulctauit, et sacram expiauit vrbem. „ Tem„ pus matutinum autem vocat „ initium imperii sui. Nam in„ star lucis matutinæ exortus est „ cum decora et splendente iu„ stitia.„ Ceterum qui vult huius viri virtutem accuratius discere, inueniet eam in secundo Paralipomenon libro, et in quarta Regnorum historia. a) „ Operam „ itaque det vnusquisque, vt vi„ rum istum imitetur, vt simi„ lis coram Christo particeps fiat „ fiduciæ. Amen.

ΕΡΜΗΝ. ΤΟΥ ρα΄ ΨΑΛΜΟΥ.

α΄. Προσευχὴ τῷ πτωχῷ· ὅταν ἀκηδιάσῃ, καὶ 7) ἔναντι Κυρίȣ ἐκχέῃ τὴν δέησιν αὐτοῦ. Πρόῤῥησιν μὲν ὁ ψαλμὸς ἔχει τῆς ἐν Βαβυλῶνι τȣ͂ λαȣ͂ τῶν Ἰȣδαίων ταλαιπωρίας, καὶ τῆς ἐκεῖθεν ἐπανόδȣ· προαγορεύει δὲ κατ' αὐτὸν, καὶ τῶν ἐθνῶν τὴν κλῆσιν καὶ σωτηρίαν· ἁρμόττει δὲ καὶ παντὶ συμφορᾷ τινὶ προσπαλαίοντι, καὶ τῆς θείας ῥοπῆς τυχεῖν ἱκετεύοντι· πτωχὸν γὰρ καλεῖ, τὸν θείας ἐνδεῆ προμηθείας. β΄. Κύριε εἰσάκȣσον τῆς προσευχῆς μȣ, καὶ ἡ κραυγή μȣ πρὸς σὲ 8) „ἐλθέτω.„ Δέξαι μȣ τὴν ἱκετηρίαν ὦ Δέσποτα, καὶ

INTERP. PSALMI CI.

1. *Oratio pauperi, quum anxietate afficitur, et coram Domino preces suas effundit.* Prædictionem afflictionis populi Iudæorum, qui Babylone captiuus erat, psalmus continet, redituque ex eadem. Vaticinatur autem pariter et gentium vocationem ac salutem. Conuenit porro et cuilibet cum aliqua calamitate luctanti, et diuinam opem vt consequatur obsecranti. *Pauperem* enim vocat diuino auxilio indigentem. 2. *Domine exaudi orationem meam, et clamor meus ad te veniat.* Deprecationem meam Domine suscipe, mihique

1) E Cod. 1. 2) Cod. vat. habet ἀδικίαν. 3) E Cod. 1. 4) Cod. 1. μαθεῖν. 5) εὑρ. Cod. 1. εἴσεται. 6) E Cod. 1. 7) Cod. 1. ἐνώπιον. 8) ἐλθ. E Cod. 1. et Textu τῶν ό. suppl.

a) 4 Reg. 22. et 23. 2 Paral. 34. et 35.

hique obtestanti opem fer. *Clamorem* enim, lamentationem Symmachus dixit. *3. Ne auertas faciem tuam a me.* Beneuolus mihi esto, et missam fac indignationem. *Quocumque die* * *tribulor, inclina ad me aurem tuam: quocumque die inuocauero te, velociter exaudi me.* Hæc quoque psalmi verba ostendunt, futurorum illis inesse prædictionem, non autem rerum factarum narrationem. Quoniam enim in multa felicitate et splendore sub diuini Dauidis imperio erat populus, iure propheta, illorum persona vtens, precationem offert, vtque diuinam consequatur opem supplicat, quandocunque tempus id postularit. 4. *Quia defecerunt sicut fumus dies mei, et ossa mea sicut lignum aridum aruerunt.* Deinceps secundum proprium idioma, futuras calamitates tanquam præteritas narrat, et dicit, fumi instar vitæ tempus consumtum esse, et ex mœrore corpus torris instar aridum esse factum, tanquam ab aliqua ignis impressione combustum. Sic enim Aquila, Et ossa mea sicut exustio exaruerunt. *5. Percussus sum vt fœnum, et exaruit cor meum.* Etenim veluti fœnum exstinctus sum, pristinumque florem amisi. *Quia oblitus sum comedere panem meum. 6. A voce gemitus mei adhæsit os meum carni meæ.* Cuiuslibet enim cibi appetitum perdidi, pristina vero bona corporis habitudine penitus spoliatus sum. Corpore enim confectus sum ex tabe, quæ e tristitia eue-

ποτνιωμένῳ τὴν σὴν βοήθειαν ὄρεξον· τὴν γὰρ κραυγὴν οἰμωγὴν ὁ Σύμμαχος εἴρηκεν. γ΄. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ. Εὐμενής μοι γενοῦ, καὶ λῦσον τὴν ἀγανάκτησιν. Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ 1) ἐπάκουσόν μου. Δηλοῖ καὶ ταῦτα τοῦ ψαλμοῦ τὰ ῥήματα, ὡς μελλόντων ἐστὶ πρόῤῥησις, καὶ οὐ γεγενημένων διήγησις. ἐπειδὴ γὰρ ἐν εὐκληρίᾳ πολλῇ, καὶ περιφανείᾳ ἐτύγχανεν ὢν ὁ λαὸς ἐν τῇ τοῦ θεσπεσίου Δαβὶδ βασιλείᾳ· εἰκότως ὁ προφήτης, τῷ ἐκείνων 2) κεχρημένος προσώπῳ, προσφέρει τὴν ἱκετείαν, καὶ τυχεῖν ἀντιβολεῖ τῆς θείας κηδεμονίας, ἡνίκα ἂν γένοιτο τούτου καιρός. δ΄. Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου· καὶ τὰ ὀστᾶ μου 3) ὡσεὶ φρύγιον συνεφρύγησαν. Ἐντεῦθεν κατὰ τὸ οἰκεῖον ἰδίωμα τὰς ἐσομένας ὡς γεγενημένας συμφορὰς διηγεῖται. καί φησι καπνῷ παραπλησίως τὸν τῆς ζωῆς ἀναλωθῆναι χρόνον, καὶ ἐξ ἀθυμίας δαλὸν 4) ξηρὸν γεγενῆσθαι τὸ σῶμα, ὡς ὑπό τινος 5) καταφλεχθὲν πυρὸς προσβολῆς· οὕτω γὰρ καὶ ὁ Ἀκύλας ἡρμήνευσεν, καὶ τὰ ὀστᾶ μου ὡς καῦσις ἐψαθυρώθη. ε΄. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου. Ἀλλὰ γὰρ καὶ χόρτῳ παραπλησίως ἀπέσβην· καὶ τὸ πρότερον ἄνθος ἀπώλεσα. Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. ς΄. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Πάσης μὲν γὰρ τροφῆς ἀπεβαλόμην ὄρεξιν· τῆς δὲ προτέρας εὐπαθείας παντελῶς ἐγυμνώθην. τῇ γὰρ ἐξ ἀθυμίας τηκεδόνι

1) Rec. lectio h. l. est εἰσάκουσον. 2) Cod. 1. χρησάμενος. 3) ὡσεὶ φρυγ. συνεφρ. *Hebr.* tanquam focus, (f. id quod in foco comburitur,) adusta sunt. *Symm.* ὡς ἀπόκαυμα αὐτὰ γέγονεν. 4) ξηρόν. Cod. 1. præm. καί. 5) Cod. 1. καταφλεγέν.

νι κατηναλώθην τὸ 1) σῶμα. γυμνοῖς
δὲ τοῖς 2) ὀςοῖς ἐπίκειμαι 3) τὸ δέρμα.
4) „ἄρτος οὖν ἡμῶν τῆς ψυχῆς ὁ τοῦ Θεοῦ
„λόγος· ὥσπερ γὰρ ὁ ἄποιος ἄρτος τὸ
„σῶμα τρέφει, οὕτως ὁ ἐξ οὐρανοῦ λόγος
„τὴν οὐσίαν τῆς ψυχῆς. καὶ τοῦτον ὁ
„Χριςὸς τὴν προσευχὴν παραδιδοὺς ἔλε-
„γε τοῖς ἀποςόλοις, τὸν ἄρτον ἡμῶν τὸν
„ἐπιούσιον δὸς ἡμῖν σήμερον· ὃς ἂν τοίνυν
„τοῦτον φαγεῖν ἐπιλάθηται, τουτέςιν ἐρ-
„γάσασθαι· τοῦ γὰρ νοητοῦ ἄρτου βρῶσιν
„ἐργασία καθέςηκεν· δηλοῖ δὲ ὃ εἶπεν
„τοῖς ἀποςόλοις ὁ Κύριος, ἐργάζεσθε μὴ
„τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ
„τὴν μένουσαν εἰς ζωὴν αἰώνιον· τούτου ἡ
„καρδία δίκην χόρτου πληγεῖσα ξηραί-
„νεται. πῶς δὲ ὁ χόρτος πλήττεται καὶ
„ξηραίνεται· ὅταν ὑετὸς ἐπ' αὐτὸν ἐπα-
„νήσῃ. ὥσπερ καὶ ἡ καρδία, ὅταν ἐνδείᾳ
„νοσήσῃ τοῦ λόγου τότε πλήττεται καὶ
„ξηραίνεται, ἄνθος ἀρετῆς βλαςῆσαι
„οὐκ ἰσχύουσα.„ ζ'. Ὡμοιώθην πελε-
κᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ
5) ἐν οἰκοπέδῳ. η'. Ἠγρύπνησα, καὶ
6) ἐγενόμην ὡς ςρουθίον μονάζον ἐπὶ δώ-
ματι. Πολλαῖς κέχρηται παραβολαῖς,
ἀξίως βουλόμενος παραςῆσαι τὰς συμ-
φοράς· δι' ἑκάςου δὲ τῶν εἰρημένων ὀρνί-
θων τὴν δειλίαν δηλοῖ, καὶ τοῦ κηδεμό-
νος τὴν ἐρημίαν. τό τε γὰρ ςρουθίον ὑπ'
ἀγωνίας ἐξελαύνει τὸν ὕπνον, καὶ ὁ νυ-
κτικόραξ τὰς οἰκουμένας φεύγων τῶν οἰ-
κιῶν, ταῖς ἐρήμοις καὶ καταλελειμμέ-
ναις προστρέχει· τὰ γὰρ οἰκόπεδα,
7) ἐρείπια ὁ Σύμμαχος εἴρηκεν· οὕτω
καὶ τὸ ἄλλο ὄρνεον ταῖς ἐρήμοις ἐνδιαι-
τᾶται. θ'. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν

nit: nudis vero ossibus cutem hærentem habeo. „Panis itaque ani-
„ mæ nostræ est verbum Dei. Prout
„ enim panis qualitatis expers, cor-
„ pus, sic quoque verbum quod e
„ cælo est, animam nutrit. Et hic
„ est panis ille, quem Christus,
„ cum Apostolis suis ostenderet
„ quomodo precandum esset, intel-
„ lexit, dicens, Panem nostrum
„ quotidianum da nobis hodie.
„ Quisquis itaque obliuiscitur,
„ hunc comedere, hoc est ope-
„ rari, (panis enim, qui men-
„ te percipitur, comestio ope-
„ rando perficitur, iuxta il-
„ lud quod Apostolis suis di-
„ cit Dominus, operamini ci-
„ bum, non pereuntem sed per-
„ manentem in æternum,) illius
„ cor instar fœni percussum,
„ arescit. Quomodo autem fœ-
„ num percutitur et arescit? si
„ pluuia non amplius super il-
„ lud cadit. Haud aliter cor, si
„ penuria verbi laborat, percu-
„ titur et arescit, nec florem
„ virtutis producere valet. „
7. *Similis factus sum pelicano solitudinis, factus sum sicut nycticorax in domicilio.* 8. *Vigilaui, et factus sum sicut passer solitarius in tecto.* Multis vtitur comparationibus, volens digne ob oculos ponere calamitates. Per quamlibet autem harum auium timorem demonstrat, et protectoris penuriam. Quandoquidem *passer* ob ægritudinem somnum abigit, et *nycticorax* habitatas domos fugiens, desertas derelictasque frequentat. *Domicilia* enim, *parietinas* Symmachus dixit. Sic etiam et alia auis in solitudinibus versatur. 9. *Toto die exprobrabant mibi*

1) σῶμα. Cod. 1. add. μου. 2) Cod. 1. ὀςέοις. 3) τό. Cod. 1. præm. μου. 4) E Cod. 1. 5) ἐν οἰκοπ. *Hebr.* solitudinum. 6) ἐγ. ὡς. Cod. vat. ἐγενήθην ὡσεί. 7) ἐρείπια. Hanc lectionem autoritate Cod. 1. posuimus pro εὐρήκεισαν, vt habebat Editio prior. MONTF. in Hexapl. ad h. l. legit ἐν ἐρειπίῳ.

mihi inimici mei, *et qui laudabant me*, *aduersus me iurabant.* Ridiculus factus sum hostibus, et qui alias felix et illustris eram, iuramentum * factus sum iis, qui olim me admirabantur: aduersus meas enim calamitates iurant, Ne patiar ea, quæ illi et illi perpessi sunt. 10. *Quia cinerem tanquam panem manducabam*, *et poculum meum cum fletu miscebam.* 11. *A facie iræ et indignationis tuæ.* Hæc etiam septuagesimo nono psalmo dixit, a) Cibabis nos pane lacrymarum, et potabis nos lacrymis in mensura. Magnitudinem vero doloris per hæc ostendit. Si enim edendi tempus dolore refertum erat, tanto minus aliud tempus ab hoc dolore erat liberum. His autem, inquit, circumdatus sum malis, quoniam tu Domine in me iram tuam excitasti. *Quoniam eleuans allisisti me.* Cum enim me sublimem et conspicuum reddidisses, repente me eiecisti. *Allisisti* enim, dixit per Metaphoram desumtam ab illis, qui in altum aliquid subleuant, et in terram illidunt. 12. *Dies mei sicut vmbra declinauerunt*, *ego autem sicut fœnum exarui.* Prope ipsum, inquit, vitæ occasum constitutus sum, et similis sum vmbræ declinanti, et iam desinenti, aridumque fœnum imitor, metentium manus accersens. 13. *Tu autem Domine in æternum permanes*, *et memoriale tuum per generationem et generationem.* Verum ego quidem talem naturam habeo, talibusque calamitatibus sum oppressus. Tu autem, sempiternus cum sis et æternus, aliquam mutationem præsentium malorum facile

με οἱ ἐχθροί μου, καὶ οἱ 1) ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. Καταγέλαστος ἐγενόμην τοῖς δυσμενέσι· καὶ ὁ ποτὲ ζηλωτὸς, καὶ περίβλεπτος, νῦν ὅρκος γέγονα τοῖς πάλαι θαυμάζουσι· κατὰ γὰρ τῶν ἐμῶν ὀμνύουσι συμφορῶν· μὴ 2) πάθοιμι ἃ οἱ δεῖνες πεπόνθασιν. ι'. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ 3) ἐκίρνων. ια'. Ἀπὸ προσώπου τῆς ὀργῆς σου, καὶ τοῦ θυμοῦ σου. Ταῦτα καὶ 4) ὁ Ο' καὶ Θ' ἔφη 5) ψαλμός· ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ. τὴν δὲ τῆς ὀδύνης ὑπερβολὴν διὰ τούτων δηλοῖ. εἰ γὰρ ὁ τῆς τροφῆς καιρὸς ὀδύνης ὑπῆρχε μεστὸς, χολῇ γε ἂν ἄλλος καιρὸς ταύτης ἐλεύθερος ἦν. τούτοις δέ φησι περικλύζομαι τοῖς κακοῖς, ἐπειδὴ Δέσποτα κατ' ἐμοῦ κεκίνηκας τὴν ὀργήν. Ὅτι ἐπάρας 6) κατέῤῥαξάς με. Ὑψηλὸν γάρ με δείξας, καὶ περίβλεπτον ἀποφήνας, ἐξαίφνης ἀπέῤῥιψας. τὸ γὰρ κατέῤῥαξας ἐκ μεταφορᾶς τέθεικε τῶν ἐπαιρόντων εἰς ὕψος τὶ, καὶ κατὰ τοῦ ἐδάφους καταῤῥηγνύντων. ιβ'. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν· κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Παρ' αὐτάς εἰμι, φησὶ, τὰς τοῦ βίου δυσμάς· καὶ ἔοικα σκιᾷ 7) κλινάσῃ, καὶ ληγούσῃ λοιπόν· καὶ χόρτου δὲ 8) μεμίμημαι τὴν ξηρότητα, τῶν θεριζόντων προσκαλουμένου τὰς χεῖρας. ιγ'. Σὺ δὲ Κύριε εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Ἀλλ' ἐγὼ μὲν καὶ τὴν φύσιν τοιαύτην ἔχω, καὶ συμφοραῖς συνεζύγην τοσαύταις· σὺ δὲ, ἀΐδιος ὢν καὶ αἰώνιος, μεταβολήν τινα τῶν παρόντων κακῶν ῥᾳδίως ἂν

1) *ἐπαιν. με. Hebr.* insanientes. 2) Cod. 1. πάθοιεν. 3) Cod. 1. ἐκίνων. 4) ὁ. Cod. 1. ἐν τῷ. 5) Cod. 1. ψαλμῷ. 6) *κατ. με. Hebr.* proiecisti me. 7) Cod. 1. κλινέσῃ. 8) Cod. 1. μιμεῖται.

a) Ps. 79, 6.

ἂν μοι χαρίσαιο· τοῦτο γὰρ ἐπιφέρει. ιδ'. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιὼν ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός. Δός φησι μεταβολὴν ἀμείνω τῇ συμφορᾷ· ὁ γὰρ καιρὸς τὸν ἔλεον ἀπαιτεῖ. αἰνίττεται δὲ διὰ τούτων τῆς τοῖς ἑβδομήκοντα ἔτεσιν περιωρισμένης τιμωρίας τὸ τέλος, οὕτω καὶ ὁ θαυμάσιος Δανιὴλ, ἀριθμήσας τῆς αἰχμαλωσίας τὸν χρόνον, προσφέρει καὶ τὴν ἱκετηρίαν. τούτοις συνᾴδει καὶ τῆς πνευματικῆς μελῳδίας τὰ ῥήματα· ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός. ιε'. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους 1) αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Τριπόθητος γὰρ ἡμῖν Σιὼν, καὶ λίαν ἔρημος γενομένη· ἀξιέραστοι δὲ καὶ οἱ καταλελυμένοι λίθοι, καὶ τῶν ἐκ τῆς πορθήσεως γεγενημένων 2) χωμάτων ἡ μνήμη οἶκτον ἡμῖν ἐντίθησιν. ις'. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα 3) Κυρίου, καὶ πάντες οἱ βασιλεῖς 4) τῆς γῆς τὴν δόξαν σου. Ὁρῶντες γὰρ ἡμῶν τὴν ἐπάνοδον, καὶ τὴν οἰκοδομίαν τῆς πόλεως, οἱ τὰς προτέρας ἡμῶν θεασάμενοι συμφορὰς, καὶ βασιλεῖς, καὶ ἄρχοντες, καὶ ἀρχόμενοι, θαυμάσονταί σου τὴν δύναμιν, καὶ δείσαντές σε Θεὸν εἶναι μόνον πιστεύσουσιν. τοῦτο δὲ κυρίως καὶ ἀληθῶς μετὰ τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησιν γέγονε. μετὰ γὰρ τὴν Ἰουδαίων ἀνάκλησιν, ἐθαύμασαν μὲν τὸ γεγονὸς οἱ περίοικοι· τοσοῦτον δὲ ἀπέσχον τοῦ πιστεῦσαι τῷ τῶν ὅλων Θεῷ, ὅτι τὸν πρὸς αὐτοὺς κατὰ ταυτὸν ἤραντο πόλεμον. ἐνταῦθα δὲ ὁ λόγος καὶ τῶν ἐθνῶν ἁπάντων, καὶ τῶν βασιλέων μεταβολὴν προθεσπίζει. ὧν τὰ μὲν ὁρῶμεν γεγενημένα, τὰ δὲ ἐλπίζομεν ἔσεσθαι·

largiri posses. Hoc enim addit: 14. *Tu exsurgens misereberis Zionis, quia tempus est miserendi eius, quia venit tempus.* Concede calamitati mutationem in melius: etenim tempus misericordiam efflagitat. Per hæc autem innuit finem pœnæ septuaginta annorum termino circumscriptæ. Sic et admirabilis Daniel, cum seruitutis tempus enumerasset, precationem etiam offert. Cum his conueniunt quoque verba spiritualis cantionis, *Quia tempus est miserendi eius, quia venit tempus.* 15. *Quoniam placuerunt seruis tuis lapides eius, et terræ eius miserebuntur.* Zion enim peramabilis est nobis, licet valde deserta sit. Amatu etiam digni sunt lapides destructi, et * aggerum qui ex * direptione facti sunt memoria misericordiam nobis ingerit. 16. *Et timebunt gentes nomen Domini, et omnes reges terræ gloriam tuam.* Nam videntes reditum nostrum, ciuitatisque instaurationem, qui afflictiones nostras priores conspexerant, et reges, et principes, et subditi, tuam admirabuntur potentiam, et timentes, te solum esse Deum credent. Hoc vero proprie ac vere post Dei et Saluatoris nostri incarnationem contigit. Post reuocationem enim Iudæorum, mirati quidem sunt vicini quod factum fuerat: sed tantum abfuit, vt crederent Deo vniuersorum, vt ipsis eodem tempore bellum intulerint. Ceterum hoc loco sermo diuinus omnium gentium et regum conuersionem præcinit. Quarum rerum alias quidem iam perfectas videmus, alias vero futuras esse speramus.

Ait

1) Prior editio habebat αὐτῇ. 2) χωμ. Abest a Cod. 1. 3) Κυρίου. Rec. lectio h. l. est σου Κύριε. Sed editio *ald.* et *compl.* habent Κυρίου. 4) τῆς γῆς. Abest a Cod. *vatic.*

Ait enim diuinus apostolus, a) Nondum enim illi omnia subiecta videmus. Veruntamen docuit, b) omne genu ipsi flectendum esse, cælestium, terrestrium, et infernorum. 17. *Quia ædificavit Dominus Zionem, et conspicietur in gloria sua.* Quoniam enim ii qui ignorabant diuinas dispensationes, Iudæorum seruitutem, Hierosolymæque vastitatem a Dei imbecillitate proficisci suspicabantur, iure gloriam appellauit Dei vrbis instaurationem: quasi dicat, Zione rursus ædificata, in pristina gloria vniuersorum Deum omnes cernent. 18. *Respexit ad orationem humilium, et non sprevit preces eorum.* Non enim despexit, veluti captiuos et seruos, sed preces admisit, libertatemque largitus est. 19. *Scribatur hæc in generatione altera, et populus qui creabitur laudabit Dominum.* Hoc autem beneficium in literas relatum semper conseruabimus, vt posteri tuam benignitatem discant. *Populum* vero *qui creatur*, illum dixit qui e gentibus conflatus est: de quo et beatus Paulus ait, c) Si quis in Christo, noua est creatura: et ipse diuinus Dauid in vigesimo primo psalmo, d) Annunciabitur Domino generatio ventura, et annuntiabunt iustitiam eius populo qui nascetur, quem fecit Dominus. Hic populus, et antiqua et noua edoctus, * congruentem Deo, qui salutem largitus est, hymnum offert. 20. *Quia prospexit de sancto suo excelso Dominus, de cælo terram adspexit.* 21. *Vt audiret gemitus compeditorum, vt solueret filios interem-*

Φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· ὄυπω γὰρ ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. ἀλλ᾽ ὅμως ἐδίδαξεν, ὅτι αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. ιζ΄. Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιὼν, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπειδὴ γὰρ οἱ τὰς θείας ἀγνοοῦντες οἰκονομίας, ἀσθένειαν ὑπελάμβανον τοῦ Θεοῦ τὴν Ἰουδαίων δουλείαν, καὶ τῆς Ἱερουσαλὴμ τὴν ἐρημίαν, εἰκότως δόξαν ἐκάλεσε τοῦ Θεοῦ, τὴν τῆς πόλεως νεουργίαν· ἀντὶ τοῦ, πάλιν τῆς Σιὼν οἰκοδομηθείσης, ἐν τῇ προτέρᾳ δόξῃ πάντες ὄψονται τὸν τῶν ὅλων Θεόν. ιη΄. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν 1) τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν. Οὐ κατεφρόνησε γὰρ, ὡς αἰχμαλώτων καὶ δούλων· ἀλλ᾽ ἐδέξατο τὴν ἱκετείαν, καὶ δέδωκε τὴν ἐλευθερίαν. ιθ΄. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. Ταύτην δὲ τὴν εὐεργεσίαν ἀνάγραπτον εἰς ἀεὶ ποιήσομεν· ὥστε καὶ τοὺς 2) ἐσομένους τὴν σὴν φιλανθρωπίαν μαθεῖν. λαὸν δὲ κτιζόμενον τὸν ἐξ ἐθνῶν συλλεγέντα καλεῖ, περὶ οὗ καὶ ὁ μακάριος λέγει Παῦλος, εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. καὶ αὐτὸς δὲ ὁ θεσπέσιος Δαβὶδ ἐν τῷ Κ΄ καὶ Α΄ ἔφη ψαλμῷ· ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος. οὗτος ὁ λαὸς καὶ τὰ παλαιὰ καὶ τὰ νέα παιδευόμενος τὸν προσήκοντα ὕμνον ἀναπέμπει τῷ σωτῆρι Θεῷ. κ΄. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ Κύριος, ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε. κα΄. Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς 3) τῶν τεθανατω-

1) τῶν ταπ. Hebr. solitarii. 2) ἐσομ. Cod. 1. ἐν μέσῳ. 3) τῶν τεθαν. Hebr. תמותה.

a) Hebr. 2, 8. b) Phil. 2, 10. c) 2 Cor. 5, 17. d) Ps. 21, 32.

κατωμένων. κβ'. Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ. Πάντα γὰρ ἐφορῶν καὶ πρυτανεύων ὁ τῶν ὅλων Θεὸς τῶν 1) ἐφορωμένων ἐπήκουσε, καὶ τὴν τῆς ἐλευθερίας ἐξενήνοχε ψῆφον, ὥστε τοὺς πεπεδημένους ἀντὶ τῶν ἀνῃρημένων ἐπανελθεῖν, καὶ τὴν πόλιν τὴν πατρῴαν οἰκοδομῆσαι, καὶ συνήθως ἐν ἐκείνῃ τὴν κατὰ τὸν νόμον λατρείαν προσενεγκεῖν τῷ Θεῷ. κγ'. Ἐν τῷ 2) ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ καὶ 3) βασιλεῖς, τοῦ δουλεύειν τῷ Κυρίῳ. κδ'. 4) Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ 5) ἰσχύος αὐτοῦ, 6) τὴν ὀλιγότητα τῶν ἡμερῶν μου κε'. 7) Ἀνάγγειλόν μοι· μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου. Ὅταν, φησί, τῆς ἐπανόδου τύχωμεν, ἀθροίσονται 8) λαοὶ καὶ βασιλεῖς, τὴν σὴν θαυμάζοντες δύναμιν· τηνικαῦτα τοίνυν τοσαύτην ἕξομεν εὐφροσύνην, ὡς καὶ δεηθῆναί σου τῆς ἀγαθότητος, προσθήκην ἡμῖν ἐτῶν χαρίσασθαι, καὶ μὴ μεσοῦντος 9) ἡμῶν τοῦ χρόνου τῷ θανάτῳ παραδοῦναι· ὁδὸν δὲ ἰσχύος καλεῖ τὴν διὰ τὴν ἰσχὺν τοῦ Θεοῦ παραχεθεῖσαν ἐπάνοδον. Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Σὺ γὰρ ἀπέραντον ἔχεις τὸ εἶναι, καὶ ῥᾴδιόν σοι καὶ τοὺς ἄλλους μακροβίους ἐργάσασθαι. κς'. Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. κζ'. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. Τί γὰρ ἀδύνατον τῷ τῶν ὅλων δημιουργῷ;

ptorum. 22. *Vt annuncient in Zione nomen Domini, et laudem eius in Hierosolyma.* Omnia enim inſpiciens et moderans vniuerſorum Deus, inſpectos exaudiuit, libertatisque ſententiam protulit, vt captiui pro interemptis redirent, patriamque vrbem inſtaurarent, et conſueto more in illa cultum ſecundum legem Deo præſtarent. 23. *Quum conueniunt populi in vnum et reges, vt ſeruiant Domino.* 24. *Reſpondit ei in via virtutis ſuæ; paucitatem dierum meorum* 25. *Nuncia mibi, ne auferas me in dimidio dierum meorum.* Cum, inquit, reditum conſecuti fuerimus, congregabuntur populi et reges, tuam admirantes potentiam. Tunc igitur tantam habebimus lætitiam, vt bonitatem tuam obſecremus, velis nobis annos addere, nec in medio curſu vitæ noſtræ nos morte afficere. *Viam* autem *virtutis*, vocat fortitudinem Dei per reuerſionem conceſſam. *In generatione generationum anni tui.* Tu enim naturam habes finis expertem, et facile eſt tibi alios etiam longæuos facere. 26. *Initio tu Domine terram fundaſti, et opera manuum tuarum ſunt cæli.* 27. *Ipſi peribunt, tu autem permanes.* Quid enim ab vniuerſorum opifice fieri non poſſet? Te

1) ἐφορ. Cod. 1. ὀλοφυρομένων. 2) ἐπισυν. Cod. *vat.* habet συναχθῆναι. 3) βασ. *Hebr.* regna. 4) Ἀπεκρίθη αὐτῷ. Hebr. עִנָּה affixit. *Symm.* ἐκάκωσεν. 5) ἰσχύος αὐτοῦ. Hæc interpretatio ſequitur lectionem τοῦ Kthibh. Præſtat autem h. l. lectio τοῦ Kri, כֹּחִי. *Symm.* τὴν ἰσχύν μου. Ita quoque Syrus. 6) τὴν — μου. *Hebr.* abbreuiauit ſ. paucos fecit, dies meos. 7) Ἀνάγγ. μοι. Sic quoque habet Syrus. Sed *Hebr.* Dico, Deus mi. 8) λαοί. Cod. 1. præm. καί. 9) Cod. 1. ἡμῖν.

Te volente iam existit terra, cælos qui non erant fecisti: et cum ista mutationem patiantur, tu immutabilem habes naturam. Ex elementis porro quæ omnia continent, aliarum rerum omnium ipsum fuisse creatorem ostendit. *Et omnes sicut vestimentum veterascent, et sicut opertorium volues eos, et mutabuntur.* Symmachus autem sic, Et omnes sicut vestimentum senescent, et sicut amictum mutabis eos, et mutabuntur. Omnia enim, quæ cernuntur, senescent, vestimentorumque vetustatem imitabuntur. Tu autem ipsa mutabis, et renouabis, et incorruptibilia pro corruptibilibus facies. Hoc et diuinus apostolus inquit, *a)* Quoniam et ipsa creatura * liberabitur a seruitute corruptionis ad libertatem gloriæ filiorum Dei. 28. *Tu autem idem ipse es, et anni tui non deficient.* Tu quidem, Domine, res creatas immutas, vt vis: tu autem naturam immutabilem et mutatione superiorem habes. Hæc quidem diuinus Apostolus in epistola ad Hebræos filii attribuit proprietati. *b)* Veruntamen in filio patrem contemplamur. Quæ enim ille facit, hæc et filius eodem modo facit, et eadem natura in vtroque cognoscitur: vnam enim esse actionem Trinitatis scimus. 29. *Filii seruorum tuorum habitabunt, et semen eorum in sæculum dirigetur.* Sym-

τῇ γῇ τὸ εἶναι σὺ δέδωκας, τοὺς οὐρανοὺς μὴ ὄντας ἐποίησας, καὶ τούτων μεταβολὴν δεχομένων, σὺ τὸ ἄτρεπτον ἔχεις. ἀπὸ δὲ τῶν περιεκτικῶν στοιχείων, καὶ τῶν ἄλλων αὐτὸν ἁπάντων ἔδειξε ποιητήν. Καὶ πάντες 1) ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον 2) ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται. Ὁ δὲ Σύμμαχος οὕτως· καὶ 3) πάντες 4) ὡσεὶ ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ 5) περιβόλαιον 6) ἀλλάξεις 7) αὐτοὺς, καὶ ἀλλαγήσονται. ἅπαντα 8) γὰρ τὰ ὁρώμενα καταγηράσει, καὶ ἱματίων μιμήσεται παλαιότητα· σὺ δὲ αὐτὰ ἀλλάξεις, καὶ νεουργήσεις, καὶ ἄφθαρτα ποιήσεις ἀντὶ φθαρτῶν. τοῦτο καὶ ὁ 9) θεσπέσιος ἀπόστολος ἔφη· ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται 10) ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. κη΄. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Τὴν μὲν οὖν κτίσιν μεταρρυθμίζεις ὡς ἐθέλεις, ὦ Δέσποτα· σὺ δὲ ἄτρεπτον ἔχεις τὴν φύσιν, καὶ ἀλλοιώσεως κρείττονα· ταῦτα μέντοι ὁ θεῖος ἀπόστολος τῇ τοῦ υἱοῦ περιτέθεικεν ἰδιότητι, ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ. ἀλλ᾽ ὅμως ἐν τῷ υἱῷ θεωροῦμεν τὸν πατέρα· ἃ γὰρ 11) ἂν ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὡσαύτως ποιεῖ· καὶ τὸ ταυτὸν τῆς φύσεως ἐν ἑκατέρῳ γνωρίζεται· μίαν γὰρ ἴσμεν τὴν τῆς τριάδος ἐνέργειαν. κθ΄. Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν 12) εἰς τὸν αἰῶνα κατευθυνθήσεται. Ὁ δὲ

1) Cod. 1. ὡσεί. 2) ἑλ. αὐτ. *Hebr.* mutabis eos sc. cælos. Nisi omnes Codices versionis τῶν ό. consentirent in lectione ἑλίξεις, legendum esse videretur ἀλλάξεις. 3) Cod. 1. πάντα. 4) Cod. 1. ὡς. 5) περιβ. Cod. 1. ἔνδυμα. Ita quoque habet MONTF. in Hexapl. ad h. l. 6) ἀλ. MONTF. l. c. habet ἑλίξεις, et eandem lectionem tribuit Nostro. 7) Cod. 1. αὐτά. 8) γάρ. Cod. 1. præm. μέν. 9) θεσπ. Cod. 1. θεῖος. 10) ἀπό. Cod. 1. ἐκ. 11) ἄν. Abest a Cod. 1. 12) εἰς τὸν αἰῶνα. *Hebr.* coram te.

a) Rom. 8, 21. *b)* Hebr. 1, 10-12.

Ὁ δὲ Σύμμαχος διαμενεῖ τέθεικε· σημαίνει δὲ ὡς οἱ μὲν τῆς δουλείας ἀπαλλαγέντες τὴν Ἱερουσαλὴμ οἰκήσουσι, τὸ δὲ ἐξ αὐτῶν σπέρμα εἰς τὸν αἰῶνα διαμενεῖ. περὶ τούτου δὲ τοῦ σπέρματος ὁ θεῖος ἀπόστολος ἔφη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ 1) ἐπήγγελται· καὶ τῷ Ἀβραὰμ 2) ἐῤῥήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει καὶ τοῖς σπέρμασιν ὡς ἐπὶ πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνὸς, καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός. τοῦτο τὸ σπέρμα εἰς τὸν αἰῶνα διαμενεῖ. ἑνωθὲν γὰρ τῷ Θεῷ λόγῳ ἀνώλεθρον ἔχει τὸ εἶναι, καὶ δωρεῖται ζωὴν τοῖς πιστεύουσι, κατὰ τὴν αὐτοῦ Κυρίου φωνήν· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ζήσεται εἰς τὸν αἰῶνα.

machus posuit, *Permanebit.* Significat autem illos a seruitute liberatos Hierosolymam habitaturos esse: at horum semen in aeternum permansurum esse. De hoc semine diuinus apostolus ait; *a)* Donec veniat semen, quod promissum est. Et *b)* Abrahamo dictae sunt promissiones, et semini eius. Non dicit, et seminibus, tanquam in multis: sed tanquam in vno, et semini tuo, quod est Christus. Hoc semen in aeternum permanebit. Vnitum enim cum Deo verbo, immortalem habet naturam, et credentibus vitam largitur, secundum ipsius Domini vocem, *c)* Qui manducat carnem meam, et bibit sanguinem meum, viuet in aeternum.

ΕΡΜΗΝ. ΤΟΥ ρβ' ΨΑΛΜΟΥ.

α'. 3) Ψαλμὸς τῷ Δαβίδ. Δοκεῖ μὲν ὁ ψαλμὸς οὗτος 4) ἀκόλουθος εἶναι τῷ προτεταγμένῳ, καὶ κατ᾽ αὐτὴν τὴν ὑπόθεσιν. ἐν ἐκείνῳ μὲν γὰρ, οἱ τὰς ἐν Βαβυλῶνι συμφορὰς ὀλοφυρόμενοι, τὸν Θεὸν ἱκέτευον τῆς ἐπανόδου τυχεῖν· ἐνταῦθα δὲ τετυχηκότες ὧν ᾔτησαν ὑμνοῦσι τὸν εὐεργέτην. ἐγὼ δὲ οἶμαι πᾶσιν ἀνθρώποις ἁρμόττειν 5) τὴν ὑμνῳδίαν, καὶ πικροτέρας ἀπαλλαγεῖσι δουλείας, καὶ μείζονος ἀξιωθεῖσιν ἐλευθερίας. δηλώσει δὲ καὶ τῶν ῥητῶν ἡ διάνοια, ὡς αὐτὴ μᾶλλον ἡ ὑπόθεσις ἐκείνης ἀληθεστέρα. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Οἱ εὐγνωμόνως περὶ τὰς θείας χάριτας διακείμενοι εἰς ὑμνῳδίαν σφᾶς αὐτοὺς διεγείρουσι, τὸν εὐεργέτην οἷς δυνατὸν ἀμειβόμενοι.

INTERPR. PS. CII.

1\. *Psalmus Dauidi.* Hic psalmus videtur praecedenti respondere, idemque argumentum habere. In illo enim calamitates, quas Babylone patiebantur deplorantes, Deum orabant vt reditum consequerentur: hîc vero illa quae efflagitarant consecuti, beneficii auctorem laudant. Ego autem opinor, hunc hymnum omnibus hominibus congruere, qui ab acerbiori seruitute liberati sunt, maiorique libertate donati fuere. Demonstrabit porro verborum sensus, hoc argumentum magis esse verum, quam illud. *Benedic anima mea Domino, et omnia quae intra me sunt, nomini sancto eius.* * Qui erga diuina beneficia grato animo affecti sunt, ad diuinas laudes se ipsos excitant, beneficii auctorem, quibus modis possunt, remunerantes.

 Potest

1) ἐπήγγ. Cod. 1. ἐπηγγείλατο. 2) Cod. 1. ἐῤῥέθησαν. 3) Ψαλμ. τῷ Δαβ. Cod. 1. Ἀλληλούϊα. 4) ἀκόλ. εἶναι. Cod. 1. ἀκολουθεῖν. 5) τήν. Cod. 1. praem. ταύτην.

a) Gal. 3, 19. *b)* Ib. v. 16. *c)* Ioh. 6, 54. 58.

Potest autem semper laudari, constansque memoria beneficiorum ipsius animo circumferri. Hi et omnia quæ intra sunt consecrant, omnemque cogitationem ad diuinam laudem appellunt. Nam *quæ intra sunt* ratiocinationes, cogitationesque, atque omnes animi motus appellauit. 2. *Benedic anima mea Domino, et noli obliuisci omnium retributionum eius.* Rursus se ipsam anima excitare docetur, obliuionisque nebulam discutere, et beneficiorum memoriam renouare. *Retributiones* quidem *beneficia* Symmachus dixit. Deinde hæc sigillatim percurrit. 3. *Qui ignoscit omnibus iniquitatibus tuis, qui sanat omnes infirmitates tuas.* Nam hic peccatorum veniam condonauit, hic perturbationum sanitatem tibi largitus est. Hæc omnia paralyticus consecutus est. Simul enim audiuit, *a)* Remissa sunt peccata tua, et tolle lectum tuum, et vade in domum tuam. Similiter mulier peccatrix sanitatem ac veniam consecuta est. *b)* Similiter latro, *c)* similiter publicani, similiter omnes, qui crediderunt. 4. *Qui redimit de interitu vitam tuam.* Eos quidem qui Babylonem in seruitutem abducti fuere, a seruitute liberauit: at ex vita corruptioni obnoxia minime liberauit. Nobis vero resurrectionis spem largitus est, pignusque spiritus præbuit, et veste immortalitatis nos induit. *Qui coronat te misericordia, et miserationibus.* Gratia saluati estis, vt ait diuinus apostolus, *d)* et hoc non ex vobis: Dei

δυνατὸν δὲ ὑμνεῖν ἀεὶ, καὶ τῶν εὐεργεσιῶν ἔναυλον περιφέρειν τὴν μνήμην· οὗτοι καὶ πάντα τὰ ἐντὸς καθιεροῦσι, καὶ πάντα λογισμὸν εἰς τὸν θεῖον ὕμνον ἀνακινοῦσιν. ἐντὸς γὰρ ἐκάλεσε τοὺς λογισμοὺς, καὶ τὰς ἐνθυμήσεις, καὶ πάντα τῆς ψυχῆς τὰ κινήματα. β. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς 1) ἀνταποδόσεις αὐτοῦ. Πάλιν ἑαυτὴν ἡ ψυχὴ διεγείρειν 2) διδάσκεται, καὶ τῆς λήθης ἐξελαύνειν τὸ νέφος, καὶ τῶν εὐεργεσιῶν ἀνανεοῦσθαι τὴν μνήμην. τὰς μέντοι ἀνταποδόσεις εὐεργεσίας ὁ Σύμμαχος εἴρηκεν. εἶτα ταύτας κατὰ μέρος διέξεισι. γ. Τὸν εὐιλατεύοντα 3) πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Οὗτος γάρ σοι δεδώρηται τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· οὗτός σοι κεχάρισται τῶν παθημάτων τὴν ἴασιν. τούτων ὁ παρειμένος ἀπήλαυσεν· ἤκουσε γὰρ κατὰ ταυτὸν, ἀφέωνταί σου αἱ ἁμαρτίαι σου, καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. οὕτως ἡ ἁμαρτωλὸς γυνὴ τετύχηκε τῆς ἀφέσεως· οὕτως ὁ λῃστὴς, οὕτως οἱ τελῶναι, οὕτως ἅπαντες οἱ πιστεύσαντες. δ. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου. Τοὺς μὲν ἀπαχθέντας ἐν Βαβυλῶνι δορυαλώτους δουλείας μὲν ἠλευθέρωσε, τῆς δὲ φθαρτῆς οὐκ ἀπήλλαξε βιοτῆς. ἡμῖν δὲ κεχάρισται τῆς ἀναστάσεως τὰς ἐλπίδας, καὶ τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος ἔδωκεν, καὶ τὸν τῆς ἀφθαρσίας ἡμᾶς ἐνέδυσε χιτῶνα. Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Χάριτί 4) ἐστε σεσωσμένοι, ἡ φησὶν ὁ θεῖος ἀπόστολος, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ

τὸ

1) ἀνταπ. Cod. vat. αἰνέσεις. 2) Cod. 1. διδάσκει. 3) Rec. lectio h. l. est πάσαις ταῖς ἀνομίαις. 4) ἐστέ. Cod. 1. præm. γάρ.

a) Marc. 2, 9. 11. *b)* Luc. 7, 47. 48. *c)* Ibid. c. 23, 43. *d)* Eph. 2, 8. 9.

τὸ δῶρον, ἵνα μή τις καυχήσηται. καὶ πάλιν, Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ 1) διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Χριστὸς Ἰησοῦς τὴν πᾶσαν αὐτοῦ μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον. χάριτος τοίνυν καὶ φιλανθρωπίας ὁ στέφανος. οὕτω καὶ ὁ θεσπέσιος Ἡσαΐας ἐκ προσώπου τῆς νύμφης βοᾷ· ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης 2) ἐνέδυσέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς 3) νύμφην κατεκόσμησέ με κόσμῳ. καὶ μετ᾽ ὀλίγα, καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα 4) βασιλείας ἐν χειρὶ Θεοῦ 5) σου. ταῦτα δὲ ἅπαντα ἕδνα τοῦ νυμφίου, καὶ δῶρα. πίστιν γὰρ ἡ νύμφη προσενήνοχε μόνην. ε΄. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς 6) τὴν ἐπιθυμίαν σου. Ἐπειδή ἐστιν ἐπιθυμία ψεκτή, ἣν 7) ὁ θεῖος νόμος ἀπαγορεύει, καλῶς τὸ ἐν ἀγαθοῖς προστέθεικε. τὰς γὰρ ἀγαθὰς ἡμῶν ἐπιθυμίας ὁ Δεσπότης πληροῖ· αἰτεῖτε γάρ φησι, καὶ δοθήσεται ὑμῖν· 8) ζητεῖτε, καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται· ζητεῖτε δὲ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα ἐκ περισσοῦ προστεθήσεται ὑμῖν. Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ταύτην πάλιν τὴν νεουργίαν ἡμῖν ὁ Δεσπότης διὰ τοῦ παναγίου 9) βαπτίσματος

est donum, vt nemo glorietur. Et rursus, a) Iesus Christus venit in mundum, vt peccatores saluos faceret, quorum primus ego sum. Sed ideo misericordiam consecutus sum, vt in me primo ostenderet Christus Iesus omnem patientiam suam, ad informationem eorum, qui credituri sunt illi in vitam æternam. Gratiæ igitur et benignitatis est corona. Sic quoque diuinus Esaias ex persona sponsæ exclamat, b) Exultet anima mea in Domino, quia induit me vestimento salutis, et tunica lætitiæ circumdedit me, quasi sponsum decorauit me corona, et quasi sponsam ornauit me monilibus suis. Et paulo post, c) Et eris * corona gloriæ in manu Domini, et diadema regni in manu Dei tui. Hæc autem omnia munera et dona sponsalia sunt sponsi: solam enim fidem sponsa attulit. 5. *Qui replet bonis desiderium tuum.* Quoniam est concupiscentia vituperabilis, quam diuina lex prohibet, recte apposuit *bonis*. Bona enim nostra desideria Dominus implet. Petite enim, inquit, d) et dabitur vobis, quærite et inuenietis, pulsate et aperietur vobis: omnis enim qui petit, accipit, et qui quærit, inuenit, et pulsanti aperietur. Quærite autem e) regnum Dei, et iustitiam eius, et hæc omnia large adiicientur vobis. *Renouabitur vt aquilæ iuuentus tua.* Hanc rursus renouationem Dominus per sanctum baptisma nobis donauit:

1) διὰ τοῦτο. Des. in Cod. 1. 2) ἐνέδ. με. Cod. 1. παρέθηκέ μοι. 3) Cod. 1. νύμφη. 4) Cod. 1. βασιλέως. 5) σου. Abest a Cod. 1. 6) τὴν ἐπιθ. σου. *Hebr.* os tuum. 7) ὁ. Cod. 1. præm. καί. 8) ζητεῖτε — ὑμῖν. Des. in Cod. 1. 9) βαπτ. Cod. 1. πνεύματος, adscripta tamen altera lectione.

a) 1 Timoth. 1, 16. b) Es. 61, 10. c) Ib. c. 62, 3. d) Matth. 7, 7. 8. e) Ib. c. 6, 33.

donauit: peccatique fenium e medio tollens, iuuenes e fenibus fecit. Confona his per prophetam Efaiam Deus dixit, a) Exfpectantes autem me, mutabunt fortitudinem, et fument pennas vt aquilæ. Quoniam enim cum creati fumus, diuinas regiasque notas accepimus, deinde variis peccati ftudiis eas obfcurauimus, et corrupimus, fpondet nobis propheticus fermo regni recuperationem. Regia enim eft hæc auis, auiumque regnum ei commiffum eft. Docet porro nos diuinæ liberalitatis modum. 6. *Exhibens mifericordias Dominus, et iudicium omnibus iniuriam patientibus.* Non enim ob iuftitias, quas fecimus nos, vt ait diuinus apoftolus, b) fed fecundum magnam mifericordiam fuam faluos nos fecit per lauacrum regenerationis, et renouationis Spiritus fancti. Et cum nos a veritatis inimico iniuria affectos confpexiffet, nobis quidem mifericordiæ fontes aperuit, contra illum vero iuftam protulit fententiam. 7. *Notas fecit vias fuas Mofi, filiis Ifrael voluntates fuas.* Non autem pœnitentia ductus hanc nobis comparauit falutem; fed hæc antea per prophetas fanctiffimos prædixit, et per diuinum Mofen noftram adumbrauit falutem. Et mare fanctiffimi baptifmatis figura fuit, lapis vero vmbra immortalium riuorum, et manna imago cibi cæleftis. Et alia, ne fingula percurram, videre eft apud illos pariter adum-

τος ἐδωρήσατο, καὶ τῆς ἁμαρτίας ἀποξύσας τὸ γῆρας, νέους ἀντὶ γεγηρακότων εἰργάσατο. συνῳδὰ τούτοις 1) διὰ Ἠσαΐȣ τοῦ προφήτȣ φησὶν ὁ Θεός· οἱ δὲ ὑπομένοντές με ἀλλάξουσιν ἰσχὺν, πτεροφυήσουσιν ὡς ἀετοί. ἐπειδὴ γὰρ τοὺς θείȣς καὶ βασιλικοὺς δημιουργηθέντες ἐδεξάμεθα χαρακτῆρας, εἶτα τούτους ἠμαυρώσαμέν τε καὶ διεφθείραμεν τοῖς παντοδαποῖς τῆς ἁμαρτίας ἐπιτηδεύμασιν, ὑπισχνεῖται ἡμῖν ὁ προφητικὸς λόγος τὴν τῆς βασιλείας ἀνάκτησιν. βασιλικὸς γὰρ οὗτος ὁ ὄρνις, καὶ τῶν πτηνῶν τὴν βασιλείαν πεπιςευμένος. διδάσκει δὲ ἡμᾶς καὶ τῆς θείας φιλοτιμίας τὸν τρόπον. ς΄. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. Οὐ γὰρ διὰ τὰς δικαιοσύνας, ἃς ἐποιήσαμεν, ἡ φησὶν ὁ θεῖος ἀπόςολος, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ 2) ἀνακαινώσεως πνεύματος ἁγίȣ· καὶ θεασάμενος ἡμᾶς ἠδικημένους ὑπὸ τοῦ τῆς ἀληθείας ἐχθροῦ, ἡμῖν μὲν ἠνέῳξε τὰς τȣ̃ ἐλέȣ πηγὰς, κατ' ἐκείνου δὲ τὴν δικαίαν ἐξενήνοχε ψῆφον. ζ΄. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωσῇ· τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οὐκ ἐκ μεταμελείας δὲ ταύτην 3) ἡμῶν ἐπραγματεύσατο τὴν σωτηρίαν· ἀλλ' ἄνωθεν ταῦτα διὰ τῶν προφητῶν προεθέσπισε, καὶ διὰ τοῦ θεσπεσίου Μωσοῦ τὴν ἡμετέραν ἐσκιογράφησε σωτηρίαν. καὶ τȣ̃ παναγίȣ βαπτίσματος ἡ θάλασσα τύπον ἐδέξατο· ἡ πέτρα δὲ τῶν ἀθανάτων κρουνῶν ἀπεφάνθη σκιά· τῆς ἐπουρανίȣ δὲ τροφῆς εἰκὼν τὸ μάννα. καὶ τ' ἄλλα δὲ, ἵνα μὴ καθ' ἕκαςον διεξέρχωμαι, οὕτως ἐςὶν εὑρεῖν παρ' ἐκείνοις ἐσκιογραφημένα.

1) διὰ. Cod. 1. præm. καί. 2) Cod. 1. ἀνακαινίσεως. 3) Cod. 1. ἡμῖν.
a) Ef. 40, 31. b) Tit. 3, 5.

νοα. η'. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. Τούτων δὲ φησιν 1) αἴτιον τῶν ἀγαθῶν ἡ τῆς θείας ἀγαθότητος ἄβυσσος, ὁ ἀμέτρητος ἔλεος, τῆς φιλανθρωπίας τὸ πέλαγος. θ'. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα 2) μηνιεῖ. ι'. Οὐ κατὰ τὰς 3) ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς 4) ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Οὐκ ἠνέχετο ταῖς ἡμετέραις ἁμαρτίαις μετρῆσαι τὴν τιμωρίαν, οὐδὲ ἐπὶ πλεῖστον καθ' ἡμῶν 5) ἐκτεῖναι τὴν ἀγανάκτησιν. ια'. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς 6) ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ, ἐπὶ τοὺς φοβουμένους αὐτόν. ιβ'. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Εἰ καὶ τούτων εὗρε μακρότερα διαστήματα, πάντως ἂν καὶ ταῦτα εἰς μέσον παρήγαγε, δεῖξαι τὸ ἄπειρον τῆς θείας φιλανθρώπου ἀγαθότητος· ἀλλ' οὐχ εὗρεν ὁ ἀνθρώπινος λογισμὸς, οὔτε οὐρανοῦ ὑψηλότερον μέτρον, οὔτε τοῦ μέσου τῆς ἑσπέρας καὶ τῆς ἑῴας μακρότερον. ιγ'. Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. Δημιουργὸς ὢν καὶ ποιητὴς, ἐμιμήσατο πατρὸς ἀγαθότητα, καὶ τὴν αὐτὴν περὶ τοὺς οἰκέτας, ἣν 7) πατὴρ περὶ τοὺς παῖδας, φιλοστοργίαν ἐπέδειξεν. ιδ'. Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, 8) ἐμνήσθη ὅτι χοῦς ἐσμέν. Οἶδε γὰρ ὁ δημιουργὸς τῆς φύσεως ἡμῶν τὴν ἀσθένειαν, οἶδε καὶ πόθεν διεπλάσθημεν, καὶ ποῦ πάλιν χωρήσομεν. ιε'. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Οὐδὲν χόρτου

brata. * 8. *Miserator, et misericors est Dominus: longanimis, et admodum misericors.* Porro horum, inquit, omnium bonorum causa est diuinae bonitatis abyssus, immensa benignitas, et misericordiae pelagus. 9. *Non in perpetuum irascetur nobis, neque in aeternum comminabitur.* 10. *Non secundum peccata nostra fecit nobis, neque secundum iniquitates nostras retribuit nobis.* Non enim potuit supplicium nostris peccatis metiri, neque diutius iram contra nos protendere. 11. *Quoniam secundum altitudinem caeli a terra, magnam fecit Dominus misericordiam suam erga timentes eum.* 12. *Quantum distat Oriens ab Occidente, longe remouit a nobis iniquitates nostras.* Si longiora his spatia inuenire potuisset, omnino et ipsa in medium attulisset, diuinae bonitatis profunditatem ostendere cupiens: sed humana mens nec caelo sublimiorem mensuram, nec ortu et occasu longinquius internallum inuenit. 13. *Quomodo miseretur pater filiorum, misertus est Dominus eorum qui timent eum.* Cum sit opifex et conditor, patris bonitatem imitatus est: eundemque erga famulos, quem pater erga filios, affectum exhibuit. 14. *Quoniam ipse cognouit formationem nostram, recordatus est, puluerem nos esse.* Nouit enim opifex naturae nostrae imbecillitatem, scit, vnde formati sumus, et quo rursus abituri sumus. 15. *Homo, sicut foenum dies eius, tanquam flos agri sic efflorebit.* Nihil a foeno et a

1) Cod. I. αἰτία. 2) μην. *Hebr.* seruabit sc. iram suam. 3) ἁμαρτ. Cod. I. ἀνομίας. 4) ἀνομ. Cod. I. ἁμαρτίας. 5) Cod. I. ἐπεκτεῖναι. 6) ἐκρατ. Κύριος. *Hebr.* praeualet. 7) πατήρ. Abest a Cod. I. 8) ἐμνήσθη. Cod. *vatic.* habet μνήσθητι.

et a flore differimus, qui quidem verno tempore viret, paulo post vero languescit et diffluit. 16. *Quoniam spiritus pertransibit illum et non amplius erit, nec cognoscet amplius locum suum.* Symmachus autem sic, Quoniam spiritus pertransit ipsum, deinde non est. *Spiritum* vero animam appellat, qua præsente corpus et viuit et operatur, cum euolauit, exstinguitur et corrumpitur: ita vt nec priores notæ agnoscantur, nec intelligatur hoc corpus illius fuisse, et hoc illius. Atque hoc deprehendere quilibet poterit, * si in sepulcra inspiciat attentius: omnia enim pari corruptione atteruntur, pristinasque notas non conseruant. 17. *Misericordia autem Domini ab æterno, vsque in æternum, super timentes eum: et iustitia illius in filios filiorum.* 18. *His qui seruant fœdus eius, et memores sunt mandatorum ipsius vt faciant ea.* Natura igitur sic fragilis est: sed diuina misericordia diuturnam vitam largitur, et iustitiæ remunerationem maioribus debitam ad posteros vsque conseruat. Sic regnum ad quartam vsque progeniem Iehu seruauit, licet perfectam pietatem minime habuerit, sed in principio regni zelum ostenderit. Sic diuino Dauidi inexstinctam generis scintillam custodiuit, tametsi multi impii in medio exstiterint. Hanc autem, inquit, misericordiam se custodientibus fœdus eius præbiturum. Et non simpliciter iis, qui mandatorum eius memores fuerint: sed iis, qui opera

καὶ ἄνθους διενηνόχαμεν, ὃ ἐν ἦρι μὲν τέθηλε, μετὰ βραχὺ δὲ μαραίνεται καὶ διαῤῥεῖ. ιϛ΄. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, 1) καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Ὁ δὲ Σύμμαχος οὕτως· ὅτι πνεῦμα διέρχεται αὐτὸν, εἶτα οὐχ ὑπάρχει. πνεῦμα τὴν ψυχὴν λέγει· ἧς παρούσης καὶ ζῇ τὸ σῶμα, καὶ ἐνεργεῖ· ἀποπτάσης δὲ κατασβέννυται καὶ φθείρεται, ὡς μηδὲ τοὺς προτέρους ἐπιγινώσκεσθαι χαρακτῆρας, μηδὲ γινώσκεσθαι, ὡς τοῦτο τοῦ δεῖνος, ἐκεῖνο τοῦ δεῖνος τὸ σῶμα. καὶ τοῦτο ἴδοι τὶς ἂν ἀκριβέστερον διακύψας εἰς τάφον. πάντα γὰρ ὁμοίως φθορᾶς γίνεται παρανάλωμα, καὶ τοὺς προτέρους χαρακτῆρας οὐ διασώζει. ιζ΄. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτὸν, καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ 2) υἱοῖς υἱῶν. ιη΄. Τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς. Ἡ μὲν οὖν φύσις οὕτως ἐπίκηρος· ἡ δὲ θεία φιλανθρωπία τὸν μακρὸν αἰῶνα χαρίζεται βιοῦν, καὶ μέχρις ἐγγόνων διατηρεῖ τὴν τοῖς προγόνοις ὀφειλομένην τῆς δικαιοσύνης ἀντίδοσιν. οὕτω τῷ 3) Ἰηοῦ μέχρι τετάρτης γενεᾶς τὴν βασιλείαν τετήρηκε, καί τοι μηδὲ τελείαν εὐσέβειαν κτησαμένῳ, ἀλλ' ἐν τῇ ἀρχῇ τῆς βασιλείας ἐπιδειξαμένῳ τὸν ζῆλον. οὕτω τῷ θεσπεσίῳ Δαβὶδ ἄσβεστον διετήρησε τὸν τοῦ γένους σπινθῆρα, καὶ ταῦτα πολλῶν δυσσεβῶν ἐν μέσῳ βεβλαστηκότων. τοῦτον δὲ, φησὶν, ὀρέξει τὸν ἔλεον τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ· καὶ οὐχ ἁπλῶς μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, ἀλλ' ἐπιτιθεῖσι τοῖς λόγοις

1) καὶ — αὐτοῦ. *Hebr.* nec agnoscet eum amplius locus eius. 2) Rec. lectio h. l. est υἱούς. 3) Cod. 1. Ἰούδα, ex errore Librarii, vt videtur.

γοις τὰ ἔργα, καὶ κατὰ ταύτας τὸν οἰκεῖον ῥυθμίζουσι βίον. ιθ΄. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Τοῦτο ἔοικε τοῖς ἐν ἑτέρῳ εἰρημένοις ψαλμῷ· ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. καὶ γὰρ ἐνταῦθα ὁ προφητικὸς ἡμᾶς διδάσκει λόγος, ὡς ἐν οὐρανῷ μὲν ἔχει τὸν θρόνον τῶν ὅλων ὁ Κύριος, ἐφορᾷ δὲ καὶ πρυτανεύει 1) τῇ κτίσει, ἅτε δὴ πάντων ὢν δημιουργὸς, καὶ βασιλεὺς, καὶ δεσπότης. κ΄. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εἰκότως τὰς ἀοράτους δυνάμεις εἰς κοινωνίαν τῆς ὑμνῳδίας ἐκάλεσεν. οὐκ ἀπόχρη γὰρ ἡ ἀνθρωπεία φύσις ἀξίως 2) ὑμνεῖν σε τὸν εὐεργέτην· αἱ δὲ ἀσώματοι καὶ αἱ ἅγιαι φύσεις, ἐλευθέραν ἔχουσαι παθημάτων ζωὴν, ἱκαναὶ πληροῦν τὰ θεῖα προστάγματα. κα΄. Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες 3) τὸ θέλημα αὐτοῦ. Πολλὰ καὶ διάφορα τῶν 4) οὐρανίων τὰ τάγματα· ἀρχαὶ γὰρ καὶ ἐξουσίαι, καὶ θρόνοι, καὶ κυριότητες, καὶ Σεραφὶμ, καὶ Χερουβὶμ, καὶ ἕτερα ἡμῖν ὀνόματα ἄγνωστα, ἥ φησιν ὁ θεῖος ἀπόστολος· ἀλλὰ πάντα διὰ τῶν δύο τούτων ὀνομάτων ὁ προφητικὸς συμπεριέλαβε 5) λόγος· ἀγγέλους μὲν γὰρ ἐκάλεσεν, ὡς τοῖς θείοις ὑπουργοῦντας προστάγμασι, καὶ τοὺς θείους λόγους διαπορθμεύοντας. δυνάμεις δὲ, ὡς ἱκανὰς τὸ κελευόμενον πράττειν, καὶ τὸ δυνατὸν ἐν τῇ φύσει παρὰ τοῦ πεποιηκότος λαβόντας. κβ΄. Εὐλογεῖτε τὸν Κύ-

verbis addunt, et secundum ea suam dirigunt vitam. 19 *Dominus in cælo parauit sedem suam, et regnum ipsius omnibus dominatur.* Hoc simile est iis quæ in alio psalmo dicta sunt, a) Qui in excelsis habitat, et humilia respicit. Etenim hoc in loco sermo propheticus nos docet, vniuersorum Dominum in cælo quidem habere solium, vniuersi autem mundi machinam inspicere et moderari, quippe qui omnium opifex est, et rex, et dominus. 20. *Benedicite Domino omnes angeli eius, potentes virtute, facientes verbum illius, ad audiendam vocem sermonum eius.* Merito cælestes virtutes in communionem hymnorum accersiuit. Non enim potest humana natura digne te beneficii auctorem laudibus prosequi: incorporeæ vero et sanctæ naturæ, quæ liberam ab affectionibus habent vitam, idoneæ sunt ad diuina mandata perficienda. 21. *Benedicite Domino omnes virtutes eius, ministri eius, qui facitis voluntatem eius.* Multi et varii sunt cælestium ordines. Principatus enim, et Potestates, et Throni, et Dominationes, et Seraphim, et Cherubim, et alia nomina * nobis ignota, vt ait diuinus apostolus: b) sed omnia duobus his nominibus propheta comprehendit. *Angelos* enim vocauit, tanquam diuinis mandatis operam nauantes, diuinaque verba transmittentes: *Virtutes* vero, tanquam sufficientes ad imperata peragenda, et agendi vim a conditore per ipsam naturam acceperunt. 22. *Benedicite Do-*

1) Cod. 1. τὴν κτίσιν. 2) ὑμνεῖν σε. Cod. 1. ὑμνῆσαι. 3) Cod. vat. habet τὰ θελήματα. 4) Cod. 1. ἐπουρανίων. 5) λόγος. Cod. 1. χορὸς, adscripta tamen lectione altera.

a) Ps. 32, 13. b) Col. 1, 16.

mino omnia opera eius, in omni loco dominationis eius. Neque hoc Iudæis congruit. Illi enim cum ab his, qui eos in ſeruitutem abduxerant, aliquod Sionis canticum canere iuſſi eſſent, dixerunt legi parentes, *a)* Quomodo cantabimus canticum Domini in terra peregrina? Nobis vero diuinus apoſtolus præcipit, *b)* in omni loco orantes attollere manus ſanctas. Hoc etiam Dominus Chriſtus Samaritanæ dicit, *c)* Vere vere dico tibi, fore vt veniat hora, et nunc eſt, quando neque in monte hoc, neque in Hieroſolymis adorabunt patrem. Spiritus enim eſt Deus, et eos qui adorant eum, in ſpiritu et veritate oportet adorare. *Benedic anima mea Domino.* Finis accommodatus eſt exordio. Cum enim in communionem diuinæ ſymphoniæ ſpirituales ſubſtantias acciuiſſet, docet et nos pro viribus conditorem honorare, hymnumque gratiarum actionis facultati noſtræ parem offerre.

ριον· πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς 1) δεσποτείας αὐτοῦ. Οὐδὲ τοῦτο τοῖς Ἰουδαίοις ἁρμόττει· ἐκεῖνοι γὰρ ὑπὸ τῶν ἀνδραποδισάντων ᾆσαι προσταχθέντες ἐκ τῶν ᾠδῶν Σιὼν, ἔφασαν ἔννομα δρῶντες, πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; ἡμῖν δὲ ὁ θεῖος ἀπόστολος παρεγγυᾷ, ἐν παντὶ τόπῳ προσευχομένους αἴρειν 2) ὁσίας χεῖρας· τοῦτο καὶ ὁ Δεσπότης Χριστὸς πρὸς τὴν Σαμαρεῖτιν ἔφη, ἀμὴν ἀμὴν λέγω σοὶ γύναι, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οὔτε ἐν τῷ τόπῳ τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ πατρί· πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Σύμφωνον τῷ προοιμίῳ τὸ τέλος. καλέσας γὰρ εἰς κοινωνίαν τῆς ὑμνῳδίας τὰς νοητὰς οὐσίας, διδάσκει καὶ ἡμᾶς, ὡς δυνατὸν γεραίρειν τὸν ποιητὴν, καὶ ἰσόμετρον τῇ δυνάμει προσφέρειν τὸν χαριστήριον ὕμνον.

INTERPR. PS. CIII.

1. *Pſalmus Dauidi.* Spiritus ſancti gratia non modo moralem et dogmaticam doctrinam hominibus affert, verum etiam quomodo Creatorem laudare conueniat, accurate docet. Propterea hunc conſcripſit pſalmum, beato Dauide miniſtro vſa, vt diſcamus omnes, quibus laudibus beneficii auctorem remunerari oporteat. Communia igitur beneficia hoc loco perſequitur, oſtenditque vniuerſorum ſimul opificem, et moderatorem Deum eſſe. *Benedic*

ΕΡΜΗΝ. ΤΟΥ ργ΄. ΨΑΛΜΟΥ.

α΄. 3) Ψαλμὸς τῷ Δαβίδ. Ἡ τοῦ παναγίου πνεύματος χάρις οὐ μόνον ἠθικὴν καὶ δογματικὴν διδασκαλίαν τοῖς ἀνθρώποις προσφέρει, ἀλλὰ καὶ ὅπως ὑμνεῖν προσήκει τὸν ποιητὴν ἀκριβῶς ἐκπαιδεύει. διάτοι τοῦτο τόνδε συγγέγραφε τὸν ψαλμὸν, τῷ μακαρίῳ Δαβὶδ ὑπουργῷ χρησαμένη· ὡς ἂν μάθοιμεν ἅπαντες, τίσιν ὕμνοις χρὴ τὸν εὐεργέτην ἀμείβεσθαι. τὰς μέντοι κοινὰς εὐεργεσίας ἐνταῦθα διέξεισι, καὶ δείκνυσι ποιητὴν ἁπάντων ὁμοῦ, καὶ πρύτανιν τὸν τῶν ὅλων Θεόν. Εὐλόγει ἡ ψυχή

1) δεσπ. Cod. vatic. habet δυναστείας. 2) Cod. 1. ὁσίους, quæ eſt rec. lectio l. c. 3) Ψαλμὸς τῷ Δαβίδ. Cod. 1. Ἀλληλούϊα.

a) Pſ. 136, 4. *b)* 1 Tim. 2, 8. *c)* Ioh. 4, 21. 23. 24.

ἡ ψυχή μου τὸν Κύριον. Ἕκαστον εὐσεβείας τρόφιμον ὑμνεῖν διδάσκει τὸν εὐεργέτην Θεόν. Κύριε ὁ Θεός μου, 1) ὡς ἐμεγαλύνθης σφόδρα. ἐπιτάσεως καὶ ἐνταῦθα τὸ ὡς· τὸ δὲ 2) ἐμεγαλύνθης, οὐκ 3) αὐξήσεως δηλωτικὸν, ἀλλὰ τοῦ ἀμετρήτου μεγέθους σημαντικόν. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε, 4) καὶ ὁ Θεός μου 5) μέγας εἶ σφόδρα. οὐ γὰρ μικρὸς ὢν ἐμεγαλύνθη, ἀλλὰ φύσει μέγας ὢν τοῦτο τοῖς 6) εὐσεβέσιν ἐδείχθη· οὐχ ἅπαν τὸ μέγεθος, ἀλλ᾽ ὅσον ἡ φύσις τῶν ἀνθρώπων ἐχώρει. Ἐξομολόγησιν καὶ 7) μεγαλοπρέπειαν ἐνεδύσω. ὁ Σύμμαχος οὕτως, ὕμνον καὶ εὐδοξίαν ἠμφιάσω. οὐκ ἔτι γάρ σε ἀγνοοῦσιν οἱ τῶν σῶν 8) ἀπολαύοντες ἀγαθῶν, οὐδὲ τοῖς εἰδώλοις τὸ σὸν σέβας προσφέρουσιν. ἀλλά σε ὑμνοῦσι, καί σοι τὸ τῆς δοξολογίας 9) ἐκτίνουσι χρέος.

β'. Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Σύνῳδα 10) τούτοις καὶ ὁ ἀπόστολος ἔφη· ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. τοσοῦτον γάρ ἐστιν ἐκεῖνο τὸ φῶς, ὡς μηδένα πελάζειν τολμᾶν. ἀποστρέφει γὰρ τὰς ὄψεις ἡ τῆς αἴγλης ὑπερβολή. εἰ γὰρ ὁ αἰσθητὸς τοῦτο ποιεῖν ἥλιος ἀναγκάζει τοὺς ἀπλήστως καθορᾶν πειρωμένους, τίς ἱκανὸς τοῦ ἀπροσίτου φωτὸς ἐν περινοίᾳ γενέσθαι; ἔστι μὲν οὖν καὶ αὐτὸς φῶς ἀληθινόν· ἀναβάλλεται δὲ 11) καὶ φῶς ὡς ἱμάτιον, καὶ φῶς οἰκεῖ ἀπρόσιτον, καὶ νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ. καὶ οὐκ ἐναντία ταῦτα ἀλλήλοις, τὸ γὰρ ἀπρόσιτον φῶς τοῖς

anima mea Domino. Vnumquemque pietatis alumnum Deum beneficii auctorem laudibus prosequi docet. *Domine Deus mi, quam magnificatus es valde.* Exaggerationem * hoc etiam loco, *Quam* significat. Illud vero, *Magnificatus es*, non incrementum designat, sed immensam magnitudinem indicat. Sic enim et Symmachus interpretatus est, Deus mi magnus es valde. Non enim cum esset paruus, magnus factus est, sed cum natura magnus esset, hoc piis hominibus demonstratum est: non tota magnitudo, sed quantam humana natura comprehendere potest. *Confessionem et decorem induisti.* Symmachus sic, Laudem et gloriam induisti. Non enim amplius, qui tuis perfruuntur bonis, te ignorant, neque tuum honorem simulacris deferunt, sed te laudant, et tibi gloriæ debitum pendunt.

2. *Amictus lumine sicut vestimento.* Consona his apostolus quoque dicit, *a*) Qui solus habet immortalitatem, lucem inhabitans inaccessibilem. Tanta enim est illa lux, vt nemo appropinquare audeat: redundantia enim luminis visum auertit. Si enim sol quem sentimus hoc facere cogit eos, qui auidius intueri conantur, quis potest inaccessam lucem contemplari? Est igitur et ipse lux vera, et amicitur lumine sicut vestimento, et lucem inaccessibilem inhabitat, et nubes et caligo in circuitu eius, et posuit tenebras latibulum suum: et hæc minime contra se inuicem pugnant, quoniam inaccessa lux iis qui nequa-

1) ὡς. Abest a Cod. 1. et a Textu τῶν ό. 2) Cod. 1. ἐμεγαλύνθη. 3) αὐξήσεως. Cod. 1. ἀξιώσεως. 4) καί. Cod. 1. Κύριε. 5) μέγας εἶ. Cod. 1. ἐμεγαλύνθης. 6) Cod. 1. εὐσεβοῦσιν. 7) μεγαλ. Ita habet Codex *alex.* In Cod. *vat.* leg. εὐπρέπειαν. 8) Cod. 1. ἀπολαύσαντες. 9) ἐκτίνουσι. Cod. 1. ἀπονέμουσι. 10) Cod. 1. τούτῳ. 11) καί. Abest a Cod. 1.

a) 1 Tim. 6, 16.

nequaquam ipsam cernere possunt, idem est quod caligo et tenebræ. Nam neque ea quæ in illo, neque ea quæ in his sunt, conspici possunt. Et hoc igitur et illud declarat diuinam naturam minime conspici posse. *Extendens cælum sicut pellem.* Per hæc operis facilitatem docuit. Sicut enim homini pellem extendere facile est, et tabernaculum efficere: sic Deus rerum omnium conditor ingentes cælorum orbes extendit verbo solo vsus. 3. *Tegens aquis cœnacula sua.* Hoc etiam beatus Moses docuit. Ait enim Deum dixisse, a) Fiat firmamentum in medio aquarum, et distinctionem faciat inter aquas, quæ sunt super firmamentum, et inter aquas, quæ sunt sub firmamento. *Ponens nubem adscensum suum, ambulans super pennis ventorum.* Per hæc prouidentiam quocunque penetrantem declarauit. Præsidet enim, inquit, et ventis et nubibus, et ipse eas moderatur, et gubernat, * et vtilitatem, quæ hinc producitur, opportune largitur. Porro simul docet diuinam naturam vbique adesse, et ad omnia peruolare. Quoniam enim ventorum natura rerum omnium sensibilium est velocissima, (puncto enim temporis ab occasu ad ortum percurrit, et ab ortu ad occasum,) non inueniens in sensibilibus aliam celeritatis exactiorem similitudinem, dicit Deum super pennis ventorum vehi, per hæc vbique ipsum adesse declarans. Inuenimus autem filiis Israel in nube vniuersorum Deum apparuisse, et in tabernaculo per nubem se conspiciendum præbuisse. b)

ὁρᾷν μὴ δυναμένοις τῷ γνόφῳ καὶ τῷ σκότει ταυτόν ἐστιν. οὔτε γὰρ τὰ ἐν τούτῳ, οὔτε τὰ ἐν ἐκείνῳ δυνατὸν κατιδεῖν. καὶ τοῦτο μέντοι κἀκεῖνο τῆς θείας φύσεως δηλοῖ τὸ ἀόρατον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν. Τὴν τῆς δημιουργίας εὐκολίαν διὰ τούτων ἐδίδαξεν· ὡς γὰρ ἀνθρώπῳ ῥᾴδιον δέῤῥιν ἐκτεῖναι καὶ ποιῆσαι σκηνὴν, οὕτως ὁ τῶν ὅλων Θεὸς τὰ μεγάλα τῶν οὐρανῶν διεπέτασε κύτη, λόγῳ μόνῳ χρησάμενος. γ'. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Τοῦτο καὶ ὁ μακάριος ἐδίδαξε Μωσῆς· ἔφη γὰρ τὸν Θεὸν εἰρηκέναι, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔσται διαχωρίζον ἀναμέσον 1) ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ στερεώματος. Ὁ τιθεὶς νέφη 2) τὴν ἐπίβασιν αὐτοῦ· ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Διὰ τούτων τὴν πανταχοῦ διήκουσαν ἐδήλωσε πρόνοιαν· ἐφέστηκε γάρ φησι καὶ ἀνέμοις καὶ νέφεσιν· καὶ αὐτὸς ἰθύνει ταῦτα, καὶ κυβερνᾷ· καὶ τὴν ἐντεῦθεν φυομένην εἰς καιρὸν δίδωσι χρείαν· διδάσκει δὲ κατὰ ταυτὸν, ὡς ἡ θεία φύσις πανταχοῦ πάρεστι, καὶ τοῖς πᾶσιν 3) ἐφίπταται. ἐπειδὴ γὰρ τῶν αἰσθητῶν ἁπάντων ὀξυτάτη τῶν ἀνέμων ἡ φύσις· ἐν ἀκαρεῖ γὰρ ἀπὸ τῶν ἑσπερίων ἐπὶ τὴν ἕω διατρέχει, καὶ ἀπὸ τῆς ἕω πρὸς τὴν ἑσπέραν· οὐχ εὑρὼν ἑτέραν ἀκριβεστέραν ἐν τοῖς αἰσθητοῖς ὀξύτητος εἰκόνα, ἐπὶ πτερύγων ἀνέμων ἔφη τὸν Θεὸν ἐποχεῖσθαι, πανταχοῦ αὐτὸν παρεῖναι διὰ τούτων παραδηλῶν· εὑρίσκομεν δὲ καὶ τοῖς υἱοῖς Ἰσραὴλ ἐν νεφέλῃ τὸν τῶν ὅλων ἐπιφανέντα Θεόν· καὶ ἐν τῇ σκηνῇ διὰ νεφέλης τὴν οἰκείαν ποιησάμενον ἐπιφάνειαν· καὶ

1) ὕδατος. Cod. 1. add. καὶ ὕδατος. 2) τὴν ἐπίβ. αὐτοῦ. *Hebr.* currum suum. 3) Cod. 1. ἐφίσταται.

a) Gen. 1, 7. b) Exod. 40, 34. et Num. 9, 15. 16.

καὶ μέντοι τοῦ Σολομῶντος τὸν οἶκον ἐγκαινίζοντος, νεφέλη τὸν οἶκον ἐκάλυψε· καὶ ὁ Δεσπότης Χριστὸς ἐν τῷ ὄρει τοῖς τρισὶν ἀποστόλοις φωτεινὴν περὶ αὐτὸν νεφέλην ὑπέδειξε· καὶ ἀναλαμβανόμενον νεφέλη φωτεινὴ ὑπέλαβεν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. δ΄. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. Ἔδειξεν οὐ τῶν ὁρατῶν αὐτὸν μόνον, ἀλλὰ καὶ τῶν ἀοράτων δημιουργόν· τοὺς δὲ αὐτοὺς καὶ πνεύματα, καὶ πῦρ προσηγόρευσε, τὸ δυνατὸν καὶ τὸ ταχὺ δι᾽ ἑκατέρων διδάσκων. ὀξεῖα μὲν γὰρ τοῦ πνεύματος ἡ φύσις, ἰσχυρὰ δὲ τοῦ πυρὸς ἡ ἐνέργεια· ἀγγέλοις δὲ χρώμενος ὑπουργοῖς ὁ τῶν ὅλων Θεὸς, καὶ εὐεργετεῖ τοὺς ἀξίους, καὶ κολάζει τοὺς ἐναντίους· διὰ τοῦτο καὶ πυρὸς ἐμνημόνευσε, τὴν κολαστικὴν σημαίνων ἐνέργειαν. ε΄. Ὁ θεμελιῶν τὴν γῆν 1) ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς. Ὁ δὲ Ἀκύλας, καὶ ὁ Σύμμαχος, ἐπὶ τῆς ἕδρας αὐτῆς. Οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Αὐτὴν γὰρ ἐφ᾽ ἑαυτὴν ἑδράσας, δέδωκεν αὐτῇ τὸ ἀκίνητον, καὶ τοῦτον διαμενεῖ τὸν τρόπον, ἐφ᾽ ὅσον ἂν αὐτὸς ἐθελήσει. οὕτω καὶ ἀλλαχοῦ φησὶ, κρεμνῶν γῆν ἐπ᾽ οὐδενός. ϛ΄. 2) Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ. Τὸ αὐτοῦ ἀντὶ 3) τοῦ αὐτῆς τέθεικεν· οὕτω γὰρ καὶ ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν· ἄβυσσον ὡσεὶ ἔνδυμα περιέβαλες αὐτήν· ἄβυσσον δὲ καλεῖ τὴν ὑγρὰν οὐσίαν ἡ θεία γραφή· οὕτω καὶ ἐν ἀρχῇ τῆς κτίσεως ὁ μακάριος ἔφη Μωσῆς· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου. ἐπειδὴ τοίνυν πανταχόθεν ὑ-

Quin et cum Salomon domum dedicaret, nubes domum operuit, a) et Dominus Christus in monte tribus apostolis splendidam circa se nubem ostendit, b) et cum assumeretur, c) nubes lucida suscepit eum ab oculis eorum. 4. *Faciens angelos suos spiritus, et ministros suos ignem urentem.* Ostendit ipsum opificem esse non modo visibilium rerum, sed etiam inuisibilium. Eosdem autem et spiritus et ignem appellauit, potentiam et velocitatem per vtrumque docens. Velox enim est spiritus natura, potens vero vis ignis. Angelorum autem ministerio vniuersorum Deus dignos homines beneficiis afficit, et indignos plectit. Idcirco et ignis meminit, puniendi vim declarans. 5. *Fundans terram super stabilitatem suam.* Aquila vero et Symmachus, super sedem eius. *Non inclinabitur in saeculum saeculi.* Nam cum ipsam super se ipsam fabricasset, immobilitatem dedit ei, et hoc modo permanebit, quamdiu ipse voluerit. Sic et alibi ait, d) Qui appendit terram super nihilum. 6. *Abyssus sicut vestimentum est amictus eius.* Αὐτοῦ pro αὐτῆς posuit. Sic enim Aquila et Theodotio interpretati sunt, Abysso sicut indumento induisti ipsam. Humidam autem naturam *abyssum* sacrae literae nuncupant. Sic etiam in principio creationis beatus dixit Moses, e) Terra autem erat inuisibilis, et incondita, et tenebrae erant super faciem abyssi. Quoniam igitur terra aquis

1) ἐπὶ — αὐτῆς. *Hebr.* super bases suas. *Symm.* ἐπὶ ἕδρας αὐτῆς. 2) Ἄβυσσος — αὐτοῦ. *Hebr.* Abysso tanquam veste operuisti eam. *Aqu.* et *Theodot.* ἄβυσσον ὡς ἔνδυμα περιέβαλες αὐτήν. 3) τοῦ αὐτῆς. Cod. 1. ἑαυτῆς.

a) 2 Par. 5, 13. 14. b) Matth. 17, 5. c) Act. 1, 9. d) Hiob 26, 7. e) Gen. 1, 2.

aquis vndique cingitur, et magna quidem maria, quæ nauigari non possunt, terræ sunt limites ac fines, et alia * plurima, quæ transmitti possunt, mediam ipsam secant; iure ait abyssum sicut vestimentum terræ incumbere. *Super montes stabunt aquæ.* 7. *Ab increpatione tua fugient, a voce tonitru tui formidabunt.* 8. *Adscendunt montes, et descendunt campi, in locum quem fundasti eis.* Per omnia docet Dei prouidentiam rebus omnibus creatis præsidentem. Nam propterea mare fluctibus imitans montium vertices, continentem non inundat: sed quemadmodum nos tonitru perhorrescimus, sic illud positum terminum timet. Illud *Super montes stabunt aquæ*, idem est ac tanquam montes steterunt: illud etiam, *Adscendunt montes*, idem ac tanquam montes. 9. *Terminum posuisti, quem non transgredientur, neque conuertentur operire terram.* Mare quidem arenam reueretur, et vsque ad illam furens, velut fræno, diuino termino coërcitum, reflectitur iterum, et retrorsum cedit. 10. *Emittens fontes in conuallibus, inter medium montium pertransibunt aquæ.* Deinde horum vtilitatem demonstrat. 11. *Potabunt omnes bestiæ agri, exspectabunt onagri in siti sua.* 12. *Super ea volucres cæli habitabunt, de medio petrarum dabunt voces.* Et hoc maximum est argumentum diuinæ prouidentiæ, non modo hominum indi-

δασιν ἡ γῆ περιέχεται, καὶ τὰ μεγάλα μὲν καὶ ἄπλωτα πελάγη ταύτης ἐστὶ 1) τέρμα, μέσην δὲ αὐτὴν διατέμνει ἕτερα 2) ἄττα πλείονα· εἰκότως ἔφη τὴν ἄβυσσον καθάπερ ἱμάτιον ἐπικεῖσθαι τῇ γῇ. Ἐπὶ τῶν ὀρέων 3) στήσονται ὕδατα. ζ΄. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται· ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. η΄. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία, εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτοῖς. Διὰ πάντων διδάσκει τοῦ Θεοῦ τὴν προμήθειαν ἐφεστῶσαν τῇ κτίσει· τούτου χάριν γὰρ τὰς τῶν ὀρῶν κορυφὰς ἡ θάλαττα μιμουμένη τοῖς κύμασιν, οὐκ ἐπικλύζει τὴν ἤπειρον· ἀλλὰ καθάπερ ἡμεῖς τὴν βροντὴν καταπλήχαμεν, οὕτως ἐκείνη τὸν κείμενον δέδιεν ὅρον· τὸ δὲ ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα, ἀντὶ τοῦ, ὡς ὄρος ἔστηκε· τὸ δὲ ἀναβαίνουσιν ὄρη, ἀντὶ τοῦ, ὡς ὄρη. θ΄. Ὅριον ἔθου, ὃ οὐ 4) παρελεύσεται· οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Αἰσχύνεται 5) μὲν τὴν ψάμμον ἡ θάλασσα, καὶ μέχρις ἐκείνης λυττῶσα, καθάπερ χαλινῷ τῷ ὅρῳ τῷ θείῳ κωλυομένη, ἀναχαιτίζεται πάλιν, καὶ εἰς τοὐπίσω χωρεῖ. ι΄. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων 6) διελεύσονται 7) ὕδατα. Εἶτα τὴν τούτων ὑποδείκνυσι χρείαν. ια΄. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ· 8) προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. ιβ΄. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου 9) τῶν πετρῶν δώσουσι φωνήν. Καὶ τοῦτο τῆς θείας προνοίας τεκμήριον μέγιστον, τὸ μὴ μόνον τῶν ἀνθρώπων,

1) Cod. 1. τέρματα. 2) ἄττα πλείονα. Cod. 1. πλεόμενα. Eandem lectionem habuisse videtur *Carafa*. 3) Cod. 1. στήσεται. 4) Rec. lectio h. l. est παρελεύσονται. 5) μὲν. Abest a Cod. 1. 6) Cod. 1. διελεύσεται. 7) ὕδατα. Abest a Textu hebr. 8) προσδ. *Hebr.* frangent s. restinguent. 9) τῶν πετρῶν. Ita quoque Syrus vertit *inter montes.* Sed in Textu hebr. leg. מבין עפאים inter arborum frondes.

θρώπων, ἀλλὰ καὶ τῶν ἀλόγων 1) τὴν χρείαν πληροῦν. διὰ τοῦτο ὄρη τέμνων παρόδους τοῖς ὕδασιν ἐτεκτήνατο· ὥστε μὴ μόνον ἀνθρώπους ἔχειν ἀφθόνως τὰ νάματα τῶν πηγῶν· ἀλλὰ καὶ τῶν χερσαίων, καὶ τῶν ἀεροπόρων ζώων τὰ γένη. τὸ δὲ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν, ἀνακτήσεται ὄναγρος δίψαν 2) αὐτοῦ. ιγ'. Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Οὐ γὰρ μόνον κάτωθεν ἀναβλύζει, 3) καὶ παρασκευάζει τῶν ὑδάτων τὴν φύσιν· 4) ἀλλ' ἄνωθεν διὰ νεφῶν τὴν ἀρδείαν προσφέρει. εἶτα τὴν ἐντεῦθεν ὑποδείκνυσιν ὠφέλειαν. ιδ'. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι· καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς. Φύεται γὰρ ἡ πόα, καὶ διατρέφει τὰ κτήνη, τὰ εἰς χρείαν ἀνθρώπων γεγενημένα· τρέφονται δὲ καὶ οἱ καρποὶ διὰ τῶν ὑετῶν, καὶ ὥριμοι γίνονται, καὶ τοῖς ἀνθρώποις προσφέρονται· τοῦτο καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ· ἀνθρώπους καὶ κτήνη σώσεις Κύριε· ἀλλ' ὅμως διὰ τὴν τῶν ἀνθρώπων χρείαν καὶ τὰ κτήνη ταύτης ἀπολαύει τῆς προμηθείας. ιε'. Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Σαφέστερον δὲ ὁ Σύμμαχος εἴρηκεν· ἐκβλαστῶν χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων· εἰς τὸ ἐκφῦσαι τροφὴν ἀπὸ γῆς, καὶ οἶνον εὐφραίνειν καρδίαν ἀνθρώπου· στίλβειν πρόσωπον 5) ἐν ἐλαίῳ, καὶ ἄρτον καρδίαν ἀνθρώπου στηρίζειν. ἐπὶ τοῦτο γάρ φησιν ὁ τῶν ὅλων Θεὸς τῇ γῇ τοὺς ὑετοὺς διηνεκῶς χορηγεῖ, ὥστε

gentiam supplere, verum etiam brutorum. Propterea montes secans viam aquis fecit, vt non solum homines affatim fontium riuos haberent, sed etiam genera omnia terrestrium aëreorumque animantium. Illud autem, *Exspectabunt onagri in siti sua*, Symmachus sic vertit, Recreabit onager sitim suam. 13. *Rigans montes e cœnaculis suis, de fructu operum tuorum satiabitur terra.* Non modo inferne aquarum naturam præparat, et aquas scaturire facit, sed superne etiam per nubes irrigationem affert. Deinde vtilitatem, quæ hinc oritur, significat. 14. *Producens fœnum iumentis, et herbam seruituti hominum, v. educas panem de terra.* Oritur enim herba, et iumenta in * vsum hominum * nata nutrit: aluntur autem et fructus per imbres, et maturi fiunt, et hominibus proponuntur. Hoc et in alio ait psalmo, a) Homines et iumenta saluabis Domine. Veruntamen ob hominum vsum etiam iumenta perfruuntur hac prouidentia. 15. *Et vinum lætificat cor hominis, vt exhilaret faciem oleo: et panis cor hominis confirmat.* Symmachus clarius dixit, Producens fœnum iumentis, et herbam vsui hominum, vt educas cibum ex terra, et vinum lætificet cor hominis, illustret faciem oleo, et panis cor hominis confirmet. Ad hoc enim, inquit, Deus vniuersorum terræ pluuias continue suppeditat, vt omnis

1) τὴν χρείαν. In Cod. 1. ponitur post ἀνθρώπων. 2) αὐτοῦ. Cod. 1. ἑαυτοῦ. 3) καί. Abest a Cod. 1. 4) ἀλλ'. Cod. 1. ἀλλὰ καί. 5) ἐν. Abest a Cod. 1.

a) Ps. 35, 6.

omnis generis fructus producat, et pane quidem hominum naturam confirmet et alat, vino vero lætificet, iucundioremque efficiat vitam, oleo autem non solum intus nutriat corpora, verum etiam foris illustret. 16. *Saturabuntur ligna campi.* Hebræus, et ceteri interpretes, *Ligna Domini* posuerunt. Cum igitur fructuosas arbores exposuisset, satis apposite etiam sterilium mentionem fecit, vtpote quod ipsæ quoque præbeant hominibus necessarium vsum. Idcirco et Domini ipsas appellauit: quippe quæ ipsæ sua sponte oriantur, et non manu elaboratæ, sed diuino verbo sint productæ. Propterea infert: *Et cedri Libani, quas plantasti.* Non enim nemorum cultores aliqui has plantarunt, sed diuinum verbum montium culmina his abunde conuestiuit. Et Libani quidem velut celeberrimi mentionem faciens, et cedrorum quæ in ipso sunt, alios etiam montes et arbores per hæc indicauit. 17. *Ibi passeres nidificabunt: herodii domus dux est eorum.* Aquila vero sic, Ibi aues nidificabunt, herodii domus abietes sunt. Symmachus vero, vbi passeres nidificabunt, miluo abies habitatio. Nam arbores eædem alium hominibus vsum præbent, et alium auibus: hominibus quidem ad domorum structuram sunt aptæ, auium autem domos ipsæ recipiunt. 18. *Montes excelsi ceruis, petra refugium*

τοὺς παντοδαποὺς βλαστῆσαι καρποὺς, καὶ ἄρτῳ μὲν 1) στηρίξαι καὶ διαθρέψαι τῶν ἀνθρώπων τὴν φύσιν· οἴνῳ δὲ εὐφρᾶναι καὶ θυμηρεστέραν ἐργάσασθαι τὴν ζωήν· ἐλαίῳ δὲ οὐ μόνον ἔνδοθεν διαθρέψαι, ἀλλὰ καὶ ἔξωθεν λαμπρῦναι τὰ σώματα. ιϛ΄. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου. Ὁ δὲ Ἑβραῖος, καὶ 2) οἱ λοιποὶ, τοῦ Κυρίου τεθείκασι. διεξελθὼν τὰ κάρπιμα, ἀναγκαίως μνημονεύει καὶ τῶν ἀκάρπων, ὡς ἀναγκαίαν τοῖς ἀνθρώποις καὶ αὐτῶν παρεχόντων χρείαν· διὰ τοῦτο καὶ Κυρίου αὐτὰ προσηγόρευσεν· ὡς αὐτοφυᾶ, καὶ οὐ χειρόκμητα, ἀλλὰ τῷ θείῳ λόγῳ βλαστήσαντα. διὸ καὶ ἐπήγαγεν· Αἱ κέδροι τοῦ λιβάνου, ἃς 3) ἐφύτευσας. Οὔτε γὰρ ἀλσοκόμοι τινὲς τούτων γεγένηντο φυτουργοί. ἀλλ᾽ ὁ θεῖος λόγος ἀμφιλαφεῖς τὰς τῶν ὀρῶν κορυφὰς εἰργάσατο. τοῦ μέντοι λιβάνου ὡς ἐπισήμου μνημονεύσας, καὶ τῶν ἐν αὐτῷ κέδρων, καὶ τἄλλα ὄρη καὶ δένδρα διὰ τούτων 4) ἐδήλωσεν. ιζ΄. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι· 5) τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὁ δὲ Ἀκύλας οὕτως· ἐκεῖ ὄρνεα νοσσεύσουσιν· 6) ἐρωδιῷ ἐλάται οἶκος αὐτῷ· 7) ὁ δὲ Σύμμαχος, 8) ὅπου στρουθία ἐννοσσεύσει, τῷ 9) ἴκτινι βόρατον οἴκησις. τὰ γὰρ αὐτὰ δένδρα ἄλλην μὲν ἀνθρώποις χρείαν, ἄλλην δὲ τοῖς ὀρνέοις παρέχει· ἀνθρώποις μὲν γὰρ εἰς κατασκευὴν οἰκιῶν ἐπιτήδεια· τῶν δὲ ὀρνέων αὐτὰ δέχεται τὰς οἰκήσεις. ιη΄. Ὄρη τὰ ὑψηλὰ 10) ταῖς ἐλάφοις· πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

1) Cod. I. στηρίσαι. 2) οἱ λοιποί. Sed MONTF. in Hexapl. ad h. l. Aquilæ et Theodotioni vindicat interpretationem τοῦ πεδίου Κυρίου. 3) ἐφύτ. *Hebr.* plantauit. 4) ἐδήλ. Cod. I. ἐμνημόνευσεν. 5) τοῦ — αὐτῶν. *Hebr.* ciconia, abietes domus eius. 6) Cod. I. ἐρωδιοῦ. MONTF. l. c. habet ἐρωδίῳ. 7) ὁ — οἴκησις. Del. in Cod. I. 8) ὅπου. MONTF. l. c. ἐκεῖ. 9) MONTF. l. c. ἰκτῖνι. 10) ταῖς ἐλάφοις. *Hebr.* ibicibus.

1) λαγωοῖς. Οὐ παρορᾷ σου, φησὶν, οὐδὲ τὰ 2) σμικρὰ τῶν ζώων ἡ πρόνοια, ἀλλὰ ταῖς μὲν ἐλάφοις ἔδωκας ἐνδιαίτημα τὰς τῶν ὀρῶν κορυφάς· τοῖς δὲ σμικροτέροις τῶν ζώων, τὰς τῶν πετρῶν καταδύσεις. ιθ΄. Ἐποίησε σελήνην εἰς καιρούς. Τὰ κατὰ γῆν ἅπαντα διεξελθὼν, καὶ τῶν ἀοράτων φύσεων τὴν δημιουργίαν δείξας, καὶ τῶν οὐρανῶν ὑποδείξας τὴν ποίησιν, καὶ τῶν φωστήρων ποιεῖται τὴν μνήμην, οἳ κατὰ τὴν τετάρτην ἡμέραν ἐγένετο. καὶ λέγει τὴν τῆς σελήνης δημιουργίαν διὰ τὴν τῶν καιρῶν γεγενῆσθαι διδασκαλίαν· αἱ γὰρ 3) αὐτῆς ἀλλοιώσεις μετρεῖσθαι τὸν χρόνον παρασκευάζουσι. τοῦ γὰρ μηνὸς τὸ μέτρον αὐτὴ ποιεῖ, ἐν τοσαύταις 4) ἡμέραις αὔξουσά τε καὶ φθίνουσα. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. οὐκ ἔμψυχος ὢν, οὐδὲ λόγῳ χρώμενος· ἀλλὰ κατὰ τὸν θεῖον ὅρον ὁδεύων, οὕτως ποιεῖ τὴν ἡμέραν φαινόμενος, καὶ τὴν νύκτα κρυπτόμενος· καὶ τὸν αὐτὸν δρόμον ἔχει ἀεὶ, καὶ τὰ μέτρα φυλάττει. κ΄. Ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ἀναγκαία καὶ ταύτης ἡ χρεία· τῇ μὲν τοῦ φωτὸς ὑποχωρήσει συνισταμένη· 5) ἀνάπαυσιν δὲ τοῖς ἀνθρώποις παρεχομένη. Ἐν αὐτῇ 6) διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. κα΄. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ 7) τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. Ἡ γὰρ νὺξ τοῖς μὲν ἀνθρώποις ἀνάπαυλαν πραγματεύεται, ἄδειαν δὲ τοῖς θηρίοις παρέχει, ὥστε 8) πεινώσας ἐμπλῆσαι γαστέρας· τὸ δὲ

leporibus. Tua prouidentia, inquit, ne perexigua quidem despicit animantia: sed ceruis quidem montium iuga hospitium * dedit, exiguis vero animalibus * saxorum cauernas. 19. *Fecit lunam pro temporibus.* Cum terrestria omnia persecutus esset, inuisibiliumque naturarum creationem, ac cælorum productionem demonstrasset, etiam luminarium mentionem facit, quæ quarto die facta fuere: et dicit lunæ creationem ob temporum doctrinam factam esse; quandoquidem eius mutationes hoc efficiunt, vt tempus sub mensuram cadat. Ipsa enim mensuram mensis efficit, cum tot diebus crescat, et decrescat. *Sol cognouit occasum suum.* Non quod animatus sit, neque quod ratione vtatur: sed, quod ex diuino præscripto iter faciens, sic apparens diem efficit, et noctem, delitescens, suumque cursum eundem semper tenet, et mensuras conseruat. 20. *Posuisti tenebras, et facta est nox.* Necessarius est etiam huius vsus: lucis enim recessu orta nox, requiem mortalibus præbet. *In ipsa pertransibunt omnes bestiæ siluæ.* 21. *Catuli leonum rugientes, vt rapiant, et quærant a Deo escam sibi.* Nox enim hominibus quietem procurat, securitatem vero feris largitur, vt esurientes ventres expleant. Illud vero,

vt

1) λαγωοῖς. Hanc Codicis *alex.* lectionem τοῖς ό. vindicat HIERON. in Epist. ad *Sun.* et *Fret.* In Cod. *vatic.* leg. χοιρογρυλλίοις. Textus hebr. habet לשפנים *cuniculis.* 2) σμικρά. Cod. 1. habet μικρὰ, et post pauca μικροτέροις. 3) Cod. 1. ταύτης. 4) ἡμέραις. Abest a Cod. 1. 5) Cod. 1. ἀνάπαυλαν. 6) διελ. Hebr. תרמש *proreptabit.* 7) Cod. 1. τῷ Θεῷ, quæ est lectio edit. *ald.* et *compl.* 8) πειν. Cod. 1. præm. τάς.

ut quaerant a Deo escam sibi, idem est quod, Etiam his diuina prouidentia necessaria praebet. Nam a Deo quidem postulare, est ratione vtentium, quaerere vero, etiam ratione carentium: veruntamen etiam his Deus necessarium nutrimentum donat. 22. *Ortus est sol, et congregati sunt, et in cubilibus suis collocabuntur.* 23. *Exibit homo ad opus suum, et ad operationem suam usque ad vesperam.* Oriente sole, haec quidem in sua lustra discedunt: homines vero a pridiano labore recreati, promte rursus in laboribus diem ducunt. 24. *Quam magnificata sunt opera tua Domine, omnia sapienter fecisti.* Singula quae dicta sunt perpendens propheta, et magnam Dei prouidentiam cogitans, in media narratione in laudes prorupit, dicens, omnia Dei opera admirabilia, et admiratione digna, atque sapientia referta esse. Nam noctem a nonnullis impiis calumniis exagitatam, admodum vtilem inuenit, * sterilesque arbores aliam vtilitatem afferentes, et genera ferarum in multis conducibilia hominibus. *Impleta est terra possessione tua.* Interpretes alii *creatione* posuerunt, quasi diceret, Omnis generis bonis ipsam impleuisti. A terra porro ad propinquum mare transit, et ait: 25. *Hoc mare magnum et spatiosum, ibi reptilia, quorum non est numerus, animalia pusilla cum magnis.* Ceterum hoc quoque diuinae prouidentiae est argumentum, quod perexigua genera cum maximis versentur, et nequaquam omnino ab illis consumantur.

ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς, ἀντὶ τοῦ, καὶ τούτοις ἡ θεία πρόνοια παρέχει τὴν χρείαν· τὸ μὲν γὰρ παρὰ τοῦ Θεοῦ αἰτεῖν, λογικῶν· τὸ δὲ ζητεῖν, καὶ τῶν ἀλόγων. ἀλλ' ὅμως καὶ τούτοις ὁ Θεὸς τὴν ἀναγκαίαν παρέχει τροφήν. κβ'. Ἀνέτειλεν ὁ ἥλιος, καὶ 1) συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. κγ'. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ· καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ἡλίου δὲ ἀνίσχοντος, τὰ μὲν εἰς τὰς οἰκείας καταδύσεις χωρεῖ· οἱ δὲ ἄνθρωποι τὸν τῆς 2) προτεραίας ἀποθέμενοι πόνον, προθύμως πάλιν ἐν τοῖς ἔργοις διημερεύουσιν. κδ'. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Ἕκαστον τῶν εἰρημένων λογισάμενος ὁ προφήτης, καὶ τὴν πολλὴν τοῦ Θεοῦ κηδεμονίαν καταμαθὼν, ἐν μέσῳ τῆς διηγήσεως τὸν ὕμνον ἀνέπεμψε· θαυμαστὰ, καὶ λίαν ἀξιάγαστα, καὶ σοφίας μεστὰ φήσας εἶναι πάντα τοῦ Θεοῦ τὰ ποιήματα. εὗρε γὰρ καὶ τὴν ὑπό τινων δυσσεβῶν διαβαλλομένην νύκτα σφόδρα χρησιμωτάτην, καὶ τὰ ἄκαρπα ξύλα χρείαν ἑτέραν εἰσφέροντα· καὶ τῶν θηρίων τὰ γένη εἰς πολλὰ τοῖς ἀνθρώποις ἁρμόδια. Ἐπληρώθη ἡ γῆ τῆς κτήσεώς σου. Οἱ δὲ ἄλλοι ἑρμηνευταὶ κτίσεως τεθείκασιν· ἀντὶ τοῦ, παντοδαπῶν αὐτὴν ἐνέπλησας ἀγαθῶν· ἀπὸ μέντοι τῆς γῆς, 3) καὶ πρὸς τὴν γείτονα θάλασσαν μεταβαίνει· καὶ φησίν· κε'. Αὕτη ἡ θάλασσα, ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός· ζῶα μικρὰ μετὰ μεγάλων. Καὶ τοῦτο δὲ τῆς θείας κηδεμονίας τεκμήριον· τὸ τὰ σμικρὰ γένη τοῖς μεγάλοις ἐνδιαιτᾶσθαι, καὶ μὴ παντελῶς ὑπ' ἐκείνων καταναλίσκεσθαι.

κς'. Ἐκεῖ

1) Cod. vatic. συναχθήσονται. 2) Cod. 1. προτέρας. 3) καὶ πρός, Cod. 1. inl.

κϛ'. Ἐκεῖ πλοῖα 1) διαπορεύονται. Χρεία καὶ αὐτὴ τῶν ἀνθρώπων μεγίστη· διὰ ναυπηγικῆς γὰρ τέχνης, καὶ κυβερνητικῆς ἐπιστήμης, παρ' 2) ἀλλήλων κομιζόμεθα καὶ τὰ ἐνδέοντα καὶ τὸν παρ' ἡμῖν φυόμενον καρπὸν χορηγοῦμεν ἑτέροις, καὶ δεχόμεθα τὸν παρ' ἐκείνοις 3) γινόμενον. Δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. Διὰ τοῦ δράκοντος τὰ μεγάλα παρεδήλωσε κήτη, ἃ τοῖς μεγάλοις πελάγεσιν ἐμφιλοχωρεῖ. τὸ δὲ ἐμπαίζειν αὐτῷ, 4) ἀντὶ τοῦ, αὐτῇ τῇ θαλάσσῃ· ἀῤῥενικῶς γὰρ αὐτὴν ὁ Ἑβραῖος καὶ ὁ Σύρος καλεῖ· οὕτω φησὶν ἐστι μεγάλη, ὅτι καὶ τὰ μύρια τῶν ἰχθύων περίκειται γένη, καὶ τὰ μέγιστα κήτη ἀδεῶς ἐν αὐτῇ νήχεται· εἰ δέ τισι δοκεῖ καὶ ἀλληγορῆσαι τὸν δράκοντα, διὰ τὸ καὶ ἐν τῷ Ἡσαΐᾳ τὴν μάχαιραν τὴν μεγάλην, καὶ τὴν ἁγίαν, καὶ τὴν ἰσχυρὰν, ἐπὶ τὸν δράκοντα χωρεῖν· τὸν ὄφιν τὸν σκολιὸν, τὸν ἐν τῇ θαλάττῃ· οὐδὲ ἡμεῖς παραιτησόμεθα τὴν τοιαύτην διάνοιαν. ἐπειδὴ καὶ παρὰ τῷ Ἰὼβ εὑρίσκομεν τοῦτο τὸ ζῶον ὑπὸ τῶν θείων ἀγγέλων καταπαιζόμενον. καὶ ὁ Κύριος ἐξουσίαν ἔδωκε τοῖς ἑαυτοῦ μαθηταῖς, πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. κζ'. Πάντα πρός σε προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Παρὰ σοῦ φησὶν, εἰς καιρὸν ἅπαντα τὴν χρείαν κομίζεται. τὰ γὰρ ἄλογα ζητεῖ μὲν τὴν τροφήν· ἀγνοεῖ δὲ τὸν χορηγόν. δέχεται δὲ ὅμως ταύτην παρὰ τοῦ ποιητοῦ. κη'. Δόντος σοῦ αὐτοῖς συλλέξουσιν. Σοῦ παρέχοντος τὴν ἀφθονίαν, τούτων ἕκαστον καρποῦται τὰ πρόσφορα.

26. Ibi naues pertranseunt. Et hæc quoque maxima eſt hominum vtilitas. Per artem enim fabricandarum nauium, et per nauigandi ſcientiam, alii ab aliis ea quæ nobis opus ſunt percipimus, fructusque qui apud nos naſcuntur aliis ſuppeditamus, et ab illis, qui apud ipſos ſunt, recipimus. *Draco iſte, quem formaſti ad illudendum ei.* Per *Draconem* magnos cetos indicauit, qui in magnis pelagis morantur. Iſtud autem, *Ad illudendum ei*, pro αὐτῇ, τῇ θαλάσσῃ, maſculino genere dixit: quia Hebræus et Syrus mare maſculino genere vocant. Adeo, inquit, eſt magnum, vt infinita piſcium genera contineat, et maximi ceti tuto in ipſo natent. Si vero quibusdam placeat *Draconem* per allegoriam exponere, propterea quod dicit Eſaias, *a*) Gladium magnum, et ſanctum, et potentem in draconem irruere: ſerpentem tortuoſum, qui in mari habitat, nos huiusmodi ſententiam nequaquam repudiamus: cum et apud Iobum inueniamus hoc animal a diuinis Angelis ludibrio habitum: et Dominus poteſtatem dederit ſuis diſcipulis, *b*) vt incederent ſupra ſerpentes, et ſcorpios, et ſuper omnem potentiam inimici. 27. *Omnia a te exſpectant, vt des illis cibum in tempore.* A te, ait, opportune omnia quæ opus ſunt reportant. Animantia enim ratione carentia cibum quidem quærunt, largitorem vero ignorant: accipiunt tamen hunc a creatore. *28. Dante te illis, colligent.* * Te * præbente hanc affluentiam, horum vnumquodque perfruitur bonis ſibi accommodatis.

1) Cod. 1. διαπορεύονται. 2) Cod. 1. ἀλλήλους. 3) γιν. Cod. 1. φυόμενον, adſcripta tamen lectione altera. 4) ἀντὶ τοῦ. Abeſt a Cod. 1.

a) Eſ. 27, 1. *b*) Luc. 10, 19.

Aperiente te manum tuam, omnia implebuntur bonitate. Facilitatem suppeditationis bonorum per hæc declarauit. Sicut enim facile est digitos introrsum inflexos extendere: sic facile est Deo omnium bonorum copiam largiri. *29. Auertente autem te faciem, turbabuntur.* Quemadmodum autem omni lætitia eos imples, qui bonis perfruuntur, beneuole hæc largiens: eodem modo auertente te, perturbatione et timore omnia implentur. *Auferes spiritum eorum, et deficient, et in puluerem suum reuertentur.* Te enim volente, et animæ et corporis fit diuortium: post quod, corpus corrumpitur, et in pristinum puluerem dissoluitur. *Spiritum* scilicet hoc loco animam appellauit. *30. Emittes spiritum tuum, et creabuntur, et renouabis faciem terræ.* Hoc in loco manifeste resurrectionem nobis prædixit, et vitæ restitutionem, quæ sanctissimi Spiritus beneficio contingit. Sic autem et Elias ille magnus fecit, a) cum puerulo viduæ ter inspirasset, eumque per gratiam spiritus, quæ in ipso habitabat, in vitam reduxisset: sic etiam Elisæus filium Sumanitidis viuum effecit, b) cum spiritus insufflatione vsus esset, et vitam viuifico spiritu procurasset. In hunc modum diuinam potentiam, eiusque vim cum ostendisset, linguam ad celebrandas Dei laudes conuertit. *31. Sit gloria Domini in sæ-*

Ἀνοίξαντος δέ σου τὴν χεῖρα, 1) τὰ σύμπαντα 2) πλησθήσονται χρηστότητος. Τὴν εὐκολίαν τῆς τῶν ἀγαθῶν χορηγίας διὰ τούτων ἐδήλωσεν. ὥσπερ γὰρ εὐπετὲς εἴσω νενευκότας ἐκτεῖναι δακτύλους, οὕτω ῥάδιον τῷ Θεῷ τῶν ἀγαθῶν ἁπάντων δωρήσασθαι τὴν φοράν. κθ΄. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Καθάπερ δὲ πάσης ἐμφορεῖς θυμηδίας τοὺς τῶν ἀγαθῶν ἀπολαύοντας, ἐν εὐμενείᾳ ταῦτα δωρούμενος· οὕτως ἀποστρεφομένου σου, ταραχῆς ἅπαντα καὶ δέους ἐμπίπλαται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι. Σοῦ γὰρ βουλομένου, καὶ ὁ τῆς ψυχῆς καὶ ὁ τοῦ σώματος γίνεται χωρισμός· μεθ' 3) ὃν τὸ σῶμα φθορᾷ παραδίδοται, καὶ εἰς τὸν πρόγονον ἀναλύεται χοῦν. πνεῦμα δὲ ἐνταῦθα τὴν ψυχὴν προσηγόρευσεν. λ΄. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἐνταῦθα σαφῶς ἡμῖν τὴν ἀνάστασιν προεκήρυξε, καὶ τὴν διὰ τοῦ 4) παναγίου πνεύματος ἀναβίωσιν. οὕτω δὲ καὶ Ἠλίας ὁ πάνυ τῆς χήρας 5) τρὶς ἐμφυσήσας τῷ παιδαρίῳ, καὶ διὰ τῆς ἐνοικούσης πνευματικῆς χάριτος ἐπαναγαγὼν 6) ζωήν· οὕτω καὶ Ἐλισσαῖος τὸν τῆς Σουμανίτιδος 7) ἐζωοποίησε παῖδα, τὸ πνευματικῷ χρησάμενος ἐμφυσήματι, καὶ τῷ ζωοποιῷ πνεύματι πραγματευσάμενος τὴν ζωήν. οὕτω τῆς θείας δυνάμεως, καὶ τήνδε τὴν ἐνέργειαν δείξας, εἰς ὑμνῳδίαν μεταφέρει 8) τὴν γλῶτταν. λα΄. Ἤτω ἡ δόξα Κυρίου εἰς 9) τοὺς αἰῶνας.

1) *τὰ σύμπαντα.* Abest a Textu hebr. 2) *πλησθ.* *Hebr.* satiabuntur. 3) Cod. 1. ὃ: 4) Cod. 1. *ἁγίου.* 5) *τρίς.* Cod. 1. præm. *ἀνέστησε τὸν υἱόν.* 6) *ζωήν.* Cod. 1. præm. *εἰς.* 7) *ἐζωοπ.* Abest a Cod. 1. 8) *τὴν γλῶτταν.* Cod. 1. *τὸν λόγον.* 9) Cod. *vatic.* *τὸν αἰῶνα.*

a) 3 Reg. 17, 21. b) 4 Reg. 4, 34.

ῶν ας. Ἀεὶ, φησὶν, αὐτὸν παρὰ πάντων ὑμνεῖσθαι δίκαιον. Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Τὴν ἐσομένην τῶν ἀνθρώπων θεογνωσίαν διὰ τούτων ἐθέσπισε. τῆς γὰρ προτέρας ἀπάτης τῶν ἀνθρώπων ἀπαλλαγέντων, καὶ δεξαμένων τοῦ Θεοῦ τὴν ἐπίγνωσιν, 1) εὐφρανθήσεται Θεὸς, οὐ προσκυνούμενος, ἀλλὰ σωζομένους ὁρῶν. λβʹ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Εἰκότως ταῦτα προστέθεικε, τὸ ἀνενδεὲς διδάσκων τῆς θείας φύσεως· οὐ γὰρ ὡς δεόμενος τέρπεται προσκυνούμενος· ἀλλ᾽ ὡς σώζειν βουλόμενος, τὴν ἀλήθειαν δείκνυσι· καὶ κολάζειν δυνάμενος, οὐκ ἐπιφέρει τὴν κόλασιν. καίτοι μόνῃ τῇ ἐπιφανείᾳ σείων τὴν γῆν, καὶ πυρὸς καὶ καπνοῦ τὰ ὄρη πληρῶν. τοῦτο δὲ καὶ ἐν τῷ Σινᾶ ὄρει πεποίηκε· τὴν οἰκείαν γὰρ ποιησάμενος ἐπιφάνειαν, τὸ ὄρος ἅπαν ἔδειξε καπνιζόμενον. λγʹ. ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Καὶ ταῦτα εἰκότως προστέθεικεν· οὐ γάρ ἐστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων αὐτοῦ, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεται αὐτῷ; οὕτως ἀπεκλείσθη ταῖς μωραῖς παρθένοις τοῦ 2) νυμφῶνος ἡ θύρα, τὸν τῆς 3) λαμπαδοφορίας καιρὸν εἰς ἀγορασίαν ἐλαίου δαπανησάσαις. λδʹ. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου. Τὴν διαλογὴν διάλεξιν ὁ Σύμμαχος εἴρηκεν· ὁ δὲ Ἀκύλας ὁμιλίαν· εὔχομαι δέ φησι ταύτην μου τὴν ὑμνῳδίαν ἡδίστην καὶ τερπνοτάτην ὀφθῆναι. Ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Τούτου γάρ φησι γινομένου, ἐγὼ τὴν ἐντεῦθεν εὐθυμίαν καρπώσομαι. λεʹ. 4) Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς

cula. Semper, ait, ab omnibus eum laudibus affici iustum est. *Laetabitur Dominus de operibus suis.* Futuram Dei cognitionem in hominibus per haec vaticinatus est. Hominibus enim a pristino errore liberatis, Deique cognitionem adeptis, laetatur Deus, non quia colitur, sed quia videt homines salutem consecutos. 32. *Qui respicit terram, et facit eam tremere, qui tangit montes, et fumigant.* Iure haec apposuit, docens diuinam naturam nulla re indigere. Non enim vt indigens delectatur cum colitur: a) sed vt salutem praebere volens, veritatem ostendit, et cum plectere possit, non infligit poenam, et si sola * sua praesentia terram quatiat, et igne ac fumo montes impleat. Hoc sane et in monte Sinai fecit: cum enim apparuisset, totum montem fumantem reddidit. 33. *Cantabo Domino in vita mea, psallam Deo meo quam diu fuero.* Et haec merito addidit. Nam a) non est in morte, qui memor sit eius, in inferno autem quis confitebitur ipsi? Sic fatuis virginibus thalami ianua occlusa fuit, b) cum ferendarum lampadum tempus olei emtione contriuissent. 34. *Iucundum sit ei eloquium meum.* *Eloquium*, Symmachus *sermocinationem* dixit, Aquila vero, *colloquium.* Ceterum precor, ait, vt hae meae laudes dulcissimae et iucundissimae videantur. *Ego vero delectabor in Domino.* Nam hoc, ait, perfecto, hinc laetitiam percipiam. 35. *Deficiant peccatores a terra,*

1) Cod. 1. εὐφραίνεται. 2) Cod. 1. νυμφίου. 3) Cod. 1. λαμπαδηφορίας. 4) Rec. lectio h. l. est ἐκλείπουσαν.

a) Es. 19, 20. b) Ps. 6, 5. c) Matth. 25, 11. 12.

terra, et iniqui, ita vt non sint. Postquam diuinam pulchritudinem, inexplicabilesque diuitias, vt ab humana natura fieri potuit, enarrauit, omnes homines eiusdem cognitionis participes fieri cupit, vtque peccatorum conventicula penitus deficiant, supplicat: non vt ipsi intereant postulans, sed vt mutentur obsecrans, et vt eorum agmen desistat efflagitans, cum ad bonorum partes transierint, diuinasque res didicerint. Ceterum si quis hæc verba aliter intelligere voluerit, quasi propheta impios homines execrationibus subiiceret, etiam hoc pacto apostolicæ doctrinæ respondentem vaticinationem inueniet. Etenim beatus Paulus Corinthiis scribens, hunc posuit finem, *a*) Si quis non diligit Dominum Iesum, anathema sit: hoc enim proprium est eorum, qui ardenti animo amant. *Benedic anima mea Domino.* Qui igitur tot bonorum largitorem laudare noluerint, illa patiantur quæ dixi. Tu vero, o anima, tuum Saluatorem et opificem in cælum perpetuis laudibus effer.

γῆς· καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Τὸ θεῖον κάλλος, καὶ τὸν ἄῤῥητον πλοῦτον ὡς ἐνῆν ἀνθρωπείᾳ φύσει διεξελθὼν, πάντας ἀνθρώπους τῆς αὐτῆς μεταλαχεῖν ἱμείρεται γνώσεως, καὶ τὴν τῶν ἁμαρτωλῶν 1) πάμπαν ἐκλεῖψαι συμμορίαν ἱκετεύει· οὐκ αὐτοὺς ἀπολέσθαι παρακαλῶν· ἀλλὰ μεταβληθῆναι δεόμενος, καὶ παύσασθαι αὐτῶν τὸ σῖφος ἀντιβολῶν μεταταξαμένων καὶ μεταμαθόντων τὰ θεῖα. εἰ δέ τις ἑτέρως ταῦτα βούλεται νοεῖν τὰ ῥητὰ, ὡς τοῦ προφήτου τοὺς δυσσεβείᾳ συζῶντας ὑποβάλλοντος ἀραῖς, καὶ οὕτως εὑρήσει τῇ ἀποστολικῇ διδασκαλίᾳ τὴν προφητείαν συμβαίνουσαν· καὶ γὰρ ὁ μακάριος Παῦλος Κορινθίοις ἐπιστέλλων, τοιοῦτον ἀκροτελεύτιον τέθεικεν. εἴ τις οὐ φιλεῖ τὸν Κύριον 2) Ἰησοῦν, ἤτω ἀνάθεμα. ἴδιον γὰρ τῶν θερμῶς ἀγαπώντων. Εὐλόγει ἡ ψυχή μου τὸν 3) Κύριον. Οἱ μὲν οὖν ὑμνεῖν τὸν τοσούτων ἀγαθῶν χορηγὸν οὐ βουλόμενοι, ἐκεῖνα παχέτωσαν ἅπερ εἴρηκα· σὺ δὲ, ὦ ψυχὴ, ἐνδελεχῶς τὸν σὸν ὕμνει δημιουργὸν καὶ σωτῆρα.

INTERP. PSALMI CIV.

Alleluia. Et hic psalmus Deum vniuersorum laudibus celebrare iubet. Hoc * declarat etiam inscriptio. *Alleluia* enim, Laudate Dominum sonat, si interpreteris. Ceterum promissionum a Deo ad patriarchas factarum meminit, et bonorum quæ per illos posteris eorum tribuit. Sufficit enim horum et illorum recordatio, ad eos exacuendos et accendendos, qui talibus beneficiis affecti sunt, vt ad maiorum suorum virtutis æmulationem excitentur. Si-

ΕΡΜΗΝ. ΤΟΥ ρδ΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὑμνεῖν καὶ οὗτος ὁ ψαλμὸς παρακελεύεται τὸν τῶν ὅλων Θεόν· δηλοῖ δὲ καὶ ἡ ἐπιγραφή· τὸ γὰρ ἀλληλούϊα, αἰνεῖτε τὸν Κύριον ἑρμηνεύεται. ἀναμιμνήσκει δὲ τῶν πρὸς τοὺς πατριάρχας ὑπὸ τοῦ Θεοῦ γεγενημένων ὑποσχέσεων, καὶ τῶν δι' ἐκείνους ὑπ' αὐτοῦ παρασχεθέντων ἀγαθῶν τοῖς ἐκείνων 4) ἐκγόνοις. ἱκανὴ γὰρ καὶ τούτων κἀκείνων ἡ μνήμη, τοὺς τοσούτων εὐεργεσιῶν ἀπολαύσαντας εἰς ζῆλον τῆς τῶν προγόνων ἀρετῆς ἐρεθίσαι καὶ παραθῆξαι. διδάσκει

1) πάμπαν. Cod. 1. πάντων. 2) Ἰησοῦν. Cod. 1. add. Χριστόν. 3) Κύριον. In Textu hebr. sequitur הללויה. 4) Cod. 1. ἐγγόνοις.

a) 1 Cor. 16, 22.

οἰκεῖ δὲ καὶ κατὰ ταυτὸν, καὶ τὸν νέον λαὸν, ὡς οὐκ ἀδίκως τὸν ἀχάριστον ἐκεῖνον λαὸν τῆς οἰκείας κηδεμονίας ἐγύμνωσεν. ἐπειδὴ γὰρ Θεοῦ λαὸς ἐχρημάτιζον, καὶ προφανῶς τῆς θείας προμηθείας ἀπήλαυον, ἔρημοι δὲ ταύτης ὕστερον ἐγένοντο παντελῶς· διὰ τῶν προκειμένων ψαλμῶν διδάσκει πάντας ἀνθρώπους, ὅσα μὲν αὐτὸν εὐηργέτησε καὶ ἡλίκα, ὅπως δὲ ἀχάριστοι περὶ τὰς εὐεργεσίας ἐκεῖνοι γεγένηνται· ὡς ἂν ὁμοῦ καὶ τῆς κατ᾽ ἐκείνων ἐξενεχθείσης ψήφου τὸ δίκαιον καταμάθοιεν ἅπαντες, καὶ τῆς ἀχαριστίας ὁρῶντες τὰ ἐπίχειρα, μὴ τὴν αὐτὴν ἐκείνοις βαδίζοιεν, ἀλλὰ τὴν εὐθεῖαν 1) ὁδεύσοιεν. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ. Τὸ δὲ ἐπικαλεῖσθε κηρύσσετε ὁ Σύμμαχος 2) εἴρηκε. παρακελεύεται δὲ ὁ λόγος τὴν εὐχαριστήριον ὑμνῳδίαν προσφέρειν, καὶ διηγεῖσθαι τὰς θείας εὐεργεσίας. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ. Δῆλόν ἐστι καὶ σαφὲς, ὡς ὀνησιν οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ τοῖς ἔθνεσιν ἅπασιν πραγματεύεται. β΄. ᾌσατε αὐτῷ, καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ. Ὕμνοις αὐτὸν καὶ μελῳδίαις ἀμείβεσθε· καὶ τοὺς ἀγνοοῦντας 3) διδάξατε τὰ παρ᾽ αὐτοῦ γεγενημένα θαύματα. γ΄. Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ. Ὁ δὲ Ἀκύλας καυχᾶσθε ἀντὶ τοῦ ἐπαινεῖσθε τέθεικε. παρακελεύεται δὲ ὁ λόγος, μὴ ἐπὶ πλούτῳ, μὴ ἐπὶ ῥώμῃ, μὴ ἐπὶ δυναστείᾳ μέγα φρονεῖν, ἀλλ᾽ ἐν τῇ τοῦ Θεοῦ γνώσει καὶ προμηθείᾳ. τοῦτο παρηγγύησε καὶ ὁ θεῖος ἀπόστολος, ὁ καυχώμενος γάρ φησιν ἐν Κυρίῳ καυχάσθω. ταῦτα καὶ ἡ σοφωτάτη Ἄννα

mul etiam docet nouum populum, quod non iniuste ingratum illum populum sua cura priuauerit. Quoniam enim Dei populus appellabantur, et manifesto diuina ope fruebantur, hac vero postea omnino destituti fuerunt, per hos psalmos omnes homines docet, quot et quantis beneficiis ipsum affecerit, et quomodo beneficiorum immemores illi facti fuerint, vt pariter et latae in illos sententiae iustitiam omnes discant, et ingrati animi poenam videntes, in eadem via qua illi non incedant, sed rectum tramitem ingrediantur. 1. *Confitemini Domino, et inuocate nomen eius.* Praedicate Symmachus pro *inuocate* vertit. Iubet vero hic sermo gratiarum actionis hymnos offerre, diuinaque beneficia narrare. *Annunciate inter gentes opera eius.* Clarum et perspicuum est, hoc non Iudaeis solum, sed etiam gentibus omnibus vtilitatem procurare. 2. *Cantate ei, et psallite ei, narrate omnia mirabilia eius.* Hymnos dulcesque cantus ipsi rependite, atque miracula ab ipso edita nescios docete. 3. *Laudamini in nomine sancto eius.* Aquila gloriamini pro *laudamini*, posuit. Hortatur sane sermo iste, vt non ob diuitias, non ob robur, non ob potentiam exultemus, sed in Dei cognitione ac prouidentia. Hoc et diuinus apostolus monuit. a) Qui enim, inquit, gloriatur, in Domino glorietur. Haec etiam sapientissima illa Anna ex-

1) Cod. 1. ὁδεύσοιεν. 2) εἴρηκε. Cod. 1. ἡρμήνευσεν. 3) διδάξατε. In Cod. 1. ponitur post γεγενημένα.

a) 2 Cor. 10, 17.

explicat, a) Ne glorietur sapiens in sua sapientia, neque fortis in sua fortitudine. Et, ne glorietur diues in diuitiis suis: sed in hoc glorietur qui gloriatur, in intelligendo, et cognoscendo Dominum, et faciendo iudicium et iustitiam super terra. *Laetur cor quaerentium Dominum.* Nam fructus spei in Deo collocatae est laetitia. * *4. Quaerite Dominum, et confirmamini.* Et docens, quomodo hoc facere oporteat, infert: *Quaerite faciem eius semper.* Non enim semel, aut bis, sed per totam vitam supernum auxilium quaerere conuenit, vtilitatemque percipere. Inuicti enim et insuperabiles erunt qui quaerunt illud. Hoc etiam Dominus legem ferens pollicitus est, b) Petite, et dabitur vobis, quaerite et inuenietis, pulsate et aperietur vobis: omnis enim, qui petit, accipit: et qui quaerit, inuenit: et ei qui pulsat, aperietur. *5. Mementote mirabilium eius, quae fecit, prodigia eius, et iudicia oris eius.* Nolite ineffabilia miracula obliuioni tradere, quae iusta sententia disponens Dominus fecit. *Iudicia* enim hoc loco dixit miracula iuste a Deo edita. Quoniam enim de illis, quae in Aegypto facta fuere, verba facit, iustitiam poenae Aegyptiorum antea docet. *6. Semen Abrahami serui eius, filii Iacob electi eius.* Eosdem et hoc et illo modo nuncupat, vt qui partim nepotes, partim filii exstiterint. *Electos* vero appellauit, vt eos qui prae cunctis gentibus populus Dei vocati sunt.

διέξεισι, μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτȣ͂, 1) καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτȣ͂· καὶ μὴ καυχάσθω ὁ πλȣ́σιος ἐν τῷ πλȣ́τῳ αὐτȣ͂, ἀλλ' ἐν τȣ́τῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην 2) ἐπὶ τῆς γῆς. Εὐφρανθήτω καρδία ζητȣ́ντων τὸν Κύριον. Τῆς γὰρ εἰς τὸν Θεὸν ἐλπίδος εὐφροσύνη καρπός. δ'. Ζητήσατε τὸν Κύριον, 3) καὶ κραταιώθητε. Καὶ διδάσκων πῶς δεῖ τȣ͂το ποιεῖν, ἐπήγαγε· Ζητήσατε τὸ πρόσωπον αὐτȣ͂ διαπαντός. Οὐ γὰρ ἅπαξ ἢ δὶς, ἀλλὰ παρὰ πάντα τὸν βίον τὴν ἄνωθεν ἐπικȣρίαν προσήκει ζητεῖν, καὶ τὴν ὠφέλειαν καρπȣ͂σθαι. ἄμαχοι γὰρ οἱ ζητȣ͂ντες ἔσονται, καὶ ἀήττητοι. τȣ͂το καὶ ὁ Κύριος νομοθετῶν ὑπηγγείλατο· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρȣ́ετε καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρȣ́οντι ἀνοιγήσεται. ε'. Μνήσθητε τῶν θαυμασίων αὐτȣ͂ ὧν ἐποίησε, τὰ τέρματα αὐτȣ͂, καὶ τὰ κρίματα τȣ͂ σόματος αὐτȣ͂. Μὴ 4) παράδοτε λήθῃ τὰς ἀῤῥήτȣς θαυματȣργίας, ἃς τῇ δικαίᾳ ψήφῳ κοσμήσας ὁ Δεσπότης εἰργάσατο. κρίματα γὰρ ἐνταῦθα προσηγόρευσε τὰ ἐνδίκως ὑπὸ τȣ͂ Θεȣ͂ γεγενημένα θαύματα. ἐπειδὴ γὰρ τῶν ἐν Αἰγύπτῳ γεγενημένων ποιεῖται διήγησιν, προδιδάσκει τῆς Αἰγυπτίων τιμωρίας τὸ δίκαιον. ς'. Σπέρμα Ἀβραὰμ δȣ͂λοι αὐτȣ͂, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτȣ͂. 5) Τȣ̀ς αὐτȣ̀ς καὶ τȣ͂το κἀκεῖνο καλεῖ, ὡς 6) τȣ̀ς μὲν ἀπογόνȣς, τȣ̀ς δὲ υἱȣ̀ς χρηματίσαντας. ἐκλεκτȣ̀ς δὲ προσηγόρευσεν ὡς παρὰ πάντα τὰ ἔθνη λαὸς κληθέντας Θεȣ͂.

τȣ͂το

1) καί. Abest a Cod. 1. 2) ἐπί. Cod. 1. ἐν μέσῳ. 3) καὶ κρατ. *Hebr.* et robur eius. 4) Cod. 1. παραδῶτε. 5) Τȣ̀ς κ. τ. λ. Alia habet CORD. T. III. p. 115. 6) τȣ́ς. Cod. 1. τȣ͂. Ita quoque deinde post ἀπογόνȣς.

a) 1 Reg. 2, 10. b) Matth. 7, 7. 8.

τοῦτο δὲ καὶ διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. ζ΄. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. Ὁ γὰρ αὐτὸς ὢν ἁπάντων Θεὸς καὶ Κύριος, καὶ πάσης δεσπόζων τῆς οἰκουμένης, τούτους ἴδιον λαὸν προσηγόρευσεν. η΄. Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς. Τὸ διαρκὲς καὶ μόνιμον τῶν πρὸς τὸν Ἀβραὰμ γεγενημένων ὑποσχέσεων διὰ τούτων διδάσκει. οὐ γὰρ, ὥς τινες ὑπέλαβον, ὑπερβολικὸς ὁ λόγος· ἀλλ᾽ ἀληθὴς καὶ θεῖος. ὑπέσχετο δὲ ὁ τῶν ὅλων Θεὸς, ἐν τῷ σπέρματι αὐτοῦ εὐλογήσειν πάντα τὰ ἔθνη. σπέρμα δὲ αὐτοῦ ὁ Δεσπότης Χριστὸς κατὰ σάρκα· ὃς αἰώνιον ἔχει τὸ κράτος, καὶ τὴν βασιλείαν ἀνώλεθρον. τοῦτο δὲ καὶ τῶν χιλίων γενεῶν ἡ μνήμη παραδηλοῖ. οὐ γὰρ ἐτῶν ἀριθμὸν ὁ λόγος σημαίνει, ἀλλὰ τὸ διαρκὲς καὶ 1) αἰώνιον τῶν γενεῶν τὸ πλῆθος αἰνίττεται. θ΄. 2) Ὅ, τι διέθετο τῷ Ἀβραὰμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ. ι΄. Καὶ ἔστησεν 3) αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον. Τούτων τῶν ὅρκων 4) καὶ ὁ θεσπέσιος ἐμνημόνευσε Μωσῆς· εἶπε γάρ φησιν ὁ Θεὸς πρὸς Ἀβραὰμ, κατ᾽ ἐμαυτοῦ ὤμοσα, ἦ μὴν εὐλογῶν 5) εὐλογήσω, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει· καὶ 6) εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς. τούτῳ τῷ ὅρκῳ καὶ τὸν Ἰσαὰκ ἀναμιμνήσκει· βεβαιοῖ καὶ πρὸς τὸν Ἰακὼβ τὰς συνθήκας· καὶ μέντοι καὶ πληροῖ ταύτας, διὰ μὲν Μωσοῦ τοὺς ἐκείνων 7) ἐκγόνους τῆς Αἰγυπτίων ἐλευθερῶ-

Hoc autem et per ea quæ sequuntur demonstrauit. 7. *Ipse Dominus Deus noster, in omni terra iudicia eius.* Cum enim ipse sit omnium Deus et Dominus, totique orbi dominetur, proprium populum hos appellauit. 8. *Memor fuit in seculum fœderis sui, verbi quod mandauit in mille generationes.* Per hæc continuationem et perpetuitatem docet promissionum, quæ Abrahamo factæ fuerunt. Non enim, vt aliqui dixerunt, hic sermo est hyperbolicus, sed verus et diuinus. Promisit autem vniuersorum Deus, in semine eius se benedicturum esse omnibus gentibus. Semen vero eius est Dominus Christus secundum carnem, qui sempiternum habet imperium, regnumque perenne. Hoc vero et mille seculorum commemoratio indicat: non enim annorum numerum sermo significat, sed continuationem et æternitatem multitudo generationum designat. 9. *Quod constituit Abrahamo, et iuramenti Isaaco dati.* * 10. *Et constituit illud Iacobo præceptum, et Israeli fœdus æternum.* Huius iuramenti etiam diuinus Moses mentionem facit. Dixit enim, inquit, a) Deus Abrahamo, per me ipsum iuraui, fore vt benedicens benedicam tibi, et multiplicans multiplicem semen tuum sicut stellas cæli multitudine, et benedicentur in semine tuo omnes tribus terræ. Hoc iusiurandum etiam Isaaco in memoriam reuocat, et confirmat fœdera cum Iacobo inita, b) atque etiam hæc implet: per Mosen nimirum, illorum posteros ab Aegyptiorum serui-

1) αἰώνιον. Cod. 1. μόνιμον. 2) Ὅ, τι. Cod. 1. ὃν, quæ est rec. lectio h. l. 3) αὐτόν. Ita leg. in ed. *ald.* et *compl.* recepta autem lectio est αὐτήν. 4) καί. Abest a Cod. 1. 5) εὐλογ. Cod. 1. add. σέ. 6) Cod. 1. ἐνευλογηθήσονται. 7) Cod. 1. ἐγγόνους.

a) Gen. 22, 16. 17. b) Ib. c. 26, 3. 4.

tute liberans: per Iesum vero Naue promissam terram dans: finem autem promissionis per Dominum Christum perficiens. 11. *Dicens, tibi dabo terram Canaan, funiculum hereditatis vestræ.* Funiculum vocauit dominationem terræ: proprium enim illorum est, qui possident, terram mensuris subiicere. 12. *Cum essent numero breui, paucissimi, et incolæ eius.* Hæc autem, inquit, parentibus promisit, qui fuerunt pauci, et numeratu faciles. Demonstrat autem per hoc promittentis potentiam, quod licet sic pauci exstiterint, tam amplæ terræ imperium illis largiri potuerit. 13. *Et transierunt de gente ad gentem, et de regno ad populum alterum.* Nam patriarchæ in perpetua peregrinatione versati sunt, neque in vno loco constiterunt, sed modo huc, modo illuc tabernacula transferebant. 14. *Non permisit vlli homini nocere eis.* Eos enim superiores reddidit iis, qui conabantur lædere. *Et corripuit pro eis reges.* 15. *Nolite tangere vnctos meos, et in prophetas meos nolite maligni esse.* Sic in Pharaonem animaduertit animaduersionibus magnis et terribilibus, propter Saram vxorem Abrahami. Sic nocte Abimelechum perterruit, dicens, *a)* En morieris propter Saram vxorem Abrahami, ipsa vero cohabitat cum viro. Sic Isaacum venerandum reddidit apud illos, qui tunc Palæstinam incolebant. *b)* Sic minitatus est Labani occidere volenti, Caue enim, inquit, *c)* ne loquaris * dura contra seruum meum * Ia-

σας δουλείας, διὰ δὲ Ἰησοῦ τοῦ Ναυῆ τὴν ἐπηγγελμένην 1) γῆν ἀποδοὺς· τὸ δὲ τέλος τῆς ἐπαγγελίας διὰ τοῦ Δεσπότου συμπεράνας Χριστοῦ. ια΄. Λέγων, σοὶ δώσω τὴν γῆν Χαναὰν, σχοίνισμα κληρονομίας ὑμῶν. Σχοίνισμα τὴν τῆς γῆς ἐκάλεσε δεσποτείαν· τῶν κεκτημένων γὰρ ἴδιον μέτρῳ τὴν γῆν ὑποβάλλειν. ιβ΄. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς· ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ. Ταῦτα δέ φησιν ὑπέσχετο τοῖς πατράσιν ὀλίγοις οὖσι, καὶ σφόδρα εὐαριθμήτοις· δηλοῖ δὲ διὰ τούτου τοῦ ὑπισχνουμένου τὴν δύναμιν· ὅτι καί τοι οὕτως ὀλίγοις τοσαύτης γῆς δεσποτείαν παρέχειν ἠδύνατο. ιγ΄. Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον. 2) Παροικοῦντες γὰρ οἱ πατριάρχαι διετέλεσαν, καὶ οὐδὲ ἐφ' ἑνὸς ἱδρύμενοι τόπου· ἀλλὰ νῦν μὲν ὧδε, νῦν δὲ ἐκεῖ τὰς σκηνὰς μεταφέροντες. ιδ΄. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς. Κρείττους γὰρ αὐτοὺς τῶν ἀδικεῖν πειραθέντων ἀπέφηνεν. Καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. ιε΄. Μὴ 3) ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ 4) πονηρεύεσθε. 5) Οὕτω τὸν Φαραὼ ἤτασεν ἐτασμοῖς μεγάλοις καὶ φοβεροῖς περὶ Σάῤῥας τῆς γυναικὸς Ἀβραάμ· οὕτω νύκτωρ τὸν Ἀβιμέλεχ ἐξεδειμάτωσεν εἰρηκώς· ἰδοὺ σὺ ἀποθνήσκεις περὶ Σάῤῥας τῆς γυναικὸς Ἀβραάμ· αὕτη δὲ ἐστιν συνῳκηκυῖα ἀνδρί. οὕτω τὸν Ἰσαὰκ αἰδέσιμον τοῖς τηνικαῦτα τὴν Παλαιστίνην οἰκοῦσιν ἀπέφηνεν. οὕτω φονῶντι τῷ Λάβαν ἠπείλησεν· ὅρα γὰρ ἔφη, μὴ λαλήσῃς σκληρὰ 6) κατὰ τοῦ παιδός μου Ἰακώβ.

1) γῆν. Abest a Cod. 1. 2) Παροικ. κ. τ. λ. Diuersa sunt quæ habet CORD. T. III. p. 117. 3) Cod. vat. habet ἅψησθε, *alex.* ἅπτεσθαι. 4) Rec. lectio h. l. est πονηρεύεσθε. 5) Οὕτω κ. τ. λ. Alia habet CORD. l. c. p. 118. 6) κατά. Cod. 1. μετά.

a) Gen. 20, 3. *b)* Ib. c. 26. et 31. *c)* Ib. c. 31, 24.

κώβ. Χριστοὺς δὲ προσαγορεύει, οὐχ ὡς ἐλαίῳ κεχρισμένους, ἀλλ' ὡς ἐκλεκτοὺς γενομένους. προφήτην δὲ καὶ αὐτὸς ὁ Θεὸς τὸν Ἀβραὰμ προσηγόρευσεν· ἀπόδος γὰρ ἔφη τὴν γυναῖκα τῷ ἀνδρὶ, ὅτι προφήτης ἐστί· καὶ προσεύξεται περὶ σοῦ, καὶ σωθήσῃ. ις. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν. Ἡ ἁμαρτία τὴν παιδείαν ἐφέλκεται· ἡ δὲ παιδεία τὸν θηριώδη βίον ἐλέγχει· ὁ δὲ ἔλεγχος τὴν τοῦ βίου μεταβολὴν πραγματεύεται. τὸν τοίνυν λιμὸν ἐπήγαγε διὰ τὸν παράνομον βίον τῶν τηνικαῦτα ἀνθρώπων. ἀλλ' ὅμως καὶ οὕτω τῶν οἰκείων θεραπόντων ἐπεμελήθη. Πᾶν στήριγμα ἄρτου συνέτριψεν. Ἀντὶ τοῦ, πᾶν διαθρέψαι δυνάμενον σπανίσαι πεποίηκεν· οὐ μόνον σῖτον, ἀλλὰ καὶ κριθὰς, καὶ ὄσπρια, καὶ τ' ἄλλα δι' ὧν βιοτεύουσιν ἄνθρωποι. ιζ. Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς 1) δοῦλον ἐπράθη Ἰωσήφ. Ἀμφότερα κατὰ ταυτὸν ἐδήλωσε, καὶ τῶν ἀδελφῶν τὴν μοχθηρίαν, καὶ τὴν αὐτοῦ σοφίαν· τῇ γὰρ ἐκείνων εἰς δέον ἐχρήσατο πονηρίᾳ. οὐ γὰρ αὐτὸς ἐκείνους ἠνάγκασεν ἀπεμπολῆσαι τὸν ἀδελφὸν, ἀλλὰ τῇ κακοηθείᾳ μὲν τῇ ἐκείνων ἐνδέδωκεν· αὐτὸς δὲ εἰς δέον ταύτῃ χρησάμενος, βασιλέα τὸν δοῦλον ἀπέφηνε, καὶ τῷ γένει τὴν εἰς Αἴγυπτον κάθοδον ἐπρυτάνευσεν· ἔδει γὰρ τοὺς λαὸν Θεοῦ μέλλοντας χρηματίζειν, περιφανεῖς γενέσθαι καὶ περιβλέπτους διὰ τῶν ὑπὲρ αὐτῶν γινομένων θαυμάτων. ἡ γὰρ εἰς αὐτοὺς γινομένη κηδεμονία τὸν τούτων Θεὸν ἀνεκήρυττε, καὶ τοὺς ἀκούοντας τῷ φωτὶ τῆς θεογνωσίας 2) κατέλαμψεν. ιη. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ. Μετὰ γὰρ τὴν τῆς μοιχείας συκοφαν-

cobum. *Vnctos* autem appellat, non tanquam oleo vnctos, sed tanquam electos factos. *Prophetam* vero et ipse Deus Abrahamum appellauit. Redde enim, ait, a) mulierem viro, quoniam propheta est, et orabit pro te, et seruaberis. *16. Et vocauit famem super terram.* Peccatum castigationem attrahit, castigatio vero ferinam vitam redarguit, redargutio vero vitæ mutationem efficit. Famem igitur induxit ob iniquam vitam hominum illius tempestatis; veruntamen hoc etiam modo de suis curam gessit. *Et omne firmamentum panis contriuit.* Quasi dicat, omnium rerum, quæ nutrire poterant, inopiam fecit, non solum frumenti, sed etiam hordei, et leguminum, et aliarum rerum, quibus homines vitam sustentant. *17. Misit ante eos virum quendam, pro seruo venundatus est Ioseph.* Vtrumque eadem opera declarauit, et fratrum nequitiam, et suam ipsius sapientiam: nam illorum prauitate opportune vsus est. Non enim ipse eos impulit, vt fratrem venderent, sed illorum peruersitati indulsit. Ipse vero opportune hac vtens, ex seruo regem effecit, et generi descensum in Aegyptum procurauit. Oportebat enim, vt qui vocandi erant populus Dei, clari et illustres fierent per miracula pro ipsis edita. Siquidem cura illis exhibita Deum eorum prædicabat, audientesque diuinæ cognitionis lumine illustrabat. *18. Humiliauerunt in compedibus pedes eius, ferrum pertransiit animam eius.* Nam post adulterii calumniam

1) Cod. 1. δουλείαν. 2) Cod. 1. κατέλαμπεν.

a) Gen. 20, 7.

mniam in vincula coniectus est, statimque, vt verisimile est, ferrea vincula ipsi imposuerunt. Hoc enim Symmachus sic dixit, In ferrum venit anima eius, id est, Ad cædem vsque periclitatus est. *19. Donec veniret verbum eius, eloquium Domini inflammauit eum.* Porro hæc omnia perpessus est, vt instar auri probaretur: non vt sinceram Iosephi virtutem nosceret Deus vniuersorum, qui nouit omnia, priusquam ipsa fiant: sed vt aliis hominibus eius philosophiam ostenderet, veritatisque exemplar proponeret. * *20. Misit rex, et soluit eum: princeps populorum, et dimisit eum. 21. Constituit eum dominum domus suæ, et principem omnis possessionis suæ.* Et vtilitatem dispensationis ostendens, infert: *22. Vt erudiret principes eius sicut semetipsum, et senes eius prudentiam doceret.* Clarus enim et celebris per somniorum interpretationes regi factus, et potestatem consecutus, ad diuinam cognitionem alios deducebat, non verbis solum vtens, sed etiam operibus eos ad ipsam pietatem alliciens. *23. Et intrauit Israel in Aegyptum, et Iacob incola fuit in terra Cham.* Hæc, inquit, occasio fuit patriarchæ, vt in Aegyptum peregrinaretur. *Terram* vero *Cham* Aegyptum nominat, quoniam Mesrem filius secundus Chami fuit. Cham enim, inquit, a) genuit Chus primogenitum, et Mesrem fratrem eius. Chus autem Aethiopiam sacræ literæ nuncupant, et Mesrem Aegyptum. *Ia-*

τίαν, τὸ δεσμωτήριον ᾤκησε, καὶ παραυτίκα ὡς εἰκὸς περιέθηκαν αὐτῷ τὰ ἐκ σιδήρου δεσμά. τοῦτο μέντοι ὁ Σύμμαχος οὕτως εἴρηκεν, εἰς σίδηρον 1) διῆλθεν ἡ ψυχὴ αὐτοῦ, ἀντὶ τοῦ, μέχρι σφαγῆς ἐκινδύνευσεν. ιθ'. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον Κυρίου 2) ἐπύρωσεν αὐτόν. Ταῦτα δὲ ὑπέμεινεν ἅπαντα χρυσοῦ δίκην δοκιμαζόμενος· οὐχ ἵνα τὸ ἀκίβδηλον τῆς τοῦ Ἰωσὴφ ἀρετῆς ὁ τῶν ὅλων μάθῃ Θεὸς, ὁ γινώσκων τὰ πάντα πρὶν γενέσεως αὐτῶν· ἀλλ' ἵνα τοῖς ἄλλοις ἀνθρώποις τὴν ἐκείνου φιλοσοφίαν δείξῃ, καὶ ἀρχέτυπον ἀληθείας προθῇ. κ'. Ἀπέστειλε βασιλεὺς, καὶ ἔλυσεν αὐτόν· ἄρχων λαοῦ, καὶ ἀφῆκεν αὐτόν. κα'. Κατέστησεν αὐτὸν Κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ. Καὶ τὴν ἀπὸ τῆς οἰκονομίας ὠφέλειαν δεικνὺς, ἐπήγαγε· κβ'. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ 3) ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι. Ἐπίσημος γὰρ διὰ τῆς τῶν ὀνείρων ἑρμηνείας τῷ βασιλεῖ γενόμενος, καὶ τὴν ἐξουσίαν 4) λαχὼν, εἰς θεογνωσίαν ἐποδήγει τοὺς ἄλλους, οὐ λόγοις μόνοις χρώμενος, ἀλλὰ καὶ τοῖς ἔργοις, εἰς τὴν αὐτὴν εὐσέβειαν ἐφελκόμενος. κγ'. Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ. Αὕτη φησὶν ἡ πρόφασις ἐγένετο τῷ πατριάρχῃ τῆς εἰς Αἴγυπτον ἐκδημίας. γῆν δὲ Χὰμ τὴν Αἴγυπτον ὀνομάζει, ἐπειδὴ ὁ Μεσρὲμ υἱὸς τοῦ Χὰμ ἐγένετο δεύτερος. Χὰμ γάρ φησιν ἐγέννησεν τὸν Χοὺς πρωτότοκον, καὶ Μεσρὲμ τὸν ἀδελφὸν αὐτοῦ. Χοὺς δὲ τὴν Αἰθιοπίαν ἡ θεία καλεῖ γραφῆ, Μεσρὲμ δὲ τὴν Αἴγυπτον· Ἰακὼβ

1) Cod. 1. ἦλθεν. Sic quoque leg. apud MONTF. in Hexapl. ad h. l. 2) ἐπύρωσεν. *Hebr.* explorauit eum. 3) ὡς ἑαυτόν. *Hebr.* pro arbitrio suo. 4) Cod. 1. λαβών.

a) Gen. 10, 6. 20.

κώβ δὲ καὶ Ἰσραὴλ τὸν αὐτὸν ὀνομάζει. τὸ μὲν γὰρ ἐκ τῶν πατέρων ἔλαχεν ὄνομα, τὸ δὲ ὁ Θεὸς αὐτῷ τέθεικε, τὴν γενομένην αὐτῷ θείαν ἐπιφάνειαν διὰ τῆς προσηγορίας δηλῶν. κδ'. Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ. Τοῦτο καὶ τῆς Ἐξόδου ἡ ἱστορία διδάσκει. ὅσῳ γάρ φησιν ἐκάκουν αὐτοὺς οἱ Αἰγύπτιοι, τοσούτῳ πλείους ἐγένοντο, καὶ ἐπλήθυνεν αὐτοὺς ἡ γῆ. κε'. 1) Μετέστρεψε τὴν καρδίαν αὐτῶν, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ. Οὐκ αὐτὸς μεταβαλὼν τῶν Αἰγυπτίων τὴν γνώμην, ἀλλὰ τῷ αὐτεξουσίῳ παραχωρῶν· καὶ τὰς μὲν ἐπιβουλὰς μὴ κωλύων, κρείττους δὲ τῶν ἐπιβουλευόντων τοὺς ἐπιβουλευομένους δεικνύς. Τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ. Ποτὲ 2) μὲν ταῖς μαίαις ἐπέταξαν οἱ Αἰγύπτιοι διαφθείρειν τῶν Ἑβραίων τὰ ἄῤῥενα, ποτὲ δὲ τῷ ποταμῷ ταῦτα παραπέμπειν ἐκέλευσαν· ἀλλ᾽ ὅμως καὶ οὕτως τὸ γένος διέφυγε τοῦ θανάτου τὰ μηχανήματα. κϛ'. 3) Ἀπέστειλε Μωσῆν τὸν δοῦλον αὐτοῦ, 4) καὶ Ἀαρὼν ὃν ἐξελέξατο 5) ἑαυτῷ. κζ'. Ἔθετο 6) αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων 7) αὐτοῦ ἐν γῇ Χάμ. 8) Προβαλλόμενος γὰρ αὐτοὺς τῆς τῶν ὁμοφύλων ἐλευθερίας ὑπουργούς τε, καὶ διακόνους τὴν τῆς θαυματουργίας αὐτοῖς ἐνεχείρισε δύναμιν. κη'. Ἐξαπέστειλε σκότος, καὶ ἐσκότασεν, 9) ὅτι παρεπι-

cobum autem et Israelem eundem nominat: nam nomen illud ex parentibus traxit, hoc vero Deus illi imposuit, declarans per hanc appellationem ipsum ei apparuisse. 24. *Et auxit populum suum vehementer, et firmauit eum super inimicos eius.* Hoc et Exodi historia docet. Quanto enim magis, inquit, a) Aegyptii ipsos affligebant, tanto plures fiebant, terraque ipsos multiplicabat. 25. *Conuertit cor eorum, vt odirent populum eius.* Non quod ipse Aegyptiorum mentem mutarit, sed quod libero arbitrio permiserit: et insidias quidem minime prohibuerit, superiores autem insidiantibus reddiderit eos, quibus insidiæ tendebantur. *Et dolos struerent contra seruos eius.* Interdum quidem Aegyptii obstetricibus iusserunt, vt Hebræorum infantes occiderent: interdum vero, vt hos in flumen proiicerent, præceperunt. Verumtamen et hoc modo mortis machinationes Hebræorum genus declinauit. 26. *Misit Mosen seruum suum, et Aaronem, quem elegit sibi ipsi.* 27. *Proposuit eis verba signorum et prodigiorum suorum, in terra Cham.* * Cum * enim ipsos adiutores et ministros libertatis suorum tribulium crearet, potentiam miracula edendi ipsis concessit. 28. *Misit tenebras, et obscurauit, quoniam exacerbauerunt*

1) Μετέστρεψε. Cod. *vat.* præm. καί. 2) μέν. Cod. 1. add. γάρ. 3) Rec. lectio h. l. est ἐξαπέστειλε. 4) καί. Abest a Cod. 1. et a Textu τῶν ὁ. 5) ἑαυτῷ. Cod. 1. ἐν αὐτῷ, adscripta tamen altera lectione. 6) αὐτοῖς. Cod. 1. præm. ἐν. Ita quoque in Textu τῶν ὁ. legitur. 7) αὐτοῦ. Abest a Cod. *vatic.* 8) Προβαλλόμενος κ. τ. λ. Alia exstant apud CORD. T. III. p. 125. 9) ὅτι. Cod. *vat.* habet καί. Hebr. *et non oppugnarunt verba eius.* Ita quoque *Aquila*, *Symm.* *Theodotion* et Editio *quinta* exprimunt h. l. Particulam negatiuam, quam vel neglexerunt vel superfluam esse putarunt οἱ ὁ. et Syrus. Particula ista abest etiam ab edit. *sexta.*

a) Exod. 1, 12.

bauerunt sermones eius. Non enim admirandi famuli diuinis mandatis repugnantes fuere: sed iussa exsecuti sunt, et longissimam ipsis ac triduanam noctem inuexerunt, immo potius tenebras nocte obscuriores. Nox enim, licet lunæ lumine careat, astrorum tamen splendore temperatur: ac *tenebras* illas sacræ literæ palpabiles vocant. 29. *Conuertit aquas eorum in sanguinem, et occidit pisces eorum.* Non enim solum aquarum colorem, sed ipsam gustus qualitatem mutauit, vt omnia piscium genera corrumperentur. 30. *Et dedit terra eorum ranas in penetralibus regum ipsorum.* Quoniam enim Hebræorum infantes in flumen proiecerunt, conuertit quidem in sanguinem aquam fluminis, vt per hoc cædem factam redargueret: ranas vero illinc scaturire fecit, instar necatorum infantium repentes, et in domos irruentes, et vsque ad ipsos regios thalamos progredientes. 31. *Dixit, et venit cynomya, et sciniphes in omnibus finibus eorum.* Nam verba effectus consequebantur, confestimque Deo imperante, et Mose dicente, et cynomya, et sciniphes terram implebant, Aegyptios terminos non transeuntes, a) neque hominibus aliis perniciem inferentes, sed Dei hostibus castigationem infligentes. Hoc enim in-

κραναν τοὺς λόγους 1) αὐτοῦ. Οὐκ ἀντεῖπον γὰρ οἱ μακάριοι θεράποντες τοῖς θείοις προστάγμασιν, ἀλλὰ τὰ κελευόμενα ἔδρων, καὶ τὴν μακροτάτην αὐτοῖς καὶ τριήμερον ἐπήγαγον νύκτα, μᾶλλον δὲ καὶ νυκτὸς ζοφωδέστερον σκότος. ἡ μὲν γὰρ νὺξ, κἂν ἀσέληνος ᾖ, τῇ αἴγλῃ τῶν ἀστέρων κεράννυται· ἐκεῖνο δὲ τὸ σκότος ψηλαφητὸν ἡ θεία καλεῖ γραφή. κθ. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν. Οὐ γὰρ τὴν 2) χροιὰν τῶν ὑδάτων μόνον, ἀλλὰ καὶ αὐτὴν μετέβαλε τῆς γεύσεως τὴν ποιότητα, ὥστε 3) ἁπάντων διαφθαρῆναι τῶν ἰχθύων τὰ γένη. λ. Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους, ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν. 4) Ἐπειδὴ γὰρ τῷ ποταμῷ τὰ 5) βρέφη τῶν Ἑβραίων παρέδοσαν, μετέβαλε μὲν εἰς αἷμα τοῦ ποταμοῦ τὸ ὕδωρ, τὴν ἐν αὐτῷ γεγενημένην μιαιφονίαν ἐλέγχων· βατράχους δὲ ἐκεῖθεν ἀναβλύσαι 6) πεποίηκε, τοῖς ἀνῃρημένοις παραπλησίως βρέφεσιν ἕρποντας, καὶ ταῖς οἰκίαις ἐπεμβαίνοντας, καὶ ἄχρις αὐτῶν χωροῦντας τῶν τοῦ βασιλέως θαλάμων. λα. Εἶπε καὶ ἦλθε κυνόμυια, καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν. Ἠκολούθει γὰρ τοῖς λεγομένοις τὰ ἔργα καὶ παραυτίκα Θεοῦ μὲν κελεύοντος, Μωσοῦ δὲ λέγοντος, καὶ κυνόμυια, καὶ σκνῖπες ἐπλήρουν τὴν γῆν, τοὺς Αἰγυπτίους ὅρους οὐ παριόντες, οὐδὲ ἄλλοις ἀνθρώποις τὴν λύμην ἐπιφέροντες, ἀλλὰ τοῖς ἀντιθέοις τὴν παιδείαν ἐπάγοντες· τοῦτο γὰρ σημαίνει

1) αὐτοῦ. In Cod. 1. sequitur: τὸ παρεπίκραναν δῆλόν ἐστι Μωϋσῆς καὶ Ἀαρὼν προήρισαν, τουτέστιν ἐφιλονείκησαν. „ *Exacerbarunt*, nimirum Moses et Aaron, idem est quod litigauerunt seu altercati sunt. „ Legendum esse videtur προσήρισαν, vt habet *Aquila* apud MONTF. in Hexapl. ad h. l. 2) Cod. 1. χρόαν. 3) Cod. 1. ἅπαντα. 4) Ἐπειδὴ κ. τ. λ. Vid. supra, p. 135. Quæst. 19. in Exodum. 5) βρέφη Cod. 1. γένη. 6) Cod. 1. ἐποίησε.

a) Exod. 8, 22.

μαίνει τὸ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν· ἀντὶ τοῦ, ἔξω τῶν Αἰγυπτίων ὅρων οὐδὲν τοιοῦτον γινόμενον ἦν ἰδεῖν. λβ'. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν. λγ'. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν, καὶ τὰς συκὰς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν. Τὰ νέφη μὲν γὰρ τὰς συνήθεις ὠδῖνας ἐνήλλαξε, καὶ ἀντὶ ὄμβρων χάλαζαν ἀπεκύησε· κεραυνοὶ δὲ, καὶ πρηστῆρες, μετὰ τῆς χαλάζης ἐφέροντο, καὶ ἐναντίαι ἀλλήλαις φύσεις, ὕδωρ καὶ πῦρ ἀλλήλας οὐκ ἐλυμαίνοντο. οὔτε γὰρ τὸ πῦρ τὸ πεπηγὸς ὕδωρ τῆς χαλάζης ἐξέτηκεν, οὔτε τὸ ὕδωρ κατεσβέννυ τὴν φλόγα· ἀλλὰ τὴν φυσικὴν ἀποθέμενα μάχην, σύμφωνον Αἰγυπτίοις τὴν παιδείαν ἐπῆγον, καὶ τὴν ἐκείνων θηριωδίαν διήλεγχον· ὅτι ἄνθρωποι ὄντες οὐκ ᾐδοῦντο τὴν φύσιν, ἀλλὰ τοὺς ὁμοφυεῖς πικρῶς δουλεύειν ἠνάγκαζον, τούτου 1) δὲ χάριν, καὶ αἱ ἄμπελοι, καὶ αἱ συκαῖ αὐτῶν, καὶ τ' ἄλλα τῶν φυτῶν γένη ἄρδην ὑπ' αὐτῶν διεφθείρετο. λδ'. Εἶπε, καὶ ἦλθεν ἀκρὶς, καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός. λε'. Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, 2) „καὶ „κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς „αὐτῶν.„ Διὰ μὲν τῆς χαλάζης καὶ τοῦ πυρὸς τὰ δένδρα διέφθειρε, διὰ δὲ τῆς ἀκρίδος καὶ τοῦ βρούχου, τὰ ἕλη, τοὺς λειμῶνας, τὰ λήια. οὐ γὰρ μόνον τὸν καρπὸν, ἀλλὰ καὶ τὸν χόρτον αὐτῶν 3) κατηνάλωσεν. λς'. Καὶ ἐπάταξε πᾶν πρωτότοκον 4) ἐν τῇ γῇ 5) αὐτῶν, ἀπαρχὴν παντὸς 6) πόνου αὐτῶν. Ταύτην Αἰγυπτίοις ἐπήγαγε τελευταίαν πληγήν· μεθ' ἣν ἐξελθεῖν τοὺς Ἰουδαίους

dicat illud, *In omnibus finibus eorum:* quasi diceret, extra Aegyptiorum terminos nihil tale factum cernere licebat. 32. *Fecit pluuias eorum grandinem, ignem comburentem in terra ipsorum.* 33. *Et percussit vineas eorum, et ficus eorum, et contriuit omne lignum finium eorum.* Nam nubes quidem vsitatos partus commutarunt, et pro imbribus grandines pepererunt: fulmina autem, cælestesque flammæ, simul cum grandine ferebantur, et contrariæ licet naturæ, aqua et ignis, nullo detrimento sese inuicem afficiebant. Neque enim ignis congelatam aquam grandinis liquefaciebat, nec aqua flammam * restinguebat: sed naturale certamen deponentes, coniunctam pœnam Aegyptiis irrogabant, illorumque feritatem redarguebant: quod cum homines essent, naturam non reuerebantur, sed eiusdem naturæ participes seruire acerbe cogebant. Idcirco et vineæ, et ficus eorum, aliaque arborum genera, penitus ab illis corrumpebantur. 34. *Dixit, et venit locusta, et bruchus, cuius non erat numerus.* 35. *Et comedit omne fœnum in terra eorum,* „*et* „*comedit omnem fructum terræ* „*eorum.*„ Per grandinem quidem et ignem, arbores perdidit: per locustam vero et bruchum, paludes, prata, segetes: non enim tantum fructus, sed etiam eorum herbam consumsit. 36. *Et percussit omne primogenitum in terra eorum, primitias omnis laboris eorum.* Hanc extremam plagam Aegyptiis incussit, post quam instigauit Iudæos, vt

1) δέ. Cod. 1. δή. 2) Hæc verba Textus e Cod. 1. suppleuimus. 3) Cod. 1. κατανάλωσε, pro κατανήλωσε, vt videtur. 4) ἐν τῇ γῇ. Cod. vat. ἐκ τῆς γῆς. 5) αὐτῶν. Cod. 1. Αἰγύπτῳ. 6) πόνου αὐτῶν. *Hebr.* roboris eorum.

vt festinanter exirent. Omnis domus querimoniis et vlulatibus plena erat, cum omnes filii primogeniti illico mortem obiissent. Nam contra eos, qui carissimi erant, plagam intulit, acerbioribus iaculis feriens eos, qui nihil doloris ob priores calamitates ostendebant. 37. *Et eduxit eos cum argento et auro.* Quoniam enim Aegyptii nec res suas accipere permittebant Hebræis, præter proprias, Aegyptiorum etiam opes acceperunt, velut quandam acerbæ seruitutis mercedem, aurum et argentum reportantes. Non enim iniuste hoc fieri Deus præcepit; sed vt iniuriæ auctores plecteret, et iniuria affectos consolaretur. *Et non erat in tribubus eorum infirmus.* Non enim plagarum Aegyptiis incussarum participes fuerunt. 38. *Lætata est Aegyptus de profectione eorum, quia ceciderat timor super eos.* Porro variis huius generis suppliciis sic exterriti fuerunt, vt Hebræorum libertatem sibi quoque beneficio ducerent. 39. *Expandit nubem in protectionem eorum, et ignem, vt luceret eis per noctem.* Eadem enim nubes interdiu ipsis vmbraculum erat, molestiamque solis radiorum prohibebat: noctu vero ignis speciem referens, luminis commodum suppeditabat. * 40. *Petierunt, et venit coturnix, et pane cæli saturauit eos.* Quoniam enim carnes etiam concupiuerant, spontaneam auium prædam ipsis præbuit, illisque qui panibus indigebant, e cælo suppeditauit eos, per nu-

1) κατέπειξεν, ἅπασα 2) ἡ οἰκία θρήνων καὶ ὀλοφύρσεων ἐπέπληστο, τῶν πρωτοτόκων ἁπάντων ἀθρόαν τελευτὴν δεξαμένων. κατὰ γὰρ τῶν ποθεινοτέρων ἐπήγαγε τὴν πληγὴν, πικροτέροις βάλλων ἀκίσι τοὺς ἀναλγήτως περὶ τὰς προτέρας διατεθέντας πληγάς. λζ'. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ. Ἐπειδὴ γὰρ οὐδὲ τὰ οἰκεῖα λαβεῖν οἱ Αἰγύπτιοι τοῖς Ἑβραίοις ἐπέτρεπον, πρὸς τοῖς οἰκείοις ἔλαβον καὶ τῶν Αἰγυπτίων τὸν πλοῦτον, οἷόν τινα μισθὸν 3) τῆς χαλεπῆς δουλείας κομισάμενοι τὸν χρυσὸν καὶ τὸν ἄργυρον· οὐ γὰρ ἀδίκως τοῦτο γενέσθαι προσέταξεν ὁ Θεὸς, ἀλλὰ καὶ τοὺς ἀδικοῦντας παιδεύων, καὶ τοὺς ἀδικηθέντας ψυχαγωγῶν. Καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Τῶν γὰρ τοῖς Αἰγυπτίοις ἐπαγομένων πληγῶν οὐκ ἐλάμβανον πεῖραν. λη'. Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι 4) ἔπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς. Οὕτω δὲ ταῖς παντοδαπαῖς ἐξεδειματώθησαν τιμωρίαις, ὡς 5) καὶ εὐεργεσίαν οἰκείαν νομίσαι τὴν τῶν Ἑβραίων ἐλευθερίαν. λθ'. Διεπέτασε νεφέλην εἰς σκέπην 6) αὐτῶν, καὶ πῦρ τοῦ φωτίσαι αὐτοὺς τὴν νύκτα. Ἡ γὰρ αὐτὴ νεφέλη σκηνὴ μὲν αὐτοῖς 7) μεθ' ἡμέραν ἐγένετο, καὶ τῆς ἀκτῖνος ἐκώλυε τὸ λυποῦν· νύκτωρ δὲ πυροειδὴς 8) αὐτοῖς γινομένη, τοῦ φωτὸς αὐτοῖς ἐχορήγει τὴν χρείαν. μ'. ᾔτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς. Ἐπειδὴ γὰρ 9) καὶ κρεῶν ὠρέχθησαν, παρέσχεν αὐτοῖς καὶ θήραν ὀρνίθων αὐτόματον, καὶ δεηθεῖσιν ἄρτων ἄνωθεν ἐχορήγησε τούτους, διὰ τῶν νεφελῶν

1) Cod. 1. κατήπειξεν. 2) ἡ. Cod. 1. γάρ. 3) τῆς χαλ. δουλ. In Cod. 1. ponitur post κομισάμενοι. 4) Rec. lectio h. l. est ἐπέπεσεν. 5) καί. Abest a Cod. 1. 6) Rec. lectio h. l. est αὐτοῖς. 7) μεθ' ἡμ. Cod. 1. ἐν ἡμέρᾳ. 8) αὐτοῖς. Abest a Cod. 1. 9) καί. Des. in Cod. 1. tum h. l. tum deinde post αὐτοῖς.

λων οὐχ ὑετὸν, ἀλλ' αὐτὴν δωρησάμενος τὴν τροφήν. μα'. Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, 1) καὶ ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί. Ἐθεράπευσε δὲ αὐτῶν καὶ τὸ δίψος ταῖς παραδόξοις ὠδῖσι τῆς πέτρας. ἐν ἀνύδρῳ γὰρ γῆ, καὶ νοτίδος ἐστερημένῃ, ποταμοὺς ἀναβλῦσαι προσέταξε· ποταμοὺς δὲ καλεῖ, τῶν ἀναδοθέντων ἐκ τῆς πέτρας ὑδάτων τοὺς ὀχετούς. μβ'. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ. μγ'. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. Τούτων δὲ πάντων αὐτοῖς μετέδωκε, τὰς πρὸς τὸν Ἀβραὰμ γεγενημένας ὑπ' αὐτοῦ ἐπαγγελίας πληρῶν. μδ'. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν 2) κατεκληρονόμησαν. 3) Οὐ γὰρ μόνον τῆς Αἰγυπτίων ἠλευθέρωσε δουλείας, ἀλλὰ καὶ τῶν Χαναναίων αὐτοῖς ἐδωρήσατο γῆν, καὶ τῶν ἀλλοτρίων πόνων δεσπότας ἀπέφηνε· καὶ ἐκείνους κολάσας ἐνδίκως, καὶ τὰς οἰκείας ἐμπεδώσας ἐπαγγελίας. ὅτι δὲ οὐκ ἀδίκως ἐξέβαλε τοὺς πρώην τὴν Παλαιστίνην οἰκοῦντας, διδάσκει μὲν καὶ δι' ὧν Ἰουδαίοις ἐνομοθέτησε, φεύγειν κελεύσας τῆς ἐκείνων πολιτείας τὴν μίμησιν· διδάσκει δὲ καὶ τὰς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας ποιούμενος, τί δήποτε μὴ εὐθὺς αὐτῷ δίδωσι τῆς γῆς ἐκείνης τὴν δεσποτείαν, ἀλλὰ παροικεῖν ἐπὶ πλεῖστον ἐᾷ· οὔπω γάρ φησιν ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων ἕως τοῦ νῦν· ἀντὶ τοῦ, οὐδέπω πανωλεθρίας τετολμήκασιν ἄξια· καὶ οὐ δίκαιον αὐτοῖς τὴν τιμωρίαν ἐπάγα-

bes non pluuiam, sed cibum illum largitus. 41. *Disrupit petram, et effluxerunt aquae, et prodierunt in sicco flumina.* Eorum etiam sitim restinxit inauditis partubus saxi. In arida enim terra, et humore priuata, vt flumina scaturirent imperauit. *Flumina* autem vocat aquarum riuos, qui e petra fluxerunt. 42. *Quoniam memor fuit verbi sancti sui, quod locutus erat ad Abrahamum seruum suum.* 43. *Et eduxit populum suum in exultatione, et electos suos in laetitia.* Ceterum haec omnia illis impertiit, promissa ab eo Abrahamo facta perficiens. 44. *Et dedit illis regiones gentium, et labores populorum possederunt.* Non modo enim ab Aegyptiaca seruitute liberos fecit, sed etiam Chananaeorum ipsis largitus est terram, alienorumque laborum dominos fecit, et in illos iuste animaduertens, et suas pollicitationes confirmans. Quod autem non iniuste eos, qui primum Palaestinam incolebant, exegerit, docet quidem et per ea quae Iudaeis indixit, praecipiens vt imitationem vitae illorum fugerent. Docet etiam promissiones Abrahae faciens, cur non statim illius terrae imperium dederit, sed diu illos peregrinari siuerit. Nondum enim, inquit, a) impletae sunt iniquitates Amorraeorum vsque in hodiernum diem. Quasi diceret, Nondum extrema pernicie digna ausi sunt: et minime iustum erat ipsis poenam irrogare, neque

1) καί. Abest a Cod. 1. et a Textu τῶν ό. 2) Cod. var. κεκληρονόμησαν. 3) Οὐ γάρ κ. τ. λ. Pauciora habet CORD. T. III. p. 130.

a) Gen. 15, 16.

neque maioris peccati præscientia supplicii sententiam pronunciare, sed rerum finem exspectare. Mensura enim vtor, et statera moderor, et nihil est apud me quod libratum non sit. Propterea quadringentorum annorum periodum exspecto. Sic et illos exegit, et his promissiones persoluit. 45. *Vt custodirent iustificationes eius, et legem eius requirerent.* Dedit autem ipsis, ait, terram quam promiserat, cum eis legem daret, et secundum hanc legem vitam degere præciperet.

γεῖν, οὐδὲ τῇ προγνώσει τῆς μείζονος ἁμαρτίας τῆς τιμωρίας τὴν ψῆφον ἐξενεγκεῖν, ἀλλ᾽ ἀναμεῖναι τῶν πραγμάτων τὸ τέλος· μέτρῳ γὰρ χρῶμαι, καὶ σαθμῷ πρυτανεύω, καὶ οὐδὲν ἀςάθμητον παρ᾽ ἐμοί. διὰ τοῦτο τετρακοσίων ἐτῶν ἀναμένω περίοδον. ἔτω κἀκείνους ἐξέβαλε, καὶ τούτοις 1) ἐπαγγελίας ἀπέδωκεν. με΄. Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτῦ 2) ἐκζητήσωσιν. Δέδωκε δὲ αὐτοῖς, φησὶν, 3) ἣν ἐπηγγείλατο γῆν, νόμον αὐτοῖς δεδωκὼς, καὶ κατὰ τοῦτον βιοτεύειν κελεύσας.

* * INTERPR. PS. CV.

Alleluia. In centesimo quarto psalmo propheticus sermo diuina exposuit beneficia: in hoc vero etiam beneficia commemorat, et ingratum animum eorum, qui beneficia consecuti erant, insimulat, et pœnas ipsis varie irrogatas docet. Formatus est autem tanquam ex persona hominum magis piorum, communes deplorantium calamitates, et vt indulgentiam consequantur obsecrantium. 1. *Confitemini Domino, quoniam bonus, quoniam in seculum misericordia eius.* Et propter pristina beneficia Dominum celebrate, et meliores spes concipite. Bonus enim et benignus est Dominus, misericordiaque semper vtitur. Deinde docet, quod humanam naturam transcendat diuinorum miraculorum narratio. 2. *Quis eloquetur potentias Domini? auditas faciet omnes laudationes eius?* Nullus sermo satis valet ad Deum vniuer-

ΕΡΜΗΝ. ΤΟΥ ρε΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ἐν μὲν τῷ Ρ΄ καὶ Δ΄ ψαλμῷ τὰς θείας ὁ προφητικὸς λόγος διεξῆλθεν εὐεργεσίας· ἐν τούτῳ δὲ καὶ τῶν εὐεργεσιῶν μέμνηται, καὶ 4) τὰς τῶν εὐεργετηθέντων ἀχαριςίας κατηγορεῖ, καὶ τὰς ἐπενεχθείσας αὐτοῖς διαφόρως τιμωρίας διδάσκει. ἐσχημάτισαι δὲ ὡς ἐκ προσώπου τῶν εὐσεβεςέρων, τὰς κοινὰς ὀλοφυρομένων συμφορὰς, καὶ φειδοῦς τυχεῖν ἀντιβολούντων. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηςὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ. Καὶ ἐπὶ ταῖς πρότεραις εὐεργεσίαις τὸν Δεσπότην ὑμνήσατε, καὶ τὰς χρηςοτέρας ἐλπίδας προσμένατε. ἀγαθὸς γὰρ καὶ φιλάνθρωπος ὁ Δεσπότης, καὶ ἀεὶ τῷ ἐλέῳ διατελεῖ χρώμενος. 5) εἶτα διδάσκει ὡς ὑπερβάλλει τὴν ἀνθρώπων τὴν φύσιν ἡ τῶν θείων θαυμάτων διήγησις. β΄. Τίς λαλήσει τὰς δυναςείας τῦ Κυρίου, ἀκουςὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτῦ; 6) Οὐδεὶς ἀπόχρη λόγος εἰς ὑμνῳδίαν τοῦ

1) ἐπαγγ. Cod. I. præm. τάς. 2) ἐκζητ. *Hebr.* vt conseruarent. 3) ἣν. Cod. I. add. καί. 4) Cod. I. τῆς. 5) εἶτα — διήγ. Des. apud CORD. T. III. p. 148. 6) Οὐδεὶς — Θεοῦ. Hæc apud CORD. l. c. ad præc. versic. relata sunt. Alia autem l. c. p. 149. ad hunc versic. adposita videas.

σοῦ τῶν ὅλων Θεοῦ. γ'. Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Τῇ αἰσθήσει τῆς ἁμαρτίας ὁ τῆς ἀρετῆς μακαρισμὸς ὑπεισέρχεται· ὁ γὰρ τὰς ὑπὲρ ταύτης εὐθύνας ἐκτίνων μακαρίζει τοὺς ταύτης ἀπηλλαγμένους, καὶ δικαιοσύνῃ τὸν οἰκεῖον βίον διακοσμοῦντας· μακαρίζει δὲ οὐ τὸν ἅπαξ τῇ δικαιοσύνῃ χρησάμενον, ἀλλὰ τὸν ἀεὶ καὶ διηνεκῶς τοῖς ταύτης ἑπόμενον ἴχνεσι. δ'. Μνήσθητι ἡμῶν Κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου. Ἐνταῦθα τὸν νέον λαὸν αἰνίττεται, καὶ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, ἣν τῆς σωτηρίας ἠξίωσεν, ἧς ἁρπάσαι διδάσκεται τὴν κοινωνίαν ἡ Ἰουδαίων πληθύς. συμφωνεῖ δὲ 1) τῇ διανοίᾳ καὶ τὰ ἐπιφερόμενα. ε'. Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, 2) τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου. 3) Ἀντιβολοῦμέν φησι τῆς τοῦ νέου σοῦ ἔθνους μεταλαχεῖν εὐφροσύνης, καὶ κοινωνοὶ γενέσθαι τῆς ἐκείνοις χορηγουμένης χρηστότητος. ϛ'. Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν· ἠνομήσαμεν, ἠδικήσαμεν. Ὥσπερ γάρ τινα, φησὶ, κλῆρον, παρὰ τῶν πατέρων διεδεξάμεθα τὴν τῶν σῶν νόμων παράβασιν· πατέρας δὲ καλεῖ, οὐ τοὺς ἁγίους πατριάρχας, ἀλλὰ τοὺς μετ' ἐκείνους γενομένους. τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων ἐδήλωσεν. ζ'. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν 4) θαυμάσιά σου, καὶ οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου. Τοσούτων γὰρ ἐν Αἰγύπτῳ δι' αὐτοὺς γεγενημένων θαυμάτων, συνιδεῖν τὴν σὴν

sorum laudandum. 3. *Beati qui custodiunt iudicium, et faciunt iustitiam omni tempore.* Peccati agnitionem virtutis beata sors subsequitur. Qui enim pro peccato pœnas luit, felices existimat illos, qui peccati expertes sunt, quique iustitia ornant vitam suam. Felicem vero arbitratur non eum, qui semel iustitia vsus sit, sed qui semper et perpetuo virtutis vestigiis insistat. 4. *Memento nostri Domine in beneplacito populi tui, visita nos in salutari tuo.* Hoc in loco nouum populum designat, ecclesiamque ex gentibus conflatam, quam salute donauit, cuius aliquam societatem arripere Iudæorum populus docetur. Concinunt huic sententiæ et ea quæ sequuntur. 5. *Ad videndum bonitatem electorum tuorum, ad lætandum in lætitia gentis tuæ, vt lauderis cum hereditate tua.* Obsecramus, inquit, vt nouæ tuæ gentis lætitiæ participes simus, vtque illius bonitatis, quæ illis donata fuit, compotes fiamus. * 6. *Peccauimus cum patribus nostris, iniuste egimus, iniquitatem fecimus.* Velut enim hereditatem quandam, ait, a parentibus legum tuarum transgressionem accepimus. *Patres* sane vocat, non sanctos patriarchas, sed eos qui post illos fuerunt. Hoc enim per sequentia declarauit. 7. *Patres nostri in Aegypto non intellexerunt mirabilia tua, et non fuerunt memores multitudinis misericordiæ tuæ.* Tot enim tantisque in Aegypto miraculis propter ipsos editis, tuam potentiam intelli-

1) τῇ. Cod. 1. præm. τῇδε. 2) τοῦ ἐπαιν. *Hebr.* vt glorier. 3) Ἀντιβ. κ. τ. λ. Alia habet CORD. l. c. p. 149 sq. 4) θαυμ. Cod. 1. præm. τὰ, vt in Textu τῶν ό.

intelligere noluerunt. *Et irritauerunt adscendentes in mari rubro.* Cum enim Aegyptios persequentes vidissent, et mare fugam inhibens, tuam opem praestolari noluerunt: sed magno Mosi obstrepebant, dicentes, *a)* Quia non erant sepulcra in Aegypto, eduxisti nos, vt necares nos in solitudine hac. Verum licet ingrati fuerint, tamen salute eos dignatus es. Hoc enim subdit. 8. *Et saluauit eos propter nomen suum, vt notam faceret potentiam suam.* 9. *Et increpuit mare rubrum, et exsiccatum est: et duxit eos per abyssum sicut in deserto.* 10. *Et saluauit eos de manu osoris: et redemit eos de manu inimici.* Nam cum verbo maris fundum aperuisset, immensam illam abyssum ipsis solitudinem equis peruiam fecit. Quoniam enim in solitudinibus multa facilitas est currentibus, cum arbores non sint, neque sepes quae prohibeant, transitus facilitatem solitudinis comparatione indicauit. 11. *Operuit aqua tribulantes eos, vnus ex eis non remansit.* Omnes enim Aegyptios submersit, et idem mare Hebraeis quidem salutem, Aegyptiis vero supplicium attulit. 12. *Et crediderunt verbis eius, et celebrarunt laudem eius.* Nam virorum laudantium magnus Moses dux fuit: mulierum vero chori Mirjam prophetissa. *b)* Et hoc canticum literis traditum est. 13. *Cito fecerunt, obliti sunt operum eius, et non sustinuerunt consilium*

οὐκ ἠθέλησαν δύναμιν. Καὶ παρεπίκραναν 1) ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. Θεασάμενοι γὰρ τοὺς Αἰγυπτίους διώκοντας, καὶ τὴν θάλασσαν ἐπέχουσαν τὴν φυγὴν, τὴν ἐπικουρίαν προσμεῖναι τὴν σὴν οὐκ ἠθέλησαν· ἀλλὰ τοῦ μεγάλου Μωσοῦ 2) κατεβόων, λέγοντες παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ ταύτῃ. ἀλλ᾽ ὅμως καὶ ἀγνώμονας φανέντας σωτηρίας ἠξίωσας. τοῦτο γὰρ ἐπήγαγεν. ή. Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. θ΄. Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη· καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ, ὡς ἐν ἐρήμῳ. ί. Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς 3) μισοῦντος, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ. Λόγῳ γὰρ τῆς θαλάσσης τὸν πυθμένα γυμνώσας, τὴν πολλὴν ἐκείνην ἄβυσσον ἱππήλατον αὐτοῖς ἀπέφηνεν ἔρημον. ἐπειδὴ γὰρ ἐν ταῖς ἐρήμοις πολλὴ τοῖς τρέχουσιν εὐκολία, μήτε φυτῶν ὄντων, μήτε φραγμῶν κωλυόντων, τὴν τῆς διαβάσεως εὐκολίαν δεδήλωκε τῇ τῆς ἐρήμου παραβολῇ. ιά. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτοὺς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη. Πάντας γὰρ τοὺς Αἰγυπτίους ὑποβρυχίους πεποίηκε· καὶ ἡ αὐτὴ θάλασσα Ἑβραίοις μὲν σωτηρίαν, Αἰγυπτίοις δὲ τιμωρίαν ἐπήγαγε. ιβ΄. Καὶ ἐπίστευσαν 4) τῷ λόγῳ αὐτοῦ, 5) καὶ 6) ᾖσαν τὴν αἴνεσιν αὐτοῦ. Τῶν γὰρ ἀνδρῶν ὑμνούντων Μωσῆς ὁ μέγας ἡγεῖτο, τοῦ δὲ χοροῦ τῶν γυναικῶν Μαριὰμ ἡ προφῆτις· ἀνάγραπτος δὲ καὶ ἡ ᾠδή. ιγ΄. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.

1) ἀναβ. Hebr. על־ים quod οἱ ό. legerunt עלים. 2) Cod. 1. κατεβόησαν. 3) Ita leg. in Cod. *alex.* 4) τῷ λόγῳ. Ita leg. in ed. *ald.* et *compl.* 5) καί. Abest a Cod. 1. 6) ᾖσαν. Rec. lectio est ἤνεσαν.

a) Num. 21, 5. b) Exod. 15, 20. 21.

τοῦ. ιδ'. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. 1) Τοσαῦτα γὰρ ἔχοντες καὶ τοιαῦτα ἐχέγγυα τῆς θείας δυνάμεως, οὐκ ᾔτησαν τὴν χρείαν λαβεῖν, οὐδὲ τὴν θείαν προσέμειναν δωρεὰν, ἀλλ' εὐθὺς λοιδορίαις κατὰ τῶν θείων ἐχρήσαντο θεραπόντων. ιε'. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, ἐξαπέστειλε 2) πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. 3) Αἴτημα τὴν ἐπιθυμίαν ἐκάλεσεν, οὐ γὰρ ᾔτησαν, ἀλλὰ κατελάλησαν· δέδωκε δὲ ὅμως αὐτοῖς καὶ κρεῶν ἀφθονίαν, καὶ ἄρτον ἀχειροποίητον, καὶ ὕδωρ ἥδιστόν τε καὶ ἄφθονον. ις'. Καὶ παρώργισαν τὸν Μωσῆν ἐν τῇ παρεμβολῇ, 4) τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου. Κορὲ μὲν γὰρ, καὶ ἡ τούτου συμμορία, ἐπειράθησαν τὴν ἱερωσύνην 5) ἁρπάσαι· Δαθὰν δὲ καὶ Ἀβειρὼν ἑτέραν ἐμελέτησαν τυραννίδα. ιζ'. Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. ιη'. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, 6) φλὸξ κατέφλεξεν ἁμαρτωλούς. Δαθὰν μὲν καὶ Ἀβειρὼν μετὰ πάσης τῆς 7) πατριᾶς 8) καταποντίσθησαν· Κορὲ δὲ, καὶ οἱ σὺν αὐτῷ, θεηλάτῳ πυρὶ κατεφλέχθησαν. τὰς δὲ τιμωρίας ἐπήγαγεν ὁ Θεὸς, τοὺς ἄλλους σωφρονεῖν ἀναγκάζων. οὐδεμίαν δὲ λαβεῖν ἐντεῦθεν ὄνησιν ἐβουλήθησαν· καὶ τοῦτο δηλοῖ ἡ τῶν τετολμημένων ἐξήγησις. ιθ'. Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ. Οὐχ ἁπλῶς τοῦ ὄρους ἐμνημόνευσεν, ἀλλὰ τὴν τῆς ἀσεβείας διδάσκων ὑπερβολήν· ἐν τούτῳ γὰρ ὤφθη τῶν

eius. 14. *Et concupiuerunt concupiscentiam in deserto, et tentauerunt Deum loco in inaquoso.* * Nam tot et talia habentes pignora diuinæ potentiæ, vt necessaria acciperent minime postularunt, neque diuinum exspectarunt donum, sed statim conuitiis in diuinos famulos vsi sunt. 15. *Et dedit eis petitionem ipsorum, et misit saturitatem in animas eorum.* Petitionem vocauit concupiscentiam. Non enim petierunt, sed oblocuti sunt: et dedit tamen ipsis et carnis affluentiam, et panem non manufactum, et aquam dulcissimam, et copiosissimam. 16. *Et irritauerunt Mosen in castris, Aaronem sanctum Domini.* Core quidem, et qui cum ipso erant, sacerdotium subripere conati sunt. *a)* Dathan vero et Abiron aliam excogitarunt tyrannidem. 17. *Aperta est terra, et deglutiuit Dathanem, et operuit congregationem Abironis.* 18. *Et exarsit ignis in cœtu eorum, flamma combussit peccatores.* Dathan quidem, et Abiron, cum tota familia absorpti sunt: Core vero, et qui cum illo erant, igne a Deo immisso combusti sunt. *b)* Hæc autem supplicia Deus inflixit, alios sapere cogens: sed nihil emolumenti hinc percipere voluerunt. Et hoc declarat narratio eorum, quæ committere ausi sunt. 19. *Et fecerunt vitulum in Choreb.* Non simpliciter montis meminit, sed vt impietatis incredibilem magnitudinem demonstraret. In hoc enim apparuit,

1) Τοσαῦτα κ. τ. λ. Alia vid. apud CORD. T. III. p. 152. 2) πλησμ. *Hebr.* maciem: 3) Αἴτημα κ. τ. λ. CORDERIUS, qui hæc l. c. ad vers. præced. retulit, præm. δοὺς αὐτοῖς τὴν ὀρτυγομήτραν, dans ipsis coturnices. 4) τόν. Cod. *vat.* καί. 5) Cod. 1. διαρπάσαι. 6) φλόξ. Cod. *vat.* præm. καί. 7) πατριᾶς. Cod. 1. στρατιᾶς. 8) Cod. 1. κατεπόθησαν.

a) Num. 16. *b)* Ibid.

apparuit Dominus vniuersorum, in hoc impleuit ipsos timore, apparens cum igne plurimo, tubis vtens, ac tonitrubus aures eorum verberans, et cum hoc terrore legem offerens. In hoc impietatem patrare ausi sunt. *Et adorauerunt sculptile.* Et hoc alterius dementiae est criminatio. Quod enim arte humana formatum videbant, huic diuinum honorem exhibuerunt. 20. *Et mutauerunt gloriam eius in similitudinem vituli comedentis foenum.* Admodum apposite illorum dementiam deplorat. Nam pro illo, qui talia ediderat miracula, et admirandam illam dederat salutem, et qui tot et talia facere poterat, vituli simulacrum honorauerunt, cuius archetypus cibo indiget. Vituli porro cibus, non panis est, quo rationis compotes vescuntur, * sed herba et foenum. Iam vituli, cuius natura rationis expers est, et foenum cibus, et seruitus hominibus data, imago multo vilior est. Cum enim sit non modo rationis expers, verum etiam inanimata, nec operari, nec mugire, nec comedere potest: attamen imbecillem istam Deo vniuersorum praetulerunt. 21. *Et obliti sunt Dei qui saluauit eos, qui fecit magna in Aegypto.* 22. *Mirabilia in terra Cham, terribilia in mari rubro.* Nec enim suae ipsorum salutis meminerunt, neque Aegyptiorum supplicii, neque magni miraculi quod in mari factum erat, sed omnia illico contemserunt. 23. *Et dixit se velle*

ὅλων ὁ Κύριος· ἐν τούτῳ δείματος αὐτοὺς ἐνέπλησε, μετὰ πλείστου πυρὸς 1) φανεὶς, σάλπιγξι χρώμενος, καὶ καταπτύπων βρονταῖς, καὶ μετὰ τοσούτου δέους τὴν νομοθεσίαν προσφέρων· ἐν τούτῳ τετολμήκασι τὴν ἀσέβειαν. Καὶ προσεκύνησαν τῷ 2) γλυπτῷ. Ἑτέρας καὶ τοῦτο παραπληξίας κατηγορία· ὃ γὰρ ἑώρων διὰ τέχνης ἀνθρωπίνης τὸ εἶδος δεξάμενον, τούτῳ τὸ σέβας τὸ θεῖον προσήνεγκαν. κ΄. Καὶ ἠλλάξαντο τὴν δόξαν 3) αὐτοῦ, ἐν ὁμοιώματι 4) μόσχου 5) ἐσθίοντος χόρτον. Σφόδρα αὐτῶν ἁρμοδίως τὴν ἄνοιαν ἐτραγῴδησεν· ἀντὶ γὰρ τοῦ τοσαῦτα θαυματουργήσαντος, καὶ τὴν παράδοξον ἐκείνην σωτηρίαν χαρισαμένου, καὶ τοσαῦτα ἐνεργεῖν δυναμένου, εἰκόνα τετιμήκασι μόσχου, ἧς τὸ ἀρχέτυπον τροφῆς ἐνδεές· τροφὴ καὶ τῷ μόσχῳ, οὐκ ἄρτος, ὁ τοῖς λογικοῖς προσφερόμενος, ἀλλὰ πόα καὶ χόρτος. τοῦ δὲ μόσχου, οὗ ἄλογος ἡ φύσις, καὶ ὁ χόρτος 6) τροφὴ, καὶ ἡ δουλεία δεδωρημένη ἀνθρώποις, ἡ εἰκὼν εὐτελεστέρα πολλῷ· οὐ γὰρ μόνον ἄλογος, ἀλλὰ καὶ ἄψυχος, οὐκ ἐνεργεῖν, οὐ μυκᾶσθαι, οὐκ ἐσθίειν ἰσχύουσα· ἀλλ᾽ ὅμως 7) ἀδρανῆ τοῦ Θεοῦ τῶν ὅλων προτετιμήκασιν. κα΄. 8) Καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώζοντος αὐτοὺς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ. κβ΄. Θαυμάσια ἐν γῇ Χὰμ, 9) φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς. Οὔτε γὰρ τῆς οἰκείας ἐμνημόνευσαν σωτηρίας, οὔτε τῆς τῶν Αἰγυπτίων τιμωρίας, οὔτε τοῦ μεγάλου τῆς θαλάττης θαύματος, ἀλλὰ πάντα ἀθρόως ἀπέπτυσαν. κγ΄. Καὶ εἶπε τοῦ ἐξολο-

1) *φανείς.* Cod. 1. praem. αὐτοῖς. 2) *γλυπτῷ.* Hebr. למסכה idolo fuso. 3) *αὐτοῦ.* Hebr. כבודם gloriam suam. 4) *μόσχου. Hebr.* bouis. 5) Rec. lectio est ἔσθοντος. 6) *τροφή.* Cod. 1. praem. ἡ. 7) *ἀδρ.* Cod. 1. praem. τὴν οὕτως. 8) *Καί.* Abest a Cod. 1. et exstat tantum in ed. *ald.* et *compl.* 9) *φοβ.* Cod. var. praem. καί.

ἐξολοθρεῦσαι αὐτούς, εἰ μὴ Μωσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι 1) τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι 2) αὐτούς. Τοῦ γὰρ Θεοῦ τῶν ὅλων εἰρηκότος, ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ ἐκτρίψω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα· εἶπεν ὁ μακάριος Μωσῆς, εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν 3) με ἐκ τῆς βίβλου ἧς ἔγραψας. κδ'. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν, 4) οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. κε'. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου. Ἑτέρας ἀπειθείας ἀναμιμνήσκει· τοῦ γὰρ Θεοῦ παρεγγυήσαντος τῆς ἐπηγγελμένης ἐπιβῆναι γῆς, τῆς δειλίας τὸ πάθος δεξάμενοι, ἀντέτειναν προφανῶς, τοὺς μὲν Χαναναίους γενναίους εἶναι λέγοντες, σφᾶς δὲ αὐτοὺς δύναμιν ἀξιόχρεων οὐκ ἔχειν πρὸς τὴν ἐκείνων παράταξιν. Τοῦτο δὲ ἀπιστίας προφανῶς τεκμήριον· τοὺς γὰρ τοσούτων καὶ τοιούτων θαυμάτων αὐτόπτας θαῤῥεῖν εἰς 5) πάντα δίκαιον ἦν τῇ τοῦ σεσωκότος δυνάμει. κς'. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ. κζ'. Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. Ἐβουλήθη δὲ τῇ ἀπιστίᾳ κατάλληλον ἐπιθεῖναι τὴν τιμωρίαν, καὶ πᾶσι κατὰ ταυτὸν ἐπενεγκεῖν 6) τὸν ὄλεθρον· 7) ἀλλ' ὅμως τῇ συνήθει φιλανθρωπίᾳ χρώμενος, μερικὴν αὐτοῖς ἐπήγαγε κόλασιν. κη'. Καὶ 8) ἐτελέσθησαν τῷ Βεελ-

disperdere eos, nisi Moses electus eius stetisset in ruptura coram eo, vt auerteret iram eius, ne disperderet eos. Nam cum rerum omnium Deus dixisset, a) Sine me, et iratus delebo eos in ira, et faciam te gentem magnam, dixit beatus Moses, b) Siquidem remittis illis peccatum, remitte, aut si non vis, dele me de libro tuo, quem scripsisti. 24. *Et pro nihilo habuerunt terram desiderabilem, non crediderunt verbo eius.* 25. *Et murmurauerunt in tabernaculis suis, et non audiuerunt vocem Domini.* Aliam perfidiam commemorat. Nam cum Deus præcepisset, vt promissam ingrederentur terram, timiditatis vitio laborantes, plane obluctati sunt, Chananæos quidem generosos esse asserentes, se ipsos vero non satis firmas copias habere, quibus aduersus eos confligerent. Hoc sane perspicuum est argumentum incredulitatis. Nam illos, qui tot, tantorumque miraculorum spectatores fuerant, omnipotentiæ eius, qui ipsis salutem largitus est, omnibus in rebus confidere par erat. 26. *Et leuauit manum suam super eos, vt prosterueret eos in deserto.* 27. *Et vt deiiceret semen eorum inter nationes, et disperderet eos per regiones.* Porro pœnam perfidiæ respondentem irrogare voluit, et omnes eodem tempore morte multare: attamen vsitata benignitate vtens, aliqua tantum ex parte animaduersionem illis intulit. 28. *Et initiati sunt Beelphegori,*

1) τὸν θυμ. αὐτοῦ. Cod. *vat.* ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ. 2) αὐτούς. Additur in Cod. *alex.* 3) με. Cod. 1. κἀμέ. 4) οὐκ. Cod. *vat.* præm. καί. 5) Cod. 1. ἅπαντα. 6) τὸν ὄλεθρον. Cod. 1. τὴν τιμωρίαν. 7) ἀλλ' — κόλασιν. Hæc apud CORD. T. III. p. 155. nonnullis mutatis ad vers. 28. relata sunt. 8) ἐτελ. *Hebr.* Et adiunxerunt sese.

a) Exod. 32, 10. b) Ibid. vers. 32.

phegori, *et comederunt sacrificia mortuorum*. * 29. *Et irritauerunt eum studiis suis*. Cum in malitiam rursus prolapsi essent, Moabitarumque feminis permisti essent, illarum impietatem didicerunt. *Beelphegor* autem est simulacrum ab illis cultum: et *Phegor* quidem simulacri locus vocabatur, *Baal* vero Idolum. Hunc autem dicunt Saturnum lingua græca nuncupari. Porro *sacrificia mortuorum* vocat, quæ a Græcis inferiæ appellantur, quas mortuis offerre solebant. Sed et Deos ipsos qui vocantur, si quis mortuos appellet, non aberrabit. *Et multiplicata est in eis ruina*. Nam rursus aliam mortem ipsis induxit. 30. *Et stetit Phinees, et placauit, et cessauit quassatio*. 31. *Et reputatum est ei pro iustitia, in generationem et generationem usque in sempiternum*. *Quassationem* Symmachus *plagam* dixit. Ceterum hoc historia docet, a) Zambrim enim, qui cum Madianitide quadam misceri non dubitauerat, Phinees hasta simul cum muliere confixit.

Φεγώρ· καὶ ἔφαγον θυσίας νεκρῶν. κθ. 1) Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Εἰς ἀκολασίαν ἐξοκείλαντες πάλιν, καὶ ταῖς τῶν Μωαβιτῶν μιγνύμενοι γυναιξὶ, μετέμαθον τὴν ἐκείνων ἀσέβειαν. 2) Βεελφεγὼρ δὲ ἐστιν 3) εἴδωλον παρ' ἐκείνοις 4) τιμώμενον· καὶ Φεγὼρ μὲν ἐκαλεῖτο τοῦ εἰδώλου ὁ τόπος, Βάαλ δὲ τὸ εἴδωλον. τοῦτον δὲ 5) φασι Κρόνον καλεῖσθαι τῇ Ἑλλάδι 6) φωνῇ. Θυσίας δὲ νεκρῶν καλεῖ τὰς καλουμένας παρ' Ἕλλησι χοὰς, ἃς τοῖς νεκροῖς προσφέρειν εἰώθασι· καὶ αὐτοὺς δὲ τοὺς καλουμένους Θεοὺς νεκροὺς οὐκ ἄν τις ἁμάρτοι προσαγορεύσας. 7) Καὶ 8) ἐπληθύνθη ἐν αὐτοῖς ἡ 9) πτῶσις. Πάλιν γὰρ ἕτερον αὐτοῖς ἐπήγαγε θάνατον. λ. Καὶ ἔστη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. λα. Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. Τὴν θραῦσιν ὁ Σύμμαχος πληγὴν εἴρηκε· διδάσκει δὲ καὶ τοῦτο ἡ ἱστορία· τὸν γὰρ Ζαμβρὴν μιχθῆναι τῇ Μαδιανίτιδι 10) τινι προφανῶς ἀναχόμενον δόρατι χρησάμενος συνανεῖλε τῇ γυναικί. τὸν τούτου

1) Καὶ — αὐτῶν. Def. h. l. in Cod. 1. 2) Βεελφ. — φωνῇ. Def. apud CORD. l. c. p. 155. Parum autem hæc differunt ab illis, quæ ibid. p. 154. ex *Apollinario* allata sunt. In Cod. *aug*. 1. hæc præmittuntur: τὸ δὲ ἐτελέσθησαν, ἐκοινώνησαν, μετέσχον τῆς μιαρίας. „ Illud autem *initiati sunt* idem est quod communionem habuerunt, participes facti sunt impuritatis. „ 3) εἴδωλον. Cod. 1. add. τοῦ Βήλ. 4) τιμ. Cod. 1. add. ἐν τόπῳ Φεγώρ. 5) φασί. In Cod. 1. sequ. τινές. 6) φωνῇ. Cod. 1. add. εἴδωλον δὲ τοῦτο τῶν Ἀμμανιτῶν. ἢ διὰ τὸ νεκρομαντείας περὶ τὰ ξόανα τελετὰς ποιεῖν, ἢ διὰ τὸ νεκρῶν ἀνδρῶν τὰς μνήμας ποιεῖσθαι. νεκροὶ γὰρ οἱ περὶ τὸν Κρόνον. „ Idolum autem hoc erat Ammanitarum. Siue quod necromantiam prope delubra exercuerint et initiationes peregerint, siue quod mortuorum sepulcra adornauerint. Ad mortuos enim pertinebat Saturnus. „ Verba ista ἢ διὰ τὸ νεκρομ. κ. τ. λ. ad sequentia θυσίας δὲ νεκρῶν καλεῖ κ. τ. λ. se referre videntur, vt ex loco *Apollinarii* apud CORD. l. c. p. 154. colligimus. 7) Καὶ — πτῶσις. In Cod. 1. præcedunt verba Textus, quæ antea desiderabantur Καὶ παρώξυναν — αὐτῶν. 8) ἐπληθ. Hebr. ותפרץ *et erumpebat*. 9) πτῶσις. Hebr. מַגֵּפָה *plaga*, quod deinde vertitur θραῦσις. 10) τινί. Abest a Cod. 1.

a) Num. 25, 7 sqq.

1) τούτου ζῆλον ἀποδεξάμενος ὁ Θεὸς, αὐτὸν μὲν ἀνεκήρυξε, τὴν δὲ τοῖς ἄλλοις ἐπαγομένην τιμωρίαν 2) ἐκώλυσεν. λβʹ. Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωσῆς δι᾽ αὐτούς. λγʹ. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ 3) διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ. Πενθοῦντι γὰρ τὴν ἀδελφὴν προσελθόντες, μετὰ πολλῆς ἀταξίας τὴν χρείαν ἐζήτησαν· ὁ δὲ καὶ τῇ ἀθυμίᾳ τοῦ πένθους βαλλόμενος, καὶ 4) τούτων ἀκρασίαν θεώμενος, θυμῷ καὶ λύπῃ περιχεθεὶς, οὐ μετὰ τῆς συνήθους ἁρμονίας τῷ θείῳ προστάγματι διηκόνησεν· ἀλλ᾽ ἀμφιβολίαν τινὰ τοῖς λόγοις ἀναμίξας, τὴν πέτραν ἐπάταξε, καὶ τὸ ὕδωρ ἐξήγαγε· τοῦτο γὰρ δηλοῖ τὸ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ, ἀντὶ τοῦ, οὐκ ἀναμφιβόλως τοῖς λόγοις ἐχρήσατο. εἶπε γάρ φησι Μωσῆς πρὸς αὐτοὺς, μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξω ὑμῖν ὕδωρ; τούτου χάριν ἀγανακτήσας δῆθεν ὁ τῶν ὅλων Θεὸς, οὐδ᾽ αὐτῷ τὴν τοῖς πατράσιν ἐπηγγελμένην ἀπέδωκε γῆν· ἀλλὰ τὸν μὲν ἐκέλευσε δέξασθαι τοῦ βίου τὸ τέλος· δι᾽ Ἰησοῦ δὲ τοῦ Ναυῆ πεπλήρωκε τὴν ὑπόσχεσιν. καὶ δοκεῖ μὲν ταύτην αὐτῷ τιμωρίαν ἐπιτεθεικέναι τῶν ὅλων ὁ πρύτανις· ἕτερα δὲ οἰκονομῶν ἐπραγματεύσατο τοῦτο· πρῶτον μὲν γὰρ, τῶν Ἰουδαίων ἐπιστάμενος ἄνοιαν, οὐκ εἴασε δι᾽ αὐτοῦ πᾶσαν τὴν ὑπόσχεσιν πέρας λαβεῖν, ἵνα μὴ αὐτὸν Θεὸν ὑπολάβωσιν. οἱ γὰρ εἰκόνα μόσχου θεοποιήσαντες, ποῖον οὐκ ἂν προσήνεγκαν σέβας τῷ τοσούτων θαυμάτων ὑπουργῷ γενομένῳ; διά τοι τοῦτο καὶ τὸν τάφον αὐτοῦ λαθεῖν πεποίηκεν ὁ Θεός· πρὸς δὲ τοῦτο, καὶ τῆς νομοθεσίας ἠβουλήθη

Huius zelum approbans Deus, ipsum quidem collaudauit, pœnam vero quæ aliis inferebatur cohibuit. 32. *Irritauerunt eum prope aquas contradictionis, et vexatus est Moses propter eos.* 33. *Quia exacerbauerunt spiritum eius, et distinxit labiis suis.* Nam cum Moses sororem lugeret, ad eum accedentes, magna cum confusione necessaria petierunt. a) Ipse vero mœrore luctus perculsus, et horum incontinentiam intuitus, ira et tristitia detentus, non cum ea, quam adhibere solebat, concinnitate, diuino imperio ministrauit: sed ambiguitate quadam verbis adiuncta saxum percussit, et aquam eduxit. Hoc enim declarat, *Et distinxit labiis suis;* quasi dicat, non citra dubitationem locutus est. Ait enim, b) Dixit Moses ipsis, Num ex petra hac educam vobis aquam? Idcirco iratus vniuersorum Deus, non per ipsum terram patribus promissam eis dedit, sed illum quidem vitæ finem obire iussit, per Iosuam vero Naue filium promissa perfecit. Et videtur sane vniuersorum moderator hanc ei pœnam inflixisse: sed alia moliens hoc gessit. Nam primum quidem Iudæorum insaniam sciens, non permisit vt per ipsum tota * promissio finem sortiretur, ne * ipsum Deum esse suspicarentur. Qui enim vituli imaginem Deum fecerant, quem honorem non attulissent illi, qui tot miraculorum minister fuit? Propterea etiam eius sepulcrum occultari voluit. Præterea legem ad tempus esse latam

 ostendere

1) τούτου. Cod. 1. add. δέ. 2) ἐκώλυσεν. Cod. 1. ἐκήρυξε. 3) διέστειλεν. *Hebr.* temere locutus est. Vid. supra p. 245. n. 4. 4) τούτων. Cod. 1. præm. τήν.

a) Num. 20, 1 sqq. b) Ib. verf. 10.

ſtendere voluit ex iis quæ legislatori acciderunt. Si enim ipſe legislator promiſſa terra perfrui non potuit, hinc faci le cognoſci poteſt, neque ipſos hac cura diutius perfruituros eſſe. Sic cum ea quæ in ſolitudine acciderunt enarraſſet, transgreſſionem ab eis in promiſſionis terra patratam redarguit. 34. *Non diſperdiderunt gentes, de quibus dixit illis Dominus.* 35. *Et commixti ſunt inter gentes, et didicerunt opera eorum.* 36. *Et ſeruiuerunt ſculptilibus eorum, et facti ſunt illis ſcandalo.* Commiſtionem enim prohibuit, ad vitandam communionem impietatis, finem cum principio de medio tollens, et cum radice fructum delens, et minori malo peius reprimens. Sed tamen iſti, in hoc etiam diuinam legem transgreſſi, neque impias trucidarunt gentes, neque communicationem cum ipſis fugerunt: ſed prauam illorum vitam æmulati ſunt. 37. *Et immolauerunt filios ſuos et filias ſuas dæmoniis.* 38. *Et effuderunt ſanguinem innocentem, ſanguinem filiorum ſuorum, et filiarum ſuarum, quas ſacrificauerunt ſculptilibus Chanaan. Et polluta eſt terra ſanguinibus.* 39. *Et contaminata eſt operibus eorum.* Colophonem impietatis vltimum reliquerunt. Quid enim ad impietatis cumulum ſibi reliqui fecerunt, qui ſanguinibus filiorum et filiarum terram inquinarunt, et dæmonibus, qui ſanguinem vorant, horum ſacrificia obtulerunt? Nam Deo ne legiti-

δεῖξαι τὸ πρόσκαιρον ἀπὸ τῶν αὐτῷ τῷ νομοθέτῃ συμβάντων. εἰ γὰρ 1) ὁ νομοθέτης τῆς ἐπηγγελμένης οὐκ ἀπήλαυσε γῆς, συνειδεῖν ἐντεῦθεν 2) ῥάδιον, ὡς οὐδὲ αὐτοὶ ταύτης ἀπολαύσωσιν ἐπὶ πλεῖστον τῆς προμηθείας. οὕτω τὰ κατὰ τὴν ἔρημον διηγησάμενος, τὴν ἐν τῇ γῇ τῆς ἐπαγγελίας γεγενημένην αὐτῶν 3) ἐλέγχει παρανομίαν. λδʹ. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς. λεʹ. Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. λϛʹ. Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. 4) Τὴν γὰρ ἐπιμιξίαν διὰ τὴν τῆς ἀσεβείας ἐκώλυσε κοινωνίαν, τῇ ἀρχῇ τὸ τέλος συναναιρῶν, καὶ σὺν τῇ ῥίζῃ τὸν καρπὸν ἀφανίζων, καὶ τῷ ἐλάττονι κακῷ τὸ χεῖρον προαναστέλλων. ἀλλ᾽ ὅμως οὗτοι καὶ ἐν τούτῳ τὸν θεῖον παραβαίνοντες νόμον, οὔτε τὰ δυσσεβῆ ἐξωλόθρευσαν ἔθνη· οὔτε τὴν πρὸς αὐτὰ ἔφυγον κοινωνίαν, 5) ἀλλὰ τὴν πονηρὰν αὐτῶν πολιτείαν ἐζήλωσαν. λζʹ. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. ληʹ. Καὶ ἐξέχεαν αἷμα ἀθῶον, αἷμα υἱῶν αὐτῶν, καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν· καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι. λθʹ. 6) Καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν. 7) Τὸν κολοφῶνα τῆς ἀσεβείας τελευταῖον κατέλιπον· 8) ποίαν γὰρ δυσσεβείας ὑπερβολὴν καταλείπει τὸ αἵμασιν υἱῶν καὶ θυγατέρων μολῦναι τὴν γῆν, καὶ τοῖς αἱμοβόροις δαίμοσι τὰς τούτων θυσίας προσενεγκεῖν; τῷ Θεῷ μὲν γὰρ οὐδὲ τὰ

1) ὁ. Cod. I. præm. αὐτός. 2) ῥάδιον. Cod. I. add. ἦν. 3) Cod. I. διελέγχει. 4) Τὴν γὰρ κ. τ. λ. Pauca præmittuntur apud CORD. l. c. p. 156. 5) ἀλλὰ — ἐζήλωσαν. Alia habet CORD. l. c. 6) Καὶ ἐμιάνθη. *Hebr.* Et polluerunt ſeſe. 7) Τὸν — κατέλιπον. Deſ. apud CORD. l. c. p. 157. 8) ποίαν — σφαγάς. Hæc apud CORD. l. c. ad verſ. 35. adpoſita ſunt.

τὰ νενομισμένα προσέφερον· τοῖς δὲ εἰδώλοις καὶ τὰς τῶν παίδων σφαγάς. Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Πορνείαν ἐνταῦθα οὐ τὴν ἀκολασίαν μόνον, ἀλλὰ καὶ τὴν τῶν εἰδώλων λατρείαν καλεῖ. ἐπειδὴ γὰρ τῷ Θεῷ συνημμένοι τὴν ἐκείνων θεραπείαν ἠγάπησαν, τὴν δεισιδαιμονίαν εἰκότως πορνείαν ἐκάλεσεν. μ΄. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. μα΄. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας 1) ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς. μβ΄. Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. Ταῦτα καὶ ἡ τῶν Κριτῶν ἱστορία διδάσκει, καὶ μέντοι καὶ ἡ τῶν Βασιλειῶν συγγραφή· ποτὲ μὲν γὰρ Μωαβίταις, ποτὲ δὲ Ἀμμανίταις, ἄλλοτε δὲ Ἀμαληκίταις, καὶ Μαδιηναίοις, καὶ Ἀλλοφύλοις παρέδωκε, τῇ παιδείᾳ τὴν ὠφέλειαν 2) καρπούμενος. μγ΄. Πλεονάκις ἐῤῥύσατο αὐτούς· αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. Ἐπάγων γὰρ τὴν παιδείαν πάλιν μετεδίδου φιλανθρωπίας· οἱ δὲ αὐτὸν τοῖς ἐναντίοις ἠμείβοντο. μδ΄. Καὶ εἶδε 3) Κύριος ἐν τῷ θλίβεσθαι αὐτοὺς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι 4) τῆς δεήσεως αὐτῶν. Ταῦτα καὶ αἱ ἱστορίαι διδάσκουσι καὶ ὅτι ἐδεήθησαν τοῦ Θεοῦ 5) ἀπὸ τῆς ἀνάγκης ὠθούμενοι· καὶ ὅτι δεηθέντες ἠκούσθησαν. με΄. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ 6) ἐλέου αὐτοῦ. Διὰ γὰρ τὰς πρὸς τοὺς πατέρας ἐπαγγελίας τὸν ἔλεον ἐχορήγησε· μεταμέλει-

ma quidem offerebant, idolis vero natorum etiam cædes. *Et fornicati sunt studiis suis.* *Fornicationem* hoc in loco, non modo intemperantiam, verum etiam idolorum cultum vocat. Quoniam enim Deo copulati, illorum cultum adamarunt, dæmonum honorem merito fornicationem appellauit. 40. *Et iratus est furore Dominus in populum suum, et abominatus est hereditatem suam.* *41. *Et tradidit eos in manus hostium, et dominati sunt iis, qui oderunt eos.* 42. *Et tribulauerunt eos inimici eorum, et humiliati sunt sub manibus eorum.* Hæc et Iudicum historia docet, atque etiam Regnorum libri. Nam modo quidem Moabitis, modo vero Ammanitis, alias autem Amalecitis, et Madianæis, et Allophylis eos tradidit, vt per castigationem commodis ipsorum consuleret. 43. *Sæpe liberauit eos, ipsi autem exacerbauerunt eum consilio suo, et humiliati sunt in iniquitatibus suis.* Infligens enim pœnam, rursus benignitatem largitus est; ipsi autem contraria rependebant. 44. *Et vidit Dominus cum tribularentur, cum audiret orationem eorum.* Hæc etiam historiæ docent, et ipsos Deum obsecrasse a necessitate impulsos, et cum preces fudissent, exauditos fuisse. 45. *Et memor fuit fœderis sui, et pœnituit eum secundum multitudinem misericordiæ suæ.* Nam propter promissiones patribus factas, misericordiam exhibuit. *Pœnitentiam* vero

1) ἐχθρῶν. *Hebr.* gentium. 2) καρπ. Cod. 1. πραγματευόμενος. 3) Κύριος. Abest a Textu hebr. 4) τῆς δεήσεως αὐτῶν. *Hebr.* clamorem eorum. 5) Cod. 1. ὑπό. 6) Cod. 1. ἐλέους.

vero nuncupat pœnæ cessationem. Siquidem pœnitentiæ affectus in Deum non cadit, neque modo his, modo illis delectatur: sed omnia sapienter moderans, et supplicia infligit, et benignitatem exhibet. 46. *Et effecit, vt misericordiam consequerentur coram omnibus qui ceperant eos.* Sic Cyrum demulsit, et ad misericordiam inflexit, et vt captiuis libertatem daret, effecit. 47. *Saluos nos fac Domine Deus noster, et congrega nos de nationibus: vt confiteamur nomini tuo sancto, et gloriemur in laude tua.* Et hæc ostendunt, prophetam ipsos docere, quomodo oporteat Deum placare, et prouidam eius curam consequi. Et diuinus Apostolus futuram Iudæorum salutem per Eliam Thesbitam asserit. Veniet, inquit, a) ex Zione qui eripiat, et auertat impietatem a Iacobo: et hoc illis a me testamentum, cum abstulero peccata eorum. Non igitur ædificationem Hierosolymæ exspectare oportet, secundum fabulas stultorum, et cultum * secundum legem, et sacrificia rationis expertia, et circumcisionem, et sabbatum, et vmbratiles adspersiones post sanctum baptisma, (hæc enim omnia ebriarum anicularum sunt deliramenta,) sed vocationem et veritatis cognitionem, et fidem in dominum Christum, et noui testamenti constitutionem. 48. *Benedictus Dominus Deus Israëlis a sæculo, et vsque in sæculum, et dicet omnis populus, Fiat, fiat.* Laudabilis enim

αν δὲ καλεῖ τῆς παιδείας τὴν παῦλαν· ὁ γὰρ Θεὸς τῆς μεταμελείας οὐκ ἔχει τὸ πάθος, οὐδὲ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις ἀρέσκεται· ἀλλὰ σοφῶς ἅπαντα πρυτανεύων, καὶ παιδείας ἐπάγει, καὶ φιλανθρωπίαν ὀρέγει. μϛʹ. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς, ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. Οὕτω τὸν Κῦρον κατέθελξεν, καὶ εἰς ἔλεον ἔκαμψε, καὶ δοῦναι τοῖς δορυαλώτοις τὴν ἐλευθερίαν πέπεικε. μζʹ. Σῶσον ἡμᾶς Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν· τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Καὶ ταῦτα δηλοῖ, ὡς ὁ προφητικὸς αὐτοὺς διδάσκει λόγος, πῶς δεῖ τὸν Θεὸν ἱλεώσασθαι, καὶ τῆς παρ' αὐτοῦ κηδεμονίας τυχεῖν· καὶ ὁ θεσπέσιος δὲ ἀπόστολος τὴν ἐσομένην Ἰουδαίοις σωτηρίαν διὰ Ἡλιοῦ τοῦ Θεσβίτου προηγόρευσεν· ἥξει 1) ἐκ Σιὼν φησὶν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. οὐ μὲν τὴν οἰκοδομίαν τῆς Ἱερουσαλὴμ προσμεῖναι δεῖ, κατὰ τοὺς μύθους τῶν ἀνοήτων, καὶ τὴν κατὰ νόμον λατρείαν, καὶ τὰς ἀλόγους θυσίας, καὶ περιτομὴν, καὶ σάββατον, καὶ σκιώδη περιῤῥαντήρια μετὰ τὸ πανάγιον βάπτισμα· ταῦτα γὰρ γραϊδίων μεθυόντων 2) παραληρήματα· ἀλλὰ κλῆσιν καὶ ἐπίγνωσιν ἀληθείας, καὶ πίστιν εἰς τὸν δεσπότην Χριστὸν, καὶ τῆς καινῆς διαθήκης τὴν πολιτείαν. μηʹ. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος· καὶ ἐρεῖ πᾶς ὁ λαὸς, γένοιτο, 3) γένοιτο. Ὑμνητὸς γὰρ ἐπὶ πᾶσι

1) ἐκ Σιών. Abest a Cod. 1. 2) παραλ. Cod. 1. τὰ ληρήματα. Post ἀλλὰ ibid. sequitur καί. 3) γένοιτο. In Textu hebr. non repetitur אָמֵן.

a) Rom. 11, 26. 27. coll. Malach. 3, 23. 24.

πᾶσι τῶν ὅλων ὁ Κύριος, ὁ τοῦ Ἰσραὴλ χρηματίσας Θεὸς, ὁ τοσαῦτα τῆς τῶν ἀνθρώπων ἕνεκα 1) πραγματευσάμενος σωτηρίας· προσήκει δὲ τὸν λαὸν ἅπαντα τὸ ἀμὴν τῇ τῶν ὑμνούντων ἐπιφέρειν φωνῇ. τὸ γὰρ γένοιτο, γένοιτο, ἀμὴν, 2) καὶ ἀμὴν, ὁ Ἑβραῖος καλεῖ. ὅθεν καὶ τὸ ἔθος ἐν ταῖς ἐκκλησίαις μεμένηκε τῷ τῇ δοξολογίᾳ τοῦ ἱερέως διὰ τοῦ ἀμὴν συντίθεσθαι 3) τὸν λαὸν, καὶ τὴν ἐντεῦθεν κοινωνίαν προσφέρειν, καὶ τὴν εὐλογίαν λαμβάνειν.

ΕΡΜΗΝ. ΤΟΥ ρϛʹ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Πολλάκις ἀπεδείξαμεν, ὅτι σκιὰ τῆς καινῆς ἡ παλαιὰ διαθήκη· οὐδὲν δὲ ἧττον καὶ ἐκ τοῦδε τοῦ ψαλμοῦ ῥᾴδιον τοῦτο καταμαθεῖν. τήν τε γὰρ Ἰουδαίων ἐλευθερίαν 4) θεσπίζει, καὶ τὴν πάντων ἀνθρώπων σωτηρίαν προαγορεύει· ἔχει δὲ πολλὴν πρὸς τοὺς προτεταγμένους ἀκολουθίαν· ὁ μὲν γὰρ τέταρτος καὶ ἑκατοστὸς διήγησιν ἔχει τῶν ὑπὸ τοῦ Θεοῦ πρὸς τοὺς πατριάρχας γεγενημένων ἐπαγγελιῶν, καὶ τῶν τοῖς ἐκείνων ἐκγόνοις παραχεθεισῶν δωρεῶν. ὁ δὲ μετὰ ἐκεῖνον, πρὸς ταῖς εὐεργεσίαις, καὶ τὴν Ἰουδαίων ἀχαριστίαν ἐδίδαξε, καὶ τὰς δι' ἐκείνην ἐπενεχθείσας τιμωρίας αὐτοῖς· οὗτος δὲ προαγορεύει τὴν τῆς αἰχμαλωσίας ἀπαλλαγὴν διὰ τὴν ἄῤῥητον τοῦ Θεοῦ φιλανθρωπίαν γεγενημένην. ἐπειδὴ δὲ 5) καὶ ἐν ἐκείνοις ἐσκιογράφηται τὰ ἡμέτερα, ὁρῶμεν δὲ καὶ ἐν τῷδε τῷ ψαλμῷ τῆς ἡμετέρας σωτηρίας τὰ θεσπίσματα· μᾶλλον ἡμῖν ἢ ἐκείνοις ἁρμόττει τῆς προφητείας τὸ πλεῖστον. αʹ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι χρηστὸς,

est in omnibus vniuersorum Dominus, qui Israëlis Deus vocatur, qui ob hominum salutem tanta subiit. Decet autem omnem populum laudantium voci Amen subiungere: quandoquidem *Fiat*, *fiat*, Hebræus Amen et Amen vocat. Vnde etiam consuetudo in ecclesiis permansit, vt doxologiæ sacerdotis populus per verbum Amen assentiatur, eamque quæ hinc proficiscitur communionem offerat, ac vicissim benedictionem recipiat.

INTERP. PSALMI CVI.

Alleluia. Sæpius ostendimus, vmbram noui testamenti esse vetus: nec minus ex hoc psalmo facile id disci potest. Iudæorum quippe libertatem psalmus præcinit, et omnium hominum salutem prædicit. Pulchre vero cohæret cum præcedentibus. Centesimus enim quartus promissiones a Deo patriarchis factas continet, et dona illorum posteris præbita: Qui proximus est, præter beneficia, Iudæorum ingratum animum docuit, pœnasque istis propterea irrogatas. Hic autem seruitutis libertatem per inexplicabilem Dei benignitatem ipsis concessam vaticinatur. Et quoniam in illis res nostræ adumbratæ sunt, cernimus autem hoc in psalmo nostræ salutis vaticinationes, magna ex parte nobis potius, quam illis, vaticinatio conuenit. 1. *Confitemini Domino quoniam bonus, quoniam*

1) Cod. I. πραγματευόμενος. 2) καί. Abest a Cod. I. 3) τὸν λαόν. Des. in Cod. I. 4) Cod. I. προθεσπίζει. 5) καί. Abest a Cod. I.

quoniam in saeculum misericordia eius. Rursus sermo propheticus nos vt Deum beneficii auctorem laudemus hortatur: caussam vero huiusmodi laudis benignitatem esse dicit. * 2. *Dicant qui redemti sunt a Domino, quos redemit e manu inimici.* Et Iudaeos a Babyloniorum seruitute liberatos hymnos canere oportebat: et nos hoc semper facere decet, qui a diaboli tyrannide liberati sumus. 3. *Et de regionibus congregauit eos, a solis ortu et occasu, ab Aquilone et mari.* Hoc in Iudaeis quidem ad hunc modum factum non didicimus. Etenim per totum rerrarum orbem dissipati vitam ducunt. Ecclesiam vero gentium in omnibus orbis partibus, et orientalibus et occiduis, australibus et aquilonaribus, vocauit et conflauit: et huiusmodi conuentus vbique terrarum et maris conspici possunt. In Iudaeis tamen obscure hoc factum fuit, cum nonnulli e Babylone reuersi essent, pauci vero quidam per id temporis ex Aegypto, et finitimis gentibus, collecti fuissent. 4. *Errauerunt in deserto, vbi non erat aqua.* Et Babylon erat deserta et sine aqua: deserta enim erat a Deo, & populus Iudaeorum illi seruiens spirituali irrigatione priuatus erat. Et illi qui ex gentibus crediderunt, similiter in solitudine, et in terra sine aqua vitam degebant, cum spem minime haberent, et impii essent, vt ait diuinus Apostolus. a) *Viam ciuitatis habita-*

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Πάλιν ὑμνεῖν ὁ προφητικὸς παρακελεύεται λόγος τὸν εὐεργέτην Θεόν· αἰτίαν δὲ τῆς ὑμνῳδίας τὴν φιλανθρωπίαν εἶναί φησιν. β′. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς 1) ἐχθροῦ. Καὶ Ἰουδαίους ὑμνεῖν ἔδει τῆς Βαβυλωνίων ἐλευθερωθέντας δουλείας· καὶ ἡμᾶς ἀεὶ προσήκει τοῦτο ποιεῖν, τῆς τοῦ διαβόλου τυραννίδος ἀπαλλαγέντας. γ′. Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς· ἀπὸ ἀνατολῶν, καὶ δυσμῶν, καὶ βοῤῥᾶ, καὶ θαλάσσης. Τοῦτο ἐπὶ μὲν Ἰουδαίων 2) οὕτω γεγενημένον 3) οὐ μεμαθήκαμεν· κατὰ πᾶσαν γὰρ τὴν οἰκουμένην ἐσκεδασμένοι 4) διάγουσι· τὴν δὲ ἐξ ἐθνῶν ἐκκλησίαν ἐν ἅπασι τῆς οἰκουμένης τοῖς 5) τμήμασιν, ἑῴοις τε καὶ ἑσπερίοις, νοτίοις τε καὶ ἀρκτῴοις, ἐκάλεσε καὶ συνήθροισε· καὶ τοὺς τοιούτους συλλόγους πανταχοῦ γῆς καὶ θαλάττης ἐστὶν ἰδεῖν. ἐπὶ μέν τοι Ἰουδαίων ἀμυδρῶς τοῦτο γεγένηται· 6) τινῶν μὲν ὑπὸ Βαβυλῶνος 7) ἐπανελθόντων, ὀλίγων δέ τινων κατ᾽ ἐκεῖνον τοῦ καιροῦ συλλεγέντων ἐξ Αἰγύπτου, καὶ τῶν πλησιοχώρων ἐθνῶν. δ′. Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ 8) ἐν ἀνύδρῳ. Καὶ Βαβυλὼν ἔρημος καὶ ἄνυδρος· ἔρημος γὰρ ὑπῆρχε τοῦ Θεοῦ· καὶ τῆς πνευματικῆς ἀρδείας δουλεύον ἐκείνῃ ἐστέρητο τῶν Ἰουδαίων τὸ πλῆθος· καὶ οἱ ἐξ ἐθνῶν πεπιστευκότες ὡσαύτως ἐν ἐρήμῳ καὶ ἀνύδρῳ διῆγον, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ὄντες, φησὶν ὁ θεῖος ἀπόστολος. Ὁδὸν πόλεως κατοικητηρίου

1) Cod. 1. ἐχθρῶν. 2) Cod. 1. οὔπω. 3) οὐ. Abest a Cod. 1. 4) διάγουσι. Cod. 1. τυγχάνουσι, quod tamen alia manu scriptum esse videtur. 5) τμήμασιν. Cod. 1. add. θεωρουμένην, quod etiam aliam manum prodit. 6) τινῶν. Cod. 1. add. τῶν. 7) Cod. 1. ἐλθόντων, adscripta tamen altera lectione. 8) ἐν ἀνύδρῳ. *Hebr.* in solitudine viae s. in qua non est via. Sed οἱ ό. vocem דרך ad sequentia retulerunt.

a) 1 Thess. 4, 13.

ϱίου οὐχ εὗρον. οὔτε γὰρ Ἰουδαῖοι διαφυγεῖν τοὺς ἀνδραποδίσαντας ἴσχυον, καὶ τὴν οἰκείαν πατρίδα καταλαβεῖν· οὔτε οἱ ἐξ ἐθνῶν πεπιστευκότες, πρὸ τῆς τοῦ σωτῆρος ἐνανθρωπήσεως τὴν ἐπὶ τὴν θείαν πόλιν ἄγουσαν εὗρον ὁδόν· 1) πόλιν ἐνταῦθα νοητέον τὴν εὐσεβῆ πολιτείαν. ε΄. Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν. Θείας διδασκαλίας λιμὸς καὶ τούτους κἀκείνους ἐπίεζεν. Ἰουδαῖοι μὲν γὰρ ἐν Βαβυλῶνι δουλεύοντες, καὶ ἱερέων ἐστέρηντο, καὶ τὴν κατὰ νόμον λατρείαν πληροῦν οὐκ ἠδύναντο· τὰ δὲ ἔθνη πάλιν οὔτε νόμον θεῖον ἐδέδεκτο, οὔτε πνευματικῆς διδασκαλίας ἀπήλαυε, δι᾽ ὧν αἱ ψυχαὶ πεφύκασι τρέφεσθαι· τοῦτον μέν τοι τὸν λιμὸν Ἰουδαίοις ἠπείλησεν ὁ Θεός. ἐπάξω γὰρ, ἔφη, 2) λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. ϛ΄. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς. 3) Τῶν μὲν Ἰουδαίων οἱ εὐσεβέστεροι τῷ Θεῷ τὴν 4) ἱκετείαν προσήνεγκαν· καὶ τοῦτο ἡμᾶς 5) καὶ ἡ τοῦ Δανιὴλ προφητεία διδάσκει. καὶ αὐτὸς γὰρ, καὶ Ἀνανίας, καὶ Ἀζαρίας, καὶ Μισαὴλ, ὑπὲρ πάντων ποτνιώμενοι, τὸν θεῖον ἐζήτησαν ἔλεον. τὰ δὲ ἔθνη ἔστενε μὲν ταῖς παντοδαπαῖς προσπαλαίοντα συμφοραῖς, καὶ οἰμωγαῖς, καὶ θρήνοις ἀπαραμυθήτοις ἐκέχρηντο, τῆς ἀναστάσεως οὐκ ἔχοντα τὴν ἐλπίδα, οὐ 6) μὲν τὴν λύσιν τῶν κατεχόντων δεινῶν ἐκ τοῦ Θεοῦ τῶν ὅλων 7) ἐζήτησαν· εἶδε δὲ ὅμως στένοντας ὁ φι-

culi non inuenerunt. Nec enim Iudaei eos, a quibus captiui facti sunt, declinare potuerunt, seque in patriam suam recipere: neque ii qui ex gentibus crediderunt, ante Saluatoris incarnationem, viam ad diuinam ciuitatem ducentem inuenerunt. Ciuitas hic intelligenda est pia conuersatio. 5. *Esurientes et sitientes, anima eorum in ipsis defecit.* Diuinae doctrinae fames et hos et illos premebat. Iudaei enim Babylone seruientes, et sacerdotibus orbati erant, et cultum secundum legem perficere minime poterant. Ceterum gentes neque diuinam acceperant legem, neque spirituali doctrina fruebantur, quibus animae nutriri solent. Hanc igitur famem Iudaeis Deus minitatus est, Inducam enim, ait, a) famem super terram: non famem panis, neque sitim aquae, sed famem audiendi verbum Dei. *6. *Et clamauerunt ad Dominum cum tribularentur, et ex angustiis eorum eripuit eos.* Iudaeorum quidem religiosissimi quique Deo preces obtulerunt, et hoc Danielis quoque vaticinatio b) nos docet. Etenim et ipse, et Ananias, et Azarias, et Misaël pro omnibus precantes diuinam efflagitabant misericordiam. At gentes, cum omnis generis calamitatibus colluctantes, ingemiscebant quidem, et eiulatibus fletibusque grauissimis vtebantur, resurrectionis spem non habentes: depulsionem vero malorum, a quibus detinebantur, a Deo vniuersorum non expetebant. Vidit tamen eos lugentes beni-

1) πόλιν. Cod. 1. add. δέ. 2) λιμόν. Abest a Cod. 1. 3) Τῶν — ἐζήτησαν ἔλεον. Des. apud CORD. T. III. p. 181. 4) Cod. 1. ἱκετηρίαν. 5) καί. Abest a Cod. 1. 6) Cod. 1. μήν. 7) Cod. 1. ἐζήτησαν.

a) Am. 8, 11. b) Daniel. 2.

benignus Deus, et misericordem se exhibuit. 7. *Et deduxit eos in viam rectam, vt irent in ciuitatem habitationis.* Iudæis enim per Cyrum Persam reditum donauit: gentes vero per sanctissimos apostolos deduxit, supernamque ciuitatem iis ostendit, quæ fundamenta in montibus sanctis habet, cuius artifex et opifex est Deus. 8. *Confiteantur in honorem Domini misericordiam eius, et mirabilia eius inter filios hominum.* Symmachus autem sic, Et prodigia eius erga filios hominum edita. Hymnum sane gratiarum actionis non misericordia Deo offert, nec etiam mirabilia, sed ii qui tot bona perceperunt. Nam admirabilis quidem, et admiratione digna Iudæorum libertas fuit: sed longe admirabilior, et omni admiratione dignior, orbis salus, et mutatio in melius, erroris que cessatio, et veritatis cognitio. Horum autem omnium diuina misericordia conciliatrix fuit. Non enim *a*) propter iustitias nostras, quas fecimus, vt ait diuinus apostolus, sed secundum multam suam misericordiam saluos nos fecit per lauacrum regenerationis, et renouationis Spiritus sancti, quem effudit in nos abunde. 9. *Quoniam satiauit animam inanem, et animam esurientem impleuit bonis.* 10. *Sedentes in tenebris et vmbra mortis, vinctos mendicitate et ferro.* Et Iudæos seruituti et ærumnæ addictos, et fame confectos, a ma-

λάνθρωπος, καὶ τὸν 1) ἔλεον ὤρεξεν. ζ'. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. Ἰουδαίοις μὲν γὰρ διὰ Κύρου τοῦ Πέρσου τὴν ἐπάνοδον ἐδωρήσατο· τὰ δὲ ἔθνη διὰ τῶν ἁγίων ἐποδήγησεν ἀποστόλων, καὶ τὴν ἄνω πόλιν ὑπέδειξε, τὴν 2) ἐν ὄρεσιν ἁγίοις τοὺς θεμελίους ἔχουσαν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. η'. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὁ δὲ Σύμμαχος οὕτως· καὶ τὰ τεράστια αὐτοῦ τὰ εἰς τοὺς υἱοὺς τῶν ἀνθρώπων· τὸν μέν τοι χαριστήριον ὕμνον οὐχ ὁ ἔλεος τῷ Θεῷ προσφέρει, οὔτε 3) μὲν τὰ θαυμάσια, ἀλλ' οἱ τῶν τοσούτων ἀγαθῶν ἀπολαύσαντες· θαυμαστὴ μὲν γὰρ καὶ ἀξιάγαστος καὶ Ἰουδαίων ἐλευθερία· 4) θαυμασιωτέρα δὲ καὶ ἀξιαγαστοτέρα τῆς οἰκουμένης ἡ σωτηρία, καὶ ἡ ἐπὶ τὸ κρεῖττον μεταβολὴ, καὶ τῆς πλάνης ἡ παῦλα, καὶ τῆς ἀληθείας ἡ γνῶσις. τούτων δὲ πάντων ὁ θεῖος πρόξενος ἔλεος· οὐ γὰρ διὰ τὰς δικαιοσύνας ἡμῶν, 5) ἃς ἐποιήσαμεν, 6) φησὶν ὁ θεῖος ἀπόστολος, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως. θ'. Ὅτι ἐχόρτασε ψυχὴν 7) κενὴν, καὶ 8) ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. ι'. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. 9) Καὶ Ἰουδαίους δουλείᾳ καὶ κακουχίᾳ συνεζευγμένους, καὶ λιμῷ τηκομένους, τῶν κατεχόντων

1) ἔλεον ὤρεξεν. His quædam subiiciuntur apud CORD. l. c. 2) ἐν ὄρεσιν ἁγίοις. Def. in Cod. 1. 3) Cod. 1. μήν. 4) Cod. 1. θαυμαστότερα. 5) ἃς ἐποιήσ. Def. in Cod. 1. 6) φησίν. Cod. 1. præm. ἤ. 7) κενήν. *Hebr.* sitientem. 8) ψυχήν. Abest a Cod. vat. 9) Καὶ Ἰουδ. κ. τ. λ. Alia exstant apud CORD. l. c. p. 183.

a) Tit. 3, 5. 6.

χόντων δεινῶν ἠλευθέρωσε· καὶ ἅπασαν ἀνθρώπων τὴν φύσιν ταῖς θείαις διδασκαλίαις διέθρεψε, καὶ τοῦ ζόφου τῆς ἀγνοίας ἐλευθερώσας, τῷ φωτὶ τῆς θεογνωσίας κατηύγασε, καὶ τὴν ἐπικειμένην τοῦ θανάτου σκιὰν ἀπεσκέδασε, τῆς ἀναστάσεως δεδωκὼς τὴν ἐλπίδα· καὶ διέῤῥηξε τὰ ἰσχυρὰ τῆς ἁμαρτίας δεσμά. σειραῖς γάρ φησι τῶν ἑαυτοῦ 1) ἁμαρτημάτων ἕκαστος σφίγγεται, καὶ οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας αὐτῶν. ια΄. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ θεοῦ, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν. ιβ΄. 2) Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν· ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν. Τούτων δὲ πάντων 3) αἴτιον τῶν ἀλγεινῶν, καὶ Ἰουδαίοις, καὶ μέντοι καὶ πᾶσιν ἀνθρώποις, ἡ ἁμαρτία· κἀκεῖνοι γὰρ δίκας τίνοντες ἐξεδόθησαν τῇ Βαβυλωνίων δουλείᾳ· καὶ πάντες ἄνθρωποι, μετὰ τὴν παράβασιν τῆς ἐντολῆς, ὑπεβλήθησαν τῇ τῶν πόνων ταλαιπωρίᾳ. μετὰ ταῦτα γὰρ ἤκουσεν Ἀδὰμ, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ 4) σοι, ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· 5) τοσαύταις περιστοιχιζόμενοι συμφοραῖς λύσιν οὐδεμίαν εὕροντο τῶν ἐπικειμένων κακῶν, ἀλλ' ὁ ταύταις αὐτοὺς συγκληρώσας, αὐτὸς καὶ τὴν τούτων ἀπαλλαγὴν ἐδωρήσατο. 6) Φησὶ γάρ· ιγ΄. Καὶ

lis quibus detinebantur liberauit, et totam hominum naturam diuinis doctrinis aluit, et ab ignorantiae caligine liberatam, lumine diuinae cognitionis illustrauit, * et incumbentem mortis vmbram discussit, cum resurrectionis spem dedisset, et fortissima peccati vincula disrupit. Vnusquisque enim, inquit, a) suorum peccatorum catenis stringitur. Et, b) Vae illis qui sua peccata veluti longo funiculo trahunt, et tanquam loro iugi iuuencae iniquitates suas. 11. *Quia exacerbauerunt eloquia Dei, et consilium Altissimi irritauerunt.* 12. *Et humiliatum est laboribus cor eorum; infirmati sunt, nec fuit qui adiuuaret.* Harum autem omnium calamitatum Iudaeis, atque etiam omnibus hominibus, peccatum caussa fuit. Nam et illi poenas pendentes Babyloniorum seruituti traditi fuere; et omnes homines, post praecepti transgressionem, laborum miseriis obnoxii fuerunt. Post haec enim audiuit Adam, c) Maledicta terra in operibus tuis, spinas et tribulos germinabit tibi. In doloribus comedes ex ea cunctis diebus vitae tuae: in sudore vultus tui vesceris pane tuo, donec reuertaris ad terram, de qua sumtus es, quoniam terra es, et in terram reuerteris. Talibus calamitatibus cincti, solutionem nullam imminentium malorum inuenerunt: sed ille, qui hisce malis hos addixit, ipse etiam liberationem ab his largitus est. Sic enim ait, 13. *Et clama-*

1) Cod. 1. ἁμαρτιῶν. 2) Καὶ ἐταπ. *Hebr.* Humiliauit itaque. 3) Cod. 1. αἰτία. 4) σοι. Cod. 1. add. ἡ γῆ. 5) τοσαύταις. Cod. 1. add. δέ. 6) Φησὶ γάρ. Deest in Cod. 1.

a) Prou. 5, 22. b) Es. 5, 18. c) Gen. 3, 17-19.

clamauerunt ad Dominum cum tribularentur, et ex angustiis eorum liberauit eos. 14. *Et eduxit eos e tenebris et vmbra mortis, et vincula eorum disrupit.* Miseratus enim et hos et illos, hos quidem ex impendentibus eripuit calamitatibus, hos vero ab ignorantiae tenebris liberauit, seruitutisque vincula disrupit. 15. *Confiteantur in honorem Domini misericordiam eius, et mirabilia eius inter filios hominum.* 16. *Quia contriuit portas aeneas, et vectes ferreos confregit.* Portas aeneas et vectes ferreos, malorum vim ineuitabilem nuncupauit. Sicut enim non potest fieri, vt is, qui intra tales ianuas et vectes detentus est, effugiat: sic fieri minime poterat, vt Iudaei Babyloniorum euaderent seruitutem, vel omnes homines mortis imperium. Sola autem diuina misericordia et illorum et huius potentiam euertere potuit, solutionemque a rebus tristibus praestare. * 17. *Suscepit eos de via iniquitatis eorum: propter iniustitias enim suas humiliati sunt.* Nec Iudaei, nec tota hominum natura iniuste in mala incidit: sed et isti et illi poenas eorum luunt, quae patrare ausi sunt. Veruntamen et hos et illos talibus malis implicatos salute dignatus est. 18. *Omnem escam abominata est anima eorum, et appropinquauerunt vsque ad portas mortis.* Nam Iudaei quidem tantis miseriis pressi, ipsum etiam cibum auersabantur. Hoc enim et in alio

ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. ιδ΄. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέῤῥηξεν. Οἰκτείρας γὰρ καὶ τούτους κἀκείνους, τοὺς μὲν τῶν ἐπικειμένων ἀπήλλαξε συμφορῶν, τοὺς δὲ τοῦ τῆς ἀγνοίας ἠλευθέρωσε σκότους, καὶ τῆς δουλείας διέῤῥηξε τὰ δεσμά. ιε΄. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. ις΄. Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς 1) συνέθλασεν. Πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς, τὸ ἄφυκτον ἐκάλεσε τῶν κακῶν· καθάπερ γὰρ τὸν ἔσω τοιούτων καθειργμένον θυρῶν τε καὶ μοχλῶν, 2) διαφεύγειν τῶν ἀδυνάτων· οὕτως ἀμήχανον ἦν καὶ Ἰουδαίους τὴν Βαβυλωνίων διαδρᾶναι δουλείαν, καὶ πάντας ἀνθρώπους τοῦ θανάτου τὴν δυναστείαν· μόνος δὲ ὁ θεῖος ἔλεος ἤρκεσε κἀκείνων καὶ τούτου διαλῦσαι τὸ κράτος, καὶ τῶν ἀνιαρῶν τὴν λύσιν χαρίσασθαι. ιζ΄. 3) Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν· διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν. Οὔτε Ἰουδαῖοι, οὔτε πᾶσα τῶν ἀνθρώπων ἡ φύσις, ἀδίκως τοῖς ἀνιαροῖς περιέπεσεν· ἀλλὰ καὶ οὗτοι κἀκεῖνοι δίκας ὧν ἐπλημμέλησαν τίνουσιν. ἀλλ᾽ ὅμως, καὶ τούτους κἀκείνους τοσούτοις ἐγκαλινδουμένους κακοῖς σωτηρίας ἠξίωσεν. ιη΄. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν· καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. Ἰουδαῖοι μὲν γὰρ, τῷ πλήθει συνεχόμενοι τῶν κακῶν, καὶ αὐτὴν ἀπεστρέφοντο τὴν τροφήν. τοῦτο γὰρ καὶ ἐν ἑτέρῳ ψαλμῷ,

1) συνέθλασεν. Cod. 1. συνέτριψεν. 2) Cod. 1. διαφυγεῖν. 3) Ἀντελ. αὐτῶν. Hebr. אולים *stulti*. Sed οἱ ό. aeque ac *Syrus* et *Arabs* legisse videntur הועילם vt felici coniectura statuit Cel. DATHE in Not. ad h. l. Interpretationis Syr.

ψαλμῷ, ὡς ἐξ ἐκείνων εἴρηκεν ὁ προφήτης, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. τὰ δὲ ἔθνη 1) οὐδὲ ταῖς τῶν οἰκείων φιλοσόφων διδασκαλίαις προσέχειν ἐβούλετο· οὗ δὴ χάριν, οἱ μὲν Σωκράτους κατεψηφίσαντο θάνατον· οἱ δὲ τὸν Ἀνάξαρχον ξένη παρέδωσαν 2) τιμωρία· 3) οἱ δὲ ἄλλοι τοῦ Πυθαγόρου διαδόχους πικρῶς αἰκισάμενοι, πρόωρον αὐτοῖς ἐπήγαγον θάνατον. 4) ἀλλ' ὅμως καὶ τούτοις ὁ τῶν ὅλων Θεὸς παρεσκεύασε μεταδοθῆναι τῆς ἀθανάτου τροφῆς, καὶ μετὰ πάσης ταύτῃ προσδραμεῖν προθυμίας ἀνέπεισε, καὶ τῶν τοῦ θανάτου πυλῶν ἠλευθέρωσε. ιθ. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Εἶτα διδάσκει τῆς σωτηρίας τὸν τρόπον. κ'. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ὁ γὰρ Θεὸς Λόγος ἐνανθρωπήσας, καὶ ἀποσταλεὶς, ὡς ἄνθρωπος· ὡς γὰρ Θεὸς, ἀπερίγραφος, καὶ πανταχοῦ πάρεστι, καὶ περιέχει τὰ σύμπαντα· τὰ παντοδαπὰ τῶν ψυχῶν ἰάσατο τραύματα, καὶ τοὺς διαφθαρέντας ἀνέῤῥωσε λογισμούς. 5) οὕτω τὴν ἁμαρτωλὸν ἐκείνην ἰάσατο γυναῖκα, καὶ θαῤῥεῖν παρεγγύησεν· οὕτω τὸν πηρωμένον ἔσφιγξεν εἰρηκὼς, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, οὕτως ἀνέῳξε τῷ λῃστῇ τὸν παράδεισον, οὕτω τοὺς τελώνας διδασκάλους τῆς οἰκουμένης ἀπέφηνεν, οὕτω τοὺς 6) παναγίῳ προσιόντας βαπτίσματι νεουργεῖ καὶ καθαίρει, καὶ τῶν τῆς ἁμαρτίας ἀπαλλάττει τραυμάτων. κα'. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη

psalmo, veluti ex illorum persona, propheta dixit, a) Quoniam oblitus sum comedere panem meum. Gentes vero nec ad suorum philosophorum doctrinas attendere volebant. Propterea hi quidem Socratem ad mortem condemnarunt: alii vero Anaxarchum inusitata morte multarunt: alii autem Pythagoræ successores acerbe cruciatos immatura morte affecerunt. Veruntamen et his vniuersorum Deus immortalem cibum impertiit, et cum omni animi promptitudine ad hunc accurrere persuasit, et a mortis ianuis vindicauit. 19. *Et clamauerunt ad Dominum cum tribularentur, et ex angustiis eorum liberauit eos.* Deinde salutis modum docet. 20. *Misit verbum suum, et sanauit eos: et eripuit eos e pernicie sua.* Nam cum Deus Verbum humanam naturam suscepisset, atque vt homo missus esset, (vt Deus enim, est incircumscriptus, et vbique adest, et omnia continet,) vniuersa animarum vulnera sanauit, mentesque corruptas curauit. Sic et mulierem illam peccatricem sanam fecit, b) et vt bono animo esset, præcepit. Sic paralyticum consolidauit, dicens, c) Remittuntur tibi peccata tua. Sic latroni paradisum reserauit, d) sic publicanos præceptores orbis terrarum reddidit, sic ad sanctum baptisma accedentes renouat et expiat, atque a peccati vulneribus liberat. 21. *Confiteantur in honorem Domini misericordiam eius,*

1) Cod. 1. οὐ. 2) Cod. 1. τιμωρίας ἰδίᾳ. 3) οἱ δὲ. Def. in Cod. 1. 4) ἀλλ' ὅμως. Cod. 1. ἀλλά. 5) οὕτω κ. τ. λ. Hæc def. apud CORD. p. 187. Similem locum vide p. 6) παναγ. Cod. 1. præm. τῷ.

a) Pf. 101, 4. b) Math. 9, 22. c) Luc. 5, 20. d) Ibid. c. 23, 43.

eius, et mirabilia eius inter filios hominum. 22. *Et sacrificent ei sacrificium laudis, et annuncient opera eius cum exultatione.* Pro hisce omnibus iustum est, ait, laudibus prosequi benignum Deum, * qui tali misericordia vsus est, et admirandam salutem nobis est largitus. Oportet autem nos, non solos diuina miracula scire, sed ignorantes docere, et omnes ad canendas laudes accendere. Notandum est igitur, quod sacrificium laudis Deo offerre hîc etiam admonuerit, non autem hostias brutorum animalium. Quapropter hîc quoque cultum qui est secundum legem reiicit. *Sacrificium* vero *laudis*, Aquila sacrificium gratiarum actionis appellauit. 23. *Qui descendunt in mare nauibus, facientes opus in aquis multis.* 24. *Ipsi viderunt opera Domini, et mirabilia eius in profundo.* Per similitudinem propheta hæc posuit. Dicit autem hoc, Quemadmodum qui nauigant, et magna secant maria, præ ceteris diuina miracula cernunt, quum in graues tempestates incidunt, et præter omnem humanam spem salutem consequuntur: sic et Iudæi, cum in calamitates illas incurrissent, et libertatem recepissent, diuinam didicerunt potentiam. Atque etiam omnes homines, nouam rerum mutationem conspicientes, et pristini erroris cessationem, animarumque tranquillitatem, ac resurrectionis portum, horum largitorem laudibus celebrant.

αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. κβʹ. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει. Ὑπὲρ δὴ τούτων ἁπάντων 1) ὑμνεῖν, φησὶ, δίκαιον, τὸν φιλάνθρωπον 2) Θεὸν, ἐλέῳ τοσούτῳ χρησάμενον, καὶ τὴν παράδοξον ἡμῖν δωρησάμενον σωτηρίαν. χρὴ δὲ μὴ μόνους εἰδέναι τὰς θείας θαυματουργίας, ἀλλὰ καὶ τοὺς ἀγνοοῦντας διδάσκειν, καὶ πάντας διεγείρειν εἰς ὑμνῳδίαν. ἐπισημήνασθαι μέν τοι δεῖ, ὡς αἰνέσεως θυσίαν καὶ ἐνταῦθα προσενεγκεῖν τῷ Θεῷ παρεγγύησε, καὶ οὐ τῶν ἀλόγων τὰ θύματα. τοιγαροῦν ἐκβάλλει καὶ ἐνταῦθα τὴν κατὰ νόμον λατρείαν· τὴν δὲ τῆς αἰνέσεως θυσίαν ὁ Ἀκύλας θυσίαν εὐχαριστίας προσηγόρευσεν. κγʹ. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, 3) ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς. κδʹ. Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ. Παραβολικῶς ταῦτα τέθεικεν ὁ προφήτης. λέγει δὲ τοῦτο, ὅτι καθάπερ οἱ ναυτιλλόμενοι, καὶ τὰ μεγάλα διαπερῶντες πελάγη, διαφερόντως τὰς θείας μεγαλουργίας ὁρῶσι, κλύδωσι μὲν χαλεποῖς περιπίπτοντες, παρὰ πᾶσαν δὲ ἀνθρωπίνην ἐλπίδα τῆς σωτηρίας ἀπολαύοντες· οὕτω καὶ Ἰουδαῖοι ταῖς συμφοραῖς ἐκείναις περιπεσόντες, καὶ τὴν ἐλευθερίαν 4) ἀπειληφότες, τὴν θείαν κατέμαθον δύναμιν. καὶ μὲν δὴ καὶ πάντες ἄνθρωποι τὴν ξένην τῶν πραγμάτων ὁρῶντες μεταβολὴν, καὶ τῆς προτέρας ἀπάτης τὴν παῦλαν, καὶ τῶν ψυχῶν τὴν γαλήνην, καὶ τῆς ἀναστάσεως τὸν λιμένα, τὸν τούτων θαυμάζουσι χορηγόν.

1) Cod. 1. ἀνυμνεῖν. 2) Θεόν. Abest a Cod. 1. 3) ποιοῦντες. Repetitum in Cod. 1. ex errore Librarii, vt videtur. 4) Cod. 1. εἰληφότες.

γιόν. κε'. Εἶπε, 1) καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς. κς'. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων. Καὶ διὰ τούτων ἐδίδαξεν, ὡς αὐτοῦ νεύοντος, καὶ τὰ λυπηρὰ γίγνεται, καὶ τὰ θυμήρη προσγίνεται. Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο. κζ' Ἐταράχθησαν, 2) καὶ ἐσαλεύθησαν, ὡς ὁ μεθύων· καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Ἐπέμεινε τῇ τροπῇ· καὶ δοκεῖ μὲν περὶ τῶν ναυτιλλομένων λέγειν· αἰνίττεται δὲ διὰ τούτων τὰς παντοδαπὰς τῆς φύσεως συμφοράς· ἃς οὐδεὶς ἀνθρωπίνῃ σοφίᾳ χρώμενος ἱκανὸς διαλῦσαι. οὐδὲ γὰρ οἱ κυβερνῆται, τῇδε κἀκεῖσε μεθυόντων δίκην περιφερόμενοι, ὅτ' ἂν ὑπάρχῃ τὸ κλυδώνιον, πᾶσαν εἰσφέροντες τὴν τέχνην, περιγενέσθαι δύνανται τῶν δεινῶν. κη'. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς. κθ'. 3) Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς. λ'. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν. Κἀκείνοις δὲ τοῖς πλέουσιν ἐπικαλουμένοις τὴν οἰκείαν ῥοπὴν ὀρέγει, καὶ νεύει· καὶ παραχρῆμα εἰς αὔραν πραεῖαν ἡ καταιγὶς μεταβάλλεται, καὶ τῆς ζάλης τὸ πέλαγος ἀπαλλάττεται, καὶ οἱ λυπηροῖς τισὶ προσπαλαίοντες διὰ τῆς αὐτοῦ χάριτος μεταβολὴν εὑρίσκουσι τῶν κακῶν. 4) οὕτως Ἰουδαῖοι τῆς πικρᾶς δουλείας ἐκείνης ἠλευθερώθησαν. καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος 5) αὐτοῦ. ἅμα γὰρ ἠθέλησε, καὶ λύσις ἐγένετο τῶν κακῶν, καὶ ἀντὶ τοῦ κλυδῶνος ὁ λιμὴν ἀνεφάνη· καὶ τοῦτο δὲ μᾶλλον ἡμῖν, ἢ ἐκείνοις ἁρμόδιον. ἡμᾶς

25. *Dixit, et stetit spiritus procellae, et exaltati sunt fluctus eius.* 26. *Adscendunt vsque ad caelos, et descendunt vsque ad abyssos.* His quoque verbis docuit, ipso annuente et tristia fieri, et postea iucunda succedere. *Anima eorum malis tabescebat.* 27. *Turbati sunt, et moti sunt sicut ebrius, et omnis sapientia eorum absorpta est.* Perstat in similitudine. Et videtur quidem de nauigantibus loqui; per haec autem innuit varias ac multiplices animae calamitates, quas nemo humanae sapientiae vi discutere potest. Nec enim nauium gubernatores, huc et illuc ebriorum instar agitati, cum adest tempestas, omnem adhibentes artem, mala superare possunt. 28. *Et clamauerunt ad Dominum cum tribularentur, et ex angustiis eorum eduxit eos.* *29 *Et praecepit procellae eius, et constitit aura, et siluerunt fluctus eius.* 30. *Et laetati sunt, quia siluerunt.* Porro et illis qui nauigant ipsum inuocantibus opem suam confert, et annuit, statimque in tranquillam auram procella conuertitur, et pelagus a fluctibus liberatur, et qui cum tristibus rebus colluctabantur, per eius gratiam malorum mutationem nanciscuntur. Sic Iudaei ab acerba illa seruitute liberati fuere. *Et deduxit eos in portum voluntatis suae.* Simulac enim voluit, mala quoque depulsa sunt, et pro tempestate portus apparuit. Et hoc nobis potius quam illis congruens est. In volun-

1) καὶ ἔστη. *Hebr.* et stare fecit, s. excitauit. 2) καί. Abest a Cod. 1. et a Textu τῶν ό. 3) Καὶ—αὔραν. *Hebr.* stare fecit turbinem in silentium. *Theodot.* καὶ ἔστησε τὴν καταιγίδα αὐτῶν εἰς αὔραν. *Symm.* στήσαντος αὐτοῦ τὴν καταιγίδα εἰς γαλήνην. 4) Cod. 1. οὕτω καί. 5) Cod. *vatic.* αὐτῶν.

ἐκείνη· πῶς γὰρ ἦγε τῷ Θεῷ συνημμένη Λόγῳ, καὶ τῶν ἁπάντων δεξαμένη τὴν δεσποτείαν; ἀλλ᾽ ἵνα δειχθῇ τῆς φύσεως αὐτῆς τὸ ἴδιον. οὐκ ἀξιώματος τοίνυν ἐνταῦθα τὸ δοῦλος, ἀλλὰ φύσεως δηλωτικόν. κθ΄. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην 1) αὐτῶν. Πάλιν τοὺς ἐνδιαβάλλοντας οἱ λοιποὶ ἀντικειμένους ἡρμήνευσαν· μαρτυρεῖ δὲ τῇ προφητείᾳ τὰ πράγματα, ἐν αἰσχύνῃ γὰρ ἐκεῖνοι διηνεκεῖ, καὶ ταύτην ἀμπέχονται καθάπερ τὶ περιβόλαιον. λ΄. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Κεφαλὴ τῆς ἐκκλησίας ὁ Δεσπότης καλεῖται Χριστὸς, καὶ σῶμα αὐτοῦ χρηματίζει τῆς ἐκκλησίας ὁ σύλλογος. οἰκεῖον δὲ ὕμνον τὸν ταύτης ὕμνον καλεῖ. λα΄. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι 2) ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν 3) μου. Τοῦτο καὶ ἐν τῷ ΙΕ΄ εἴρηκε ψαλμῷ· προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. ἀχώριστον γὰρ ἡ θεία φύσις ποιησαμένη τὴν ἕνωσιν, παρῆν μὲν τῇ ἀνθρωπείᾳ φύσει, συνεχώρει δὲ πάσχειν, τῶν ἀνθρώπων πραγματευομένη τὴν σωτηρίαν· ῥᾴδιον μὲν γὰρ ἦν αὐτῷ, ἀθάνατον 4) αὐτὴν ἣν ἀνέλαβεν ἀπεργάσασθαι φύσιν. ἐπειδὴ δὲ 5) σωτηρία ἦν τοῦ κόσμου τὸ πάθος, συνεχώρησε γενέσθαι τὸ πάθος, 6) μετὰ τὸ πάθος τῆς ἀθανασίας καὶ τῆς ἀφθαρσίας μετέδωκε· καὶ βλάβην μὲν αὐτὸς ἐκ τῶν ταύτης παθῶν οὐδεμίαν ἐδέξατο, τῆς δὲ οἰκείας αὐτὴν ἐπλήρωσε δόξης, καὶ σὺν αὐτῇ βασιλεύει, καὶ τῶν

1) αὐτῶν. Cod. 1. add. ἀντὶ τοῦ διπλουμένην χλανίδα ἐν τῷ φορεῖσθαι. 2) ἐκ τῶν καταδ. *Hebr.* a iudicibus sc. iniquis. *Aqu.* et *Symm.* ἀπὸ τῶν κρινόντων. Edit. V. ἐκ τῶν δικαζομένων. 3) μου. *Hebr.* animam eius. 4) αὐτήν. Cod. 1. εὐθύς. 5) Cod. 1. σωτήριον. 6) μετά. Cod. 1. præm. καί. a) Ps. 15, 8.

τῶν ἁπάντων κρατεῖ· ἡνίκα δὲ φθαρτὴν εἶχεν 1) αὐτὴν τὴν φύσιν, ἀνθρωπίνως ἅπαντα, πλὴν ἁμαρτίας, συνεχώρει καὶ πάσχειν καὶ φθέγγεσθαι.

ΕΡΜΗΝ. ΤΟΥ ρθʹ. ΨΑΛΜΟΥ.

αʹ. Ψαλμὸς τῷ Δαβίδ. Τὸ περὶ τοῦ σωτηρίου πάθους ἐν τῷ προτεταγμένῳ προθεσπίσας ψαλμῷ, 2) προαγορεύει τὴν μετὰ τὸ πάθος ἀνάληψιν τοῦ σωτῆρος. μέμνηται δὲ τοῦ προοιμίου τοῦ ψαλμοῦ καὶ ὁ θειότατος Πέτρος ἐν ταῖς πράξεσι· λέγει δὲ οὕτως· οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· καὶ αὐτὸς δὲ ὁ Κύριος, ὁρῶν τοὺς Φαρισαίους ἄλλας περὶ Χριστοῦ δόξας ἔχοντας, πεῦσιν αὐτοῖς τοιάνδε προσήνεγκε· τί ὑμῖν δοκεῖ περὶ Χριστοῦ, τίνος ἐστὶν υἱός; εἰρηκότων δὲ ἐκείνων τοῦ Δαβίδ, ἀπεκρίνατο, πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων, εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; εἶτα ἐπισυλλογίζεται, εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν ἐν πνεύματι Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; τοῦτο δὲ ἔφη, οὐκ ἐκβάλλων 3) τὸ εἶναι υἱὸν τοῦ Δαβὶδ τὸν Χριστὸν, ἀλλὰ τῷ ὁμολογουμένῳ 4) τὸ ἀγνοούμενον προστιθείς· τὸ μὲν γὰρ υἱὸν εἶναι τοῦ Δαβὶδ τὸν Χριστὸν ὡμολόγουν οἱ Φαρισαῖοι· ὅτι δὲ καὶ Κύριος ἦν τοῦ Δαβίδ, ἠγνόουν παντάπασι· τὸ λεῖπον τοίνυν προστίθησιν, οὐ τὸ ὁμολογούμενον ἀναιρεῖ, διδάσκων ὡς ὁ αὐτὸς καὶ υἱὸς αὐτοῦ κατὰ σάρκα, καὶ Κύριος αὐτοῦ ὡς Θεὸς καὶ δημιουργός· σαφῶς τοίνυν ὁ μακάριος Δαβὶδ τὴν τοῦ Δεσπότου Χριστοῦ κηρύττει θεότητα, καί φησιν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ

rebusque omnibus dominatur. Quamdiu autem morti obnoxiam illam habuit, humano more omnia, præter peccatum, et pati et loqui permittebat.

* INTERPR. PS. CIX.

1. *Psalmus Dauidi.* Cum in proximo ante hunc psalmo salutarem passionem prædixisset, prædicit nunc Saluatoris adsumtionem, quæ post passionem facta est. Meminit autem exordii huius psalmi diuinissimus Petrus in Actibus. Dicit autem sic, a) Non enim Dauid adscendit in cælos: dicit autem ipse, Dixit Dominus domino meo, Sede a dexteris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. Et ipse Dominus videns Pharisæos alias de Christo opiniones habere, huiusmodi quæstionem ipsis proposuit, b) Quid vobis videtur de Christo, cuius est filius? Cum autem illi dixissent Dauidis, respondit, quomodo ergo Dauid in spiritu Dominum ipsum vocat, dicens, Dixit Dominus domino meo? Deinde argumentatur, Si Dauid vocat ipsum in spiritu Dominum, quomodo filius ipsius est? Hoc autem dicit, non inficiando quin Christus filius esset Dauidis, sed adiungendo id quod ignorabatur ei quod in confesso erat. Christum enim filium esse Dauidis confitebantur Pharisæi, sed Dauidis esse Dominum penitus ignorabant. Adiungit igitur quod deerat, sed rem confessam minime tollit, docens ipsum et filium esse Dauidis secundum carnem, et eiusdem esse Dominum, tanquam Deum et creatorem. Manifeste ergo beatus Dauid diuinitatem Christi Domini prædicit, et ait: *Dixit Dominus Domino meo,*

1) Cod. 1. αὐτῇ. 2) προαγ. Cod. 1. add. νῦν. 3) Cod. 1. τοῦ. 4) Cod. 1. τόν.
a) Act. 2, 34. 35. b) Matth. 22, 42-45.

meo, *Sede a dexteris meis.* Si Dauid rex, et pius rex, qui prophetiæ quoque gratia donatus est, Dominum suum vocat Christum, profecto non solum est homo secundum Iudæorum insaniam, sed * etiam est Deus, quippe Dauidis conditor, et dominus. Ceterum communio nominum identitatem substantiæ ostendit: Dominus enim Domino dicit, et non Dominus creaturæ, neque Dominus figmento. *Sede a dexteris meis.* Magnum hoc etiam est, et non modo supra humanam naturam, verum etiam supra omnem creaturam. Ceterum hoc humano etiam more dictum est. Nam vt Deus, filius sempiternum habet thronum: Thronus * enim tuus, * inquit; *a)* Deus in sæculum sæculi. Non enim post crucem et passionem hoc honore donatus est vt Deus, sed vt homo accepit, quod vt Deus habebat. Neque enim cum humilis esset, sublimis effectus est: sed cum altissimus esset, cumque formam Dei haberet, humiliauit semet ipsum, formam serui accipiens. *b)* Idcirco et euangelista exclamat, *c)* Vnigenitus filius, qui est in sinu patris, ipse enarrauit. Et ipse Dominus ait, *d)* Ego in patre, et pater in me est. Et alibi, *e)* Glorifica me tu pater gloria, quam habui apud te, priusquam mundus fieret. Vt homo igitur audit, *Sede a dexteris meis:* nam vt Deus, sempiternum habet imperium. *Donec ponam inimicos tuos scabellum pedum tuorum.* Inimici potissimum sunt diabolus, et huius ministri dæmones, et insuper qui diuinis eius prædicationibus resistunt, nimirum Iu-

μου, 1) κάθου ἐκ δεξιῶν μου. Εἰ Δαβὶδ ὁ βασιλεύς, 2) καὶ εὐσεβὴς βασιλεύς, ὁ καὶ προφητικῆς χάριτος ἠξιωμένος, Κύριον ἑαυτοῦ καλεῖ τὸν Δεσπότην Χριστὸν, οὐκ ἄρα μόνον ἄνθρωπος κατὰ τὴν Ἰουδαίων ἄνοιαν, ἀλλὰ καὶ Θεός, ὡς τοῦ Δαβὶδ δημιουργός τε καὶ κύριος. καὶ τὸ κοινὸν δὲ τῶν ὀνομάτων τὴν ταυτότητα τῆς οὐσίας δηλοῖ. 3) Κύριος γὰρ Κυρίῳ λέγει, καὶ οὐ Κύριος κτίσματι, οὐδὲ Κύριος ποιήματι. Κάθου ἐκ δεξιῶν μου. Μέγα μὲν οὖν καὶ τοῦτο· καὶ οὐ μόνον ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ καὶ ὑπὲρ ἅπασαν τὴν κτίσιν. πλὴν ἀνθρωπίνως καὶ αὐτὸ εἴρηται· ὡς γὰρ Θεός, ὁ υἱὸς αἰώνιον ἔχει τὸν θρόνον· ὁ θρόνος σου γάρ, φησίν, ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. οὐ γὰρ μετὰ τὸν σταυρὸν, καὶ τὸ πάθος, ταύτης ὡς Θεὸς 4) τιμῆς ἠξιώθη· ἀλλ' ἔλαβεν ὡς ἄνθρωπος, ὅπερ εἶχεν ὡς Θεός· οὐ γὰρ ταπεινὸς ὢν ὑψώθη, ἀλλ' ὕψιστος ὤν, καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἐταπείνωσεν ἑαυτὸν μορφὴν δούλου λαβών. διὸ καὶ ὁ εὐαγγελιστὴς βοᾷ, ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο. καὶ αὐτὸς δὲ ὁ Κύριός φησιν, ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ ἀλλαχοῦ, δόξασόν με σὺ πάτερ τῇ δόξῃ, ᾗ εἶχον παρά σοι πρὸ τοῦ τὸν κόσμον γενέσθαι· ὡς ἄνθρωπος τοίνυν ἀκούει, κάθου ἐκ δεξιῶν μου· ὡς γὰρ Θεός, αἰώνιον ἔχει τὸ κράτος. Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ἐχθροὶ διαφερόντως μὲν ὁ διάβολος, καὶ οἱ τούτου διάκονοι δαίμονες, πρὸς δὲ τούτοις καὶ οἱ τοῖς θείοις αὐτοῦ κηρύγμασιν ἀντιπίπτοντες, Ἰουδαῖοι

1) κάθου — μου. Des. in Cod. 1. 2) καί. Cod. 1. præm. καὶ μέγας βασιλεύς. 3) Κύριος κ. τ. λ. Hæc ἀνωνυμεὶ exhibuit CORD. T. III. p. 243 sq. 4) τιμῆς. Cod. 1. præm. τῆς.

a) Ps. 44, 6. b) Phil. 2, 6. 7. c) Ioh. 1, 18. d) Ib. c. 14, 11. e) Ib. c. 17, 5.

δαῖοι καὶ Ἕλληνες. τὸ δὲ 1) ἕως, οὐ χρόνου σημαντικὸν, ἀλλ' ἰδίωμα τῆς θείας γραφῆς. οὕτω γὰρ καὶ διὰ τοῦ προφήτου φησὶν ὁ Θεὸς, ἐγώ εἰμι, ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε ἐγώ εἰμι. δῆλον δὲ ὅτι οὐ συμπεριορίζεται τὸ εἶναι τοῦ Θεοῦ 2) τῷ γήρει τῶν ἀνθρώπων. εἰ γὰρ περὶ οὐρανοῦ καὶ γῆς φησὶν ὁ προφήτης, αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. καὶ πάλιν, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι· πολλῷ μᾶλλον, ἀνθρώπων καὶ γηρώντων καὶ τελευτώντων, διαμένει τῶν ὅλων ὁ 3) Δεσπότης. τοῦτο ἔοικε τῷ ἀποστολικῷ ἐκείνῳ ῥητῷ, δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. οὐδὲ γὰρ ἐνταῦθα τὸ ἄχρις 4) οὐ χρόνου δηλωτικόν. ποῖον γὰρ ἂν ἔχοι λόγον, ἔτι μέν τινων ἀντιλεγόντων βασιλεύειν αὐτὸν, μετὰ δὲ τὴν ἁπάντων ὑποταγὴν ἀφαιρεῖσθαι τὴν βασιλείαν; καὶ 5) μὲν Δανιὴλ ὁ προφήτης, μετὰ τὴν τῶν θηρίων ἀναίρεσιν, αὐτὸν ἔφη βασιλεύειν εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ μὴ ἔσεσθαι τέλος. πῶς δὲ καὶ οἱ ἅγιοι συμβασιλεύουσιν, ἢ τίνι 6) συμβασιλεύουσι, τοῦ τὴν βασιλείαν ὑποσχομένου ἀποτιθεμένου τὴν βασιλείαν; οὐκ οὖν τὸ ἕως οὗ χρόνου δηλωτικὸν, ἀλλὰ κατὰ ἰδίωμα τῆς θείας κεῖται γραφῆς.

β'. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ 7) σοι Κύριος ἐκ Σιών. Ἡ μὲν ἐξ Ἰεσσαὶ ῥάβδος ἐκ Βηθλεέμ· ἐξελεύσεται γάρ φησι ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα Θεοῦ. καὶ

dæi et gentiles. Illud autem *Donec* non tempus denotat, sed idioma sacrarum literarum. Sic enim et per prophetam dicit Deus, *a*) Ego sum, ego sum, et donec senescatis, ego sum. Patet autem, essentiam Dei hominum senectute minime terminari. Si enim de cælo et terra propheta dicit, *b*) Ipsi peribunt, tu autem permanes: et rursus, *c*) Tu autem idem ipse es, et anni tui non deficient: multo magis, licet homines senescant et moriantur, vniuersorum Dominus permanet. Hoc apostolico illi dicto simile est, *d*) Oportet enim ipsum regnare, donec ponat omnes inimicos suos sub pedes eius. Nec enim *Donec* hoc in loco tempus indicat: quam enim haberet rationem adhuc aliquibus repugnantibus ipsum regnare, post omnium autem subiectionem regno priuari? Atqui Daniel propheta, post ferarum internecionem regnare illum ait *e*) in sæcula, et regni eius non fore finem. Quomodo autem et sancti simul cum ipso regnant, vel cum quo simul regnant, cum is, qui regnum promisit, regnum deponat? Itaque *Donec* non tempus significat: sed secundum diuinæ scripturæ idioma positum est. 2. *Virgam roboris mittet tibi Dominus e Zione. Virga* quidem ex Iesse est ex Bethleem, Egredietur enim, inquit, *f*) virga ex radice Iesse, et flos ex radice adscendet, et requiescet super eum spiritus Domini. Quæ

1) ἕως. Cod. 1. add. οὗ. 2) τῷ γήρει. Cod. 1. τὸ γῆρας. 3) Δεσπότης. Cod. 1. ποιητής. 4) οὐ. Abest a Cod. 1. 5) μέν. Cod. 1. τοι. 6) Cod. 1. συμβασιλεύσουσιν. 7) σοι. Abest a Textu hebr. additum vero a Syro quoque et ab Arabe.

a) Exod. 3, 14. coll. Es. 46, 4. *b*) Ps. 101, 26. *c*) Ib. vers. 27. *d*) 1 Cor. 15, 25. *e*) Dan. 7, 27. *f*) Es. 11, 1. 2.

porro sequuntur etiam * salutaris crucis virgæ imperium declarant: per illam enim totam inimicorum aciem subegit. In Zione autem hæc fixa fuit. *Et dominare in medio inimicorum tuorum.* Non enim secundis ventis ferebantur diuinorum euangeliorum præcones: sed a Græcis et Barbaris obsessi, vndisque impietatis circumclusi, hostibus dominati sunt, plurimosque conuerterunt, et veluti captiuos regi adduxerunt, et vt huius seruitutem amplecterentur, fecerunt. 3. *Tecum principatus in die virtutis tuæ, in splendoribus sanctorum tuorum.* Immortale habes imperium: potissimum autem hoc ostendes die iudicii, quo claros et illustres reddes sanctos. *Dies* enim *virtutis*, secundum Saluatoris vocauit aduentum, quo veniet cum angelis in gloria patris. Tunc autem et sancti sicut sol fulgebunt, secundum ipsius Domini vocem. a) *Ex vtero ante Luciferum genui te.* Hoc in loco suæ etiam diuinitatis

τὰ ἑξῆς δὲ τοῦ σωτηρίου σταυροῦ τῆς ῥάβδου τὸ κράτος δηλοῖ. δι᾽ ἐκείνου γὰρ πᾶσαν ὑπέταξε τῶν ἀντιπάλων τὴν φάλαγγα· 1) ἐν δὲ τῇ Σιὼν οὗτος ἐπάγη. 2) Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Οὐ γὰρ ἐξ οὐρίων ἐφέροντο τῶν θείων εὐαγγελίων οἱ κήρυκες, ἀλλ᾽ ὑπὸ Ἑλλήνων καὶ βαρβάρων 3) πολιορκούμενοι, καὶ τοῖς τῆς δυσσεβείας περικλυζόμενοι ῥεύμασιν, ἐκράτουν τῶν δυσμενῶν, καὶ τοὺς πλείστους μετέβαλλον, καὶ οἷόν τινας αἰχμαλώτους προσῆγον τῷ βασιλεῖ, 4) καὶ τούτου δουλείαν 5) ἀσπάζεσθαι παρεσκεύαζον. γ᾽. 6) Μετὰ σοῦ ἡ ἀρχὴ ἐν τῇ ἡμέρᾳ τῆς δυνάμεώς σου, 7) ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Ἀνώλεθρον ἔχεις τὸ κράτος· διαφερόντως δὲ τοῦτο 8) δεικνύσεις ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ, καθ᾽ ἣν λαμπροὺς καὶ περιφανεῖς τοὺς ἁγίους ἀποφανεῖς. ἡμέραν γὰρ δυνάμεως τὴν δευτέραν τοῦ σωτῆρος ἐκάλεσεν ἐπιφάνειαν, καθ᾽ ἣν ἥξει μετὰ τῶν ἀγγέλων ἐν τῇ δόξῃ τοῦ πατρός· τότε δὲ καὶ οἱ ἅγιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου φωνήν. 9) Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Ἐνταῦθα καὶ τῆς θεότητος αὐτοῦ

1) ἐν — ἐπάγη. Def. in Cod. 1. 2) καί. Abest a Textu hebr. nec in Cod. *vatic.* exstat. 3) Cod. 1. πολεμούμενοι. 4) καί. Cod. 1. add. τήν. 5) ἀσπ. Abest a Cod. 1. 6) Μετὰ — δυνάμεώς σου. Hebr. *Populus tuus* erit populus *spontaneitatum*, s. sponte sese offerens tibi *die roboris tui.* Pro עַמְּךָ *οἱ ὀ.* et *Arabs* legerunt עִמְּךָ, sed præstat lectio עַמְּךָ quam *Syrus* tuetur. Pro נְדָבֹת legendum esse נְדָבֹתָ putat Ill. MICHAELIS in Collegio crit. ad h. l. p. 522. vbi ex arab. lingua sic exponitur sensus huius difficilioris loci: *Vocas*, s. educis, *ad pugnam*, *populum tuum die victoriæ tuæ.* Ibidem impugnatam vide lectionem quam exornare voluit HOVBIGANT. 7) ἐν — σου. Hebr. *in decoribus sanctitatis.* Ita veteres fere omnes. Sed *Symm.* habet ἐν ὄρεσιν ἁγίοις. Exstat tamen præter hanc etiam ista Eiusdem apud MONTF. in Hexapl. ad h. l. interpretatio, ἐν δόξῃ ἁγίων. 8) Cod. 1. δεικνύεις. 9) ἐκ — ἐγέννησά σε. Hunc sensum verbis Textus hebr. dederunt *οἱ ὀ.* quos sequuti

a) Matth. 13, 43.

αὐτῷ τὸ μεγαλοπρεπὲς ἀπεκάλυψε, καὶ ὁ εἰρηκὼς αὐτῷ 1) Κύριος, κάθου ἐκ δεξιῶν μου, τὸ ὁμοούσιον ὁμολογεῖ, καὶ τὸ ταυτὸν κηρύττει τῆς φύσεως. τὸ μὲν γὰρ, πρὸ ἑωσφόρου, τὸ πρὸ χρόνων αὐτὸν καὶ πρὸ αἰώνων εἶναι δηλοῖ. τὸ δὲ, ἐκ γαστρὸς, τὸ ταυτὸν τῆς οὐσίας διδάσκει. οὐ γὰρ ἑτέρωθέν φησιν, ἀλλ' ἐκ τῆς ἐμῆς 2) γεγένησαι φύσεως· τῆς γαστρὸς δηλονότι παραβολικῶς νοουμένης. καθάπερ γὰρ 3) ἐκ γαστρὸς τίκτουσιν ἄνθρωποι, καὶ τὰ τικτόμενα τοῖς γεννήσασι τὴν αὐτὴν ἔχει φύσιν· οὕτως ἐξ ἐμοῦ γεγένησαι, καὶ τοῦ γεγεννηκότος ἐν 4) σεαυτῷ τὴν οὐσίαν δεικνύεις. δ'. Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. 5) Ἀκριβῶς ταῦτα ἡρμήνευσεν ὁ θεῖος ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, καὶ τὸ τῆς ἀρχιερωσύνης ταύτης ἀπέραντον ἔδειξε· τῷ τὴν μὲν Λευϊτικὴν ἱερωσύνην οὐ μεθ' ὅρκου τὰς ἐπαγγελίας δεδέχθαι, ταύτην δὲ ὅρκῳ βεβαιωθῆναι. τούτου δὴ χάριν, καὶ τὸ οὐ μεταμεληθήσεται προστέθεικεν· ἐπειδὴ πολλὰ πολλάκις οἰκονομήσας ὁ τῶν ὅλων Θεὸς, μεταβολαῖς ταῦτα περιπεσεῖν συνεχώρησεν. οὕτω τὴν Ἰουδαίων ἱερωσύνην, καὶ πεποίηκε, καὶ κατέπαυσεν. οὕτω τὴν βασιλείαν ἐκείνην καὶ κατέστησε, καὶ κατέλυσεν. οὕτω τὴν Ἀσσυρίων, καὶ Βαβυλωνίων, καὶ Μακεδόνων βασιλείαν καὶ γενέσθαι συνεχώρησε, καὶ

magnificentiam aperuit. Et Dominus qui ei dixerat, *Sede a dexteris meis*, consubstantialitatem fatetur, et identitatem naturæ prædicat. *Ante luciferum* enim, ante tempus, et ante sæcula ipsum esse demonstrat. *Ex utero* autem, eiusdem esse substantiæ docet. Non enim aliunde, ait, sed ex natura mea genitus es; ventre nimirum per similitudinem intellecto. Vt enim ex vtero gignunt homines, et quæ gignuntur eandem habent naturam, quam genitores: sic ex me genitus es, et genitoris in te ipso substantiam ostendis. 4. *Iurauit Dominus, et non pœnitebit eum: tu es sacerdos in æternum secundum ordinem Melchisedech.* Accurate hæc diuinus apostolus interpretatus est in epistola ad Hebræos, a) et pontificatus huius æternitatem ostendit, eo quod leuiticum sacerdotium non cum iureiurando promissiones acceperit, hoc autem iureiurando confirmatum sit. Idcirco etiam *non pœnitebit eum*, apposuit, quoniam cum multa sæpius dispensarit vniuersorum Deus, hæc mutationibus obnoxia esse permisit. Sic Iudæorum sacerdotium et fecit, et sustulit: sic regnum illud constituit, et euertit: sic Assyriorum, et Babyloniorum et Macedonum imperium vt esset permisit, * et * vt

sequuti sunt non modo Patres plerique, sed etiam *Arabs* et *Vulg.* Hi omnes, æque ac *Theodotion*, omiserunt verba ista לְךָ טַל quæ tamen inter antiquissimos Interpretes, plures habent vindices, quos recensuit Ill. MICHAELIS l. c. p. 537 sqq.

1) Κύριος. Cod. 1. add. ὡς ἀνθρώπῳ. 2) Cod. 1. γεγένηται. 3) ἐκ. Cod. 1. ἀπό. 4) σεαυτῷ. Prior editio habebat αὐτῷ. Cod. 1. ἑαυτῷ. 5) Ἀκριβῶς — βεβαιωθῆναι. Hæc pauca tantum exhibet CORD. l. c. p. 250. reliquis omnibus omissis.

a) Hebr. 7. Gen. 14.

vt cessaret praecepit. Hoc igitur sacerdotium sempiternum esse volens, iurasse ait, nequaquam fore vt poeniteat. Humano autem more haec dixit: affectus enim expers est diuinitas, affectus autem est etiam poenitentia. Melchisedech porro non Iudaeorum, sed gentium est sacerdos. Sic et Dominus Christus non pro Iudaeis tantum, sed pro omnibus hominibus semetipsum obtulit Deo. Exorsus autem est sacerdotium in nocte ista, post quam crucem subiit, cum accepisset panem, a) et gratias egisset, fregit, et dixit, Accipite, et comedite ex eo, Hoc est corpus meum. Similiter et calicem cum temperasset, dedit discipulis suis, dicens, Bibite ex hoc omnes, Hic est enim sanguis meus noui testamenti, qui pro multis effundetur in remissionem peccatorum. Inuenimus autem Melchisedechum et sacerdotem et regem fuisse, (figura enim erat veri sacerdotis, et regis,) et obtulisse Deo non victimas ratione carentes, sed panem et vinum. Haec enim Abrahamo quoque obtulit, cum sacerdotii sui exemplar in lumbis patriarchae secundum spiritum praeuideret. Si igitur ex Dauide Christus secundum carnem ortus est, et Dauid ex Iuda, et pontificatum secundum ordinem Melchisedech accepit Christus, leuiticum vtique sacerdotium cessauit, et in Iudae tribum maioris sacerdotii benedictio transiit. Sacerdos autem nunc est Christus, ex Iuda secundum carnem ortus, non ipse aliquid offerens, sed caput existens eorum, qui offerunt. Corpus enim suum

λυθῆναι προσέταξε. ταύτην μέντοι τὴν ἱερωσύνην αἰώνιον εἶναι βουλόμενος, ὠμωμοκέναι φησὶν, ὡς οὐ μεταμεληθήσεται· ἀνθρωπίνως δὲ ταῦτα εἴρηκε. τοῦ πάθους γὰρ τὸ θεῖον ἀμύητον, πάθος δὲ καὶ ἡ μεταμέλεια. ὁ δὲ Μελχισεδὲκ, οὐκ Ἰουδαίων, ἀλλ᾽ ἐθνῶν ἱερεύς· οὕτω 1) καὶ ὁ Δεσπότης Χριστὸς, οὐχ ὑπὲρ Ἰουδαίων μόνον, ἀλλὰ καὶ ὑπὲρ ἁπάντων ἀνθρώπων ἑαυτὸν προσενήνοχε τῷ Θεῷ. ἄρχεται δὲ τῆς ἱερωσύνης ἐν τῇ νυκτὶ, μεθ᾽ ἣν τὸ πάθος ὑπέμεινεν· ἡνίκα λαβὼν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε καὶ εἶπε, λάβετε, φάγετε ἐξ αὐτοῦ· τοῦτό ἐστι τὸ σῶμά μου. ὡσαύτως καὶ τὸ ποτήριον κεράσας, ἔδωκε τοῖς μαθηταῖς 2) αὐτοῦ λέγων, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο 3) γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. εὑρίσκομεν 4) δὲ τὸν Μελχισεδὲκ, 5) καὶ ἱερέα ὄντα, καὶ βασιλέα· τύπος γὰρ ἦν τοῦ ἀληθινοῦ ἱερέως καὶ βασιλέως· καὶ προσφέροντα τῷ Θεῷ οὐκ ἄλογα θύματα, ἀλλὰ ἄρτους καὶ οἶνον. ταῦτα γὰρ καὶ τῷ Ἀβραὰμ προσενήνοχε, τὸ τῆς οἰκείας ἀρχιερωσύνης ἀρχέτυπον ἐν τῇ τοῦ πατριάρχου ὀσφύϊ πνευματικῶς προορῶν. εἰ τοίνυν ἐκ Δαβὶδ ὁ Χριστὸς κατὰ σάρκα, ὁ δὲ Δαβὶδ ἐξ Ἰούδα· τὴν δὲ κατὰ τὴν τάξιν 6) Μελχισεδὲκ ἀρχιερωσύνην ἔλαβεν ὁ Χριστός· πέπαυται μὲν ἡ Λευϊτικὴ ἱερωσύνη, εἰς δὲ τὴν Ἰούδα φυλὴν ἡ τῆς μείζονος ἱερωσύνης εὐλογία μετέβη. ἱερατεύει δὲ νῦν ὁ ἐξ Ἰούδα κατὰ σάρκα βλαστήσας Χριστὸς, οὐκ αὐτός τι προσφέρων, ἀλλὰ τῶν προσφερόντων κεφαλὴ χρηματίζων. σῶμα γὰρ αὐτοῦ τὴν

1) καί. Cod. 1. praem. δέ. 2) Cod. 1. ἑαυτοῦ, ante μαθηταῖς positum. 3) γάρ. Des. ibid. 4) δέ. Cod. 1. add. καί. 5) καί. Abest a Cod. 1. 6) Cod. 1. ἀρχιερωσύνην τοῦ Μελχισεδέκ.

a) Matth. 26, 26-28.

τὴν ἐκκλησίαν καλεῖ, καὶ διὰ ταύτης ἱερατεύει ὡς ἄνθρωπος, δέχεται δὲ τὰ προσφερόμενα ὡς Θεός. προσφέρει δὲ ἡ ἐκκλησία τὰ τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος σύμβολα, πᾶν τὸ φύραμα διὰ τῆς ἀπαρχῆς ἁγιάζουσα. ε. Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. Τοὺς δὲ νῦν ἀντιτείνοντας, καὶ θρασυνομένους ἄρχοντάς τε, καὶ βασιλέας ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ παραδώσει κολάσει. 1) τὸ δὲ, Κύριος ἐκ δεξιῶν σου, ἔοικε τῷ ἐν τῷ 2) πέμπτῳ καὶ δεκάτῳ 3) ψαλμῷ, προωρώμην 4) γὰρ τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. καὶ γὰρ ἐκεῖ ἀνθρωπίνως τοῦτο εἴρηκε, καὶ δεδήλωκε τῆς ἑνωθείσης φύσεως τὸ ἀχώριστον· καὶ 5) ἐνταῦθα κατὰ ταυτὸν καὶ τὰ θεῖα λέγει, καὶ τὰ ἀνθρώπινα· τὸ μὲν γὰρ, κάθου ἐκ δεξιῶν μου, τῇ ἀνθρωπείᾳ φύσει πρόσφορον· τὸ δὲ, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, δηλωτικὸν τῆς θεότητος· τὸ δὲ, σὺ εἶ ἱερεὺς εἰς 6) αἰῶνα, πάλιν ὡς πρὸς ἄνθρωπον εἴρηται· ὡσαύτως δὲ καὶ τὸ Κύριος ἐκ δεξιῶν σου, ἀντὶ τοῦ, ἀχώριστον ἔχεις τὴν ἑνωθεῖσαν θεότητα. ϛ. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα· συνθλάσει κεφαλὰς ἐπὶ γῆς 7) πολλῶν. Σαφέστερον ἐνταῦθα τὴν κρίσιν ἐδήλωσε· καὶ ὅτι κατ' ἐκείνην τὴν ἡμέραν παντοδαπαῖς παραδώσει τιμωρίαις τοὺς δυσσεβείᾳ συνεζηκότας· καὶ κατὰ τὸν παρόντα 8) μέντοι βίον, πολλαῖς αὐτοὺς πολλάκις παιδείαις ὑπέβαλε, τὴν οἰκείαν δύναμιν τοὺς ἀγνοοῦντας διδάσκων. ζ. Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, 9) διὰ

ecclesiam vocat, et per eam sacerdotio fungitur vt homo, recipit autem ea quæ offeruntur, vt Deus. Offert vero ecclesia corporis et sanguinis symbola, totam massam per primitias sanctificans. 5. *Dominus a dexteris tuis confregit die iræ suæ reges.* Principes et reges nunc repugnantes et insurgentes die iudicii suppliciis multabit. Hoc autem, *Dominus a dexteris tuis*, simile est illi, quod in decimo quinto psalmo dictum est, a) Præuidebam Dominum in conspectu meo semper, quoniam a dexteris est mihi, ne commouear. Etenim ibi iuxta humanitatem hoc dixit, et declarauit naturæ vnitæ inseparabilitatem: et hoc loco simul et diuina dicit, et humana. Hoc enim, *Sede a dexteris meis*, humanæ * naturæ congruit. Illud vero, *Ex vtero ante luciferum genui te*, diuinitatem declarat: et illud rursus, *Tu es sacerdos in æternum*, tanquam ad hominem dictum est. Ita quoque illud. *Dominus a dexteris tuis*, quasi dicat, indiuiduam habes coniunctam diuinitatem. 6. *Iudicabit inter nationes, implebit (terram) stragibus, conquassabit capita in terra multorum.* Manifestius hoc loco iudicium demonstrauit, seque illo die homines impios vitiisque inquinatos suppliciis traditurum. Et sane in hac vita sæpius multis castigationibus illos puniuit, potentiam suam ignaros docens. 7. *E torrente in via bibet, propterea* exal-

1) τὸ — ἑνωθ. θεότητα. Conf. ad h. l. quæ Ill. MICHAELIS l. c. p. 589. monuit. 2) Cod. 1. πέντε. 3) ψαλμῷ. Cod. 1. præm. εἰρημένῳ. 4) γάρ. Abest a Cod. 1. 5) ἐνταῦθα. Cod. 1. add. τοίνυν. 6) αἰῶνα. Cod. 1. præm. τόν. 7) πολλῶν. Hebr. (*super terra*) *magna*. 8) Cod. 1. μέν. 9) διὰ — κεφαλήν. Def. ibid.

a) Ps. 15, 8.

exaltabit caput. Multa, inquit, cum homo factus erit, humilitate vtetur, ita vt aquis etiam quae in via inueniuntur, sitim restinguat. Videtur autem mihi vaticinatio sensum alium profundiorem habere. Calicem solet ipse crucem nuncupare. Pater enim, inquit, *a*) si possibile est, transeat calix iste a me. *Torrentem* vero, Iudaeos vocat, qui diuinam quidem gratiam nacti, sed non semper hac potiti sunt. Quemadmodum enim torrens non perennem aquarum fluxum habet, sed ex imbribus, qui ex nubibus gignuntur, oritur: sic Iudaei durantem, ad tempus gratiam legis habuerunt, a sacris prophetis, velut a quibusdam nubibus suppeditatam. Postea vero, aestate appetente, secundum Domini vocem, *b*) Leuate oculos vestros, et videte regiones, quoniam albae sunt ad messem, necessario torrens priori aquarum copia destitutus permansit, et siccus cernitur omni humore priuatus. Quoniam igitur Iudaei crucem machinati sunt, et calicem Dominus passionem vocat: merito propheta haec praeuidens, *dixit, e torrente in via bibet. Viam* quippe vitam appellat. Hanc vero sententiam et sequentia testantur. *Propterea exaltabit caput.* Huic simile est quod apostolus dixit, *c*) Humiliauit semetipsum vsque ad mortem, mortem autem crucis: propter quod et Deus exaltauit ipsum. Patet autem hoc etiam humano more dici. Nam vt Deus, non cum humilis esset sublimis effectus est, sed cum maxime sublimis esset, humiliauit seipsum: vt homo autem, quod non habebat, accepit.

τοῦτο ὑψώσει κεφαλήν. Πολλῇ, φησὶν, ἐνανθρωπήσας εὐτελείᾳ χρήσεται, ὥστε καὶ τοῖς κατὰ τὴν ὁδὸν εὑρισκομένοις ὕδασι θεραπεύειν τὸ δίψος. δοκεῖ δέ μοι καὶ ἑτέραν βαθυτέραν ἔχειν ἡ προφητεία διάνοιαν· ποτήριον ἔθος αὐτῷ τὸ πάθος καλεῖν, πάτερ γὰρ ἔφη εἰ δυνατὸν, 1) παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. χειμάῤῥουν δὲ τοὺς Ἰουδαίους καλεῖ, θείας μὲν χάριτος τετυχηκότας, οὐκ ἀεὶ δὲ ταύτης ἀπολαύσαντας. καθάπερ γὰρ ὁ χειμάῤῥους οὐκ ἀέναον ἔχει τὴν τῶν ὑδάτων φορὰν, ἀλλ' ἐκ τῶν τικτομένων ἐκ τῶν νεφῶν συνίσταται ὑετῶν· οὕτως Ἰουδαῖοι πρόσκαιρον ἔχον τοῦ νόμου τὴν χάριν, οἷον ἀπό τινων νεφῶν τῶν προφητῶν χορηγουμένην· μετὰ δὲ ταῦτα τοῦ θέρους φανέντος, κατὰ τὴν τοῦ Κυρίου φωνήν· 2) ἐπάρατε γάρ φησι τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ 3) βλέπετε εἰς τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμόν· ἀναγκαίως ὁ χειμάῤῥους τῆς προτέρας εὐπορίας ἔρημος μεμένηκε, καὶ ξηρὸς ὁρᾶται πάσης ἰκμάδος ἐστερημένος. ἐπειδὴ τοίνυν Ἰουδαῖοι τὸν σταυρὸν ἐτεκτήναντο, ποτήριον δὲ καλεῖ τὸ πάθος ὁ Κύριος, εἰκότως ὁ προφήτης ταῦτα προθεωρῶν εἴρηκεν, ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται. ὁδὸν δὲ τὸν βίον καλεῖ. μαρτυρεῖ δὲ τῇ διανοίᾳ καὶ τὰ ἐπαγόμενα, διὰ τοῦτο ὑψώσει κεφαλήν. 4) τούτῳ δὲ ὅμοιον καὶ ὁ ἀπόστολος εἴρηκε Παῦλος· ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε· δῆλον δὲ ὡς ἀνθρωπίνως καὶ τοῦτο τέθεικεν· ὡς γὰρ Θεὸς, οὐ ταπεινὸς ὢν ὑψώθη, ἀλλ' ὕψιστος ὢν ἐταπείνωσεν ἑαυτόν· ὡς δὲ ἄνθρωπος, ὃ μὴ εἶχεν 5) ἔλαβεν.

ΕΡΜΗΝ.

1) Cod. 1. παρελθέτω. 2) Cod. 1. ἄρατε. 3) Cod. 1. βλέψατε. 4) Cod. 1. τούτου.
5) ἔλαβεν. Cod. 1. add. ὕψος.

a) Matth. 26, 39. b) Ioh. 4, 35. c) Phil. 2, 8. 9.

ΕΡΜΗΝ. ΤΟΥ ρι΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ἀμμανῖται, καὶ Μωαβῖται, καὶ Ἰδουμαῖοι, πλῆθος ὅτι μάλιστα πλεῖστον συναγαγόντες, ἐπεστράτευσαν πάλαι ποτὲ τῇ Ἰούδα φυλῇ. ἐβασίλευσε δὲ τηνικαῦτα ταύτης Ἰωσαφὰτ, ἀνὴρ ἐπ᾽ εὐσεβείᾳ μαρτυρούμενος, τῶν ἐκ Δαβίδ. οὗτος τῶν πολεμίων τὸ πλῆθος μαθὼν, μετὰ παντὸς τοῦ λαοῦ προσελήλυθε τῷ Θεῷ, τὴν ἄμαχον ἐπικουρίαν αἰτῶν· καὶ δὴ καὶ τὴν αἴτησιν ἔλαβε. παρηγγύησε γὰρ αὐτοῖς ὁ τῶν ὅλων Θεὸς καταθαῤῥῆσαι τῶν πολεμίων, ὡς αὐτοῦ στρατηγοῦντος· ἡμέρας τοίνυν ἀρχομένης, ἐκινήθησαν κατ᾽ ἀλλήλων οἱ πολέμιοι, καὶ σφᾶς αὐτοὺς ὡς ἐναντίους διέφθειραν, ὥστε μηδένα τὸν ὄλεθρον ἐκεῖνον διαφυγεῖν. τοῦτο ἔκ τινος σκοπιᾶς θεασαμένη τῶν Ἰουδαίων ἡ στρατεία, 1) ἔδραμεν ὡς ἐφ᾽ ἕτοιμον θήραν, ἐσκύλευσε δὲ τοὺς πολεμίους, καὶ μετὰ πολλῆς ἐπανῆλθε 2) τῆς περιουσίας. καὶ ὡς διδάσκει τῶν παραλειπομένων ἡ ἱστορία μετὰ μουσικῶν ὀργάνων εἰσῆλθεν εἰς τὸν θεῖον νεὼν, τὸν τῆς νίκης χορηγὸν ἀνυμνοῦντες· ταῦτα προορῶν ὁ προφήτης τόνδε συνέγραψε τὸν ψαλμὸν, οἷόν τινα ὕμνον ὑπὸ τοῦ εὐσεβοῦς Ἰωσαφὰτ προσφερόμενον· ὕμνου δὲ καὶ ἡ ἐπιγραφή. τὸ γὰρ ἀλληλούϊα, ὡς καὶ ἤδη ἡρμηνεύκαμεν, αἰνεῖτε τὸν Κύριον 3) ἐπὶ τῇ Ἑλλάδι φωνῇ. σημαίνει γὰρ τὸ ἀλληλοῦ αἰνεῖτε, τὸ δὲ ἴα Κύριον, ἢ τὸν ὄντα. α΄. Ἐξομολογήσομαί 4) σοι Κύριε ἐν ὅλῃ καρδίᾳ 5) μου. Ἀπὸ πάσης 6) σοι διανοίας, Δέσποτα, προσφέρω τὸν χαριστήριον ὕμνον. Ἐν 7) βουλῇ εὐθέων, καὶ συναγωγῇ.

* INTERPR. PS. CX.

Alleluia. Ammanitæ, et Moabitæ, et Idumæi, cum plurimas copias conflassent, tribui Iudæ aliquando bellum intulere. Huic autem tunc imperabat Iosaphat, vir pietate celebris, ex stirpe Dauidis. Hic hostium audita multitudine, cum toto populo ad Deum accessit, inexpugnabilem opem efflagitans: immo etiam petitionis suæ compos factus est. Iussit enim ipsos vniuersorum Deus, contra hostes bono animo esse, tanquam ipso exercitum ducente. Exorta igitur luce, hostes contra seipsos inuicem commoti sunt, et seipsos mutuo vt inimicos necauerunt, ita vt nemo mortem euaderet. Quod cum ex quadam specula Iudæorum exercitus conspexisset, accurrit velut ad paratam prædam, diripuitque inimicos, et cum multa opum copia rediit: atque, vt Paralipomenon historia docet, a) cum musicis instrumentis in diuinum templum ingressi sunt, victoriæ largitorem laudantes. Hæc præuidens propheta hunc psalmum conscripsit, veluti hymnum quendam a pio Iosaphat prolatum. Nam et hymni est inscriptio: quoniam *Alleluia*, sicut iam interpretati sumus, *Laudate Dominum* sonat. Significat enim *Allelu* laudate, *Ia* vero Dominum, vel eum qui est. 1. *Confitebor tibi Domine toto corde meo:* Ex tota mente, o Domine, tibi laudes gratiarum actionis offero. *In consilio iustorum, et congregatione.* Non

1) Cod. I. ἔδραμε μὲν. 2) τῆς. Abest a Cod. isto. 3) ἐπί, Cod. I. ἐν. 4) σοι. Abest a Textu hebr. 5) μου. In Textu hebr. etiam desid. 6) σοι. Abest a Cod. I. 7) βουλῇ. Hebr. בסוד in cœtu, vt Ps. 89, 8. in Textu hebr. Vid. p. 1232. n. 6.

a) 2 Paralip. 20, 27.

Non autem ego solus, sed etiam piorum cœtus vna mecum. Illa enim tempestate populus ab idolorum errore liberatus erat, rege omnes ad pietatem erudiente. *Consilium* igitur *iustorum* piorum cœtum appellat. 2. *Magna sunt opera Domini.* Reuera enim admirabilia, admirationeque digna sunt, quæ ab eius potentia sunt effecta. *Exquisita ad omnem voluntatem eius.* Facit quidem quæcunque vult, vnumquodque vero eorum, quæ fiunt, sapientiæ est plenum, et ab omnibus laudem refert. * 3. *Confessio et magnificentia est opus eius.* Omnia, quæ ab ipso facta sunt, et creatio, et gubernatio, et magnifica sunt, et naturam excedunt, et digna sunt quæ ab omnibus hominibus laude celebrentur. * *Confessionem* hoc loco gratiarum actionem vocat. *Ex iustitia eius manet in seculum seculi.* Nihil iniustum est eorum quæ facta sunt, sed omnia iustitia sunt ornata: semper enim hac vtens moderatur omnia. 4. *Memoriam fecit mirabilium suorum.* Quoniam manifesto hostes internecioni dedit. Atque hoc idem maiorum tempore præstitit, modo quidem Aegyptios obruens, modo vero Amalecitas expansis Mosis manibus configens, et Chananæos, et Chettæos, et alias gentes per Iosuam Naue destruens. Recordationem mirabilium dixit pœnas de hostibus sumtas: quasi diceret, Celeberrima miracula tua, quæ ab infidelibus falsa existimantur, vera ostendisti

Οὐκ ἐγὼ δὲ μόνος, ἀλλὰ καὶ σὺν ἐμοὶ τῶν εὐσεβῶν ὁ σύλλογος. κατ᾽ ἐκεῖνον γὰρ τὸν καιρὸν τῆς τῶν εἰδώλων πλάνης ὁ λαὸς ἠλευθέρωτο, τοῦ βασιλέως ἅπαντας ἐκπαιδεύοντος τὴν εὐσέβειαν. Βουλὴν τοίνυν εὐθέων τὸ σύστημα προσαγορεύει τῶν εὐσεβῶν. β. Μεγάλα τὰ ἔργα Κυρίου. Τῷ ὄντι γὰρ θαυμαστὰ, καὶ 1) ἀξιάγαστα, τὰ ὑπὸ τῆς αὐτοῦ δυνάμεως ἐνεργούμενα. Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Ποιεῖ 2) μὲν ὅσα βούλεται, ἕκαστον δὲ τῶν γινομένων σοφίας ὑπάρχει μεστὸν, καὶ παρὰ πάντων τὴν εὐφημίαν ἐφέλκεται. γ. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ. Ἅπαντα τὰ ὑπ᾽ αὐτοῦ γινόμενα, καὶ ἡ δημιουργία, καὶ ἡ οἰκονομία, καὶ μεγαλοφυῆ, καὶ ὑπερφυῆ, καὶ τῆς παρὰ 3) πάντων ἀνθρώπων ὑμνῳδίας ἄξια. 4) ἐξομολόγησιν ἐνταῦθα τὴν εὐχαριστίαν καλεῖ. Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Οὐδὲν ἄδικον τῶν γινομένων· ἀλλὰ πάντα τῷ δικαίῳ κοσμεῖται. δι᾽ αἰῶνος γὰρ ταύτῃ χρώμενος πρυτανεύει τὰ σύμπαντα. δ. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ. Ἐπειδὴ προφανῶς εἰργάσατο τῶν πολεμίων τὸν ὄλεθρον. ταυτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν προγόνων πεποίηκε, ποτὲ μὲν τοὺς Αἰγυπτίους συγκαλύψας, ἄλλοτε δὲ τοὺς Ἀμαληκίτας τῇ ἐκτάσει 5) Μωσέως χειρῶν κατακοντίσας· καὶ Χαναναίους, καὶ Χετταίους, καὶ τὰ ἄλλα ἔθνη, δι᾽ Ἰησοῦ τοῦ Ναυῆ καταλύσας. ἀνάμνησιν τῶν θαυμασίων ἐκάλεσε τῶν πολεμίων τὴν τιμωρίαν· ἀντὶ τοῦ, τὰς πολυθρυλλήτους σου θαυματουργίας, τὰς ψευδεῖς παρὰ τοῖς ἀπίστοις νομιζομένας, ἔδειξας ἀληθεῖς τῇ

νέᾳ

1) ἀξιάγ. Cod. 1. παράδοξα. 2) μὲν. In Cod. 1. sequitur γάρ. 3) πάντων. Cod. 1. τῶν. 4) ἐξομολ. Cod. 1. add. γάρ. 5) Μωσ. Cod. 1. præm. τοῦ.

νέας θαυματουργίας, καὶ ἀνέμνησας 1) ἡμᾶς ὧν ἐπὶ τῶν ἡμετέρων εἰργάσω προγόνων. Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος. έ. Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Τὴν τροφὴν θήραν οἱ ἄλλοι εἶπον ἑρμηνευταί. ἀληθῆ δὲ ἀμφότερα· καὶ γὰρ ὡς ἐπὶ θήραν ἕτοιμον ἔδραμον 2) ἐπὶ τῶν πολεμίων τὸν πλοῦτον, καὶ τροφὴν ἐκεῖθεν ἱκανὴν ἐπορίσαντο. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. Ὁ δὲ Σύμμαχος οὕτως· θήραν ἔδωκε τοῖς φοβουμένοις αὐτὸν, μνημονεύων αἰωνίου συνθήκης αὐτοῦ. τῶν γὰρ πρὸς τοὺς πατέρας γεγενημένων ὑποσχέσεων ἄληστον ἔχει τὴν μνήμην, καὶ δι' ἐκείνην ἡμῖν μεταδίδωσι τῶν ἀγαθῶν. ϛ'. Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ. ζ'. Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν. 3) Μᾶλλον ἡμῖν ἐναργῶς τὴν οἰκείαν ἔδειξε δύναμιν, τὸν τῶν ἐχθρῶν ἡμῖν δωρησάμενος πλοῦτον. οὐ γὰρ μόνον ἡμᾶς τῆς [illegible] ἐκείνων ἠλευθέρωσε 4) λώβης, ἀλλὰ καὶ τὴν ἐκείνων περιουσίαν εἰς τὰς ἡμετέρας 5) μετατέθεικεν οἰκίας. Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. Οὐκ ἀδίκως δὲ, ἀλλὰ καὶ λίαν ἐνδίκως ταῦτα εἰργάσατο. οὐδὲν γὰρ ἡμῖν ἐγκαλεῖν ἔχοντες, καταλῦσαι παντελῶς ἐπεχείρησαν. ἀληθῆ τοίνυν καὶ δικαίαν κατ' αὐτῶν ἐξενήνοχε ψῆφον. ή. Πισταὶ 6) αἱ πᾶσαι ἐντολαὶ αὐτοῦ· ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. Νομοθετῶν ὁ Θεὸς τὴν οἰκείαν 7) εὐμένειαν τοῖς φυλάττουσι τὸν νόμον ὑπέσχετο. τοῦτο καὶ ἐνταῦθα φησὶν, ὅτι ἀψευδεῖς αἱ περὶ τῆς τῶν 8) ἐντολῶν φυλακῆς ὑποσχέσεις.

nouo miraculo, et nos admonuisti de iis, quæ nostrorum maiorum tempestate fecisti. *Misericors et miserator est Dominus.* 5. *Escam dedit timentibus eum.* *Escam* alii interpretes *prædam* dixerunt: vera autem sunt vtraque. Nam velut ad paratam prædam ad hostium diuitias cucurrerunt, cibumque inde reportarunt multum. *Memor erit in seculum testamenti sui.* Symmachus autem sic, Prædam dedit timentibus eum, recordatus sempiterni pacti sui. Promissionum enim, quæ patribus factæ fuere, indelebilem habet memoriam, et per illam nobis bona impertit. 6. *Virtutem operum suorum annuntiabit populo suo.* 7. *Vt det illis hereditatem gentium.* Magis expresse suam nobis ostendit potentiam, hostium diuitias nobis largitus. Non modo enim ab illorum damno nos liberauit, sed etiam eorum opes in nostras domos transtulit. *Opera manuum eius veritas et iudicium.* Non iniuste, sed admodum iuste hæc fecit. Cum enim de nobis nulla in re conqueri possint, penitus nos euertere conati sunt. Veram igitur et iustam in eos protulit sententiam. 8. *Fidelia sunt omnia mandata eius, confirmata in seculum seculi, facta in veritate et æquitate.* * Legem ferens Deus beneuolentiam suam custodientibus legem suam spopondit. Hoc idem hic ait, vera esse de obseruantia mandatorum promissa: et,

1) ἡμᾶς. Cod. 1. præm. καί. 2) ἐπί. Dest ibid. 3) Cod. 1. μᾶλλον. 4) λώβης. Cod. 1. βλάβης. 5) Cod. 1. μετέθηκεν. 6) αἱ. In Cod. 1. ponitur post πᾶσαι, vt in Textu τῶν ό. 7) Cod. 1. εὐγένειαν, adscripta tamen altera lectione. 8) ἐντολῶν. Cod. 1. νόμων.

et qui hæc perficere decreuerunt, ipsius ope semper frui. Nam et nos pure ipsum precati, hostibus superiores euasimus. Hoc enim per ea quæ sequuntur declarauit. 9. *Redemtionem misit Dominus populo suo, mandauit fœdus suum in æternum.* Pollicitationes enim Dei non modo sunt verissimæ, sed etiam in æternum permanent. *Sanctum et terribile nomen eius.* Iis enim qui credunt, sanctum et optatissimum est, et bonorum copiam fundens: incredulos vero, et vitiis deditos, castigat et plectit. 10. *Initium sapientiæ timor Domini.* Oportet igitur ipsum timere et tremere. Hoc enim est primum elementum diuinæ doctrinæ. *Sapientiam* enim, non recte loquendi facultatem, sed diuinorum cognitionem vocat. Ad tirones igitur timor spectat: perfectorum autem caritatis possessio. *Intellectus autem bonus omnibus facientibus illud.* Ad perfectionem enim non satis est cognitio, sed contemplatio actione indiget: et conuenit eum, qui diuino intellectu donatus est, cognitionem operibus ornare, et per hanc intellectus largitorem colere. *Laus eius manet in seculum seculi.* Satis apte hoc etiam apposuit, docens virtutis studiosum fructum hinc reportare. Deus enim, licet nemo ipsum laudare vellet, sempiternum et perennem habet hymnum. Hunc porro psalmum apud Hebræos per elementorum seriem conscriptum esse asserunt, et secundum literarum ordinem compositum esse. Simili modo compositus est proximus.

καὶ οἱ 1) ταῦτα πληροῦν προαιρούμενοι τῆς αὐτοῦ προμηθείας διηνεκῶς ἀπολαύουσι. καὶ γὰρ ἡμεῖς γνησίως αὐτὸν ἱκετεύσαντες κρείττους τῶν δυσμενῶν ἀπεφάνθημεν· τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων ἐδήλωσε. θ΄. Λύτρωσιν ἀπέστειλε 2) Κύριος τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα 3) διαθήκην αὐτοῦ. Αἱ γὰρ τοῦ Θεοῦ ὑποσχέσεις οὐ μόνον τὸ ἀψευδὲς, ἀλλὰ καὶ τὸ διαρκὲς ἔχουσιν. Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. Τοῖς μὲν γὰρ πιστεύουσιν ἅγιον, καὶ τριπόθητον, καὶ πηγάζον τῶν ἀγαθῶν τὴν φοράν· τοὺς δὲ ἀπιστοῦντας, καὶ παρανομίας συζῶντας, κολάζει καὶ τιμωρεῖται. ί. Ἀρχὴ σοφίας φόβος Κυρίου. Ἀναγκαῖον τοίνυν αὐτὸν δεδιέναι καὶ τρέμειν· τοῦτο γὰρ πρῶτον τῆς θείας διδασκαλίας στοιχεῖον. σοφίαν γὰρ οὐ τὴν εὐγλωττίαν λέγει, ἀλλὰ τὴν τῶν θείων ἐπίγνωσιν. εἰσαγωγικοῖς τοίνυν ὁ φόβος· τῶν δὲ τελείων τῆς ἀγάπης ἡ κτῆσις. Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Οὐκ ἀρκεῖ γὰρ εἰς τελείωσιν ἡ γνῶσις, ἀλλὰ χρήζει ἡ θεωρία τῆς πράξεως, καὶ προσήκει τὸν τῆς θείας ἠξιωμένον συνέσεως τοῖς ἔργοις τὴν γνῶσιν κοσμεῖν, καὶ διὰ ταύτης θεραπεύειν τὸν τῆς 4) συνέσεως χορηγόν. Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀκολούθως καὶ τοῦτο προστέθεικε, διδάσκων ὡς ὁ τῆς ἀρετῆς ἐραστὴς αὐτὸς τὸ ἐντεῦθεν πορίζεται κέρδος· ὁ γὰρ Θεὸς, κἂν μηδεὶς ὑμνεῖν ἐθέλει, αἰώνιον ἔχει τὸν ὕμνον καὶ διαρκῆ. τοῦτον μέντοι τὸν ψαλμὸν κατὰ στοιχεῖόν φασιν Ἑβραίοις γεγράφθαι, καὶ κατὰ τὴν τῶν στοιχείων ἀκολουθίαν συγκεῖσθαι· καὶ ὁ μετ' αὐτὸν δὲ ὁμοίως σύγκειται.

ΕΡΜΗΝ.

1) Cod. 1. ταύτας. 2) Κύριος. Abest a Textu hebr. et graeco τῷ ὁ. 3) Cod. 1. ...ήκην. 4) συνέσεως. Cod. 1. γνώσεως.

ΕΡΜΗΝ. ΤΟΥ ρια' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. 1) Ὕμνον καλεῖ καὶ τοῦτον τὸν ψαλμὸν ἡ ἐπιγραφή· διδασκαλίαν δὲ εὐσεβείας τοῖς βουλομένοις προσφέρει. α'. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Ὁ ταύτῃ τῇ εὐλαβείᾳ κοσμούμενος, καὶ τὸ θεῖον περικείμενος δέος, πᾶσαν αὐτοῦ τὴν βουλὴν εἰς τὴν τῶν θείων λογίων ἐκπλήρωσιν μετατίθησι, καὶ σὺν πάσῃ προθυμίᾳ πληροῦν ταῦτα ἐπείγεται. εἶτα δείκνυσι τὸν 2) τῶν τοιούτων σπερμάτων καρπόν. β'. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ. Ἐπειδὴ γὰρ τοῦτο ἀξιέραστον ἐδόκει τοῖς τηνικάδε ἀνθρώποις, τοῦτο τοῖς φυλάττουσι τὰς ἐντολὰς δώσειν ὑπισχνεῖται τὸ δῶρον· καὶ δὴ καὶ ἔδωκε, διὰ μὲν τὸν Ἀβραὰμ τῷ Ἰσραὴλ, διὰ δὲ τὸν Δαβὶδ τοῖς ἐξ αὐτοῦ, 3) καὶ διὰ τὸν 4) Ἰσραὴλ τοῖς 5) ἐκγόνοις, καὶ ταῦτα παρανόμοις γεγενημένοις. Γενεὰ εὐθέων εὐλογηθήσεται. Οἱ γὰρ ἰσότητος καὶ δικαιοσύνης ἐπιμελούμενοι τῆς θείας εὐλογίας δρέψονται τοὺς καρπούς. γ'. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. Καὶ ταύτας ὡς πρὸς ἀτελεῖς ἔτι, καὶ τῶν τελείων ἐπαΐειν οὐ δυναμένους, ποιεῖται τὰς ὑποσχέσεις· τοὺς γὰρ τελείους ὁ Δεσπότης Χριστὸς τἀναντία διδάσκει, λέγων, μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μήτε χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδὸν, μὴ ὑποδήματα, μηδὲ ῥάβδον· καὶ πάλιν, ἐὰν μή τις ἀποτάξηται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητής· καὶ, εἰ θέλεις τέλειος γενέσθαι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. ἀλλ' ὅμως ταῦτα νο-

INTERP. PSALMI CXI.

Alleluia. Inscriptio etiam hunc psalmum hymnum nuncupat: pietatis vero doctrinam volentibus affert. 1. *Beatus vir, qui timet Dominum: mandatis eius valde delectabitur.* Qui hac reverentia praeditus, diuinoque timore indutus est, omne consilium * suum in diuinorum oraculorum executionem transfert, et cum omni animi alacritate haec implere festinat. Deinde demonstrat talium seminum fructum. 2. *Potens in terra erit semen eius.* Quoniam enim hominibus illius temporis hoc admodum desiderabile erat, hoc donum custodientibus mandata se daturum esse pollicetur. Immo etiam dedit, propter Abrahamum quidem Israeli, propter Dauidem vero iis qui ex ipso originem traxere, et propter Israelem posteris, licet iniqui fuerint. *Generatio rectorum benedicetur.* Nam qui de aequitate et iustitia curam gerunt, diuinae benedictionis fructus metent. 3. *Gloria et diuitiae in domo eius sunt.* Et has promissiones tanquam imperfectis, qui nondum perfecta audire possunt, facit. Perfectos enim Dominus Christus contraria docet, dicens, a) Nolite possidere aurum, neque argentum, neque aes in zonis vestris, non peram in via, neque calceamenta, neque virgam. Et rursus, b) Nisi quis renunciauerit omnibus, quae possidet, non potest meus esse discipulus. Et, c) Si vis perfectus esse, vende omnia, quae habes, et da pauperibus. Veruntamen haec cum praecipiat,

1) Ὕμνον — ἐπιγραφή. Conf. ad h. l. Scholion Anonymi apud CORD. T. III. p. 273. 2) τῶν τοιούτων. Cod. 1. τούτων τῶν. 3) καὶ διά. Cod. 1. διὰ δέ. 4) Ἰσρ. Cod. 1. Ἰούδ. 5) Ibid. ἐγγόνοις.

a) Matth. 10, 9. 10. b) Luc. 14, 33. c) Matth. 19, 21.

piat, illa imperfectis et spondet, et largitur. Sic Salomoni diuitias et gloriam auxit: sic filiis Israel Aegyptiorum diuitias donauit. *Et iustitia eius manet in seculum seculi.* Aeternam enim habet memoriam Deus vniuersorum, et perpetuam conseruat gloriam suam. 4. *Exortum est in tenebris lumen gentibus.* *Tenebras* modo quidem ignorantiam, modo vero calamitates nominat: et *lumen* similiter, nunc quidem cognitionem, nunc vero liberationem a malis appellat. Dicit igitur, et ignorantibus veritatem se demonstraturum, et in malorum incursu suam opem allaturum esse. Sic Iosephum fratrum parricidio eripuit, sic eundem a calumnia liberauit: sic erepta Sara auxilium tulit Abrahamo: sic Labanem perterruit, et fugientem insequente potentiorem ostendit. Diuinæ igitur potentiæ hoc est argumentum, exercitationis causa permittere, vt iusti in res aduersas incidant, et harum nebulam discutere, puramque serenitatem efficere. *Misericors et miserator, et iustus est.* Hæc autem moderatur, iustitia, et misericordia, et bonitate vtens. Nam curam gerit quidem vt benignus: coronare vero iustos volens, certamina permittit, soluit vero hæc protinus ob immensam bonitatem. 5. *Benignus homo, qui miseretur et commodat, dispo-*

μοθετῶν, ἐκεῖνα τοῖς ἀτελέσι καὶ ὑπισχνεῖται, καὶ δίδωσιν. οὕτω 1) τῷ Σολομῶντι 2) καὶ πλοῦτον καὶ δόξαν 3) προστέθεικεν. 4) οὕτω τοῖς υἱοῖς Ἰσραὴλ τὸν τῶν Αἰγυπτίων ἐδωρήσατο πλοῦτον. Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄληστον γὰρ ὁ τῶν ὅλων Θεὸς ἔχει τὴν μνήμην, καὶ ἀείμνηστον αὐτοῦ διαφυλάττει τὸ κλέος. δ΄. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς 5) ἔθνεσιν. Σκότος ποτὲ μὲν τὴν 6) ἄγνοιαν, ποτὲ δὲ τὰς συμφορὰς ὀνομάζει, καὶ φῶς δὲ ὡσαύτως νῦν μὲν τὴν γνῶσιν, νῦν δὲ τῶν κακῶν τὴν ἀπαλλαγὴν προσαγορεύει. λέγει τοίνυν, ὅτι καὶ ἀγνοοῦσιν 7) ὑποδείξει τὴν ἀλήθειαν, καὶ ἐν τῇ τῶν λυπηρῶν προσβολῇ τὴν οἰκείαν ἐπικουρίαν ὀρέξει. οὕτω τὸν Ἰωσὴφ ἐκ τῆς τῶν ἀδελφῶν μιαιφονίας ἐξήρπασεν, οὕτως αὐτὸν τῆς συκοφαντίας ἀπέφηνε κρείττονα· οὕτω τῆς Σάῤῥας ἁρπαγείσης ὤρεξε τῷ Ἀβραὰμ τὴν οἰκείαν ῥοπήν· οὕτω τὸν Λάβαν ἐξεδειμάτωσε, καὶ τὸν φεύγοντα τοῦ διώκοντος δυνατώτερον ἔδειξε. 8) τῆς θείας τοίνυν δυνάμεως καὶ τοῦτο τεκμήριον, τὸ γυμνασίας μὲν εἵνεκα συγχωρεῖν προσβάλλειν τοῖς δικαίοις τὰ λυπηρὰ, διαλύειν δὲ τούτων τὸ νέφος, καὶ καθαρὰν αἰθρίαν χαρίζεσθαι. Ἐλεήμων, καὶ 9) οἰκτίρμων, καὶ δίκαιος. Ταῦτα δὲ πρυτανεύει δικαιοσύνῃ, καὶ ἐλέῳ, καὶ ἀγαθότητι χρώμενος· κήδεται μὲν γὰρ ὡς φιλάνθρωπος, στεφανοῦν δὲ τοὺς δικαίους βουλόμενος, συγχωρεῖ τοὺς ἀγῶνας, λύει δὲ τούτους 10) ὅτι τάχιστα διὰ τὴν ἀμέτρητον ἀγαθότητα. ε΄. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων, καὶ κιχρῶν· οἰκονομήσει

1) τῷ. Cod. 1. præm. καί. 2) Cod. 1. καὶ δόξαν καὶ πλοῦτον. 3) Ibid. προστέθηκεν. 4) οὕτω. Cod. 1. add. καί. 5) ἔθνεσιν. Cod. 1. εὐθέσι, adscripta tamen altera lectione. Hebr. לישרים. 6) Cod. 1. ἄνοιαν. 7) Ibid. ὑποδείξεις. 8) τῆς — ἀγαθότητα. Des. apud CORD. l. c. p. 276. 9) οἰκτ. Cod. 1. add. ὁ Κύριος. 10) ὅτι. Abest a Cod. 1.

μήσει τὺς λόγυς αὐτῦ ἐν κρίσει. Ὁ δὲ Σύμμαχος ὅτως· ἀγαθὸς, χαρισικὸς, καὶ κιχρῶν, οἰκονομῶν τὰ πράγματα αὐτῦ μετὰ κρίσεως. ὁ γὰρ τὸν οἰκεῖον δεσπότην μιμέμενος φιλοτίμως θεραπεύει τὺς ὁμοδέλυς· 1) οἰκτείρων μὲν, ὡς τῆς φύσεως κοινωνὸς, κιχρῶν δὲ, ὡς τὴν ἔκτισιν παρὰ τῦ κοινῦ προσμένων δεσπότυ· ὐδὲν δὲ ὁ τοιῦτος ἀδιακρίτως ἐργάζεται, ἀλλ᾽ 2) ὀρθῶς χρώμενος λογισμῷ, καὶ τὺς λόγυς καὶ τὰ ἔργα κοσμεῖ. ς΄. Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. Βεβαίαν γὰρ ὁ τοιῦτος ἔχει τὴν γνώμην, ὐδεμίαν τροπὴν δεχομένην ἐν ταῖς τῶν καιρῶν δυσκολίαις. ζ΄. Εἰς μνημόσυνον αἰώνιον ἔσαι δίκαιος. Πολυθρύλλητος δὲ ὁ τοιῦτος ἔσαι, καὶ παρὰ πᾶσιν ἀοίδιμος, καὶ 3) ἀείμνησον καταλείψει τὸ κλέος. Ἀπὸ ἀκοῆς πονηρᾶς ὐ φοβηθήσεται. Οὔτε δὲ ἀπειλὰς δείσει, ὔτε ἀγγελίας φόβον ἱκανὰς ἐμποιῆσαι. Ἑτοίμη ἡ καρδία αὐτῦ 4) ἐλπίζειν ἐπὶ 5) Κυρίῳ. Ὁ δὲ Σύμμαχος τὴν ἑτοίμην πάλιν ἑδραίαν ἡρμήνευσεν. 6) ἑδραίαν ἔχει φησὶ 7) καὶ βεβαίαν τὴν εἰς Θεὸν ἐλπίδα, καὶ διὰ τῦτο τῶν τοιύτων θορύβων καταφρονεῖ. η΄. Ἐσήρικται ἡ καρδία αὐτῦ, ὐ μὴ φοβηθῇ, ἕως ὖ ἐπίδῃ ἐπὶ τὺς ἐχθρὺς αὐτῦ. Οὐ γὰρ μόνον ὐ δέδιε τὺς δυσμενεῖς, ἀλλὰ καὶ τὴν ἐκείνων ἧτταν διὰ τὴν εἰς Θεὸν ἐλπίδα προσμένει. θ΄. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν αἰῶνα τῦ αἰῶνος. Τύτων ἕκασον διδασκαλίαν ἀρετῆς τοῖς βυλομένοις προσφέρει. λέγει δὲ, ὅτι ὁ τῇ εὐλαβείᾳ καὶ τῷ θείῳ φόβῳ κοσμέμενος ὐχ ἁπλῶς τοῖς δεομένοις ὀρέγει τὸν ἔλεον, ἀλλὰ μετὰ πολλῆς φιλοτιμίας τῦτο ποιεῖ, καὶ

net sermones suos in iudicio. Symmachus autem sic, Bonus, munificus, et commodans, qui dispensat res suas cum iudicio. Qui enim dominum suum imitatur, larga manu conseruis succurrit, miserans quidem vt naturæ particeps, commodans vero, tanquam a communi Domino remunerationem exspectans. Nihil autem talis incaute facit, sed rectis vtens cogitationibus, et verba et opera ornat. *6. Quoniam in æternum non commouebitur.* Firmam enim huiusmodi homo habet mentem, quæ nullam mutationem patitur per temporum difficultates. *7. In memoria æterna erit iustus.* Celeberrimus autem erit hic, et ab omnibus decantabitur, et sempiternam relinquet gloriam. *Ab auditione mala non timebit.* Porro nec minas timebit, neque nuntios, qui terrorem incutere possunt. *Paratum cor eius sperare in Domino.* Symmachus *paratum* rursus interpretatus est *firmum:* Firmam enim, ait, et constantem in Deo spem habet: et propterea huiusmodi tumultus pro nihilo habet. *8. Confirmatum est cor eius, non metuet, donec videat inimicos suos (oppressos).* Non modo enim hostes non timet, verum etiam illorum stragem ob spem in Deo collocatam exspectat. *9. Sparsit, dedit pauperibus: iustitia eius manet in seculum seculi.* Vnumquodque istorum virtutis doctrinam volentibus affert. Dicit autem, eum qui reuerentia diuinoque timore præditus est, non simpliciter indigentibus misericordiam præbere, sed cum multa liberalitate hoc facere, imitatique

1) Cod. 1. οἰκτίρμων. 2) Ibid. ὀρθῷ. 3) Ibid. ἀεὶ μνηστόν. 4) ἐλπ. *Hebr.* innixum. 5) Rec. lectio h. l. est Κύριον. Ita quoque Cod. 1. 6) ἑδρ. Cod. 1. add. γάρ. 7) καὶ βεβαίαν. Dest. ibid.

tarique ferentes large femina, et dissipantes ob manipulorum spem. Similiter enim et hic iustitiæ lucrum exspectat. *Cornu eius exaltabitur in gloria.* Cornu vocat *robur*, Metaphora desumta ab animalibus, quæ cornibus armata sunt, et hisce aggredientes vlciscuntur. Dicit igitur, eum qui virtutis diuitias possidet, potentem atque illustrem fore. 10. *Peccator videbit, et irascetur, dentibus suis fremet, et tabescet: desiderium peccatoris peribit.* Qui vero inique viuere decreuerunt, iustorum splendorem cernentes, inuidia quidem tabescent, cædisque machinationes struent: non erunt tamen compotes desiderii sui, et quod concupiscent non consequentur. Iniusta enim hæc, et Deo admodum exosa est.

μιμεῖται τοὺς σπείροντας ἀφειδῶς τὰ σπέρματα, καὶ σκεδαννῦντας διὰ τὴν τῶν δραγμάτων ἐλπίδα. παραπλησίως γὰρ καὶ οὗτος τῆς δικαιοσύνης προσμένει τὸ κέρδος. Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. Κέρας τὴν ἰσχὺν καλεῖ ἐκ μεταφορᾶς τῶν ζώων τῶν καθωπλισμένων τοῖς κέρασι, καὶ τούτοις ἀμυνομένων τοὺς ἐπιόντας. λέγει τοίνυν ὅτι καὶ δυνατὸς καὶ περίβλεπτος ἔσται ὁ τῆς ἀρετῆς κεκτημένος τὸν πλοῦτον. ι΄. Ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει, καὶ τακήσεται, ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται. Οἱ δὲ κακίᾳ συζῆν προαιρούμενοι, τῶν δικαίων ὁρῶντες τὴν περιφάνειαν, τακήσονται μὲν τῷ φθόνῳ, καὶ 1) τῆς μιαιφονίας τυρεύουσι μηχανάς· διαμαρτήσονται δὲ τῶν βουλευμάτων, καὶ τῆς ἐπιθυμίας οὐκ ἀπολαύσουσιν. ἄδικος γὰρ αὕτη καὶ λίαν θεομισής.

INTERP. PSALMI CXII.

Alleluia. Alius hymnus et hic est in vtilitatem conscriptus, et homines excitans ad laudes benefactoris. 1. *Laudate pueri Dominum.* Pueros hoc loco non iuuenes, vt nonnulli suspicati sunt, sed seruos vocat. Sic enim et Aquila, et Symmachus, et Theodotio interpretati sunt: et Hebræus *Abde* dicit. Sic etiam Syrus. Et *laudate* Hebræus *Alleluia* dixit: vt adeo manifestum sit, Alleluia verti *Laudate Dominum: Laudate nomen Domini.* 2. *Sit nomen Domini benedictum, ab hoc inde tempore et vsque in seculum.* Conuenit, ait, vos cum serui sitis, et a Deo quod estis

ΕΡΜΗΝ. ΤΟΥ ριβ΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ἕτερος ὕμνος καὶ οὗτος εἰς ὠφέλειαν συγγεγραμμένος, καὶ ἐγείρων τοὺς ἀνθρώπους εἰς ὑμνῳδίαν τοῦ εὐεργέτου. α΄. Αἰνεῖτε παῖδες Κύριον. Παῖδας ἐνταῦθα οὐ τοὺς νέους, ὥς τινες ὑπέλαβον, ἀλλὰ τοὺς δούλους καλεῖ. οὕτω γὰρ καὶ ὁ Ἀκύλας, καὶ ὁ Σύμμαχος, καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν. καὶ ὁ Ἑβραῖος 2) ἀβδὴ λέγει. 3) οὕτω δὲ καὶ ὁ Σύρος. καὶ τὸ αἰνεῖτε ὁ Ἑβραῖος ἀλληλούϊα εἶπεν· ὡς εἶναι δῆλον ὅτι ἀλληλούϊα αἰνεῖτε 4) Κύριον ἑρμηνεύεται. Αἰνεῖτε τὸ ὄνομα Κυρίου. β΄. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Προσήκει, φησὶν, ὑμᾶς δούλους ὄντας, καὶ 5) ἀπὸ τοῦ Θεοῦ τὸ εἶναι λαβόν-

1) Cod. 1. τάς. 2) ἀβδή. Ibid. præm. δέ. 3) οὕτω. In Cod. 1. præm. τοῦτο δὲ τῇ ἑλλάδι φωνῇ τοὺς δούλους δηλοῖ, „hoc autem in lingua græca seruos significat.„ 4) Κύριον. Ibid. præm. τόν. 5) Cod. 1. ὑπό.

λαβόντες, ὑμνεῖν αὐτοῦ τὸ ὄνομα, κἂν ἀγνοῆτε τὴν φύσιν. ἔχει μὲν γὰρ τὴν εὐλογίαν καὶ τὴν εὐφημίαν ἄναρχον καὶ ἀτέλευτον. τὸ γὰρ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος δηλοῖ τοῦτο. δεῖ δὲ 1) ὅμως καὶ ἡμᾶς, οἷα 2) δὴ ποιητῇ, προσφέρειν τὸν χαριστήριον ὕμνον. γ΄. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου. Τὴν μετὰ τὴν ἐνανθρώπησιν τοῦ μονογενοῦς τοῖς ἔθνεσι παραχεθεῖσαν θεογνωσίαν ὁ ψαλμὸς προεθέσπισε· πάλαι μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς οὐδὲ παρὰ πάντων Ἰουδαίων ὑμνεῖτο, ἀλλὰ παρ' ὀλίγων τῶν εὐσεβείᾳ συζώντων· μετὰ δὲ τὴν ἐκ παρθένου γέννησιν, καὶ τὸ σωτήριον πάθος, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κηρύκων τῆς ἀληθείας, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν, καὶ ἐπληρώθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ 3) κατακαλύψαι θαλάσσας. τοῦτο καὶ δι' ἑτέρου προφήτου ὁ τῶν ὅλων ἔφη Θεός. οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, καὶ θυσίαν οὐ προσδέξομαι 4) ἐκ τῶν χειρῶν ὑμῶν, ὅτι ἀπὸ ἀνατολῶν ἡλίου 5) μέχρι δυσμῶν μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ 6) θυμίαμα προσφέρεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. συνῳδὰ 7) δὲ τούτοις καὶ ἡ πνευματικὴ μελῳδία θεσπίζει. δ΄. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. Ἅπαντα γὰρ τὰ ἔθνη μεμάθηκεν ὡς αὐτός ἐστιν ὕψιστος, καὶ Θεὸς, καὶ τῶν ἁπάντων δημιουργὸς, καὶ ὑπὸ τῶν οὐρανίων ἀγγέλων 8) ἀνυμνούμενος. ε΄. Τίς ὡς 9) ὁ Κύριος ὁ Θεὸς ἡμῶν; Πολλάκις τοῦτο ἡ θεία γραφὴ

acceperitis, eius nomen laudare, licet ignoretis naturam. Habet enim et benedictionem et gloriam sine principio, et sempiternam. Illud quippe, *a seculo usque in seculum*, hoc significat. Oportet tamen et nos veluti creatori hymnum gratiarum actionis offerre. 3. *A solis ortu usque ad occasum laudabile est nomen Domini.* Diuinam cognitionem post incarnationem vnigeniti gentibus praebitam psalmus praecinit. Nam olim vniuersorum Deus ne ab omnibus quidem Iudaeis laudabatur, sed a paucis pie viuentibus: post natiuitatem autem ex virgine, salutaremque passionem, in omnem terram sonus praeconum veritatis exiuit, *a)* et in fines orbis terrae verba eorum, et *b)* impleta est tota terra cognitione Dei, veluti aqua* ad operiendum maria. Hoc * et per prophetam alium ait Deus, *c)* Non est mihi voluntas in vobis, et sacrificium non accipiam ex manibus vestris. Ab ortu enim solis vsque ad occasum magnum est nomen meum in gentibus, et in omni loco incensum offertur nomini meo, et sacrificium mundum. Consonantia autem his spiritualis symphonia praedicat. 4. *Excelsus super omnes gentes Dominus, et super caelos gloria eius.* Omnes enim gentes didicerunt, ipsum esse sublimem, et Deum, omniumque opificem, et a caelestibus angelis celebratum. 5. *Quis sicut Dominus Deus noster?* Saepius hoc diuina scriptura dicit.

1) ὅμως. Def. in Cod. 1. 2) δή. Abest etiam a Cod. isto. 3) κατακ. Hanc lectionem debemus Codici 1. aug. Prior editio habebat καταλῆψαι. 4) ἐκ. Abest a Cod. 1. 5) μέχρι. Ibid. praem. καί. 6) Cod. 1. θυσία. 7) δέ. Def. ibid. 8) Cod. 1. ὑμνούμενος. 9) ὁ. Abest a Cod. 1. et a Textu τῶν ό.

a) Ps. 19, 5. b) Habac. 2, 14. c) Mal. 1, 10. 11.

dicit. „ Beatus enim Moses dicit: „ *a*) Quis similis est tibi inter deos Domine? Quis similis tibi in sanctis glorificatus? Et beatus Dauid, *b*) Quis, inquit, in nubibus æquabitur Domino? aut quis similis erit Domino inter filios Dei? Et rursus, *c*) Quoniam quis est Deus præter Dominum, aut quis est Deus præter Deum nostrum? Per omnia vero hæc Deum vniuersorum cum nemine comparari posse discimus, et nihil esse, quod cum Dei natura, aut potentia, aut vi conferri possit. *Qui in altis habitat, 6. Et humilia respicit in cælo, et in terra.* Nam ille, qui in cælis habitare videtur, omnia inspicit, et nihil eorum, quæ sunt, omnino negligit. 7. *Suscitans a terra inopem, et de stercore erigens pauperem,* 8. *Vt collocet eum cum principibus, cum principibus populi sui.* Hæc et beata Anna dixit, hymnum gratiarum actionis Deo texens. *d*) Cernimus autem hæc ipsa a Deo vniuersorum continue fieri. Sic beatum Dauidem, cum pastor esset, regem fecit; sic et Iosephum, cum in seruitutem incidisset, in regali constituit solio; sic Mosen, cum opilio esset, populi gubernatorem fecit, Pharaonisque Deum constituit; sic gentes impietatis paupertati seruientes, et in peccati ster-

λέγει· 1) „καὶ γὰρ ὁ μακάριος Μωϋ„σῆς τοῦτο λέγει· „ τίς ὅμοιός σοι ἐν θεοῖς Κύριε; τίς ὅμοιός σοι, δεδοξασμένος ἐν ἁγίοις; καὶ ὁ μακάριος Δαβὶδ, ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; ἢ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ; καὶ πάλιν, ὅτι τίς Θεὸς παρὲξ τοῦ Κυρίου; ἢ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν; διὰ πάντων δὲ 2) τούτων τὸ ἀσύγκριτον τοῦ Θεοῦ τῶν ὅλων μανθάνομεν, καὶ 3) ὅτι οὐδὲν τῶν ὄντων παραβληθῆναι δύναται τῇ τοῦ Θεοῦ φύσει, ἢ δυνάμει, ἢ ἐνεργείᾳ. Ὁ ἐν ὑψηλοῖς 4) οἰκῶν, ς. Καὶ τὰ ταπεινὰ 5) ἐφορῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ. Τοῖς οὐρανοῖς γὰρ ἐνδιαιτᾶσθαι δοκῶν ἐποπτεύει τὰ σύμπαντα, καὶ οὐδὲν ἀτημέλητον τῶν ὄντων ἐᾷ. ζ'. Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. η'. Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ. 6) Ταῦτα καὶ ἡ μακαρία εἴρηκεν Ἄννα, τὸν χαριστήριον ὕμνον 7) ὑφαίνουσα τῷ Θεῷ. ὁρῶμεν δὲ αὐτὰ διηνεκῶς ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων γινόμενα. οὕτω τὸν μακάριον Δαβὶδ ποιμένα ὄντα βασιλέα πεποίηκεν· οὕτω τὸν Ἰωσὴφ εἰς δουλείαν μεταπεσόντα ἐπὶ τὸν βασιλικὸν κεκάθικε θρόνον. οὕτω τὸν Μωϋσέα προβατέα γινόμενον δημαγωγὸν ἀπέφηνε τοῦ λαοῦ, καὶ θεὸν ἐχειροτόνησε 8) τοῦ Φαραώ. οὕτω τὰ ἔθνη, τὰ τῇ πτωχείᾳ τῆς ἀσεβείας δουλεύοντα, καὶ τῇ κόπρῳ τῆς 9) ἁμαρτίας

1) E Cod. 1. 2) τούτων. Abest a Cod. 1. 3) ὅτι. Def. ibid. 4) Rec. lectio h. l. est κατοικῶν. Ita quoque Cod. 1. 5) ἐφορ. In Cod. 1. ex errore Librarii, vt videtur, repetita sunt ista quæ præcesserant Ὁ ἐν — ἐφορῶν. 6) Ταῦτα — ἐν τῷ μέλλοντι. Eadem habet EVSEB. ad h. l. in MONTF. Collect. noua PP. T. I. p. 709. Desunt tamen in Textu EVSEBII apud CORD. l. c. p. 289. 7) ὑφαίνουσα. Cod. 1. προσφέρουσα, adscripta tamen altera lectione. 8) τοῦ Φαραώ. Meliorem Noster h. l. sequutus est lectionem, quam supra in Comment. ad Exod. 7, 1. Vid. p. 134. n. 1. 9) ἁμαρτ. Cod. 1. ἀσεβείας, adscripta tamen lectione altera. Apud EVSEB. l. c. post ἁμαρτίας sequitur καὶ βδελυγμίας.

a) Exod. 15, 11. *b*) Ps. 88, 6. *c*) Ps. 17, 31. *d*) 1 Reg. 2, 8.

τίαις ἐπικαθήμενα, τῶν τῷ Ἰσραὴλ δεδωρημένων ἠξίωσεν ἀγαθῶν· οὕτω τὴν ἀνθρωπείαν φύσιν εἰς αὐτὸν καταπεσοῦσαν τὸν τοῦ θανάτου πυθμένα ἀνέλαβε, καὶ ἀνήγαγε, καὶ ἐκάθισεν ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. θ'. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. 1) Καὶ τοῦτο ὡσαύτως ἐστὶν ἰδεῖν καὶ ἐπ' ἀνθρώπων συμβαῖνον. καὶ γὰρ καὶ τὴν Σάῤῥαν, καὶ τὴν Ῥεβέκκαν, καὶ τὴν Ῥαχὴλ, καὶ τὴν Ἄνναν, καὶ τοῦ Σαμψὼν τὴν μητέρα, καὶ τὴν Ἐλισάβετ, 2) στερίφας οὔσας, μητέρας παίδων ἀπέφηνεν. κυριώτερον δὲ τοῦτο καὶ ἀληθέστερον 3) ἐπὶ τῆς ἐκκλησίας ἐστὶν ἰδεῖν· στεῖραν γὰρ 4) ταύτην οὖσαν 5) πάλαι, καὶ ἄπαιδα, μητέρα πεποίηκεν, ἐπὶ τέκνοις ἀναριθμήτοις εὐφραινομένην, κατὰ τὴν προφητείαν τὴν λέγουσαν, εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ τῆς ἐχούσης τὸν 6) ἄνδρα.

core sedentes, bonis quæ Israeli concessa fuerant dignatus est; sic humanam naturam, cum in ipsum mortis profundum decidisset, assumsit, et extulit, et collocauit super omnem principatum, *a*) et potestatem, et dominationem, et omne nomen, quod nominatur, non modo in seculo hoc, sed etiam in futuro. * 9. *Qui habitare facit sterilem in domo, matrem filiorum lætantem.* Et hoc similiter videre licet inter homines accidisse. Etenim et Saram, et Rebeccam, et Rahelem, et Annam, et Simsonis matrem, et Elisabetham, cum steriles essent, matres filiorum reddidit. Sed magis proprie et magis vere hoc in ecclesia cerni potest: quam, cum sterilis et sine filiis olim esset, matrem fecit ob innumeros filios lætantem; secundum vaticinationem dicentem, *b*) Lætare sterilis, quæ non paris, erumpe et clama, quæ non parturis: quoniam plures sunt filii desertæ, quam illius, quæ habet virum.

1) Καὶ τοῦτο κ. τ. λ. In Cod. *flor.* cuius Excerpta nobiscum communicauit Cl. BANDINIVS, hæc præmittuntur: Ἐνταῦθα μείζονα (ita leg. esse putamus pro μεῖζον) ὑμνεῖ τὴν τοῦ Θεοῦ δύναμιν, μεταβάλλοντος οὐ πράγματα μόνον ἁπλῶς, ἀλλὰ καὶ φύσεις, ὡς καὶ στεῖραν ποιῆσαι μητέρα. „Hoc loco celebrat superiorem Dei potentiam, quippe qui non modo ea quæ iam facta sunt, sed ipsas quoque naturas, mutat, adeo vt sterilis quoque per illum mater fiat.„ Sequitur καὶ τοῦτο δὲ ὡσαύτως ἰδεῖν κ. τ. λ. 2) στερίφας. Cod. *flor.* στείρας ἀκάρπους. 3) ἐπί. Cod. *flor.* ἐστιν. 4) Ibid. αὐτήν. 5) πάλαι. In Cod. *aug.* 1. et in *flor.* ponitur post ἄπαιδα. 6) ἄνδρα. Cod. *flor.* addit: ἀληθῶς γὰρ πολύπαις καὶ καλλίπαις ἡ ἀπὸ τῶν ἐθνῶν ἐκκλησία γεγένηται ὑπὲρ τὴν ἔχουσαν ἄνδρα τὸν νόμον, τὴν Ἰουδαίων συναγωγήν· ἥτις καὶ οἶκος γέγονε πνευματικὸς, ἅτε τὸν Κύριον ἔνοικον ἔχουσα· γέγονε δὲ καὶ πολλῶν τέκνων μήτηρ μετ' εὐφροσύνης, ἐσώθη γὰρ αὐτῆς τὰ τέκνα διὰ τῆς εἰς Χριστὸν πίστεως. ἔχει δέ τινα καὶ ἀντιδιαστολὴν πρὸς τὴν συναγωγὴν, ὅτι ἐκείνη οὐκ εὐφράνθη ἐπὶ τοῖς τέκνοις ἅτε ἀπωλείᾳ παραδεδομένοις. ἔξεστι δὲ καὶ τὴν ἀρίστην μεταβολὴν ἐνταῦθα νοῆσαι, ὅτι ὁ ἐν τῇ κοπρίᾳ τῶν παθῶν καθήμενος καὶ πτωχεύων παντὸς ἀγαθοῦ καὶ στεῖρα ὢν ψυχῇ καὶ ἄγονος οὕτως ἀλλοιωθεὶς τὴν καλὴν ἀλλοίωσιν τῶν γηΐνων ὑπεραν ίσταται καὶ πλουτεῖ τοῖς ἀγαθοῖς καὶ γεννᾷ τὰ καλὰ τέκνα τῶν ἀρετῶν. οἶμαι δὲ καὶ

a) Eph. 1, 21. *b*) Es. 54, 1.

INTERP. PSALMI CXIII.

Alleluia. Et hic est hymnus beneficia a Deo in Iudæos collata commemorans, Deique potentiam enarrans, et idolorum imbecillitatem deridens. Conuenit autem hic quoque hymnus iis, qui ex gentibus crediderunt, quique ab idolorum errore liberati fuere. Discunt enim, quanta sit differentia inter eos qui non sunt, et Deum qui est. 1. *In exitu Israëlis ex Aegypto, domus Iacobi de populo barbaro.* 2. *Facta est Iudæa sanctificatio eius, et Israël potestas eius.* Cum Dominus, inquit, Israëlem ex Aegypto liberasset, atque ab alienigenarum illorum et

ΕΡΜΗΝ. ΤΟΥ ριγ' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὕμνος καὶ οὗτός ἐστι τὰς Ἰουδαίοις ὑπὸ τοῦ Θεοῦ παραχεθείσας εὐεργεσίας διεξιὼν, καὶ τὴν τοῦ Θεοῦ δύναμιν διηγούμενος, καὶ τῶν εἰδώλων κωμῳδῶν τὴν ἀσθένειαν. ἁρμόττει δὲ καὶ οὗτος ὁ ὕμνος τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι, καὶ τῆς τῶν εἰδώλων πλάνης ἀπηλλαγμένοις. μανθάνουσι γὰρ ὅσον τὸ μέσον τῶν οὐκ ὄντων πρὸς τὸν ὄντα Θεόν. α'. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου. β'. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. Τῆς Αἰγύπτου, φησὶ, τὸν Ἰσραὴλ ὁ Δεσπότης ἐλευθερώσας, καὶ τῆς τῶν 1) ἀλλοφώνων ἐκείνων καὶ βαρ-

καὶ τὴν παρθενίαν ἐν τούτοις ἀποσεμνύνεσθαι. τῆς μὲν γὰρ σωματικῆς συναφείας τὸ ἔργον σωμάτων νεκρῶν ἐστι κατασκευὴ, τῆς δὲ πρὸς τὸ πνεῦμα κοινωνίας ζωὴ καὶ ἀφθαρσία τοῖς συναφθεῖσιν ἀντὶ τέκνων προσγινομένη. διάφοροι γὰρ αἱ ἀρεταὶ, ὧν εἰσι μητέρες αἱ φιλόθεοι ψυχαί· καὶ καλῶς ἐστι τὸ ἀποστολικὸν εἰπεῖν ἐπὶ τούτῳ, ὅτι σώζεται διὰ τῆς τεκνογονίας ταύτης ἡ τῶν τοιούτων τέκνων μήτηρ εὐφραινομένη, καθὼς ἀνευφήμησεν ἡ ψαλμῳδία. εὐφραίνεται γὰρ ὡς ἀληθῶς ἡ παρθένος ἡ μήτηρ, ἡ τὰ ἀθάνατα τέκνα κυοφοροῦσα διὰ τοῦ Πνεύματος, στεῖρα διὰ τὴν σωφροσύνην ὑπὸ τοῦ προφήτου ὀνομασμένη. „Vere enim plures pulchrioresque filios ecclesia e Gentibus collecta peperit, quam Synagoga Iudæorum, quæ virum habebat Legem. Facta enim est etiam domus spiritualis vtpote quæ Dominum habuit inhabitantem. Facta quoque est multorum filiorum mater cum lætitia: filii enim eius per fidem in Christum saluati sunt. Hoc tamen inter eam ac Synagogam intercessit discrimen, quod hæc non lætata sit de filiis suis, vtpote qui internecioni dati sunt. Præstantissimam quoque obseruare licet mutationem istam, quod qui antea adfectibus quasi luto immersus fuerat, omnique bono caruerat, sterilis quoad animam et infœcundus, is nunc egregiam mutationem expertus terrenis omnibus præstet, bonis abundet, bonosque virtutum liberos procreet. Puto autem per hoc celebrari quoque virginitatem. Coniunctionis enim carnalis effectus sunt liberi mortis imperio obnoxii, iis autem qui Spiritu coniunguntur, vita ac immortalitas loco liberorum obtingunt. Variæ enim sunt virtutes quarum matres fiunt animæ Dei amantes. Et satis bene huc trahi poterit quod dicit Apostolus, (1 Tim. 2, 15.) fore vt per liberorum procreationem saluetur mater; lætans, vt fausto omine illi accinit Psalmodia. Lætatur enim, vt quæ vere virgo est, mater, filios immortales ope Spiritus enixa, quæ ob castitatem sterilis dicta est a Propheta.„ Hactenus Codex *florentinus*. Quæ prima sunt, verba ἀληθῶς — συναγωγὴν, *Didymo* tribuuntur apud CORD. T. III. p. 289. Quæ sequuntur, ἥτις — παραδιδομένοις, ibidem p. 290. *Athanasio* adscribuntur, nec multum differunt ab iis quæ l. c. p. 286. sub *Theodori Heracleotæ* nomine exstant.

1) Cod. L. ἀλλοφύλων.

βαρβάρων ἀπαλλάξας δουλείας, λαὸν μὲν τοῦτον οἰκεῖον ἀπέφηνεν, ἐν δὲ τῇ Ἰουδαίᾳ τὸν νεὼν τὸν οἰκεῖον ἐδείματο. ἁγίασμα γὰρ τοῦτον 1) ἐκάλεσεν. γ΄. Ἡ θάλασσα εἶδε, καὶ 2) ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. δ΄. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. 3) Προσωποποιεῖ τὰ εἰρημένα, καὶ τοῖς ἀψύχοις τῷ 4) λόγῳ περιτίθησιν αἴσθησιν, τοῦ Θεοῦ κηρύττων τὴν δύναμιν. σοῦ γάρ φησιν ἡγουμένου τοῦ λαοῦ, ὑπεχώρησε μὲν ἔνθεν κἀκεῖθεν ἡ θάλασσα δείσασα, τὴν δὲ πορείαν παρέχεν ἀκώλυτον· ἀνεχαίτισε δὲ ὁ ποταμὸς, καὶ τῶν οἰκείων ῥευμάτων ἐπέσχε τὴν ῥύμην, καθάπερ τὶς λογικὸς ἐν τῇ κιβωτῷ τὴν σὴν φανταζόμενος δύναμιν· καὶ οἱ βουνοὶ, καὶ τὰ ὄρη ἐκινήθη, καὶ χορεύειν ἐδόκει· ὥστε δὴ τῶν οὐρανῶν τὸν Δεσπότην δεξάμενα· λέγει δὲ τὸ Σινᾶ ὄρος, καὶ τὸ Χωρήβ. ἐν ἐκείνοις γὰρ ὁ Θεὸς τὴν οἰκείαν ἐπιφάνειαν ἐποιήσατο. 5) εἶτα καὶ πεῦσιν τοῖς προειρημένοις προσφέρει. ε΄. Τί σοι ἐστὶ θάλασσα ὅτι 6) ἔφυγες; καὶ σὺ Ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; ϛ΄. Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; Καὶ ἐπειδὴ ἄλογα ἦν

barbarorum seruitute vindicasset, populum hunc suum esse declarauit, et in Iudaea templum suum aedificauit. Hoc enim *sanctificationem* nuncupauit. 3. *Mare vidit, et fugit, Iordanes conuersus est retrorsum.* 4. *Montes exultauerunt sicut arietes, et colles sicut agni ouium.* Per prosopopoeiam loquitur, suoque sermone dat sensum rebus inanimatis, Dei potentiam praedicans. Te enim, ait, populum ducente, hinc inde cum formidine mare recessit, expeditum vero iter praebuit. Retrocessit et fluuius, suorumque fluentorum cursum compescuit, et in arca, tanquam si ratione praeditus esset, sibi videre visus est tuam potentiam: et colles, et montes moti, et tripudiare visi sunt, quippe qui caelorum Dominum reciperent. Dicit autem montem Sinai et Choreb: in illis enim Deus apparuit. Deinde et interrogationem supradictis adiungit. 5. *Quid est tibi mare, quod fugisti? et tu Iordanes, quod conuersus es retrorsum?* 6. *Montes, quod exultastis sicut arietes, et colles, sicut agni ouium?* Et quia ratione carentia

1) ἐκάλεσεν. Quaedam subiuncta vid. apud. CORD. l. c. p. 299. 2) ἔφυγεν. Cod. 1. add. τὴν εὐρύχωρον καὶ θαλαττίαν ἁμαρτίαν ἁμαρτίαν ἡμῖν ὑπογράφει. 3) Cod. 1. προσωποποιεῖται. 4) λόγῳ. Cod. 1. add. αὐτοῦ. 5) εἶτα — προσφέρει. Haec apud CORD. T. III. p. 301. iis quae deinde ad vers. 5. et 6. sequuntur, adiuncta sunt. 6) ἔφυγες. Cod. 1. add. ὁ Ἰορδάνης τρεχέτω δρόμον δι' ἐμὲ τὸν ὀπίσθιον· ἐγὼ γάρ εἰμι ὁ καλῶς εἰς τὰ ὀπίσω στρεφόμενος· καὶ πάλαι παιδίον γενόμενος διὰ τῆς πνευματικῆς καὶ ὑδατώδους ἀναγεννήσεως οὕτως ὡς παιδίον ἀρτιγενὲς καὶ ἀπόνηρον καὶ κακίας ἁπάσης ἐλεύθερον εἰς βασιλείαν οὐρανῶν ἀναγόμενος. „Iordanes cursum suum propter me retro flectat. Bene enim ego retro actus sum, et iam pridem paruulus factus per spiritualem et aquae naturam referentem baptismum, instar filii modo nati, et ab omni malo ac prauitate liberi ad regnum caelorum euectus sum.„ Singularis iste locus, qui mysticam veterum Theologiam redolet, in Codice signum adpositum habet, primas literas vocis ζήτει referens. Eius generis signa in codicibus passim obuia esse docuit LAMBEC. lib. III. p. 175. Haud dissimilia sunt, quae ad h. l. habet HIERON. in Breuiario.

tia illa et inanimata erant, ipſe pro eis reſpondet. 7. *A facie Domini mota eſt terra, a facie Dei Iacobi.* 8. *Qui conuertit petram in ſtagna aquarum, et rupem in fontes aquarum.* Vnumquodque horum, ait, factum eſt ob Dominum, qui ibi apparuit. Terræ motus hanc habet cauſam, mariſque diuiſio. Ipſe enim ſterilem lapidem, omni humore priuatum, qui neque ob duritiem ſecari poterat, aquarum affluentia inundauit, iubens* vt inde fontes abunde ſcaterent. Mirum igitur non fuit. Imperauit enim rerum auctor, et mare diſſiluit, et prædura rupes aquam emiſit, et cælum manna ſubminiſtrauit, et venti coturnices congregarunt, cæteraque omnia facta ſunt ipſius tantummodo nutu. 9. *Non*

ἐκεῖνα, καὶ ἄψυχα, αὐτὸς ποιεῖται ὑπὲρ αὐτῶν τὴν ἀπόκρισιν. ζ΄. Ἀπὸ προσώπου Κυρίου 1) ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ. η΄. 2) Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. Τούτων ἕκαστόν φησι διὰ τὸν ἐπιφανέντα γεγένηται Κύριον. ταύτην αἰτίαν ἔχει τῆς γῆς ὁ κλόνος, καὶ ἡ τῆς θαλάττης διαίρεσις. αὐτὸς γὰρ καὶ τὴν ἄγονον πέτραν, τὴν πάσης ἰκμάδος ἐστερημένην, καὶ μηδὲ τομῆς διὰ τὸ στερέμνιον ἀνεχομένην, τῇ προχύσει τῶν ὑδάτων ἐπέκλυσε, πηγὰς ἐκεῖθεν 3) ἀφθόνως ἀναβλυσθῆναι κελεύσας. οὐδὲν οὖν, φησὶ, θαυμαστὸν γεγένηται. προσέταξε γὰρ ὁ ποιητὴς, καὶ διῃρέθη τὸ πέλαγος, καὶ ἡ ἀκρότομος ἀνέβλυσε πέτρα, ὁ οὐρανὸς ἐχορήγησε μάννα, οἱ ἄνεμοι τὴν ὀρτυγομήτραν συνήθροισαν, καὶ τὰ ἄλλα πάντα αὐτοῦ γεγένηται 4) νεύσαντος. θ΄. 5) Μὴ ἡμῖν

1) ἐσαλ. Hebr. חולי contremiſce. *Aqu.* ὠδινησάτω. 2) Τοῦ — ὑδάτων. Deſ. h. l. in Cod. 1. 3) Cod. 1. ἀφθόνους. 4) νεύσαντος. In Cod. 1. ſequuntur verba verſic. 8. Τοῦ — ὑδάτων, hoc addito Commentario: ὥσπερ τὰ προλαβόντα μηνύματα τῆς τοῦ Χριστοῦ θεότητος, οὕτω τὰ παρόντα τῆς αὐτοῦ σαρκός· πέτρα γὰρ διὰ τὸ ἀσάλευτον καὶ ἄῤῥωγὲς ὑπῆρχεν, καὶ ἀκρότομος ὤν, καθὼς ὁ Παῦλος δηλοῖ. φησὶ γάρ· ἔπινον ἐκ πνευματικῆς ἀκολουθήσης πέτρας· ἡ γὰρ πέτρα ἦν ὁ Χριστός. τῷ δὲ Δανιὴλ ἐτμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν. ὁ δὲ ἀκρότομος λίθος, ἂν μὴ αὐτομάτως τμηθῇ, ὑφ᾽ ἑτέρου τμηθῆναι οὐ δύναται. ὅμως εἰς λίμνας ἑαυτὸν καὶ εἰς πηγὰς ὑδάτων μετέβαλεν. ἀνοίξας γὰρ τῇ λόγχῃ τὴν πλευρὰν, ἐξήγαγεν ἐξ αὐτοῦ τὰς λίμνας τοῦ βαπτίσματος· ἔτι δὲ καὶ τὰς τοῦ μυστηρίου πηγάς· ἐπειδὴ ὕδωρ καὶ αἷμα τὸ μὲν σύμβολον τοῦ μυστηρίου, τὸ δὲ χαρακτὴρ τοῦ βαπτίσματος ἔῤῥευσε. „Vt ea quæ præcedunt, indicia præbent diuinitatis Chriſti, ita hæc de humana eius natura teſtantur. Petra enim fuit, quia moueri vel frangi non potuit, et lapis fuit prædurus. Hoc enim ſignificat Apoſtolus, dicens (1 Cor. 10, 4.): biberunt de petra ſpirituali quæ ſequebatur eos; petra enim erat Chriſtus. Danieli autem oſtenſus eſt lapis abſciſſus de monte ſine manibus. At vero lapis prædurus, niſi ſponte ſua diſſiliat, ab alio ſecari nequit. Tamen in ſtagna et fontes aquarum ſe mutauit: lancea enim latus aperiens, eduxit ex illo ſtagna baptiſmatis, imo etiam myſterii fontes. Siquidem aqua et ſanguis profluxit, hic quidem ſymbolum myſterii, illa vero character baptiſmi.„ Quæ poſteriorem huius loci conſtituunt partem, ὅμως — ἔῤῥευσε, apud CORD. T. III. p. 302. *Heſychio* tribuuntur. 5) Μὴ ἡμῖν κ. τ. λ. Ab his verbis in Textu hebr. incipit Pſ. 115. ſed non in omnibus Codd. græcis vtrumque Pſalmum olim coniunctum fuiſſe teſtis eſt EVSEB. ad h. l.

ἡμῖν Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. ι. Ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου· 1) μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Ταῦτα τοῖς ἐκ περιτομῆς πάλαι ἥρμοττε λέγειν τὴν θείαν αἰτοῦσιν βοήθειαν, καὶ τῶν προτέρων ἀναμιμνήσκουσι δωρεῶν· μὴ εἰς ἡμᾶς ἀπίδῃς, ὦ Δέσποτα, μηδὲ διὰ τὰς πολλὰς ἡμῶν πλημμελείας παρίδῃς· οἱ γὰρ τῆς τιμωρίας ἀγνοοῦντες τὸ δίκαιον τὴν ἀσθένειαν ὑπολήψονται τὴν ἡμετέραν δουλείαν, καὶ ἐροῦσι, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; ια. Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν. 2) Καὶ ἐκεῖνοι λέγουσι, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; 3) ἡμεῖς δὲ ἴσμεν, ὅτι σὺ εἶ Θεὸς, ποιητὴς πάντων, οὐρανὸν οἰκητήριον ἔχων, 4) σύμμετρον ἔχων τῇ βουλήσει τὴν δύναμιν· εἶτα κατὰ παράθεσιν 5) ποιεῖται τῶν εἰδώλων τὸν ἔλεγχον. ιβ'. 6) Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Σὺ μὲν γὰρ ποιεῖς ὅσα θέλεις· τὰ δὲ ὑπὸ τῶν ἐθνῶν προσκυνούμενα εἴδωλα οὐ δημιουργεῖ, ἀλλὰ δημιουργεῖται, καὶ ἀπὸ μὲν τῆς ὕλης ἔχει τὸ τίμιον· ἐκ χρυσοῦ γὰρ καὶ ἀργύρου κατασκευάζεται καὶ χρωμάτων, ἀπὸ δὲ τῆς τέχνης τὴν εὐμορφίαν κομίζεται· ἀργυροχόοι γὰρ καὶ χρυσοχόοι ταῦτα κατασκευάζουσι, καὶ ζωγράφοι. ἀπὸ ὕλης τοίνυν καὶ τέχνης τὴν σύστασιν 7) ἐρανίζονται. εἶτα διὰ 8) πλειόνων αὐτῶν τραγῳδεῖ τὴν ἀσθένειαν, λέγων. ιγ'. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· 9) ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. ιδ'. Ὦτα ἔχουσι, καὶ οὐκ

nobis Domine, non nobis, sed nomini tuo da gloriam. 10. *Super misericordia tua, et veritate tua: ne aliquando dicant gentes, vbi est Deus eorum?* Hæc iis, qui olim circumcisi fuerant, dicere congruebat, qui diuinum implorabant auxilium, pristinorumque beneficiorum recordabantur, Ne vultum a nobis auertas, Domine, neque ob multa delicta nostra nos negligas. Qui enim supplicii æquitatem ignorant, nostram seruitutem tuam imbecillitatem suspicabuntur, et dicent, Vbi est Deus eorum? 11. *Deus autem noster in cælo, et in terra, omnia quæcunque voluit fecit.* Porro illi dicunt, vbi est Deus ipsorum? Nos autem scimus, te esse Deum, omnium opificem, cælum habitationem habentem, potentiamque voluntati respondentem. Deinde per comparationem idola redarguit, dicens: 12. *Simulacra gentium sunt argentum et aurum, opera manuum hominum.* * Nam tu quidem, quæcunque vis, facis: simulacra vero a gentibus culta, non efficiunt quicquam, sed efficiuntur. Et a materia quidem honorem habent, ex auro enim, et argento, coloribusque finguntur: ab arte vero formam accipiunt. Argentarii enim, et aurifices, et pictores hæc faciunt. A materia igitur et arte substantiam sibi comparant. Deinde pluribus verbis eorum imbecillitatem decantat, dicens: 13. *Os habent, et non loquentur; oculos habent, et non videbunt.* 14. *Aures habent, et non audi-*

1) μήποτε. *Hebr.* quare? 2) Καὶ ἐκεῖνοι. Cod. 1. ἡμεῖς δὲ ἴσμεν, κἀκεῖνοι. 3) ἡμεῖς δὲ ἴσμεν. Def. h. l. in Cod. 1. 4) Cod. 1. σύνδρομον. 5) ποιεῖται. Abest a Cod. 1. 6) Τὰ—ἐθνῶν. *Hebr.* idola eorum. *Aqu.* διαπονήματα αὐτῶν, cuius interpretationis testem adducit *Theodoretum* MONTF. in Hexapl. ad h. l. sed nihil de *Aquilæ* versione apud Nostrum h. l. exstat. 7) Cod. 1. ἐρανίζεται. 8) Ibid. πλειόνων. 9) ὀφθ.—περιπ. Def. ibid.

audient; nares habent, et non odorabuntur. 15. *Manus habent, et non palpabunt; pedes habent, et non ambulabunt.* Simulacra quidem sensuum domiciliis induta sunt, operatione vero destituta. Viliora igitur non modo sunt iis, qui ipsa finxerunt, sed etiam minimis animantibus: quandoquidem musca, et culices, et his tenuiores, in sensuum sedibus vim habent: (vident enim, et audiunt, et volant, et ambulant:) hi vero, qui tanquam dii coluntur, neque tenuiorum animantium ratione carentium vim habent. 16. *Non clamabunt gutture suo.* Quoniam enim dæmones, qui per ipsa operabantur, falsisque vaticinationibus vtebantur, non per inanimata simulacra has proferebant, sed per homines rationis compotes, vel per nonnulla signa aliquid denunciabant, merito ait, *Non clamabunt gutture suo.* Immobilia enim, et inanimata penitus sunt idola. 17. *Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis.* Porro illis quidem similes fiant et qui ipsa colunt, et qui faciunt. Cum enim etsi ratione præditi sint, in tantam absurditatem inciderint, iustum est, omnem eos amittere sensum, instar idolorum, quæ ab ipsis coluntur. 18. *Domus Israel sperauit in Domino, adiutor eorum, et protector eorum est.* 19. *Domus Aaroh sperauit in Domino; adiutor eorum, et protector eorum est.* Illi quidem non emolumentum, sed detrimentum ex horum adoratione perceperunt: sed Israelis domus spem in Deo vero ponens, continue opem ab ipso conse-

ἀκέσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται. ιε΄. Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν. Τῶν αἰσθητηρίων, φησὶ, τὰς μὲν εἰκόνας περίκειντα, τῆς δὲ ἐνεργείας ἐστέρηνται· εὐτελέστεροι τοίνυν οὐ μόνον τῶν ποιούντων, ἀλλὰ καὶ τῶν σμικροτάτων ζωϋφίων εἰσί. μυῖαι γὰρ, καὶ κώνωπες, καὶ τὰ τούτων σμικρότερα, τῶν αἰσθητηρίων ἔχουσι τὴν ἐνέργειαν· βλέπουσι γὰρ, καὶ ἀκούουσι, καὶ πέτανται, καὶ βαδίζουσιν· οἱ δὲ ὡς θεοὶ προσκυνούμενοι, οὐδὲ τὴν τῶν 1) ὀλίγων καὶ σμικρῶν ζώων ἐνέργειαν ἔχουσιν. ιϛ΄. Οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ἐπειδὴ γὰρ οἱ δι᾽ αὐτῶν ἐνεργοῦντες δαίμονες, καὶ ταῖς ψευδέσι χρώμενοι μαντείαις, οὐ διὰ τῶν ἀψύχων ταύτας εἰδώλων, ἀλλὰ διὰ τῶν λογικῶν ἀνθρώπων προσέφερον, ἢ διὰ συμβόλων τινῶν τινὰ κατεμήνυον, εἰκότως ἔφη, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν· ἀκίνητα γὰρ καὶ ἄψυχα εἴδωλα παντελῶς. ιζ΄. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς. Ἀλλ᾽ ἐκείνοις μὲν ὁμοιωθεῖεν καὶ οἱ προσκυνοῦντες, καὶ οἱ δημιουργοῦντες. τοὺς γὰρ λόγῳ τετιμημένους, καὶ εἰς τοσαύτην ἀλογίαν ἐκπεπτωκότας, δίκαιον τῶν ὑπ᾽ αὐτῶν προσκυνουμένων τὴν ἀναισθησίαν λαβεῖν. ιη΄. 2) Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. ιθ΄. 3) Οἶκος Ἀαρὼν 4) ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Ἐκεῖνοι μὲν ζημίαν, ἀλλ᾽ οὐ κέρδος ἐκ τῆς τούτων ἐδρέψαντο προσκυνήσεως· ὁ δὲ τοῦ Ἰσραὴλ οἶκος τὴν εἰς τὸν ὄντα Θεὸν ἐλπίδα κτησάμενος, τῆς παρ᾽ αὐτοῦ προνοίας ἀπολαύει

1) ὀλίγων. Ib. ἀλόγων. 2) Οἶκος Ἰσραὴλ ἤλπισεν. *Hebr.* Israël confide. 3) Οἶκος — αὐτῶν ἐστιν. Des. in Cod. 1. 4) ἤλπισεν. *Hebr.* confidite. Ita quoque in proximo vers.

λαυεὶ διηνεκῶς. κατὰ διαίρεσιν δὲ τὴν μνήμην ἐποιήσατο, τὴν ἱερωσύνην ταύτῃ τιμῶν, καὶ διδάσκων τοὺς τηνικαῦτα, πόση πρὸς τοὺς ἄλλους ἡ τῶν ἱερέων διαφορά. κ΄. Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Ἕτερον τοῦτο τάγμα παρὰ τὰ πρότερα. διδάσκει δὲ ὁ λόγος, ὅτι κἂν μὴ τὴν τῆς ἱερωσύνης τὶς ἀξίαν ἔχει, μηδὲ τὴν Ἰσραηλιτικὴν συγγένειαν περίκειται, τῷ δὲ θείῳ φόβῳ κοσμούμενος ἐπιμελεῖται τῆς ἀρετῆς, τῆς ἴσης καὶ αὐτὸς παρὰ τοῦ Θεοῦ τῶν ὅλων τεύξεται προμηθείας. ἦσαν δὲ καὶ πάλαι παρὰ Ἰουδαίοις τοιοῦτοι πολλοὶ, ἐκ μὲν τῆς Ἀβραμιαίας οὐ βλαστήσαντες ῥίζης, 1) ἐξ ἑτέρων δὲ 2) προσελθόντες ἐθνῶν, 3) προσήλυτοι προσαγορευόμενοι, καὶ περὶ πολλοῦ τὰ θεῖα ποιούμενοι. καὶ νῦν δὲ τὰ ἔθνη οὐκ ἔχει τοῦ Ἀβραὰμ τὴν κατὰ σάρκα συγγένειαν, τοῦ δὲ Ἀβραὰμ τὴν πίστιν κτησάμενα, τέκνα χρηματίζει τοῦ Ἀβραάμ. κα΄. Κύριος μνησθεὶς ἡμῶν 4) εὐλόγησεν ἡμᾶς· εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών. κβ΄. Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον. Τὴν αὐτὴν καὶ ἐνταῦθα διαίρεσιν ἐποιήσατο, καὶ τῆς ἐλπίδος ὑπέδειξε τὸν καρπόν· εὐλογίαν γὰρ 5) τῇ ἐλπίδι συνέζευξε, καὶ ταύτης ἔφη μεταδοῦναι οὐ μόνον τῷ οἴκῳ Ἰσραὴλ, καὶ τῷ οἴκῳ Ἀαρὼν, ἀλλὰ καὶ τοῖς φοβουμένοις αὐτόν. εἶτα πάλιν ἡλικιῶν καὶ ἀξιωμάτων ποιεῖται τὴν διαίρεσιν. Τοὺς μικροὺς μετὰ τῶν μεγάλων. 6) Οὐ γὰρ μόνον τοὺς νέους, ἀλλὰ καὶ τοὺς γεγηρακότας· οὐδὲ μόνον τοὺς πλούτῳ κομῶντας, ἀλλὰ καὶ τοὺς πενίᾳ συζῶντας· οὐδὲ 7) μόνον

quitur. Per diuisionem * autem de sacerdotio fecit mentionem, hoc honorans, et docens homines illius temporis, quantum sit discrimen inter sacerdotes et alios homines. 20. *Qui timent Dominum, sperauerunt in Domino: adiutor eorum et protector eorum est.* Alium ordinem quam in superioribus tenuit. Docet autem sermo, licet aliquis sacerdotii dignitatem non habeat, neque ex Israelitica cognatione sit, tamen si diuino timore præditus sit, et virtutis curam gerat, æqualem opem etiam ipsum ab vniuersorum Deo consecuturum. Erant sane olim apud Iudæos huiusmodi homines multi, qui ex Abrahami radice minime orti erant, sed ex aliis gentibus aduenerant, et proselyti vocabantur, quique res diuinas magni faciebant. Nunc autem gentes cognationem Abrahami secundum carnem non habent, sed Abrahami fidem habentes, filii Abrahami vocantur. 21. *Dominus recordatus nostri benedixit nobis: benedixit domui Israel, benedixit domui Aaronis.* 22. *Benedixit eis qui timent Dominum.* Eandem diuisionem etiam hoc in loco fecit, fructumque spei demonstrauit. Benedictionem enim spei coniunxit, et hanc ait impertiisse, non modo domui Israelis, et Aaronis domui, verum etiam timentibus eum. Deinde rursus ætatum dignitatumque diuisionem facit: *Pusillis cum maioribus.* Non enim iuuenibus modo benedixit, verum etiam eis qui consenuerunt: nec solum diuitiis affluentibus, sed etiam hominibus in paupertate viuentibus: nec solum eis

1) ἐξ ἑτέρων. Cod. 1. ἐξαιρέτων. 2) Ibid. προσεληλυθότες. 3) προσήλυτοι. Ibid. præm. καί. 4) εὐλ. ἡμᾶς. *Hebr.* benedicet s. benedicat. Ita quoque in sequentibus. 5) Cod. 1. τῆς ἐλπίδος. 6) οὐ — ἤνεγκε. Hæc *Theodoro* tribuuntur apud CORD. l. c. p. 306. 7) Cod. 1. μόνους.

eis, qui libertate sunt honorati, verum etiam eis, qui seruitutis iugum ferre coacti sunt. 23. *Adiiciat Dominus super vos, super vos et super filios vestros.* Iis qui diuinam spem possident, incrementum et amplificationem propheticus sermo precatur. 24. *Benedicti vos a Domino, qui fecit cælum et terram.* Porro consequemini, ait, omnino hanc opem, vtpote qui ab vniuersorum creatore benedictionem accepistis. 25. *Cælum cæli Domino, terram autem dedit filiis hominum.* * Ipse enim cælum habitationem habet, non hoc quod conspicitur, sed illud quod superius est, quod illi tectum est, quemadmodum hoc nobis. Habitat vero in cælo vniuersorum Dominus, non circumscriptam habens naturam, sed choris angelorum, qui ibi versantur, gaudens. Terram porro hominum generi attribuit. Non igitur Iudæorum tantum curam gerit, sed omnium quoque hominum, quibus et terram ad habitationem dedit. 26. *Non mortui laudabunt te Domine, neque omnes qui descendunt in infernum.* 27. *Sed nos qui viuimus, benedicemus Domino, ab hoc inde tempore vsque in sæculum.* *Mortuos* vocauit eos, qui inanimatis idolis seruiunt: quid enim est illis stupidius? *Viuentes* vero eos, qui Deum viuentem adorant, quibus diuinum attribuit hymnum. Præterea docet, decere eos qui Deum colunt, cum omni alacritate ipsum laudare adhuc viuentes, vtpote quos hoc facere prohi-

τοὺς τῇ ἐλευθερίᾳ κοσμουμένους, ἀλλὰ καὶ τοὺς τῆς δουλείας τὸν ζυγὸν ἕλκειν ἠναγκασμένους. κγ'. Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. Τοῖς τὴν θείαν ἐλπίδα κεκτημένοις τὴν αὔξησιν καὶ τὸ πλῆθος ὁ προφητικὸς ἐπεύχεται λόγος. κδ'. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. Τεύξεσθε δὲ τούτου πάντως, φησὶν, ἅτε δὴ παρὰ τοῦ ποιητοῦ τῶν ὅλων τὴν εὐλογίαν δεξάμενοι. κε'. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. Αὐτὸς μὲν γὰρ ἐνδιαίτημα ἔχει τὸν οὐρανὸν, οὐ τὸν ὁρώμενον τοῦτον, ἀλλὰ τὸν τούτου ὑπέρτερον, ὃν οὗτος ὄροφον ἔχει, καθάπερ τοῦτον ἡμεῖς. ἐνδιαιτᾶται δὲ τῷ οὐρανῷ τῶν ὅλων ὁ Κύριος, οὐ περιγεγραμμένην ἔχων τὴν φύσιν, ἀλλὰ τοῖς ἐκεῖ πολιτευομένοις τῶν ἁγίων ἀγγέλων 1) χαίρων χοροῖς. τὴν μέντοι γῆν τῷ γένει τῶν ἀνθρώπων ἀπένειμεν. οὐ τοίνυν Ἰουδαίων προμηθεῖται μόνον, ἀλλὰ καὶ πάντων ἀνθρώπων, οἷς καὶ τὴν γῆν οἰκητήριον 2) δέδωκεν. κς'. Οὐχ οἱ νεκροὶ 3) αἰνέσουσί σε Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες 4) εἰς ᾅδου. κζ'. Ἀλλ' ἡμεῖς 5) οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Νεκροὺς ἐκάλεσε τοὺς τοῖς ἀψύχοις εἰδώλοις δουλεύοντας. τί γὰρ ἐκείνων ἀναισθητότερον; ζῶντας δὲ, τοὺς τὸν ζῶντα Θεὸν προσκυνοῦντας, οἷς τὸν θεῖον ἀπεκλήρωσεν ὕμνον. πρὸς δὲ τούτῳ διδάσκει, ὡς σὺν πάσῃ προθυμίᾳ προσήκει τοὺς θεραπεύοντας τὸν Θεὸν ἀνυμνεῖν αὐτὸν ἔτι ζῶντας, ὡς τοῦ θανάτου τοῦτο ποιεῖν κωλύ-

1) χαίρων. Abest a Cod. 1. 2) δέδωκεν. Nonnulla addit CORD. l. c. p. 308. 3) αἰν. σε Κύριε. *Hebr.* laudabunt Iehouam. 4) εἰς ᾅδου. *Hebr.* in locum silentii s. sepulcrum. conf. p. 1282. n. 12. 5) οἱ ζῶντες. Abest a Textu hebr.

κωλύοντος· διὰ τῦτο καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ, ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

beat mors. Idcirco in alio inquit psalmo, a) Cantabo Domino in vita mea, psallam Deo meo quamdiu fuero.

ΕΡΜΗΝ. ΤΟΥ ριδ' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. 1) Πολλαῖς καὶ παντοδαπαῖς ὁ 2) τῦ Σελεύκε Ἀντίοχος, ὁ ἐπίκλην ἐπιφανὴς, Ἰεδαίες περιέβαλε συμφοραῖς· καὶ τοὺς μὲν ῥᾳςώνη συζῶντας παραβῆναι τὸν θεῖον παρεσκεύασε νόμον· οἱ δὲ τῆς εὐσεβείας ἐραςαὶ τὰς ὑπὲρ ταύτης ἀγῶνας προθύμως ἀναδεξάμενοι, τῶν καλλινίκων ςεφάνων ἀπήλαυσαν. ταύτην αὐτῶν τὴν ἀνδρείαν ἡ παρῦσα μελῳδία προλέγει. διηγεῖται δὲ κατὰ ταυτὸν καὶ τὰς τῶν ἀλγεινῶν προσβολὰς, καὶ τὴν παραχεθεῖσαν αὐτοῖς παρὰ τῦ Θεῦ τῶν ὅλων ῥοπήν. α'. Ἠγάπησα, ὅτι εἰσακέσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου. β'. Ὅτι ἔκλινε τὸ οὖς αὐτῦ ἐμοί. Αὐτοὺς ταῦτα λέγειν ἡ προφητεία διδάσκει, ὅτι πάντων μοὶ τὰ θεῖα θυμηρέςερα, καὶ ἀξιεραςότερόν μοι τῶν ἄλλων, τὸ τὸν Θεὸν θεραπεύειν· δέχεται γάρ με τὰς δεήσεις, καὶ τῆς οἰκείας 3) ῥοπῆς ἀξιοῖ. Καὶ ἐν ταῖς ἡμέραις με ἐπικαλέσομαι. 4) Οὗ δὴ χάριν, παρὰ πάντα μου τὸν βίον καὶ ὑμνῶν αὐτὸν διατελέσω, καὶ τὴν παρ' αὐτῦ συμμαχίαν αἰτήσω. εἶτα διηγεῖται τὸ πλῆθος τῶν ἀλγεινῶν. γ'. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με. Κυρίως ὠδῖνες καλοῦνται αἱ πρὸ τῦ τόκου τῆς τικτούσης ὀδύναι. τοιγάρουν ἐκ τῆς μεταφορᾶς ταύτης ὠδῖνες ᾅδε προσαγορεύονται, αἱ αὐτῷ πελάζειν τῷ θανάτῳ παρασκευάζεσαι συμφοραί. λέγει

INTERPR. PS. CXIV.

Alleluia. Multis et omnis generis calamitatibus Seleuci filius Antiochus, cognomento Illustris, Iudaeos afflixit: et fuit in causa, vt multi, qui in desidia viuebant, diuinam transgrederentur legem. Pietatis vero studiosi pro hac propenso animo certamina suscipientes, triumphales coronas adepti sunt. Hanc illorum fortitudinem hic psalmus praecinit. Narrat autem simul et aerumnarum insultus, et opem ab vniuersorum Deo ipsis praebitam. 1. *Dilexi, quoniam exaudiet Dominus vocem orationis meae.* 2. *Quia inclinauit aurem suam ad me.* Haec dicere prophetia ipsos docet, Nihil mihi potius, nihilque desiderabilius, quam res diuinae, et quam Deum colere, quandoquidem meas preces admittit, suaque ope me dignatur. *In diebus meis inuocabo.* Propterea per totam meam vitam ipsum laudibus celebrabo, auxiliumque ab ipso implorabo. Deinde narrat calamitatum multitudinem. * 3. *Circumdederunt me dolores mortis; et pericula inferni inuenerunt me.* Proprie *dolores* vocantur illi, qui antecedunt partum parturientis. Per Metaphoram igitur ab illis petitam *dolores inferorum* vocantur illae calamitates, quae fere ad mortem ducunt. Dicit igitur

mul-

1) Πολλαῖς — ῥοπήν. Haec *Origeni* tribuuntur apud CORD. l. c. p. 316. 2) τοῦ Σελ. Abest a Cod. 1. 3) ῥοπῆς. Cod. 1. praem. μέ. 4) οὗ — αἰτήσω. Haec etiam *Origenis* nomen prae se ferunt apud CORD. l. c. p. 317.

a) Ps. 145, 2.

multis omnisque generis doloribus circumdatos esse, adeo vt prope ipsam mortem sint, et ad ipsas inferorum ianuas peruenerint. *Tribulationem et dolorem inueni.* 4. *Et nomen Domini inuocaui.* Verum nequaquam otio, neque desidiæ me ipsum addixi, cum in has incidissem, neque ad alias vitæ voluptates me applicui: sed luctibus lacrymisque vsus, et continue precans, diuinam efflagitabam opem. Hoc autem ex Maccabæorum historia accuratius disci potest. In solitudinem enim fugientes pietatis alumni, et fame ac siti pressi, Deum obsecrarunt, auxiliumque ab ipso nacti sunt. *O Domine libera animam meam.* Hæc, inquit, precans dicebam, Opem fer, o Domine, et ab impendentibus malis animas nostras libera. Noueram igitur preces fundens, postulata me consecuturum, multam eius benignitatem experientia compertam habens. Hoc enim subdidit. 5. *Misericors Dominus, et iustus, et Deus noster miseretur.* Fontes enim misericordiæ hominibus profundit, habet autem et iustitiam, iniustos pœnitentia vti nolentes plectit. Bis vtique misericordiæ mentionem faciens, semel iustitiæ meminit. Vincit enim Dei benignitas iustitiæ sententiam. 6. *Custodiens paruulos Dominus.* Talem enim de omnibus hominibus curam gerit, vt etiam omni cura infantes dignetur. Et non modo eos qui

τοίνυν, ὅτι 1) πολλοῖς καὶ παντοδαποῖς 2) περιςοιχηθεῖσι δεινοῖς, ὡς παρ' αὐτὸν γενέσθαι τὸν θάνατον, καὶ αὐτὰς καταλαβεῖν τοῦ ᾅδου τὰς πύλας. Θλίψιν καὶ ὀδύνην εὗρον. δ. Καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην. Ἀλλ' οὐκ εἰς ἀνάπαυλαν ἐμαυτὸν ἐξέδωκα, καὶ ῥᾳςώνην, τούτοις περιπεσὼν, οὔτε 3) εἰς τὰς ἄλλας τοῦ βίου ψυχαγωγίας 4) ἐμαυτὸν προενήνοχα, ἀλλὰ θρήνοις καὶ δάκρυσι κεχρημένος, καὶ διηνεκῶς ποτνιώμενος τὴν θείαν ἐζήτουν βοήθειαν. τοῦτο δὲ ἀκριβέςερον ἐκ τῆς τῶν Μακκαβαίων ἱςορίας μάθοι τὶς ἄν. εἰς γὰρ τὴν ἔρημον ἀποδράσαντες οἱ τρόφιμοι τῆς εὐσεβείας, καὶ λιμῷ, καὶ δίψῃ πιεζόμενοι, τὸν Θεὸν ἠντιβόλησαν, καὶ τῆς παρ' αὐτοῦ 5) βοηθείας ἀπήλαυσαν. Ὦ Κύριε ῥῦσαι τὴν ψυχήν μου. Ταῦτά φησι ποτνιώμενος ἔλεγον· ἐπάμυνον ὦ Δέσποτα, καὶ τῶν ἐπικειμένων κακῶν τὰς ἡμετέρας ψυχὰς ἐλευθέρωσον. ᾔδειν μέντοι προσευχόμενος, ὅτι τεύξομαι τῆς αἰτήσεως, τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν τῇ πείρᾳ 6) μεμαθηκώς. τοῦτο γὰρ ἐπήγαγεν. ε. Ἐλεήμων ὁ Κύριος, καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. Τὰς γὰρ τοῦ ἐλέους πηγὰς τοῖς ἀνθρώποις 7) προσχέει· ἔχει δὲ καὶ δικαιοσύνην, 8) τοὺς ἀδικοῦντας κολάζει μεταμελείᾳ χρήσασθαι μὴ βουλομένους. δὶς μέντοι τοῦ ἐλέους μνημονεύσας, ἅπαξ τῆς δικαιοσύνης ἐμνήσθη. νικᾷ γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία τῆς δικαιοσύνης τὴν ψῆφον. ϛ'. Φυλάσσων 9) τὰ νήπια ὁ Κύριος. Τοσαύτην γὰρ πάντων ἀνθρώπων ποιεῖται κηδεμονίαν, ὅτι καὶ τὰ βρέφη πάσης ἀξιοῖ προμηθείας. καὶ οὐ μόνον τεχθέντων ἐπιμελεῖται,

1) πολλοῖς. Cod. 1. præm. καί. 2) Cod. 1. περιεςοιχίσθην. 3) εἰς. Def. in Cod. 1. 4) Ibid. ἐμαυτῷ προσενήνοχα. 5) βοηθ. Cod. 1. προνοίας. 6) Ibid. μεμάθηκα. 7) Ibid. προχέει. 8) τούς. Ib. sequitur γάρ. 9) τὰ νήπια. *Hebr.* simplices.

λεῖται, ἀλλὰ καὶ αὐταῖς ταῖς νηδύσι τῶν μητέρων ἐπικρυπτόμενα, καὶ ὕδασι δυσωδέσιν ἐννηχόμενα, καὶ ἐν ζοφώδει, καὶ ἐν στενῷ καθειργμένα χωρίῳ διατηρεῖ, καὶ σώζει, καὶ τελεσιουργεῖ, καὶ εἰς φῶς ἐξάγει, καὶ τὰς τοῦ γάλακτος ὀρέγει πηγὰς, καὶ τῶν ἐπιβουλευόντων δαιμόνων ἐλευθεροῖ, καὶ συλλήβδην εἰπεῖν, πατρικῆς μεταδίδωσι προμηθείας. οὐχ ἁπλῶς δὲ τὴν τούτων ὁ προφητικὸς λόγος ἐποιήσατο μνήμην, ἀλλὰ διδάσκων, ὡς οὐκ ἀμείβεται μόνον ὁ τῶν ὅλων Θεὸς τοὺς τῶν δικαίων καρποὺς, ἀλλὰ καὶ ἄρχει τῆς εὐεργεσίας, καὶ δημιουργεῖ τοὺς οὐκ ὄντας, καὶ διαπλάσας ἐπιμελεῖται, καὶ μετὰ τὴν τελείαν ἡλικίαν ἀναμένει τοὺς τῆς δικαιοσύνης καρποὺς, καὶ πάλιν τότε ταῖς εὐεργεσίαις τοὺς ἀγαθοὺς ἐπικλύζει. 1) Ἐταπεινώθην καὶ ἔσωσέ με. 2) Ὁ δὲ Σύμμαχος οὕτως, ἠτόνησα καὶ ἔσωσέ με. εἰ γὰρ τὰ νήπια τὰ μηδέπω τὴν αὐτοῦ γνῶσιν δεξάμενα τοσαύτης παρ' αὐτοῦ τυγχάνει κηδεμονίας, πολλῷ μᾶλλον τοῖς εἰλικρινῶς αὐτὸν ἐπικαλουμένοις μεταδίδωσι σωτηρίας. αὐτίκα τοίνυν ἡμᾶς ταῖς συμφοραῖς ταπεινωθέντας ἰδὼν τῆς οἰκείας ἐπικουρίας ἠξίωσεν. ζ'. Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε. Παραθαρρύνουσιν ἑαυτοὺς, καὶ παραθήγουσιν εἰς ἀνδρείαν, τῶν θείων εὐεργεσιῶν ὑποδεικνύντες 3) τὸ πλῆθος, καὶ 4) διδάσκουσι σφᾶς αὐτοὺς, ὅτι κἂν τὸν ὑπὲρ εὐσεβείας καταδέξωνται θάνατον, εἰς τὸν θυμήρη καὶ ἄλυπον μεταστήσονται βίον. ἀνάπαυσιν γὰρ ἐκεῖνον ἐκάλεσε. δηλοῖ δὲ τοῦτο καὶ τὰ ἐπιφερόμενα. η'. Ὅτι 5) ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δα-

iam in lucem editi sunt curat, sed etiam conseruat, et custodit, et perficit eos qui in vtero matrum delitescunt, atque in aquis male olentibus natant, et in tenebroso et angusto loco coërcentur, et in lucem effert, lactisque fontes subministrat, et ab inimicis dæmonibus insidiantibus vindicat, et vt vno verbo dicam, paternam curam impertit. Non temere autem horum propheticus sermo fecit mentionem, sed docens, non modo vniuersorum * Deum iustorum fructus remunerari, sed etiam in benefaciendo ipsum præuenire, et eos qui non sunt fabricare, et cum effinxerit curam gerere: demumque post perfectam ætatem iustitiæ fructus operiri, et rursus tunc viros probos plurimis beneficiis afficere. *Humiliatus sum, et liberauit me.* Symmachus autem sic, Defeci viribus, et saluauit me. Si enim infantes, qui nondum eius cognitionem acceperunt, talem ab ipso curam consequuntur: quanto magis iis, qui sincere ipsum colunt, salutem impertit? Protinus igitur, cum nos ob calamitates depressos vidisset, sua ope nos dignatus est. 7. *Conuertere anima mea ad requiem tuam, quia Dominus benefecit tibi.* Adhortantur se ipsos, et excitant ad fortitudinem, beneficiorum multitudinem proferentes, et se ipsos docent, fore vt quamuis pro pietate mortem subierint, in iucundam tamen et gratam vitam transferantur. *Requiem* enim illam vocauit. Indicant autem hoc etiam ea quæ sequuntur. 8. *Quoniam eripuit animam meam a morte, oculos meos a la-*

 crymis,

1) ἐταπ. *Hebr.* attenuatus sum. 2) ὁ — ἔσωσέ με. Def. in Cod. 1. 3) τὸ πλῆθος. Def. ibid. 4) Cod. 1. διδάσκοντες. 5) ἐξείλετο. *Hebr.* eripuisti.

crymis, *et pedes meos a lapsu.* 9. *Placebo Domino in regione viuorum.* *Regionem* autem *viuorum*, non præsentem nuncupat vitam, in qua sunt fletus, et gemitus, et morbi, et mortes, et peccata, et calamitates, sed vitam ab his omnibus liberam, in qua sine ærumnis est virtutis possessio, et sine laboribus diuitiæ iustitiæ adsunt. Qui enim has cum laboribus his comparare voluerint, ibi amplificabunt ipsas sine laboribus. Hymnum igitur gratiarum actionis offerunt, eo quod oculi quidem a lacrymis sint liberati, et pedes lubricam vitam effugerint, et anima peccati mortem declinare potuerit; et docent se ipsos, vt rerum tristium impetus viriliter perferant, mortemque despiciant, eo quod vita tranquilla morti succedat.

κρύων, καὶ τὲς πόδας μȣ ἀπὸ ὀλισθήματος. θ΄. 1) Εὐαρεστήσω ἐνώπιον Κυρίȣ ἐν χώρᾳ ζώντων. Χώραν δὲ ζώντων, ȣ̓ τὸν παρόντα βίον καλεῖ, ἐν ᾧ θρῆνοι, καὶ ὀδυρμοὶ, καὶ νόσοι, καὶ θάνατοι, καὶ ἁμαρτίαι, καὶ συμφοραί· ἀλλὰ τὸν τȣ́των ἁπάντων ἀπηλλαγμένον βίον, ἐν ᾧ ἀταλαίπωρος τῆς ἀρετῆς ἡ κτῆσις, καὶ δίχα πόνων ὁ τῆς δικαιοσύνης προσγίνεται πλοῦτος. οἱ γὰρ μετὰ πόνων ἐνταῦθα τȣ̃τον 2) θελόμενοι συναγεῖραι, πολλαπλασιάσȣσιν 3) αὐτὸν πόνων χωρίς· τὸν χαριστήριον 4) τοίνυν ὕμνον προσφέρȣσιν, ὡς τῶν μὲν ὀφθαλμῶν τȣ̃ δακρύειν ἀπαλλαγέντων, τῶν δὲ ποδῶν τὸν ὀλισθηρὸν βίον 5) διαφευγόντων, τῆς δὲ ψυχῆς διαδράναι δυνηθείσης τῆς ἁμαρτίας τὸν θάνατον· καὶ διδάσκουσι σφᾶς αὐτȣ̀ς ἐνεγκεῖν γενναίως τὰς τῶν ἀλγεινῶν προσβολὰς, καὶ τȣ̃ θανάτȣ καταφρονῆσαι, ὡς ζωῆς ἀλύπȣ διαδεχομένης τὸν θάνατον.

INTERP. PSALMI CXV.

Alleluia. Hebræus, ceterique interpretes, atque etiam Syrus, hunc præcedentibus connectunt: quandoquidem * eundem sensum habet, et nonum psalmum bifariam diuidentes, horum duorum psalmorum coniunctione

ΕΡΜΗΝ. ΤΟΥ ριε΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. 6) Ἑβραῖος, 7) καὶ οἱ λοιποὶ ἑρμηνευταὶ, καὶ μέντοι καὶ ὁ Σύρος, τȣ̃τον τοῖς προτεταγμένοις συνάπτȣσι. καὶ γὰρ τῆς αὐτῆς ἔχεται διανοίας· καὶ τὸν ἔννατον διχῇ διελόντες, 8) τῇ τῶνδε τῶν ψαλμῶν συναφῇ τὸν ἴσον

1) εὐαρεστήσω. *Hebr.* Ambulabo coram Iehoua. *Syr.* vt gratus sim coram Iehoua. 2) θελόμενοι. Cod. 1. ἐλόμενοι. 3) αὐτόν. Cod. 1. add. ἐκεῖ, quam lectionem *Carafa* expressit. 4) τοίνυν. Abest a Cod. 1. qui habet δὲ ante χαριστήριον. 5) Cod. 1. διαφυγόντων. 6) Ἑβραῖος — ἀριθμόν. Idem Scholion exstat apud MONTF. in Hexapl. ad h. l. Prima eius verba vsque ad διανοίας apud CORD. l. c. p. 327. tribuuntur *Origeni*. 7) καὶ οἱ λοιποί. *Hieronymus* autem in Breuiario ad h. l. obseruat, non nisi in Edit. V. et VI. hunc Psalmum præcedenti adiungi, apud *Symmachum* vero vtrumque distingui. 8) τῇ — ἀριθμόν. Sed quia in quibusdam Codd. græcis Psalmus 113. e duobus (Ps. 114. et 115. iuxta diuisionem hebr.) compositus est, diuersitas numeri adhuc obtinet in Psalmis ordine proximis vsque ad eum qui iuxta hebr. diuisionem est Psalmus 147. qui in Codd. græcis in duos dispescitur. Conf. p. 1412. n. 5.

ἴσον τῶν ψαλμῶν φυλάττουσιν ἀριθμόν. τὴν αὐτὴν δὲ ὅμως ὑπόθεσιν ἔχει. οἱ γὰρ τῆς τῶν ζώντων χώρας ἐκεῖ μνημονεύσαντες, καὶ τοῦτο τεθεικότες ἀκροτελεύτιον, ἐνταῦθα ἀρχόμενοι λέγουσιν· α΄. Ἐπίστευσα, 1) διὸ ἐλάλησα. Οὐ γὰρ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ἐκείνην ἐθεασάμην τὴν χώραν, ἀλλὰ κατάδηλόν μοι ταύτην ἡ πίστις πεποίηκεν. Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. β΄. Ἐγὼ δὲ εἶπα 2) ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης. Ὁ δὲ Ἀκύλας 3) οὕτως· ἐγὼ εἶπα ἐν τῷ θαμβεῖσθαί 4) με, πᾶς ἄνθρωπος 5) διάψευσμα. ὁ δὲ Θεοδοτίων, πᾶς ἄνθρωπος ἐκλείπει. ὁ δὲ Σύμμαχος, καὶ εἶπον ἀδημονῶν, πᾶς ἄνθρωπος διαψεύδεται. οὐχ ἁπλῶς δὲ πάσας τέθεικα τὰς ἑρμηνείας, ἀλλὰ δεῖξαι βουλόμενος, ὡς τὴν 6) ἀνθρωπίνην εὐημερίαν ψεῦδος καλεῖ, διαῤῥέουσαν ὅτι τάχιστα, καὶ διαρκὲς οὐδὲν ἔχουσαν. τὴν γὰρ ἀθρόαν ταύτην, φησὶ, μεταβολὴν θεασάμενος, καὶ τῆς προτέρας ἡμῶν ἀναμνησθεὶς εὐκληρίας, καὶ τὰς ἐπαλλήλους ὁρῶν συμφορὰς, εἶπον ἀδημονῶν, 7) μόνιμον οὐδὲν, οὐδὲ σταθερόν· ἀλλὰ διαψεύδεται, καὶ τῆς ἐλπίδος διαμαρτάνει, 8) τοῖς παροῦσιν ὡς διαρκέσι θαῤῥῶν. τοῦτο 9) μὲν ἐν τῷ τριακοστῷ καὶ ὀγδόῳ ἔφη ψαλμῷ· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. ταῦτα καὶ ὁ σοφὸς παιδευθεὶς Σολομὼν, καίτοι διὰ πάσης εὐημερίας ὁδεύσας, τῆς τῶν ἀνθρωπίνων πραγμάτων φυσιολογίας ἀψάμενος, τοῦτο προοίμιον τέθεικε, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. γ΄. Τί ἀνταποδώσω

æqualem psalmorum numerum conseruant. Idem tamen habet argumentum. Qui enim ibi de viuorum regione mentionem fecerunt, et hunc finem posuerunt, hoc in loco exordientes dicunt: 1. *Credidi, propterea locutus sum.* Non enim corporeis oculis illam conspexi regionem, sed fides hanc mihi fecit manifestam. *Ego autem humiliatus sum valde.* 2. *Ego dixi in excessu meo, omnis homo mendax.* Aquila autem sic, Ego dixi, cum obstupescerem, omnis homo mendacium. Theodotio vero, Omnis homo deficit. Symmachus autem, Et dixi, cum anxius essem, omnis homo mentitur. Non temere autem omnes posui interpretationes, sed ostendere volens, quod humanam felicitatem mendacium vocet, quæ quamprimum diffluit, constansque nihil habet. Cum enim repentinam, inquit, mutationem istam conspexissem, pristinæque nostræ felicitatis meminissem, et assiduas calamitates cernerem, dixi mœrens, Nihil est firmum, neque stabile: sed is, qui præsentibus tanquam permanentibus fidit, frustratur, suaque spe aberrat. Hoc etiam in trigesimo octauo psalmo dixit, *a*) Veruntamen omnia vanitas, omnis homo viuens. Harum rerum gnarus sapiens ille Salomon, licet omni felicitate affueret, et naturam rerum humanarum attigisset, hoc posuit exordium, *b*) Vanitas vanitatum, et omnia vanitas. 3. *Quid retribuam*

 Domi-

1) διό. *Hebr.* כִּי quod eodem modo explicat Paulus 2 Cor. 4, 13. 2) ἐν — μου. *Hebr.* in trepidatione mea. 3) οὕτως. Cod. 1. εἶπεν. 4) με. Des. apud MONTF. in Hexapl. ad h. l. 5) διάψευσμα. Cod. 1. ψεύστης. 6) ἀνθρωπίνην. Abest a Cod. 1. 7) μόνιμον. Ib. ὅτι τῶν ἀνθρωπίνων. 8) τοῖς. Ib. præm. ὁ. 9) μέν. Ib. καί.

a) Ps. 38, 6. b) Eccles. 1, 2.

Domino pro omnibus, quæ retribuit mihi? Multis variisque beneficiis affectus, ignoro quid beneficii auctori rependam. Non temere autem hunc versiculum cum superiori coniunxit: sed docet, vniuersorum Deum in variis etiam vitæ mutationibus opem suam hominibus impertiri, et omnis generis consolationem mœrentibus afferre. Hoc etiam beatus ait Paulus: *a*) Benedictus Deus et pater Domini nostri Iesu Christi, qui consolatur nos in omni tribulatione nostra, vt possimus et ipsi consolari eos, qui omni modo premuntur, per illam consolationem, qua ** Deus nos consolatur: quoniam sicut abundant passiones Christi in nobis, ita abundat per Christum consolatio nostra. Hoc etiam beatus Dauid dixit, *b*) Secundum multitudinem dolorum meorum consolationes tuæ lætificauerunt animam meam. 4. *Calicem salutis accipiam, et nomen Domini inuocabo.* Decet igitur audacter pro ipso mortem subire, et hanc remunerationem pro variis beneficiis dare. *Calicem* enim *salutis*, appellauit mortem pro religione obitam. Sic enim et Dominus nominat. Pater enim, ait, *c*) si possibile est, transeat a me calix iste. Et apostolorum bigæ communicationem regni postulanti sic respondet, *d*) Potestis bibere calicem, quem ego bibiturus sum? Id igitur, inquit, et hoc loco præclari et optimi pietatis athletæ vt faciant se ipsos adhortantur, et hanc pro-

τῷ Κυρίῳ 1) περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; Πολλαῖς καὶ διαφόροις εὐεργεσίαις περικλυζόμενος, ἐκ οἶδα τίσι τὸν εὐεργέτην ἀμείψομαι. οὐχ ἁπλῶς δὲ τοῦτο τῷ προτέρῳ συνῆψεν· ἀλλὰ διδάσκει, ὅτι καὶ ἐν ταῖς ποικίλαις τοῦ βίου μεταβολαῖς τὴν οἰκείαν τοῖς ἀνθρώποις ὁ τῶν ὅλων Θεὸς ἐπικουρίαν ὀρέγει, καὶ παντοδαπὴν τοῖς ἀθυμοῦσι προσφέρει παραψυχήν. τοῦτο καὶ ὁ μακάριος ἔφη Παῦλος· εὐλογητὸς ὁ Θεὸς, καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ· ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. τοῦτο καὶ ὁ μακάριος ἔφη Δαβίδ· κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν 2) μου αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου. δ'. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. 3) Προσήκει τοίνυν θαῤῥαλέως τὸν ὑπὲρ αὐτοῦ καταδέξασθαι θάνατον, καὶ ταύτην δοῦναι τῆς παντοδαπῆς εὐεργεσίας ἀντίδοσιν. ποτήριον γὰρ σωτηρίου τὸν ὑπὲρ τῆς εὐσεβείας προσηγόρευσε θάνατον· οὕτω γὰρ αὐτὸν Κύριος ὀνομάζει. πάτερ γάρ φησιν εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· καὶ τῇ ξυνωρίδι τῶν ἀποστόλων τὴν κοινωνίαν αἰτησάσῃ τῆς 4) βασιλείας, οὕτως ἔφη, δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πιεῖν; τοῦτο τοίνυν καὶ ἐνταῦθα οἱ γενναῖοι καὶ ἄριστοι τῆς εὐσεβείας ἀγωνισταί φησιν αὐτοῖς δρᾶσαι παρακελεύονται· ταύτην δὲ

πλη-

1) *περὶ — μοι. Hebr.* omnes retributiones eius super me sunt. Ita quoque Syrus. 2) *μου.* Cod. 1. add. *ἐν τῇ καρδίᾳ μου.* 3) Προσήκει — *θάνατον.* Hæc *Origeni* tribuuntur apud CORD. l. c. p. 327. 4) *βασιλείας.* Cod. 1. add. *τῶν οὐρανῶν.*

a) 2 Cor. 1, 3 - 5. *b*) Ps. 93, 19. *c*) Matth. 26, 39. *d*) Matth. 20, 22.

πληροῦσι τὴν ὑπόσχεσιν τῶν ὁμοφύλων ὁρώντων, ὅπως ἂν καὶ αὐτοὺς εἰς τὸν ὅμοιον παραθήξωσι ζῆλον. εἶτα δεικνύουσι τὸν 1) τούτου θανάτου καρπόν. ε΄. 2) Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. ς΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Εἰ δὲ Θεῷ τίμιος, τίνι τῶν ὁσίων οὐ σεβάσμιος; ζ΄. Ὦ Κύριε ἐγὼ δοῦλος σός· ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐὰν μὲν οὖν ἀξιάγαστον ἐκεῖνον ὑπομείνωμεν θάνατον, τῆς παρὰ τοῦ Θεοῦ τιμῆς καὶ δόξης ἀπολαυσόμεθα, καὶ ἀείμνηστον καταλείψομεν κλέος. εἰ δὲ κρείττους τῶν πολεμίων γινόμενοι, τὴν ἐκείνων σκεδάσωμεν φάλαγγα, τὸν χαριστήριον ὕμνον τῷ Δεσπότῃ προσοίσομεν, τὴν δουλείαν ὁμολογοῦντες, καὶ ταύτην ἔχειν ἐκ προγόνων αὐχοῦντες. οἱ μὲν γὰρ ἀνθρώποις δουλεύειν ἠναγκασμένοι ἐλευθέρους ἐσχηκέναι προγόνους ἔστιν ὅτε σεμνύνονται· οἱ δὲ εὖνοι θεραπεύσαντες τοῦ Θεοῦ τὴν ἐκ προγόνων ἔχειν ὁμολογοῦσι δουλείαν, μεγίστην τὴν τοιαύτην δουλείαν 3) εὔκλειαν εἰκότως εἶναι πιστεύοντες. Διέρρηξας τοὺς δεσμούς μου. Τῶν πολλῶν μου καὶ διαφόρων συμφορῶν ἠλευθέρωσας. η΄. Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι. θ΄. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. ι΄. Ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου Ἱερουσαλήμ. Ἀπαλλαγεὶς δὲ τῶν συμφορῶν, οὐκ ἔσομαι περὶ τὰς εὐεργεσίας ἀγνώμων, ἀλλὰ τὴν τῆς αἰνέσεως ἀποδώσω 4) σοι θυσίαν, καὶ τὸν χαριστήριον ὕμνον ἐκτίσω, πάντων ὁρώντων τῶν ὁμοφύλων, καὶ τὴν ἐντεῦθεν ὄνησιν καρπουμένων.

missionem perficiunt, tribulibus eorum cernentibus, vt et ipsos in eundem amorem accendant. Deinde mortis huius fructum demonstrant. 5. *Vota mea Domino reddam in conspectu omnis populi eius.* 6. *Pretiosa est in conspectu Domini mors sanctorum eius.* Si autem Deo est pretiosa, cuinam sanctorum non veneranda? 7. *O Domine ego seruus tuus sum, ego seruus tuus sum, et filius ancillæ tuæ.* Si igitur mortem illam admiratione dignam subiuerimus, gloriam et honorem a Deo consequemur, et æternæ memoriæ famam relinquemus. Si vero hostibus superiores facti, illorum aciem profligauerimus, hymnum gratiarum actionis Domino offeremus, seruitutem confitentes, et hanc ex maioribus nos habere gloriantes. Homines enim seruire coacti, aliquando maiores se habuisse liberos gloriantur. Beneuoli vero Dei serui seruitutem ex maioribus se habere confitentur, maximam gloriam eiusmodi seruitutem merito esse credentes. *Dirupisti vincula mea.* A multis diuersisque calamitatibus me liberasti. 8. *Tibi sacrificabo hostiam laudis, et nomen Domini inuocabo.* 9. *Vota mea Domino reddam in conspectu totius populi eius.* * 10. *In atriis domus Domini, in medio tui o Hierosolyma.* A calamitatibus autem liberatus, erga beneficia minime ingratus ero: sed laudis sacrificium tibi rependam, hymnumque gratiarum actionis, tribulibus omnibus meis cernentibus, et hinc vtilitatem percipientibus, offeram. Hoc

1) Cod. 1. τοιούτου. 2) Τὰς — αὐτοῦ. Def. in Cod. 1. 3) εὔκλειαν. Ibid. ponitur ante μεγίστην. 4) σοι. Abest a Cod. 1.

Hoc autem sacrificium rationale in templo nomini tuo consecrato tibi afferam. Hinc igitur etiam disci potest, eo quoque tempore eum lex dominaretur, eos qui magis secundum spiritum legem attendebant, hostias rationales victimis ratione carentibus prætulisse, nouum testamentum adumbrantes. Decet sane scire, omnibus etiam triumphatoribus Martyribus vtrumque psalmum congruere. Idem enim propositum est horum et illorum. Illi enim pro lege, et pro legislatore, mortem laudabilem subierunt: et hi pro illo, qui salutem dedit, mortemque euertit, mortem obire maluerunt quam viuere.

προσοίσω δὲ τὴν λογικὴν ταύτην ἱερουργίαν ἐν τῷ καθιερωμένῳ τῷ ὀνόματί σου νεῷ. ἔστι τοίνυν καὶ ἐντεῦθεν καταμαθεῖν, ὡς καὶ τοῦ νόμου κρατοῦντος, οἱ πνευματικώτερον τῷ νόμῳ προσεσχηκότες τὰς λογικὰς θυσίας τῶν ἀλόγων προετίμων θυμάτων, τὴν καινὴν διαθήκην σκιογραφοῦντες. εἰδέναι 1) δὴ προσήκει, ὡς καὶ πᾶσι τοῖς καλλινίκοις μάρτυσιν ἑκάτερος ἁρμόττει ὁ ψαλμός· ὁ γὰρ αὐτὸς καὶ τούτων κἀκείνων σκοπός· κἀκεῖνοι γὰρ ὑπὲρ τοῦ νόμου, καὶ τοῦ νομοθέτου, τὸν ἀξιάγαστον ὑπέμειναν θάνατον, καὶ οὗτοι τῆς παρούσης ζωῆς τὴν ὑπὲρ τοῦ σεσωκότος καὶ τὸν θάνατον καταλύσαντος προείλοντο τελευτήν.

INTERP. PS. CXVI.

Alleluia. Hic etiam hymnus omnibus hominibus congruens est. Adhortatur enim spiritus gratia eos qui salutem adepti sunt, vt beneficii auctorem laudent. 1. *Laudate Dominum omnes gentes.* Vnâ omnes in choream vocat: omnibus quippe gentibus, non modo Græcis et Romanis, verum etiam omnibus barbaris, salutis occasionem præbuit, sacris apostolis vtens beneficii ministris. Euntes enim, inquit, a) docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti, docentes eos seruare omnia, quæcunque mandaui vobis. Huic legi obtemperantes, totam terram et mare percurrerunt, et hic quidem Indos ad Christum adduxit, hic vero Aegyptios, alius autem Aethiopes. Et beatus

ΕΡΜΗΝ. ΤΟΥ ρις΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὕμνος καὶ οὗτος πᾶσιν ἀνθρώποις ἁρμόττων. παρακελεύεται γὰρ ἡ χάρις τοῦ πνεύματος τοὺς τῆς σωτηρίας τετυχηκότας ὑμνῆσαι τὸν εὐεργέτην. α΄. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη. Κατὰ ταυτὸν ἅπαντας εἰς 2) χορείαν καλεῖ. ἅπασι γὰρ τοῖς ἔθνεσιν, οὐχ Ἕλλησι μόνοις, καὶ Ῥωμαίοις, ἀλλὰ καὶ πᾶσι βαρβάροις, τὰς τῆς σωτηρίας ἐχορήγησεν ἀφορμὰς, τοῖς ἱεροῖς ἀποστόλοις διακόνοις τῆς εὐεργεσίας χρησάμενος. πορευθέντες γὰρ ἔφη μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. τούτῳ πειθόμενοι τῷ νόμῳ, πᾶσαν γῆν καὶ θάλασσαν ἔδραμον, καὶ 3) ὁ μὲν Ἰνδοὺς, ὁ δὲ Αἰγυπτίους, ὁ δὲ Αἰθίοπας 4) προσήγαγε τῷ Χριστῷ· ὁ δὲ μακάριος Παῦ-

1) Cod. 1. δεῖ. 2) χορ. Def. ibid. 3) ὁ. Ibid. οἱ. Sic quoque in sequentibus.
4) Ibid. προσήγαγον.
a) Matth. 28, 19. 20.

Παῦλος διδάσκει συντόμως, ὅσοις ἔθνεσι προσενήνοχε τὰ θεῖα κηρύγματα, ὥςε ἀπὸ Ἱερουσαλὴμ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριςοῦ. οὐ γὰρ εὐθεῖαν ὁδὸν ὁδεύων, ἀλλὰ τὰ ἐν μέσῳ ἔθνη διακείμενα περινοςῶν, τὰ σωτήρια προσέφερε δόγματα. οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριςὸς, ἵνα μὴ ἐπὶ ἀλλότριον θεμέλιον οἰκοδομῶ· ἀλλὰ καθὼς γέγραπται, οἷς οὐκ ἀνηγγέλη, περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσιν. ὕςερον μέντοι καὶ τῆς Ἰταλίας ἐπέβη, καὶ 1) εἰς τὰς Σπανίας ἀφίκετο, καὶ ταῖς ἐν τῷ πελάγει διακειμέναις νήσοις τὴν ὠφέλειαν προσήνεγκε. Ῥωμαίοις μὲν γὰρ ἐπιςέλλων ἔφη· ἐλπίζω γὰρ διαπορευόμενος εἰς τὰς 2) Σπανίας δι᾽ ὑμῶν διελθεῖν, καὶ ὑφ᾽ ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ. τῷ θαυμασίῳ δὲ Τίτῳ γράφων φησίν· διὰ τοῦτο κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα καταςήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην. οὕτως ὁ Ἰωάννης ὁ πάνυ τὴν Ἀσίαν τῆς προτέρας ἠλευθέρωσεν ἀσεβείας· οὕτως ὁ θεσπέσιος Ἀνδρέας τὴν Ἑλλάδα ταῖς τῆς θεογνωσίας ἀκτῖσι κατηύγασεν· οὕτως ὁ θειότατος Φίλιππος Φρυγῶν ἑκατέρων τὴν πλάνην 3) διήλεγξεν· οὕτως ὁ μέγας Πέτρος ἀπὸ τῆς Ἱερουσαλὴμ μέχρι τῆς Ῥωμαίας ἔδραμε πόλεως, ἅπασι προσφέρων τὰς τῆς ἀληθείας ἀκτῖνας. οὕτως ἅπαντες πᾶσαν τὴν οἰκουμένην περινοςήσαντες, καὶ τὸν τῆς ἀγνοίας ἀπεσκέδασαν γνόφον, καὶ τὸν τῆς δικαιοσύνης ὑπέδειξαν ἥλιον. εἰκότως τοίνυν ὁ προφητικὸς λόγος πάντα τὰ ἔθνη τῷ Θεῷ τὸν ὕμνον

Paulus breuiter docet, quot gentibus diuina præconia attulit, *a)* Vt ab Hierosolyma per circuitum vsque ad Illyricum repleuerim euangelium Christi. Non enim recta incedens via, sed gentes quæ in medio erant circumiens, salutaria dogmata offerebat. Sic autem contendi, inquit *b)* prædicare euangelium hoc, non * vbi nominatus est Christus, ne super alienum fundamentum ædificarem, sed sicut scriptum est, *c)* quibus non est annunciatum de eo videbunt, et qui non audierunt de eo, intelligent. Postea igitur in Italiam venit, et in Hispanias peruenit, et insulis, quæ in mari iacent, vtilitatem attulit. Romanis quidem scribens ait, *d)* Spero enim, cum in Hispanias proficisci cœpero, fore vt præteriens videam vos, et a vobis deducar illuc, si vobis primum ex parte perfruitus fuero. Et admirabili Tito scribens ait, *e)* Huius rei gratia dereliqui te Cretæ, vt constituas per ciuitates presbyteros, sicut ego præcepi tibi. Sic magnus ille Ioannes Asiam a pristino errore liberauit: sic diuinus Andreas Græciam diuinæ cognitionis radiis illustrauit: sic diuinissimus Philippus vtrorumque Phrygum errorem redarguit: sic magnus Petrus ab Hierosolyma vsque ad Romanorum vrbem percurrit, omnibus veritatis radios offerens: sic omnes, totum terrarum orbem obeuntes, et ignorantiæ nubem discusserunt, et iustitiæ solem demonstrarunt. Merito igitur sermo propheticus, vt omnes gentes Deo offerant hymnum, monet,

1) εἰς τὰς Σπαν. Cod. I. Ἱσπανίας. 2) Ib. Ἱσπανίας. 3) Ib. ἐξήλεγξεν.

a) Rom. 15, 19. *b)* Ib. vers. 20. 21. *c)* Es. 52, 15. *d)* Rom. 15, 24.
e) Tit. 1, 5.

postquam omnes salutem adepti sunt. *Laudate eum omnes populi.* Per totum terrarum orbem Iudæi olim dissipati fuerunt, vnum Deum colere edocti. Quoniam igitur non amplius vnicam incolebant Palæstinam, neque vnum faciebant populum sub vno rege constituti, sed inter gentes dispersi, illorum quidem principibus obediebant, apud se ipsos vero viuebant legis præcepto obtemperantes: iure non populum ipsos, sed populos nominat: quandoquidem plurimi etiam ex his diuinum susceperant præconium. In vrbe enim Hierosolyma tria millia et quinque millia eodem tempore piscatores piscati sunt. Et postea multæ myriades fuerunt, vt ait diuinus Iacobus. *a)* Et in Syria rursus, et Cilicia, et Lycaonia, et Pisidia, et Asia, et Pamphylia, et in ceteris omnibus gentibus, prioribus Iudæis diuina præconia apostoli obtulerunt. Et alii quidem crediderunt, et veritatem secuti sunt, alii vero fructuosis doctrinis contradicebant. Merito igitur sermo propheticus hos, vt beneficii auctorem laudent, adhortatur: hos enim populos appellat. * 2. *Quoniam confirmata est super nos misericordia eius.* Solam enim adhibens misericordiam, nostram perfecit salutem. Sic et beatus ait Paulus, *b)* Cum autem benignitas et humanitas apparuerit Saluatoris nostri Dei, non ex operibus iustitiæ, quæ fecimus nos, sed secundum multam suam misericordiam, saluos nos fecit per lauacrum regenerationis, et renouationis Spiritus

προσφέρειν παρεγγυᾷ, ἐπειδὴ πάντες τῆς σωτηρίας ἀπήλαυσαν. Ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Εἰς ἅπασαν πάλαι προδιεσπάρησαν 1) Ἰουδαῖοι τὴν οἰκȣμένην, τὸν ἕνα σέβειν δεδιδαγμένοι Θεόν. ἐπειδὴ τοίνυν οὐκ ἔτι μόνην ᾤκουν τὴν Παλαιϛίνην, οὐδὲ εἰς ἕνα λαὸν ἐτέλουν ὑφ' ἑνὶ βασιλεῖ τεταγμένοι, ἀλλὰ ἐν τοῖς ἔθνεσι διεσπαρμένοι, τοῖς μὲν ἐκείνων ὑπήκȣον ἄρχȣσι, καθ' ἑαυτοὺς δὲ ἐπολιτεύοντο, τῇ τȣ̃ νόμου διαγορεύσει πειθόμενοι, εἰκότως οὐ λαὸν αὐτοὺς, ἀλλὰ λαοὺς ὀνομάζει. πλεῖϛοι γὰρ καὶ ἐκ τούτων τὸ θεῖον ἐδέξαντο κήρυγμα. ἐν μὲν γὰρ Ἱεροσολύμοις τρισχίλιοι καὶ πεντακισχίλιοι κατὰ ταυτὸν ὑπὸ τῶν ἁλιέων ἐσαγηνεύθησαν· καὶ πολλαὶ δὲ μετὰ ταῦτα μυριάδες ἐγένοντο, 2) ἔφησεν ὁ θεῖος Ἰάκωβος. καὶ ἐν Συρίᾳ δὲ, καὶ Κιλικίᾳ, καὶ Λυκαονίᾳ, καὶ Πισιδίᾳ, καὶ Ἀσίᾳ, καὶ Παμφυλίᾳ, καὶ ἐν τοῖς 3) λοιποῖς ἅπασιν ἔθνεσιν, προτέροις Ἰȣδαίοις προσέφερον οἱ ἀπόϛολοι τὰ θεῖα κηρύγματα· καὶ οἱ μὲν ἐπίϛευον, καὶ τῆς ἀληθείας ἀπήλαυον, οἱ δὲ ταῖς ὀνησιφόροις διδασκαλίαις ἀντέλεγον. εἰκότως τοίνυν ὁ προφητικὸς λόγος, καὶ τούτȣς ὑμνεῖν τὸν εὐεργέτην παρακελεύεται. τούτȣς γὰρ ὀνομάζει λαούς. β'. Ὅτι 4) ἐκραταιώθη τὸ ἔλεος αὐτȣ̃ ἐφ' ἡμᾶς. Ἐλέῳ γὰρ μόνῳ χρησάμενος, τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν. ȣ̔́τω καὶ ὁ μακάριος ἔφη Παῦλος· ὅτε δὲ ἡ χρηϛότης καὶ ἡ φιλανθρωπία τȣ̃ σωτῆρος ἡμῶν ἐπεφάνη Θεοῦ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν ἃς ἐποιήσαμεν, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτȣ̃, ἔσωσεν ἡμᾶς διὰ λουτρȣ̃ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίȣ,

1) Ἰουδ. Des. ibid. 2) ἔφησεν. Ib. ἤ φησίν. 3) λοιποῖς. Ib. ἄλλοις. 4) ἐκραταιώθη. *Hebr.* inualuit.

a) Act. 21, 20. *b)* Tit. 3, 4-6.

ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως. καὶ πάλιν· χάριτι ἐστὲ σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον. καὶ ἑτέρωθι, πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγὼ, ἀλλ' 1) ἐλεήθην. συνίστησι δὲ τὴν 2) ἑαυτοῦ ἀγάπην ὁ Θεὸς εἰς ἡμᾶς, ὅτι ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν. εἰκότως τοίνυν 3) ὁ προφητικὸς ἔφη λόγος, ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς. Καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα. Ἣν γὰρ διὰ τῶν ἁγίων προφητῶν ὑπέσχετο, δέδωκε σωτηρίαν. τοῦτο καὶ ὁ μακάριος ἔφη Παῦλος τῶν πρὸς Ῥωμαίους γραμμάτων ἀρξάμενος, Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις· καὶ πάλιν· λέγω δὲ Χριστὸν Ἰησοῦν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν. ἐπειδὴ τοίνυν πεπλήρωκε τὰς ὑποσχέσεις ὁ τῶν ὅλων Θεὸς, καὶ ἣν ὑπέσχετο, δέδωκε σωτηρίαν, καὶ ἠνέωξεν ἅπασι τὰς τοῦ ἐλέους πηγὰς, καὶ ἡμεῖς οἱ ἐξ Ἰουδαίας 4) προσελθόντες, καὶ ὑμεῖς οἱ ἐξ ἐθνῶν πεπιστευκότες, σύμφωνον ὑμνῳδίαν κεράσαντες τὸν εὐεργέτην ἀμείψασθε.

sancti, quem effudit in nos abunde. Et rursus, a) Gratia saluati estis per fidem, et hoc non ex vobis, Dei enim donum est. Et alibi, b) Verus sermo, et omni acceptatione dignus, Christum Jesum venisse in hunc mundum peccatores saluos facere, quorum primus ego sum, sed misericordiam consecutus sum. Commendat autem Deus c) suam caritatem in nobis, quoniam cum essemus adhuc peccatores, Christus pro nobis mortuus est. Iure igitur sermo ait propheticus, Quoniam confirmata est super nos misericordia eius. *Et veritas Domini manet in æternum.* Quam enim salutem per sanctissimos prophetas promisit, largitus est. Hoc etiam beatus ait Paulus, exordiens epistolam ad Romanos, d) Paulus seruus Iesu Christi vocatus apostolus, segregatus in euangelium Dei, quod ante promiserat per prophetas suos in scripturis sanctis. Et rursus, e) Dico enim Iesum Christum ministrum fuisse circumcisionis propter veritatem Dei, ad confirmandas promissiones patrum, gentes autem pro misericordia celebrare Deum. Quoniam igitur Deus vniuersorum promissa impleuit, et salutem, quam pollicitus est, donauit, omnibusque misericordiæ fontes reserauit, et nos, qui ex Iudæis accessimus, et vos, qui ex gentibus credidistis, consonam laudem communiter beneficii auctori rependite.

ΕΡΜΗΝ. ΤΟΥ ριζ' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. 5) Ὕμνος καὶ οὗτός ἐστιν ὑπὸ τῶν τῆς σωτηρίας ἀπολελαυκότων τῷ Θεῷ προσφερόμενος. Ἰουδαῖοι

INTERP. PS. CXVII.

Alleluia. Hic etiam hymnus est ab his qui salutem a Deo consecuti sunt, oblatus. Iudæi enim

1) Cod. 1. ἠλεήθην. 2) Ib. αὐτοῦ. 3) ὁ. Ibid. præm. καί. 4) Cod. 1. προσεληλυθότες. 5) Ὕμνος — προτέθεικεν. Hæc *Origeni* tribuuntur apud CORD. l. c. p. 347.

a) Eph. 2, 8. b) 1 Tim. 1, 15. c) Rom. 5, 8. d) Ib. 1, 1. 2. e) Ib. c. 15, 8. 9.

enim poſt reuerſionem, cum omnes finitimi in vnum coacti eſſent, priſtinam illis proſperitatem inuidentes, atque etiam gentes alias et barbaras conuocaſſent, ac deinde plagis a Deo illatis profligati eſſent, ſecundum Ioelis, et Ezechielis, et Michææ, et Zachariæ vaticinationem, hunc hymnum gratiarum * actionis Deo offerunt. Quoniam autem in illis potius res noſtræ adumbrabantur, magis congruit hæc ſuauis ſymphonia iis, qui ex gentibus crediderunt: qui cum a multis et principibus et ſubditis, populis et populi ducibus, et regibus, et præfectis perſequentibus cruciati, et tormentis ac ſuppliciis affecti, infinitas mortis ſpecies perpeſſi eſſent, hoſtibus ſuperiores euaſerunt. His igitur et illis ſpiritus gratia hymnodiæ doctrinam propoſuit. 1. *Confitemini Domino, quoniam bonus, quoniam in ſæculum miſericordia eius.* Laudibus proſequamini eum, qui bonus eſt, et bonorum largitor: perennem enim habet miſericordiam, et hanc ſemper precantibus ſuggerit. 2. *Dicat nunc domus Iſrael, quod bonus ſit, quoniam in ſæculum miſericordia eius.* 3. *Dicat nunc domus Aaronis, quod bonus ſit, quoniam in ſæculum miſericordia eius.* Cum horum per diuiſionem meminiſſet, eorum qui ex gentibus crediderunt communem mentionem facit. 4. *Dicant nunc omnes qui timent Dominum, quod bonus ſit, quoniam in ſæculum miſericordia eius.* Omnes, inquit, Dei benignitatem laudate, et vos, qui ex Iſraelis

μὲν γὰρ μετὰ τὴν ἐπάνοδον, τῶν πλησιοχώρων ἁπάντων 1) κατὰ ταυτὸν ἀθροισθέντων, 2) φθονούντων αὐτοῖς τῆς προτέρας εὐημερίας, καὶ μέντοι καὶ ἔθνη ἕτερα καὶ βάρβαρα συναγειράντων, εἶτα θεηλάτοις ἀναλωθέντων πληγαῖς κατὰ τὴν Ἰωὴλ, καὶ Ἰεζεκιὴλ, καὶ Μιχαίου, καὶ Ζαχαρίου προφητείαν, τοῦτον τὸν ὕμνον χαριστήριον προσφέρουσι τῷ Θεῷ. ἐπειδὴ δὲ ἐν ἐκείνοις προεγράφετο τὰ ἡμέτερα, μᾶλλον ἁρμόττει τοῖς ἐξ ἐθνῶν πεπιστευκόσιν. ἡ ὑμνῳδία· οἱ παρὰ πολλῶν καὶ ἀρχόντων καὶ ἀρχομένων, δήμων καὶ δημαγωγῶν, καὶ βασιλέων καὶ στρατηγῶν, διωχθέντες καὶ στρεβλωθέντες, καὶ αἰκισθέντες, καὶ μυρία θανάτου ὑπομείναντες εἴδη, κρείττους τῶν πολεμούντων ἐδείχθησαν. καὶ τούτοις μέντοι κἀκείνοις ἡ τοῦ πνεύματος χάρις τὴν τῆς ὑμνῳδίας διδασκαλίαν προτέθεικεν. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὑμνήσατε τὸν ἀγαθὸν, καὶ τῶν ἀγαθῶν τὸν χορηγόν. διαρκῆ γὰρ ἔχει τὸν ἔλεον, καὶ τοῦτον ἀεὶ χορηγεῖ τοῖς δεομένοις. β΄. Εἰπάτω 3) δὲ 4) οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. γ΄. 5) Εἰπάτω 6) δὲ οἶκος Ἀαρὼν, 7) ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τούτων κατὰ διαίρεσιν μνημονεύσας, τῶν ἐξ ἐθνῶν πεπιστευκότων κοινὴν ποιεῖται τὴν μνήμην. δ΄. Εἰπάτωσαν δὴ 8) πάντες οἱ φοβούμενοι τὸν Κύριον, 9) ὅτι ἀγαθὸς, 10) ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἅπαντές φησι τοῦ Θεοῦ φιλανθρωπίαν ὑμνήσατε, καὶ οἱ ἐξ Ἰσραὴλ τὸ

1) Cod. 1. κατ' αὐτῶν. 2) φθονούντων — εὐημερίας. Deſ. in Cod. 1. 3) Cod. 1. δὴ, quæ eſt rec. lectio h. l. 4) οἶκος, et deinde ὅτι ἀγαθὸς, deſ. in Textu hebr. 5) Εἰπάτω — αὐτοῦ. Deſ. in Cod. 1. 6) Rec. lectio eſt δή. 7) ὅτι ἀγαθός. Abeſt a Textu hebr. 8) πάντες. Abeſt etiam a Textu hebr. 9) ὅτι ἀγαθός. Deſ. ibid. 10) ὅτι — αὐτοῦ. Deſ. in Cod. 1.

τὸ γένος κατάγοντες, καὶ τὴν πϱογονικὴν αὐχοῦντες εὐσέβειαν, καὶ οἱ ἐν αὐτοῖς τῆς ἱερωσύνης ἠξιωμένοι, καὶ οἱ ἐκ διαφόρων μὲν ὄντες ἐθνῶν, τῆς δὲ τῶν πϱογόνων ἀσεβείας ἀπαλλαγέντες. εἷς γὰρ ὁ πάντων Θεὸς, καὶ 1) διαφόρους πᾶσιν εὐεργεσίας 2) προσφέρει, καὶ τοῖς αἰτοῦσιν 3) ὀρέγει τὸν ἔλεον. εἶτα σαφέστερον τοῦ Θεοῦ διδάσκει τὴν πρόνοιαν. έ. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Οὐ γὰρ ἐκώλυσε τὴν τῶν κακῶν προσβολὴν, ἀλλ᾽ ἔδειξε τοὺς κινδύνους, καὶ παραυτίκα τούτους ἐσκέδασε· τοῦτο καὶ ἐν τῷ τετάρτῳ ἔφη ψαλμῷ, ἐν θλίψει ἐπλάτυνάς μοι, ἀντὶ τοῦ, μείζονά μοι τῆς ὀδύνης παραψυχὴν προσενήνοχας. ϛ΄. Κύριος ἐμοὶ 4) βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ζ΄. Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. Τὸν γὰρ τῶν ὅλων δεσπότην ἐπίκουρον ἔχων, οὐ δέδια τῶν πολεμίων τὰς προσβολάς. ἐλπίζω γὰρ τῆς παρ᾽ αὐτοῦ ῥοπῆς ἀπολαύων, τὸν ὄλεθρον τούτων ἰδεῖν 5) ὅτι τάχιστα. εἶτα τοῖς ἀγαθοῖς λογισμοῖς βεβαιοῖ τὴν γνώμην τὴν εὐσεβῆ. ή. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ᾽ ἄνθρωπον. θ΄. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ᾽ ἄρχουσι. Ὁ μὲν γὰρ 6) ἀγαθὸς, καὶ φιλάνθρωπος, καὶ βουλόμενος ἀγαθὰ, καὶ δρᾷν δυνάμενος ὅπερ βούλεται, καὶ τὴν ἐξουσίαν ἔχων ἀνώλεθρον. οἱ δὲ ἄνθρωποι, καὶ φύσει φθαρτοὶ, καὶ γνώμῃ τρεπτοὶ, καὶ πολλάκις μὲν οὐ βούλονται τὰ ἀγαθά· ἔστι δὲ ὅτε καὶ βουλόμενοι τοῖς ἀδικουμένοις ἐπαμύνειν οὐ δύνανται. 7) κἂν ἄρ-

genere originem ducitis, maiorumque pietate gloriamini, et qui inter ipsos sacerdotio praediti estis, et qui ex diuersis gentibus orti estis a maiorum impietate liberati. Vnus enim est omnium Deus, variaque beneficia omnibus affert, et petentibus misericordiam porrigit. Deinde manifestius Dei prouidentiam docet. 5. *E tribulatione inuocaui Dominum, et exaudiuit (ac eduxit) me in latitudinem.* Non enim malorum impetum impediuit, sed ostendit pericula, et illico haec dissipauit. Hoc etiam in quarto dixit psalmo, In tribulatione dilatasti mihi, hoc est, maiorem dolore consolationem mihi attulisti. 6. *Dominus mihi adiutor, et non timebo quid faciet mihi homo?* 7. *Dominus mihi adiutor est, et ego despiciam inimicos meos.* Vniuersorum enim dominum adiutorem habens, hostium impetus minime perhorresco. Spero enim ab ipso * opem nactus, stragem illorum quamprimum me visurum. Deinde bonis ratiocinationibus piam mentem confirmat. 8. *Melius est confidere in Domino, quam confidere in homine.* 9. *Melius est sperare in Domino, quam sperare in principibus.* Nam bonus et benignus est, et bona vult, et quaecumque vult facere potest, immortalemque potestatem habet. Homines vero, et natura interitui obnoxii sunt, et mente volubiles, et saepius bona nolunt, aliquando vero volentes iniuria affectis opem afferre, non possunt: et quando

1) καί. Cod. 1. καὶ πᾶσιν. 2) προσφ. Cod. 1. παρέχει. 3) Ibid. ὀρέγει. 4) βοηθ. Abest a Textu hebr. 5) ὅτι. Abest a Cod. 1. 6) ἀγαθός. Cod. 1. δυνατός. 7) κἂν ἄρχουσι. Ibid. καὶ ἄρχοντες.

do imperant, ad tempus habent imperium, et regnum apud homines fluxum eſt, parumque temporis durat. Melius eſt igitur hominum opem derelinquere, et diuinum auxilium implorare. 10. *Omnes gentes circumdederunt me, et in nomine Domini vltus ſum eos.* Eccleſia quidem omnium gentium perpeſſa eſt impetus, Hieroſolyma vero non omnium, ſed aliquarum. De illis igitur hyperbolice hæc oratio profertur, ſed ab eccleſia vere. Qui enim per ſingulas gentes crediderunt, ab infidelibus tumultus et pericula paſſi ſunt: veruntamen et hi et illi Deo freti, aduerſarios expugnarunt. 11. *Circumdantes circumdederunt me, et in nomine Domini vltus ſum eos.* Symmachus autem ſic, Circumdederunt me, et rurſus vndique circumdederunt me, hoc eſt, frequentibus irruptionibus, variisque obſidionibus vſi ſunt: ego autem Dei imploratione munitus, illorum aciem profligaui. 12. *Circumdederunt me ſicut apes fauum.* Quemadmodum, inquit, apes fauum inuenientes mellis humorem ſugunt: ſic iſti pietatis dulcedinem mihi, quæ in me ineſt, eripere conati ſunt. *Et exarſerunt ſicut ignis in ſpinis.* Sperarunt autem admodum facile me ſuperare, ſicut ignis cito ſpinas conſumit. *Et in nomine Domini vltus ſum eos.* Hæc autem exſpectantes, ſua ſpe exciderunt, mea ſpe debellati: quippe Dominum meum omnibus illis

χουσι δὲ, πρὸς καιρὸν ἔχουσι τὴν ἀρχήν· καὶ ἡ βασιλεία δὲ παρ' ἀνθρώποις 1) ἐπίκηρος, καὶ πρὸς ὀλίγον χρόνον 2) ἄρχουσα. 3) ἄμεινον τοίνυν καταλιπεῖν μὲν τὴν τῶν ἀνθρώπων ἐπικουρίαν, τὴν δὲ θείαν αἰτῆσαι βοήθειαν. ι. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ἡ μὲν ἐκκλησία τὰς ἁπάντων τῶν ἐθνῶν ἐδέξατο προσβολάς, ἡ δὲ Ἱερουσαλὴμ, οὐ πάντων, ἀλλ' ἐνίων· ἐπ' ἐκείνων τοίνυν ὑπερβολικῶς ὁ λόγος προσφέρεται, 4) ἐπὶ δὲ τῆς ἐκκλησίας ἀληθῶς. οἱ γὰρ ἐν ἑκάστῳ ἔθνει πεπιστευκότες τοὺς παρὰ τῶν 5) ἀπίστων θορύβους καὶ κινδύνους ὑπέμενον· ἀλλ' ὅμως, καὶ αὐτοὶ, κἀκεῖνοι, τῷ Θεῷ τεθαῤῥηκότες τοὺς ἀντιπάλους ἐνίκησαν. ια'. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ὁ δὲ Σύμμαχος οὕτως· ἐκύκλωσάν με, καὶ πάλιν περιεκύκλωσάν με, ἀντὶ τοῦ, ἐπαλλήλοις ἐχρήσαντο προσβολαῖς, καὶ πολιορκίαις παντοδαπαῖς· ἐγὼ δὲ τῇ τοῦ Θεοῦ ἐπικλήσει φραξάμενος, τὴν ἐκείνων ἐσκέδασα φάλαγγα. ιβ'. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι 6) κηρίον. Καθάπερ, φησὶ, μέλιτται κηρίον εὑροῦσαι τὴν τοῦ μέλιτος ἐκμυζῶσιν ἰκμάδα, οὕτως οὗτοι τὴν ἐνοῦσάν μοι γλυκύτητα τῆς εὐσεβείας ἀφελεῖν ἐπειράθησαν. 7) Καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις. Ἤλπισαν δὲ καὶ μάλα ῥᾳδίως με περιέσεσθαι, καθάπερ τὸ πῦρ εὐπετῶς δαπανᾷ τὰς ἀκάνθας. Καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ταῦτα δὲ προσδοκήσαντες διήμαρτον τῆς ἐλπίδος, τῇ ἐμῇ νικηθέντες ἐλπίδι. τὸν γὰρ ἐμὸν δεσπότην πᾶσιν ἐκείνοις ἀντέ-

1) ἐπίκηρος καί. Deſ. in Cod. 1. 2) ἄρχουσα. Ib. ἀρκοῦσα. 3) ἄμεινον. Ib. δεῖ. 4) ἐπί. Ib. ὑπό. 5) Ib. ἀπιστούντων. 6) κηρίον. Abeſt a Textu hebr. 7) Καὶ — ἀκάνθαις. *Hebr.* exſtincti ſunt ſicut ignis ſpinarum. *Aqu.* et *Symm.* ἀπεσβέσθησαν ὡς πῦρ ἀκανθῶν.

ἀντέταξα, καὶ δι᾽ αὐτοῦ τὴν νίκην ἐκομισάμην. ιγ΄. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου. Ταῦτα κἀκείνοις ἁρμόττει, καὶ τούτοις. κἀκεῖνοι γὰρ ὄλεθρον ἂν ὑπέμειναν παντελῆ, εἰ μὴ τῆς θείας ἀπήλαυσαν χάριτος· καὶ οὗτοι ἂν ἐξέπεσαν εἰς ἀσέβειαν, μὴ τῆς 1) θείας αὐτοὺς ὑπερεισάσης 2) ἀρετῆς. ιδ΄. Ἰσχύς μου, καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. 3) Αὐτὸν τοίνυν ἔχομεν καὶ δύναμιν, καὶ νίκην, καὶ πηγὴν ὑμνῳδίας. παρ᾽ αὐτοῦ γὰρ τῶν ἀγαθῶν ἀπολαύσαντες μετ᾽ εὐθυμίας τὸν ὕμνον προσφέρομεν. ιε΄. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. Μετὰ γὰρ τὴν νίκην, τῶν προτέρων θρήνων ἀπαλλαγέντες, ἐν θυμηδίαις ἦσαν καὶ εὐφημίαις, τὸν Θεὸν ἀνυμνοῦντες. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. ιϛ΄. Δεξιὰ Κυρίου 4) ὕψωσέ με. Δεξιὰν, καθὰ πολλάκις εἰρήκαμεν, τὴν ἀγαθὴν ἐνέργειαν 5) λέγει. εὖ δὲ ποιοῦντες οὐχ ἑαυτοῖς ἐπιγράφουσι τὴν νίκην, οὐδὲ τῇ οἰκείᾳ προθυμίᾳ καὶ δυνάμει θαῤῥοῦσιν, ἀλλ᾽ ὑπὸ τῆς θείας χάριτος ταύτης τετυχηκέναι βοῶσιν. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. ιζ΄. Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα Κυρίου. Τῆς ἄνωθεν τοίνυν ἐπικουρίας ἀπολαύσας, καὶ κρείττων τοῦ θανάτου γενόμενος, τὰς θείας εὐεργεσίας, καὶ τοὺς ἀγνοοῦντας διδάξω, καὶ τοὺς εἰδότας ἀναμνήσω, καὶ τῇ μνήμῃ τούτων τὴν περὶ αὐτὸν ἀγάπην πυρσεύσω. ιη΄. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, 6) καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. Συνεχώρησε γὰρ προσβαλεῖν μοι τὰ λυπηρὰ, πατρικῶς με παιδεύων· τὸ

oppoſui, et per ipſum victoriam reportaui. * 13. *Impulſus euerſus ſum vt caderem, et Dominus ſuſcepit me.* Hæc illis et his congruunt. Illi enim extremam internecionem perpeſſi eſſent, niſi diuinam nacti eſſent gratiam: et hi in impietatem prolapſi eſſent, niſi diuina virtus eos ſuſtentaſſet. 14. *Fortitudo mea, et laus mea Dominus, et factus eſt ſalus mea.* Ipſum igitur habemus, et potentiam, et victoriam, et fontem laudis. Ab ipſo enim bona conſecuti, cum lætitia & laude hymnum offerimus. 15. *Vox exultationis et ſalutis in tabernaculis iuſtorum.* Nam poſt victoriam, cum a priſtinis luctibus liberati eſſent, gaudiis et laudibus ſe totos dabant, Deum celebrantes. *Dextera Domini egit cum virtute.* 16. *Dextera Domini exaltauit me.* Dexteram, vt ſæpius diximus, bonam actionem nuncupat. Bene autem agentes victoriam non ſibi ipſis adſcribunt, neque propria alacritate et potentia freti ſunt, ſed hanc a diuina gratia ſe adeptos eſſe profitentur. *Dextera Domini egit cum virtute.* 17. *Non moriar, ſed viuam, et narrabo opera Domini.* Supernum igitur auxilium adeptus, et mortis victor factus, diuina beneficia etiam ignaros docebo, et ſcientibus in memoriam reuocabo, horumque memoria amorem erga ipſum accendam. 18. *Caſtigans caſtigauit me Dominus, et morti non tradidit me.* Permiſit enim vt res triſtes me adorirentur, paterne me caſtigans; mo-

1) θείας. Cod. 1. add. χάριτος, μὴ τῆς θείας. 2) ἀρετῆς. Ibid. ἀρχῆς. 3) Αὐτὸν — προσφέρομεν. Hæc ἀνωνυμεὶ exhibuit CORD. l. c. p. 352. 4) ὕψωσέ με. *Hebr.* elata eſt. 5) λέγει. Cod. 1. καλεῖ. 6) καὶ τῷ. Ib. τῷ δέ.

molestam vero horum nubem discussit, et a detrimento, quod inde manare poterat, me penitus vindicauit. 19. *Aperite mihi portas iustitiae, ingressus in eas confitebor Domino. Portas iustitiae;* non templi ianuas nuncupat, sed diuersas virtutis species: per illas enim vniuersorum Deus digne laudari potest. Et hoc planius per sequentia significauit. Quandam enim velut responsionem dat, et dicit: 20. *Haec porta Domini, iusti intrabunt in eam.* Sic etiam adolescenti, viam ad aeternam vitam ducentem discere volenti, Dominus ait, a) Mandata nosti, non moechaberis, * non furtum facies, honora patrem tuum, et matrem tuam, et dilige proximum tuum sicut te ipsum. Eodem modo et portam se ipsum Dominus nominauit, vtpote qui virtutis est dux et praeceptor: Ego enim, ait, b) sum ostium ouium: per me si quis introierit, saluabitur, et ingredietur, et egredietur, et pascua inueniet. Hoc etiam hic sermo dicit propheticus, Haec Domini porta, iusti intrabunt in eam. 21. *Confitebor tibi, quoniam exaudisti me, et factus es mihi saluti.* Laudo te igitur, qui meas preces admisisti, salutemque largitus es. 22. *Lapidem quem reprobauerunt aedificantes, hic factus est caput anguli.* Hoc licet millies impudenter asseruerint Iudaei, tamen ad alium referre non possunt. Etsi enim diuisarum tribuum dux fuit Zorobabel, tamen diutius non perstitit. Dominus autem Christus duos parietes, a se inuicem

δὲ συγνὸν τούτων διέλυσε νέφος, καὶ τῆς ἐκεῖθέν 1) με παντελῶς ἠλευθέρωσε λώβης. ιθ΄. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ. 2) Πύλας δικαιοσύνης οὐ τὰς τοῦ ναοῦ πύλας 3) καλεῖ, ἀλλὰ τὰς διαφόρους τῆς ἀρετῆς ἰδέας. δι' ἐκείνας γὰρ δυνατὸν ἀξίως ὑμνῆσαι τὸν τῶν ὅλων Θεόν· καὶ τοῦτο σαφέστερον διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. οἷον γὰρ 4) τινα ἀπόκρισιν δίδωσι, καὶ φησιν· κ΄. Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Οὕτω καὶ τῷ νεανίσκῳ τῷ τῆς αἰωνίου ζωῆς τὴν ὁδὸν ἠτηκότι μαθεῖν, ὁ Κύριος ἔφη, τὰς ἐντολὰς οἶδας, οὐ 5) μοιχεύσεις, οὐ κλέψεις, τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα 6) σου, ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν; ταύτῃ τοι καὶ ὁ Δεσπότης ἑαυτὸν ὠνόμασε θύραν, ὡς τῆς ἀρετῆς ποδηγὸν καὶ διδάσκαλον· ἐγὼ γάρ εἰμί φησιν ἡ θύρα τῶν προβάτων· ἐάν τις δι' ἐμοῦ εἰσέλθῃ, εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. τοῦτο καὶ ἐνταῦθα ὁ προφητικὸς ἔφη λόγος· αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. κα΄. Ἐξομολογήσομαί σοι, ὅτι 7) ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. Ὑμνῶ σε τοιγαροῦν δεξάμενόν μου τὴν δέησιν, 8) καὶ δεδωκότα τὴν σωτηρίαν. κβ΄. Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Τοῦτο, κἂν μυριάκις ἀναισχυντῶσιν Ἰουδαῖοι, ἄλλῳ προσαρμόσαι οὐ δύνανται· εἰ γὰρ τῶν διαιρεθεισῶν πάλαι φυλῶν ἡγεμόνευσε Ζοροβάβελ, ἀλλ' οὐκ ἐπὶ πλεῖστον διήρκεσεν· ὁ δὲ Δεσπότης Χριστὸς τοὺς δύο τοίχους, τοὺς ἀπ' ἀλλήλων ἑστῶτας

1) *με.* Des. in Cod. 1. 2) *Πύλας δικαιοσ.* Des. ibid. 3) *καλεῖ.* Cod. 1. *λέγει.* 4) *τινά.* Ib. *τήν.* 5) *μοιχ.* Cod. 1. add. *οὐ φονεύσεις.* 6) *σου.* Abest a Cod. 1. 7) *ἐπήκ.* Prior editio habebat *ὑπήκουσας.* 8) *καὶ — σωτηρ.* Des. in Cod. 1.

a) Luc. 18, 20. Exod. 20, 12. 13. b) Ioh. 10, 9.

ἐσῶτας ἐκ διαμέτρου, τοὺς ἐξ Ἰουδαίων φημὶ, καὶ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, τοὺς μὲν δυσσεβείᾳ δουλεύοντας, τοὺς δὲ τοῦ νόμου τὸν ζυγὸν ἕλκοντας, καὶ εἰς ἓν συναγαγὼν τὰ διεστῶτα συνέζευξε, καὶ μίαν ἐξ ἀμφοτέρων συνήρμοσεν ἐκκλησίαν, γωνίαν τινὰ μιμησάμενος, δύο τοίχους συνδέουσαν, καὶ πρὸς ἀλλήλους συνάπτουσαν. τοῦτον μέντοι τὸν λίθον οἰκοδόμοι πάλαι ὄντες, Φαρισαῖοί τε καὶ Σαδδουκαῖοι, ἱερεῖς τε καὶ γραμματεῖς, ἀπεδοκίμασαν, καὶ ἐσταύρωσαν· ἀλλ' ἐγένετο εἰς κεφαλὴν γωνίας, 1) ἢ κατὰ τὸν Σύμμαχον ἀκρογωνιαῖος· περὶ τούτου δὲ τοῦ λίθου καὶ διὰ Ἡσαΐου τοῦ προφήτου προεθέσπισεν ὁ Θεός· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον πολυτελῆ, ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον εἰς τὰ θεμέλια αὐτῆς, καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ. τοῦτο καὶ ὁ μακάριος ἔφη Παῦλος, ἐποικοδομηθέντες 2) ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ. 3) τοῦτον εἶδε τὸν λίθον καὶ ὁ μακάριος Δανιὴλ τμηθέντα ἄνευ χειρῶν, τὸν ἀκοινώνητον τῆς παρθένου διδασκόμενος τόκον. τοῦτον εἶδε τὴν εἰκόνα συντρίψαντα, τουτέστι τοῦ βίου τὴν ματαιότητα, καὶ ὄρος μέγα γενόμενον, καὶ τὴν οἰκουμένην καλύψαντα. κγʹ. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Ταύτης δὲ τῆς χάριτος χορηγὸς ὁ Θεός, ἡμεῖς δὲ τὴν ἄρρητον αὐτοῦ φιλανθρωπίαν θαυμάζομεν. κδʹ. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Ἡμέραν ὑπὸ τοῦ Θεοῦ πεποιημένην καλεῖ, καθ' ἣν ὁ λίθος οὗτος ἀνέστη μετὰ τὸ πάθος. εὐθὺς γὰρ μετὰ τὴν

e diametro distantes, eos inquam qui ex Iudæis, et eos qui ex gentibus crediderunt, hos quidem impietati seruientes, illos vero legis iugum ferentes, et in vnum cogens quæ separata erant coniunxit, et vnam ex vtrisque conflauit ecclesiam, angulum quendam imitatus, duos muros colligantem, et inter se copulantem. Hunc igitur lapidem, qui olim ædificabant, Pharisæi et Sadducæi, et Sacerdotes et Scribæ, reprobauerunt, et cruci affixerunt: sed *factus est caput anguli*, vel secundum Symmachum, *angularis*. De hoc lapide per prophetam Esaiam Deus vaticinatus est, *a*) Ecce ego pono in Zione lapidem pretiosum, electum, angularem, honoratum in fundamentis eius, et omnis qui crediderit in illo, non confundetur. Hoc et beatus ait Paulus, *b*) Aedificati supra fundamentum apostolorum et prophetarum, cum sit summus lapis angularis eius Christus Iesus. Hunc lapidem beatus Daniel vidit *c*) excisum sine manibus, edoctus virginis partum absque vllius subsidio futurum. Hunc vidit idolum, hoc est vitæ vanitatem, terentem, et montem magnum factum, et orbem terrarum operientem. 23. *A Domino factum est istud, et est mirabile in oculis nostris.* Huiusce autem gratiæ largitor est Deus: nos vero inexplicabilem eius benignitatem admiramur. * 24. *Hic est dies, quem fecit Dominus: exultemus, et lætemur in eo.* Diem a Deo factum vocat illum, quo hic lapis post passionem a mortuis resurrexit. Statim enim post resurre-

1) ἢ. Def. in Cod. 1. 2) ἐκ. Ibid. ἐν. 3) τοῦτον — τόκον. Hæc ad versic. 23. adposuit CORD. l. c. p. 359. sine Autoris nomine. Post τοῦτον Codex 1. add. δὲ.

a) Ef. 28, 16. b) Eph. 2, 20. c) Dan. 2, 34. sqq.

surrectionem, sacris apostolis praecepit, vt irent, et docerent omnes gentes. Praecipue autem hunc diem a Deo factum esse dicit. Quoniam enim a principio lucem illo die fecit Deus, cum etiam Saluatoris nostri resurrectionem accepisset, radios solis iustitiae in totum terrarum orbem emisit. Et cum lucem porro fabricasset, lucem vocauit diem, nihil autem aliud illo die fecit. Hic igitur dies solus, sicut primus dies, luminis institutionem accepit. Secundo enim die firmamentum fecit, tertio plantas et semina, et in aliis similiter alia, primo vero die lucem: vocauit autem lucem *diem*. Iure igitur dixit, *Hic est dies, quem fecit Dominus: exultemus, et laetemur in eo*, vtpote qui in ipso bonorum fontes accepimus. 25. *O Domine saluum me fac, o Domine bene prosperare.* Et in posterum tempus, o Domine, salutem largire, et viam ad te ducentem facilem et expeditam nobis fac. 26. *Benedictus qui venit in nomine Domini.* Idem etiam pueri Domino dixerunt, in reprehensionem eorum, qui diuina oracula docere profitentes veritatem cognoscere nolebant. Cum enim Scribae et Pharisaei Samaritanum Dominum appellarent, pueri ipsum esse venientem et benedictum dicebant. a) Et vox Hosanna similiter in hac etiam vaticinatione in-

ανάστασιν, τοῖς ἱεροῖς ἐκέλευσεν ἀποστόλοις, πορευθῆναι καὶ μαθητεῦσαι πάντα τὰ ἔθνη. διαφερόντως δὲ ταύτην ὑπὸ τοῦ Θεοῦ γεγενῆσθαι τὴν ἡμέραν ἔφη. ἐπειδὴ 1) γὰρ ἐξ ἀρχῆς τὸ φῶς ἐν αὐτῇ πεποίηκεν ὁ Θεὸς, καὶ τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάστασιν δεξαμένη, τοῦ τῆς δικαιοσύνης ἡλίου τὰς ἀκτῖνας εἰς πᾶσαν τὴν οἰκουμένην κατέπεμψε· καὶ τὸ φῶς δὲ δημιουργήσας, φῶς τὴν ἡμέραν ἐκάλεσεν, ἄλλο δὲ οὐδὲν κατ᾽ ἐκείνην τὴν ἡμέραν πεποίηκεν. 2) αὕτη τοίνυν ἡ ἡμέρα μόνη, κατὰ τὴν πρώτην ἡμέραν, τὴν δημιουργίαν ἐδέξατο τοῦ φωτός. ἐν μὲν γὰρ τῇ 3) δευτέρᾳ πεποίηκε τὸ στερέωμα, ἐν δὲ τῇ τρίτῃ τὰ φυτὰ καὶ τὰ σπέρματα, καὶ ἐν ταῖς ἄλλαις ὁμοίως τὰ ἄλλα· ἐν δὲ τῇ πρώτῃ ἡμέρᾳ τὸ φῶς· ἐκάλεσε δὲ τὸ φῶς ἡμέραν. εἰκότως 4) τοίνυν ἔφη, αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, ἅτε δὴ ἐν αὐτῇ τῶν ἀγαθῶν δεξάμενοι τὰς πηγάς. κε´. Ὦ Κύριε σῶσον δὴ, ὦ Κύριε εὐόδωσον δή. Καὶ εἰς τὸν ἔπειτα χρόνον, ὦ Δέσποτα, παράσχου τὴν σωτηρίαν, καὶ τὴν πρός σε φέρουσαν ἡμῖν ὁδὸν ποίησον ῥᾳδίαν, καὶ εὔπορον. κϛ´. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. 5) Ταύτην τῷ Δεσπότῃ τὴν φωνὴν καὶ οἱ παῖδες προσήνεγκαν εἰς ἔλεγχον τῶν τὰ θεῖα λόγια διδάσκειν ὑπισχνουμένων, καὶ τὴν ἀληθῆ διάνοιαν συνιδεῖν οὐ βουλομένων· τῶν γὰρ γραμματέων καὶ Φαρισαίων Σαμαρείτην τὸν Δεσπότην ἀποκαλούντων, οἱ παῖδες αὐτὸν εἶναι τὸν 6) ἐρχόμενον καὶ εὐλογημένον 7) ἀπεκάλουν, καὶ τὸ ὡσαννὰ δὲ ὁμοίως ἐν τῇδε κεῖται τῇ προφητείᾳ·

1) γάρ. Cod. 1. καί. 2) αὕτη τοίνυν. Ib. νῦν. 3) δευτ. Ib. sequitur ἡμέρᾳ. 4) τοίνυν. Cod. 1. νῦν. 5) Ταύτην — εὕρομεν. Haec *Theodoro* tribuuntur apud CORD. l. c. p. 361. 6) ἐρχ. Cod. 1. add. ὡμολόγουν. 7) Ibid. ἐκάλουν.

a) Matth. 21, 9.

τεία· τὸ γὰρ σῶσον δὴ ὡσαννὰ παρὰ τῷ Ἑβραίῳ κείμενον εὕρομεν. ἐντεῦθεν δὲ καὶ ὁ μακάριος Ἰωάννης ὁ βαπτιστὴς τοὺς οἰκείους πρὸς τὴν ἀλήθειαν ποδηγῶν μαθητὰς, ἤρετο δι᾽ ἐκείνων τὸν Κύριον· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; Κύριος δὲ ὢν, ἐν ὀνόματι Κυρίου ἐλήλυθεν. οὕτως δὲ ἔφη πρὸς Ἰουδαίους, ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, 1) „καὶ οὐκ ἐλάβετέ με„ ἔρχεται ἄλλος ἐν τῷ ἰδίῳ ὀνόματι, 2) κἀκεῖνον λήψεσθε· καὶ εὐλογημένος ὢν, εὐλογημένου ἐστὶν υἱός· 3) οὕτω καὶ ὁ ἀρχιερεὺς ἤρετο, σὺ εἶ ὁ υἱὸς τοῦ εὐλογητοῦ; Εὐλογήσαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου. Ταῦτα λέγουσιν οἱ νενικηκότες τοῖς ἑαυτῶν ἐρασταῖς, ὅτι τοῦ λίθου τούτου τὴν εὐλογίαν ὑμῖν προσφέρομεν, ὃς οἶκος ἐγένετο τοῦ ἐν αὐτῷ Θεοῦ λόγου· ὁ γὰρ λόγος, φησὶ, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ ὁ Κύριος πρὸς Ἰουδαίους ἔφη· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. κζ´. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Σαφῶς ἐθεολόγησεν ἐνταῦθα τὸν Δεσπότην Χριστόν. ὃν γὰρ ἐκάλεσεν ἄνω λίθον, καὶ μετὰ ταῦτα εὐλογημένον, καὶ ἐν ὀνόματι Κυρίου ἐρχόμενον, αὐτὸν ὠνόμασε 4) καὶ Κύριον καὶ Θεὸν, τὴν οἰκείαν ποιησάμενον ἐπιφάνειαν, καὶ τὴν σωτηρίαν τοῖς πιστεύσασι δωρησάμενον. 5) Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. Συναθροίσθητε τοίνυν ἅπαντες, καὶ πανήγυριν μεγίστην ἐπιτελέσατε, τὴν οἰκείαν ἑορτάζοντες σωτη-

est. Saluum enim fac, in Hebræo contextu Hosanna positum inuenimus. Hinc etiam beatus Ioannes Baptista, suos discipulos ad veritatem ducens, per illos Dominum interrogauit, *a*) Tune es, qui venturus es, an alium exspectemus? Cum autem sit Dominus, in nomine Domini venit. Sic porro Iudæis dixit, *b*) Ego veni in nomine patris mei, „sed non recepistis me„ venit alius in suo nomine, et illum accipietis. Et cum sit benedictus, benedicti est filius. Similiter et pontifex interrogavit, *c*) tune es filius benedicti? *Benediximus vobis de domo Domini.* Hæc dicunt amicis suis qui victoriam adepti sunt, Huius lapidis benedictionem vobis afferimus, qui domus factus est Dei verbi, quod * in ea habitavit, Verbum enim, inquit, *d*) caro factum est, et habitauit in nobis. Et Dominus Iudæis dixit, *e*) Soluite templum hoc, et in tribus diebus excitabo illud. 27. *Deus Dominus est, et illuxit nobis.* Manifesto hoc in loco Dominum Christum Deum esse declaravit. Quem enim superius *lapidem* vocauit, et postea *benedictum*, et *qui venit in nomine Domini*, ipsum nominat *et Dominum*, et *Deum*, qui se ipsum ad conspiciendum præbuit, quique salutem credentibus largitus est. *Constituite diem solemnem in condensis, vsque ad cornu altaris.* Congregamini igitur omnes, et diem festum maximum agite, propriam salutem celebrantes,

1) E Cod. 1. 2) Ib. ἐκεῖνον. 3) οὕτω — υἱός. Des. ibid. 4) καί. Des. ibid. 5) συστήσασθε — πυκάζουσιν. Hebr. *Alligate victimam funibus.* Metonymica significatio quam h. l. habet vox חג, latuit græcos aliosque multos Interpretes. Vnicum qui istam perspexisse videtur, MONTF. in Hexapl. ad h. l. produxit, cuius versio his paucis comprehenditur, θύσατε θυσίαν. Eiusdem, vt putamus, Autoris est interpretatio illa, θύσατε θυσίας λιπαράς, cuius CORD. l. c. T. III. p. 363. meminit, sed sine nomine.

a) Matth. 11, 3. *b*) Ioh. 5, 43. *c*) Marc. 14, 61. *d*) Ioh. 1, 14. *e*) Ib. c. 2, 19.

tes, vt ad ipsum vsque altare frequentia constipata perueniat. *In condensis* enim pro *constipati* et frequentia coarctati posuit: nam *condensum*, pro *constipatum*, etiam exteri scriptores vocant. 28. *Deus meus es tu, confitebor tibi, Deus meus es tu, et exaltabo te.* Te noui Deum, te noui Dominum, te beneficii auctorem per vitam celebrabo. *Confitebor tibi, quoniam exaudiuisti me, et factus es mihi saluti.* 29. *Confitemini Domino, quoniam bonus est: quoniam in seculum seculi misericordia eius.* Postquam se ipsos primum, vtpote aliorum duces, ad hymnorum cantum excitarunt, sic et alios adhortantur, vt bonum Dominum celebrent, quippe qui affatim misericordiæ fontes porrigit. Sciendum est autem, quod iis etiam, qui a gentibus illis obsessi erant, congruebat, vt scirent eum, qui ex ipsis secundum carnem oriturus erat, et omnibus salutem largiturus. Sic enim audaciores contra inuadentes euadebant, fide benedictionis, quæ in ipsis abscondita erat, recreati.

ρίαν, ὡς μέχρις αὐτοῦ φθάσαι τοῦ θυσιαστηρίου 1) τὸ πλῆθος στενοχωρούμενον. 2) τὸ γὰρ ἐν τοῖς πυκάζουσιν, ἀντὶ τοῦ, πεπυκνωμένοι, καὶ τῷ πλήθει στενοχωρούμενοι τέθεικεν. τὸ γὰρ πεπυκασμένον, πεπυκνωμένον καὶ οἱ ἔξω τοῦ καθ' ἡμᾶς λόγου καλοῦσιν. κη'. Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σὺ, καὶ ὑψώσω σε. Σὲ οἶδα Θεὸν, σὲ οἶδα Δεσπότην, σὲ τὸν εὐεργέτην διὰ βίου ὑμνήσω. 3) Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. κθ'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Πρώτους ἑαυτοὺς, ἅτε δὴ τῶν ἄλλων προτεταγμένοι, 4) εἰς τὴν δοξολογίαν κινήσαντες, οὕτω καὶ τοῖς ἄλλοις παρεγγυῶσι τὸν ἀγαθὸν ὑμνῆσαι Δεσπότην· ἅτε δὴ πᾶσιν ἀφθόνως 5) ὀρέγοντα τοὺς τοῦ 6) ἐλέου κρουνούς. εἰδέναι μέντοι προσήκει, ὡς καὶ τοῖς ὑπὸ τῶν ἐθνῶν ἐκείνων πολιορκουμένοις ἥρμοττεν, εἰδέναι τὸν ἐξ αὐτῶν κατὰ σάρκα βλαστήσοντα, καὶ πᾶσι τὴν σωτηρίαν παρέξοντα· οὕτω γὰρ θαῤῥαλεώτεροι κατὰ τῶν ἐπιόντων ἐγίνοντο, τῇ πίστει τῆς ἐν αὐτοῖς κρυπτομένης εὐλογίας ψυχαγωγούμενοι.

INTERP. PSALM. CXVIII.

Alleluia. Multas variasque rerum vicissitudines beatus Dauid

ΕΡΜΗΝ. ΤΟΥ ριη' ΨΑΛΜΟΥ.

7) Ἀλληλούϊα. 8) Πολλὰς καὶ διαφόρους ὁ θεῖος Δαβὶδ πραγμάτων

1) τὸ πλῆθος. Abest a Cod. I. 2) τὸ — καλοῦσιν. Parum ab his differunt, quæ sub *Hesychii* nomine exstant apud CORD. l. c. Pro πεπυκνωμένοι et στενοχ. leg. esse videtur πεπυκνωμένοις et στενοχωρουμένοις. 3) Ἐξομολ. — σωτηρ. Hæc in Textu hebr. desid. ex v. 21. vt videtur, inserta. 4) εἰς τήν. Cod. I. πρός. 5) Ibid. παρέχοντα. 6) Ib. ἐλέους. 7) Ἀλληλ. Abest a Textu hebr. Hic Psalmus in Cod. *aug. 1.* diuisus est in tres στάσεις s. *stationes*, quarum secunda incipit a versic. 73. cui στάσις δευτέρα, tertia a vers. 132. cui στάσις τρίτη adscriptum legimus. Huc pertinet quæ IO. MEVRSIVS in Glossario græco-barb. ad voc. Κάθισμα monuit, scilicet apud Græcos vniuersum Psalterium dispesci in Καθίσματα viginti, quorum hic Psalmus constituit decimum septimum. Singula autem καθίσματα teste LEONE ALLATIO de libris ecclest. Græc. p. 54.

μάτων ἔσχε μεταβολάς· καὶ γὰρ ἔφευγε πολεμίους, καὶ ἐδίωξε πολεμίους, καὶ περιέπεσεν ἀθυμίαις, καὶ θυμηρεστέραν πάλιν ἔσχε ζωήν, καὶ τὴν θείαν ὁδὸν ἔδραμε, καὶ 1) ἔπταισεν ὁδεύων, καὶ αὖθις τοῖς θείοις ἠκολούθησε νόμοις. ταῦτα τοίνυν ἅπαντα κατὰ ταυτὸν ἐν τῷδε συνήγαγε ψαλμῷ, καὶ τὰς καθ' ἕκαστον καιρὸν ὑπ' αὐτοῦ προσενεχθείσας τῷ Θεῷ 2) προσευχὰς προσαρμόσας ἀλλήλαις, μίαν τοῖς ἀνθρώποις ὀνησιφόρον διδασκαλίαν προτέθεικε· καὶ 3) διδάσκει δι' ὧν λέγει, πῶς δυνατὸν κατορθῶσαι τὴν πρακτικὴν ἀρετήν. οὐκ ἀμελεῖ δὲ οὐδὲ τῆς τῶν δογμάτων ἀκριβείας· ἀλλὰ ταῖς ἠθικαῖς ὑποθήκαις καὶ τὴν περὶ τούτων διδασκαλίαν προστίθησι. ὡς ἀρκεῖν τοῦτον τὸν ψαλμὸν, καὶ τοὺς τῆς τελείας ἀρετῆς ἐφιεμένους ἐν αὐτῇ τελειῶσαι, καὶ τοὺς ῥᾳστώνῃ συζῶντας πρὸς σπουδὴν διεγεῖραι, καὶ ψυχαγωγῆσαι τοὺς ἀθυμοῦντας, καὶ 4) ῥυθμίσαι τοὺς ῥαθυμοῦντας, καὶ ἁπαξαπλῶς παντοδαπὴν θεραπείαν ἐνθεῖναι τοῖς ποικίλοις τῶν ἀνθρώπων 5) παθήμασιν. α'. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ. Μακαρίζει τοὺς τὴν βασιλικὴν ὁδὸν 6) ὁδεύοντας ἀκλινῶς, 7) καὶ μήτε δεξιᾷ, μήτε ἀριστερᾷ κατὰ τὰς ὑποθήκας τοῦ νόμου παρατραπέντας. τίνες δὲ οὗτοι διδάσκει. Οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. Οἱ γὰρ κατὰ τούτους πολιτευόμενοι τὸ ἄμωμον ἔχουσιν. ὁδὸν γὰρ τὸν βίον καλεῖ. τοῦτον γὰρ 8) ἐξ ὠδίνων μέχρι 9) ταφῆς διοδεύομεν ἅπαν-

expertus est. Etenim et hostes fugit, et hostes insecutus est, et in mœrores incidit, et iucundiorem rursus habuit * vitam, et in diuina incessit via, et offendit inter eundum, et rursus diuinas secutus est leges. Hæc omnia igitur hoc in psalmo in vnum collegit, et preces a se Deo singulis temporibus oblatas inuicem connectens, vnam vtilissimam omnibus hominibus doctrinam proponit, et docet per ista, quomodo possit fieri, vt practicam virtutis partem exsequamur. Non negligit tamen dogmatum sinceritatem, sed horum quoque doctrinam adiungit præceptis de moribus. Potest itaque hic psalmus et exquisitæ virtutis studiosos in ipsa perficere, et segniter viuentes ad studium accendere, et mœrentes recreare, et corrigere pigros, et vt vno verbo dicam, vniuersi generis medicinam variis hominum morbis adhibere. *1. Beati immaculati in via.* Eos *beatos* esse ait, qui in regia incedunt via, non deflectentes, nec dextrorsum, neque sinistrorsum legis præcepta transgredientes. Quinam autem sint hi, docet. *Qui ambulant in lege Domini.* Qui enim secundum hanc viuunt, reprehendi minime possunt. *Viam* enim vitam vocat: in hac enim a partu vsque ad sepulcrum omnes incedimus.

Ggg 3

p. 54. diuiduntur in tres partes, quas στάσεις dicunt. In edit. *firmond.* ad marginem vers. 73. verba illa *Statio secunda* adposita sunt, quæ loco isto in hac edit. repetenda esse duximus, desideratur autem indicium Stationis tertiæ. 8) Πολλὰς — παθήμασιν. Cum his conf. quæ CORD. l. c. p. 373. ORIGENI tribuit.

1) Cod. 1. προσέπταισεν. 2) Ibid. προσφοράς. 3) διδ. δι' ὧν. Ib. διδάσκων. 4) ῥυθμ. Ibid. παραμυθήσασθαι. 5) παθ. Ib. νοσήμασι. 6) Ibid. ὁδεύσαντας. 7) καὶ. Def. ibid. 8) ἐξ ὠδίνων. Ibid. ἐξόδου. 9) Ib. τάφου.

mus. 2. *Beati qui scrutantur testimonia eius, toto corde exquirunt eum.* Et decimum octauum explanantes psalmum, diximus, in quo differant lex et testimonium, et iustificationes, et iudicia, et mandata: tamen summatim ea quæ dicta sunt in memoriam reuocabimus. *Legem* vocat, ab vniversorum Deo per diuinum Mosen datam. *Mandata* vero et *præcepta* rursus vocat legem, tanquam regio more ab ipso iniunctam et imperatam. *Iustificationes*, vt quæ recte agentem iustum reddere potest. *Iudicia* autem, tanquam diuinas sententias ostendentem, et digna præmia eorum, qui secundum legem, et eorum qui inique viuunt. *Testimonia* vero, vt contestantem, et demonstrantem, quibus suppliciis obnoxii sint, qui eam transgrediuntur. *Beatos* igitur etiam hîc esse dicit eos, qui Dei testimonia continue scrutantur, et toto corde Deum quærunt. Non cuiuslibet autem est hoc, sed eius qui virtutis fastigium apprehendit: quia huiusmodi homo mentem suam in Deum et in inanes vitæ curas non partitur, sed totum se Deo consecrat. 3. *Non enim qui operantur iniquitatem, in viis eius ambulauerunt.* Hanc diuisionem etiam in primo psalmo fecit. Ibi enim cum beatum esse dixisset eum, qui dies noctesque in lege Domini meditatur, et cum meditationis fructum ostendisset, subdidit, Non sic impii, non sic. Et hoc loco igitur, cum beatos esse dixisset immaculatos, docet iniquitatis operarios aliam sibi viam præparasse, et illam, quæ a Deo fixa est, dereliquisse. 4. *Tu mandasti*

τες. β΄. Μακάριοι 1) οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Καὶ τὸν 2) ὄγδοον καὶ δέκατον ψαλμὸν ἑρμηνεύοντες εἰρήκαμεν τίνι διαφέρει νόμος, καὶ μαρτύρια, καὶ δικαιώματα, καὶ κρίματα, καὶ ἐντολαί· ἀναμνήσομεν δὲ ὅμως ἐν κεφαλαίῳ τῶν εἰρημένων. νόμον καλεῖ, τὸν ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων διὰ τοῦ θεσπεσίου Μωσοῦ δεδομένον. ἐντολὰς δὲ καὶ προστάγματα πάλιν τὸν αὐτὸν, ὡς βασιλικῶς ἐνταλθέντα καὶ προσταχθέντα. 3) δικαιώματα, ὡς 4) δικαιοῦν τὸν 5) κατορθοῦντα δυνάμενον. κρίματα δὲ, ὡς τὰς θείας ψήφους ὑποδεικνύντα, καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐννόμως καὶ παρανόμως βιούντων. μαρτύρια δὲ, ὡς διαμαρτυρόμενον, καὶ δεικνύντα, οἵαις ὑποβληθήσονται τιμωρίαις οἱ παραβαίνοντες. μακαρίζει τοίνυν καὶ ἐνταῦθα τοὺς τὰ μαρτύρια τοῦ Θεοῦ διηνεκῶς ἐρευνῶντας, καὶ ἐν ὅλῃ καρδίᾳ τὸν Θεὸν ἐκζητοῦντας· οὐ παντὸς δὲ τοῦτο, ἀλλὰ τοῦ τὴν κορυφὴν 6) αὐτὴν κατειληφότος τῆς ἀρετῆς· ὁ γὰρ τοιοῦτος οὐ μερίζει τὴν διάνοιαν εἰς Θεὸν καὶ φροντίδας βιωτικὰς, ἀλλὰ ὅλον ἑαυτὸν ἀνατίθησι τῷ Θεῷ. γ΄. 7) Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. Τὴν διαίρεσιν ταύτην πεποίηκε καὶ ἐν τῷ πρώτῳ ψαλμῷ. καὶ γὰρ ἐκεῖ μακαρίσας τὸν ἐν νόμῳ Κυρίου μελετῶντα ἡμέρας καὶ 8) νύκτας, καὶ τὸν τῆς μελέτης ἐπιδείξας καρπὸν, ἐπήγαγεν, οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως· καὶ ἐνταῦθα τοίνυν μακαρίσας τοὺς ἀμώμους, διδάσκει, ὡς οἱ τῆς ἀνομίας ἐργάται ἑτέραν ἑαυτοῖς ὁδὸν κατεσκεύασαν, καὶ τὴν ὑπὸ τοῦ Θεοῦ παγεῖσαν κατέλιπον. δ΄. Σὺ ἐνετείλω τὰς

1) οἱ ἐξερ. *Hebr.* seruantes. 2) ὄγδοον. Cod. 1. ὀκτώ. 3) δικαιώματα. Cod. 1. add. δέ. 4) Ib. δικαιοῦντα. 5) Ib. κατορθῶσαι. 6) αὐτήν. Des. ibid. 7) Οὐ γὰρ οἱ. *Hebr.* Immo etiam non — 8) Cod. 1. νυκτός.

τὰς ἐντολάς σου, 1) τοῦ φυλάξασθαι σφόδρα. Τοῦτο καὶ διὰ τοῦ νόμου, καὶ διὰ τῶν προφητῶν, καὶ διὰ τῶν ἱερῶν εὐαγγελίων ὁ Δεσπότης παρακελεύεται· καὶ μεστὴ πᾶσα ἡ θεία γραφὴ τῆς τοιαύτης νομοθεσίας. οὐ γὰρ ἁπλῶς φυλάττειν, ἀλλὰ σφόδρα φυλάττειν παρεγγυᾷ· τουτέστι, σὺν ἀκριβείᾳ πάσῃ. ε'. Ὄφελον 2) κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι 3) τὰ δικαιώματά σου. Διὰ τοῦτό φησιν ἀντιβολῶ, οἷον τινὶ κανόνι, τῷ σῷ νόμῳ τὴν ἐμὴν ὁδὸν εὐθῦναι, ὡς ἂν διατηρήσαιμί σου 4) τὰ δικαιώματα. καὶ δεικνὺς τὸν τούτου καρπὸν, ἐπιφέρει· ς'. Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Παρανομίας γὰρ αἰσχύνη καρπός· οὕτω καὶ ὁ θεῖος ἀπόστολος ἔφη, τίνα οὖν καρπὸν εἴχετε 5) τότε ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; οἱ δὲ πάσας τοῦ Θεοῦ 6) πληροῦντες τὰς ἐντολὰς, τὴν ἀπὸ τοῦ συνειδότος ἔχουσι παῤῥησίαν. ζ'. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐξομολόγησιν τὴν εὐχαριστίαν καλεῖ. τότε, φησὶ, δυνήσομαι ὕμνον καθαρὸν προσενεγκεῖν, ὅταν σου πάντα καταμάθω τὰ κρίματα, καὶ 7) κατ' αὐτὰ βιώσω. η'. Τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα. Τινὰς πρὸς βραχὺ πολλάκις ἡ θεία χάρις ἀφίησιν, ὠφέλειαν αὐτοῖς ἐντεῦθεν μηχανωμένη. οὕτως ὁ μέγας Ἡλίας καταληφθεὶς τῷ τῆς δειλίας περιέπεσε πάθει, καὶ τῆς ἀνθρωπείας φύσεως μεμάθηκε τὴν ἀσθένειαν· ἀλλ' εὐθὺς πάλιν τῆς θείας ἀπήλαυσε χάριτος. οὕτως ὁ θεῖος Πέτρος ἀρνηθεὶς

mandata tua, vt custodiantur valde. Hoc et per legem, et per prophetas, et per sacra euangelia Dominus iubet: et tota diuina scriptura tali edicto referta est. Non enim simpliciter custodire, sed valde custodire præcipit, hoc est, cum omni sedulitate. 5. *Vtinam dirigantur viæ meæ ad custodiendas iustificationes tuas.* Propterea, ait, precor vt mea via lege tua veluti quadam regula dirigatur, vt custodire possim tuas iustificationes. Et ostendens huius fructum, infert: 6. *Tunc non confundar, si intueor in omnia mandata tua.* Peccati enim fructus est confusio. Sic et diuinus apostolus inquit, a) Quem igitur fructum tunc habuistis eorum; ob quæ nunc erubescitis? Qui vero omnia mandata Dei perficiunt, a conscientia fiduciam habent. 7. *Confitebor tibi in directione cordis, in eo quod didici iudicia iustitiæ tuæ.* *Confessionem* gratiarum actionem vocat. Tunc, inquit, purum hymnum tibi offerre potero, cum omnia tua iudicia didicero, et secundum ipsa vitam duxero. 8. *Iustificationes tuas custodiam: non derelinquas me vsquequaque.* Sæpius diuina gratia nonnullos ad breue tempus deserit, vtilitatem illis hinc procurans. Sic magnus Elias derelictus cum esset, in timiditatis affectum incidit, et humanæ naturæ imbecillitatem didicit: sed confestim diuinam iterum nactus est gratiam. Sic diuinus Petrus negando pro-

1) τοῦ φυλ. Cod. 1. φυλάττεσθαι. 2) κατευθ. *Hebr.* firmentur. 3) τὰ δικαιώματα. *Hebr.* statuta. 4) τά. Cod. 1. præm. καί. 5) τότε. Def. ibid. 6) Ibid. πληροφοροῦντες. 7) Ib. κατὰ ταῦτα.

a) Rom. 6, 21.

prolapsus est, sed protinus Dominus ei succurrit. Destitutus autem penitus diuina ope Iudas parata præda diaboli * fuit. Derelictus etiam fuit beatus Dauid post peccatum illud, et in asperas illas calamitates incidit: sed rursus erga Deum fiduciam recepit, et illinc opem consecutus est. Saul vero hac penitus orbatus, et spiritus gratiam amisit, et prauo spiritui obnoxius fuit. Iure igitur propheta precatur, ne derelinquatur vsquequaque, hoc est, ne prouidentiæ gratia penitus spolietur. 9. *Quo modo corrigit adolescens viam suam? custodiendo sermones tuos.* Instabilis est iuuentus, et ad malum proua: variis enim perturbationum vndis confunditur. Indiget igitur duce, qui illam ad portum dirigat. Hoc autem est proprium diuinorum oraculorum. Hæc enim auertendo nos a viis prauis, possunt nos corrigere, et ad diuinam viam deducere. Quod enim est equino pullo frænum et domitor, hoc adolescentibus est diuinus sermo. 10. *Toto corde meo quæsiui te: ne repellas me a mandatis tuis.* Multi quidem Deum quærunt, sed non toto corde: partiuntur enim hoc non modo in rerum humanarum curas, verum etiam in absurdas concupiscentias, et in inuidias, et fraudes, et proximorum insidias. Diuinorum vero studiosus totam Deo consecrat mentem, et ab illius prouiden-

ὠλίσθησεν· ἀλλ' εὐθὺς αὐτὸν ὁ Δεσπότης ὑπήρεισε. γυμνὸς δὲ πάμπαν ὁ Ἰ8δας τῆς θείας γενόμενος προμηθείας, ἕτοιμον ἐγένετο θήραμα τȣ͂ δυσμενοῦς· ἐγκατελείφθη καὶ ὁ μακάριος Δαβὶδ μετὰ τὴν ἁμαρτίαν ἐκείνην, καὶ ταῖς χαλεπαῖς ἐκείναις 1) περιέπεσε συμφοραῖς· ἀλλὰ πάλιν τὴν πρὸς τὸν Θεὸν ἀπέλαβε παῤῥησίαν, καὶ τῆς ἐκεῖθεν κηδεμονίας ἀπήλαυσεν. ὁ δὲ Σαȣ̀λ ἔρημος ταύτης γενόμενος παντελῶς, ἐγυμνώθη μὲν τῆς τȣ͂ πνεύματος χάριτος, πονηρῷ δὲ πνεύματι συνεζύγη. εἰκότως τοίνυν ὁ προφήτης ἱκετεύει μὴ ἐγκαταλειφθῆναι ἕως σφόδρα, τȣτέστι, μὴ παντάπασι τῆς προμηθȣμένης χάριτος γυμνωθῆναι. θ'. Ἐν τίνι 2) κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτȣ͂; ἐν τῷ φυλάξασθαι τȣ̀ς λόγȣς σȣ. Εὐρίπιστος ἡ νεότης, καὶ πρὸς κακίαν ὀξύῤῥοπος. διαφόροις γὰρ παθημάτων περικλύζεται κύμασι· δεῖται τοίνυν τȣ͂ ποδηγȣ͂ντος 3) πρὸς τȣ̀ς λιμένας εὐθύνοντος. τȣ͂το δὲ τῶν θείων λογίων ἴδιον. ταῦτα γὰρ τῶν ἐναντίων ὁδῶν ἀποτρέποντα, ῥυθμίζειν ἱκανὰ, καὶ πρὸς τὴν θείαν ὁδὸν ποδηγεῖν· ὅπερ γάρ ἐστιν 4) νέῳ πώλῳ χαλινὸς, καὶ πωλοδάμνης, τȣ͂το τοῖς νέοις ὁ θεῖος γίνεται λόγος. ι'. Ἐν ὅλῃ καρδίᾳ μȣ 5) ἐξήτησά σε, μὴ 6) ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ζητȣ͂σι μὲν πολλοὶ τὸν Θεὸν, ἀλλ' ȣ̓κ ἐν ὅλῃ καρδίᾳ· μερίζȣσι γὰρ ταύτην, ȣ̓ μόνον εἰς φροντίδας πραγμάτων βιωτικῶν, ἀλλὰ καὶ εἰς ἐπιθυμίας 7) ἀτόπȣς, καὶ φθόνȣς, καὶ δόλȣς, καὶ τὰς τῶν πλησίων ἐπιβȣλάς· ὁ δὲ τῶν θείων ἐραστὴς πᾶσαν ἀφιεροῖ τῷ Θεῷ τὴν διάνοιαν, καὶ τῆς ἐκεῖθεν 8) ἀπαιωρεῖ

1) περιέπεσε συμφ. Def. in Cod. I. 2) κατορθ. *Hebr.* mundabit. *Symm.* λαμπρυνεῖ. 3) πρός. Cod I. præm. καί. 4) νέῳ. Cod. I. ἀγελαίῳ. 5) Ib. ἐξεζήτησα, quæ est rec. lectio h. l. 6) ἀπώσῃ. *Hebr.* errare sinas. 7) ἀτόπȣς. Cod. I. ἐκτόπȣς. 8) ἀπαιωρεῖ. Ibid. ἀπολαύει.

ρεῖ προνοίας. ιά. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. Ὁ χρυσὸν κεκτημένος, ἢ ἄργυρον, ἢ λίθους τιμίους, οὐκ ἔξω ταῦτα προτίθησιν· ἀλλ᾽ ἔνδον ἐν τοῖς ταμιείοις καὶ τοῖς θαλάμοις 1) ἐναποκρύπτει, ὥστε διαφυγεῖν τῶν τοιχωρύχων τὰς χεῖρας· οὕτως ὁ τὸν πλοῦτον ἔχων τῆς ἀρετῆς κρύπτει τοῦτον ἐν τῇ ψυχῇ· ὡς ἂν μὴ διὰ δόξης κενῆς τοῦτον οἱ τῶν ψυχῶν συλήσαιεν λωποδύται. διδάσκει δὲ καὶ ἕτερον ὁ λόγος· οὐ γὰρ ἅπασι τὰ θεῖα λόγια προσφέρειν παρεγγυᾷ· μὴ δῶτε γάρ φησι τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν 2) χοίρων. ιβ. Εὐλογητὸς εἶ Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Ἀντὶ τοῦ, ἥμερος εἶ καὶ φιλάνθρωπος, καὶ ἄξιος παρὰ πάντων ὑμνεῖσθαι. οὗ δὴ χάριν ἀντιβολῶ σε μαθεῖν παρά σου τὰ δικαιῶσαι δυνάμενα. ιγ. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου. Ἃ γὰρ ἂν παρὰ τῆς σῆς ἀγαθότητος μάθοιμι, ταῦτα διδάξω τοὺς ἀγνοοῦντας. ιδ. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Ἐπίπονος μὲν ἡ τῆς ἀρετῆς ὁδὸς, ἀλλὰ τοῖς τελείοις τριπόθητος. διά τοι τοῦτο καὶ ὁ Δεσπότης ἔφη Χριστὸς, λάβετε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, ὅτι ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. τοῦτο καὶ ὁ προφητικὸς ἔφη λόγος, ὅτι πλούτου παντὸς θυμηρεστέρα 3) μοι τῶν σῶν μαρτυρίων ἡ κτῆσις· τὸ δὲ ἐπὶ παντὶ πλούτῳ, οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ τὸν παντοδαπὸν πλοῦτον παραδηλοῖ· πολλὰ γὰρ τοῦ πλούτου τὰ εἴδη· ὁ μὲν γὰρ χρυσὸν ἔχων ὀνομάζεται πλούσιος, ὁ δὲ ἄργυρον, ὁ δὲ γῆν πλείστην, τὴν μὲν πεφυτευμένην, τὴν δὲ

tia pendet. 11. *In corde meo abscondi eloquia tua, vt non peccem contra te.* Qui aurum possidet, vel argentum, vel pretiosos lapides, non foris hæc proponit; sed intus in cellis et thalamis occulit, vt manus eorum, qui parietes effodiunt, declinet. Similiter qui virtutis diuitias habet, has in anima abscondit, ne per inanem gloriam animarum fures eas subripiant. Aliud etiam diuinus sermo docet: admonet enim ne omnibus diuina oracula offeramus. Nolite enim dare, inquit, a) sancta canibus, nec proiicite margaritas vestras ante porcos. 12. *Benedictus es Domine, doce me iustificationes tuas.* Id est, mansuetus es, et benignus, et dignus qui ab omnibus lauderis. Idcirco precor te, vt ea a te discam, quæ me iustum reddere possint. * 13. *Labiis meis pronunciaui omnia iudicia oris tui.* * Quæ enim a tua bonitate didicero, hæc ignorantes docebo. 14. *Via testimoniorum tuorum delectatus sum, sicut omnibus diuitiis.* Laboriosa est quidem virtutis via, sed perfectis admodum iucunda. Propterea dicit Dominus Christus, b) Suscipite iugum meum in vos: iugum enim meum suaue est, et onus meum leue. Sic etiam sermo ait propheticus, tuorum testimoniorum possessio quibuslibet diuitiis iucundior mihi est. Illud *Sicut omnibus diuitiis*, non temere adiectum est: sed vniuersi generis opes declarat: multæ enim sunt diuitiarum species. Alius aurum habens, nominatur diues: alius qui argentum, et alius qui terræ possidet plurimum, vel arboribus consitæ, vel

1) Cod. 1. ἀποκρύπτει. 2) χοίρων. Ib. præm. τῶν. 3) μοι. Cod. 1. add. ἐστίν.
a) Matth. 7, 6. b) Ib. c. 11, 29. 30.

ſeminibus; et alius qui pecora. Sed hæc omnia propheta comprehendens, diuinisque teſtimoniis comparans, dixit iucunda eſſe ſibi diuina teſtimonia, quemadmodum opum ſtudioſis omnes diuitiarum ſpecies. 15. *Mandata tua meditabor, et conſiderabo vias tuas.* Propterea, ait, tuorum ſermonum meditationem continue præ me feram, et per tuas vias iter faciam. 16. *Iuſtificationes tuas meditabor, non obliuiſcar ſermonum tuorum.* Tenacem tuorum oraculorum memoriam mihi cuſtodiam. 17. *Retribue ſeruo tuo.* Non cuiuslibet eſt hac voce vti. Nemo enim prauam conſcientiam circumferens ad retributionem iudicem excitat: qui autem rectis vtitur cogitationibus, cum fiducia hac vtitur voce. *Viuifica me, et cuſtodiam ſermones tuos.* Tuam enim nactus opem, peccati mortem effugiam, et vitam quæ ineſt ſermonibus tuis percipiam. 18. *Reuela oculos meos, et conſiderabo mirabilia de lege tua.* Non enim omnes, qui diuina oracula lectitant, horum mirabilia conſiderant, ſed qui ſuperno ſplendore perfruuntur. Quam etiam ob cauſam beatus ait Paulus, *a*) Cum autem conuerſi fuerint ad Deum, auferetur velamen, Dominus autem ſpiritus eſt. Ipſe igitur diuino lumine illuſtratus, iure exclamat, *b*) * nos vero omnes reuelata facie gloriam Domini ſpeculantes, in eandem imaginem

καὶ σπειρομένην· ὁ δὲ βοσκήματα. ἀλλὰ ταῦτα πάντα περιλαβὼν ὁ προφήτης, καὶ τοῖς θείοις μαρτυρίοις παραβαλὼν, ἔφησεν ἀξιέραστα εἶναι αὐτῷ τὰ θεῖα μαρτύρια, ὡς τοῖς φιλοπλέτοις ἅπαντα τῆ πλέτε τὰ εἴδη. ιε΄. Ἐν ταῖς ἐντολαῖς σε ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδές σου. Τέτε χάριν, φησὶν, ἐνδελεχῶς τῶν σῶν λόγων τὴν μελέτην 1) αὐχήσω, καὶ 2) ταῖς σαῖς ὁδοῖς τὴν πορείαν ποιήσομαι. ις΄. Ἐν τοῖς δικαιώμασί σε 3) μελετήσω, ἐκ ἐπιλήσομαι τῶν λόγων σου. Ἄλησον τῶν σῶν λογίων 4) ἐμαυτῷ φυλάξω τὴν μνήμην. ιζ΄. Ἀνταπόδος τῷ δέλῳ σου. Οὐ παντός ἐστι ταύτῃ χρήσασθαι τῇ φωνῇ· ἐδεὶς γὰρ πονηρὸν συνειδὸς περιφέρων εἰς ἀνταπόδοσιν τὸν κριτὴν διεγείρει. ὁ δὲ καθαροῖς χρώμενος λογισμοῖς, σὺν παῤῥησίᾳ ταύτῃ κέχρηται τῇ φωνῇ. 5) Ζῆσόν με, καὶ φυλάξω τὲς λόγες σου. Τῆς σῆς γὰρ ἀπολαύων ἐπικερίας, διαφεύξομαι τῆς ἁμαρτίας τὸν θάνατον, καὶ τὴν ἐκ τῶν λόγων σε τρυγήσω ζωήν. ιή. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Οὐχ ἅπαντες οἱ τοῖς θείοις ἐντυγχάνοντες λογίοις τὰ τούτων κατανοοῦσι θαυμάσια, ἀλλ᾽ οἱ τῆς ἄνωθεν ἀπολαύοντες αἴγλης. 6) ὃ δὴ καὶ ὁ μακάριος ἔφη Παῦλος· ὅτ᾽ ἂν δὲ ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν. αὐτὸς μέν τοι τῷ φωτὶ τῷ θείῳ καταυγαζόμενος εἰκότως ἐβόα· ἡμεῖς δὲ ἅπαντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίε κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μετα-

1) αὐχ. Cod. 1. ἀσκήσω. 2) ταῖς. Ib. præm. ἐν. 3) μελετ. *Hebr.* oblectabo me. Sic quoque infra verſ. 24. 47. 70. 77. 92. 143. et 174. 4) ἐμαυτῷ. Cod. 1. præm. ἐν. 5) ζῆσόν με. Cod. 1. ζήσομαι, quæ eſt rec. lectio h. l. 6) ὃ δὴ καί. Cod. 1. ὃ δὴ χάριν καί. Hanc lectionem ſequutus eſt *Carafa*.

a) 2 Cor. 3, 16. 17. *b*) Ib. verſ. 18.

μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος· ἡμᾶς δὲ προσήκει τὸν Δεσπότην ἀντιβολεῖν, ἵνα τὸ κάλυμμα τῶν τῆς διανοίας ἡμῶν περιελὼν ὀφθαλμῶν, 1) ἀποδείξῃ τῶν θείων λογίων τὴν δύναμιν. ιθʹ. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. Τὴν γῆν οὐ κατοικοῦμεν, ἀλλὰ παροικοῦμεν· βραχὺν 2) γὰρ διαβιώσαντες χρόνον, εἰς ἕτερον μεταβαίνομεν βίον. τοῦτο δὲ οὐ πάντες ἐθέλουσιν εἰδέναι, ἀλλ' οἱ ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς, ὡς ἐπὶ μονίμοις καὶ διαρκέσι βρενθύοντες· ὁ δὲ τὰ θεῖα 3) πεπαιδευμένος οἶδε τοῦ βίου τὸ πρόσκαιρον. διὸ δὴ καὶ πάροικον ἑαυτὸν ὀνομάζει, καὶ ἱκετεύει τὰς θείας ἐντολὰς μηδαμῶς ἀγνοῆσαι. κʹ. 4) Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπιθυμοῦσι τῶν θείων κριμάτων πολλοὶ, καὶ τῆς οὐρανῶν ἐφίενται βασιλείας, ἀλλ' οὐκ ἀεί. νῦν 5) μὲν θείοις ἀρέσκονται, νῦν δὲ τοῖς τοῦ σώματος ἀκολουθοῦσι παθήμασιν· ὁ δὲ προφήτης ἱμείρεται τοῦτον ἔχειν τὸν πόθον διηνεκῶς. καʹ. Ἐπετίμησας ὑπερηφάνοις. Οἱ τῶν θείων νόμων καταφρονοῦντες τῇ τῆς ὑπερηφανίας περιπίπτουσι νόσῳ· ἀλλὰ τὴν παρὰ τοῦ δικαίου κριτοῦ δέχονται τιμωρίαν· τοῦτο 6) δὲ πέπονθε Ἀβεσσαλὼμ, τοῦτο Σαοὺλ, τοῦτο Φαραὼ, καὶ Σενναχηρεὶμ, 7) καὶ Ναβουχοδονόσορ, καὶ ἕτεροι μύριοι. τοῦτο εἰδὼς ὁ προφήτης, 8) ἅτε δὴ προφήτης, ἐπήγαγεν· Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Ταύτην καὶ ὁ νόμος τὴν ἀρὰν τοῖς παραβάταις προσφέρει· ἐπικατάρατος γάρ φησι πᾶς,

transformamur a claritate in claritatem, tanquam a Domini spiritu. Nos autem decet Dominum orare, vt velum oculorum mentis nostræ auferens, diuinorum oraculorum vim ostendat. 19. *Incola ego sum in terra; ne abscondas a me mandata tua.* Terram nos omnes non inhabitamus, sed in ea diuersamur. Cum enim exiguum vitæ tempus peregerimus, in aliam transimus vitam. Sane hoc non omnes volunt scire, sed de præsentibus bonis, tanquam permanentibus et stabilibus efferuntur. Qui vero diuinarum rerum cognitione instructus est, breuitatem vitæ nouit. Idcirco incolam se ipsum nuncupat, et supplicat, vt diuina mandata non ignoret. 20. *Concupiuit anima mea desiderare iustificationes tuas omni tempore.* Multi diuina iudicia desiderant, cœlorumque regnum appetunt, sed non semper: modo vero diuinis oblectantur, et modo corporis affectus sequuntur. Sed propheta continue hoc desiderium habere exoptat. 21. *Increpasti superbos.* Qui diuinas leges despiciunt, in superbiæ morbum incidunt, sed a iusto iudice pœnam reportant. Hoc sane Absalon perpessus est, hoc Saul, hoc Pharao, et Sennacherim, et Nabuchodonosor, et alii innumeri. Hoc cum propheta sciret, tanquam propheta subiunxit: *Maledicti qui declinant a mandatis tuis.* Hanc execrationem lex etiam transgredientibus affert, a) Maledictus enim, ait, omnis, qui

1) Cod. 1. ὑποδείξῃ. 2) γάρ. Ib. δέ. 3) Ibid. παιδευόμενος. 4) Ἐπεπ. κ. λ. *Hebr.* Quasi fracta est anima mea desiderio. 5) μέν. Cod. 1. add. γὰρ τοῖς. 6) δέ. Des. in Cod. 1. 7) καὶ Ναβουχ. Des. ibid. 8) ἅτε δὴ προφ. Des. ibid.

a) Deut. 27, 49.

qui non permanet in iis, quæ iacent in libro legis huius, vt faciat ipsa. 22. *Aufer a me opprobrium, et contemtum, quia testimonia tua exquisiui.* Contumeliis affecit prophetam Nabal, seruum fugitiuum vocans: affecerunt et Getthæi. Mœrens igitur de his, orat vt opprobria deleantur, vtpote qui diuina testimonia quæsierit. Non respondent igitur hæc verba conuitiis a Semei iactatis. Illa enim peccatum sequuta sunt: Nabalis vero aliorumque conuitia peccatum præcesserunt. * 23. *Etenim sederunt principes, et aduersus me loquuti sunt.* Et Saul, et Abner, et Achitophel, et Absalon conuitiis Dauidem impetebant. *Seruus autem tuus meditatus est iustificationes tuas.* Ego autem tuam dominationem confitens, tuas iustificationes meditabar. 24. *Nam et testimonia tua meditatio mea sunt, et consilia mea iustificationes tuæ.* Humana enim doctrina reiecta, tua mandata sequor. 25. *Adhæsit pauimento anima mea.* Singularem quandam humilitatem per hæc declarauit. Sic enim et in quadragesimo tertio ait psalmo, Quoniam humiliata est in puluere anima nostra, conglutinatus est in terra venter noster. *Viuifica me secundum verbum tuum.* Non absolute vitam petit, sed vitam secundum legem. 26. *Vias meas enunciaui, et exaudiuisti me, doce me iustificationes tuas.* Omnes meas actiones tibi Domine exposui, et nihil mearum re-

ὃς οὐκ ἐμμένει τοῖς ἐγκειμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. κβ΄. Περίελε ἀπ' ἐμοῦ ὄνειδος, καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα. Ὠνείδισε τὸν προφήτην ὁ Νάβαλ, δοῦλον δραπέτην ἀποκαλέσας· ὠνείδισαν αὐτὸν οἱ Γετθαῖοι. ἀλγυνόμενος τοίνυν ἐπὶ τούτοις, ἀποτρίψασθαι τὰ ὀνείδη παρακαλεῖ, ἅτε δὴ τὰ θεῖα ἐκζητήσας μαρτύρια· οὐχ ἁρμόττει τοίνυν τοῖς παρὰ τοῦ Σεμεεὶ 1) ὀνείδεσι τὰ παρόντα ῥητά. ἐκεῖνα γὰρ μετὰ τὴν ἁμαρτίαν ἐγένετο· τὰ δὲ τοῦ Νάβαλ, καὶ τῶν ἄλλων, πρὸ τῆς ἁμαρτίας. κγ΄. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατελάλουν κατ' ἐμοῦ. Καὶ Σαοὺλ, καὶ Ἀβεννὴρ, καὶ Ἀχιτόφελ, καὶ Ἀβεσσαλὼμ, 2) ἐλοιδόρουν τὸν Δαβίδ. Ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Ἐγὼ δὲ τὴν σὴν δεσποτείαν ὁμολογῶν, μελέτην εἶχον τὰ σὰ δικαιώματα. κδ΄. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστὶ, 3) καὶ αἱ 4) συμβουλαί μου τὰ δικαιώματά σου. Πᾶσαν γὰρ ἀνθρωπίνην εἰσήγησιν ἀπωσάμενος, ταῖς σαῖς ὑποθήκαις ἀκολουθῶ. κε΄. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή 5) μου. 6) Τὴν ὑπερβολὴν τῆς ταπεινώσεως διὰ τούτων ἐδήλωσεν· οὕτω καὶ γὰρ ἐν τῷ τεσσαρακοστῷ καὶ τρίτῳ ἔφη ψαλμῷ, ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν· ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. Ζῆσόν με κατὰ τὸν λόγον σου. Οὐκ ἀορίστως αἰτεῖ ζωὴν, ἀλλὰ τὴν κατὰ νόμον ζωήν. κϛ΄. Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου. Πάσας σοι Δέσποτα τὰς ἐμὰς δεδήλωκα πράξεις· καὶ οὐδέν σε λαθεῖν τῶν

1) Ibid. ὀνειδισθεῖσι. 2) ἐλοιδ. τὸν Δαβ. Def. in Cod. 1. 3) καὶ — σου. *Hebr.* viri consilii mei. *Symm.* ὡς ἄνδρες ὁμογνώμονές μου. Edit. V. ἄνδρες τῆς βουλῆς μου. 4) Cod. 1. συμβουλίαι, quæ est rec. lectio h. l. 5) μου. In Cod. 1. ex sequentibus add. ζῆσόν με κατὰ τὸν λόγον σου. 6) Τὴν — γαστὴρ ἡμῶν. Hæc partem constituunt eorum quæ CORD. l. c. p. 394. *Origeni* tribuit.

τῶν ἐμῶν 1) ἀνεχόμην· διὰ τοιοῦτο ταῖς ἐμαῖς 2) ἱκεσίαις ἐπίνευσον· ἀντιβολῶ δὲ μαθεῖν ἀκριβῶς τὰ 3) σὰ δικαιώματα. κζ΄. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Θείας ἡμῖν συνέσεως δεῖ, ὥστε κατὰ τὸν θεῖον νόμον τὴν ἀρετὴν μετελθεῖν, καὶ τὸν φιλανθρωπίᾳ χρώμενον μὴ πρὸς κενοδοξίαν ἰδεῖν, καὶ τὸν ἀσκητικὸν μὴ θηρᾶσαι τὸν ἀνθρώπειον ἔπαινον, τὸν σώφρονα μὴ διὰ τὴν τῆς ἀκολασίας αἰσχύνην, ἀλλὰ διὰ τὸν πόθον τῆς ἀρετῆς, μετιέναι τὴν σωφροσύνην. εἰκότως τοίνυν ὁ προφήτης ἀντιβολεῖ συνέσεως θείας μεταλαχεῖν, ὡς διαγνῶναι τὴν τῆς δικαιοσύνης ὁδόν. κη΄. 4) Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· 5) βεβαίωσόν με ἐν τοῖς λόγοις σου. 6) Ἡ συνεχὴς προσβολὴ τῆς ἁμαρτίας διαλύει πολλάκις τὸν τόνον τῶν λογισμῶν, καὶ 7) ἀπαυδῆσαι παρασκευάζει τὸν ἀθλητὴν, καὶ τὴν καλουμένην ἀκηδίαν ἐργάζεται. χαυνουμένη δὲ ἡ ψυχὴ τὸν ὕπνον εἰσδέχεται· ὁ δὲ ὕπνος ἐπάγει τὸν θάνατον· διόπερ βεβαιωθῆναι καὶ στηριχθῆναι ὁ προφήτης ἀντιβολεῖ· τοῦτο δὲ καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ, Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον· θάνατον 8) τὴν ἁμαρτίαν καλῶν. κθ΄. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. λ΄. Ὁδὸν ἀληθείας ᾑρετισάμην, 9) τὰ κρίματά σου οὐκ ἐπελαθόμην. Ἀναγκαία καὶ αὕτη ἡ δέησις. προσήκει γὰρ ἡμᾶς αἰτεῖν παρὰ τοῦ Θεοῦ τῶν ὅλων βοήθειαν, ὥστε τῆς ἀδικίας ἐκτρέπεσθαι τὴν ὁδὸν, καὶ τὴν τῆς

rerum te latere permisi. Idcirco meis precibus annue; precor autem te, vt accurate tuas iustificationes perdiscam. 27. *Viam iustificationum tuarum doceas me, et meditabor mirabilia tua.* Diuina prudentia nobis opus est, vt secundum diuinam legem virtutem consectemur; & qui aliis misericordiam impertit, ad inanem non respiciat gloriam, et qui religiosam vitam colit, humanam laudem minime captet, et vir continens non ob intemperantiæ dedecus, sed ob virtutis desiderium continentiam amplectatur. Iure igitur propheta supplicat, vt diuinæ prudentiæ particeps sit, vt iustitiæ viam cognoscat. 28. *Dormitauit anima mea præ tædio, confirma me in verbis tuis.* Assiduus peccati impetus mentis ac rationis neruos sæpe infringit, facitque vt athleta deficiat, et sic dictam ἀκηδίαν producit: remissa vero anima in somnum incidit, somnus autem mortem attrahit. Idcirco vt confirmetur et corroboretur propheta obsecrat. Hoc etiam in alio psalmo precatur dicens, a) Illumina oculos meos ne vnquam obdormiam in morte: vbi peccatum mortem appellat. *29. *Viam iniquitatis amoue a me, et lege tua miserere mei.* 30. *Viam veritatis elegi, et iudiciorum tuorum non sum oblitus.* Necessaria est etiam hæc precatio. Oportet enim nos ab vniuersorum Deo implorare auxilium, vt ab iniustitiæ via deflectamus, et veritatis

1) Cod. 1. ἠνεχόμην. 2) Ib. ἱκετείαις ἐπίνευσας. 3) σά. Des. ibid. 4) Ἐνύσταξεν. *Hebr.* Stillat. *Symm.* κατέσταξεν. Edit. V. et VI. ἔσταξεν. 5) βεβ. με. *Hebr.* erige me. 6) Ἡ συνεχὴς κ. τ. λ. Hæc etiam *Origeni* tribuuntur a CORD. l.c. p. 395. 7) Cod. 1. ἀπαυδῆσαι. 8) τὴν ἁμαρτ. καλῶν. Des. in Cod. 1. 9) τὰ — ἐπελαθ. *Hebr.* et iudicia tua posui sc. coram me.

a) Ps. 12, 3.

tatis iter ſectemur, et perpetuam memoriam Dei teſtimoniorum circumferamus. 31. *Adhæſi teſtimoniis tuis Domine, noli me confundere.* Non ſimpliciter dixit, *Secutus ſum*, ſed *adhæſi*, hoc eſt, ne tantillum quidem ab hiſce meam mentem ſegregaui. Ceterum expetit, vt huiusmodi affectus fructum percipiat: nimirum vt nullam ignominiam incurrat. 32. *Viam mandatorum tuorum cucurri, cum dilataſti cor meum.* Vtroque opus eſt, et noſtra animi promptitudine, et Dei auxilio. Neque enim diuina gratia bonam alacritatem non habentibus datur: neque humana natura absque cæleſti auxilio virtutem conſequi poteſt. Hoc et propheta docet, Mandatorum tuorum viam ſine impedimento cucurri, curſus facilitatem a te accipiens. *Latitudinem* enim facilitatem vocauit. Et alibi ait, *a*) In tribulatione amplum mihi feciſti locum. Et rurſus, *b*) Dilataſti greſſus meos ſub me, et non ſunt infirmata veſtigia mea. 33. *Legem pone mihi Domine viam iuſtificationum tuarum, et exquiram eam ſemper.* *Legem pone* Symmachus *oſtende* dixit: Aquila et Theodotio, *illuſtra.* Semper, inquit, illuſtratione tua tuisque præceptionibus indigeo, vt iuſtificationum tuarum viam cognoſcam, et hanc ſine impedimento decurram. 34. *Da mihi intellectum, et ſcrutabor legem tuam, et cuſtodiam illam toto corde meo.* Et Dominus, vt ſcripturas perſcrutemur, iuſſit: ſed perſcrutantibus cæleſti lumine opus eſt, vt et inueniant illud quod quæri-

ἀληθείας προαιρεῖσθαι πορείαν, καὶ ἄλησον ἐπιφέρειν τῶν τοῦ Θεοῦ μαρτυριῶν τὴν μνήμην. λα'. Ἐκολλήθην τοῖς μαρτυρίοις σου Κύριε, μή με καταισχύνῃς. Οὐχ ἁπλῶς εἶπεν ἠκολούθησα, ἀλλ' ἐκολλήθην. τουτέστιν, οὐδὲ πρὸς βραχὺ τούτων ἐχώρισα τὸν ἐμαυτοῦ λογισμόν. ζητεῖ δὲ τρυγῆσαι τῆς 1) τοσαύτης διαθέσεως καρπὸν, τὸ μηδεμίας πεῖραν αἰσχύνης λαβεῖν. λβ'. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας καρδίαν μου. Ἀμφοτέρων χρεία, καὶ τῆς ἡμετέρας προθυμίας, καὶ τῆς τοῦ Θεοῦ προμηθείας. οὔτε γὰρ ἡ θεία χάρις δίδοται τοῖς τὴν ἀγαθὴν οὐκ ἔχουσι προθυμίαν· οὔτε ἀνθρωπεία φύσις ἀρετὴν δύναται κατορθῶσαι δίχα τῆς ἄνωθεν βοηθείας. τοῦτο καὶ ὁ προφήτης διδάσκει, ὅτι τῶν ἐντολῶν σου τὴν ὁδὸν ἔτρεχον ἀκωλύτως, παρά σου λαμβάνων τοῦ δρόμου τὴν εὐκολίαν. πλατύτητα γὰρ τὴν εὐκολίαν ἐκάλεσε. καὶ ἀλλαχοῦ φησὶν, ἐν θλίψει ἐπλάτυνάς μοι· καὶ πάλιν, ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησαν τὰ ἴχνη μου. λγ'. 2) Νομοθέτησόν με Κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. Τὸ νομοθέτησον ὁ Σύμμαχος ὑπόδειξον εἶπεν· Ἀκύλας καὶ Θεοδοτίων, φώτισον· διαπαντός φησι τῆς σῆς δέομαι φωταγωγίας καὶ νομοθεσίας, ὥστε καὶ γνῶναι τῶν δικαιωμάτων σου τὴν ὁδὸν, καὶ ταύτην ἀκωλύτως ὁδεύειν. λδ'. Συνέτισόν με, καὶ 3) ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Καὶ ὁ Κύριος προσέταξεν 4) ἐξερευνᾷν τὰς γραφάς· ἀλλὰ τοῖς ἐρευνῶσι χρεία τῆς ἄνωθεν αἴγλης, ἵνα καὶ εὕρωσι τὸ ζητούμενον,

1) τοσαύτης. Cod. 1. τοιαύτης. 2) Νομοθ. al. *Hebr.* doceas me. 3) ἐξερ. *Hebr.* ſeruabo. 4) Cod. 1. ἐρευνᾷν.

a) Pſ. 4, 1. *b*) Pſ. 17, 36.

μενον, καὶ φυλάξωσι τὸ θηρώμενον. λε΄. Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. Οὐχ ἁπλῶς αἰτεῖ γενέσθαι ποδηγὸν αὐτῷ τὸν τῶν ὅλων Θεόν· ἀλλὰ δεικνὺς τῆς πορείας τὸν πόθον. λϛ΄. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἐπὶ τὸ πρανὲς φέρεσθαι πέφυκε τῶν ὑδάτων ἡ φύσις· κἂν τινος ἐπιλάβηται διεξόδου, ἐκεῖσε πᾶσα χωρεῖ. οὕτω τοῦ διαβόλου τὴν ἐπὶ τὴν ἁμαρτίαν ὁδὸν 1) διανοίξαντος, τῶν ἀνθρώπων ἔῤῥεψεν 2) ἐπὶ τὸ χεῖρον ἡ φύσις. σφόδρα τοίνυν ὁ προφήτης ἁρμοδίως ἀντιβολεῖ ἐπὶ τὰ θεῖα μαρτύρια τὴν καρδίαν κλιθῆναι, καὶ τῆς ἐπὶ τὸ 3) θάτερον τὴν πεῖραν διαφυγεῖν. λζ΄. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα. Καὶ μάταιόν ἐστι τὸ ἀκερδὲς, καὶ ἀνόνητον· τοιαῦτα δὲ τὰ δοκοῦντα τοῦ βίου τερπνά. οὕτως αὐτὰ καὶ ὁ σοφὸς Σολομῶν ὀνομάζει, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. καὶ διηγησάμενος ὅπως ᾠκοδόμησεν οἰκίας, καὶ ἐφύτευσε παραδείσους, καὶ 4) κατεσκεύασε κολυμβήθρας 5) ὑδάτων, ἐπήγαγεν· καὶ ἰδοὺ πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος. ἱκετεύει τοίνυν ὁ προφήτης εἰς ἑτέραν θεωρίαν ῥέψαι τῆς διανοίας τὰ ὄμματα, καὶ τῇ τῶν παρόντων ματαιότητι μὴ θελχθῆναι. Ἐν τῇ ὁδῷ σου ζῆσόν με. Κατὰ τοὺς σοὺς δός μοι πολιτεύεσθαι νόμους. λη΄. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου, εἰς τὸν φόβον σου. Βέβαιον ἐν τοῖς σοῖς 6) λόγοις ἀπόφηνόν με, ἀπεριτρέπτως φυλάττων τῷ φόβῳ σου· ἀντὶ τοῦ, ἐπικείσθω μοι ὁ

tur, et conseruent quod ceperunt. 35. *Deduc me in semitam mandatorum tuorum, quia ipsam volui.* Non simpliciter efflagitat, vt vniuersorum Deum habeat ducem, sed ostenso propensi animi desiderio. * 36. *Inclina cor meum in testimonia tua, et non in auaritiam.* Aquarum natura in procliue ferri solet, et si quem exitum inuenerit, illuc tota confluit: sic diabolo peccato viam reserante, hominum natura in peius vergit. Hinc admodum congruenter propheta precatur, vt in diuina testimonia cor inclinetur, nec in alteram partem impetu quodam feratur. 37. *Auerte oculos meos, ne videant vanitatem.* *Vanitas*, quod inutile et stultum est, vocatur. Huiusmodi vero sunt ea, quae in vita iucunda videntur. Sic haec et sapiens Salomo nominat, a) Vanitas vanitatum, et omnia vanitas. Et cum enarrasset, quomodo aedes aedificauerit, et conseuerit hortos, et fecerit piscinas aquarum, subdidit, b) Et ecce omnia vanitas, et afflictio spiritus. Supplicat igitur propheta, vt mentis oculi in aliam contemplationem vergant, et ne praesentium rerum vanitate demulceantur. *In via tua viuifica me.* Secundum tuas leges vt viuere possim mihi concede. 38. *Statue seruo tuo eloquium tuum ad timorem tui.* Constantem ac firmum in tuis sermonibus me redde, iugiter per timorem tuum sic me custodiens, vt nulla vi resupinari queam: quasi dicat, Timor tuus mihi incum-

1) Cod. I. ἀνοίξαντος. 2) ἐπὶ τὸ χεῖρον. In Cod. I. ponitur post φύσις. 3) θάτερον. Ib. sequ. θύρας. 4) Ibid. μετεσκεύασε. 5) ὑδάτων. Def. ibid. 6) λόγοις. Def. ib.

a) Eccles. I, 2. b) Ib. c. 2, 11.

incumbat, territans, et nequaquam sinens, vt a tuis oraculis deflectam. 39. *Aufer opprobrium meum, quod suspicatus sum, quia iudicia tua iucunda.* Aquila autem pro *suspicatus sum*, dixit *formidaui.* Sic etiam Theodotio. Symmachus vero, *quod vereor* interpretatus est. *Opprobrium* autem hoc loco vocat, quod ex peccato oritur. Hoc enim et formidabat, et timebat, et suspectam ducebat vitam. Propterea non subdidit, vt solet, Quoniam iudicia tua quæsiui, aut custodiui, sed *quoniam iudicia tua iucunda*, Non solum enim peccatoribus supplicium minaris, verum etiam pœnitentibus salutem polliceris. *Iudicia* enim iustas Dei sententias vocat. 40. *Ecce concupiui mandata tua, in æquitate tua viuifica me.* Mihi optanti viam iustam concede. *41. *Et veniat super me misericordia tua Domine.* Omnes enim diuinæ benignitatis indigentes sumus: et ille, qui vltimum virtutis fastigium apprehendit, hac continue indiget. *Salutare tuum secundum eloquium tuum.* 42. *Et respondebo exprobrantibus mihi verbum.* Quam salutem, o Domine, in sacris tuis sermonibus pollicitus es, largire, vt ad illos qui insultant mihi cum fiducia loquar. Qui enim in calamitatibus versatur, tacendo conuicia suffert: qui vero iucundam vitam ducit, refutat eos a quibus per iniuriam contumeliis afficitur. *Quia spem reposui in sermonibus tuis.* A tuis enim promissis pendeo, et in hac spe incedo. 43. *Et ne auferas de ore meo verbum veritatis vsquequaque, quia in iudiciis tuis spem posui.* Vt veritatem diligamus propheta nos docet,

φόβος σου, δεδιττόμενος, καὶ μὴ ἐῶν ἐκτραπῆναι τῶν λογίων σου. λθ'. Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά. Ὁ δὲ Ἀκύλας, ἀντὶ τοῦ ὑπώπτευσα, ὑπεστάλην εἴρηκεν. οὕτω 1) δὴ καὶ ὁ Θεοδοτίων· ὁ δὲ Σύμμαχος, ὃν εὐλαβοῦμαι· ὀνειδισμὸν δὲ ἐνταῦθα καλεῖ, τὸν ὑπὸ τῆς ἁμαρτίας γενόμενον. τοῦτον γὰρ καὶ ὑπεστέλλετο, καὶ ἐδεδίει, καὶ ὕποπτον ἔζη ζωήν. διὰ τοῦτο οὐκ ἐπήγαγε συνήθως, ὅτι κρίματά σου ἐξεζήτησα, ἢ ἐφύλαξα· ἀλλ' ὅτι τὰ κρίματά σου χρηστά. οὐ μόνον γὰρ τοῖς ἁμαρτάνουσιν ἀπειλεῖς τιμωρίαν, ἀλλὰ καὶ τοῖς μεταμελομένοις ὑπίσχνῃ σωτηρίαν. κρίματα γὰρ καλεῖ τὰς τοῦ Θεοῦ δικαίας ψήφους. μ'. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με. Γλιχομένῳ παράσχου τὴν ἐν δικαιοσύνῃ ζωήν. μα'. Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου Κύριε. Πάντες γὰρ ἐνδεεῖς τῆς θείας φιλανθρωπίας, καὶ ὁ αὐτὴν κατειληφὼς τὴν ἀκροτάτην τῆς ἀρετῆς κορυφὴν, ταύτης δεῖται διηνεκῶς. Τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. μβ'. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον. Ἣν ὑπέσχου Δέσποτα σωτηρίαν ἐν τοῖς ἱεροῖς σου λόγοις παράσχου, ἵνα τοῖς ἐπιτωθάζουσί μοι σὺν παῤῥησίᾳ διαλεχθῶ. ὁ γὰρ ἐν συμφοραῖς ὢν φέρει τὰ ὀνείδη σιγῶν· ὁ δὲ τὴν θυμήρη βιοτεύων 2) ὁδὸν, διελέγχει τοὺς κακῶς ὀνειδίζοντας. Ὅτι ἤλπισα ἐπὶ 3) τοὺς λόγους σου. Τῆς γὰρ σῆς ἐπαγγελίας ἐξήρτημαι, καὶ ἐπὶ ταύτης ὁδεύω τῆς ἐλπίδος. μγ'. Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. Ἐρᾷν ἡμᾶς τῆς ἀληθείας ὁ προφήτης διδάσκει,

1) δὴ. Ib. δὲ. 2) ὁδὸν. Cod. 1. βίον. 3) Cod. ὑπὸ τοῖς λόγοις.

σκει, καὶ ταύτην αἰτεῖν παρὰ τοῦ Θεοῦ τῶν ὅλων σὺν προθυμίᾳ πολλῇ. μδ΄. Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Οὕτω 1) γὰρ προθυμότερος περὶ τὴν τῶν σῶν νόμων γενήσομαι φυλακήν· διὰ μέν τοι τοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἐδήλωσε τὸν μέλλοντα βίον· ἐν ᾧ καθαρὰ καὶ ἀκραιφνὴς δοθήσεται ἅπασι τῶν θείων νόμων ἡ φυλακή. με΄. Καὶ 2) ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. μϛ΄. Καὶ 3) ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου, ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. Μετὰ πολλῆς, φησὶν, ὁδεύων εὐκολίας, καὶ κατὰ τὰς σὰς ἐντολὰς βιοτεύων, οὐδὲ βασιλικὴν ἔδεισα δυναστείαν, ἀλλὰ σὺν παῤῥησίᾳ πολλῇ τὴν πρὸς αὐτοὺς ἐποιούμην διάλεξιν. ἡ γὰρ ἔννομος ζωὴ, παῤῥησίας δημιουργός. καὶ τούτου μάρτυς ὁ μέγας Δαβίδ· πρὸ μὲν γὰρ τῆς ἁμαρτίας, μετὰ πολλῆς τῷ Σαοὺλ διαλέγεται παῤῥησίας· μετὰ δὲ τὴν ἁμαρτίαν, καὶ τὸν πατραλοίαν 4) ἀποδιδράσκων υἱὸν, 5) κύπτων εἰς γῆν, καὶ τὴν κεφαλὴν καλύπτων, ἐβάδιζεν. καὶ Ἠλίας ὁ πάνυ τῇ δικαιοσύνῃ θαῤῥῶν τοῦ Ἀχαὰβ διήλεγχε τὴν ἀσέβειαν. οὕτως ὁ θεσπέσιος Δανιὴλ τῷ Ναβουχοδονόσορ ἔλεγεν· καὶ νῦν βασιλεῦ ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἀνομίας σου ἐν ἐλεημοσύναις ἀπόλουσαι, καὶ τὰς ἁμαρτίας σου ἐν οἰκτιρμοῖς πενήτων. οὕτως ὁ 6) θεσπέσιος Παῦλος πρὸς Ἀγρίππαν, καὶ τὸν Φῆστον, καὶ τὸν Φήλικα διελέγετο. οὕτως οἱ καλλίνικοι μάρτυρες τῶν δυσσεβῶν κατεφρόνησαν βασιλέων. μζ΄. Καὶ ἐμελέ-

docet, et vt hanc cum omni alacritate ab vniuersorum Deo efflagitemus. 44. *Et custodiam legem tuam semper in seculum, et in seculum seculi.* Sic enim promptiori quoque animo in legum tuarum custodiam incumbam. Per hoc igitur, *In seculum, et in seculum seculi*, futuram vitam demonstrauit, in qua pura et sincera diuinarum legum obseruantia omnibus dabitur. 45. *Et ambulabam in latitudine, quia mandata tua exquisiui.* 46. *Et loquebar de testimoniis tuis in conspectu regum, et non confundebar.* Cum multa, inquit, facilitate incedens, et secundum mandata tua viuens, neque regiam potentiam timui, sed cum multa fiducia cum ipsis colloquebar. Vita enim secundum legem acta fiduciam affert. Et huius testis est magnus Dauid. Nam ante peccatum cum multa fiducia cum Saule sermocinabatur: post peccatum vero parricidam fugiens filium, prospiciens in terram, caputque operiens, ambulabat. Et Elias ille magnus iustitia fretus, Achabi impietatem redarguebat. Sic diuinus Daniel Nabuchodonosori dicebat, *a)* Et nunc o rex consilium meum placeat tibi, eleemosynis redime peccata tua, et iniquitates tuas misericordiis pauperum. Sic diuinus Paulus Agrippam, et Festum, et Felicem alloquebatur. * Sic triumphatores martyres impios reges despiciebant. 47. *Et meditabar*

1) γάρ. Cod. 1. add. διαπαντός. 2) ἐπορ. *Hebr.* ambulabo. 3) ἐλάλουν et ᾐσχυν. *Hebr.* loquar — pudore afficiar. 4) Cod. 1. ἀπεδίδρασκεν. 5) κύπτων. Ib. sequitur γάρ. 6) θεσπ. Cod. 1. θεῖος.

a) Dan. 4, 24.

meditabar in mandatis tuis, quæ dilexi magnopere. 48. *Et leuaui manus meas ad mandata tua, quæ dilexi.* Non enim in sermone est Dei regnum, sed in opere: et qui fecerit et docuerit, hic magnus vocabitur in regno cœlorum. Idcirco diuinus propheta meditationi actionem præposuit. Cum enim dixisset, *Meditabar in mandatis tuis, quæ dilexi valde*, et ardentem cupiditatem declarasset, subdidit, *Et leuaui manus meas ad mandata tua, quæ dilexi.* Quæ enim per diuina oracula didici, hæc per opera executus sum. Non enim auditores legis, iusti sunt apud Deum, vt diuinus ait apostolus, sed factores legis iustificabuntur. *Et meditatus sum iustificationes tuas.* Continue enim has meditatus sum. 49. *Memor esto verborum tuorum seruo tuo (datorum), in quibus mihi spem dedisti.* Legem ferens Deus et custodientibus legem beneuolentiam suam promisit, et transgredientibus supplicium. Vt igitur suarum promissionum recordetur, Deum precatur. In illis enim, ait, spem ponere me docuisti. Et ostendens spei vtilitatem, subdidit: 50. *Hæc fuit consolatio mea in humilitate mea, quia eloquium tuum viuificauit me.* Hanc enim in calamitatibus consolationem habui, et hac vectus super vndis nauigaui. 51. *Superbi admodum inique agebant, a lege autem tua non declinaui.* *Superbos* nuncupat Saulem, Absalonem, Ammanitarum re-

των ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα. μή. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα. Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει· καὶ ὁ ποιήσας, καὶ ὁ διδάξας, οὗτος μέγας κληθήσεται 1) ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, διά τοι τοῦτο καὶ ὁ θεῖος προφήτης τῇ μελέτῃ τὴν πρᾶξιν προτέθεικεν· εἰρηκὼς γάρ, ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα, καὶ τὸν θερμὸν ἐπιδείξας πόθον, ἐπήγαγεν· καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα· ἃ γὰρ διὰ τῶν θείων λόγων 2) ἐδιδασκόμην, ταῦτα διὰ τῶν ἔργων 3) μετῄειν. οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, 4) φησὶν ὁ θεῖος ἀπόστολος, ἀλλὰ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. Ἐνδελεχῶς γὰρ τὴν τούτων ἐποιούμην 5) μελέτην. μθ. Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με. Νομοθετῶν ὁ Θεός, καὶ τοῖς φυλάττουσι τὸν νόμον τὴν οἰκείαν εὐμένειαν ἐπηγγείλατο, καὶ τοῖς παραβάταις τὴν τιμωρίαν. μνησθῆναι τοίνυν τὸν Θεὸν τῶν οἰκείων ὑποσχέσεων ἱκετεύει. εἰς ἐκείνας γάρ φησιν ἐλπίζειν ἐδίδαξάς με· καὶ δεικνὺς τῆς ἐλπίδος τὸ χρήσιμον, ἐπήγαγεν· ν. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. Ταύτην γὰρ ἔσχον παραψυχὴν ἐν ταῖς συμφοραῖς· καὶ 6) ταύτης ὀχούμενος ὑπερέπλευσα τῶν κυμάτων. να. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. Ὑπερηφάνους καλεῖ τὸν Σαοὺλ, τὸν Ἀβεσσαλὼμ, τὸν τῶν Ἀμμανιτῶν βασιλέα,

1) ἐν — οὐρανῶν. Def. in Cod. 1. 2) Ib. ἐδιδάσκετο. 3) μετῄειν. Cod. 1. μέτεισι. 4) φησίν. Ib. præm. ὥς. 5) μελέτην. Ib. μνήμην, adscripta tamen lectione altera. 6) ταύτης ὀχούμ. Ib. ἐποχούμενος.

σιλέα, τὸν τὰ παράνομα ἐκεῖνα εἰς τοὺς ἀποσταλέντας παρ' αὐτοῦ πεποιηκότα· ἀλλὰ ἐκεῖνοι μέν φησι παράνομον ἠσπάσαντο βίον· ἐγὼ δὲ τοῖς σοῖς ἠκολούθησα νόμοις. ταῦτα δὲ εἴποιεν ἂν καὶ οἱ καλλίνικοι μάρτυρες, 1) ἀπὸ τῶν 2) ἀπανθρώπων καὶ δυσσεβῶν τυράννων τὰ δεινὰ ἐκεῖνα καὶ χαλεπὰ πεπονθότες. νβ'. Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος Κύριε, καὶ παρεκλήθην. Ἔλαβον γὰρ εἰς νοῦν τὰ κατὰ τὸν Ἄβελ, τὰ κατὰ τὸν Ἀβραὰμ, τὰ κατὰ τὸν Ἰσαὰκ, τὰ κατὰ τὸν Ἰακὼβ, τὰ κατὰ τὸν Ἰωσὴφ, 3) τὰ κατὰ τὸν Ἰὼβ, τὰ κατὰ τὸν Μωσῆ, 4) ὅπως καὶ ποικίλοις περιπεσεῖν συνεχωρήθησαν πειρασμοῖς, καὶ περιφανεῖς αὐτοὺς ὕστερον καὶ περιβλέπτους ἀπέφηνας, 5) ψυχαγωγίαν ἐντεῦθεν ἀποχρῶσαν ἐποριζάμην. νγ'. 6) Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἐγὼ μὲν κακῶς πάσχων τῇ μνήμῃ τῶν σῶν ἐψυχαγωγούμην κριμάτων. ἠνιώμην δὲ ὅμως, καὶ διετέλουν ἀχθόμενος, πολλοὺς ὁρῶν ἀδεῶς τοὺς σοὺς παραβαίνοντας νόμους. νδ'. 7) Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου. 8) Παρῴκησεν ὁ μακάριος Δαβὶδ ὑπὸ τοῦ Σαοὺλ διωκόμενος παρὰ τοῖς ἀλλοφύλοις· παροικίαν δὲ οἶμαι αὐτὸν καλεῖν, οὐκ ἐκεῖνον τὸν χρόνον, ἀλλὰ πάντα τὸν βίον· οὐ γὰρ ὡς κατοικῶν, ἀλλὰ ὡς παροικῶν αὐτὸν διετέλεσε, καὶ ᾄδων τὰ τοῦ Θεοῦ δικαιώματα τὸν βίον διώδευσεν. οὕτω γὰρ ἡρμήνευσαν καὶ οἱ λοιποὶ ἑρμηνευταί· ᾄσματα ἦν μοι 9) πάντα τὰ προστάγματά σου,

gem, qui fecit iniqua illa in eos qui ab ipso missi fuerunt. Sed illi quidem, inquit, iniquam amplexi sunt vitam: ego vero tuas leges secutus sum. Ceterum hæc dicere possent etiam triumphatores martyres, qui grauia et aspera illa a crudelibus et impiis tyrannis perpessi sunt. 52. *Memor fui iudiciorum tuorum a seculo Domine, et consolatus sum.* In mentem enim reduxi ea, quæ Abeli, et Abrahamo, et Isaaco, et Iacobo, et Iosepho, et Iobo, et Mosi acciderunt, quomodo in varias * tentationes ipsos incidere permiseris, et deinceps illustres et spectabiles ipsos reddideris, vnde consolationem idoneam reportabam. 53. *Defeci animo propter peccatores derelinquentes legem tuam.* Ego quidem mala patiens tuorum iudiciorum memoria reficiebar: mœrebam tamen, ac perpetuo mœrore afficiebar, multos cernens impune tuas violare leges. 54. *Cantabiles mihi erant iustificationes tuæ in loco peregrinationis meæ.* Diuersatus est beatus Dauid apud Allophylos, cum a Saule persecutionem pateretur. *Peregrinationem* autem ipsum vocare opinor, non illud tempus, sed totam vitam. Non enim veluti habitans, sed tanquam diuersans viuebat, Deique iustificationes canens vitam traducebat. Sic enim verterunt et ceteri interpretes, Cantica erant mihi omnia mandata tua

1) Cod. 1. ὑπό. 2) ἀπανθρ. Ib. ἀπηνῶν. 3) τὰ — Ἰώβ. Def. ibid. 4) ὅπως. Ib. ὁπόσοις. 5) ψυχαγ. Cod. 1. præm. καί. 6) Ἀθυμία — ἁμαρτ. *Hebr.* horror corripuit me propter impios. 7) Ψαλτά. *Hebr.* cantica. 8) Παρῴκ. Cod. 1. add. μέν. 9) πάντα. Def. in Cod. 1. nec exstat apud MONTF. in Hexapl. ad h. l.

in loco peregrinationis meæ. 55. *Memor fui noctu nominis tui Domine, et custodiui legem tuam.* Noctu semper sanctorum chorus surgens, et preces fundit, et Deum vniuersorum laudat. Opinor porro *noctem* hoc loco tentationum tempus nominari. Nebulam enim infert, et noctis instar super homines venit. In hoc vero potissimum necessaria est vniuersorum Dei memoria, quæ recreat, et bono esse animo iubet, contrariasque cogitationes exigit. 56. *Hæc facta est mihi, quia iustificationes tuas exquisiui.* Sic, inquit, superare potui, et eligere tuarum iustificationum possessionem. 57. *Portio mea es Domine, dixi custodire legem tuam.* Non omnium portio est Deus, sed eorum, qui perfectionem amplexi sunt. Sic Sacerdotum et Leuitarum pars et hereditas fuit. Filiis enim Leui, inquit, a) non erit pars inter fratres eorum, quoniam pars eorum ego Dominus. Sic etiam in decimoquinto psalmo ait, b) Dominus pars hereditatis meæ, et calicis mei. Dicit igitur et hoc in loco, Omnia alia despiciens, te partem, et opum copiam et diuitias habeo. Idcirco tuas leges custodire festino. 58. *Deprecatus sum faciem tuam toto corde meo.* * Vbique apponit *toto corde meo*, etiam in hoc legi obtemperans. Sic enim vniuersorum Deus iussit, c) Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex omnibus viribus tuis, et ex tota

ἐν τόπῳ τῆς παροικίας μου. νέ. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. 1) Νύκτωρ μὲν ἀεὶ διανιστάμενος ὁ τῶν ἁγίων χορὸς, καὶ προσεύχεται, καὶ ἀνυμνεῖ τὸν τῶν ὅλων Θεόν. οἶμαι δὲ νύκτα ἐνταῦθα τῶν πειρασμῶν τὸν καιρὸν ὀνομάζεσθαι· ζόφον γὰρ ἐπιφέρει, καὶ νυκτὸς δίκην τοῖς ἀνθρώποις ἐπέρχεται· ἐν δὲ τούτῳ διαφερόντως ἀναγκαία τοῦ Θεοῦ τῶν ὅλων ἡ μνήμη, ψυχαγωγοῦσα, καὶ παραθαῤῥύνουσα, καὶ τοὺς ἐναντίους ἐξελαύνουσα λογισμούς. νϛ'. Αὕτη ἐγενήθη μοι, ὅτι 2) τὰ δικαιώματά σου ἐξεζήτησα. Οὕτω, φησὶν, ἠδυνήθην περιγενέσθαι, καὶ τῶν σῶν δικαιωμάτων προελέσθαι τὴν κτῆσιν. νζ'. Μερίς μου εἶ Κύριε, εἶπα τοῦ φυλάξασθαι 3) τὸν νόμον σου. Οὐ πάντων ἐστὶ μερὶς ὁ Θεὸς, ἀλλὰ τῶν ἀσπαζομένων τὰ τέλεια. οὕτω τῶν ἱερέων καὶ Λευϊτῶν μερὶς καὶ κλῆρος ἐγένετο. τοῖς γὰρ υἱοῖς φησὶ Λευὶ, οὐκ ἔσται μερὶς ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν, ὅτι μερὶς αὐτῶν ἐγὼ Κύριος. οὕτω καὶ ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ ἔφη ψαλμῷ, Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου. λέγει τοίνυν καὶ ἐνταῦθα, ὅτι τῶν ἄλλων ἁπάντων ὑπεριδὼν σὲ ἔχω μερίδα, καὶ περιουσίαν, καὶ πλοῦτον. διὸ δὴ καὶ φυλάξαι τοὺς σοὺς ἐπείγομαι νόμους. νή. Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου. Πανταχοῦ τὸ ἐν ὅλῃ καρδίᾳ μου προστίθησι, τῷ νόμῳ καὶ ἐν τούτῳ πειθόμενος· οὕτω γὰρ καὶ τῶν ὅλων Θεὸς ἐνετείλατο, ἀγαπήσεις Κύριον τὸν Θεόν σου, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς

1) Νύκτωρ. Cod. 1. præm. καί. 2) τὰ δικ. σου. Hebr. פקודיך quod h. l. et v. 93. ac 94. per δικαιώματα, alias vero in hoc psalmo per ἐντολὰς vertitur. 3) τὸν νόμον σου. *Hebr.* verba tua.

a) Ios. 13, 33. b) Ps. 15, 5. c) Matth. 22, 37.

τῆς δυνάμεώς σου. Ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Οὐχ ἀορίστως ἐλεηθῆναι παρακαλεῖ· ἀλλὰ κατὰ τὸ θεῖον λόγιον τοῦ ἐλέους τυχεῖν. τοῦτο δ' ἂν εἴποι καὶ συνετὸς ἄῤῥωστος τῷ ἰατρῷ, ὡς οἶδας θεράπευσον, ὡς ἡ τέχνη διαγορεύει. τοῦτο καὶ ὁ συνετὸς ἔμπορος εἴποι ἂν τῷ κυβερνήτῃ, κατὰ τοὺς νόμους τῆς τέχνης ἴθυνον τὸ σκάφος, ὡς 1) καὶ ἡ ἐπιστήμη κελεύει κυβέρνησον. οὕτω καὶ ἡμᾶς προσήκει τὸν θεῖον ἔλεον 2) ἐπαγγέλλειν. ὁ γὰρ αἰτούμενος οἶδε τοῦ ἐλέου τὸν τρόπον· πολλάκις γὰρ διὰ 3) παιδείας πραγματεύεται σωτηρίαν· καὶ γίνεται ἡ τιμωρία φιλανθρωπία. οὕτω καὶ ἰατρὸς, καὶ τέμνει, καὶ καίει, τῷ κάμνοντι τὴν 4) ὑγίειαν πραγματευόμενος. οὕτω καὶ ἡμᾶς αἰτεῖν τὸν ἔλεον χρή· ἔστι γὰρ ὅτε καὶ διὰ 5) πενίαν ἔλεος χορηγεῖται, καὶ δι' ἀῤῥωστίας φιλανθρωπίαν παρέχεται, καὶ κατὰ τὸν ἰατρικὸν λόγον τοῖς ἐναντίοις τὰ ἐναντία ἰᾶται. νθ'. Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. Ὁ Ἑβραῖος δὲ τὰς ὁδούς μου ἔχει· ὡσαύτως δὲ καὶ οἱ ἄλλοι ἑρμήνευσαν ἑρμηνευταὶ, καὶ οἱ ἑβδομήκοντα ἐν τῷ ἑξαπλῷ. λέγει δὲ ὅτι λογιστεύων μου τὰς ὁδοὺς, πρὸς τὰ μαρτύριά σου τοὺς ἐμοὺς πόδας κατεύθυνον, καὶ οὐκ εἴων ἐκτρέπεσθαι τῆς πρός σε φερούσης ὁδοῦ. ξ'. 6) Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου. Εὐτρεπῆ γὰρ ἐμαυτὸν πρὸς τὰς τῶν δεινῶν ἐμβολὰς καταστήσας, ἐκ τῆς ἀθρόας προσβολῆς οὐχ ὑπέμεινα ζάλην· οὕτως ὁ θεῖος Δανιὴλ, οὕτως οἱ μακάριοι παῖδες, οὕτως οἱ θαυμάσιοι Μακκαβαῖοι, οὕτως ἅπαντες τοῦ

tota potentia tua. *Miserere mei secundum eloquium tuum.* Non absolute misericordiam concedi postulat, sed consequi misericordiam secundum diuinum oraculum. Hoc dicere potest etiam prudens ægrotus medico, Vt scis, medicinam adhibe, et vt ars præcipit. Hoc etiam prudens mercator gubernatori dicere potest, Secundum legem artis dirige nauem, et vt scientia iubet, guberna. Sic etiam decet nos diuinam misericordiam prædicare: nam qui rogatur, scit misericordiæ modum. Sæpe enim per animaduersionem salutem procurat, et pœna fit benignitas. Sic etiam medicus et secat, et vrit, laboranti sanitatem comparans. Sic etiam nos decet misericordiam petere. Nam aliquando per paupertatem misericordiam impertit, et per ægritudines benignitatem largitur, et secundum medicinæ rationem contrariis contraria curat. 59. *Cogitaui vias tuas, et conuerti pedes meos ad testimonia tua.* Hebræus habet *vias meas*, et sic etiam ceteri interpretes verterunt, et Septuaginta in Hexaplo. Dicit autem, perpendens vias meas, ad testimonia tua pedes meos direxi, nec sinebam, vt ab itinere, quod ad te ducit, deflecterent. 60. *Paratus sum, et non sum turbatus, vt custodiam mandata tua.* Cum enim aduersus rerum tristium impetus paratum me reddidissem, ex inopinata irruptione tempestatem non sum perpessus. Sic diuinus Daniel, sic beati pueri, sic admirabiles illi Maccabæi, sic omnes

1) καὶ. Des. in Cod. 1. 2) Ib. ἀπαγγέλλειν. 3) Ib. παιδείαν. 4) ὑγ. πραγμ. Ib. οἰκείαν πραγματευόμενος σωτηρίαν. 5) Ib. πενίας. 6) Ἡτοιμ. — ἐταράχθην. *H. br.* festinaui nec cunctatus sum.

Saluatoris martyres impiorum impetus vicerunt. Hoc etiam Dominus in sacris euangeliis monet, a) Vigilate, quoniam nescitis qua hora fur veniat. 61. *Funes peccatorum circumplexi sunt me, et legis tuae non sum oblitus.* Insidias siue daemonum, siue hominum, *funes* vocauit, accipiens occasionem similitudinis ex nexu. Sic etiam Esaias, Vae, inquit, b) trahentibus peccata sua quasi funiculo longo. Cum autem hi, ait, funiculi me circumdedissent, diuinae * legis memoriam minime deposui. Deinde recordationis causas docet. 62. *Media nocte surgebam ad confitendum tibi super iudicia iustitiae tuae.* Non modo enim interdiu, verum etiam de nocte, et in ipso medio noctis, in quo maiori cum voluptate somnus hominibus superuenit, te laudare non desistebam, et iustas tuas sententias extollebam. Hoc etiam diuinus apostolus cum Sila fecit. c) Vinctus enim cum Sila, et compedibus alligatus, post verbera et flagella, hymnorum cantilenam cum precibus miscuit, et optimae vigiliae fructus percepit: diuinae enim liberalitatis compotes fuerunt. 63. *Particeps ego sum omnium timentium te, et custodientium mandata tua.* Symmachus pro *particeps*, dixit *coniunctus*, et Syrus, *amicus*. Auersatus enim eos, qui legibus tuis repugnantia elegerunt, socios habui et familiares

σωτῆρος οἱ μάρτυρες, τὰς τῶν 1) δυσσεβῶν ἐνίκησαν προσβολάς. τοῦτο καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις παρεγγυᾷ· γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται. ξα΄. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Τὰς ἐπιβουλὰς, ἤ τοι δαιμόνων, ἤ τοι ἀνθρώπων, σχοινία ἐκάλεσεν· ἐκ τῆς πλοκῆς τὴν ἀφορμὴν λαβὼν τῆς τροπῆς. οὕτω καὶ Ἡσαΐας 2) οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ. τούτων δέ φησι τῶν σχοινίων περιτεθέντων μοι, οὐκ ἀπεσεισάμην τοῦ θείου νόμου τὴν μνήμην. εἶτα διδάσκει καὶ τῆς μνήμης τὰ αἴτια. ξβ΄. Μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Οὐ γὰρ μεθ᾽ ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ 3) κατ᾽ αὐτὸ τῆς νυκτὸς τὸ μεσαίτατον, ἐν ᾧ μετὰ πλείονος ἡδονῆς ὁ ὕπνος τοῖς ἀνθρώποις ἐπέρχεται, ὑμνῶν σε διετέλουν, τὰς δικαίας σου ψήφους ἀνευφήμουν. τοῦτο καὶ ὁ θεῖος ἀπόστολος μετὰ τοῦ Σίλα „4) πεποίηκεν· πεπεδημένος γὰρ σὺν τῷ Σίλα„ καὶ τῇ 5) ποδοκάκῃ προσδεδεμένος μετὰ αἰκίας καὶ μάστιγος, τῇ προσευχῇ τὴν ὑμνῳδίαν ἐκέρασε. καὶ τῆς καλῆς ἀγρυπνίας 6) ἐτρύγησαν τὸν καρπόν· τῆς θείας γὰρ φιλοτιμίας ἀπήλαυσαν. ξγ΄. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ μέτοχος, συνημμένος εἴρηκεν. ὁ δὲ Σύρος, φίλος· ἀποστρεφόμενος γὰρ τοὺς τἀναντία τοῖς σοῖς νόμοις προαιρουμένους, κοινωνοὺς 7) εἶχον καὶ συνήθεις τοὺς

1) δυσσεβῶν. Cod. 1. δαιμόνων. 2) οὐαὶ. Repetitur in Cod. 1. 3) Cod. 1. κατὰ τ᾽ αὐτό. 4) Haec quae in Textu graeco desiderabantur, e Cod. 1. suppl. ποδοκ. Cod. 1. ξύλῳ. 6) Cod. 1. ἐτρύγησε. 7) Ib. ἔχω.

a) Matth. 24, 42. b) Es. 5, 18. c) Act. 16, 25.

τοὺς τὸν „1) σὸν „ φόβον περὶ πολλοῦ ποιουμένους, καὶ βιωτεύειν ἐννόμως προαιρουμένους. 2) τοῦτο καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ, ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός. ξδ'. Τοῦ ἐλέους σου Κύριε πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με. Ἐπὶ πάντας, φησὶ, πλουσίως ἐκχέεις τὰς τοῦ ἐλέους πηγὰς, καὶ ἀνατέλλεις τὸν ἥλιόν 3) σου ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχεις ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ οὐκ ἐπάγεις τὴν ὀργὴν καθ' ἑκάστην ἡμέραν, ἀλλὰ φέρεις 4) μακροθύμως τοὺς μὲν γάμους διορύττοντας ἀλλοτρίους, τοὺς δὲ αἵματι μαινομένους ἀδίκῳ· ἄλλους δὲ σφετεριζομένους τὰ μὴ προσήκοντα. τοὺς δὲ βλασφημίαις τὴν γλῶτταν μολύνοντας, καὶ τοὺς ἄλλους ἄλλο τι τῶν παρανόμων τολμῶντας. τοσαύτῃ τοίνυν φιλανθρωπίᾳ χρώμενος, κἀμὲ ταύτης ἀξίωσον, Δέσποτα, τῶν σῶν μοι δικαιωμάτων παρέχων τὴν γνῶσιν. ξε'. Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου Κύριε, κατὰ τὸν λόγον σου. Πεῖραν τῆς σῆς ἔλαβον ἀγαθότητος· διόπερ αὖθις ταύτης ἀπολαῦσαι παρακαλῶ, καὶ κατὰ τοὺς σοὺς διαβιῶναι νόμους ἀντιβολῶ. ξϛ'. 5) Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. Οἶδεν ὁ προφήτης 6) παιδείας τὸ χρήσιμον· καὶ ὅτι φιλανθρωπίᾳ χρώμενος ὁ Δεσπότης ταύτην ἐπιφέρει τοῖς ἀνθρώποις. οὗ δὴ χάριν ταύτης μεταλαχεῖν ἀξιοῖ. χρηστότητι γὰρ χρώμενος ὁ Θεὸς τὴν παιδείαν ἐπάγει, ἡ δὲ παιδεία τὴν γνῶσιν ἐργάζεται. οὕτω καὶ ὁ προφήτης Ἱερεμίας ἀντιβολεῖ, παίδευσον ἡμᾶς Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ποιή-

eos, qui tuum timorem magni faciebant, quique vitam legitime traducere decreuerunt. Hoc etiam in alio pſalmo dixit, a) Penes me autem valde honorati ſunt amici tui o Deus. 64. *Miſericordia tua Domine plena eſt terra, iuſtificationes tuas doce me.* In omnes, inquit, affatim miſericordiæ fontes profundis, et oriri facis ſolem tuum ſuper bonos et malos, et pluis ſuper iuſtos et iniuſtos: et non quotidie iram inducis, ſed ſuffers patienter tum hos qui nuptias alienas disiungunt, tum hos qui iniuſto ſanguine fœdantur: et alios qui aliena ſibi vindicant, alios qui impiis vocibus linguam maculant, et alios qui aliquid iniqui patrare audent. Tali igitur benignitate vtens, et me hac, o Domine, dignum fac, tuarum iuſtificationum ſcientiam largiens. 65. *Benignitatem exhibuiſti ſeruo tuo, ſecundum verbum tuum.* Tuæ bonitatis periculum feci: propterea rurſus vt hanc conſequar, precor, et vt ſecundum tuas leges viuam, obſecro. 66. *Bonitatem, et diſciplinam, et ſcientiam doce me, quia mandatis tuis credidi.* Nouit propheta caſtigationis vtilitatem, et Dominum benignitate vtendo hanc correptionem hominibus afferre: propterea vt hanc conſequatur petit. Deus enim bonitate vtens caſtigationem * inducit, caſtigatio vero ſcientiam producit. Sic etiam propheta Ieremias precatur, b) Corripe nos Domine: veruntamen in iudicio, et non in furore, ne forte paucos fa-

1) E Cod. 1. ſupp. 2) τοῦτο. Cod. 1. τ' αὐτό. 3) σου. Abeſt a Cod. 1. 4) μακροθ. Deſ. ibid. 5) Χρηστότητα καὶ παιδείαν. *Hebr.* Bonitatem ſenſus. 6) παιδείας. Cod. 1. præm. τῆς.

a) Pſ. 138, 17. b) Ier. 10, 24.

cias nos. Sic etiam ægrotus sanitatem desiderans, et ferri incisionem et cauterium quærit. Deinde docet vnde castigationis vtilitatem cognouerit. 67. *Priusquam humiliarer, ego deliqui: propterea eloquium tuum custodiui.* Ego, ait, mihi ipsi castigationis causa fui. Sententia de pœna iniustitia vacat: peccatum secuta est castigatio, castigationem legum obseruantia: ægrotaui, incisus sum, conualui. 68. *Bonus es tu Domine.* Reuera enim bonus es, et benignus. *Et pro bonitate tua doce me iustificationes tuas.* Idcirco confidenter peto tuarum iustificationum scientiam a te accipere. 69. *Multiplicata est super me iniquitas superborum, ego autem toto corde meo scrutabor mandata tua.* Qui enim superbia vtuntur, omnem insidiarum speciem in me nectunt: veruntamen ad illorum flagitia non exstimulor, tuis mandatis directus. 70. *Coagulatum est sicut lac cor eorum, ego vero legem tuam meditatus sum.* Simile est hoc illi prophetæ dicto, a) Incrassatum est enim cor populi huius, et auribus grauiter audierunt, et oculos suos clauserunt. Simile est etiam illis, quæ in Exodo de Pharaone dicuntur, b) Et induratum est cor Pharaonis. Illi igitur, ait, durum ac renitens habuerunt cor, cum ipsius mollitiem in duritiem con-

σης ἡμᾶς. οὕτω καὶ ἄῤῥωστος ὑγίειαν ποθῶν, καὶ σιδήρου τομὴν, καὶ 1) καυστήρια ἐπιζητεῖ· εἶτα διδάσκει πόθεν 2) ἔγνω τῆς παιδείας τὸ χρήσιμον. ξζʹ. Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα· 3) διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. Ἐγώ φησιν ἐμαυτῷ τὴν παιδείαν προυξένησα. ἀδικίας ἐλευθέρα τῆς τιμωρίας ἡ ψῆφος· τῇ 4) ἁμαρτίᾳ ἠκολούθησεν ἡ παιδεία· τῇ παιδείᾳ, τῶν νόμων ἡ φυλακή. ἠῤῥώστησα, ἐτμήθην, ἐῤῥώσθην. ξηʹ. Χρηστὸς εἶ σὺ 5) Κύριε. Τῷ ὄντι „6) γὰρ„ χρηστὸς ὑπάρχεις καὶ φιλάνθρωπος. 7) Καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου. Διὰ τοῦτο θαῤῥῶν αἰτῶ παρὰ σοῦ λαβεῖν τῶν σῶν δικαιωμάτων τὴν γνῶσιν. ξθʹ. 8) Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου 9) ἐξερευνήσω τὰς ἐντολάς σου. Οἱ μὲν γὰρ ἀλαζονείᾳ χρώμενοι πᾶν εἶδος ἐπιβουλῆς κατ'λύουσι κατ' ἐμοῦ· ἀλλ' ὅμως πρὸς τὴν αὐτῶν 10) παρανομίαν οὐκ ἐρεθίζομαι, ταῖς σαῖς ἐντολαῖς ῥυθμιζόμενος. οʹ. 11) Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. Ἔοικε τοῦτο τῷ προφητικῷ ῥητῷ, ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν. ἔοικε δὲ καὶ τοῖς ἐν τῇ Ἐξόδῳ περὶ τοῦ Φαραὼ 12) εἰρημένοις, καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ. ἐκεῖνοι μὲν οὖν, φησὶν, ἀντίτυπον ἐσχήκασι τὴν καρδίαν, 13) αὐτοὶ τὸ ἁπαλὸν αὐτῆς σκληρὸν εἰργασά-

1) Cod. 1. καυτῆρα. 2) ἔγνω. Ib. εὗρε. 3) διὰ τοῦτο. *Hebr.* nunc autem. 4) ἁμαρτ. Hanc lectionem autoritate Cod. 1. per multauimus cum τιμωρίᾳ, vt habebat prior Editio. 5) Κύριε. Abest a Textu hebr. 6) E Cod. 1. 7) καὶ ἐν τῇ χρ. σου. *Hebr.* et beneficus. 8) Ἐπληθ. — ὑπερηφ. *Hebr.* Nectunt contra me mendacium superbi. 9) ἐξερ. *Hebr.* custodiam. 10) παραν. Cod. 1. ἐπιβουλήν. 11) Ἐτυρ. ὡς γάλα. Ita quoque *Syr.* Sed *Hebr.* Obesum factum est instar adipis. *Symm.* ἐμυαλώθη (*Aqu.* ἐλιπάνθη) ὡς στέαρ. 12) εἰρημ. — Φαραώ. Des. in Cod. 1. 13) Cod. 1. αὐτῶν, Commate ad hanc, non ad præced. vocem adposito.

a) Es. 6, 10. Matth. 13, 15. b) Exod. 7, 13.

ασάμενοι, καὶ καθάπερ γάλα πήξαν-
ες, καὶ τυρώσαντες· ἐγὼ δὲ τῇ μελέτῃ
τοῦ νόμου 1) σου προστέτηκα. οά. Ἀγα-
θόν μοι ὅτι 2) ἐταπείνωσάς με, ὅπως ἂν
μάθω τὰ δικαιώματά σου. Χάριν ὁ
προφήτης ὁμολογεῖ, τοῖς αὐστηροτέροις
τοῦ ἰατροῦ φαρμάκοις, τὴν ἐντεῦθεν γε-
νομένην καταμαθὼν ὑγίειαν. οβ'. Ἀγα-
θός μοι ὁ νόμος τοῦ στόματός σου, ὑπὲρ
χιλιάδας χρυσίου καὶ ἀργυρίου. Εἰ
γὰρ καὶ τῆς βασιλείας 3) ἀπὸ τοῦ παι-
δὸς ἐξηλάθην, ἀλλὰ διὰ τῆς παιδείας τὸν
σὸν νόμον ἀνεκτησάμην, ὃν 4) τοῦ πλού-
του παντὸς τιμιώτερον ἔχω. ογ'. Αἱ χεῖ-
ρές σου ἐποίησάν με, καὶ ἔπλασάν με· συνέ-
τισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.
Τῆς περὶ τὴν ἀνθρωπείαν φύσιν φιλο-
στοργίας ἀναμιμνήσκει τὸν ποιητήν. λό-
γῳ γὰρ ἅπαντα τεκτηνάμενος αὐτὸς
λέγεται διαπλάσαι τῶν ἀνθρώπων τὴν
φύσιν, οὐ χερσὶ χρησάμενος, ἀσώματος
γάρ· ἀλλὰ τὴν πλείονα περὶ τόδε τὸ
ποίημα διάθεσιν ἐνδειξάμενος. ἱκετεύει
τοίνυν τὸν διαπλάσαντα χορηγῆσαι τῷ
ποιήματι σύνεσιν. οδ'. Οἱ φοβούμενοί σε
ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς
τοὺς λόγους σου ἐπήλπισα. Πρόφα-
σίς φησιν εὐφροσύνης τοῖς εὐσεβέσι γενή-
σομαι, ἐλπίσας εἰς σὲ, καὶ κατάλληλον
εὑρὼν τῇ ἐλπίδι τὸ τέλος. οε'. Ἔγνων
Κύριε ὅτι δικαιοσύνη τὰ κρίματά σου,
καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Ταῦτα
5) διαφερόντως λέγει τὴν οἰκείαν εὐγνω-
μοσύνην δεικνύς. οἶδά φησιν ἀκριβῶς, ὡς
ὀρθῶς με καὶ δικαίως κατεψηφίσω, καὶ
ταῖς παντοδαπαῖς 6) περιέβαλες συμ-
φοραῖς. οϛ'. Γενηθήτω 7) δὲ τὸ ἔλεός

uerterint, et veluti lac firmauerint, et coagulauerint: ego vero legis tuae meditationi adhaesi. 71. *Bonum mihi, quia humiliasti me, vt discam iustificationes tuas.* Gratias agit propheta ob seuera medici remedia, sanitatem agnoscens, quae inde processit. 72. *Melior est mihi lex oris tui, quam millia auri et argenti.* Etsi enim per filium a regno exactus sum, tamen per animaduersionem legem tuam suscepi, quae quibuslibet diuitiis mihi antiquior est. *a*) 73. *Manus tuae fecerunt me, et formauerunt me: da mihi intellectum, et discam mandata tua.* * Amoris erga naturam humanam creatori memoriam refricat. Nam cum verbo omnia crearit, ipse dicitur hominum naturam finxisse, non manibus vsus, incorporeus enim est, sed maiorem affectum erga hoc opus ostendens. Precatur igitur eum qui formauit, vt operi det prudentiam. 74. *Qui timent te, videbunt me et gaudebunt, quia in verbis tuis spem posui.* Causam laetitiae, inquit, piis hominibus praebebo, cum in te spem collocauerim, et respondentem spei finem nactus fuerim. 75. *Cognoui Domine, quod aequitas sint iudicia tua, et veritate tua humiliaveris me.* Haec praecipue dicit, vt gratum animum suum ostendat. Bene, ait, noui, te et recte et iuste me condemnasse, et variis calamitatibus me oppressisse. 76. *Fiat misericordia*

Hhh 5 *tua,*

1) σου. Abest a Cod. 1. 2) ἐταπ. μέ. *Hebr.* quod afflictus sim. *Symm.* ὅτι ἐκακώθην. 3) Cod. 1. ὑπό. 4) τοῦ. Ib. πρὸ τούτου. 5) Cod. 1. διαφόρως. 6) περιέβαλες. Ib. praem. μέ. 7) Cod. 1. δὴ, quae est rec. lectio h. l.

a) STATIO II. Vid. p. 1436.

tua, vt consoletur me. Sed deinceps benignitatis et consolationis est tempus. *Secundum verbum tuum seruo tuo (elatum).* Nam his, qui pœnitentia vtuntur, tuam beneuolentiam promisisti. Hoc etiam per Esaiam dixit, *a*) Cum autem reuersus fueris, et ingemueris, tunc saluaberis. Et per Ieremiam clamat, *b*) Conuertimini ad me, et ego conuertar ad vos. 77. *Veniant mihi miserationes tuæ, et viuam, quia lex tua meditatio mea est.* Mortuum se ipsum existimat, diuina beneuolentia priuatum: idcirco vt quasi reuiuiscat per diuinam benignitatem precatur. 78. *Confundantur superbi, quia iniquitatem fecerunt contra me, ego autem meditabor mandata tua.* Non hostibus imprecatur, sed pro eis preces fundit, quandoquidem pudor salutem procurat. Quam igitur medicinam consecutus est, vt illi etiam consequantur postulat. 79. *Conuertantur ad me timentes te, et qui nouerunt testimonia tua.* Vt longissime a iustorum choro propter peccatum positus, et omnibus ei, non secus ac ipse Deus, offensis, precatur, vt rursus cum illis in gratiam redeat, et familiaritatem renouet. Hoc enim Symmachus apertius dixit, Conuertant me, qui timent te. 80. *Fiat cor meum immaculatum in iustificationibus tuis, vt non confundar.* * Cor ab omni reprehensione liberum habere desiderat, quandoquidem huiusmodi cor a pudore liberum est. Propterea

σου 1) Κύριε, τοῦ παρακαλέσαι με. Ἀλλὰ φιλανθρωπίας λοιπὸν καὶ ψυχαγωγίας καιρός. Κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. 2) Τῇ γὰρ μεταμελείᾳ χρωμένοις τὴν σὴν εὐμένειαν ἐπηγγείλω· τοῦτο καὶ διὰ Ἡσαΐου ἔφη· ὅταν 3) ἀποστραφῇς καὶ στενάξῃς, τότε σωθήσῃ. καὶ διὰ τοῦ Ἱερεμίου βοᾷ, ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. οζʹ. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι· ὅτι ὁ νόμος σου μελέτη μου ἐστί. Νεκρὸν ἑαυτὸν ἡγεῖται τῆς θείας 4) ἐστερημένον εὐμενείας· οὗ δὴ χάριν ὥσπερ ἀναβιῶναι διὰ τῆς θείας φιλανθρωπίας παρακαλεῖ. οηʹ. Αἰσχυνθήτωσαν ὑπερήφανοι ὅτι ἀδίκως 5) ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. Οὐκ ἐπαρᾶται τοῖς ἐχθροῖς, ἀλλ᾽ ὑπερεύχεται τούτων· ἡ γὰρ αἰσχύνη σωτηρίαν πραγματεύεται· ἧς τοίνυν ἀπήλαυσεν ἰατρείας, κἀκείνους τυχεῖν ἀξιοῖ. οθʹ. Ἐπιστρεψάτωσάν 6) μοι οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. Ὡς πόρρω τοῦ χοροῦ τῶν δικαίων διὰ τὴν ἁμαρτίαν γενόμενος, καὶ πάντων αὐτῶν τῷ Θεῷ παραπλησίως ἀποστραφέντων, ἱκετεύει πάλιν αὐτοῖς ἑνωθῆναι, καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν ἀπολαβεῖν. τοῦτο γὰρ ὁ 7) Σύμμαχος σαφέστερον παρεδήλωσεν, ἀναστρεψάτωσάν με οἱ φοβούμενοί σε. πʹ. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. Μώμου παντὸς ἐλευθέραν ἔχειν καρδίαν ἐφίεται. ἡ τοιαύτη γὰρ αἰσχύνης ἀπήλλακται· διά τοι τοῦτο καὶ

1) *Κύριε.* Abest a Cod. 1. et a Textu hebr. 2) Cod. 1. *τοῖς.* 3) Ibid. *ἐπιστραφεὶς στενάξεις.* 4) *ἐστερ.* Ib. *ἔρημον*, adscripta tamen altera lectione. 5) *ἠνόμ. εἰς ἐμέ.* *Hebr.* euertunt (s. euertere student) me. 6) Cod. 1. *με*, quæ est rec. lectio. 7) *Σύμμαχος.* Ita quoque *Theodotion*, teste MONTF. in Hexapl. ad h. l.

a) Es. 30, 15. *b*) Ierem. 3, 22.

καὶ εὐθὺς ἀρξάμενος τοῦ ψαλμοῦ τοὺς ἀμώμους ἐμακάρισεν. πα΄. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, 1) ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. Οἱ σφόδρα τὶ ποθοῦντες, καὶ ἐστερημένοι τοῦ ποθουμένου, ἐκλείπειν φασίν. οὕτως οἱ ἄγαν διψῶντες, καὶ σπανίζοντες ὕδατος. οὕτως οἱ τινὰ τῶν γνωρίμων ἐξ ἀποδημίας προσμένοντες, ἱμείροντα μὲν ἀεὶ, καταλήκοντα δὲ τῷ πόθῳ διαμαρτάνοντες· οὕτω καὶ οἱ συμφοραῖς τισὶ προσπαλαίοντες, καὶ τὴν θείαν εὐμένειαν προσμένοντες, ἀναβαλλομένην ταύτην 2) ὁρῶντες ἐκλείπουσιν. πβ΄. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες, πότε παρακαλέσεις με; Λόγιον καὶ ὑπόσχεσις ἡ θεία καλεῖται, καὶ ἡ θεόπνευστος γραφή. ἐκλείπει τοίνυν οὐ μόνον ὁ τὴν ὑπόσχεσιν τὴν θείαν ἀναμένων, καὶ τὴν λύσιν τῶν ἐπικειμένων κακῶν προσδεχόμενος· ἀλλὰ καὶ ὁ τοῖς θείοις ἐντυγχάνων λογίοις, καὶ τὴν τούτων διάνοιαν καταμαθεῖν ἀκριβῶς ἐφιέμενος· καὶ παράκλησιν καὶ ψυχαγωγίαν ὑπολαμβάνει τὴν εὕρεσιν. πγ΄. Ὅτι ἐγενήθην ὡς ἀσκὸς 3) ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ὁ ἀσκὸς θερμαινόμενος 4) χαυνοῦται, καὶ φυσώμενος ἐξογκοῦται· ἐν δὲ τῇ πάχνῃ σκληρύνεται καὶ πήγνυται· 5) οὕτω καὶ τοῦ σώματος ἡ φύσις χαυνοῦται μὲν τῇ τρυφῇ, καὶ ἐξογκοῦται, καὶ κατὰ τῆς ψυχῆς ἐξανίσταται· 6) τῆς δὲ ἀσκητικῆς κακουχίας ταπεινοῦται καὶ πιέζεται. καὶ τούτου 7) μάρτυς ὁ Παῦλος βοῶν, ἀλλ᾽ 8) ὑποπιέζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. τοι γάρ τοι καὶ ὁ προφήτης, ἐπειδὴ διωκόμενος ὑπὸ τοῦ

statim psalmum exordiens, omni reprehensione vacuos beatos esse dixit. *81. Deficit in salutari tuo anima mea, quia in verbis tuis spem posui.* Qui vehementer aliquid desiderant, re desiderata autem carent, dicuntur deficere. Similiter qui valde sitiunt, et aqua carent. Similiter qui aliquem domesticum ex peregrinatione exspectant, desiderant quidem semper: desiderii vero non compotes facti, mœrore conficiuntur. Similiter etiam illi, qui cum calamitatibus quibusdam colluctantur, et diuinam beneuolentiam exspectant, dum hanc procrastinatam vident deficiunt. *82. Defecerunt oculi mei in eloquio tuo, dicentes, quando consolaberis me?* Eloquium et promissio diuina vocatur, et scriptura diuinitus inspirata. Deficit igitur non modo qui diuinam promissionem, et liberationem ab imminentibus malis exspectat, sed etiam qui diuina oracula lectitat, horumque sensum sedulo discere desiderat, et putat, horum inuentionem esse sibi consolationem, et animi oblectationem. *83. Quia factus sum sicut vter in pruina, iustificationum tuarum non sum oblitus.* Vter calefactus mollitur, et tumefactus extenditur: in pruina vero obdurescit, et contrahitur. Sic etiam corporis natura, mollitur quidem per delitias, et extenditur, et contra animam assurgit: afflictione vero exercitationis deprimitur, et premitur. Et huius rei testis est apostolus exclamans, a) Castigo corpus meum, et in seruitutem redigo, ne cum aliis prædicauerim, ipse reprobus efficiar. Hinc propheta, cum a Saule

1) ὅτι. Abest a Cod. 1. 2) ὁρῶντες. Des. ibid. 3) ἐν πάχνῃ. *Hebr.* in fumo. 4) χαυν. καὶ φυσ. Des. in Cod. 1. 5) οὕτω. Cod. 1. τοῦτο. 6) Ibid. τῇ. 7) μάρτυς. Ibid. sequ. αὐτός. 8) Cod. 1. ὑπωπιάζω, quæ est rec. lectio l. c.
a) 1 Cor. 9, 27.

Saule persecutionem pateretur, affectibus superior erat: cum vero pace potitus esset, per delitiarum stimulos læsus est: cum autem corpus depressisset, diuinarum legum memoriam renouavit. *84. Quot sunt dies serui tui, quando exercebis contra persequentes me iudicium?* Breue, ait, humanæ vitæ est tempus. Dies enim annorum nostrorum in ipsis septuaginta anni. Quando igitur ius mihi reddes, et ab inimicis me liberabis? * *85. Narrauerunt mihi iniqui fabulationes, sed non vt lex tua Domine.* Prophetæ quidem vt inimicos necaret consuluerunt: ipse vero diuinæ legi obtemperans, diuinam sententiam exspectauit. Verum nobis etiam horum oraculorum doctrina vtilissima est. Decet enim nos fugere non modo gentilium fabulas, Iudæorumque perfidiam, sed etiam hæreticorum impia dogmata. *86. Omnia mandata tua veritas.* Propterea enim tuam legem eligo, quoniam omnia tua mandata veritate ornata cerno. *Inique persecuti sunt me, adiuua me. 87. Parum abfuit quin consummarent me in terra: ego autem non dereliqui mandata tua.* Multa, inquit, est iniquitas, hostiumque potentia: etenim ipsa propemodum vita me priuarunt. *88. Secundum misericordiam tuam viuifica me, et custodiam testimonia oris tui.* Humilitate sermonem ornauit. Non enim vitam pro iustitiæ remuneratione petiit: sed vt instar muneris ex misericordia ipsam accipiat obsecrauit, sese obseruaturum promittens Dei testimonia. *89. In æternum, Domine, verbum tuum permanet in*

Σαοὺλ, κρείττων ἦν τῶν παθῶν· εἰρήνης δὲ ἀπολαύσας, τοῖς ἀπὸ τῆς τρυφῆς ἐβλάβη σκιρτήμασι, ταπεινώσας τὸ σῶμα, τῶν θείων νόμων τὴν μνήμην ἀνενεώσατο. πδ'. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν. Ὀλίγος, φησὶν, τῆς ἀνθρωπίνης φύσεως ὁ χρόνος· αἱ γὰρ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· πότε τοίνυν μοι δικάσεις, καὶ τῶν δυσμενῶν ἀπαλλάξεις; πε'. 1) Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου 2) Κύριε. Τῷ μὲν προφήτῃ τοὺς ἐχθροὺς ἀνελεῖν συνεβούλευσαν· αὐτὸς δὲ τῷ θείῳ νόμῳ πειθόμενος, τὴν θείαν ψῆφον ἀνέμενεν. ἀλλὰ καὶ ἡμῖν τῶν λογίων τούτων διδασκαλία χρησιμωτάτη. προσήκει γὰρ φυγεῖν οὐ μόνον τοὺς Ἑλλήνων μύθους, καὶ τὴν Ἰουδαίων ἀπιστίαν, ἀλλὰ καὶ τῶν αἱρετικῶν τὰ βλάσφημα 3) δόγματα. πς'. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. Διὰ τοῦτο γάρ σου προαιροῦμαι τὸν νόμον, ἐπειδὴ πάσας σου τὰς ἐντολὰς ἀληθείᾳ κοσμουμένας ὁρῶ. Ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. πζ'. Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ· ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Πολλή φησιν 4) ἡ ἀδικία, καὶ ἡ δυναστεία τῶν δυσμενῶν. καὶ αὐτῆς γάρ με μικροῦ δεῖν ἐστέρησαν τῆς ζωῆς. πη'. Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. Ταπεινοφροσύνῃ τὸν λόγον ἐκόσμησεν. οὐ γὰρ τῆς δικαιοσύνης ἀντίδοσιν ᾔτησε τὴν ζωὴν, ἀλλὰ δῶρον ἐλέου ταύτην λαβεῖν ἠντιβόλησε, φυλάττειν ὑποσχόμενος τοῦ Θεοῦ τὰ μαρτύρια. πθ'. Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρα-

1) Διηγ. — ἀδολ. *Hebr.* Foderunt mihi superbi foueas. *Symm.* ὑπώρυξάν μοι ὑπερήφανοι ὑπόγεια. 2) Κύριε. Abest a Textu hebr. 3) δόγματα. Cod. 1. τόματα, adscripta tamen altera lectione. 4) ἡ. Cod. 1. præm. καί.

οὐρανῷ. Πάντα γάρ φησι ῥάδιά σοι τῷ Δεσπότῃ καὶ δυνατά. τὸ πρόσταγμα γὰρ τὸ σὸν ἀκίνητα φυλάττει τῶν οὐρανῶν τὰ κύτη. 1) τοῦτο δὲ καὶ τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ ὀγδόῳ ἔφη ψαλμῷ· ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. αἰνίττεται δὲ κατὰ ταυτὸν, ὡς τῶν ἀγγέλων οἱ δῆμοι τὸν οὐρανὸν κατοικοῦντες τὸν θεῖον διαφυλάττουσι νόμον, καὶ παραβάσεως εἰσὶν ἁπάσης ἐλεύθεροι. ϟ'. Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου. Ταύτην γὰρ καὶ τῇ τῶν Ἰουδαίων ἐφύλαξας γενεᾷ, καὶ τῇ ἑτέρᾳ τῇ μετ' 2) ἐκείνην γεγενημένῃ· λέγει δὲ τὸν ἐξ ἐθνῶν λαὸν, τὸν διὰ τοῦ σωτῆρος ἡμῶν 3) Ἰησοῦ Χριστοῦ τῆς σωτηρίας τετυχηκότα. Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει. ϟα'. Τῇ διατάξει σου διαμένει ἡ ἡμέρα. Ἔδωκας τῇ γῇ τὸ ἐπιπλεῖστον διαρκὲς, καὶ μεμένηκεν ὡς προσέταξας· διώρισας ἀπὸ τῆς νυκτὸς τὴν ἡμέραν, καὶ κατὰ τοὺς σοὺς ὁδεύει νόμους. Ὅτι τὰ σύμπαντα δοῦλα σά. Πάντα γάρ σοι δουλεύει, καὶ τοῖς σοῖς νεύμασιν 4) εἴκει· σὺ γὰρ 5) ὁ δημιουργὸς τῶν ὅλων. ϟβ'. Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστὶ, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. Ταῦτα ἕκαστος εἴποι ἂν τῶν εὐσεβῶν περιπεσὼν συμφοραῖς· καὶ Ἰωσὴφ δουλείαν, 6) μοιχείαν, καὶ συκοφαντίαν φυγών· καὶ Δανιὴλ εὔξασθαι κωλυθείς· καὶ οἱ τρεῖς 7) ἐκεῖνοι προσκυνῆσαι καταναγκαζόμενοι τὴν εἰκόνα· καὶ οἱ νικηφόροι μάρτυρες παντοδαπῆς τιμωρίας ὑπομείναντες εἴδη. εἰκότως δὲ ταῦτα ἔφη ὁ μακάριος Δαβίδ, ἐξελαθεὶς μὲν ὑπὸ τοῦ Σαοὺλ, ἀλλοφύλοις δὲ καὶ δυσσεβέσιν ἀν-

cælo. Omnia enim, inquit, tibi Domino facilia sunt, atque possibilia: mandatum enim tuum immobiles cælorum ambitus custodiunt. Hoc autem et in centesimo quadragesimo octauo ait psalmo, a) Statuit ea in æternum, et in seculum seculi: præceptum posuit, et non præteribit. Innuit autem pariter, Angelorum cœtus cælos incolentes diuinam custodire legem, et ab omni transgressione immunes esse. 90. *Per generationem et generationem veritas tua.* Hanc enim Iudæorum genti conseruasti, et alteri, quæ post illam fuit. Dicit autem populum ex gentibus, qui per saluatorem nostrum Christum salutem adeptus est. *Fundasti terram, et permanet.* 91. *Ordinatione tua perseuerat dies.* Dedisti terræ stabilitatem in longissimum tempus, et perstitit vt iussisti. Diem a nocte seiunxisti, et secundum tuas leges progreditur. *Quoniam omnia seruiunt tibi.* Omnia enim * tibi seruiunt, tuisque nutibus obtemperant: tu enim omnium opifex es. 92. *Nisi lex tua meditatio mea esset, tunc forte periissem in humilitate mea.* Hæc pius quisque, cum in calamitates incidit, dicere potest: et Ioseph seruitutem, adulterium, et calumniam fugiens, et Daniel ne precaretur prohibitus, et tres illi, qui imaginem venerari cogebantur, triumphatoresque martyres, qui omnia suppliciorum genera perpessi sunt. Merito autem hæc ait beatus Dauid, cum a Saule exactus esset, et cum Allophylis ac impiis

1) τοῦτο. Cod. 1. τὸ αὐτό. 2) Ib. ἐκείνους. 3) Ἰησοῦ. Abest a Cod. 1. 4) εἴκει. Cod. 1. ἥκει. 5) ὁ. Ib. εἶ. 6) μοιχ. Ib. præm. καί. 7) ἐκεῖνοι. Ib. sequ. παῖδες.

a) Ps.148, 6.

impiis hominibus simul viuere coactus. Particeps enim impietatis fuisset, nisi diuinarum legum meditationem secum circumtulisset. 93. *In aeternum non obliuiscar iustificationum tuarum, quia per illas viuificasti me.* Cum enim rerum vsu didicerim, tuas iustificationes vitam producere, perennem earum memoriam conseruabo. 94. *Tuus sum ego, saluum me fac, quoniam iustificationes tuas exquisiui.* Non omnes hac voce vti possumus: peccati enim seruus mentitur, cum se Dei seruum nominat; a quo enim quisque deuictus est, illi seruus est. Si igitur ab illo peccato liberati, diuinas sequamur leges, hac poterimus vti voce. 95. *Me sustinuerunt peccatores vt perderent me, testimonia tua intellexi.* Pro *sustinuerunt*, Symmachus et Theodotion dixerunt *exspectauerunt.* Illi quidem me morte mulctare sperarunt: ego vero ad tua testimonia attendens, hinc vitam percipiebam. 96. *Omnis consummationis vidi finem, valde amplum est mandatum tuum.* Symmachus autem sic, Omnis structurae vidi finem, amplum mandatum tuum valde. Omnia, inquit, humana, et diuitiae, et opum copia, et potentia, et ducatus, et militares praefecturae, tyrannides et regna finem habent, et finem celerrimum: tuum vero mandatum amplum est, et immortale, et custodientibus perennem et aeternam vitam conciliat, et bona, quae nullam vicissitudinem admittunt. 97. *Quomodo dilexi legem tuam Domine! toto die meditatio mea est.* * Non omnis qui diuinam legem implet, amore ductus il-

θρώποις συνδιάγειν ἀναγκαζόμενος. ἐκοινώνησε γὰρ ἂν τῆς ἀσεβείας, εἰ μὴ τῶν θείων νόμων συμπεριέφερε τὴν μελέτην. ϟγ´. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με. Τῇ πείρᾳ γὰρ μαθὼν, ὅτι ζωὴν τὰ σὰ δικαιώματα φύει, ἄσβεστον τούτων διατηρήσω τὴν μνήμην. ϟδ´. Σός εἰμι ἐγὼ, σῶσόν με· ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Οὐ πάντες ταύτῃ κεχρῆσθαι δυνάμεθα τῇ φωνῇ· ψεύδεται γὰρ τῆς ἁμαρτίας ὢν ὁ δοῦλος τοῦ Θεοῦ ἑαυτὸν ὀνομάζων· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. ἐὰν τοίνυν ἐκείνης ἀπαλλαγέντες, τοὺς θείους προελώμεθα νόμους, ταύτῃ κεχρῆσθαι δυνάμεθα τῇ φωνῇ. ϟε´. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα. 1) Τὸ ὑπέμειναν, προσεδόκησαν ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων 2) εἰρήκασιν. ἐκεῖνοι μὲν ἤλπισάν με παραδοῦναι θανάτῳ· ἐγὼ δὲ τοῖς σοῖς προσέχων μαρτυρίοις τὴν ἐντεῦθεν 3) ἐκαρπούμην ζωήν. ϟϛ´. Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα. Ὁ δὲ Σύμμαχος οὕτως· πάσης κατασκευῆς εἶδον πέρας, εὐρύχωρος ἡ ἐντολή σου σφόδρα. πάντα, φησὶ, τὰ ἀνθρώπεια, καὶ πλοῦτος, καὶ περιουσία, καὶ δυναστεία, καὶ ἡγεμονίαι, καὶ στρατηγίαι, τυραννίδες καὶ βασιλεῖαι, τέλος ἔχουσι, καὶ τέλος ταχύ· ἡ δὲ σὴ ἐντολὴ πλατεῖά ἐστι, καὶ ἀνώλεθρος, καὶ τοῖς φυλάττουσι προξενεῖ τὸν ἀπέραντον ἐκεῖνον καὶ αἰώνιον βίον, καὶ τὰ ἀγαθὰ μεταβολὴν οὐδεμίαν δεχόμενα. ϟζ´. Ὡς ἠγάπησα τὸν νόμον σου 4) Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν. Οὐ πᾶς τὸν θεῖον νόμον πληρῶν ἀγαπῶν

1) Τὸ — ζωήν. Haec *Theodoro* tribuuntur apud CORD. l. c. p. 450. 2) Cod. I. εἰρήκασιν. 3) Ib. ἐκαρπωσάμην. 4) Κύριε. Abest a Textu hebr.

πῶν τοῦτον πληροῖ, ἀλλὰ οἱ μὲν δέει καὶ φόβῳ τῆς τιμωρίας, οἱ δὲ δόξαν τὴν παρὰ ἀνθρώπων θηρώμενοι. οἱ δὲ γνήσιοι τῆς ἀρετῆς ἐρασαὶ τῇ περὶ τὰ ἀγαθὰ διαθέσει πληροῦν ἐπείγονται τὰ θεῖα προστάγματα. צח. Ὑπὲρ τοὺς ἐχθροὺς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα 1) ἐμοί ἐστιν. 2) Θερμῶς τὸν θεῖον ἀγαπῶν ὁ προφήτης ὁμολογήσας νόμον, τῇ θείᾳ χάριτι τὸ πᾶν ἀνατίθησι. παρὰ σοῦ γάρ φησι σοφίαν καὶ γνῶσιν δεξάμενος, τὸν σὸν ἔστερξα νόμον· πλείονα γάρ μοι τῶν ἐχθρῶν εἴδησιν ἔδωκας. διὸ οἱ μὲν ἀνελεῖν με σπουδάζουσιν, ἐγὼ δὲ οὐδὲ ἀμύνασθαι τοὺς ἀδικοῦντας ἀνέχομαι. τὸ γὰρ αἰώνιον τῆς ἀρετῆς φαντάζομαι κέρδος. צט. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι μαρτύριά σου μελέτη μου ἐστίν. ρ΄. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου 3) ἐξεζήτησα. Βασιλέων ἴδιον τὸ διδάσκειν, τὸ δὲ διδάσκεσθαι, τῶν ἀρχομένων. ἐβασίλευσεν ὁ Σαοὺλ, πρεσβύτερος ἦν καὶ τῷ χρόνῳ. ἀλλ᾽ ὅμως οὔτε ἡ ἐξουσία τῆς βασιλείας, οὔτε τῆς ἡλικίας ὁ χρόνος, σωφρονεῖν αὐτὸν παρεσκεύαζεν, ἀλλὰ τὸν εὐεργέτην ἀνελεῖν ἐπεθύμει. ὁ δὲ μέγας Δαυὶδ, τοῖς ὑπηκόοις ἔτι συντεταγμένος, καὶ νέαν ἄγων τὴν ἡλικίαν, τὴν φιλοσοφίαν ἠγάπησε, καὶ οὔτε ἄρξαι χειρῶν ἀδίκων ἠνέσχετο, οὔτε τοὺς ἀδικοῦντας ἀμύνασθαι. ρα΄. Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Οὔτε γὰρ δυνατὸν δύο κατὰ ταὐτὸν ὁδεύειν ὁδοὺς, ἀκολασίας καὶ σωφροσύνης, δικαιοσύνης καὶ ἀδικίας· ἀλλὰ δεῖ τὰς ἐναντίας φυγεῖν, καὶ τὴν 4) εὐθεῖαν

lam implet: sed alii quidem timore, et formidine pœnæ, alii vero hominum gloriam aucupantes. Sinceri vero virtutis amatores ob affectum erga res bonas diuina mandata implere festinant. 98. *Præ inimicis meis prudentem me fecisti mandato tuo, quoniam in æternum mihi est.* Cum propheta ardentissimo studio diuinam legem se diligere confessus esset, diuinæ gratiæ omnia adscribit. Cum enim a te, inquit, sapientiam et scientiam accepissem, tuam adamaui legem: maiorem enim mihi, quam hostibus, scientiam largitus es. Propterea illi me necare student: ego vero nec inimicos vlcisci volo, sempiternum virtutis lucrum perpendens. 99. *Præ omnibus docentibus me intellexi, quia testimonia tua meditatio mea sunt.* 100. *Præ senibus intellexi, quia mandata tua quæsiui.* Proprium est regum docere, subditorum vero discere. Regnauit Saul, senior etiam tempore erat: sed neque regni potestas, neque ætatis tempus, vt ipse saperet, fecit, sed beneficii auctorem perdere concupiscebat. Magnus autem Dauid, inter subditos adhuc viuens, et iuuenilem ætatem agens, patientiam adamauit, et nec prior alicui iniuriam inferre voluit, neque iniuria afficientes vlcisci. 101. *Ab omni via mala probibui pedes meos, vt custodiam verba tua.* Neque enim fieri potest vt eodem tempore duas teneamus vias, incontinentiæ et temperantiæ, iustitiæ et iniustitiæ: sed oportet contrarias fugere, et rectam

1) Rec. lectio h. l. est ἐμή. 2) Θερμῶς — κέρδος. Hæc ἀνωνύμως exhibet CORD. l. c. p. 459. 3) ἐξεζ. *Hebr.* custodiui. *Aqu.* et *Symm.* διετήρησα. *Reliqui* ἐφύλαξα. 4) Cod. 1. θείαν.

rectam ambulare: nam hoc pacto fieri poterit, vt diuinorum præceptorum custodes simus. 102. *A iudiciis tuis non declinaui, quia tu legem posuisti mihi.* Cum enim te harum rerum legislatorem nouerim, cum omni studio ea amplexus sum. 103. *Quam dulcia faucibus meis eloquia tua, præ melle ori meo.* Non enim mellis dulcedo oris mei sensum tanta dulcedine perfundit, quam tuorum oraculorum meditatio meam lætificat animam. *Guttur* enim posuit, tanquam vocis instrumentum: per vocem vero meditatio fit. His vero anima vtens, * hinc vtilitatem percipit. * 104. *Per mandata tua intelligens factus sum: propterea odiui omnem viam iniquitatis.* Intelligens enim quæ tibi placent, auersatus sum omnes iniquitatis species. 105. *Lucerna pedibus meis lex tua, et lumen semitis meis.* Non enim in tenebris ambulo, veluti quadam lucerna, lege tua illustratus. Sciendum est, legem quidem *lucernam* esse nominatam, Saluatorem vero et Dominum nostrum *iustitiæ solem.* Nam illa quidem, vt lucerna, vix vnam illuminauit gentem: hic vero totum terrarum orbem illustrauit. Sic diuinum Ioannem Dominus Christus lucernam vocauit, quæ cum adhuc nox esset Iudæis apparuit: a) postea vero, lux vera, quæ illuminat omnem hominem venientem in hunc mundum, illuxit. Et sacros apostolos *lucem* etiam appellauit, tanquam illius luminis participes, et omnes homines doctrina sua illustrantes. 106. *Iuraui, et statui*

ὁδεῦσαι. οὕτω γὰρ οἷόν τε γίνεσθαι τῶν θείων φύλακας λογίων. ρβ΄. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ 1) ἐνομοθέτησάς με. Σὲ γὰρ τούτων ἐπιστάμενος νομοθέτην, μετὰ πάσης αὐτὰ διαθέσεως ἠσπαζόμην. ργ΄. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. Οὐ γὰρ οὕτως ἡδύνει μου τὴν τοῦ στόματος αἴσθησιν ἡ γλυκύτης τοῦ μέλιτος, ὡς εὐφραίνει μου τὴν ψυχὴν ἡ τῶν σῶν λογίων μελέτη. τὸν γὰρ λάρυγγα τέθεικεν, ὡς ὄργανον ὄντα φωνῆς· διὰ φωνῆς δὲ ἡ μελέτη. τούτοις δὲ ἡ ψυχὴ κεχρημένη τὴν ἐντεῦθεν ὠφέλειαν καρποῦται. ρδ΄. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Συνεὶς γὰρ τίσιν 2) ἀρέσκῃ, ἀπεστράφην ἅπαντα τῆς κακίας τὰ εἴδη. ρε΄. Λύχνος τοῖς ποσί μου 3) ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Οὐ γὰρ ἐν σκότει βαδίζω, οἷόν τινι λύχνῳ τῷ σῷ φωτιζόμενος νόμῳ· εἰδέναι μέντοι χρὴ, ὡς ὁ μὲν νόμος λύχνος ὠνόμασται, ὁ δὲ σωτὴρ καὶ Κύριος ἡμῶν δικαιοσύνης ἥλιος. ὁ μὲν γὰρ οἷα δὴ λύχνος μόγις ἓν 4) κατηύγασεν ἔθνος· ὁ δὲ πᾶσαν τὴν οἰκουμένην ἐφώτισεν. οὕτω καὶ τὸν θεσπέσιον Ἰωάννην λύχνον προσηγόρευσεν ὁ Δεσπότης Χριστὸς, ἔτι νυκτὸς οὔσης ἐπιφανέντα τοῖς Ἰουδαίοις. 5) ἔπειτα δὲ τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀνέτειλεν. καὶ τοὺς ἱεροὺς ἀποστόλους φῶς προσηγόρευσεν, ὡς ἐκείνου τοῦ φωτὸς μετειληφότας, καὶ πάντας ἀνθρώπους φωτίσαντας 6) διὰ τῆς αὐτῶν διδαχῆς. ρς΄. Ὤμοσα, 7) καὶ ἔστησα τοῦ

1) ἐνομοθ. με. *Hebr.* docuisti me. 2) ἀρέσκῃ. Hanc lectionem Codex 1. suppeditauit. Prior editio habebat ἀρέσκει. 3) ὁ νόμος σου. *Hebr.* verba tua. 4) κατηύγ. ἔθνος. Des. in Cod. 1. 5) ἔπειτα. Ib. ἐπειδή. 6) διὰ — διδαχῆς. Des. ibid. 7) καὶ ἔστησα. *Hebr.* et confirmabo s. præstabo (quod iuraui).

a) Ioh. 1, 5-8.

τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. Τὴν βεβαίαν τῆς ψυχῆς κρίσιν ὅρκον ὠνόμασεν, ἐπειδὴ ὅρκῳ βεβαιοῦται τῶν πραγμάτων τὰ πλεῖστα. ρζʹ. Ἐταπεινώθην ἕως σφόδρα Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου. Οὐχ ἁπλῶς ἔφη τεταπεινῶσθαι, ἀλλὰ σφόδρα τεταπεινῶσθαι· καὶ ταῦτα βασιλεὺς ὢν καὶ προφήτης, καὶ τὴν ἀπὸ τῆς ἀρετῆς παῤῥησίαν ἔχων, καὶ πλούτῳ κομῶν, καὶ τῶν πολεμίων 1) κρατῶν. ἀλλ' οὔτε τῇ σοφίᾳ, οὔτε τῇ ἀνδρείᾳ, οὔτε τῇ δικαιοσύνῃ θαῤῥῆσαι ἠνέσχετο πώποτε· τῆς δὲ θείας ταῦτα χάριτος ὑπελάμβανε δῶρα· καὶ ζωὴν δὲ αἰτῶν 2) δοῦναι δυνάμενον, οὐκ ἀορίστως αἰτεῖ, ἀλλὰ τὴν λογικὴν, τὴν ἔννομον, τὴν τῷ θείῳ νόμῳ λαμπρυνομένην. ρηʹ. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. Τῶν τῆς ἀρετῆς κατορθωμάτων τὰ πλεῖστα μὲν οἱ θεῖοι νόμοι διαγορεύουσιν· ἔνια δὲ καὶ ἡ γνώμη προστίθησιν. οὕτω καὶ τῶν θυσιῶν τὰ μὲν νομικὰ, τὰ δὲ γνωμικά. τὰ μὲν γὰρ περὶ ἁμαρτίας, καὶ πλημμελείας, καὶ περὶ ἀγνοίας, ὁ νόμος προσφέρειν ἐκέλευσεν, καὶ ταῦτα οἷόν τι χρέος ἀπεδίδοτο τῷ Θεῷ, τὰ δὲ τῇ φιλοτιμίᾳ τῆς γνώμης προσφερόμενα, δῶρα προσηγόρευσεν. οὕτω καὶ νῦν, τὴν μὲν σωφροσύνην, καὶ τὴν δικαιοσύνην, οἱ εὐαγγελικοὶ διαγορεύουσι λόγοι· παρθενία δὲ, καὶ μετὰ γάμον ἐγκράτεια, καὶ ἀκτημοσύνη, καὶ μονήρης βίος, καὶ ἡ ἐν ἐρήμοις διαγωγὴ, τῆς γνώμης ἔργα, 3) τοῦ νόμου ὑπερπηδῶντα. τὰ τοιαῦτα τοίνυν ὁ προφήτης ἑκούσια προσηγόρευσεν. ἃ γὰρ οὐχ ὑπόκειται νόμων ἀνάγκῃ, ἀλλὰ φιλοθέου γνώμης ὑπάρχει καρπὸς,

custodire iudicia iustitiæ tuæ. Firmum animæ iudicium *iusiurandum* vocauit, quoniam res vt plurimum iureiurando corroborantur. 107. *Humiliatus sum vsquequaque Domine, viuifica me secundum verbum tuum.* Non simpliciter se humiliatum esse dixit, sed vehementer humiliatum, idque cum rex esset et propheta, et fiduciam a virtute haberet, et diuitiis afflueret, et hostes vinceret. Sed nec sapientiæ, nec fortitudini, nec iustitiæ fidere voluit vnquam: et hæc diuinæ gratiæ dona esse opinabatur. Et vitam ab eo qui eam dare potest efflagitans, non absolute petit, sed rationis compotem, et legi consentaneam, et a diuina lege illustratam. 108. *Voluntaria oris mei accepta habeas Domine, et iudicia tua doce me.* Diuinæ quidem leges plurima virtutis officia iubent, aliqua vero voluntas adiungit. Sic etiam ex sacrificiis aliqua ex legis præscripto, alia vero a voluntate proficiscebantur. Nam illius quidem generis erant, quæ pro peccato, et delicto, et pro inuoluntariis, lex offerre præcepit, quæ et veluti quoddam debitum exsoluebantur Deo: quæ vero ex mentis liberalitate offerebantur, munera appellauit. Sic etiam nunc temperantiam, et iustitiam, euangelici sermones * præcipiunt: virginitas vero, et post nuptias continentia, et paupertas, et solitaria vita, et in deserto commoratio, mentis opera sunt, quæ legem transscendunt. Talia igitur propheta *voluntaria* nuncupauit. Quæ enim legis necessitati non subiiciuntur, sed piæ et religiosæ mentis sunt fructus, iure

1) Cod. I. κατακρατῶν. 2) δοῦναι. Ib. præm. τὴν. 3) Ib. τοὺς νόμους.

iure voluntaria vocantur. 109. *Anima mea in manibus tuis semper, et legis tuae non sum oblitus.* A tua enim prouidentia custoditus, tuarum legum obliuionem abieci. 110. *Posuerunt peccatores laqueum mihi, et a mandatis tuis non aberraui.* Multas variasque et homines et daemones insidias contra me struunt: ego vero tuorum mandatorum iter haud fallax decreui instituere. 111. *Hereditate acquisiui testimonia tua in aeternum, quia exsultatio cordis mei sunt.* Hereditatem sempiternam et tutam tua testimonia esse credens, ob horum possessionem exsulto et laetor. 112. *Inclinaui cor meum ad faciendas iustificationes tuas propter retributionem.* Trutinae simile est animae consilium, mens vero, quae ducis vice fungitur, trutinam tenet. Si igitur piis cogitationibus se applicuerit, necesse est ad meliora lances vergere. Hoc se fecisse dicit propheta, *Inclinaui cor meum ad faciendas iustificationes tuas in aeternum, propter retributionem.* Etenim lucrum, quod hinc percipi solet, cum viderem, volens libensque pro his sudores suscepi. Et docens, quomodo res diuinas elegerit, subiunxit: 113. *Iniquos odio habui, legem vero tuam dilexi.* Cogitationes enim ad delinquendum instigantes abiiciens, tuam legem praetuli. 114. *Adiutor meus, et susceptor meus es tu, et in verbo tuo spem posui.* Hoc vero non absque tua

εἰκότως ἑκούσια προσηγόρευται. ρθ'. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διὰ παντὸς, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Ὑπὸ τῆς σῆς γὰρ προνοίας φρουρούμενος, τὴν λήθην τῶν σῶν ἐξώρισα νόμων. ρι'. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. Πολλὰς καὶ παντοδαπὰς καὶ ἄνθρωποι καὶ δαίμονες ἐπιβουλάς μοι τυρεύουσιν· ἐγὼ δὲ τὴν ἀπλανῆ τῶν σῶν ἐντολῶν πορείαν προειλόμην ὁδεύειν. ρια'. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. Κλῆρον αἰώνιόν τε καὶ ἄσυλον τὰ μαρτύριά σου εἶναι πιστεύων, ἐπὶ τῇ κτήσει τούτων ἀγάλλομαί τε καὶ εὐφραίνομαι. ριβ'. Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα 1) δι' ἀντάμειψιν. 2) Τρυτάνῃ ἔοικε τὸ τῆς ψυχῆς βουλευτήριον· κατέχει δὲ τὴν 3) τρυτάνην ὁ νοῦς ἡγεμονεύειν λαχών. ἐὰν τοίνυν τοῖς εὐσεβέσι προσθῆται λογισμοῖς, ἀνάγκη κλίνειν ἐπὶ τὰ ἀμείνω τὰ ζυγά. τοῦτο δεδρακέναι ὁ προφήτης φησίν· ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. τὸ γὰρ ἐκ τούτων φυόμενον θεασάμενος κέρδος, ἀσπασίως τοὺς ὑπὲρ τούτων 4) ἀνεδεξάμην ἱδρῶτας. καὶ διδάσκων 5) ὅπως τὰ θεῖα προείλετο, ἐπήγαγε· ριγ'. 6) Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. 7) Τοὺς γὰρ παρανομεῖν ὑποτιθεμένους ἀποσεισάμενος λογισμοὺς, τὸν σὸν προτετίμηκα νόμον. ριδ'. 8) Βοηθός μου καὶ ἀντιλήπτωρ μου 9) εἶ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Οὐ δίχα δὲ τοῦτο τῆς σῆς βοη-

1) δι' ἀντάμ. Hebr. עֵקֶב in finem vsque, vt vers. 33. 2) Τρυτ. Cod. I. τούτῳ ἄν. 3) τρυτ. Ib. ἀρετήν. 4) Ib. ἐδεξάμην. 5) Ib. πῶς. 6) Παραν. *Hebr.* inconstantes, i. huc et illuc vagantes animo. 7) Τοὺς — νόμον. *Athanasio* haec tribuit CORD. l. c. p. 475. 8) Βοηθὸς — ἀντιλ. *Hebr.* refugium meum et clipeus meus. 9) εἶ. Cod. I. add. σύ.

βοηθείας κατώρθωσα, ἀλλὰ τῆς σῆς ἀπολαύσας ῥοπῆς, καὶ τῇ σῇ ἐλπίδι τρεφόμενος. ριε'. Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ 1) ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου. Ταῦτά φησι καὶ τοῖς ἀτόποις ἔλεγον λογισμοῖς, καὶ τοῖς τὰ φαῦλα συμβουλεύειν ἐπιχειροῦσιν, ὅτι μηδεμίαν μοι 2) τοιαύτην ὑπατίθεσθε συμβουλήν, ἐμοὶ γὰρ 3) κατὰ τὰς θείας ἐντολὰς προαιρετέα ζωή· οὐχ ἁπλῶς δὲ ταύταις ἀκολουθήσω, ἀλλὰ μετὰ πάσης αὐτὰς ἀκριβείας ἀνερευνήσω· ὥστε μηδέν με τούτων λαθεῖν, ἀλλὰ πάντα πληρῶσαι, ὅσα τῶν ὅλων ὁ Κύριος ἐνετείλατο. ρις'. 4) Ἀντιλαβοῦ μου κατὰ τὸ 5) λόγιόν σου, καὶ 6) ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. Τοῦτον τοίνυν ἔχοντα τὸν σκοπὸν τῆς σῆς προνοίας ἀξίωσον, ἵνα μὴ διαμαρτὼν τῆς ἐλπίδος αἰσχύνης ἀναπλησθῶ· τὸ δὲ λόγιον ἐνταῦθα τὴν ὑπόσχεσιν λέγει, ἀντὶ τοῦ, τὴν ἐπαγγελθεῖσάν μοι παράσχου σωτηρίαν. ριζ'. Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ 7) μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. Καὶ γὰρ 8) τυχεῖν τῆς σωτηρίας τῶν σῶν δικαιωμάτων οὐκ ἀμελήσω, ἀλλὰ διαπαντὸς τὴν τούτων μελέτην ποιήσομαι· μελέτην δὲ λέγει, οὐ τὴν ἐν λόγοις μόνον, ἀλλὰ καὶ τὴν ἐν ἔργοις. ριη'. 9) Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον 10) τὸ ἐνθύμημα αὐτῶν. Ταύτην δὲ περὶ τὰς σὰς ἐντολὰς χήσω τὴν προθυμίαν, ἐπονειδίστους καὶ καταγελάστους γεγενημένους τοὺς τούτων παραβάτας εἰδώς.

ope perfeci, sed cum abs te adiutus essem, tuaque spe alerer. 115. *Declinate a me maligni, et scrutabor mandata Dei mei.* Hæc, inquit, et absurdis meis cogitationibus, et iis qui res improbas mihi consulere conabantur, dicebam, Huiusmodi mihi consilium proponere definite, quoniam vita secundum diuina mandata carior mihi * est. Non simpliciter autem hæc sequar, sed cum omni studio ipsa indagabo: vt nihil horum me lateat, sed omnia perficiam, quæ vniuersorum Dominus præcepit. 116. *Suscipe me secundum eloquium tuum, et viuifica me, et non confundas me ab exspectatione mea.* Hunc igitur cum propositum habeam finem, tua prouidentia me dignare, ne spe mea delusus dedecore implear. *Eloquium* hoc in loco promissionem dicit: quasi dicat, Salutem mihi promissam largire. 117. *Adiuua me, et saluus ero, et meditabor iustificationes tuas in perpetuum.* Etenim tuarum iustificationum salutem consequi haudquaquam negligam, sed semper has meditabor. *Meditationem* vero dicit, non in verbis solum, sed etiam in operibus. 118. *Spreuisti omnes discedentes a iudiciis tuis, quia iniusta cogitatio eorum.* Hanc autem promptitudinem erga tua mandata habebo, cum infames et ridiculos esse factos eos nouerim, qui ea violabant.

1) ἐξερ. *Hebr.* custodiam. 2) τοιαύτην. Cod. I. ταύτην. 3) κατά. Ib. præm. ἡ. 4) Ἀντιλ. μου. *Hebr.* sustenta me. 5) λόγιον. Hanc lectionem, quam Noster in Commentario suo sequitur, auctoritate Cod. I. substituimus pro ἔλεος, vt habebat Editio prior. 6) ζῆσόν με. *Hebr.* viuam. 7) μελετ. *Hebr.* respiciam. 8) Cod. I. τυχών. 9) Ἐξουδ. *Hebr.* conculcasti. 10) τὸ ἐνθ. αὐτῶν. *Hebr.* dolus eorum. *Symm.* δολιότης αὐτῶν.

119. *Praeuaricantes reputaui omnes peccatores terrae: ideo dilexi testimonia tua.* Pro *praeuaricantes* Theodotio dixit *pro nihilo*, Symmachus autem *scoriam*. Hoc autem propheta declarauit, quod pro nihilo habens ipse, non secus ac Deus, transgredientes, omnem promptitudinem ad diuinorum oraculorum obseruationem adhibuerit; quippe qui iacturam nosset, quam peccatum affert. 120. *Confige timore tuo carnes meas: a iudiciis enim tuis timui.* Anima mea, ait, timore tuo induta est. Sed quoniam corpus in hanc consurgit, eiusque membra: obsecro vt timore hoc configatur, vt ipsa membra mortua peccato facta, animam ducem sequantur. Hoc est simile illi apostolico dicto, *a*) Mortificate membra vestra, quae sunt super terra, fornicationem, immunditiem, libidinem, malam concupiscentiam, et auaritiam, quae est idolorum seruitus. Et rursus, *b*) Cum Christo simul crucifixus sum: viuo autem non amplius ego, viuit vero in me Christus. 121. *Feci iudicium et iustitiam, non tradas me calumniantibus me.* * Tuas, inquit, cum sequi decreuerim leges, ne hostibus praeda fiam. Quis vero nunc animae tantam puritatem habet, vt cum fiducia his verbis vtatur? Similia hisce dixit etiam diuinus apostolus, *c*) Nam gloria nostra haec est, testimonium conscientiae nostrae. 122. *Suscipe seruum tuum in*

ριθ΄. 1) Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. Ἀντὶ τοῦ παραβαίνοντας, ὁ μὲν Θεοδοτίων 2) εἰς οὐδὲν εἴρηκεν· ὁ δὲ Σύμμαχος σκωρίαν· ὁ δὲ προφήτης δεδήλωκεν, ὡς ἐξουθενῶν καὶ αὐτὸς τῷ Θεῷ παραπλησίως τοὺς παραβάτας, πᾶσαν προθυμίαν εἰς τὴν ἐκπλήρωσιν τῶν θείων λογίων προσήνεγκεν· ἅτε δὴ τὴν τῆς παρανομίας ζημίαν εἰδώς. ρκ΄. 3) Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. Ἡ ψυχή μου, φησὶ, τὸν σὸν περίκειται φόβον· ἀλλ᾽ ἐπειδὴ τὸ σῶμα κατεξανίσταται ταύτης, καὶ τὰ τούτου μέλη, παρακαλῶ τούτῳ καθηλωθῆναι τῷ φόβῳ· ὥστε αὐτὰ νεκρὰ τῇ ἁμαρτίᾳ γενόμενα, τῇ τῆς ψυχῆς ἀκολουθεῖν ποδηγίᾳ· τοῦτο ἔοικε τῷ ἀποστολικῷ ἐκείνῳ ῥητῷ, νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥ τις ἐστὶν εἰδωλολατρεία· καὶ πάλιν, Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ρκα΄. Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. Τοῖς σοῖς, φησὶν, ἀκολουθεῖν προελόμενος νόμοις, μὴ γένωμαι τοῖς δυσμενέσιν εὐάλωτος. τίς δὲ νῦν ἔχει τοσαύτης ψυχῆς καθαρότητα, ὥστε σὺν παῤῥησίᾳ τοιούτοις χρήσασθαι λόγοις; τούτοις μέντοι καὶ ὁ θεῖος ἀπόστολος προσόμοια εἴρηκεν, ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν. ρκβ΄. 4) Ἔκδεξαι τὸν δοῦλόν σου, εἰς ἀγαθόν.

1) Παραβ. ἐλογισ. *Hebr.* (Sicut) scorias cessare fecisti. 2) εἰς οὐδέν. Ita quoque Edit. V. Conf. MONTF. in Hexapl. ad h. l. 3) Καθήλ. — σάρκας μου. *Hebr.* horret prae metu tui caro mea. 4) Ἔκδεξαι τὸν δοῦλόν σου. *Hebr.* Sponde pro seruo tuo.

a) Col. 3, 5. *b*) Gal. 2, 20. *c*) 2 Cor. 1, 12.

α Θόν. 1) Ὁ δὲ Σύμμαχος, ἀνάδεξαί
ͅ εἰς ἀγαθὸν τὸν δȣ͂λόν σȣ. ὁ δὲ Ἀκύ-
λας, καὶ ὁ Θεοδοτίων, ἐγγύησαι· ἀντὶ
ȣ͂, ἀληθεύων ȣ̓ ψεύδομαι, πίϛευσον ὑ-
οσχομένῳ τῷ δȣ́λῳ σȣ· αὐτὸς ἐγγυητὴς
ενȣ τῆς ἐμῆς ὑποσχέσεως, ὅτι σȣ͂ πλη-
ῶσαι σπȣδάσω τȣ̀ς νόμȣς. 2) Μὴ συ-
οφαντησάτωσάν με ὑπερήφανοι.
λγεινὸν ἡ συκοφαντία, κἂν μέγαν ἔ-
ῃ μισθόν. ταύτῃ καὶ ὁ θαυμάσιος πε-
πέπλωκεν Ἰωσὴφ, καὶ 3) ἕτεροι μυρίοι·
αρακελεύεται δὲ καὶ ὁ Κύριος εὔχεσθαι
ὴ εἰσελθεῖν εἰς πειρασμόν. ȣ̓δὲν ȣ̓͂ν ἀ-
εικὸς ȣ̓δὲ ὁ προφήτης πεποίηκε, ταύ-
ην αἰτήσας τὴν αἴτησιν. διαφερόντως
ὰρ ἡ τῶν ἀλαζόνων καὶ δυνατῶν συκο-
αντία χαλεπωτέρα. ἀδικία γὰρ προσ-
αβȣ͂σα τὴν δυναστείαν μείζονα τὴν 4) λώ-
ην ἐργάζεται. ρκγ΄. Οἱ ὀφθαλμοί μȣ
ξέλιπον εἰς τὸ σωτήριόν σȣ, καὶ εἰς τὸ
όγιον τῆς δικαιοσύνης σου. Πάλιν
νταῦθα λόγιον τὴν ὑπόσχεσιν καλεῖ.
ηνεκῶς, φησὶ, τὴν παρά σȣ σωτηρίαν
ροσμένω, καὶ τῆς ὑποσχέσεως ἀναμέ-
ω τὸ τέλος. τὸ δὲ ἐξέλιπον τέθεικε,
ὴν ἐπιτεταμένην ἐπιθυμίαν δηλῶν.
κδ΄. Ποίησον μετὰ τȣ͂ δȣ́λȣ σȣ κατὰ τὸ
λεός σȣ, καὶ τὰ δικαιώματά σȣ δίδα-
ξόν με. Ὁ τοσαύτης ἀρετῆς ἐργάτης
λέȣς τυχεῖν ἀξιοῖ, καὶ διὰ τȣ́τȣ σωτη-
ίας ἀπολαῦσαι αἰτεῖ. καὶ ȣ̓κ ἀπαιτεῖ
ισθὸν, ἀλλὰ φιλανθρωπίαν αἰτεῖ.
ρκε΄. Δȣ͂λός σȣ εἰμὶ ἐγὼ, συνέτισόν με,
καὶ γνώσομαι τὰ μαρτύριά σου. Πάν-
τες μὲν ἄνθρωποι φύσει δȣ͂λοι Θεȣ͂, δια-
θέσει δὲ οἱ τȣ͂ Θεȣ͂ τὴν δεσποτείαν ἀσπα-
σίως αἱρȣ́μενοι. ταύτης ȣ̓͂ν τῆς συμμο-
ρίας ὁ προφήτης δȣ͂λον ἑαυτὸν ὀνομάζει,
καὶ συνέσεως ἀξιωθῆναι παρακαλεῖ,
ὥϛε γνῶναι τοῦ Θεȣ͂ τὰ μαρτύρια.

bonum. Symmachus, Recipe me in bonum seruum tuum. Aquila autem et Theodotio *fideiube:* hoc est, Verum dico, non mentior, crede seruo tuo promittenti, ipse esto sponsor meæ promissionis, quoniam tuas implere leges studebo. *Non calumnientur me superbi.* Acerba res est calumnia, licet magnam mercedem in se habeat. In hanc et admirabilis incidit Ioseph, et alii innumeri. Iubet autem etiam Dominus, vt oremus, ne intremus in tentationem. Nihil igitur absurdum propheta fecit, cum hoc peteret. Siquidem arrogantium et potentium hominum calumnia longe acerbior est. Iniustitia enim cum potentia coniuncta maiorem efficit perniciem. 123. *Oculi mei defecerunt in salutari tuo, et in eloquio iustitiæ tuæ.* Rursus hic *eloquium* promissionem vocat. Continue, inquit, a te salutem exspecto, et pollicitationis finem desidero. Posuit autem *defecerunt*, vt intensum ostenderet desiderium. 124. *Fac cum seruo tuo secundum misericordiam tuam, et iustificationes tuas doce me.* Tantæ virtutis operarius orat, vt misericordiam consequatur, et per illam petit salutem: nec mercedem poscit, sed benignitatem implorat. 125. *Seruus tuus sum ego, da mihi intellectum, vt sciam testimonia tua.* Omnes quidem homines natura sunt serui Dei, affectu vero, qui libentissime Dei imperium elegerunt. Harum ergo partium cum sit propheta, se ipsum seruum nominat, et vt prudentia donetur obsecrat, vt Dei testimonia sciat.

1) Ὁ — δȣ͂λόν σȣ. Def. in Cod. 1. 2) μὴ συκοφ. με. *Hebr.* ne opprimant me. 3) ἕτεροι. Cod. 1. add. δέ. 4) λώβην. Cod. 1. γνώμην.

126. *Tempus faciendi Domino, dissipauerunt legem tuam.* Deus qui omnia pondere et mensura gubernat, fert quidem diutius peccata hominum: cum vero prauitatem ex patientia auctam viderit, tunc pœnam irrogat. Hoc igitur et hoc in loco ait, Tempus est consurgendi * in auxilium eorum, qui iniuria affecti sunt, o Domine; magnopere enim tuam legem hostes conculcarunt. 127. *Ideo dilexi mandata tua super aurum et topasium.* Illi quidem tuam despexerunt legem: ego vero tua mandata auro lapidibusque pretiosis amabiliora duco. *Topasius* enim lapis est pretiosus, per vnum autem omnes significauit. Ceterum verisimile est, illa tempestate hunc aliis praelatum fuisse. 128. *Propterea ad omnia mandata tua dirigebar, omnem viam iniquam odio habui.* Desiderium enim animi promtitudinem efficit: promtitudo vero animi faciebat, vt rectam viam suaderet, et iniustitiæ semitam odio haberet. 129. *Mirabilia testimonia tua, ideo scrutata est ea anima mea.* Ostendit, se non frustra horum studiosum fuisse. Admiratione enim digna sunt, ait, et quæ possint demulcere, et in amorem excitare eos qui ea perspicere valent. Et vndenam horum virtutem hosti? 130. *Declaratio sermonum tuorum illuminat, et intellectum dat paruulis.* Tuo, inquit, lumine illustratus hanc scientiam accepi, et tua lex prudentia implet omnes, qui ignorantia detenti, et instar infantium sunt. 131. *Os meum ape-*

ρκϛ'. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Ὁ πάντα σταθμῷ καὶ μέτρῳ πρυτανεύων Θεὸς φέρει μὲν ἐπὶ πλεῖστον τῶν ἀνθρώπων τὰς ἁμαρτίας· ὅταν δὲ αὐξηθεῖσαν ἴδῃ τῇ μακροθυμίᾳ τὴν πονηρίαν, τότε τὴν τιμωρίαν ἐπάγει. τοῦτο τοίνυν καὶ ἐνταῦθα φησί· καιρὸς διαναστῆναι εἰς ἐπικουρίαν τῶν ἀδικουμένων ὦ Δέσποτα· κομιδῆ γάρ σου τὸν νόμον ἐπάτησαν οἱ πολέμιοι. ρκζ'. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. Ἐκεῖνοι μὲν οὖν τοῦ σοῦ κατεφρόνησαν νόμου. ἐγὼ δὲ ἀξιεραστοτέρας ἡγοῦμαι τὰς σὰς ἐντολὰς χρυσίου, καὶ λίθων πολυτελῶν. τῶν γὰρ τιμίων λίθων τοπάζιος· ἀπὸ δὲ τοῦ ἑνὸς παρεδήλωσεν ἅπαντας. εἰκὸς δὲ κατ' ἐκεῖνον τὸν καιρὸν τοῦτον προτιμᾶσθαι τῶν ἄλλων. ρκη'. Διὰ τοῦτο 1) πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. Ὁ γὰρ πόθος τὴν προθυμίαν ἐργάζεται· ἡ δὲ προθυμία τὴν μὲν εὐθεῖαν παραινεῖν ὁδὸν παρεσκεύαζε, τὴν δὲ τῆς ἀδικίας ἐμυσάττετο τρίβον. ρκθ'. Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο 2) ἐξηρεύνησε 3) ταῦτα ἡ ψυχή μου. Ἔδειξεν ὡς οὐ μάτην τούτων ἠράσθη· ἀξιάγαστα γάρ φησιν ἐστι, καὶ ἱκανὰ καταθέλξαι, καὶ εἰς ἔρωτα διεγεῖραι τοὺς κατιδεῖν δυναμένους· καὶ πόθεν 4) τούτων κατέμαθες ἀρετήν; ρλ'. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ 5) νηπίους. Τῷ σῷ, φησί, καταυγαζόμενος φωτὶ ταύτην ἐδεξάμην τὴν γνῶσιν. καὶ πάντας δὲ τοὺς ἀγνοίᾳ κατεχομένους, καὶ βρέφεσιν ἐοικότας, ὁ σὸς νόμος συνέσεως ἐμφορεῖ. ρλα'. Τὸ στόμα μου ἤνοιξα,

1) πρὸς — κατωρθ. *Hebr.* omnia mandata tua, omnia inquam, recta iudico. 2) ἐξηρ. ταῦτα. *Hebr.* conseruat ea. 3) Cod. 1. αὐτὰ, præmisso ν ἐφελκ. quæ est rec. lectio. 4) τούτων. Cod. 1. præm. τήν. 5) νηπ. *Hebr.* simplices.

οιξα, καὶ 1) εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. Στόμα ἐνταῦθα καλεῖ τῆς διανοίας τὴν προθυμίαν. αὕτη γὰρ ἕλκει τὴν χάριν τοῦ πνεύματος. καὶ 2) γὰρ ἀλλαχοῦ φησί· πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. καὶ ὁ θεῖος ἀπόστολος, ἐν ἀνοίξει τοῦ στόματος λόγον δοθῆναι παρεκάλεσε. καὶ αὐτὸς δὲ ὁ προφήτης ἐν ἑτέρῳ ἔφη ψαλμῷ· Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. 3) τοῦτο καὶ ἐνταῦθα ἔφη, τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. γλιχόμενόν με γὰρ τῶν σῶν ἐντολῶν θεασάμενος τῆς σῆς ἠξίωσας χάριτος. ρλβ'. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, 4) κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Τῆς θείας εὐμενείας ἱκετεύει τυχεῖν, οὐχ ἁπλῶς, ἀλλ' ὡς εἴωθάς φησι τοῖς ἀγαπῶσί σε παρέχειν τὸν ἔλεον. τοῦτο γὰρ εἶπε, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου· ἀντὶ τοῦ, τῆς ἴσης τούτοις ἀπολαῦσαι ψήφου παρακαλῶ. ρλγ'. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου· καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Ἡμῶν γὰρ προεκφερόντων τὴν προθυμίαν, καὶ Θεοῦ παρέχοντος τὴν βοήθειαν, καὶ τὴν πορείαν εὐθύνοντος, χώραν οὐκ ἔχει τῆς ἁμαρτίας ἡ δυναστεία. ρλδ'. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Καὶ ὁ Δεσπότης Χριστὸς τοὺς ὀνειδιζομένους καὶ 5) συκοφαντιζομένους ζηλωτοὺς καὶ μακαρίους ἐκάλεσεν· ἀλλὰ καὶ εὔξασθαι παρεγγύησε μὴ εἰσελθεῖν εἰς πειρασμόν. συμβαίνει τοίνυν τοῖς εὐαγγελικοῖς νόμοις καὶ τοῦ προφήτου ἡ

rui, *et attraxi spiritum, quia mandata tua desiderabam.* Os hoc in loco vocat mentis alacritatem. Hæc enim spiritus gratiam attrahit. Etenim alibi dicit, *a*) Dilata os tuum, et implebo illud. Et diuinus apostolus precatur, *b*) vt verbum sibi detur in apertione oris. Idem vero propheta in alio psalmo, *c*) Dominus dabit verbum euangelizantibus virtute multa. Illud etiam hoc in loco dicit, *Os meum aperui, et attraxi spiritum, quoniam mandata tua desiderabam.* Cum enim tuorum mandatorum desiderio me teneri vidisses, tua gratia me dignatus es. 132. *Respice ad me, et miserere mei, secundum iudicium diligentium nomen tuum.* Orat, vt diuinam consequatur beneuolentiam, non simpliciter, sed vt diligentibus te, inquit, misericordiam præbere soles. Hoc enim dixit, *Secundum iudicium diligentium nomen * tuum:* quasi dicat, obsecro, vt æqualem his sententiam reportem. 133. *Gressus meos dirige secundum eloquium tuum, et ne dominetur in me vlla iniquitas.* Nobis enim promtitudinem præferentibus, et Deo opem ferente, atque viam dirigente, peccati vis et tyrannis haudquaquam locum habet. 134. *Redime me a calumnia hominum, vt custodiam mandata tua.* Et Dominus Christus opprobriis et calumniis affectos beatos et felices vocauit: sed orare etiam iussit, ne intrent in tentationem. Consonat igitur euangelicis quoque legibus prophetæ preca-

1) εἵλκ. πνεῦμα. *Hebr.* et anhelaui s. inhiaui. 2) γάρ. Cod. 1. add. καί. 3) τοῦτο. Ib. sequ. δέ. 4) κατὰ — ὄνομά σου. *Hebr.* pro more tuo erga eos qui amant nomen tuum. 5) Cod. 1. συκοφαντουμένους.

a) Ps. 80, 10. *b*) Eph. 6, 19. *c*) Ps. 67, 11.

precatio. 135. *Faciem tuam illumina super seruum tuum, et doce me iustificationes tuas.* Deus quidem incorporeus est, et simplex, et compositionis expers: sed tanquam de re corporea, et crassius diuina scriptura de ipso loquitur, hominum natura sermones metiens. Quapropter per diuinæ faciei demonstrationem, intelligere debemus rerum tristium finem, et bonorum largitionem. 136. *Exitus aquarum deduxerunt oculi mei, quia non custodiui legem tuam.* Hæc etiam est lex apostolica. Si enim vnum membrum patitur, simul patiuntur, inquit, a) omnia membra. Euangelicam igitur perfectionem propheta consectatur, aliorum iniquitates deplorans. Ceterum *aquarum exitus* lacrymarum multitudinem vocauit: quasi dicat, Fluminis instar lacrymas profundebam, cum hominum scelera conspicerem. 137. *Iustus es Domine, et rectum iudicium tuum.* 138. *Mandasti iusta et admodum vera testimonia tua.* Iuste omnia gubernas, Domine, et hominum curam gerens, et iustitiæ cultores reddere volens. Et legem dedisti, et transgredientibus testaris, quas pœnas daturi sint, et custodientibus bona præmia promittis, et operibus promissa confirmas. Hoc enim indicat, *Et admodum vera.* 139. *Tabescere me fecit zelus tuus, quia obliti sunt verborum suorum inimici mei.* Et homines inique viuentes propheta de-

προσευχή. ρλε'. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Ἀσώματον μὲν τὸ θεῖον, καὶ ἁπλοῦν, καὶ ἀσύνθετον. σωματικώτερον δὲ καὶ παχύτερον ἡ θεία γραφὴ περὶ αὐτοῦ διαλέγεται, τῇ φύσει τῇ τῶν ἀνθρώπων μετροῦσα τοὺς λόγους. τοιγαροῦν τοῦ θείου προσώπου τὴν ἐπιφάνειαν νοητέον τὴν λύσιν τῶν λυπηρῶν, καὶ τὴν τῶν ἀγαθῶν χορηγίαν. ρλς'. 1) Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ 2) ἐφύλαξα τὸν νόμον σου. Ἀποστολικὸς καὶ οὗτος ὁ νόμος, εἰ γὰρ πάσχῃ, φησὶν, ἓν μέλος, συμπάσχει 3) φησὶ πάντα τὰ μέλη· τὴν εὐαγγελικὴν τοίνυν ὁ προφήτης μετέρχεται τελειότητα, τὰς τῶν ἄλλων παρανομίας ὀλοφυρόμενος. διεξόδους δὲ ὑδάτων τὸ πλῆθος τῶν δακρύων ἐκάλεσεν, ἀντὶ τοῦ, κρουνηδὸν 4) ἔφερον τὰ δάκρυα, τὰς τῶν ἀνθρώπων παρανομίας θεώμενος. ρλζ'. Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. ρλη'. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. Δικαίως ἅπαντα διέπεις, ὦ Δέσποτα, καὶ τῶν ἀνθρώπων κηδόμενος, καὶ δικαιοσύνης ἐργάτας ἀποφῆναι βουλόμενος. καὶ νόμον ἔδωκας, καὶ διαμαρτύρῃ τοὺς παραβαίνοντας, ὁποίας τίσουσι δίκας, καὶ ὑπισχνῇ τοῖς φυλάττουσι τὰς ἀγαθὰς ἀντιδόσεις, καὶ βεβαιοῖς τὰς ἐπαγγελίας τοῖς ἔργοις. τοῦτο γὰρ δηλοῖ τὸ ἀλήθειαν σφόδρα. ρλθ'. Ἐξέτηξέ με 5) ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. Καὶ τοὺς παρανομίᾳ συζῶντας ὁ προφήτης θρηνεῖ,

1) *Διεξόδους — ὀφθ. μου. Hebr.* Riui aquarum descenderunt ex oculis meis. Pro *κατέδυσαν* Cod. *vat.* habet *κατέβησαν, descenderunt*, quam lectionem sequitur AMBR. Opp. T. II. p. 436. Edit. Bened. Idem legit *δι' ἐξόδους* pro *διεξόδους*. 2) Cod. *alex. ἐφύλαξαν. Hebr.* custodiuerunt. 3) *φησί.* Abest a Cod. 1. 4) Ib. *ἐφέροντο.* 5) *ὁ ζῆλός σου. Hebr.* zelus meus.

a) 1 Cor. 12, 26.

νει, καὶ καταφρονέμενον ὁρῶν τὸν νομοθέτην, ἐνδίκως ἀγανακτεῖ. ἕτος ὁ ζῆλος τὸν Φινεὲς ἀνεκήρυξεν. ἕτος τὸν μέγαν Ἠλίαν ἀοίδιμον ἀπετέλεσε. τέτῳ πυρπολέμενος 1) „ὁ καλλίνικος„ Στέφανος τὴν Ἰουδαίων ἀπιςίαν διήλεγξε. τἕτον ἐν ἑαυτῷ περιφέρων ὁ θεσπέσιος Παῦλος ἐβόα λέγων, τίς ἀσθενεῖ, καὶ ἐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ ἐκ ἐγὼ πυρἕμαι; καὶ ὁ μακάριος δὲ Λεκᾶς περὶ αὐτἕ φησὶν, ὡς ἐν Ἀθήναις συνείχετο τὸ πνεῦμα αὐτἕ ἐν αὐτῷ θεωρἕντι κατείδωλον ἕσαν τὴν πόλιν. ρμ'. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δἕλός σου ἠγάπησεν αὐτό. Δόκιμός φησιν ἐςὶ καὶ ἀκίβδηλος ὁ σὸς λόγος, καὶ μώμου παντὸς ἐλεύθερος. ἐγὼ δὲ περὶ τἕτον θερμὸν ἔχω 2) τὸ φίλτρον. ρμα'. Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου ἐκ ἐπελαθόμην. Ἡνίκα τῷ θείῳ Σαμουὴλ παρηγγύησεν ὁ Θεὸς ἕνα τῶν παίδων τἕ Ἰεσσαὶ βασιλέα χειροτονῆσαι, τὲς μὲν ἄλλους καὶ ῥώμῃ, καὶ δυνάμει, καὶ κάλλει σώματος κεκοσμημένους ἀπεδοκίμασεν ἅπαντας, ἤρετο δὲ 3) τἕ Ἰεσσαὶ εἰ 4) ἐκλελοίπει τὰ παιδάρια· τἕ δὲ 5) εἰρηκότος, ὑπολελεῖφθαι μειράκιον σμικρὸν, ὃ ποιμαίνει τὰ ποίμνια, καὶ ὡς ἀνάρμοςον βασιλείᾳ· ἐκέλευσεν ὁ προφήτης τἕτον ἀχθῆναι, καὶ ἔχρισεν ἀφικόμενον παραχρῆμα. ταύτης ἐνταῦθα τῆς δωρεᾶς ὁ προφήτης ἐμνήσθη, καὶ φησὶ, καὶ νέον ὄντα με, καὶ τοῖς γεγεννηκόσιν εὐτελῆ νομισθέντα, σὺ τοσαύτης ἠξίωσας χάριτος, καὶ προφήτην ὁμοῦ καὶ βασιλέα πεποίηκας· ὃ δὴ χάριν σὺν πάσῃ προθυμίᾳ τὰ σὰ φυλάττειν ἐφίεμαι δικαιώματα. ρμβ'. Ἡ δικαιοσύνη

plorat, et legislatorem neglectum cernens, iuste indignatur. Hic * zelus Phineasum summis laudibus extulit. Hic magnum Eliam celebrem fecit. Hoc etiam zelo accensus triumphator Stephanus Iudæorum perfidiam redarguit. Hunc in se ipso diuinus Paulus circumferens exclamabat dicens, a) Quis infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non vror? et beatus Lucas de ipso ait, b) cum Athenis esset, coarctatum fuisse spiritum eius, cum videret ciuitatem idolorum cultui valde deditam. *140. Ignitum eloquium tuum vehementer, et seruus tuus dilexit illud.* Probatus, ait, et purus tuus sermo, et ab omni reprehensione liber: ego vero ardenti ipsius amore teneor. *141. Adolescentulus sum ego, et contemtus, et iustificationum tuarum non sum oblitus.* Quando Deus diuino Samueli iussit, c) vt vnum ex filiis Iesse regem crearet, alios quidem et robore, et potentia, et corporis pulcritudine præditos omnes præteriit, percunctatus est autem Iesse, an reliqui nulli essent filii, ipse vero respondit, paruum puerum reliquum esse, qui greges pasceret, atque ad regnum administrandum ineptus esset. Propheta autem hunc ad se adduci iussit, et cum venisset, illico vnxit. Huius muneris hoc in loco propheta meminit, et ait, Et cum iuuenis essem, atque a genitoribus minime idoneus habitus fuissem, tanta gratia me dignatus es, ac prophetam simul et regem me fecisti: quapropter cum omni alacritate tua mandata custodire desidero. *142. Iustitia*

1) E Cod. 1. 2) τὸ φίλτρον. Cod. 1. τὸν ζῆλον, adscripta tamen lectione altera. 3) τἕ. Ib. τόν. 4) Ib. ἐκλέλοιπε. 5) Ib. εἰπόντος.

a) 2 Cor. 11, 29. b) Act. 17, 16. c) 1 Reg. 16, 1-13.

tua iuſtitia in æternum, et lex tua veritas. Qui humanis legibus obtemperat, nec in præſenti vita a legislatore honorem conſequitur: qui autem diuina ſequitur mandata, laborum mercedem habet vitam æternam. Porro humanæ leges non omnino omnes æquitate et iuſtitia nituntur: at Dei lex veritate ſplendet. Iure igitur inquit, *Iuſtitia tua iuſtitia in æternum, et lex tua veritas.* 143. *Tribulatio et anguſtiæ inuenerunt me.* Hæc virtutis ſtudioſos comitantur. *Mandata tua ſunt meditatio mea.* Nam ex horum doctrina fortitudinem diſco, viriliterque triſtia fero. * 144. *Iuſta ſunt teſtimonia tua in æternum.* Hoc eſt, Faciunt vt æterna conſequamur bona. *Intellectum da mihi, et viuam.* A te enim illuſtratus, veram vitam adipiſcar. 145. *Clamaui toto corde meo, exaudi me Domine, iuſtificationes tuas requiram.* Clamorem rurſus animæ alacritatem vocat: propterea appoſuit *toto corde meo.* Sic etiam Moſes clamabat tacens, et ei mente oranti Deus dixit, a) quid clamas ad me? 146. *Clamaui ad te, ſaluum me fac, vt cuſtodiam mandata tua.* A te enim ſalutem conſecutus, tuarum legum cuſtos ero. 147. *Præueni in immaturitate, et clamaui, quia in verbis tuis ſpem poſui.* Propheta cum rex eſſet, et innumeris curis circumdaretur, et præterea

σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. Ὁ τοῖς ἀνθρωπίνοις νόμοις πειθόμενος οὐδὲ κατὰ τὸν παρόντα βίον τῆς παρὰ τῶν νομοθετέντων ἀπολαύει τιμῆς· ὁ δὲ ταῖς θείαις ἀκολουθῶν ἐντολαῖς, μισθὸν ἔχει τῶν πόνων τὴν ζωὴν τὴν αἰώνιον. καὶ οἱ νόμοι δὲ οἱ ἀνθρώπειοι οὐ πάντως πάντες τὸ δίκαιον ἔχουσιν· ὁ δὲ τοῦ Θεοῦ νόμος ἀληθείᾳ λαμπρύνεται· εἰκότως τοίνυν ἔφη, ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. ρμγ´. Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με. Ταῦτα γὰρ συνέζευκται τοῖς 1) ἐρασταῖς τῆς ἀρετῆς. Αἱ ἐντολαί σου μελέτη μου. Ἐκ τῆς γὰρ τούτων διδασκαλίας τὴν ἀνδρείαν μανθάνω, καὶ φέρω γενναίως τὰ λυπηρά. ρμδ´. Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα. Ἀντὶ τοῦ, πρόξενα τῶν αἰωνίων ἐστὶν ἀγαθῶν. Συνέτισόν με, καὶ ζήσομαι. Ὑπὸ σοῦ γὰρ φωτιζόμενος τῆς ἀληθοῦς ζωῆς 2) ἀπολαύσομαι. ρμε´. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. Κραυγὴν πάλιν τὴν τῆς ψυχῆς προθυμίαν καλεῖ. διὰ τοῦτο προστέθεικε τὸ ἐν ὅλῃ καρδίᾳ μου. οὕτω καὶ Μωσῆς ἐβόα σιγῶν· καὶ προσευχομένῳ κατὰ διάνοιαν ὁ Θεὸς ἔφη, τί βοᾷς πρός ἐμέ; ρμς´. Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. Παρά σου γὰρ τὴν σωτηρίαν δεχόμενος, φύλαξ τῶν σῶν γενήσομαι νόμων. ρμζ´. Προέφθασα 3) ἐν ἀωρίᾳ, καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. Βασιλεὺς ὢν ὁ προφήτης, καὶ μυρίαις φροντίσι περικλυζόμενος, καὶ πολεμικοὺς πρὸς ταύ-

1) ἐρασταῖς. Ib. ἐργάταις. 2) Cod. 1. ἀπολαύσω. 3) ἐν ἀωρίᾳ. *Hebr.* in ipſo diluculo. *Syr.* mane.

a) Exod. 14, 15.

ταύταις ἀναδεδεγμένος ἀγῶνας, οὐ μόνον ἡμέρας ὑπολαμπούσης τῷ Θεῷ τὰς ἱκετείας προσέφερεν. ἀλλὰ καὶ μεσούσης νυκτὸς, οὐκ ἀναμένων τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. οὕτως ἐπόθει τὸν πεποιηκότα Θεὸν, οὕτω προθύμως τὴν ἐκεῖθεν ᾔτει βοήθειαν. ρμη΄. Προέφθασαν οἱ ὀφθαλμοί μου 1) πρὸς ὄρθρον, τοῦ μελετᾷν τὰ λόγιά σου. Οὐ μόνον δὲ κατὰ τὸν τοῦ γλυκέως ὕπνου καιρὸν, ἀλλὰ καὶ παρὰ τὸν ὄρθρον, τῶν θείων νόμων 2) ἐπεποίητο μελέτην. ἡμεῖς δὲ πενίᾳ συζῶντες, καὶ πάσης φροντίδος ἀπηλλαγμένοι, ἐπὶ τῆς κλίνης διανυκτερεύομεν 3) καλινδούμενοι, καὶ οὐδὲ ἀρχομένης ἡμέρας τῷ δωτῆρι τῶν ἀγαθῶν τὸν ὕμνον προσφέρομεν. ρμθ΄. Τῆς φωνῆς μου ἄκουσον Κύριε κατὰ τὸ ἔλεός σου, 4) κατὰ τὸ κρῖμά σου ζῆσόν με. Ὁ τοσούτοις κομῶν ἀγαθοῖς ἐλέου τυχεῖν ἀξιοῖ, καὶ οὐκ ἀορίστως αἰτεῖ τὸν ἔλεον· ἀλλὰ κατὰ τὴν ὀνησιφόρον ψῆφον. ρν΄. Προσήγγισαν 5) οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. Πόῤῥω γὰρ τῶν θείων νόμων εἰσὶν οἱ τῷ δικαίῳ πειρώμενοι πολεμεῖν. ὁ ἀθετῶν γὰρ ὑμᾶς, φησὶν, οὐχ ὑμᾶς ἀθετεῖ, ἀλλὰ τὸν ἀποστείλαντα ὑμᾶς· καὶ ἐχθρεύσω τοῖς ἐχθροῖς σου, καὶ ἀντικείσομαι τοῖς ἀντικειμένοις σοι. ρνα΄. Ἐγγὺς εἶ σὺ Κύριε, καὶ πᾶσαι αἱ 6) ὁδοί σου ἀλήθεια. Ὁρᾷς, φησὶν, ἅπαντα 7) Κύριε· οὐ γὰρ ἀφέστηκας, ἀλλὰ τὴν οἰκουμένην πληροῖς, καὶ ἀληθείᾳ χρώμενος πρυτανεύεις τὴν κτίσιν. τοῦτο καὶ αὐτὸς ὁ Θεὸς διὰ τοῦ

bellica certamina suscepisset, non modo illucescente die Deo preces offerebat, verum etiam in noctis medio gallorum cantus non exspectans. Adeo Deum creatorem desiderabat, adeo prompte opem illinc efflagitabat. 148. *Praeuenerunt oculi mei te sub diluculo, vt meditarer eloquia tua.* Non solum autem dulcissimi somni tempore, sed prima quoque luce diuinas meditabatur leges. Nos vero pauperes, et ab omni cura liberi, in lectulo pernoctamus huc et illuc nos volutantes, neque exoriente die bonorum largitori hymnum offerimus. 149. *Vocem meam audi secundum misericordiam tuam Domine, et secundum iudicium tuum viuifica me.* Qui tot tantisque bonis affluit, misericordiam vt consequatur obsecrat: et non absolute misericordiam postulat, sed iuxta vtilem sententiam. 150. *Appropinquarunt persequentes me iniquitati, a lege autem tua longe remoti sunt.* Longe enim a diuinis legibus absunt, qui iusto bellum inferre conantur. Qui enim vos spernit, inquit, a) non vos spernit, sed eum qui misit vos. Et, b) Inimicus ero inimicis tuis, et aduersabor aduersantibus tibi. 151. *Prope es tu Domine, et omnes viae tuae veritas.* Cernis, ait, omnia Domine. Non enim a nobis recessisti, sed totum terrarum orbem imples, et veritate * vtens vniuersa moderaris. Hoc etiam ipse Deus per

1) πρὸς ὄρθρον, *Hebr.* vigilias. 2) Cod. I. πεποίητο. 3) Ib. κυλινδούμενοι. 4) κατὰ τὸ κρῖμά σου. *Hebr.* pro more tuo. Conf. vers. 132. Ita quoque vers. 156. 5) οἱ καταδ. με ἀνομίᾳ. *Hebr.* Adpropinquarunt sectatores sceleris. *Syr.* Adpr. persequutores iniquitatis. Sed Interpretes graeci omnes legerunt רֹדְפֵי. Ita quoque HIER. 6) ὁδοί, Cod. I. ἐντολαί, adscripta tamen altera lectione. *Hebr.* omnia praecepta tua. 7) Κύριε. Cod. I. Δέσποτα.

a) Luc. 10, 15. b) Exod. 23, 22.

per prophetam dicit, a) Deus appropinquans ego sum, non autem Deus longe remotus. Et beatus Paulus, b) In ipso, inquit, viuimus, et mouemur, et sumus. 152. *Initio cognoui e testimoniis tuis, quod in æternum fundaueris ea.* Testimonia cælum et terram nuncupat. Descendens, inquit, c) contestare eos per cælum ac terram. Idcirco et Moses magnus canticum exordiens fatur, d) Attende cælum, et loquar, et audiat terra verba oris mei. In his autem continue Dei prouidentia cernitur: cum multo enim ordine omnia progrediuntur. Hinc, ait, certissime cognoui, te prope esse, atque iis quæ fiunt interesse, nec quicquam eorum quæ geruntur te latere. 153. *Vide humilitatem meam, et eripe me, quia legis tuæ non sum oblitus.* Qui se humiliauerit, exaltabitur, secundum Domini vocem. e) Et, f) Beati pauperes spiritu, quoniam ipsorum est regnum cælorum. Hac etiam diuinus propheta alias virtutes decorauit, et hanc obtendens, diuinum auxilium promittit. 154. *Iudica iudicium meum, et redime me, propter eloquium tuum viuifica me.* De promissionibus Dominum admonet, et ab ipso salutem petit, precaturque, vt ipsius et aduersariorum causam disceptet. 155. *Longe a peccatoribus salus, quia iustificationes tuas non exquisiuerunt.* Salute, inquit, quæ a te procedit, inique viuentes se ipsos priuarunt, nolentes discere quæ facere præcepisti. 156. *Misericordiæ tuæ multæ, Do-*

προφήτου φησὶ, Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ ὐ Θεὸς πόῤῥωθεν. καὶ ὁ μακάριος Παῦλος, ἐν αὐτῷ, 1) φησὶ, ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. ρνβʹ. 2) Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. Μαρτύρια καλεῖ τὸν οὐρανὸν, καὶ τὴν γῆν· καταβὰς 3) φησι διαμάρτυρε αὐτοῖς τὸν οὐρανὸν, καὶ τὴν γῆν. διὰ τοῦτο καὶ Μωσῆς ὁ μέγας τῆς ᾠδῆς ἀρχόμενος ἔφη, πρόσεχε οὐρανὲ, καὶ λαλήσω· καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. ἐν δὲ τούτοις ὁρᾶται διηνεκῶς ἡ τοῦ Θεοῦ πρόνοια· μετὰ πολλῆς γὰρ ὁδεύει τάξεως ἅπαντα. ἐντεῦθέν φησιν ἔγνων ἀκριβῶς, ὡς ἐγγὺς εἶ 4) σὺ, καὶ παρεῖ τοῖς γινομένοις, καὶ λανθάνει σε τῶν πραγμάτων οὐδέν. ρνγʹ. Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, καὶ μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. 5) ταύτῃ καὶ ὁ θεῖος προφήτης τὰς ἄλλας ἐκόσμησεν ἀρετάς· καὶ ταύτην προϊσχόμενος τὴν θείαν ἐπαγγέλλει βοήθειαν. ρνδʹ. Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με· διὰ τὸν λόγον σου ζῆσόν με. Τῶν ὑποσχέσεων τὸν Δεσπότην ἀναμιμνήσκει, καὶ παρ' αὐτοῦ τὴν σωτηρίαν αἰτεῖ, καὶ κρῖναι αὐτῷ καὶ τοῖς δυσμενέσιν ἀντιβολεῖ. ρνεʹ. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. Τῆς παρὰ σοῦ, 6) φησὶ, σωτηρίας σφᾶς αὐτοὺς ἐστέρησαν οἱ παρανομίᾳ συζῶντες, μὴ βουληθέντες καταμαθεῖν τίνα πράττειν ἐνομοθέτησας. ρνϛʹ. Οἱ οἰκτιρμοί σου πολλοὶ

1) Φησὶ, ζῶμεν. Cod. 1. γὰρ ζῶμεν, φησί. 2) Κατ' ἀρχάς. *Hebr.* Iam pridem. 3) φησί. Cod. 1. præm. γάρ. 4) σύ. Abest a Cod. 1. 5) ταύτῃ καί. Ib. διὰ ταύτης. 6) Φησὶ σωτηρ. Ib. φιλανθρωπίας.

a) Ier. 23, 23. b) Act. 17, 28. c) Exod. 19, 21. d) Deut. 32, 1. e) Luc. 14, 11. f) Matth. 5, 3.

λοὶ Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Πολὺς τῆς 1) σῆς φιλανθρωπίας ὁ πλοῦτος· δικαία σου ἡ ψῆφος. τὴν ἀπὸ τούτων σωτηρίαν αἰτῶ. ρνζ΄. Πολλοὶ οἱ ἐκδιώκοντές με, καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. Οὐδὲ πολλαῖς, φησὶ, περιστοιχιζόμενος συμφοραῖς, τῶν ὑπό σου νενομοθετημένων ἠνεσχόμην τι παραβῆναι· καὶ τοῦ ψαλμοῦ τὴν ὑπόθεσιν εἰρηκότες ἔφαμεν, ὡς πάντα ὁ θεῖος Δαβὶδ τὰ συμβεβηκότα αὐτῷ ἐν τῷδε συνήγαγε τῷ ψαλμῷ· καὶ ὅτι τὰ μὲν ἁρμόττει τοῖς ὑπὸ τοῦ Σαοὺλ προγεγενημένοις αὐτῷ λυπηροῖς· τὰ δὲ τοῖς ὑπὸ τοῦ Ἀβεσσαλώμ. ταῦτα μέντοι δῆλον ὡς ὑπὸ τοῦ Σαοὺλ διωκόμενος 2) εἴρηκε. τηνικαῦτα γὰρ τῆς ἁμαρτίας ἀπείρατος ἦν. ρνη΄. Εἶδον 3) ἀσυνετοῦντας, 4) καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. Οὕτως ὁ μακάριος Παῦλος 5) Ἰουδαίους ὠδύρετο. οὕτως αὐτὸς ὁ Δεσπότης τὴν Ἱερουσαλὴμ ὠλοφύρετο, οὕτως ὁ θεῖος Ἱερεμίας τὴν τοῦ λαοῦ παρανομίαν ἐθρήνησεν. ρνθ΄. Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με. Συνεχῶς ἐντολῶν, καὶ νόμων, καὶ δικαιωμάτων μνημονεύει, καὶ μαρτυριῶν, τῶν περὶ ταῦτα πόθον δεικνύς. ρξ΄. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. 6) Ἀψευδεῖς ἔχεις τὰς ὑποσχέσεις· ἀληθείᾳ τὰς 7) σὰς ἐπαγγελίας κοσμεῖς, ἔργῳ βεβαιοῖς 8) τοὺς λόγους· ἀρχὴν δὲ λόγων καλεῖ τὰς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας. ἐξ ἐκείνου γὰρ τὸ

mine, secundum iudicium tuum viuifica me. Multæ sunt benignitatis tuæ diuitiæ, iusta est tua sententia, fluentem ab his salutem efflagito. 157. *Multi sunt, qui persequuntur me, et tribulant me, a testimoniis tuis non declinaui.* Nec, inquit, cum multis calamitatibus cinctus essem, aliquid eorum, quæ a te sancita fuere, transgredi volui. Cum argumentum psalmi exponeremus, asseruimus, omnia diuinum Dauidem quæ sibi acciderunt in hoc psalmo congessisse: et alia illis conuenire, quæ a Saule ipsi grauia et acerba contigerunt; alia vero iis, quæ ab Absalomo patrata sunt. Constat autem, hæc eum, cum a Saule persecutionem pateretur, deprecantem dixisse. Tunc enim peccati expers erat. 158. *Vidi imprudentes, et tabescebam, quia eloquia tua non custodiuerunt.* Sic beatus Paulus Iudæos, sic ipse Dominus Hierosolymam deplorabat: sic diuinus Ieremias populi iniquitatem lamentabatur. 159. *Vide quoniam mandata tua dilexi Domine, in misericordia tua viuifica me.* Continue mandatorum, et legum, et iustificationum, et testimoniorum mentionem facit, desiderium istorum præ se ferens. 160. *Principium verborum tuorum veritas, et in æternum omnia iudicia iustitiæ tuæ.* A mendacio alienas pollicitationes habes, et veritate promissa ornas, reque sermones tuos confirmas. *Principium* autem *verborum* vocat pollicitationes Abrahæ factas. Ex illo enim Iudæo-

1) σῆς. Des. in Cod. 1. 2) εἴρηκε. Cod. 1. præm. προσευχόμενος. 3) ἀσυνετ. *Hebr*. præuaricatores. *Symm.* et Edit. V. ἀθετοῦντας. *Reliqui* ἀσυνθετοῦντας. 4) καὶ ἐξετ. *Hebr*. et auersatus sum. 5) Ἰουδαίους. Abest a Cod. 1. 6) Ἀψευδεῖς — τοὺς λόγους. Hæc desid. apud CORD. l. c. p. 504. Reliqua ibi exstant. 7) σάς. Abest a Cod. 1. 8) τούς. Cod. 1. præm. σου.

Iudæorum genus constitit. Sed impleuit promissa, et auxit populum, sicut stellas cæli multitudine, et in semine eius secundum promissiones omnibus gentibus benedixit. Hoc enim indicauit, dicens, *In æternum omnia iudicia iustitiæ tuæ.* Cum enim esset propheta, prospiciebat sempiternum Christi imperium. Idcircò et veritate ait decoratum esse diuinorum sermonum principium. 161. *Principes persecuti sunt me temere, et a verbis tuis metuit cor meum.* Hostes, inquit, et persequentes me minime timui, tuas vero leges veritus sum. Vnde cum dormientem hostem inuenissem, necare ausus non sum, et parricidam illum et infestum filium miseratus dicebam, a) Parcite mihi puerulo. 162. *Lætabor ego de eloquiis tuis, sicut qui inuenit spolia multa.* Quia hostium persequentium mentionem fecit, iure et spoliorum meminit. Dicit autem, *Et si occidissem omnes illos, et prædatus essem quæcunque spolia colligere potuissem, non sic lætatus essem, sicut tuis legibus gauisus sum. 163. *Iniquitatem odio habui et abominatus sum, legem autem tuam dilexi.* Verus etiam est hic sermo. Qui enim ardentissimo studio erga diuinas res affectus est, contraria odio habet. 164. *Septies in die laudem dixi tibi, super iudicia iustitiæ tuæ.* * Nonnulli *septies* interpretati sunt *sæpissime.* Hoc autem, et illud, ardentem amorem prophetæ demonstrat: diuinæ enim laudis satietas haudquaquam ipsum capiebat. 165. *Pax multa est diligenti-*

Ἰουδαίων συνέστη γένος· ἀλλ᾽ ἐπλήρωσε τὰς ὑποσχέσεις, καὶ ηὔξησε τὸν λαὸν ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ἐν τῷ σπέρματι 1) αὐτοῦ ηὐλόγησε κατὰ τὰς ἐπαγγελίας πάντα τὰ ἔθνη. τοῦτο γὰρ παρεδήλωσεν εἰρηκὼς, εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. προφήτης γὰρ ὢν ἑώρα τοῦ Χριστοῦ τὸ αἰώνιον κράτος. διὸ καὶ ἀληθείᾳ ἔφη κεκοσμῆσθαι τὴν τῶν θείων λογίων ἀρχήν. ρξα΄. Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Τοὺς πολεμοῦντας, φησὶ, καὶ διώκοντας οὐκ ἐφοβήθην, τοὺς δὲ σοὺς ἔδεισα νόμους. διὸ καὶ καθεύδοντα τὸν πολέμιον εὑρὼν, ἀνελεῖν οὐκ 2) ἐτολμήθην· καὶ τὸν πατραλοίαν δὲ ἐκεῖνον καὶ μυσαρὸν παῖδα οἰκτείρων, ἔλεγον φείσασθαί μοι τοῦ παιδαρίου. ρξβ΄. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ἐπειδὴ πολεμίων ἐμνημόνευσε διωκόντων, εἰκότως καὶ τῶν σκύλων τὴν μνήμην παρήγαγε. λέγει δὲ, ὅτι πάντας 3) εἰ ἀνεῖλον ἐκείνους, καὶ σκυλεύσας πλεῖστα ὅσα συνήγαγον λάφυρα, οὐκ ἂν οὕτως ηὐφράνθην, ὡς τοῖς σοῖς 4) ἐπαγαλλόμενος νόμοις. ρξγ΄. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην· τὸν δὲ νόμον σου ἠγάπησα. Ἀληθὴς καὶ οὗτος ὁ λόγος· ὁ γὰρ θερμῶς περὶ τὰ θεῖα διακείμενος τἀναντία μυσάττεται. ρξδ΄. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Τινὲς τὸ ἑπτάκις πλειστάκις ἡρμήνευσαν· καὶ τοῦτο δὲ κἀκεῖνο τὸν θερμὸν ἔρωτα τοῦ προφήτου δηλοῖ. τῆς γὰρ θείας ὑμνῳδίας οὐκ ἐλάμβανε κόρον. ρξε΄. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον

1) αὐτοῦ. Ib. præm. N. 2) Cod. 1. ἐτόλμησα. 3) εἰ. Def. ibid. 4) Ibid. ἐπαγάλλομαι.

a) 2 Reg. 18, 5.

μον σȣ, καὶ ȣ̓κ ἔστιν αὐτοῖς σκάνδαλον. Οἱ τῷ θείῳ πυρπολούμενοι φίλτρῳ, καὶ τὴν πρὸς αὐτὸν εἰρήνην διὰ τῆς τῶν ἐντολῶν προσκτώμενοι φυλακῆς, κἂν ὑπὸ πάντων ἀνθρώπων πολεμῶνται, θυμήρη ζῶσι ζωήν. καὶ μάρτυς ὁ θεσπέσιος Παῦλος βοῶν, ἐν παντὶ θλιβόμενοι, ἀλλ' 1) ȣ̓ στενοχωρȣ́μενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορȣ́μενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ' ȣ̓κ ἀπολλύμενοι. καὶ ὁ Κύριος δὲ τȣ̀ς ἱερȣ̀ς ἀποστόλους, ὡς πρόβατα ἐν μέσῳ λύκων, εἰς πᾶσαν ἀποστείλας τὴν οἰκουμένην, ἔφη πρὸς αὐτούς· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. ρξϛ'. Προσεδόκων τὸ σωτήριόν σου Κύριε, καὶ τὰς ἐντολάς σου 2) ἠγάπησα. Οὐδὲ συμφοραῖς περιστοιχιζόμενος ἀπέκοψα τὰς χρηστοτέρας ἐλπίδας· ἀλλὰ τὴν σὴν ἀναμένων διετέλεσα σωτηρίαν, καὶ ταῖς σαῖς 3) ἑπόμενος ἐντολαῖς. ρξζ'. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σȣ, καὶ ἠγάπησεν αὐτὰ σφόδρα. ρξη'. Ἐφύλαξα τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μȣ ἐναντίον σου Κύριε. Εἰδὼς γὰρ ὡς ἅπαντα ἐφορᾷς, ὡς ὑπὸ σοὶ θεατῇ πολιτευόμενος, ȣ̓ μόνον ἐπλήρωσά σȣ τὰς ἐντολάς, ἀλλὰ καὶ μετὰ θερμῆς τȣ̃το δέδρακα διαθέσεως. ρξθ'. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με. 4) Πᾶσαν τὴν ἱκετείαν προσενεγκών, ἀντιβολεῖ δεχθῆναι καὶ μὴ ἀποῤῥιφθῆναι τὴν δέησιν· καὶ παρακαλεῖ σύνεσιν λαβεῖν, οὐκ ἀνθρωπίνην, ἀλλὰ τῶν θείων λογίων τὴν γνῶσιν. ρο'. 5) Εἰσέλθοι τὸ

bus nomen tuum, et non est illis scandalum. Qui diuino amore flagrant, et pacem cum ipso per obseruantiam mandatorum possident, licet ab omnibus hominibus infestentur, placidam transfigunt vitam. Et testis est diuinus Paulus clamans, a) In omnibus tribulationem patimur, sed non angustia premimur; egemus, sed non destituimur; persecutionem patimur, sed non derelinquimur; deiicimur, sed non perimus. Et Dominus, cum sacros apostolos, sicut oues in medio luporum, in totum terrarum orbem mitteret, b) dixit eis, c) Pacem meam do vobis, pacem meam relinquo vobis. 166. *Exspectabam salutare tuum Domine, et mandata tua dilexi.* Neque calamitatibus cinctus, bonam abieci spem, sed tuam salutem exspectare non destiti, tua mandata sequens. 167. *Custodiuit anima mea testimonia tua, et dilexit ea vehementer.* 168. *Seruaui mandata tua, et testimonia tua, quia omnes viæ meæ in conspectu tuo sunt o Domine.* Cum enim nouissem, te omnia conspicere, et me viuere sub te spectatore, non modo tua mandata perfeci, verum etiam cum flagranti studio hoc feci. 169. *Appropinquet deprecatio mea in conspectu tuo Domine, iuxta eloquium tuum da mihi intellectum.* Totam deprecationem cum protulisset, orat vt preces admittantur, et minime reiiciantur. Et precatur, vt prudentiam accipiat, non humanam, sed diuinorum oraculorum scientiam. 170. *Intret postulatio*

1) ȣ̓—ἀλλ'. Des. in Cod. 1. 2) ἠγάπησα. *Hebr.* feci. 3) Cod. 1. εἰπόμην. 4) Πᾶσαν — γνῶσιν. Des. in Cod. 1. 5) Εἰσέλθοι — ῥῦσαί με. Des. ibid.

a) 2 Cor. 4, 8. 9. b) Matth. 10, 16. c) Ioh. 14, 27.

tio mea in conspectum tuum, Domine, secundum eloquium tuum eripe me. Postulationem vocat obsecrationem: hoc enim apud alios etiam interpretes inueni. Diuersis igitur verbis vtens Dominum demulcet. 171. *Eructent labia mea hymnum, cum docueris me iustificationes tuas.* Ructus cibo consentaneus est. Tuas enim, inquit, iustificationes edoctus, tibi huiusmodi rerum praeceptori hymnorum cantilenam offeram. * 172. *Pronunciet lingua mea eloquia tua, quia omnia mandata tua aequitas sunt.* Meditationi tuorum oraculorum linguam consecrabo, cum sciam, tua mandata omni iustitia exornata esse. 173. *Sit manus tua (parata) vt saluet me, quoniam mandata tua elegi.* Symmachus quidem *malui*, Aquila vero et Theodotion *selegi* interpretati sunt. *Manum* autem vocat diuinam vim, per quam obsecrat vt diuinam consequatur opem. 174. *Concupiui salutare tuum Domine, et lex tua meditatio mea est.* Desidero, ait, a te salutem adipisci continue tuam legem meditans. 175. *Viuet anima mea, et laudabit te, et iudicia tua adiuuabunt me.* Porro noui me haudquaquam spe frustrandum, sed veram vitam a te consecuturum, et te bonorum largitorem laudaturum esse. 176. *Erraui sicut ouis, quae periit.* Hoc et prophetae dicere post peccatum congruebat, et toti hominum naturae. *Quaere seruum tuum, quia mandatorum tuorum*

ἀξίωμά μου ἐνώπιόν σου 1) Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. Ἀξίωμα τὴν ἱκετείαν καλεῖ· τοῦτο γὰρ καὶ παρὰ τοῖς ἄλλοις εὗρον ἑρμηνευταῖς. διαφόροις μέντοι χρώμενος λόγοις, τὸν Δεσπότην 2) μειλίσσεται. ροά. Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου. Κατάλληλος ἡ ἐρυγὴ τῇ τροφῇ· τὰ γὰρ σά φησι 3) μανθάνων δικαιώματα, σοὶ τῷ τῶν τοιούτων διδασκάλῳ προσοίσω τὴν ὑμνῳδίαν. ροβ΄. Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. Εἰς μελέτην τῶν σῶν λογίων τὴν γλῶτταν 4) ἀφιερώσω, εἰδὼς πάσῃ σου δικαιοσύνῃ κεκοσμημένας τὰς ἐντολάς. ρογ΄. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. 5) Ὁ μὲν Σύμμαχος εἱλόμην, ὁ δὲ Ἀκύλας καὶ Θεοδοτίων ἐξελεξάμην εἰρήκασι· χεῖρα δὲ καλεῖ τὴν θείαν ἐνέργειαν, ὑφ᾽ ἧς ἀντιβολεῖ τῆς θείας σωτηρίας τυχεῖν. ροδ΄. Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε, καὶ ὁ νόμος σου μελέτη μου ἐστί. Ἱμείρομαί φησι 6) παρά σου σωτηρίας τυχεῖν, τὸν σὸν νόμον μελέτην ἔχων ἐνδελεχῆ. ροε΄. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. Οἶδα δὲ ὡς οὐχ ἁμαρτήσομαι τῆς ἐλπίδος, ἀλλὰ τῆς 7) ἀληθοῦς ζωῆς παρά σου τεύξομαι, καὶ αἰνέσω σε τὸν δοτῆρα τῶν ἀγαθῶν. ρος΄. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός. Τοῦτο καὶ τῷ προφήτῃ λέγειν μετὰ τὴν ἁμαρτίαν ἥρμοττεν, καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει. Ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου

οὐκ

1) Κύριε. Abest a Textu hebr. 2) Cod. 1. ἐκμειλίσσεται. 3) Ibid. μαθών. 4) Cod. 1. ἀφιέρωσα. 5) Ὁ — τυχεῖν. Ab his parum diuersa sunt, quae CORD. l. c. p. 515. *Theodoro* tribuit. In Cod. 1. aug. praem. τὸ ᾑρετισάμην. 6) παρά. Cod. 1. praem. τῆς. 7) ἀληθ. Dee. ibid.

οὐκ ἐπελαθόμην. Εἰ γὰρ καὶ παρέβη τινὰς, ἀλλὰ λήθην τούτων οὐκ ἐδέξατο παντελῆ. ἀλλὰ ταύτην μὲν ὁ προφήτης προσενήνοχε τὴν εὐχήν· τετύχηκε δὲ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις τῆς σωτηρίας. 1) ἔδραμε γὰρ ὁ καλὸς ποιμὴν ἐπὶ τὸ πλανώμενον πρόβατον, καὶ περιελθὼν τὰ ὄρη, καὶ τοὺς βουνὲς· παρὰ ταῦτα γὰρ ἐπλανᾶτο λατρεῦον τοῖς δαίμοσιν· εὗρε καὶ ἐπὶ τῶν ὤμων ἐπανήγαγεν· καὶ εὐφράνθη ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενήκοντα ἐννέα τοῖς μὴ 2) πεπλανημένοις· ἡμεῖς δὲ τοῦ ψαλμοῦ τὴν ἑρμηνείαν ἐν κεφαλαίῳ ποιησάμενοι, παρακαλοῦμεν τοὺς ἐντυγχάνοντας, μὴ ἀρκεσθῆναι τοῖς γεγραμμένοις, μηδὲ νομίσαι 3) μόνον ταῦτα τῷ προφήτῃ προσήκειν· ἀλλ' ἕκαστον τὴν πρόσφορον ἐκ τούτων ὠφέλειαν λαβεῖν, καὶ φάρμακον ἀλεξιτήριον τοῖς οἰκείοις κατασκευάσαι παθήμασιν.

non sum oblitus. Etsi enim aliqua mandata transgressus est, tamen horum obliuionem penitus non admisit. Sed has quidem preces propheta profudit, et tota hominum natura salutem consecuta est. Nam bonus pastor ad palantem ouem cucurrit, et cum montes et colles obiuisset, (in his enim dæmones colens errabat,) inuenit, et super humeris reduxit, et magis ob ipsam lætatus est, quam ob nonaginta nouem non vagantes. a) Nos autem explanatione psalmi summatim pertexta, lectores obsecramus, ne sint contenti rebus a nobis scriptis, neque autument hæc prophetæ soli congruere: sed vnusquisque opportunam vtilitatem ex hisce percipiat, salutaremque medicinam qua dolores suos propulset, efficiat.

ΕΡΜΗΝ. ΤΟΥ ριθ' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Ὁ Θεοδοτίων ᾆσμα τῶν ἀναβάσεων, ὁ δὲ Σύμμαχος καὶ ὁ Ἀκύλας, εἰς τὰς ἀναβάσεις. δηλοῦσι μέν τοι αἱ ἀναβάσεις, ἢ οἱ ἀναβαθμοὶ, τοῦ αἰχμαλωτευθέντος λαοῦ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον. προειδυῖα γὰρ ἡ χάρις τοῦ πνεύματος, καὶ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἐσομένην ἐλευθερίαν, καὶ ταῦτα κἀκεῖνα προείρηκε· κἀκείνων ὠφέλειαν μηχανωμένη, καὶ ἡμῖν τὸ ἐντεῦθεν προσφέρουσα κέρδος. οὐ τὰ αὐτὰ δὲ ἕκαστος τῶν ἀναβαθμῶν προθεσπίζει, ἀλλὰ ὁ μὲν τὰς ἐν Βαβυλῶνι συμφορὰς, ὁ δὲ τῆς ἐπανόδου τὰ εὐ-

INTERP. PSALM. CXIX.

1. *Canticum graduum.* Theodotio *carmen adscensuum*, Symmachus et Aquila *in adscensus* verterunt. Indicant quidem adscensus, siue gradus, captiui populi e Babylone * reditum. * Præuidens enim gratia Spiritus sancti et captiuitatem, et futuram libertatem, et hanc et illam prædixit, illorum vtilitatem procurans, et nobis hinc lucrum afferens. Verum non eadem quilibet e psalmis graduum vaticinatur: sed alius calamitates, quæ Babylone ipsis acciderunt, alius lætum reditus nuncium, alius

1) ἔδραμε — πεπλαν. Hæc apud CORD. l. c. p. 516. etiam *Theodoro* tribuuntur.
2) Cod. 1. πλανηθεῖσιν. 3) μόνον. Abest a Cod. 1.

a) Matth. 18, 12. 13.

alius perceptam in itinere lætitiam, et alius bella, quæ post reuersionem gesta fuere, alius templi instaurationem. Et varietas vaticinationis satietatem hymnorum cantus abigit. Vnusquisque autem psalmorum istorum formatus est ex persona sanctorum, quorum ea tempestate erat chorus. Illos enim propheticus sermo supradicta dicentes inducit. Primus quidem graduum, et calamitates, et diuinam beneuolentiam narrat. *Ad Dominum cum tribularer clamaui, et exaudiuit me.* Exordium mœroris magnitudinem, et diuinæ benignitatis excessum docuit. Mœrens enim ait, Dominum oraui, beneuolentiamque consecutus sum. Deinde narrat, quibus verbis orando visus sit. 2. *Domine libera animam meam a labiis iniquis, et a lingua dolosa.* Obsecro, ait, vt ab iniuste insidiantibus, dolosisque fraudibus vtentibus me liberes. Tales erant ii, qui ob precationem laqueos Danieli posuerunt, acerbi accusatores eorum, qui cum Anania erant. 3. *Quid detur tibi, aut quid apponatur tibi ad linguam dolosam?* 4. *Sagittæ potentis acutæ, cum carbonibus desolatoriis.* Gratia spiritus hoc in loco mœrentes consolatur, et iustam sententiam pronuntiatam in eos, qui dolis vtuntur, tacite innuit. Nam *potentem* quidem vniuersorum Deum vocat; *sagittas* vero *potentis*, suppliciorum celeritatem, per Metaphoram petitam a sagittis, quæ emittuntur, et facile aërem secant. *Carbones* autem *desolatorios* vocat supplicii

ἀγγέλια· ὁ δὲ τὴν κατὰ τὴν ὁδὸν εὐφροσύνην· ἄλλος τοὺς μετὰ τὴν ἐπάνοδον γεγενημένους πολέμους· ἕτερος τοῦ ναοῦ τὴν οἰκοδομήν· καὶ τὸ ποικίλον τῆς προφητείας ἐξελαύνει τῆς μελῳδίας τὸν κόρον. ἕκαστος δὲ τούτων ἐσχημάτισαι τῶν ψαλμῶν εἰς τὸν τῶν τηνικαῦτα γεγενημένων ἁγίων χορόν. ἐκείνους γὰρ ὁ προφητικὸς εἰσάγει λόγος τὰ προκείμενα λέγοντας. ὁ μέν τοι πρῶτος τῶν ἀναβαθμῶν, καὶ τὰς συμφορὰς ἐξηγεῖται, καὶ τὴν θείαν εὐμένειαν. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. Καὶ τὸ μέγεθος τῆς ἀνίας ἐδίδαξε τὸ προοίμιον, καὶ τὴν τῆς θείας φιλανθρωπίας ὑπερβολήν· ἀνιώμενος γάρ 1) φησιν ἐδεήθην τοῦ Δεσπότου, καὶ τῆς εὐμενείας ἀπήλαυσα· εἶτα λέγει καὶ τίσιν ἐχρήσατο λόγοις δεόμενος. β΄. Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. Ἱκετεύω, φησὶ, τῶν ἀδίκως ἐπιβουλευόντων, καὶ δολεραῖς κεχρημένων ἀπάταις ἀπαλλαγῆναι· 2) τοιοῦτοι ἦσαν 3) περὶ τῆς εὐχῆς πάγας τῷ Δανιὴλ τεθεικότες, οἱ πικροὶ τῶν κατὰ τὸν Ἀνανίαν κατήγοροι. γ΄. Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; δ΄. Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα, σὺν τοῖς ἄνθραξι 4) τοῖς ἐρημικοῖς. Ἡ χάρις τοῦ πνεύματος ἐνταῦθα τοὺς ἀθυμοῦντας ψυχαγωγεῖ, καὶ τὴν δικαίαν ψῆφον ὑποδείκνυσιν ἐκφερομένην κατὰ τῶν κεχρημένων τῷ δόλῳ. δυνατὸν μὲν γὰρ καλεῖ τὸν τῶν ὅλων Θεόν· βέλη δὲ δυνατοῦ, τῶν τιμωριῶν τὴν ὀξύτητα· ἐκ μεταφορᾶς τῶν 5) ἐφιεμένων βελῶν, καὶ ῥᾳδίως τὸν ἀέρα τεμνόντων. ἄνθρακας δὲ ἐρημικοὺς, τὸ τῆς τιμωρίας

1) φησίν. Abest a Cod. 1. 2) τοιοῦτοι. Cod. 1. οὗτοι δὲ. 3) περί. Ib. præm. οἱ τάς. 4) τοῖς ἐρημ. *Hebr.* iuniperorum s. genistarum. *Aqu.* ἀρκευθίναις. 5) Cod. 1. ἀφιεμένων.

ας σφοδρόν τε, καὶ δαπανητικὸν, καὶ ἐρημοποιόν. τοιαύτη γὰρ τοῦ πυρὸς ἡ φύσις· ἀντὶ τοῦ, μὴ ἀθύμει ὑπὸ τῆς ἀδίκου γλώττης βαλλόμενος· 1) εὐτρεπεῖς γὰρ αἱ παρὰ τοῦ δικαίου κριτοῦ πεμπόμεναι τιμωρίαι, καὶ βελῶν ὀξύτητα, καὶ ἀνθράκων ἐρημοποιῶν μιμούμεναι τὴν ἐνέργειαν. ε΄. Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη. Ταῦτά φησιν ἔλεγον προσευχόμενος, καὶ τούτων ἀκούσας ὁ φιλάνθρωπος ᾤκτειρε. παροικίαν δὲ καλεῖ τὴν ἐν τῇ ἀλλοτρίᾳ διαγωγήν. ὁ δὲ ἑβδομηκοστὸς χρόνος μακρὸς εἰκότως νενόμισται· τοσαύτην γὰρ τὴν τελείαν τῶν ἀνθρώπων ὁ προφήτης ἔφη ζωήν· αἱ ἡμέραι γάρ φησι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. Ὁ Κηδὰρ δεύτερος τοῦ Ἰσμαὴλ υἱὸς, οἱ δὲ τούτου ἀπόγονοι οὐ πόῤῥω τῆς Βαβυλῶνος μέχρι τήμερον ἐσκήνωνται. ἐπειδὴ τοίνυν ἄνωθεν ἐναντίως διετέθησαν πρὸς ἀλλήλους· ἔκβαλε γάρ φησι τὴν παιδίσκην, καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ· εἰκότως σφᾶς αὐτοὺς ὀλοφύρονται, ὡς τῆς μὲν προτέρας ἐκπεσόντες ἐλευθερίας, ἐγγὺς δὲ τῶν ἡμιδούλων διάγοντες, καὶ δουλεύειν ἠναγκασμένοι. ϛ΄. Πολλὰ παρῴκησεν ἡ ψυχή μου. Μακρός φησι τῆς παροικίας ὁ χρόνος. Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με 2) δωρεάν. Ἐνταῦθα 3) μὲν Βαβυλωνίων μοχθηρίαν διδάσκει. οὐδὲν γάρ φησιν ἔχοντες ἐγκαλεῖν ἐπεβούλευον, καὶ τοῖς εἰρήνην ἀσπαζομένοις ὡς πολεμίοις ἐχρήσαντο.

vehementiam, et consumtionem, et desolationem. Huiusmodi enim est natura ignis: quasi dicat, Ne animum despondeas ab iniqua lingua percussus, parata enim sunt supplicia a iusto iudice emissa, quae sagittarum celeritatem, et carbonum desolatoriorum vim imitantur. * 5. *Heu mihi! quia incolatus meus prolongatus est.* Haec, ait, dicebam preces fundens, et cum has benignus exaudisset, misertus est. *Incolatum* autem vocat, in aliena terra stationem. Septuaginta quippe annorum tempus iure nominatur diuturnum. Tantam enim perfectam hominum vitam propheta dicit esse. Dies enim, inquit, a) annorum nostrorum in ipsis septuaginta anni. *Habitaui cum habitantibus Cedar.* *Cedar* secundus Ismaëlis filius fuit: posteri autem istius non longe ab vrbe Babylonis vsque in hodiernum diem habitant. Quoniam igitur a principio infestam vitam inuicem ducebant, Eiice enim, inquit, b) ancillam et filium eius, non erit enim heres filius ancillae cum filio meo Isaac; merito se ipsos deplorant, vt qui ex pristina libertate exciderant, et prope semi-seruos habitabant, et seruire cogebantur. 6. *Iam diu incola fuit anima mea.* Longum, inquit, est peregrinationis tempus. *Cum his, qui oderunt pacem, eram pacificus, si loquebar cum illis, impugnabant me gratis.* Hoc in loco Babyloniorum prauitatem docet: cum enim nihil, ait, obiicere possent, insidiis petebant, et iis qui pacem amplectebantur, velut hostibus vtebantur.

1) εὐτρεπεῖς. Hanc lectionem debemus Cod. 1. Prior lectio erat εὐπρεπεῖς. Conf. pag. 1382. n. 8. 2) δωρεάν. Abest a Textu hebr. nec apud alium Interpretem graecum exstat. 3) μὲν. Cod. 1. τήν.

a) Ps. 89, 10. b) Gen. 21, 10.

INTERP. PSALMI CXX.

Canticum graduum. His qui Babylone adhuc degebant etiam hic psalmus conuenit. 1. *Leuaui oculos meos ad montes, vnde veniet auxilium mihi.* A multis variisque calamitatibus cinctus, vbique oculos circumferebam, aliquam opem consequi desiderans. 2. *Auxilium meum a Domino, qui fecit cælum et terram.* Verum noui, me nullum humanum auxilium adepturum esse: quippe satis est mihi Dei beneuolentia. Et ostendens auxilii potentiam, subiecit, *Qui fecit cælum et terram.* Qui enim verbo hæc condidit, mihi etiam ferre opem potest. Deinceps quid ipsis faciendum sit propheta persequitur. * 3. *Non det in commotionem pedem tuum, neque dormitet qui custodit te.* Si steteris, inquit, firmam habens in ipso spem, omnem ab ipso opem consequeris. Illud autem, *Non dormitet qui custodit te*, humano more posuit, per Metaphoram ab illis desumtam, qui greges et exercitus et ciuitates diligenter custodiunt. Nam diuinam naturam passionibus obnoxiam non esse, per ea quæ sequuntur declarauit. 4. *Ecce non dormitabit, neque dormiet qui custodit Israelem.* Natura quidem peruigil est custos: te autem fluctuante, et ipse incuriam de te veluti quendam somnum accipiet. Non enim amplius de te curam geret, sed insidias tibi nectere volentibus permittet. 5. *Dominus custodiet te, Dominus protectio tua super manum dexteram tuam.* Hoc etiam in decimo quinto dixit psalmo, a) Præuidebam Dominum in conspectu meo

ΕΡΜΗΝ. ΤΟΥ ρκ΄ ΨΑΛΜΟΥ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. Τοῖς ἐν Βαβυλῶνι ἔτι διάγουσι καὶ οὗτος πρόσφορος ὁ ψαλμός. α΄. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ὑπὸ πολλῶν καὶ παντοδαπῶν περιστοιχιζόμενος ἀλγεινῶν, 1) πάντοθεν περιῆγον τοὺς ὀφθαλμοὺς, ἐπικουρίας τινὸς ἀπολαῦσαι ποθῶν. β΄. Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἀλλ᾽ οἶδα ὡς ἀνθρωπίνης μὲν οὐδεμιᾶς ῥοπῆς ἀπολαύσω, ἀπόχρη δέ μοι μόνη τοῦ Θεοῦ ἡ εὐμένεια· καὶ δεικνὺς τῆς βοηθείας τὸ δυνατὸν ἐπήγαγε· Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Ὁ γὰρ ταῦτα τεχνησάμενος λόγῳ ἱκανὸς ἐπαρκέσαι κἀμοί. ἐντεῦθεν αὐτοῖς τὸ πρακτέον ὁ προφήτης ἐξηγεῖται. γ΄. Μὴ 2) δώη εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. Εἰ μείνοις, φησὶ, βεβαίαν ἔχων εἰς αὐτὸν τὴν ἐλπίδα, πάσης παρ᾽ αὐτοῦ τεύξῃ κηδεμονίας. τὸ μέντοι, οὐ νυστάξῃ ὁ φυλάσσων σε, ἀνθρωπίνως τέθεικεν, ἐκ μεταφορᾶς τῶν καὶ ποίμνια, καὶ στρατείας, καὶ πόλεις ἐπιμελῶς φυλαττόντων. ὅτι γὰρ ἀπαθὴς ἡ θεία φύσις, διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. δ΄. Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Φύσει μὲν ἄγρυπνος ὁ φύλαξ, σοῦ δὲ σαλευομένου, καὶ αὐτὸς οἷόν τινα νυσταγμὸν δέξεται τὴν ἀμέλειαν. οὐκ ἔτι γάρ σου φροντίσει, ἀλλὰ τοῖς ἐπιβουλεύειν 3) προῃρημένοις προήσεται. ε΄. Κύριος φυλάξει σε, Κύριος σκέπη 4) σοι ἐπὶ χεῖρα δεξιάν σου. Τοῦτο καὶ ἐν τῷ ΙΕ΄ ἔφη ψαλμῷ, προωρώμην τὸν Κύριον ἐνώπιόν μου

διὸ

1) Cod. 1. πάντοσε. 2) δώη. Ita leg. in edit. *compl.* Rec. lectio est δώῃς. 3) προῃρημένοις. Cod. 1. πειρωμένοις. 4) Cod. 1. σου, quæ est rec. lectio h. l. *Hebr.* vmbra tua.

a) Pf. 15, 8.

διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μȣ ἐςὶν, ἵνα μὴ σαλευθῶ. καὶ ἐνταῦθα τοίνυν φησὶν, ὅτι παρὰ τὴν δεξιάν σου χεῖρα γενόμενος, καὶ σκεπάσει, καὶ φρουρήσει, καὶ πάσης ἀξιώσει προνοίας. ϛ'. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, ȣ̓δὲ ἡ σελήνη τὴν νύκτα. Φασὶ τὴν σελήνην μὴ μόνον ὑγρὰν, ἀλλὰ καὶ θερμὴν εἶναι, καὶ καίειν ὁμοίως τῷ ἡλίῳ τὰ σώματα· λέγει δὲ, ὅτι καὶ νύκτωρ, καὶ μεθ' ἡμέραν, τῆς παρ' αὐτȣ̃ προνοίας ἀπολαύων, ἀβλαβὴς 1) φυλαχθήσῃ. ἀναμιμνήσκει δὲ αὐτοὺς καὶ παλαιᾶς 2) ἱςορίας. καὶ γὰρ ἡνίκα τῆς Αἰγυπτίων δουλείας ἠλευθερώθησαν, τῇ νεφέλῃ σκιαζόμενοι, τῆς ἡλιακῆς φλογὸς ȣ̓κ ἐλάμβανον πεῖραν. ζ'. Κύριος 3) φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σȣ ὁ Κύριος. η'. Κύριος φυλάξει τὴν εἴσοδόν σȣ, καὶ τὴν ἔξοδόν σȣ, ἀπὸ τȣ̃ νῦν, καὶ ἕως τȣ̃ αἰῶνος. Τὴν 4) παντοδαπὴν τȣ̃ Θεȣ̃ πρόνοιαν διὰ τῶν εἰρημένων ἐδήλωσεν· ἧς παρȣ́σης, κρείττȣς τῶν πολεμȣ́ντων γινόμεθα δυσμενῶν, καὶ τὰς τῶν ὁρατῶν καὶ ἀοράτων διαφεύγομεν πάγας.

semper, quoniam a dextris est mihi, ne commouear. Et hoc itaque in loco ait, prope manum tuam dexteram existens, te proteget, et custodiet, et omni auxilio dignabitur. 6. *Interdiu sol non vret te, neque luna noctu.* Aiunt lunam non modo humidam, verum etiam calidam esse, et corpora instar solis exurere. Dicit autem, Et noctu, et interdiu, sub eius agens cura, illæsus custodieris. Admonet autem illos antiquæ historiæ. Etenim cum ab Aegyptiorum seruitute liberati essent, nube tecti solaris flammæ vim non senserunt. 7. *Dominus custodiet te ab omni malo, custodiet animam tuam Dominus.* 8. *Dominus custodiet introitum tuum, et exitum tuum, ab hoc inde tempore vsque in seculum.* Multiplicem Dei prouidentiam his verbis declarauit, qua præsente hostibus superiores euadimus, laqueosque tum eorum qui cernuntur, tum eorum qui non cernuntur, declinamus.

ΕΡΜΗΝ. ΤΟΥ ρκα' ΨΑΛΜΟΥ.

Ὠιδὴ τῶν 5) ἀναβαθμῶν. 6) Τοὺς μὲν προειρημένȣς τοῖς ἀθυμȣ̃σιν ὁ προφήτης προσήρμοσε· τȣ̃τον δὲ τὸν μετὰ χεῖρας, τοῖς ἤδη δεξαμένοις τῆς ἐπανόδȣ τὰ εὐαγγέλια, καὶ τῆς περιποθήτȣ πορείας ἁψαμένοις. γεγηθότες γὰρ, καὶ χορεύοντες, πρὸς ἀλλήλȣς φασὶν. α'. Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίȣ πορευσόμεθα. Εὐσεβείας αὕτη φωνή· γάννυνται γὰρ καὶ χαί-

INTERP. PS. CXXI.

Canticum graduum. Supradictos quidem mœrentibus propheta accommodauit: hunc * autem qui in manibus est, * iis qui reditus lætum nuncium iam acceperant, et quibus iucundissimum iter contigerat. Exsultantes enim et tripudiantes loquuntur. 1. *Lætatus sum de his qui dixerunt mihi, in domum Domini ibimus.* Religionis est hæc vox: nam exsultant et gaudent,

1) Cod. 1, φυλαχθείην. 2) ἱςορ. Desf. ibid. 3) Cod. vat. φυλάξαι. 4) παντοδ. Abest a Cod. 1. 5) ἀναβ. Textus hebr. add. לדוד. 6) Τοὺς — φασίν. Hæc ORIGENI tribuuntur apud CORD. T. III. p. 539.

dent, non tanquam domos recepturi, sed velut diuinum templum visuri. 2. *Stantes erant pedes nostri, in atriis tuis o Hierosolyma.* Iam, inquit, stare videmur in illis sacris atriis, diuinumque cultum peragere. 3. *Hierosolyma, quæ ædificatur vt ciuitas, cuius est participatio simul.* Symmachus autem sic, Hierosolyma, quæ ædificatur vt ciuitas, quæ connexionem habet. Quæ enim nunc deserta est, domosque disiectas habet, rursus florescet, et frequentabitur, pristinaque mœnia habebit. 4. *Illuc enim adscenderunt tribus, tribus Domini, testimonium Israelis, ad confitendum nomini Domini.* Sub Roboamo diuisæ fuerunt tribus, et a Dauidico regno decem separatæ: post reuersionem vero vnum imperium euasit, et omnes Hierosolymam secundum legem concurrerunt, vsitatum cultum Deo offerentes. Hoc igitur propheta hîc vaticinatur, tribus pristinam concordiam recepturas, Hierosolymamque concursuras, Deum vsitato more laudantes. *Testimonium* autem diuinam nuncupauit legem, palam iubentem, a) vt Israel in locum concurrat, quem elegerit Dominus Deus. 5. *Quia ibi sederunt sedes in iudicio, sedes super domum Dauid.* Diuina vaticinatus, etiam humana prædicit. Quoniam enim Hierosolymæ

ϕθεῖν, οὐχ ὡς τὰς οἰκίας ἀποληψόμενοι, ἀλλ᾽ ὡς τὸν θεῖον οἶκον ὀψόμενοι. β΄. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν, ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. Ἤδη, φησίν, ἑστάναι δοκοῦμεν ἐν ταῖς ἱεραῖς ἐκείναις αὐλαῖς, καὶ τὰς θείας λειτουργίας ἐπιτελεῖν. γ΄. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, 1) ἧς ἡ μετοχὴ αὐτῆς, ἐπὶ τὸ αὐτό. Ὁ δὲ Σύμμαχος οὕτως, Ἱερουσαλὴμ τὴν οἰκοδομουμένην, ὡς πόλιν συνάφειαν 2) ἔχουσαν. ἡ γὰρ νῦν ἔρημος, καὶ ἐσκεδασμένας ἔχουσα οἰκίας, 3) καὶ πάλιν ἀνθήσει, καὶ πυκνωθήσεται, καὶ τοὺς προτέρους ἀπολήψεται περιβόλους. δ΄. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου· μαρτύριον 4) τοῦ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. 5) Ἐπὶ τοῦ Ῥοβοὰμ διῃρέθησαν αἱ φυλαί, καὶ τῆς Δαβιτικῆς 6) αἱ δέκα βασιλείας ἀπεχωρίσθησαν· μετὰ δὲ τὴν ἐπάνοδον μία γέγονεν ἡγεμονία, καὶ εἰς τὴν Ἱερουσαλὴμ συνέτρεχον ἅπαντες κατὰ τὸν θεῖον νόμον, τῷ Θεῷ τὴν συνήθη λειτουργίαν προσφέροντες. τοῦτο τοίνυν 7) ὁ προφήτης ἐνταῦθα προθεσπίζει, ὅτι αἱ φυλαὶ τὴν προτέραν ὁμόνοιαν ἀπολήψονται, καὶ εἰς τὴν Ἱερουσαλὴμ συνδραμοῦνται, συνήθως τὸν Θεὸν ἀνυμνοῦντες. μαρτύριον δὲ τὸν θεῖον ἐκάλεσε νόμον, τὸν διαῤῥήδην κελεύοντα συντρέχειν τὸν Ἰσραὴλ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός. ε΄. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ. Προθεσπίσας τὰ θεῖα, προθεσπίζει καὶ τὰ ἀνθρώπεια. ἐπειδὴ γὰρ ἐν Ἱεροσολύμοις οὐ

1) ἧς — τὸ αὐτό. *Hebr.* quæ iuncta est sibi simul. 2) ἔχουσαν. Cod. 1. add. ἐμοῦ. Ita quoque MONTF. in Hexapl. ad h. l. 3) καί. Abest a Cod. 1. 4) τοῦ. Rec. lectio h. l. est τῷ. 5) Ἐπὶ — Κύριος ὁ Θεός. Ad ORIG. hæc referuntur apud CORD. l. c. p. 541. 6) αἱ δέκα. In Cod. 1. ponitur post βασιλείας. 7) ὁ. Ib. præm. καί.

a) Deut. 12, 5.

οὐ μόνον ὁ θεῖος ᾠκοδομήθη νεὼς, ἀλλὰ καὶ τὰ βασίλεια· καὶ ἐκεῖ συνέτρεχον ἅπαντες τὰ ἀμφισβητούμενα διαλύοντες, ἀναγκαίως καὶ τοῦτο προηγόρευσεν ὁ προφήτης· ὅτι οὐκ εἰς τὴν Σαμάρειαν αἱ δέκα φυλαὶ δραμοῦνται· ἀλλ᾽ ὥσπερ ἐπὶ τοῦ Δαβὶδ ἐκεῖνο εἶχον ἀκλινὲς δικαστήριον, οὕτω καὶ μετὰ τὴν ἐπάνοδον ἐκεῖ ἅπαντες ἀθροισθήσονται. ϛ'. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ, 1) καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Ὁ δὲ Σύμμαχος οὕτως· ἀσπάσασθε τὴν Ἱερουσαλὴμ, ἠρεμήσουσιν οἱ ἀγαπῶντές σε, ἀντὶ τοῦ, εἰρήνης ἀπολαύσαντες βαθείας, ἀσπάσασθε τὴν οἴκησιν τῆς Ἱερουσαλήμ. ἐν πάσῃ γὰρ θυμηδίᾳ οἱ ταύτην ἀγαπῶντες διατελοῦσι. ζ'. Γενέσθω 2) δὲ εἰρήνη 3) ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ὁ δὲ Σύμμαχος οὕτως, ἔστω εἰρήνη ἐν τῷ περιβόλῳ σου, ἡσυχία ἐν τοῖς βασιλείοις σου. ἐπεύχεται δὲ αὐτῇ ὁ θεῖος Δαβὶδ τὰ ἀγαθὰ, ὥστε καὶ τοὺς περιβόλους, καὶ τὰ βασίλεια, καὶ τὰς ἐν αὐτῇ οἰκίας, πάσης ἀπολαύειν εἰρήνης. η'. Ἕνεκα τῶν ἀδελφῶν μου, καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. θ'. Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι. Ταῦτα δέ φησιν ἐπεύχομαί σοι, οὐκ αὐτὸς ἐν σοὶ πολιτευόμενος· πῶς γὰρ ὅ γε πρὸ πολλοῦ χρόνου τοῦ βίου τὸ πέρας δεξάμενος; ἀλλὰ τοὺς ὁμοφύλους ἱμειρόμενος εἰρήνης τυχεῖν, καὶ τὸν οἶκον τοῦ Θεοῦ μου τὴν προτέραν περιφάνειαν ἀπολαβεῖν ἐφιέμενος.

non modo diuinum erectum erat templum, verum etiam regia domus, et eo omnes confluebant, qui controuersias decidere volebant, necessario hoc etiam propheta prædixit, fore vt in Samariam decem tribus non confluant, sed sicut Dauidis tempore illud habebant immobile tribunal, sic etiam post reditum ibi omnes conueniant. 6. *Rogate quæ ad pacem Hierosolymæ faciunt, et abundantia diligentibus te.* * Symmachus sic, Amplectimini Hierosolymam, quiescent qui diligunt te: hoc est, cum profunda pace potiti fueritis, Hierosolymæ habitationem amplectimini: quandoquidem in omni lætitia, qui hanc diligent, degent. 7. *Sit pax in virtute tua, et abundantia in turribus tuis.* Symmachus autem sic, Pax in mœnibus tuis sit, robur in tuis regiis domibus. Bona autem ipsi precatur diuinus Dauid, vt et mœnia, et domus regiæ, et habitationes quæ in ipsa sunt, omni pace fruantur. 8. *Propter fratres meos, et proximos meos, loquebar pacem de te.* 9. *Propter domum Domini Dei nostri, quæsiui bona tibi.* Hæc autem, inquit, tibi precor, non ego ipse in te degens: quomodo enim ille, qui multo ante finem vitæ suscepit, hæc dicere potest? sed desiderans, vt contribules pace fruantur, et exoptans, vt domus Dei mei pristinum splendorem recipiat.

1) καὶ — ἀγαπ. σε. *Hebr.* tranquillitate fruantur qui amant te. *Symm.* ἠρεμήσουσιν οἱ ἀγαπῶντές σε. 2) Rec. lectio h. l. est δή. 3) ἐν — εὐθηνία. *Hebr.* in antemurali tuo, tranquillitas.

INTERP. PS. CXXII.

Canticum graduum. Et hic psalmus pietatem iustorum illius temporis ostendit. 1. *Ad te leuaui oculos meos, qui habitas in cælo.* Omne humanum auxilium pro nihilo habens, tuam, o Domine, opem exspecto, et a tua prouidentia pendeo: te enim noui esse cælorum Dominum. Ipsum autem in cælis habitare dicit, non velut loco circumscriptum, sed veluti lætantem de inuisibilibus potestatibus, quæ cælos incolunt. 2. *Ecce sicut oculi seruorum intenti sunt in manus dominorum suorum, sicut oculi ancillæ in manus dominæ suæ, ita oculi nostri in Dominum Deum nostrum (intenti sunt).* Sicut enim, inquit, famuli ad dominorum manus respiciunt, vtpote qui vitæ commeatus inde accipiunt: sic et nos, Domine, a te bonorum fructum percipere præstolamur. Ancillæ igitur non per tautologiam meminit, sed vt affectus magnitudinem ostenderet. Magis enim ancillæ, * quam serui, quippe quæ continue versantur in cubiculis suarum dominarum, ad has attendere solent, et earum beneuolentiam expetere. *Donec misereatur nostri.* Non enim præscripto tempore spem definimus, sed exspectamus, donec veniam obtineamus. 3. *Miserere nostri Domine, miserere nostri.* Reduplicatio deprecationis studium demonstrat. *Quia valde repleti sumus contemtu.* 4. *Admodum repleta est anima nostra.* Effla-

ΕΡΜΗΝ. ΤΟΥ ρκβ′ ΨΑΛΜΟΥ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. 1) Καὶ οὗτος ὁ ψαλμὸς τῶν τηνικαῦτα δικαίων δείκνυσι τὴν εὐσέβειαν. α′. Πρός σε ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Πάσης ἀνθρωπίνης βοηθείας καταφρονήσας, τὴν σὴν ὦ Δέσποτα περιμένω ῥοπὴν, καὶ τῆς σῆς προνοίας ἐξήρτημαι· σὲ γὰρ οἶδα Δεσπότην τῶν οὐρανῶν. κατοικεῖν δὲ αὐτὸν ἐν οὐρανῷ ἔφη, οὐχ ὡς τόπῳ περιγραφόμενον, ἀλλ᾿ ὡς 2) τὸν ἀοράτοις δυνάμεσι ταῖς τὸν οὐρανὸν οἰκούσαις ἐπευφραινόμενον. β′. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν. Καθάπερ γάρ φησιν οἰκέται εἰς τὰς τῶν δεσποτῶν ἀποβλέπουσι χεῖρας, ἅτε δὴ τὰς ἀφορμὰς ἐκεῖθεν δρεπόμενοι 3) τοῦ βίου· οὕτω καὶ ἡμεῖς Δέσποτα παρά σου προσμένομεν λαβεῖν τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν. τῆς μέντοι παιδίσκης οὐ ταυτολογῶν ἐμνημόνευσεν, ἀλλὰ τῆς διαθέσεως δεικνὺς τὴν ἐπίτασιν. πλέον γὰρ τῶν παίδων αἱ παιδίσκαι, ἅτε δὴ ταῖς δεσποίναις ἐν τοῖς θαλάμοις συνοῦσαι, διηνεκῶς 4) προσέχειν ταύταις εἰώθασι, καὶ τὴν παρ᾿ αὐτῶν ποθοῦσιν εὐμένειαν. Ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. Οὐ ῥητῷ γὰρ χρόνῳ τήνδε τὴν ἐλπίδα περιορίζομεν, ἀλλὰ προσμένομεν ἕως ἂν ἀξιωθῶμεν φειδοῦς. γ′. Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς. Ὁ διπλασιασμὸς δηλοῖ τὸ θερμὸν τῆς αἰτήσεως. Ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. δ′. Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Αἰτοῦμεν

1) Καὶ — εὐσέβειαν. Hæc ORIGENI tribuuntur apud CORD. l. c. p. 548. Ita quoque ea quæ vltima sunt ad hunc psalmum, ἀντισηκῶν — συμφορᾶς.
2) τόν. Cod. 1. ταῖς. 3) τοῦ βίου. In Cod. 1. ponitur ante τάς — δρεπόμενοι.
4) προσέχειν. Abest a Cod. 1.

μεν δέ φησι τὸν ἔλεον, οὐχ ὡς ἄξιοι τούτου τυχεῖν, ἀλλ' ὡς ἐπονείδιστοι λίαν γενόμενοι. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. Ὁ δὲ Σύμμαχος οὕτως, ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν ἐπιλαλούντων τῶν εὐθηνούντων, ἐξευτελιζόντων τῶν ὑπερηφάνων. τῶν γὰρ ἀλαζόνων Βαβυλωνίων ἐπιτωθαζόντων ἡμῖν, καὶ ἐπικερτομούντων, ἡμεῖς ἀνιώμεθα. κατὰ δὲ τοὺς ἑβδομήκοντα οὕτω νοητέον· τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις· ἀντίστρεψόν φησι τὰ πράγματα Δέσποτα, καὶ τοῖς ἀλαζονευομένοις νῦν, δι' ἣν περίκεινται εὐκληρίαν, τὰς ἡμετέρας ἐπάγαγε συμφοράς.

gitamus autem, ait, misericordiam, non tanquam digni qui eam consequamur, sed admodum contumeliosi facti. *Opprobrium abundantibus, et contemtus superbis.* Symmachus ita, Anima nostra satiata est, obloquentibus his qui abundant, despicientibus superbis. Superbis enim Babyloniis nobis insultantibus, et exprobrantibus, nos tristitia afficimur. Secundum Septuaginta vero sic intelligendum est, *Opprobrium abundantibus, et contemtus superbis.* Conuerte, inquit, Domine res, et iis qui nunc efferuntur propter felicitatem, qua circumfluunt, nostras calamitates irroga.

ΕΡΜΗΝ. ΤΟΥ ρκγ'. ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν 1) ἀναβαθμῶν. 2) Μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, ἅπαντες οἱ πλησιόχωροι, δυσχεράναντες τὴν τῶν Ἰουδαίων ἐλευθερίαν, κοινῇ τὸν πρὸς αὐτοὺς ἀνεδέξαντο πόλεμον, καὶ βάρβαρα ἔθνη συναγαγόντες, κατὰ ταυτὸν αὐτοῖς ἐπεστράτευσαν, ἐλπίσαντες καὶ αὐτὴν αὐτῶν κατασβέσειν τὴν μνήμην. ἀλλὰ πάλιν ὁ τῶν ὅλων Θεὸς τοῖς μὲν οἰκείοις ἐπήρκεσε, τοὺς δὲ πολεμίους κατηκόντισεν ἅπαντας. λέγουσι δὲ ταῦτα τῶν προφητῶν οἱ πλεῖους, καὶ Ἰωὴλ, καὶ Ἰεζεκιὴλ, καὶ Μιχαίας, καὶ Ζαχαρίας, καὶ ἕτεροι πρὸς τούτοις πολλοί. ταῦτα καὶ ὁ μακάριος ἐνταῦθα προθεσπίζει Δαβίδ. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ. β'. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς. γ'. Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. Μὴ τῇ

INTERPR. PS. CXXIII.

1. *Canticum graduum.* Post reditum e Babylone, omnes finitimi, Iudæorum libertatem ægre ferentes, communiter contra ipsos bellum susceperunt, et barbaras gentes colligentes, coniunctis copiis bellum illis intulerunt, sperantes fore vt eorum quoque memoriam delerent: sed rursus vniuersorum Deus suis quidem opem tulit, omnes vero hostes debellauit. Hoc autem asserunt plurimi prophetæ, et Ioel, et Ezechiel, et Michæas, et Zacharias, et alii præter hos multi. Hæc etiam hoc in loco vaticinatur beatus Dauid. *Nisi Dominus fuisset cum nobis, dicat nunc Israel.* 2. *Nisi Dominus fuisset cum nobis, cum exsurgerent homines in nos.* 3. *Forte viuos deglutiuissent nos.* Nolite,

1) ἀναβ. In Textu hebr. add. לדוד. 2) Μετὰ τὴν κ. τ. λ. Hæc et alia multa ex Commentario ad hunc Psalmum, ORIGENI tribuuntur apud CORD. l. c. p. 553 sqq.

lite, inquit, vestræ potentiæ victoriam * adscribere, Deus enim huius largitor fuit. Dicite igitur inuicem tripudiantes, Nisi diuinam opem consecuti essemus, tot inimicis in nos irruentibus, ne sepulturam quidem nacti fuissemus, sed veluti a feris viuentes absorpti essemus. *Cum excitatus esset furor eius contra nos.* Inuidiam et inimicitias finitimarum gentium per hæc declarauit: frendebant enim Iudæorum cernentes libertatem. 4. *Forsitan aqua absorbuisset nos.* 5. *Torrentem pertransiuit anima nostra, forsitan pertransisset anima nostra aquam intolerabilem.* Per figuram omnia expressit. Quoniam enim dixerat, *Forsitan viuos deglutiuissent nos*, ostendit copiarum magnitudinem, torrentis instar irruentium, et omnes operire confidentium. Congruenter autem torrentis similitudinem posuit. Sicut enim torrens ex multis aquis collectus, vehementior euadit: sic illi, qui tunc in Hierosolymam irruperunt, ex multis variisque gentibus coacti fuere, sed diuina sententia fuerunt profligati. Hoc enim propheta docet. 6. *Benedictus Dominus, qui non dedit nos in captionem dentibus eorum.* Simul et illorum immanitatem, et Dei auxilium demonstrauit: dentes enim posuit, vt illorum feritatem ostenderet. 7. *Anima nostra sicut passer erepta est de laqueo venantium.* Bona fide et propriam imbecillitatem confitentur, passeri se ipsos com-

σφετέρᾳ, φησὶν, ἐπιγράψητε δυνάμει τὴν νίκην, Θεὸς γὰρ ταύτης γεγένηται χορηγός· εἴπατε τοίνυν πρὸς ἀλλήλους χορεύοντες, εἰ μὴ τῆς θείας ἐπικουρίας ἐτύχομεν, τοσούτων καθ᾽ ἡμῶν δυσμενῶν συνελθόντων, οὐκ ἂν οὐδὲ ταφῆς ἠξιώθημεν, ἀλλὰ καθάπερ ὑπὸ θηρίων ζῶντες ἂν κατεπόθημεν. Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν 1) αὐτοῦ ἐφ᾽ ἡμᾶς. Τὸν φθόνον, καὶ τὴν δυσμένειαν τῶν ἀστυγειτόνων ἐθνῶν διὰ τούτων ἐδήλωσε. διεπρίοντο γὰρ τὴν Ἰουδαίων ὁρῶντες ἐλευθερίαν. δ΄. Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. ε΄. Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ 2) τὸ ἀνυπόστατον. Τροπικῶς ἅπαντα εἴρηκεν· ἐπειδὴ γὰρ εἶπεν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, δείκνυσι τὴν τοῦ πλήθους ὑπερβολὴν, χειμάῤῥου δίκην προσβάλλοντος, καὶ συγκαλύψαι ἅπαντας προσδοκήσαντος. ἁρμοδίως δὲ τοῦ χειμάῤῥου τέθεικε τὴν εἰκόνα· καθάπερ γὰρ ὁ χειμάῤῥους ἐκ πολλῶν ἀθροιζόμενος 3) ὑετῶν σφοδρότερος γίνεται, οὕτως οἱ τηνικαῦτα τῇ Ἱερουσαλὴμ προσβαλόντες ἐκ πολλῶν καὶ διαφόρων ἐθνῶν συνηθροίσθησαν· ἀλλὰ κατελύθησαν ψήφῳ δικαίᾳ. τοῦτο γὰρ 4) ὁ προφήτης διδάσκει. ϛ΄. Εὐλογητὸς ὁ Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Κατὰ ταυτὸν καὶ τὴν ἐκείνων ὠμότητα, καὶ τοῦ Θεοῦ τὴν ἐπικουρίαν ἐδήλωσε· τοὺς γὰρ ὀδόντας τέθεικε, δεικνὺς τὴν ἐκείνων ὠμότητα. ζ΄. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Εὐγνωμόνως καὶ τὴν οἰκείαν ὁμολογοῦσιν ἀσθένειαν, στρουθῷ σφᾶς αὐτοὺς ἀπεικάζον-

1) Rec. lectio h. l. est αὐτῶν. 2) τὸ ἀνυπ. *Hebr.* superbæ s. elatæ sc. aquæ. *Symm.* et *Theod.* τὰ ὕδατα τὰ ὑπερήφανα. *Aqu.* ὡς τὰ ὕδατα οἱ ὑπερήφανοι. 3) ὑετῶν. Cod. 1. ὀχετῶν. 4) ὁ. Ib. præm. καί.

πάζοντες, καὶ τὴν τοῦ Θεοῦ κηρύττουσι δύναμιν, τῶν πολεμίων δεικνύντες τὸ ἰσχυρόν. Θηρευτὰς γὰρ ἐκείνους ἀποκαλοῦσιν· διδάσκει δὲ καὶ τῆς σωτηρίας τὸν τρόπον. Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν. Οὐ γὰρ μόνης ἀπηλαύσαμεν τῆς σωτηρίας, ἀλλὰ καὶ τῶν ἐχθρῶν τὸν ὄλεθρον εἴδομεν. η΄. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Τούτου χάριν, πάσης ἀνθρωπίνης καταφρονοῦμεν δυνάμεως, τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν ἐπίκουρον ἔχοντες, οὗ καὶ ἡ προσηγορία ἡμῖν εἰς σωτηρίαν ἀρκεῖ.

parantes, et Dei prædicant potentiam, hostium demonstrantes robur. Venatores enim illos appellant. Docet vero etiam salutis modum. *Laqueus contritus est, et nos liberati sumus.* Nam non modo salutem sumus consecuti, verum etiam hostium internecionem vidimus. 8. *Adiutorium nostrum in nomine Domini, qui fecit cælum et terram.* Propterea omnem humanam potentiam pro nihilo habemus, et cælorum et terræ opificem auxilio habentes, cuius vel appellatio ad salutem nobis satis est.

ΕΡΜΗΝ. ΤΟΥ ρκδ΄ ΨΑΛΜΟΥ.

α΄. Ὠιδὴ τῶν ἀναβαθμῶν. 1) Οἱ τῆς νίκης ἐκείνης τετυχηκότες τὸν ἐπινίκιον ᾄδουσιν ὕμνον, καὶ τῆς εἰς Θεὸν ἐλπίδος κηρύττουσι τὴν ἰσχύν. Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών. Ὁ τῇ εἰς τὸν Θεὸν ἐλπίδι φραττόμενος, 2) ὡς τὸ Σιὼν ὄρος ἀτρεμὴς μενεῖ, καὶ ἀκλόνητος, ἐπίσημός τε καὶ περίβλεπτος. Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα 3) ὁ κατοικῶν 4) Ἱερουσαλήμ. Τὸν κατοικοῦντα τὴν Ἱερουσαλὴμ κατὰ τοὺς νόμους τῆς Ἱερουσαλὴμ πολιτεύεσθαι δεῖ. τοῖς γὰρ οὕτω κατοικοῦσι, καὶ τῷ σκοπῷ τοῦ νόμου πειθομένοις, τὸ βέβαιον ὁ προφήτης ὑπέσχετο. β΄. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. Καθάπερ γὰρ τὰ ὄρη τὴν πόλιν κυκλοῖ, οὕτως ἡ θεία κηδεμονία τὸν εὐσεβῆ περιφράττει λαόν. Ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Οὐ γὰρ πρόσκαιρος ἡ τοῦ Θεοῦ δύναμις, ἀλλ᾽ αἰώνιος, καὶ ταύτης ἀξιοῖ τοὺς τὴν θερα-

* INTERP. PS. CXXIV. *

1. *Canticum graduum.* Qui illam victoriam adepti sunt, triumphalem canunt hymnum, et spei in Deo collocatæ vim prædicant. *Qui confidunt in Domino, sicut mons Zion.* Qui diuina spe munitus est, sicut mons Zion firmus, inconcussusque manebit, conspicuus et illustris. *Non commouebitur in æternum, qui habitat in Hierosolyma.* Eum qui Hierosolymam incolit, secundum Hierosolymæ leges viuere oportet. Iis enim, qui sic habitant, et legis scopo obtemperant, firmitatem propheta pollicetur. 2. *Montes in circuitu eius, et Dominus in circuitu populi sui.* Sicut enim montes ciuitatem cingunt, sic diuina cura pium munit populum. *Ab hoc inde tempore usque in sæculum.* Non enim temporaria est diuina potentia, sed sempiterna: et hac dignatur eos, qui ipsius

1) Οἱ — ἰσχύν. Hæc vt nonnulla alia quæ ad hunc Psalmum pertinent, apud CORD. l. c. p. 560 sqq. *Origeni* adscripta sunt. 2) ὡς — ὄρος. Def. in Cod. 1. 3) ὁ κατοικῶν. *Hebr.* sedebit. 4) Ἱερουσ. Ab hoc nomine in Textu hebr. incipit versic. 2.

ipsius cultum magni faciunt. 3. *Quia non relinquet Dominus virgam peccatorum super sortem iustorum.* Et Assyrios *virgam furoris* per Esaiam prophetam Dominus appellauit. Væ enim, inquit, *a*) Assyriis: virga furoris mei, et iræ meæ, in manibus eorum. Indignationem meam in gentem iniquam mittam, et contra populum meum mandabo, vt spolia colligat, et prædam. Hoc est, veluti quadam virga Assyriis vtens, animaduersione dignos castigo. Dicit igitur etiam hîc propheta, quod iusta vtens sententia Dominus vniuersorum, non permissurus sit iniustorum virgam cœtui iustorum infligi. Deinde caussam aperit. *Vt non extendant iusti ad iniquitatem manus suas.* Ne censentes, inquit, virtutis studiosi, sine ordine et sine gubernatione omnia ferri, in peius vergant, et hinc damnum reportent. 4. *Benefac Domine bonis et rectis corde.* Cum Dei iustitiam ostendisset, iustas preces fundit: orat enim, vt æqualia præmia boni consequantur. Hoc etiam Dominus ait, *b*) Qua mensura metimini, iterum mensurabitur vobis. Et, *c*) Beati misericordes, quoniam ipsi misericordiam consequentur. * 5. *Declinantes autem ad dolosa consilia abducet Dominus cum operantibus iniquitatem.* Dolosa consilia Aquila *complicationes* vertit, Symmachus *obliquitates*, Theodotio *peruersa.* Nihil autem iniusti petiit propheta, sed vt boni bona con-

πείαν αὐτοῦ περὶ πολλοῦ ποιουμένους. γ΄. Ὅτι οὐκ ἀφήσει Κύριος τὸν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων. 1) Καὶ τοὺς Ἀσσυρίους ῥάβδον θυμοῦ διὰ Ἡσαΐου τοῦ προφήτου προσηγόρευσεν ὁ Θεὸς, οὐαὶ γάρ φησιν Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου, καὶ τῆς ὀργῆς μου, ἐν ταῖς χερσὶν αὐτῶν· τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, καὶ 2) τῷ ἐμῷ λαῷ συντάξω ποιῆσαι σκῦλα, καὶ προνομήν. ἀντὶ τοῦ, καθάπερ τινὶ ῥάβδῳ τοῖς Ἀσσυρίοις κεχρημένος, τοὺς ἀξίους παιδεύω. λέγει τοίνυν ὁ προφήτης καὶ ἐνταῦθα, ὅτι δικαίᾳ κεχρημένος ψήφῳ τῶν ὅλων ὁ Κύριος, οὐ συγχωρήσει τῶν παρανόμων τὴν ῥάβδον τῇ τῶν δικαίων ἐπενεχθῆναι συμμορίᾳ. εἶτα καὶ τὴν αἰτίαν διδάσκει. Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. Ἵνα μὴ νομίσαντές φησιν οἱ τοῦ προσήκοντος ἐπιμελούμενοι ἄτακτα εἶναι πάντα καὶ ἀκυβέρνητα, ῥέψωσιν ἐπὶ τὸ χεῖρον, καὶ τὴν ἐντεῦθεν ἑλκύσωσι βλάβην. δ΄. Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Δείξας τοῦ Θεοῦ τὸ δίκαιον, δικαίαν ποιεῖται τὴν δέησιν. ἱκετεύει γὰρ τῶν ἴσων τυχεῖν τοὺς ἀγαθοὺς ἀντιδόσεων. τοῦτο δὲ καὶ ὁ Κύριος ἔφη, ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν· καὶ μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ε. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Τὰς στραγγαλιὰς ὁ μὲν Ἀκύλας διαπλοκὰς ἡρμήνευσε, σκολιότητας δὲ ὁ Σύμμαχος, ὁ δὲ Θεοδοτίων διεστραμμένα. ᾔτησε μέν τοι οὐδὲν ἄδικον ὁ προφήτης· ἀλλὰ τοὺς μὲν ἀγαθοὺς ἀγαθῶν ἀπολαῦσαι,

1) Καὶ — βλάβην. Hæc apud CORD. l. c. p. 562. ἀνωνυμεὶ exhibentur. 2) τῷ. Cod. 1. præm. ἐν.

a) Es. 10, 5. 6. *b*) Matth. 7, 2. *c*) Ib. c. 5, 7.

λαῦσαι, τοὺς δὲ τὴν 1) θείαν καταλιπόντας ὁδὸν, καὶ στραγγαλιαῖς καὶ διαπλοκαῖς κεχρημένους, τὸ κατάλληλον τέλος εὑρεῖν. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. Ἐκείνων δὲ δεξαμένων τὸν ὄλεθρον, οὗτοι τῆς εἰρήνης ἀπήλαυσαν. προσήκει μέντοι εἰδέναι, ὡς ταύτης ἀπήλαυσε τῆς προσηγορίας ὁ Ἰακὼβ τῆς θείας ἀξιωθεὶς θεωρίας. ὁμωνύμους τοιγαροῦν ἔχει τοὺς ὁμοτρόπους, καὶ καθαρὰν 2) πίστιν κεκτημένους 3) καὶ ψυχήν. οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραὴλ, ἀλλ' οἱ τοῦ Ἰσραὴλ ἀσπαζόμενοι τὴν εὐσέβειαν.

sequantur, qui vero rectam viam dereliquerunt, et obligationibus et simultatibus vsi sunt, congruentem finem inueniant. *Pax super Israel.* Illis autem interitum recipientibus, hi pace potiti sunt. Sciendum est autem, Iacobum hoc nomen adeptum esse, cum diuino conspectu dignus habitus fuisset. Cognomines igitur habet omnes, qui eosdem mores, et animam fidemque puram habent. Non enim omnes de Israele Israelitæ sunt, sed qui Israelis pietatem amplectuntur.

ΕΡΜΗΝ. ΤΟΥ ρκε' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. 4) Ἅπαντας μὲν ὁ Κῦρος βασιλεύσας ἐπανελθεῖν Ἰουδαίους προσέταξε, μοχθηρὰν δὲ οἱ πλείους ἔχοντες γνώμην, καὶ εἰς ἅπαντα τοῖς θείοις ἀντιτείνοντες νόμοις, ἐπανελθεῖν οὐκ ἠθέλησαν. ὅσοι δὲ τῆς προγονικῆς εὐσεβείας ἐπεμελοῦντο, καὶ τῆς κατὰ νόμον λατρείας ἐπεθύμουν, ἀσπασίως ἐποιήσαντο τὴν ἐπάνοδον. οὗτοι τοίνυν ἐν τῷδε τῷ ψαλμῷ τὴν οἰκείαν ἐλευθερίαν ὁρῶντες γεγήθασιν. εὔχονται δὲ ταύτης καὶ τοὺς ὁμοφύλους τυχεῖν. Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν 5) ὡσεὶ παρακεκλημένοι. Τὸ ὡς ἐπιτάσεως ἐνταῦθα σημαντικόν. πολλῆς, φησὶν, 6) ἀπηλαύσαμεν θυμηδίας, λύσαντος τοῦ Θεοῦ τῆς τιμωρίας τὸν ὅρον, καὶ τὴν ἐλευθερίαν τοῖς αἰχμαλώτοις δωρησαμένου. β'. Τότε ἐπλήσθη 7) χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιά-

INTERP. PSALMI CXXV.

1. *Canticum graduum.* Omnes quidem Iudæos redire Cyrus rex iussit, plurimi tamen prauam habentes mentem, et in omnibus diuinis legibus repugnantes, regredi noluerunt. Quotquot autem auitæ pietatis curam gerebant, legisque cultum desiderabant, libentissime redierunt. Hi igitur in hoc psalmo suam cernentes libertatem, exsultant, et precantur pro gentilibus suis, vt eandem consequantur. *Cum conuerteret Dominus captiuitatem Zionis, facti sumus perquam consolati.* Illud *perquam* exaggerationem hoc loco significat. Multam, inquit, lætitiam consecuti sumus, cum Deus finem supplicii solueret, et libertatem captiuis largiretur. 2. *Tunc repletum est gaudio os nostrum, et lingua nostra exsultatione,*

1) θείαν. Cod. I. εὐθεῖαν. 2) πίστιν. Ib. καὶ πιστήν. 3) καί. Def. ibid. 4) Ἅπαντας — τυχεῖν. ORIGENI hæc aliaque eorum quæ sequuntur, tribuit CORD. l. c. p. 56?. sqq. 5) ὡσεὶ παρακεκλ. *Hebr.* sicut somniantes. CHRYS. ἄλλος ἑρμηνευτὴς, ὡσεὶ ἐνυπνιαζόμενοι. 6) ἀπηλαύσαμεν. Cod. I. add. ἐνταῦθα. 7) χαρᾶς. *Hebr.* risu.

tatione. E vestigio enim voluptate persuasi, linguas in hymnorum cantum impulimus. *Exsultationem* enim Aquila *laudationem*, Symmachus *benedictionem* interpretati sunt. *Tunc dicent inter gentes, magnificum Dominus se praestitit erga eos.* Hoc vero nos apud omnes celeberrimos reddidit. Omnes enim Dei magnificentiam admirantur, quod ab acerba illa seruitute nos liberauerit. Nos itaque clamamus: *3. Magnificum se praestitit erga nos, facti sumus laetantes.* Absurdum enim est, vt hi qui divina cognitione sunt orbati, benignitatem nobis exhibitam admirentur, nos vero, qui beneficia consecuti sumus, ingrati animi vitio laboremus. 4. *Converte Domine captiuitatem nostram, sicut torrentes in austro.* Quae bona adepti sunt, ea vt alii gentilium suorum consequantur, desiderant, et communem Dominum obsecrant, vt etiam illis libertatem impertiat, vt reuertentium frequentia torrentem imitetur. *Austrum* vero Hierosolymam vocans, appellationem a situ petiit. Sic ipsam et Ezechiel et Habacuc nominant. Verum aliud etiam sermo demonstrat. Cum enim auster humidus ventus sit, nebulis aërem implet, et vehementes pluuias inducit, atque etiam cum niuem dissoluere soleat, aquis torrentes implet. Sic igitur, inquit, nostros gentiles vndique dissipatos iube congregari, et torrentis instar iter facere. 5. *Qui seminant cum lacrymis, cum exsultatione metent.* Non frustra autem preces fundimus, sed scientes la-

σεως. Εὐθὺς γὰρ ὑπὸ τῆς θυμηδίας διαχυθέντες ἐκινήσαμεν εἰς ὑμνῳδίαν τὰς γλώττας. τὴν γὰρ ἀγαλλίασιν ὁ μὲν Ἀκύλας αἴνεσιν, ὁ δὲ Σύμμαχος εὐφημίαν ἡρμήνευσαν. Τότε ἐρᾶσιν ἐν τοῖς ἔθνεσιν, ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν. Τοῦτο δὲ ἡμᾶς πολυθρυλλήτους παρὰ πᾶσιν ἀπέφηνεν. ἅπαντες γὰρ τὴν τοῦ Θεοῦ μεγαλουργίαν θαυμάζουσιν, ὅτι τῆς πικρᾶς ἡμᾶς ἐκείνης δουλείας ἀπήλλαξε· καὶ ἡμεῖς μέν τοι βοῶμεν· γ'. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι. Ἄτοπον γὰρ τοὺς μὲν τῆς θείας γνώσεως ἐστερημένους τὴν εἰς ἡμᾶς γεγενημένην θαυμάζειν φιλανθρωπίαν, ἡμᾶς δὲ τοὺς τῆς εὐεργεσίας τετυχηκότας ἀχαριστίαν νοσεῖν. δ'. Ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ. 1) Ὧν ἔτυχον ἀγαθῶν, καὶ τοὺς ἄλλους ὁμοφύλους ἀπολαῦσαι ποθοῦσι, καὶ τὸν κοινὸν Δεσπότην ἀντιβολοῦσι μεταδοῦναι τῆς ἐλευθερίας κἀκείνοις, ὥστε χειμάῤῥουν μιμεῖσθαι τῶν ἐπανιόντων τὸ πλῆθος. νότον δὲ τὴν Ἱερουσαλὴμ 2) καλῶν, ἀπὸ τῆς θέσεως τέθεικε τὴν προσηγορίαν· οὕτως αὐτὴν καὶ Ἰεζεκιὴλ, καὶ Ἀββακοὺμ ὀνομάζουσι. δηλοῖ δὲ καὶ ἕτερον ὁ λόγος· ὁ γὰρ νότος ἄνεμος ὑγρὸς ὢν, νεφῶν τὸν ἀέρα πληροῖ, καὶ ὄμβρους ἐπάγει σφοδρούς· καὶ μέντοι καὶ τὴν χιόνα πεφυκὼς διαλύειν, ἐμπίπλησι τοὺς χειμάῤῥους ὑδάτων. οὕτω τοιγαροῦν φησὶ, καὶ τοὺς ἡμετέρους ὁμοφύλους πανταχοῦ διεσπαρμένους κέλευσον ἀθροισθῆναι, καὶ χειμάῤῥου δίκην τὴν πορείαν ποιήσασθαι. ε'. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. Οὐ μάτην δὲ τὰς ἱκετείας ποιούμεθα, ἀλλὰ τοὺς τῶν δακρύων

1) Ὧν — ποιήσασθαι. Haec et quae proxima sunt, Οὐ μάτην — εὐφρ. CORD. l. c. p. 570. ἀνωνυμεὶ adposuit. 2) Cod. 1. καλεῖ.

κρύων εἰδότες καρπές. οἱ γὰρ μετὰ τέτων τὰ σπέρματα καταβάλλοντες, δαψιλῆ τὸν ἀμητὸν ὁρῶντες εὐφραίνονται. ς'. Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν. Διαφόρως τὴν αὐτὴν διάνοιαν εἴρηκε, τῇ ποικιλίᾳ τῆς διδασκαλίας πλείονα τὴν ὠφέλειαν πραγματευόμενος.

crymarum fructus. Qui enim cum his semina iaciunt, vberrimam messem cernentes lætantur. 6. *Euntes ibant, et flebant, spargentes semina sua. Venientes autem venient cum exsultatione, portantes manipulos suos.* Diuersis modis eandem dixit sententiam, varietate doctrinæ maiorem vtilitatem procurans.

ΕΡΜΗΝ. ΤΟΥ ρκς' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν 1) τοῦ Σολομών. 2) Πάλαι μὲν τὸν θεῖον νεὼν Σολομὼν ᾠκοδόμησε, 3) καταλυθέντα δὲ ὑπὸ Βαβυλωνίων Ζοροβάβελ ἀνέστησε. τῦτον οἶμαι Σολομῶντα ὀνομάζεσθαι, καὶ ὡς ἐκ Σολομῶντος τὸ γένος κατάγοντα, καὶ ὡς Σολομῶντος ἀνανεύμενον ἔργον. ὐδὲ γὰρ τῇ Σολομῶντος οἰκοδομίᾳ ὁ προφητικὸς ἁρμόττει λόγος, ἀλλὰ τῇ μετὰ τὴν ἐπάνοδον ὑπὸ τῦ Ζοροβάβελ γεγενημένῃ. τηνικαῦτα μὲν αὐτοὶ οἰκοδομεῖν ἐπειρῶντο, 4) διεκώλυον δὲ οἱ γειτονεύοντες, καὶ αὐτοὶ συνεχῶς πολεμῦντες, καὶ 5) τὴν Περσῶν κατ' αὐτῶν 6) ἐρεθίζοντες 7) βασιλείαν. καὶ ταῦτα ἡ τῦ Ἔσδρα σαφέστερον διδάσκει γραφή· οἱ περὶ τὸν Ζοροβάβελ τοίνυν, καὶ Ἰησῦν τὸν τῦ Σαλαθιὴλ, καὶ οἱ μετ' αὐτῶν εὐσεβείᾳ κοσμύμενοι, τήνδε τὴν εἰσήγησιν προσφέρουσι τῦ ψαλμῦ. Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομῦντες. ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Μηδεὶς μήτε τῶν οἰκοδομύντων, μήτε τῶν φυλαττόντων, τῇ οἰκείᾳ δυνάμει

INTERPR. PS. CXXVI.

1. *Canticum graduum Salomonis.* Olim quidem Salomo diuinum erexit templum, sed illud æquatum solo a Babyloniis Zorobabel restituit. Hunc opinor *Salomonem* nominari, et tanquam ex Salomone genus ducentem, et tanquam opus Salomonis instaurantem. Neque enim Salomonis ædificationi congruit sermo prophetæ, sed ei quæ a Zorobabele post reditum facta fuit. Tunc quidem ipsi ædificationem tentarunt: prohibebant autem finitimæ gentes * continue et ipsæ bellum inferentes, et Persarum regem in ipsos irritantes. * Hæc vero Esdræ historia manifestius docet. Zorobabel igitur, et Iosua filius Salathiel, et qui cum eis pietate præditi erant, hanc psalmi institutionem proferunt. *Nisi Dominus ædificauerit domum, in vanum laborauerint qui ædificant eam. Nisi Dominus custodierit ciuitatem, frustra vigilat qui custodit eam.* Nemo neque ex iis qui ædificant, neque ex iis qui custodiunt, propria sit fretus potentia,

1) τῦ Σολ. Abest a Cod. 1. 2) Πάλαι — προσφ. τῦ ψαλμῦ. Hæc et multa quæ ad hunc Psalmum pertinent, ORIGENI tribuit CORD. l. c. p. 576. sqq. 3) Cod. 1. καταλυθέντος. 4) Ib. διεκώλυσαν. 5) τήν. Cod. 1. τάς. 6) Ib. ἐρεθίζοντας. 7) Ib. βασιλέας.

tentia, sed diuinum imploret auxilium. Hoc enim concurrente, vtrumque facile est: procrastinante vero Deo auxilium, vanum est hominum studium. 2. *Vanum est vobis ante lucem surgere: surgite postquam sederitis, qui manducatis panem doloris.* Istud *surgite* non est imperatiuum, sed infinitiuum. Dicit autem omnia vana esse, Deo vniuersorum non concurrente, et ante lucem surgere, et expergisci ob ciuitatis excubias, et ob præsens ædificium. Quapropter commonefacit eos, qui cum dolore propter hostium impetus panem comedunt, vt spes in Deo collocent. *Cum dederit dilectis suis somnum.* 3. *Ecce hereditas Domini, filii, merces fructus ventris.* Somnum hoc in loco per translationem quietem appellauit: quietem vero etiam somnus hominibus præbet. Deo igitur, inquit, propria cura nos dignante, hostes superare poterimus, et sine labore ædificare, et tuto viuere, et sine cura dormire, plurimorumque filiorum patres esse secundum diuinam promissionem. Promisit enim se nostrum genus facturum sicut arenam, quæ est ad littus maris. Illud et hoc loco dixit, *Ecce hereditas Domini filii, merces fructus ventris*, hoc est, diuina promissio, et circa filios benedictio, veluti quædam merces nobis, qui in ipso spem constituimus, data est. 4. *Sicut sagittæ in manu potentis, ita filii excussorum.* Theo-

θαῤῥείτω, ἀλλὰ τὴν θείαν ἐπικαλείσθω ῥοπήν. ταύτης γὰρ συνεργούσης ἑκάτερον ῥᾴδιον· ἀναβαλλομένου δὲ τοῦ Θεοῦ τὴν βοήθειαν, μάταιος ἡ τῶν ἀνθρώπων σπουδή. β. Εἰς μάτην ὑμῖν ἐστι 1) τὸ ὀρθρίζειν, 2) ἐγείρεσθε μετὰ τὸ καθῆσθαι οἱ ἐσθίοντες ἄρτον ὀδύνης. Τὸ 3) ἐγείρεσθε οὐκ ἔστι προστακτικὸν, ἀλλὰ ἀπαρέμφατον. λέγει δὲ ὅτι πάντα μάταια, τοῦ Θεοῦ τῶν ὅλων μὴ συνεργοῦντος, καὶ τὸ ὀρθρίζειν, καὶ τὸ ἀνίστασθαι, εἴς τε φυλακὴν τῆς πόλεως, καὶ εἰς τὴν προκειμένην οἰκοδομίαν. διὸ παραινεῖ τοῖς μετ᾽ ὀδύνης τὸν ἄρτον ἐσθίουσι διὰ τὰς τῶν πολεμίων ἐπαναστάσεις, εἰς τὸν Θεὸν τὰς ἐλπίδας ἔχειν. 4) Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. γ. Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοὶ, μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὕπνον ἐνταῦθα τροπικῶς τὴν 5) ἀνάπαυσιν προσηγόρευσεν· ἀνάπαυλαν δὲ καὶ ὁ ὕπνος τοῖς ἀνθρώποις παρέχει. τοῦ Θεοῦ τοίνυν, φησὶ, τῆς οἰκείας ἀξιοῦντος κηδεμονίας, δυνησόμεθα τῶν πολεμούντων περιγενέσθαι, καὶ ἀπόνως οἰκοδομῆσαι, καὶ διάγειν ἀσφαλῶς, καὶ δίχα φροντίδος καθεύδειν, καὶ πλειόνων παίδων γενέσθαι πατέρες κατὰ τὴν θείαν ὑπόσχεσιν. ὑπέσχετο γὰρ ποιήσειν ἡμῶν τὸ γένος, ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. τοῦτο καὶ ἐνταῦθα 6) ἔφη· Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοὶ, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός· 7) τουτέστιν, ἡ θεία ὑπόσχεσις, καὶ ἡ περὶ τοὺς παῖδας εὐλογία, καθάπερ τις ἡμῖν μισθὸς τοῖς εἰς αὐτὸν ἠλπικόσι δεδώρηται. δ. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ 8) τῶν τετιναγμένων. Ὁ δὲ Θεο-

1) τοῦ. Cod. *vat.* τό. 2) ἐγείρ. μετὰ τὸ καθ. *Hebr.* tardantibus sedere. *Aqu.* βραδύνουσι καθῆσθαι. 3) ἐγείρεσθε. Ita leg. in Cod. 1. et apud CORD. l. c. p. 577. Prior editio habebat ἐγείρεσθαι. 4) Ὅταν δῷ. *Hebr.* ita dabit. 5) Cod. 1. ἀνάπαυλαν. 6) ἔφη. Ib. εἶπεν. 7) τουτέστιν — δεδώρηται. Hæc ATHANASIO adscripta sunt a CORD. l. c. p. 578. 8) τῶν τετιν. *Hebr.* iuuentutis. Cod. 1. habet ἐκτετιναγμένων. Ad h. l. conf. HIERON. Epist. ad *Marcellam*.

Θεοδοτίων, 1) ὡς βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ νεότητος· κατὰ ταύτην 2) δὲ καὶ 3) ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος ἡρμήνευσαν. λέγει δὲ, ὅτι ἐσόμεθα 4) τῷ Θεῷ πεποιθότες οὐ μόνον πολλοὶ, ἀλλὰ καὶ δυνατοὶ, οἷόν τινα βέλη παρὰ δυνατοῦ τινὸς ἐφιέμενα· καὶ οἱ νῦν ἀσθενεῖς, καὶ σφόδρα ταλαιπωρούμενοι, τοῦτο γὰρ δηλοῖ τὸ ἐκτετιναγμένων, ἰσχυροὶ λίαν ἐσόμεθα, τῆς ἄνωθεν ῥοπῆς 5) ἀπολαύσαντες. έ. Μακάριος, ὃς πληρώσει 6) τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν. Τουτέστι, τῶν πολεμίων· οὐ μόνον γὰρ οὐχ ἡττηθησόμεθα, ἀλλὰ καὶ περιγενησόμεθα τούτων, καὶ ζηλωτοὶ παρὰ πᾶσιν ἐσόμεθα. Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς 7) αὐτοῦ ἐν πύλαις. Τουτέστιν, ἡνίκα ἂν πρὸ τῶν πυλῶν τοῖς παρὰ τῶν πολεμίων πεμπομένοις πρέσβεσι 8) διαλεξόμεθα. τοῦτο δὲ εἶπε κατὰ τὸ παλαιὸν ἔθος· οὐδὲ γὰρ ἐδέχοντο εἴσω τῶν πυλῶν τοὺς πεμπομένους πρέσβεις, ἀλλ' ἔξω τὰς 9) ὑποκρίσεις ἐποιοῦντο. διὰ πάντων δὲ τῆς εἰς Θεὸν ἐλπίδος τὸ ἄμαχον ἔδειξεν.

dotio, Sicut sagittæ in manu potentis, sic filii iuuentutis: secundum hunc quoque sensum Aquila et Symmachus interpretati sunt. Dicit * autem, Deo confidentes, non modo frequentes erimus, verum etiam potentes, veluti quædam sagittæ a potente aliquo emissæ: et qui imbecilles nunc sumus, et admodum miseri, (nam hoc indicat *excussorum*,) valde robusti euademus, superno auxilio fruentes. 5. *Beatus vir, qui impleuit desiderium suum ex ipsis.* Hoc est, hostibus. Nam non modo non vincemur, verum etiam hos superabimus, et felices apud omnes erimus. *Non confundentur si loquetur cum inimicis suis in portis.* Videlicet si ante portas cum legatis ab hostibus missis sermonem habuerimus. Hoc vero secundum veterem morem dixit. Non enim intra portas missos legatos admittebant, sed foris respondebant. Ceterum per omnia inuictum robur spei in Deo collocatæ demonstrauit. *

ΕΡΜΗΝ. ΤΟΥ ρκζ' ΨΑΛΜΟΥ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. Ὅσων πρόξενον ἀγαθῶν τὸ πεποιθέναι Θεῷ δείξας ἐν τῷ προτεταγμένῳ ψαλμῷ, ἐνταῦθα μακαρίζει τοὺς μετὰ τῆς ἐλπίδος τὸν θεῖον ἔχοντας φόβον, δι' ὃν καὶ τῆς ἀρετῆς ἡ κτῆσις προσγίνεται. ἀναγκαῖον δὲ τοῖς τῷ Θεῷ πεπιστευκόσιν ἡ κατὰ Θεὸν πολιτεία.

INTERP. PSALMI CXXVII.

Canticum graduum. Cum in præcedente psalmo ostendisset, quantum conciliet boni spes in Deo collocata: hîc beatos eos esse dicit, qui cum spe diuinum habent timorem, per quem virtutis possessio acquiritur. Necessaria quippe est his, qui Deo crediderunt, vita secundum Dei voluntatem composita. quan-

1) ὡς. Cod. 1. præm. ὅτως. 2) δὲ. Ib. sequitur τὴν διάνοιαν. 3) ὁ Ἀκύλας. Hic autem pro νεότητος habet ἐφηβείων, teste MONTF. in Hexapl. ad h. l. 4) τῷ Θεῷ. Abest a Cod. 1. 5) Ib. ἀπολαύοντες. 6) τὴν ἐπιθ. αὐτοῦ. *Hebr.* pharetram suam. Ita *Aqu. Symm.* et *Theod.* 7) αὐτοῦ. Præstat lectio rec. αὐτῶν, *ald.* autem et *compl.* habent αὐτοῦ. 8) Cod. 1. διαλεγόμεθα. 9) Ib. ἀποκρίσεις. Ita quoque CORD. l. c. p. 579.

quandoquidem hic finis pietatis perfectus est. *1. Beati omnes, qui timent Dominum.* Non eum, qui ex Abrahamo genus trahit, aut ex Israelis semine, beatum esse asserit sermo propheticus, sed eum, qui diuino timore est decoratus. Hoc et beatus Petrus in Actibus ait, *a*) In veritate comperi, personas non accipere Deum, sed in omni gente, qui timet eum, et operatur iustitiam, acceptum esse illi. Ostendit porro propheticus sermo diuini etiam timoris characterem. Subdit enim, *Qui ambulant in viis eius.* *b*) Non enim omnis, qui dicit mihi Domine, Domine, intrabit in regnum cælorum, sed qui facit voluntatem patris mei, qui in cælis est. Proprium igitur est eorum, qui Deum timent, a diuinis viis haudquaquam deflectere, sed in ipsis continue iter facere. *2. Labores manuum tuarum manducabis.* * Symmachus, Laborem manuum tuarum manducans: vt itaque apertum sit, etiam septuaginta interpretes *καρποὺς* non fructuum perceptionem vocasse, sed manuum partem. Dicit autem, fore vt bonorum, quæ a te seminata sunt, fructus decerpas. Hoc etiam beatus ait apostolus, *c*) Qui parce seminat, parce quoque metet, et qui seminat in benedictionibus, in benedictionibus quoque metet. *Beatus es, et bene tibi erit.* Non enim verbo solo felix et illustris eris, sed re ipsa felicitatem habebis. *3. Vxor tua sicut vitis abundans in lateribus domus tuæ.* Quoniam illa tempestate hæc felicitas censebatur, pollicetur ipsis propheticus sermo etiam vxorum fœ-

ὗτος γὰρ εὐσεβείας τέλειος ὅρος. α'. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον. Οὐ τὸν ἐκ γένους Ἀβραὰμ, οὐδὲ τὸν ἐκ σπέρματος Ἰσραὴλ, ὁ προφητικὸς ἐμακάρισε λόγος, ἀλλὰ τὸν τῷ θείῳ φόβῳ κοσμούμενον. τοῦτο καὶ ὁ μακάριος Πέτρος ἐν ταῖς πράξεσι λέγει· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν. ὑπέδειξε δὲ ὁ προφητικὸς λόγος καὶ τοῦ θείου φόβου τὸν χαρακτῆρα· ἐπήγαγε γὰρ, Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. Οὐ πᾶς γὰρ ὁ λέγων μοι Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἴδιον τοίνυν τῶν φοβουμένων τὸν Κύριον, τὸ μὴ βαίνειν ἔξω τῶν θείων ὁδῶν, ἀλλ' ἐν αὐταῖς ποιεῖσθαι τὴν πορείαν διηνεκῶς. β'. Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι. 1) Ὁ δὲ Σύμμαχος, κόπον χειρῶν σου ἐσθίων· ὡς εἶναι δῆλον, ὅτι καὶ οἱ ἑβδομήκοντα καρποὺς οὐ τὴν ἐπικαρπίαν ἐκάλεσαν, ἀλλὰ τὸ μέριον τῶν χειρῶν. λέγει δὲ, ὅτι τῶν ὑπὸ σοῦ σπειρομένων ἀγαθῶν τοὺς καρποὺς τρυγήσεις· τοῦτο δὲ καὶ ὁ θεῖος ἀπόστολος ἔφη, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. Μακάριος εἶ 2) σὺ, καὶ καλῶς σοι ἔσται. Οὐ γὰρ λόγῳ μόνῳ ἔσῃ ζηλωτὸς καὶ περίβλεπτος· ἀλλὰ καὶ ἔργῳ ἕξεις τὴν εὔκληρίαν. γ'. Ἡ γυνή σου, ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. Ἐπειδὴ κατ' ἐκεῖνον τὸν καιρὸν ταύτην εὐπραξίαν ἐνόμιζον, ὑπισχνεῖται αὐτοῖς ὁ λόγος καὶ γυναικῶν εὐκαρ-

1) Ὁ — καὶ θερίσει. Hæc ORIGENI tribuuntur a CORD. l. c. p. 585. sq.
2) σύ. Abest a Cod. 1. et a Textu τῶν ό.

a) Act. 10, 34. 35. *b*) Matth. 7, 21. *c*) 2 Cor. 9, 6.

καρπίαν, ὥστε ἀμπέλοις παραβάλλεσθαι τεθηλυίαις, καὶ βριθούσαις τοῖς βότρυσιν. Οἱ υἱοί σου, ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης σου. Καὶ ἐν τῷ πεντηκοστῷ καὶ πρώτῳ ψαλμῷ τὸν δίκαιον ἐλαίᾳ παρέβαλεν· ἐγὼ γάρ ἔφη ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· καὶ ἐνταῦθα τοῦ φοβουμένου τὸν Κύριον τοὺς παῖδας νεοφύτοις ἐλαιῶν ἀπείκασεν, ὡς τῆς εὐσεβείας τὴν 1) ἀρδείαν, καὶ τὸν καρπὸν τὸν ὥριμον φέροντας, καὶ τὸ φύλλον οὐκ ἀποβάλλοντας, κατὰ τὸν ἐν τῷ πρώτῳ ψαλμῷ μακαριζόμενον ἄνδρα. δ'. Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν Κύριον. Τρόπου γὰρ ὁ Θεὸς οὐ γένους κριτής. οὕτω τὸν Ἰὼβ ἐκ τοῦ Ἡσαῦ τὸ γένος κατάγοντα στεφάνων ἠξίωσεν· οὕτω τὸν Ἀβιμέλεχ πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν· οὕτω τὸν εὐνοῦχον, οὕτω τὸν Κορνήλιον, οὕτω πάντα τὰ ἔθνη. ε'. Εὐλογήσαι σε Κύριος ἐκ Σιών. Κατὰ τὴν τότε κατέχουσαν δόξαν. ἐκεῖ γὰρ οἰκεῖν ὁ Θεὸς νενόμιστο. Καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. τοῦτο γὰρ ἰδεῖν 2) ἐπόθουν οἱ ἐκ Βαβυλῶνος ἐπανελθόντες, καὶ τῆς πόλεως τὴν ἐρημίαν ὁρῶντες. ς'. Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. Εὐλογία μεγάλη νενόμιστο εἰς γῆρας ἐλάσαι βαθὺ, καὶ παῖδας ἰδεῖν. συμβαινούσας τοίνυν ταῖς γνώμαις ὁρίζει τὰς εὐλογίας· ὅτι δὲ οὐκ ἐν τούτοις εἶδε τῶν ἀγαθῶν τὴν κτῆσιν, ὁ μακάριος Ἡσαΐας ἐδίδαξε· μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι ἐγώ εἰμι ξύλον ξηρὸν, ὅτι τάδε λέγει Κύριος τοῖς εὐνούχοις τοῖς φυλαττομένοις τὰ σάββατά μου, καὶ ἐκλεγομένοις ἃ ἐγὼ θέλω, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου, τόπον ὀνομαστὸν, καὶ ὄνομα ἀγαθὸν, κρεῖττον

cunditatem, vt florentibus vitibus et botris onustis futuræ sint similes. *Flii tui sicut nouellæ oliuarum in circuitu mensæ tuæ.* Etiam in quinquagesimo primo psalmo iustum oliuæ comparauit, Ego enim, inquit, *a)* sicut oliua fructifera in domo Dei. Et hîc timentis Dominum filios nouellis plantis oliuarum assimilauit, tanquam pietatis irrigationem, tempestiuumque fructum ferentes, et folium minime abiicientes, secundum imaginem viri qui in psalmo primo beatus dicitur. *4. Ecce sic benedicetur homo, qui timet Dominum.* Nam morum et non generis Deus est iudex. Sic etiam Iobum ex Esauo genus ducentem coronis dignatus est; sic etiam Abimelechum ad veritatem deduxit; sic eunuchum, sic Cornelium, sic omnes gentes. *5. Benedicat tibi Dominus e Zione.* Secundum opinionem, quæ tunc increbuerat, locutus est. Ibi enim Deus habitare censebatur. *Et videas bona o Hierosolyma omnibus diebus vitæ tuæ.* Hoc enim videre sitiebant ii qui e Babylone regressi fuerant, ciuitatis solitudinem cernentes. *6. Et videas filios filiorum tuorum.* Magna gratia existimabatur ad extremam peruenire senectutem, filiosque filiorum videre. Itaque benedictiones illius temporis opinionibus accommodatas assignat. Bonorum vero possessionem minime in his bonis consistere beatus Esaias docuit, *b)* Ne dicat eunuchus, ego sum lignum aridum, quoniam hæc dicit Dominus eunuchis * custodientibus sabbata mea, et eligentibus quæ ego volo, dabo ipsis in domo mea et in pariete meo locum clarum, et nomen bonum, præstantius filiis

1) ἀρδείαν. Cod. 1. add. δεχομένους. 2) Ib. ἐπεπόθουν.

a) Ps. 51, 8. *b)* Es. 56, 3. 5.

filiis et filiabus. *Pax super Israel.* Rursus Israeli pacem precatur: vera autem pax, pax est cum Deo: carnalis vero Israel, cum ex illa excidisset, etiam alia orbatus est.

υἱῶν καὶ θυγατέρων. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. Πάλιν ἐπεύχεται τῷ Ἰσραὴλ εἰρήνην. ἀληθὴς δὲ εἰρήνη ἡ πρὸς Θεὸν εἰρήνη. ὁ δὲ σαρκικὸς Ἰσραὴλ ἐκείνης ἐκπεσὼν, καὶ τῆς ἄλλης ἐστέρηται.

INTERP. PS. CXXVIII.

1. *Canticum graduum.* Etiam hic psalmus prædictionem continet de gentibus, quæ in Iudæos post reditum irruerunt; et docentur dicere. *Sæpe impugnaverunt me a iuuentute mea, dicat nunc Israel.* 2. *Sæpe impugnauerunt me a iuuentute mea: etenim non valuerunt contra me.* *Iuuentutem* vocat commorationem in Aegypto, et ex ea liberationem. Et beneficii auctorem celebrans, diuinas gratias enumerat, dicens, olim et a principio multi inimici in me irruerunt, et omnis generis malis me cingere conati sunt: verum per diuinum auxilium declinaui illorum insidias. Verius igitur hæc nouo populo congruunt, qui multos quidem hostium impetus sustinuit, sed omnes superauit, hostesque supplices reddidit. 3. *Super dorso meo fabricauerunt peccatores.* Aquila et Theodotio *arauerunt* interpretati sunt. Indicat autem sermo flagella et verberationes triumphatoribus martyribus ab impiis inflictas. Hæc vero et beatus Daniel, et admirabiles Ananias, Azarias, et Misael, et Antiochi tempore Maccabæi pertulerunt. *Prolongauerunt iniquitatem suam.* Aquila *produxerunt*, Symmachus

ΕΡΜΗΝ. ΤΟΥ ρκη' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Καὶ οὗτος ὁ ψαλμὸς πρόῤῥησιν ἔχει τῶν μετὰ τὴν ἐπάνοδον ἐπαναστάντων Ἰουδαίοις ἐθνῶν· καὶ διδάσκονται λέγειν. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ. β'. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου· καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. 1) Νεότητα καλεῖ τὴν ἐν Αἰγύπτῳ διαγωγὴν, καὶ τὴν ἐκεῖθεν ἀπαλλαγήν· καὶ τὸν εὐεργέτην ὑμνῶν, τὰς θείας ἀπαριθμεῖται χάριτας, ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς πολλοί μοι δυσμενεῖς ἐπανέστησαν, καὶ παντοδαποῖς με περιβαλεῖν κακοῖς ἐπειράθησαν· διὰ δὲ τῆς θείας ἐπικουρίας διέφυγον τὰς ἐκείνων ἐπιβουλάς. ἀληθέστερον μέν τοι ταῦτα τῷ νέῳ ἁρμόττει λαῷ, πολλὰς μὲν δεξαμένῳ προσβολὰς πολεμίων, πάντων δὲ περιγενομένῳ, καὶ τοὺς πολεμίους προσκυνητὰς ἀποφήναντι. γ'. Ἐπὶ 2) τὸν νῶτόν μου 3) ἐτέκταινον οἱ ἁμαρτωλοί. Ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων, ἠροτρίασαν ἡρμήνευσαν. δηλοῖ δὲ ὁ λόγος τὰς μάστιγας, καὶ τὰς αἰκίας, τὰς τοῖς νικηφόροις μάρτυσιν ἐπενεχθείσας ὑπὸ τῶν δυσσεβῶν. ταῦτα δὲ καὶ οἱ περὶ τὸν μακάριον ὑπέμειναν Δανιὴλ, καὶ οἱ θαυμάσιοι Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ, καὶ ἐπὶ Ἀντιόχου οἱ Μακκαβαῖοι. 4) Ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. Ὁ δὲ Ἀκύλας ἐμήκυναν, ὁ δὲ Σύμμαχος παρέ-

1) Νεότητα — ἀποφήναντι. Haud dissimilia sunt quæ sub ORIG. nomine attulit CORD. l. c. p. 592. sq. 2) Cod. 1. τοῦ νώτου. 3) ἐτέκταινον οἱ ἁμαρτ. *Hebr.* arauerunt aratores. 4) ἐμάκρ. — αὐτῶν. *Hebr.* prolongarunt sulcos suos.

παρέτεινόν κακοῦντες· ἀντὶ τοῦ, ἐπέμειναν μέχρι πολλοῦ 1) μοι πολεμοῦντες, καὶ τὴν οἰκείαν αὔξοντες ἀνομίαν. δ'. Κύριος δίκαιος συνέκοψεν 2) αὐχένας ἁμαρτωλῶν. Τοὺς αὐχένας βρόχους ὁ Ἀκύλας καὶ Σύμμαχος ἡρμήνευσαν· ὁ δὲ Θεοδοτίων κλοιοὺς, πάντα δὲ ἀληθῆ. καὶ γὰρ οὓς κατεσκεύασαν τοῖς ἁγίοις βρόχους, κατέκοψεν ὁ τούτων Θεὸς, καὶ τοὺς 3) περιτεθέντας αὐτοῖς κλοιοὺς συνέτριψε, καὶ αὐτοὺς τῶν ἁμαρτωλῶν τοὺς αὐχένας συνέκοψεν. ε'. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντές Σιών. Διαμάρτοιέν φησι τῶν πονηρῶν ἐγχειρημάτων, καὶ τράποιντο εἰς φυγὴν οἱ τὴν Σιὼν πολεμοῦντες. ς'. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη. ζ'. Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. Ἔνια τῶν ἀντιγράφων οὐκ 4) ἐξηρανθῆναι ἔχει, ἀλλὰ 5) ἐκσπασθῆναι· ὃ καὶ ἐπὶ τῶν ληΐων γινόμενον ὁρῶμεν ἀεί. οὐδεὶς γὰρ ὑγρὸν ὄντα τὸν ἄσταχυν θερίζειν ἀνέχεται, ἀλλὰ μένει πεπανθῆναι, καὶ διαυανθῆναι, καὶ τότε τὴν δρεπάνην ἐπάγει· ἡ δὲ ἐπὶ τῶν δωμάτων φυομένη πόα, πρὶν βλαστῆσαι καρπὸν, τῇ τοῦ ἡλίου ξηραίνεται προσβολῇ· τούτοις τῶν πολεμίων τὰς ἐγχειρήσεις ἀπεικασθῆναι παρακαλεῖ, καὶ ταύταις παραπλησίως ἄωρον δέξασθαι τέλος. η'. Καὶ οὐκ εἶπον οἱ παράγοντες, εὐλογία Κυρίου ἐφ' 6) ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου. Οἱ τὰ κομῶντα θεώμενοι λήϊα, θαυμάζειν εἰώθασι τὴν γεωργῶν ἐπιμέλειαν, καὶ εὐλογοῦσι 7) παριόντες τοὺς

protraxerunt malo afficientes: hoc est, diutius mihi bellum inferre, et suam iniquitatem augere perseuerarunt. 4. *Dominus iustus concidit ceruices peccatorum.* *Ceruices* Aquila et Symmachus *laqueos* dixerunt, sed Theodotio *torques* interpretatus est: omnia autem sunt vera. Etenim quos laqueos sanctis viris pararunt, hos illorum Deus * contudit, et torques ipsis circumpositos contriuit, et ipsas peccatorum ceruices concidit. 5. *Confundantur et conuertantur retrorsum omnes qui oderunt Zionem.* A malis suis conatibus decidant, ait, et in fugam conuertantur, qui Zioni bellum inferunt. 6. *Fiant sicut foenum tectorum, quod priusquam euellatur exaruit.* 7. *Quo non impleuit manum suam qui metit, et sinum suum qui manipulos colligit.* Nonnulla exemplaria non habent *exarescere*, sed *euelli*, quod etiam in segetibus fieri semper cernimus. Nemo enim spicam adhuc viridem metere vult, sed exspectat vt maturescat, et arescat, et tunc falcem immittit. Herba vero super domos orta, antequam fructum producat, solis impetu arescit. His herbis vt hostium conatus similes sint precatur, vtque harum instar immaturum finem accipiant. 8. *Et non dixerunt qui praeteribant, benedictio Domini super vos, benediximus vobis in nomine Domini.* Qui vberes segetes intuentur, agricolarum curam admirari solent, et praetereuntes eis benedicunt, qui

1) μοι. Abest a Cod. 1. 2) αὐχένας. *Hebr.* funes. 3) Cod. 1. περιτεθέντας. 4) ἐξηρ. Ib. ἐξανθῆσαι. 5) ἐκσπασθ. Ib. sequ. ἔχει. 6) ὑμᾶς. Prior editio habebat ἡμᾶς, quam lectionem, quae vnius *aldinae* fide nititur, commutauimus cum recepta, autoritate Codicis 1. 7) Cod. 1. παρόντες.

qui talia metunt: colligentibus vero fœnum e tectis, nemo vnquam tale quippiam dixit.

τὰ τοιαῦτα θερίζοντας. τοῖς δὲ τῶν δωμάτων τὸν χόρτον συλλέγουσιν, οὐδεὶς τοιοῦτο οὐδὲν 1) ἐπεφθέγξατο πώποτε.

INTERP. PSALMI CXXIX.

1. Canticum graduum. Iustorum chorus hanc Deo precationem offert: testatur autem et hoc psalmi exordium. *De profundis clamaui ad te Domine.* Hoc est, ab imo, et ex ipso corde preces fundo. Eos enim, qui solis labiis vtuntur, diuinæ literæ condemnant. Et nunc quidem ait propheta Ieremias Deo vniuersorum, a) Prope es ori eorum, et longe a renibus eorum, nunc vero Deus ipse per Esaiam prophetam Iudæos criminatur, dicens, b) Hic populus labiis me honorat, corde autem longe abest a me. Verum qui in præsentia precantur, ex profundo corde preces emittunt. 2. *Domine exaudi vocem meam: aures tuæ intentæ sint in vocem deprecationis meæ.* Licet humano more verbis vsus sit, * tamen diuinitatem incorpoream esse nouit: audiendi enim vim etiam videndi potentiam appellauit. Nostri enim oculi videndi vim habent, et auribus audiendi vis indita est. Deus autem vi illa qua audit, hac etiam videt, et qua videt, hac etiam audit. 3. *Si iniquitates obseruaueris Domine.* Iustorum chorus Dominum precatur, ne pœnas peccatis metiatur. Sic etiam beatus Ananias populi peccata personæ suæ adscripsit. *Domine quis sustine-*

ΕΡΜΗΝ. ΤΟΥ ρκθ′ ΨΑΛΜΟΥ.

α′. Ὠιδὴ τῶν ἀναβαθμῶν. 2) Τῶν δικαίων χορὸς ταύτην τῷ Θεῷ τὴν ἱκετείαν προσφέρει· μαρτυρεῖ δὲ καὶ αὐτὸ τοῦ ψαλμοῦ τὸ προοίμιον. Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε. Ἀντὶ τοῦ, κάτωθεν, καὶ ἐξ αὐτῆς τῆς καρδίας ἀναπέμπω τὴν ἱκετείαν. τῶν γὰρ μόνοις κεχρημένων τοῖς χείλεσιν ἡ θεία κατηγορεῖ γραφή· καὶ νῦν μέν φησιν ὁ προφήτης Ἱερεμίας πρὸς τὸν τῶν ὅλων Θεόν, ἐγγὺς 3) εἶ στόματος αὐτῶν. καὶ πόῤῥω ἀπὸ τῶν νεφρῶν αὐτῶν, νῦν δὲ αὐτὸς ὁ Θεὸς διὰ Ἡσαΐου τοῦ προφήτου Ἰουδαίων κατηγορεῖ λέγων, οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, τῇ δὲ καρδίᾳ πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. οἱ δὲ νῦν ἱκετεύοντες ἀπὸ τοῦ βάθους τῆς καρδίας τὴν εὐχὴν ἀναπέμπουσι. β′. Κύριε εἰσάκουσον τῆς φωνῆς μου, γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Καὶ ἀνθρωπίνως τοῖς λόγοις χρησάμενος, οἶδε τὸ θεῖον ἀσώματον· τὴν γὰρ ἀκουστικὴν ἐνέργειαν καὶ ὀπτικὴν προσηγόρευσεν. ἡμῶν γὰρ οἱ ὀφθαλμοὶ τὴν ὀπτικὴν ἔχουσι δύναμιν, τὰ δὲ ὦτα τὴν ἀκουστικὴν ἐνέργειαν ἐπιστεύθη· ὁ δὲ Θεὸς ᾗ ἀκούει, ταύτῃ καὶ βλέπει, καὶ ᾗ βλέπει, ταύτῃ καὶ ἀκούει. γ′. Ἐὰν ἀνομίας 4) παρατηρήσῃς Κύριε. Ὁ τῶν δικαίων χορὸς ἱκετεύει τὸν 5) Κύριον μὴ ταῖς ἁμαρτίαις μετρῆσαι τὰς τιμωρίας. οὕτω καὶ οἱ περὶ τὸν μακάριον Ἀνανίαν τοῦ λαοῦ τὰς παρανομίας τῷ προσώπῳ ἑαυτῶν περιέθεσαν. Κύριε τίς ὑποστήσε-

1) Cod. 1. ἐφθέγξατο. 2) Τῶν. Ib. præm. Ὁ. 3) εἶ. Ib. sequitur σύ τε. 4) Cod. 1. παρατηρήσῃ. 5) Κύριον. Ib. Θεόν.

a) Ier. 12, 2. b) Es. 29, 13.

ϛήσεται; Ἐὰν γὰρ δικαίως τὰ τῆς δίκης 1) κατάχης ζυγὰ, τίς ἱκανὸς τὴν ὑπὸ ταύτης ἐκφερομένην ψῆφον ὑπενεγκεῖν; ἀνάγκη γὰρ πάντας ὑπομεῖναι τὸν ὄλεθρον. δ'. Ὅτι παρά σοι ὁ ἱλασμός ἐϛιν. Ἔχεις φιλανθρωπίαν τῇ δικαιοσύνῃ συνεζευγμένην, καὶ ταύτῃ μᾶλλον πέφυκας, ἢ ἐκείνῃ κεχρῆσθαι. 2) Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε Κύριε, ὑπέμεινεν ἡ ψυχή μου 3) εἰς τὸν λόγον σου. Ἀντὶ τοῦ ὀνόματος, ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων φόβον ἡρμήνευσαν, ὁ δὲ Σύμμαχος νόμον· δήλη δὲ ὅμως τοῦ ῥητοῦ ἡ διάνοια· λέγει γὰρ, ὅτι ταύτην εἰδώς σου τὴν ἀγαθότητα, οἷον γάρ τινι νόμῳ κέχρησαι τῷ ἐλέῳ, τὰς χρηστοτέρας ἐλπίδας οὐκ ἀπαγορεύω, ἀναμένων τῶν ἀγαθῶν τὴν ὑπόσχεσιν. λόγον γὰρ ἐνταῦθα τὴν ἀγαθὴν ὑπόσχεσιν κέκληκε. Φιλανθρωπίαν δὲ τοῖς μετανοοῦσιν ὑπέσχετο. ε. Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον, 4) ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός. Ἀντὶ τοῦ, διὰ πάσης ἡμέρας. Φυλακὴ γὰρ πρωΐα ἡ τελευταία ὥρα τῆς νυκτός. οἱ γὰρ τελευταῖοι φύλακες μέχρι ἐκείνου φυλάττουσι τοῦ καιροῦ. ϛ'. 5) Ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. 6) Οὐκ ἀρκοῦνται οἱ δίκαιοι 7) μόνον τῆς εἰς Θεὸν ἐλπίδος ἔχειν τὸν πλοῦτον, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας ἐπὶ τὴν ὁμοίαν κτῆσιν προτρέπουσι, καὶ τὸ ἐντεῦθεν φυόμενον δηλοῦσι κέρδος. ζ'. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. 8) „Φιλοικτίρμων

bit? Si enim iustitiæ trutinam recte tenebis, quis potest sententiam ab hac irrogatam sustinere? necesse est enim omnes interitum subire. 4. *Quia apud te propitiatio est.* Habes benignitatem iustitiæ coniunctam, et hac magis, quam illa, vti soles. *Propter nomen tuum sustinui te Domine: sustinuit anima mea verbum tuum.* Pro *nomen*, Aquila et Theodotio *timorem* verterunt, Symmachus autem *legem*. Ceterum sermonis sensus patet. Dicit enim, Hanc tuam bonitatem sciens, (nam veluti lege quadam misericordia vteris,) meliorem spem non abiicio, bonorum promissionem exspectans. Nam *verbum* hoc in loco bonam promissionem vocauit: benignitatem autem pœnitentibus pollicitus est. 5. *Sperauit anima mea in Domino, a custodia matutina vsque ad noctem.* Quasi diceret, toto die: quandoquidem *matutina custodia* nouissima est noctis hora: postremi enim custodes ad illud vsque tempus excubant. 6. *A custodia matutina speret Israel in Domino.* Non contenti sunt iusti solum diuitias spei in Deo collocatas habere, verum etiam omnes alios ad similem possessionem adhortantur, et fructum qui hinc prouenit declarant. 7. *Quia apud Dominum est misericordia, et copiosa apud eum redemtio.* „Misericors „enim

1) *κατάχης.* Cod. I. *ὑπόχης.* 2) *Ἕνεκεν τοῦ ὀνόμ. σου. Hebr.* vt timearis. 3) *εἰς τὸν λόγον σου. Hebr.* in verbo eius spem posui. Sed הוחלתי ad proximum vers. retulerunt *οἱ ό.* mutata verbi Persona. 4) *ἀπὸ — νυκτός. Hebr.* plus quam illi qui custodiam habent sub auroram, qui custodiam habent sub diluculum. 5) *Ἀπὸ φυλ. πρωΐας.* Hæc in Cod. *alex.* exstant quidem, sed aliena sunt a Textu hebr. 6) *Οὐκ — κέρδος.* ORIGENIS nomen hæc præ se ferunt apud CORD. l. c. p. 600. 7) Cod. I. *μόνοι.* 8) E Cod. I.

„enim et hominum amantiſſimus „eſt Dominus, iisque qui pœniten„tiæ locum dant, ſalutem præſtat.„ 8. *Et ipſe redimet Iſraelem ex omnibus iniquitatibus eius.* Vaticinationem oratio continet de Domino. Ipſe enim eſt agnus Dei, qui tollit peccata mundi. *a*) Sic etiam diuinus Gabriel ſanctiſſimæ Virgini inquit, *b*) Paries filium, et vocabis nomen eius Ieſus, quoniam ipſe ſaluum faciet populum ſuum a peccatis eorum.

„γὰρ καὶ φιλάνθρωπος ὁ Δεσπότης, „καὶ τοῖς μεταμελομένοις παρέχει τὴν „σωτηρίαν.„ η΄. Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. Πρόῤῥησιν ὁ λόγος ἔχει τὴν κατὰ τὸν Δεσπότην· αὐτὸς γάρ ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὕτω καὶ ὁ θεῖος ἔφη Γαβριὴλ πρὸς τὴν ἁγίαν παρθένον, τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, ὅτι αὐτὸς σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

* INTERP. PSALMI CXXX.

1. *Canticum graduum.* Propheticus ſermo humilitatem docet, et illorum qui hanc diligunt, perſonam inducit, ceu precantium, Deumque obteſtantium. *Domine non eſt exaltatum cor meum.* Cordis altitudo non modo impios, ſed etiam ſanctiſſimos lædit viros. Et hoc docet Paralipomenωn hiſtoria, de pio rege Ezechia dicens, Quoniam humiliatus eſt ab altitudine cordis ſui. Propterea etiam Dominus ſacros ſuos diſcipulos adhortatur dicens, Omnis, qui ſe humiliauerit, exaltabitur, et qui ſe exaltat humiliabitur. *Neque elati ſunt oculi mei.* Proprium ſuperborum eſt, ſupercilia erigere, et buccas inflare, et omnes deſpicere. Qui vero ab hoc morbo ſunt liberi, non hoc docent iudicem tanquam neſcium, ſed tanquam ſcientem in teſtimonium aduocant. *Neque ambulaui in magnis.* Symmachus, *in maieſtatibus:* Aqui-

ΕΡΜΗΝ. ΤΟΥ ρλ΄ ΨΑΛΜΟΥ.

α΄. Ὠιδὴ 1) τῶν ἀναβαθμῶν. Ταπεινοφροσύνην ὁ προφητικὸς ἐκπαιδεύει λόγος, καὶ τῶν ταύτης ἐραστῶν εἰσάγει τὸ πρόσωπον προσευχομένων, καὶ τὸν Θεὸν λιπαρούντων. Κύριε οὐχ ὑψώθη ἡ καρδία μου. Τῆς καρδίας τὸ ὕψος οὐ μόνοις τοῖς δυσσεβέσιν, ἀλλὰ καὶ τοῖς ἁγίοις λυμαίνεται. καὶ διδάσκει τῶν παραλειπομένων ἡ ἱστορία περὶ τοῦ Ἐζεκίου τοῦ εὐσεβοῦς λέγουσα βασιλέως, ὅτι ἐταπεινώθη ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ. διὰ τοῦτο καὶ ὁ Κύριος τοῖς ἱεροῖς αὐτοῦ παραινεῖ μαθηταῖς λέγων, πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. Οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. Ἴδιον τῶν ὑπερηφάνων τὰς ὀφρῦς ἐπαίρειν, καὶ τὴν γνάθον φυσᾶν, καὶ πάντων ὑπερφρονεῖν· οἱ δὲ τοῦ πάθους ἀπηλλαγμένοι, οὐχ ὡς ἀγνοοῦντα διδάσκουσι τοῦτο τὸν κριτὴν, ἀλλ᾽ ὡς εἰδότα καλοῦσιν εἰς μαρτυρίαν. Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις. Ὁ δὲ Σύμμαχος, ἐν μεγαλειότησιν· ὁ δὲ 2) Ἀκύλας,

1) τῶν ἀναβαθμῶν. Cod. *alex.* add. τῷ Δαβίδ, præeunte Textu hebr. 2) Ἀκύλας. Cod. 1. Θεοδοτίων. Huic DRVSIVS interpretationem iſtam vindicat.

a) Ioh. 1, 29. *b*) Luc. 1, 31. Matth. 1, 21.

κύλαις, ἐν μεγαλωσύναις. Οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. 1) Ὁ δὲ 2) Σύμμαχος, οὐδὲ ἐν ὑπερβάλλουσιν ὑπὲρ ἐμέ· ἀντὶ τοῦ, ἐμαυτὸν ἐμέτρουν, καὶ τοῖς ὑπερβάλλουσί μου τὴν ἀξίαν οὐκ ἐπεχείρησα. β'. 3) Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, 4) ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. Ὁ δὲ Σύμμαχος, εἰ μὴ 5) ἐξίσωσα, καὶ ὡμοίωσα τὴν ψυχήν μου ἀπογαλακτισθέντι πρὸς μητέρα αὐτοῦ, οὕτως ἀνταποδοθείη τῇ ψυχῇ μου. εἰ μὴ παραπλησίως, φησὶ, βρέφει νῦν ἀπαλλαγέντι θηλῆς, καὶ τὴν μητέρα δειμαίνοντι, ἔδεισά σε, καὶ ἐμαυτόν σοι ὑπέταξα, ἀλλὰ ὑψηλὴν ἔχον διάνοιαν, τῆς αὐτῆς ἀντιδόσεως τυχεῖν ἀξιῶ. γ'. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Ἔδειξεν ὁ προφητικὸς λόγος, τίνος χάριν ἐποιήσατο τὴν τῶν κατορθωμάτων διήγησιν· οὐ γὰρ ἑαυτοὺς σεμνύνοντες τὴν οἰκείαν διεξίασιν ἀρετὴν, ἀλλὰ τοὺς ἄλλους εἰς τὸν ἴσον διεγείραντες ζῆλον. διὸ πάντα τὸν Ἰσραὴλ τῆς αὐτῆς ἐλπίδος ἔχεσθαι παρεκάλεσαν, καὶ διηνεκῶς ταύτην ἔχειν, καὶ τοὺς ἐκ ταύτης φυομένους συλλέγειν καρπούς.

la vero, *in magnificentiis.* *Neque in rebus me mirabilioribus.* At Symmachus, *Neque in transscendentibus super me.* Hoc est, Me ipsum metiebar, et quæ dignitatem meam excedebant, non sum aggressus. 2. *Si non humiliter sentiebam, sed exaltaui animam meam, sicut ablactatus super matrem suam, sic retribues in anima mea.* Symmachus autem, Nisi similem feci, et comparaui animam meam infantulo a lacte depulso apud matrem suam, sic retribuatur animæ meæ. Si te, ait, non timui, et me ipsum tibi subieci infantis instar recens ab vbere depulsi, matremque verentis, sed altam habui mentem: obsecro, vt eandem remunerationem consequar. 3. *Speret Israel in Domino ab hoc inde tempore vsque in sæculum.* Demonstrauit propheticus sermo, qua de causa recte factorum narrationem fecerit. Non enim seipsos iactantes propriam virtutem commemorant, sed alios in æqualem amorem accendentes. Propterea totum Israelem, vt eidem spei inhæreat, adhortati sunt, et vt continue hanc habeat, vtque fructus, qui hinc oriuntur, percipiat.

ΕΡΜΗΝ. ΤΟΥ ρλα' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Πολλὴν ὁ ψαλμὸς οὗτος πρὸς τὸν ὀγδοηκοστὸν ὄγδοον ἔχει συγγένειαν. καὶ γὰρ ἐνταῦθα κἀκεῖ τὸν τῶν ὅλων Θεὸν ἱκετεύουσιν οἱ ἐν Βαβυλῶνι δορυάλωτοι, τὰς πρὸς τὸν μέγαν Δαβὶδ ὑπ' αὐτοῦ

* INTERP. PSALMI CXXXI. *

1. *Canticum graduum.* Multam hic psalmus cum octogesimo octauo cognationem habet. Etenim ibi et hîc captiui, qui Babylone erant, vniuersorum Deum obsecrant, promissiones magno Dauidi ab ipso

 factas

1) ὁ — ὑπὲρ ἐμέ. Def. in Cod. 1. 2) Σύμμαχος. Ita quoque *Theodotion*. Vid. MONTF. Hexapla ad h. l. 3) Εἰ — ὕψωσα. *Hebr*. Si non composui et compescui. 4) ὡς — μου. *Hebr*. sicut ablactatus inquam apud me erat anima mea. 5) ἐξίσωσα. Prior lectio erat ἠξίωσα. Hanc autem saniori postponere non dubitauimus, autoritate Cod. 1. *aug*. et *colbertini* illius, cuius meminit MONTF. in Hexapl. ad h. l. Vid. quoque CORD. l. c. p. 605.

factas pro precibus offerentes, et vt veniam consequantur orantes. Vaticinationem etiam continet de Saluatore mundi, qui secundum carnem ex Dauidis genere oriturus erat. *Memento Domine Dauidis, et omnis mansuetudinis eius.* Quoniam cum multa peccata commiserimus, omni fiducia orbati sumus, oramus te Domine, vt Dauidis recorderis, illiusque mansuetudinis, et pietatis. Huius sane præcedens psalmus mentionem fecit, et plane docuit eius mentis moderationem. 2. *Sicvt iurauit Domino, votum vouit Deo Iacobi.* 3. *Si introiero in tabernaculum domus meæ, si adscendero in lectum strati mei.* 4. *Si dedero somnum oculis meis, et palpebris meis dormitationem.* 5. *Et requiem temporibus meis, donec inueniam locum Domino, tabernaculum Deo Iacobi.* Hæc planius Paralipomenων historia docet. a) Nam primum quidem orauit, vt ipse erigeret diuinum templum. Postquam autem per prophetam Nathanem Deus prohibuit, prædixitque templi ædificationem a Salomone instituendam, distulit quidem exstructionem, non autem segnitiam amplexus est, sed aurum, et argentum, et ferrum, et æs, et ligna, et lapides coaceruauit. Et hæc omnia, vt dixi, liber ille docet eos, qui legere voluerint. 6. *Ecce audiuimus ipsum in Ephratha, inuenimus ipsum in campis siluæ.* Orabat, vt Deo templum erigeret: sed vnigenitum Dei verbum ex fructu lumbi

γεγενημένας ὑποσχέσεις ἀνθ' ἱκετηρίας προσφέροντες, καὶ τυχεῖν ἀξιοῦντες συγγνώμης. ἔχει δὲ καὶ πρόῤῥησιν τοῦ κατὰ σάρκα βλαστήσαντος ἐκ γένους Δαβὶδ τῆς οἰκουμένης σωτῆρος. Μνήσθητι Κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς 1) πραότητος αὐτοῦ. Ἐπειδὴ πολλὰ πεπλημμεληκότες ἡμεῖς πάσης ἐστερήμεθα παῤῥησίας, ἱκετεύομέν σε Δέσποτα τοῦ Δαβὶδ ἀναμνησθῆναι, καὶ τῆς ἐκείνου πραότητός τε καὶ εὐσεβείας. ταύτης δὲ καὶ ὁ προτεταγμένος ψαλμὸς ἐμνημόνευσε, καὶ σαφῶς ἐδίδαξε τὴν τοῦ φρονήματος αὐτοῦ μετριότητα. β'. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο 2) τῷ Θεῷ Ἰακώβ. γ'. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου. δ'. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμόν. ε'. 3) Καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ταῦτα σαφέστερον ἡ τῶν παραλειπομένων ἱστορία διδάσκει· πρῶτον μὲν γὰρ ἱκέτευσεν αὐτὸς τὸν θεῖον οἰκοδομῆσαι 4) νεών. ἐπειδὴ δὲ διὰ τοῦ προφήτου Νάθαν ἐκώλυσεν ὁ Θεὸς, καὶ τὴν ὑπὸ τοῦ Σολομῶντος ἐσομένην οἰκοδομίαν προείρηκεν, ἀνεβάλλετο μὲν τὴν οἰκοδομίαν, οὐκ ἠσπάσατο δὲ ῥᾳστώνην· ἀλλὰ καὶ χρυσὸν, καὶ ἄργυρον, καὶ σίδηρον, καὶ χαλκὸν, καὶ ξύλα, καὶ λίθους συνήγαγε· καὶ ταῦτα, ὡς ἔφην, 5) ἅπαντα ἡ βίβλος ἐκείνη διδάσκει τοὺς ἐντυχεῖν βουλομένους. ϛ'. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. 6) Ἱκέτευεν οἰκοδομῆσαι ναὸν τῷ Θεῷ· ὁ δὲ μονογενὴς τοῦ Θεοῦ λόγος ἐκ καρποῦ τῆς ὀσφύ-

os

1) πραότητος. *Hebr*, afflictionis eius. 2) τῷ Θεῷ. *Hebr*. forti. Ita quoque vers. 5. 3) Καὶ — κροτάφοις μου. Des. in Textu hebr. 4) Cod. 1. ναόν. 5) ἅπαντα. Ibid. sequ. σαφέστερον. 6) Ἱκέτευεν. Ib. præm. ὁ μὲν οὖν μακάριος Δαβίδ.

a) 1 Paral. 17. et 22.

ας αὐτῷ νεὼν 1) ἑαυτῷ ἔμψυχόν τε καὶ λογικὸν οἰκοδομήσειν ὑπέσχετο. διό φησιν ἡ προφητεία, ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Ἐφραθὰ δὲ ἡ νῦν καλουμένη Βηθλεὲμ ὠνομάζετο· ἐκεῖ 2) γὰρ ὁ Δεσπότης ἐτέχθη Χριστὸς, ὃς τοῖς Ἰουδαίοις τὸ οἰκεῖον σῶμα ὑποδείξας ἔφησε, λύσατε τὸν ναὸν τοῦτον. δρυμοῦ δὲ πεδία καλεῖ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ τὸν τόπον, ἔρημον 3) ὄντα, καὶ οἰκοδομίαν οὐκ ἔχοντα. ἐκεῖ γὰρ τὸν ὀλοθρευτὴν ἄγγελον διὰ τῆς πρὸς Θεὸν ἱκετείας ἐπισχὼν ὁ μέγας Δαβὶδ, καὶ βωμὸν ἔστησε, καὶ θυσίαν προσήνεγκε, καὶ εἰς τὴν οἰκοδομὴν τοῦ νεὼ ἀφιέρωσεν. ἐπειδὴ δὲ δύο σκηναὶ, ἡ μὲν ἐκ λίθων καὶ ξύλων, ἡ δὲ ἐκ σώματος καὶ ψυχῆς, καὶ ἡ μὲν ἐν Ἱεροσολύμοις ὑπὸ Σολομῶντος ἐγένετο, τὴν δὲ ἐν τῇ Βηθλεὲμ τοῦ παναγίου πνεύματος ἡ χάρις ἐξύφηνεν· οἱ τηνικαῦτα δὲ εὐσεβεῖς τὴν μὲν ἑώρων, τὴν δὲ προσεδόκων· εἰκότως ὁ προφητικὸς λόγος ἔφη, ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, τουτέστιν, ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου 4) γενησομένην· εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ, τὴν ὑπὸ τοῦ Σολομῶντος κατὰ τὴν τοῦ πνεύματος οἰκοδομηθεῖσαν ὑπόσχεσιν. ζ΄. Εἰσελευσώμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Τὸν χρόνον ἐνήλλαξε· λέγουσι δὲ, ὅτι ἐκεῖ εἰσιόντες προσκυνοῦμεν, θείας ἐπιφανείας τὸν νεὼν ἠξιῶσθαι πιστεύοντες. ταύτην γὰρ ἔχει διάνοιαν τὸ, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. οὐκ ἀσώματον γὰρ μόνον, ἀλλὰ καὶ ἀπερίγραφον τὸ θεῖον εἶναι πιστεύομεν· σωματικώτερον δὲ ἡ θεία περὶ αὐτοῦ γραφὴ διαλέγεται, ταῖς ἀνθρωπίναις

eius sibi animatum rationisque particeps templum ædificaturum esse promisit. Quapropter dicit vaticinatio, *Ecce audiuimus ipsum in Ephratha, inuenimus ipsum in campis siluæ.* Ephratha autem illa, quæ nunc appellatur Bethleem, nominabatur. Ibi enim Dominus Christus natus est, qui Iudæis corpus * suum ostendens dixit, a) Soluite templum hoc. *Campos* vero *siluæ* vocat locum templi Hierosolymitani, qui desertus erat, et ædificium nullum habebat. Ibi enim magnus Dauid, cum exterminatorem angelum per preces Deo fusas cohibuisset, et aram erexit, et sacrificium obtulit, et locum istum ædificationi templi consecrauit. Quoniam autem duo fuerunt tabernacula, vnum ex lignis lapidibusque, aliud vero ex corpore et anima, et illud quidem Hierosolymæ a Salomone conditum est, hoc vero in Bethleem sancti Spiritus gratia contexuit, et qui ea tempestate pii erant, hoc quidem cernebant, illud vero exspectabant: Iure propheticus sermo dicit, *Ecce audiuimus ipsum in Ephratha*, hoc est, a Spiritu sancto faciendum, *Inuenimus ipsum in campis siluæ*, secundum promissionem Spiritus a Salomone ædificatum. 7. *Introëamus in tabernaculum eius, adoremus in loco, vbi steterunt pedes eius.* Tempus permutauit. Dicunt autem, Nos illuc ingressi adoramus, credentes templum diuino conspectu dignum effectum esse. Hunc enim sensum habent illa, *Vbi steterunt pedes eius.* Non modo enim sine corpore diuinitatem esse, sed etiam incircumscriptam credimus. Ad modum autem corporis diuina scriptura de ipso loquitur, humanis auribus sermo-

1) ἑαυτῷ. In Cod. 1. ponitur post λογικόν. 2) γάρ. Ibid. δέ. 3) ὄντα. Cod. 1. add. πάλαι. 4) γενησομένην. Ib. sequ. σκηνήν. a) Ioh. 2, 19.

monem accommodans. 8. *Surge Domine ad requiem tuam.* Resurrectionem Dei vocant cultum secundum legem, non hoc indigentis, „nec oblectationem inde capientis,„ sed offerentium pietatem amplectentis: et obsecrant, vt eius gratia iterum appareat, vtque pristinum splendorem templo largiatur. *Tu et arca sanctificationis tuae.* Quoniam in sanctis sanctorum arca stabat tabulas legis habens, huic autem imminebat propitiatorium, per illud vero pontifici indicia quaedam diuini aduentus fiebant, iure arcae meminit. Nam Deus, qui fecit caelum et terram, secundum beati Pauli vocem, a) non in manu factis templis habitat. Sic etiam sapiens Salomo precatus est, b) Si caelum et caelum caeli non sufficient tibi. Hoc etiam ipse vniuersorum Deus ait, c) Caelum sedes mea est, terra autem scabellum pedum meorum. Quam domum aedificabitis mihi? aut quis locus requiei meae est? * 9. *Sacerdotes tui induentur iustitia, et sancti tui exsultatione exsultabunt.* Hoc enim, ait, perfecto, et domo exstructa, et arca rursus in adytis posita sacerdotes quidem rem diuinam secundum legem facientes iustificabuntur: qui vero sacerdotalis dignitatis minime participes sunt, pietatis tamen sunt studiosi, omni laetitia implebuntur. 10. *Propter Dauidem seruum tuum, non auertas faciem Vncti tui.* Vnctum hoc in loco regnum nuncupat. Et

ἀκοαῖς 1) μετρῦσα τὺς λόγυς. η'. Ἀνάςηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου. Ἀνάςασιν τοῦ 2) Θεοῦ καλοῦσι τὴν κατὰ νόμον λατρείαν, οὐ ταύτης δεομένου, 3) „οὐδὲ ταύτῃ ἐπιτερπομένυ,„ ἀλλὰ τῶν προσφερόντων τὴν εὐσέβειαν ἀσπαζομένυ. καὶ παρακαλῦσι δὲ αὖθις αὐτῦ τὴν χάριν ἐπιφανῆναι, καὶ τὴν προτέραν δοῦναι τῷ ναῷ περιφάνειαν. Σὺ καὶ ἡ κιβωτὸς 4) τῦ ἁγιάσματός σῦ. ἐπειδὴ ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἡ κιβωτὸς ἔκειτο τὰς πλάκας ἔχυσα τοῦ νόμυ, ἐπέκειτο δὲ ταύτῃ τὸ ἱλαςήριον, δι' ἐκείνυ δὲ τῷ ἀρχιερεῖ μηνύματά τινα τῆς θείας ἐπιφανείας ἐγίνετο, εἰκότως ἐμνημόνευσε τῆς κιβωτοῦ. ὁ Θεὸς γὰρ ποιήσας τὸν ὐρανὸν καὶ τὴν γῆν, κατὰ τὴν τοῦ μακαρίυ Παύλου φωνὴν, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ· ὕτω δὲ καὶ ὁ σοφὸς προσηύξατο Σολομὼν, εἰ ὁ ὐρανὸς, καὶ ὁ οὐρανὸς τῦ ὐρανοῦ οὐκ ἀρκέσυσί σοι. τοῦτο καὶ αὐτὸς ὁ τῶν ὅλων ἔφη Θεὸς, ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ τις τόπος τῆς καταπαύσεώς μυ ἐςίν; θ'. Οἱ ἱερεῖς σῦ ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σῦ ἀγαλλιάσονται. 5) Τύτυ, φησὶ, γινομένυ, καὶ ᾠκοδομημένυ τῦ οἴκυ, καὶ τῆς κιβωτῦ πάλιν τιθεμένης ἐν τοῖς ἀδύτοις, οἱ μὲν ἱερεῖς τὴν κατὰ νόμον ἐπιτελοῦντες λατρείαν δικαιωθήσονται, οἱ δὲ τῆς μὲν ἱερατικῆς οὐ μετειληφότες ἀξίας, εὐσεβείας δὲ ὅμως πεφροντικότες, πάσης εὐφροσύνης πλησθήσονται. ι'. Ἕνεκεν Δαβὶδ τοῦ δούλυ σῦ, μὴ ἀποςρέψῃς τὸ πρόσωπον τοῦ χριςοῦ σου. Χριςὸν ἐνταῦθα τὴν βασιλείαν καλεῖ. καὶ ἐπειδὴ

1) Cod. 1. μετιοῦσα. 2) Θεοῦ. Ib. sequitur ἡμῶν. 3) E Cod. 1. 4) τοῦ ἁγιάσματός σου. *Hebr.* roboris tui. 5) Τούτου. Cod. 1. add. γάρ.

a) Act. 17, 24. coll. Hebr. 9, 11. b) 2 Paral. 6, 18. c) 2 Paral. 2, 6. Act. 7, 49. Es. 66, 1.

τδὴ δυσσεβεῖς οἱ τηνικαῦτα αὐτῶν ἦσαν
ασιλεῖς, διὰ τὸν Δαβὶδ ἀξιοῦσι μὴ ἀ-
οσβῆναι τῆς βασιλείας τὸ γένος. εἶτα
ὧν γεγενημένων ἀναμιμνήσκουσιν ὑπο-
έσεων. ια'. Ὤμοσε Κύριος τῷ Δαβὶδ
ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.
Ἀψευδής φησιν ὁ ὑποσχόμενος, καὶ ἀλη-
είας ὑπάρχει πηγὴ, καὶ τῶν ἀδυνά-
ων μὴ πέρας λαβεῖν τὴν ὑπόσχεσιν. Ἐκ
αρ-ποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν
ρόνον σου. Μία μὲν ὑπόσχεσις αὕτη,
αἱ τὸ πέρας ἐδέξατο. οὐ γὰρ μόνος Σο-
ομὼν, ἀλλὰ καὶ οἱ ἐκ Σολομῶντος, τῶν
ασιλικῶν ἠξιώθησαν θρόνων. τὸ δὲ τέ-
ος τῆς ὑποσχέσεως ὁ Δεσπότης Χριστὸς
βεβαίωσε, τοῦ Δαβὶδ κρατύνας τὴν βα-
ιλείαν. τοῦτο γὰρ καὶ ὁ μακάριος προε-
έσπισεν Ἡσαΐας, ὅτι παιδίον ἐγεννήθη
μῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ
οῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα
ὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυ-
μαστὸς, σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσια-
ής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλον-
ος αἰῶνος, ἀμήν· καὶ μετ' ὀλίγα· ἐπὶ
ὸν θρόνον Δαβὶδ, καὶ 1) τὴν βασιλείαν
ὐτοῦ, τοῦ κατορθῶσαι αὐτὴν ἀπὸ τοῦ
ῦν, καὶ εἰς τὸν αἰῶνα χρόνον. ταύτην
μὲν, ὡς ἔφην, τὴν ὑπόσχεσιν ὁ Δεσπότης
Χριστὸς ἐβεβαίωσε· τὴν μέν τοι ἑτέραν
οὐκ ἀόριστον δέδωκεν ὁ Θεός· ἔφη δὲ οὕτως·
ιβ'. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν δια-
θήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα,
ἃ διδάξω αὐτοὺς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως
τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου
σου. Ἡ μὲν οὖν τοῦ Δεσπότου ἐπαγγε-
λία τοιαύτη, ἡ δὲ ἐκείνων παρανομία
τῆς βασιλείας τὸν δρόμον διέκοψεν. εὐ-
θὺς γὰρ ὁ Σολομὼν ἐκπεσὼν εἰς ἀσέ-
βειαν τὴν θείαν ὀργὴν ἐπεσπάσατο· οὗ
δὴ χάριν ὁ θρόνος ἐτυραννήθη, καὶ ἑτέ-

quia tunc eorum reges impii erant, propter Dauidem orant, ne regni genus exstinguatur. Deinde de promissionibus factis admonent. 11. *Iurauit Dominus Dauidi veritatem, et non frustrabitur eam.* Verax, ait, est ille, qui pollicitus est, veritatisque fons est, et fieri haudquaquam potest, quin pollicitatio suum sortiatur finem. *De fructu ventris tui ponam super thronum tuum.* Vna quidem promissio hæc est, et finem habuit. Non solus enim Salomo, sed etiam qui ex Salomone originem traxerunt, regios thronos obtinuerunt. Vaticinationis porro finem Dominus Christus confirmauit, Dauidis regnum corroborans. Hoc enim et beatus vaticinatus est Esaias, a) Quoniam puer natus est nobis, et filius datus est nobis, cuius imperium super humero eius, et vocatur nomen eius magni consilii angelus, admirabilis, consiliarius, Deus fortis, potens, princeps pacis, pater futuri seculi, amen. Et paulo post, Super throno Dauidis et super regno eius sedebit, vt corrigat illud, ab hoc inde tempore vsque in perpetuum. Hanc quidem pollicitationem, vt dixi, Dominus Christus confirmauit: alteram vero non interminatam Deus dedit. Dicit autem sic: 12. *Si custodierint filii tui testamentum meum, et testimonia mea hæc, quæ docebo eos, et filii eorum vsque in seculum sedebunt super throno tuo.* Talis igitur Domini promissio est, sed illorum iniquitas regni cursum inhibuit. Mox enim Salomo cum in impietatem incidisset, diuinam iram sibi adsciuit. Quapropter solium tyrannide pressum est, alteriusque

1) τήν. Cod. 1. præm. ἐπί.

a) Es. 9, 6.

que regnum decem tribus adminiserunt: postea autem etiam duæ tribus regno dauidico priuatæ fuere. * 13. *Quoniam elegit Dominus Zionem, elegit eam sibi pro habitatione.* Olim, inquit, Domine, hanc aliis vrbibus prætulisti, et hanc pro tua habitatione declarauisti. 14. *Hæc est requies mea in seculum seculi.* Hæc, inquit, tu dixisti, Domine, et pollicitus es in Zione te semper requiem habiturum esse. Atque hoc etiam finem sortitum est. Etsi enim priscum templum ob Iudæorum furorem desolatum est: tamen ibi rursus per diuinam gratiam, et crucis, et resurrectionis, et assumptionis loca adepta sunt, et ex omni terra et mari omnes concurrunt, vt in illis affluentem benedictionem hauriant. *Hic habitabo, quoniam elegi eam.* Et hoc suum sortitum est finem, et ædium aliqua mutatio facta est. Ac propheticus etiam sermo Zionis mentionem fecit. In illa autem est crucis resurrectionisque locus. 15. *Venationi eius benedicens benedicam.* Symmachus autem, Annonæ eius benedicens benedicam. Hoc est, omnium bonorum affluentiam ipsis præbebo. *Pauperes eius saturabo panibus.* Porro indigentibus largiar necessariarum rerum vsum. 16. *Sacerdotes eius induam salute.* Quam superius iustitiam vocauit, hoc in loco *salutem* nominauit. Iustitiæ enim fructus est salus. *Et sancti eius exsultatione exsultabunt.* Virtutis vero studiosi omni voluptate replebuntur.

ρυ αἱ δέκα φυλαὶ βασιλείαν ἐδέξαντο· χρόνῳ δὲ ὕστερον καὶ αἱ δύο φυλαὶ τῆς Δαβιτικῆς ἐγυμνώθησαν βασιλείας. ιγ΄. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Ἄνωθέν φησιν, ὦ Δέσποτα, ταύτην τῶν ἄλλων προετίμησας πόλεων, καὶ οἰκεῖον ἀπέφηνας οἰκητήριον. ιδ΄. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. Ταῦτά φησι σὺ εἶπας, ὦ Δέσποτα, καὶ ὑπέσχου ἐπαναπαύεσθαι τῇ Σιὼν ἀεί. καὶ τοῦτο δὲ τετύχηκε πέρατος· εἰ γὰρ καὶ ὁ παλαιὸς νεὼς ἔρημος διὰ τὴν Ἰουδαίων μανίαν ἐγένετο, ἀλλ' οὖν ἐκεῖ πάλιν, καὶ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ἀναλήψεως τὰ χωρία διὰ τῆς 1) θείας ἠξίωτο χάριτος· καὶ ἐκ πάσης γῆς καὶ θαλάττης συντρέχουσιν ἅπαντες τὴν ἐν ἐκείνοις ἀναβλύζουσαν εὐλογίαν ἀρύσασθαι. Ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν. Καὶ τοῦτο τέλους τετύχηκε, 2) καὶ ἐναλλαγή τις τῶν οἴκων ἐγένετο. καὶ ὁ προφητικὸς δὲ λόγος τῆς Σιὼν ἐμνημόνευσεν. ἐν ἐκείνῃ δὲ καὶ ὁ τοῦ σταυροῦ, καὶ 3) τῆς ἀναστάσεως τόπος. ιε΄. Τὴν 4) θήραν αὐτῆς εὐλογῶν εὐλογήσω. Ὁ δὲ Σύμμαχος, τὴν σίτησιν αὐτῆς εὐλογῶν εὐλογήσω· τουτέστι, τῶν ἀγαθῶν αὐτοῖς ἁπάντων παρέξω τὴν ἀφθονίαν. Τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. Παρέξω δὲ καὶ τοῖς δεομένοις τῶν ἀναγκαίων τὴν χρείαν. ιϛ΄. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν. Ἣν ἄνω δικαιοσύνην ἐκάλεσεν, ἐνταῦθα σωτηρίαν ὠνόμασε. δικαιοσύνης γὰρ σωτηρία καρπός. Καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Οἱ δὲ τῆς εὐσεβείας ἐρασταὶ πάσης γενήσονται θυμηδίας ἀνάπλεοι. ιζ΄. Ἐκεῖ

1) θείας. Cod. I. τῆς. 2) καί. Ibid. præm. αἱ. 3) τῆς. Ib. præm. ὁ. 4) θήραν. Hebr. cibo eius.

ιζ'. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ. Τὸ μὲν οὖν πρόχειρον νόημα τὸν Ζοροβάβελ δηλοῖ· ἐπειδὴ δὲ οὔτε εἰς ἐκγόνους, οὔτε μὲν εἰς παῖδας τὴν ἡγεμονίαν παρέπεμψεν, οὐκ ἄν τις αὐτὸν εἰκότως ὀνομάσει κέρας, ὀλίγον ἡγεμονεύσαντα χρόνον. τὸ γὰρ κέρας ἰσχυρόν τι δηλοῖ καὶ μόνιμον. ἐπειδὴ δὲ τῷ Ζοροβάβελ οὐχ ἁρμόττει ἡ προφητεία, ὁ λόγος τὴν κατὰ σάρκα τοῦ 1) Χριστοῦ γέννησιν προθεσπίζει. οὕτω δὲ καὶ ὁ μακάριος Πέτρος ἐν ταῖς πράξεσιν ἔφη· προφήτης ὑπάρχων ὁ Δαβίδ, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστῆσαι τὸ κατὰ σάρκα τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ, προειδὼς ἐλάλησεν περὶ τῆς ἀναστάσεως αὐτοῦ. Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. Λύχνον πάλιν ὁ προφητικὸς λόγος τὸν ἐκ Δαβὶδ ὀνομάζει ναὸν, τὸ τῆς θεότητος ὑποδεξάμενον φῶς. ιη'. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει 2) τὸ ἁγίασμά μου. Τῆς μὲν οὖν αἰσχύνης μάρτυρες Ἰουδαῖοι, τὴν ἔχθραν ἀσπασάμενοι, καὶ τὴν αἰσχύνην δρεψάμενοι. 3) τὸ δὲ ἁγίασμα, αἱ κατὰ πᾶσαν γῆν καὶ θάλασσαν ἐκκλησίαι, σῶμα μὲν τοῦ Δεσπότου Χριστοῦ χρηματίζουσαι, τῆς δὲ ἁγιωσύνης τὰς πηγὰς παρ' αὐτοῦ κομιζόμεναι.

17. *Ibi producam cornu Dauidi.* Primus quidem literalis sensus Zorobabelem designat. Quoniam autem nec in posteros, nec in filios regimen transmisit, non posset quisquam ipsum iure nominare *cornu*, cum parum temporis imperauerit. Cornu enim fortitudinem et firmitatem indicat. Quoniam vero vaticinatio Zorobabeli minime congruit, sermo Christi ortum secundum carnem prædicit. Sic etiam beatus Petrus in Actibus dicit, a) Propheta igitur cum esset Dauid, et sciret, iureiurando iurasse illi Deum, fore vt suscitaret de fructu lumbi eius Christum secundum carnem, quem collocaret super sede eius, prævidens locutus est de resurrectione eius. *Paraui lucernam Vncto meo. Lucernam* rursus propheticus * sermo templum ex Dauide nominat, quod lucem diuinitatis excepit. 18. *Inimicos eius induam confusione, super ipso autem efflorebit sanctificatio mea.* Dedecoris igitur Iudæi sunt testes, qui inimicitias amplexi sunt, et confusionem retulerunt. *Sanctificatio* vero sunt ecclesiæ vbique terra marique: quæ Christi Domini corpus vocantur, sanctitatisque fontes ab ipso reportant.

ΕΡΜΗΝ. ΤΟΥ ρλβ' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ 4) τῶν ἀναβαθμῶν. Ἐπὶ τοῦ Ῥοβοὰμ διῃρέθησαν αἱ φυλαὶ, καὶ αἱ μὲν δέκα τῷ Ἱεροβοὰμ ἠκολούθησαν, αἱ δὲ δύο τὴν Δαβιτικὴν ἠσπάσαντο βασιλείαν. μετὰ μέντοι τὴν

INTERPR. PS. CXXXII.

1. *Canticum graduum.* Sub Roboamo tribus diuisæ fuerunt, et decem quidem Ieroboamum secutæ sunt, duæ vero Dauidicum regnum sunt amplexæ. Post reditum igitur e Baby-

1) Χριστοῦ. Cod. 1. præm. Δεσπότου. 2) τὸ ἁγίασμά μου. *Hebr.* corona eius. 3) Cod. 1. τοῦ δὲ ἁγιάσματος. 4) τῶν ἀναβ. Cod. *alex.* add. τῷ Δαβίδ, præeunte Textu hebr.

a) Act. 2, 30 31.

e Babylone, et rurſus coierunt, et concordiam adamarunt, et vnum habuerunt imperium, et communem cultum ſecundum legem exhibuerunt. Hæc igitur iſte pſalmus præcinit. *Ecce quam bonum, et quam iucundum habitare fratres vna.* Per ipſos, inquit, euentus didicimus, nihil fraterna concordia iucundius eſſe. *Fratres* autem appellat tribus, quoniam harum etiam principes, a quibus nomen acceperunt, vnius patris filii erant. 2. *Sicut vnguentum in capite, quod deſcendit in barbam, barbam Aaronis.* Oleum pontificale ex variis odoramentis compoſitum erat: ſed nullum eorum per ſeipſum tantum odorem emittebat, ſed omnium miſtio et temperamentum quam plurimum et ſuauiſſimum odorem reddebat. Huic merito fraternum conſenſum comparauit. Multorum enim recte factorum in vnum collatio perfectæ virtutis odorem efficit. *Quod deſcendit in oram veſtimenti eius.* Illi vnguento, ait, ſimile eſt donum caritatis, quod effundebatur in caput Aaronis: non modo autem ad barbam vsque deueniebat, ſed eius etiam tunicam circa pectus ſanctam reddebat. *Oram* enim vocauit, quam *collare* appellamus, hoc autem Aquila *veſtimentorum os* dixit. Quemadmodum igitur a capite per barbam ad veſtem vsque * ſacrum vnguentum decurrens, odore ſacerdotem implebat: ſic a principe ad ſubditos vsque concordiæ vtilitas peruenit. 3. *Sicut ros*

ἀπὸ Βαβυλῶνος ἐπάνοδον, 1) καὶ πάλιν συνῆλθον, καὶ τὴν συμφωνίαν ἠγάπησαν, καὶ μίαν ἔχον ἡγεμονίαν, καὶ κοινὴν τὴν κατὰ νόμον ἐπετέλουν λατρείαν. ταῦτα τοίνυν οὗτος ὁ ψαλμὸς προθεσπίζει. Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ᾽ ἢ 2) κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Δι᾽ αὐτῶν, φησὶ, μεμαθήκαμεν τῶν πραγμάτων, ὡς οὐδὲν τῆς ἀδελφικῆς θυμηρέστερον συμφωνίας. ἀδελφοὺς δὲ καλεῖ τὰς φυλὰς, ἐπειδὴ καὶ οἱ τούτων ἐπώνυμοι φύλαρχοι ἑνὸς ὑπῆρχον παῖδες πατρός. β. Ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών. Τὸ ἀρχιερατικὸν ἔλαιον ἐκ διαφόρων ἡδυσμάτων συνέκειτο· ἀλλ᾽ οὐδὲν ἐκείνων αὐτὸ καθ᾽ ἑαυτὸ τοσαύτην 3) εὐοσμίαν ἠφίει, ἡ δὲ πάντων μῖξις καὶ κρᾶσις πλείστην ὅσην τὴν εὐωδίαν εἰργάζετο. τούτῳ τὴν ἀδελφικὴν εἰκότως συμφωνίαν ἀπείκασεν. ἡ γὰρ τῶν πλειόνων κατορθωμάτων συνεισφορὰ τῆς τελείας ἀρετῆς τὴν εὐοσμίαν ἐργάζεται. Τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ. Ἐκείνῳ, φησὶν, ἔοικε τῷ μύρῳ τῆς ἀγάπης τὸ 4) χάρισμα, ὃ κατεχεῖτο μὲν τῆς τοῦ Ἀαρὼν κεφαλῆς, οὐ μέχρι δὲ μόνου τοῦ γενείου κατήει, 5) ἀλλ᾽ αὐτοῦ τοῦ χιτῶνος τὸ περὶ τὸ στῆθος ἡγίαζε. ὤαν γὰρ ἐκάλεσεν, ὃ καλοῦμεν περιτραχήλιον. τοῦτο δὲ καὶ ὁ Ἀκύλας στόμα ἐνδυμάτων εἴρηκε. καθάπερ τοίνυν ἀπὸ τῆς κεφαλῆς διὰ τοῦ γενείου μέχρι 6) τῆς ἐσθῆτος τὸ ἱερὸν διατρέχον μύρον τῆς εὐοσμίας τὸν ἱερέα ἐπλήρου, οὕτως ἀπὸ τῆς ἀρχῆς μέχρι τῶν ὑπηκόων ἡ ἀπὸ τῆς συμφωνίας ὠφέλεια χωρεῖ. γ. Ὡς δρόσος Ἀερ-

1) καί. Abeſt a Cod. 1. 2) κατοικεῖν. Cod. 1. præm. τὸ, vt in Textu hebr. 3) Cod. 1. εὐωδίαν. 4) χάρισμα. Ib. χρῆμα. 5) Cod. 1. ἀλλὰ καί. 6) τῆς. Ib. præm. τῶν ἄκρων.

Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Πάλιν εἰς ἑτέραν εἰκόνα μετέβη, τῆς συμφωνίας διδάσκων τὸ χρήσιμον· καὶ ταύτην ἔφησεν ἐοικέναι τῇ δρόσῳ, τῇ 1) ἀπὸ τοῦ Ἀερμὼν τῇ Σιὼν ἐπιφερομένῃ. τοσαύτη δὲ αὕτη, ὡς καὶ σταγόνας τοὺς κεράμους ἐκπέμπειν. τὸ δὲ Ἀερμὼν ὄρος ἐστὶ, καὶ αὐτὸ τῆς Παλαιστίνης, τῇ γῇ διαφέρων τοῦ Ἰσραήλ. Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος. Οὐκ ἐν Ἀερμὼν, ἀλλ' ἐν τῇ Σιὼν, ἐν ᾗ καὶ τοῦ παναγίου πνεύματος ἐπὶ τοὺς ἱεροὺς ἀποστόλους ἡ ζωοποιὸς κατεπέμφθη δρόσος, δι' ἧς ἅπαντες οἱ πιστεύοντες τὴν αἰώνιον εὐλογίαν καρποῦνται.

Hermonis, qui descendit in montem Zion. Rursus ad aliam similitudinem transit, concordiae vtilitatem docens: et hanc dixit similem esse rori, qui ab Hermon in Zionem defertur. Tantus autem hic est, vt tegulae stillas emittant. *Hermon* autem mons est Palaestinae, e terra Israelis tantum non contiguus. *Quoniam illic mandauit Dominus benedictionem, et vitam vsque in seculum.* Non in Hermone, sed in Zione, in qua vitalis ros sancti Spiritus in sacros apostolos missus fuit, per quem fideles omnes sempiternam gratiam percipiunt.

ΕΡΜΗΝ. ΤΟΥ ρλγʹ ΨΑΛΜΟΥ.

αʹ. Ὠδὴ τῶν ἀναβαθμῶν. 2) Ἁρμόττει 3) δὲ καὶ οὗτος τοῖς ἀπὸ Βαβυλῶνος ἐπανελθοῦσι. προσφέρει δὲ καὶ πᾶσι τοῖς εὐσεβέσι παραίνεσιν, ὥστε μὴ μόνον μεθ' ἡμέραν, ἀλλὰ καὶ νύκτωρ τὸν Θεὸν ἀνυμνεῖν. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου. Οὐ πάντων τὸ ὑμνεῖν, ἀλλὰ τῶν τὴν θείαν δεσποτείαν ἀσπαζομένων, καὶ τοῦ Δεσπότου τὴν θεραπείαν περὶ πολλοῦ ποιουμένων. τῶν γὰρ τῆς ἁμαρτίας δεξαμένων τὰ τραύματα ἴδιον τὸ δακρύειν, καὶ ὀλοφύρεσθαι, καὶ τὴν θείαν φιλανθρωπίαν αἰτεῖν. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, 4) ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Παρεγγυήσας ὑμνεῖν, ἐδίδαξε καὶ τῆς ὑμνῳδίας τὸν τρόπον. πανταχοῦ μὲν γὰρ αἴρειν ὁσίους χεῖρας ὁ θεῖος ἐνομοθέτησε Παῦλος· οὐχ ἥκιστα δὲ ἐν τοῖς ἀφιερωμένοις προσ-

INTERP. PS. CXXXIII.

1. Canticum graduum. Conuenit etiam hic psalmus iis, qui e Babylone regressi fuerunt. Piis autem omnibus admonitionem proponit, vt non modo interdiu, verum etiam de nocte Deum laudibus prosequantur. *Ecce nunc benedicite Domino omnes serui Domini.* Non omnium est Deum laudare, sed eorum, qui diuinum imperium amplexi sunt, et Domini cultum magnifaciunt. Eorum enim, qui peccati vulnera acceperunt, proprium est lacrymas profundere, et lugere, diuinamque benignitatem efflagitare. *Qui statis in domo Domini, in atriis domus Dei nostri.* Cum Deum celebrare hortatus esset, docuit etiam laudis modum. Vbique enim, vt puras manus tollant, diuinus Paulus praecipit: praesertim autem in consecratis locis.

1) ἀπὸ τοῦ. Abest a Cod. 1. 2) Ἁρμόττει — ἀνυμνεῖν. ORIGENI haec tribuit CORD. l. c. p. 629. 3) δὲ. Cod. 1. μέν. 4) ἐν — ἡμῶν. Dee. in Textu hebr.

cis debitum cultum Deo offerre decet. 2. *In noctibus extollite manus vestras versus sancta, et benedicite Domino.* Cum locum docuisset, docet etiam tempus, quandoquidem ad hymnos canendos accommodata est nox, quæ multam quietem præbet, et a multis tumultibus est libera. Manus autem tollere, vsitatus etiam mos iubet. 3. *Benedicat tibi Dominus e Zione, qui* * *fecit cælum et terram.* * Nam ne quis vniuersorum Deum Zione circumscriptum esse suspicetur, merito ipsum rerum omnium opificem esse demonstrauit. Per cælum enim et terram, totum vniuersum comprehendit: nam in cælo sunt angeli, in terra homines, et ea quæ propter hos facta sunt.

κει 1) χωρίοις 2) τὴν ὀφειλομένην τ[illegible] Θεῷ προσφέρειν προσκύνησιν. β΄. 3) [illegible] ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. Διδάξας τὸν τόπον, διδάσκει καὶ τὸν καιρόν. ἁρμοδία γὰρ εἰς ὑμνῳδίαν ἡ νὺξ πολλὴν παρέχουσα τὴν ἡσυχίαν, καὶ τῶν πολλῶν θορύβων ἀπηλλαγμένη. τὸ δὲ τὰς χεῖρας αἴρειν 4) καὶ τὸ κρατῆσαν ἔθος παρακελεύεται. γ΄. Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἵνα γὰρ μή τις ὑπολάβῃ τῇ Σιὼν περιγεγράφθαι τὸν τῶν ὅλων 5) Θεὸν, εἰκότως αὐτὸν ἔδειξε τῶν ὅλων δημιουργόν· διὰ γὰρ οὐρανοῦ καὶ γῆς 6) καὶ πᾶσαν τὴν κτίσιν περιέλαβε· 7) ἐν οὐρανῷ γὰρ ἄγγελοι, ἐπὶ γῆς δὲ ἄνθρωποι, καὶ τὰ διὰ τούτους γενόμενα.

INTERP. PS. CXXXIV.

1. *Alleluia. Canticum graduum.* Hæc est alia laus, et ipsa ab his, qui libertatem adepti fuerunt, Deo oblata. Ceterum *Alleluia* iam interpretati sumus. *Laudate nomen Domini, laudate serui Dominum.* Quoniam diuina natura haudquaquam cerni potest, hanc autem laudari iubet, iure dixit, *Laudate nomen Domini.* Contenti estote, inquit, Dei appellatione, et ne quæratis cernere, quæ nefas est cernere. 2. *Qui statis in domo Domini, in atriis domus Dei nostri.* A seruitute Babyloniorum, inquit, liberati, et diuinorum atriorum magnificentia fruentes, horum bonorum largitorem laudate. 3. *Laudate Dominum, quia bonus Dominus.*

ΕΡΜΗΝ. ΤΟΥ ρλδ΄ ΨΑΛΜΟΥ.

α΄. Ἀλληλούϊα. 8) Ὠιδὴ τῶν ἀναβαθμῶν. Αἶνος οὗτος ἕτερος, καὶ ὁ αὐτὸς ὑπὸ τῶν τῆς ἐλευθερίας τετυχηκότων προσενεχθεὶς τῷ Θεῷ· τοῦ δὲ ἀλληλούϊα καὶ ἤδη τὴν ἑρμηνείαν εἰρήκαμεν. Αἰνεῖτε τὸ ὄνομα Κυρίου· αἰνεῖτε δοῦλοι Κύριον. Ἐπειδὴ ἀόρατος ἡ θεία φύσις, ὑμνεῖν δὲ ταύτην παρακελεύεται, εἰκότως εἶπεν, αἰνεῖτε τὸ ὄνομα Κυρίου· ἀρκέσθητε φησὶ τῇ τοῦ Θεοῦ προσηγορίᾳ, καὶ μὴ ζητήσητε ἰδεῖν, ἃ μὴ θέμις ἰδεῖν. β΄. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. 9) Βαβυλωνίων, φησὶν, ἀπαλλαγέντες δουλείας, καὶ τῆς τῶν θείων αὐλῶν ἀπολαύοντες εὐπρεπείας, τὸν τούτων χορηγὸν τῶν ἀγαθῶν ἀνυμνήσατε. γ΄. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος.

Ἀφερ-

1) Cod. 1. χωρεῖν. 2) τήν. Ib. præm. καί. 3) Ἐν ταῖς νυξίν. Hæc ad præc. vers. pertinent. 4) καί. Cod. 1. κατά. 5) Θεόν. Cod. 1. Κύριον. 6) καί. Abest a Cod. 1. 7) ἐν. Ibid. præm. ἔφη. 8) Ὠιδὴ τῶν ἀναβ. Def. in Textu hebr. et græco τῶν ὁ. 9) Βαβυλ. Cod. 1. præm. Τῆς τῶν.

Ἀφορμὴν τῆς ὑμνῳδίας ποιήσατε τοῦ ὑμνουμένου τὴν ἀγαθότητα. Ψάλλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν. Πολὺ δὲ καὶ ἐντεῦθεν προσγινόμενον ὑμῖν κέρδος. εἶτα τῶν εἰς αὐτοὺς γεγενημένων εὐεργεσιῶν ποιεῖται τὴν μνήμην. δ'. Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. 1) Ὁ δὲ Σύμμαχος οὕτως· καὶ τὸν Ἰσραὴλ εἰς ἐξαίρετον ἑαυτῷ. πλείονος αὐτόν φησιν ἐπιμελείας ἠξίωσε, καὶ οἰκεῖον λαὸν ἀπεκάλεσε, καὶ πάντων ἀνθρώπων 2) κηδόμενος, τούτου διαφερόντως πεφρόντικε. ταῦτα δὲ καὶ ὁ μακάριος ἔφη Μωσῆς· ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατ' ἀριθμὸν ἀγγέλων Θεοῦ· καὶ ἐγενήθη μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. ε'. Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. Δι' αὐτῶν, φησὶ, μεμαθήκαμεν τῶν πραγμάτων τοῦ ἡμετέρου Θεοῦ τὴν ἰσχὺν, καὶ ὅτι οὐδαμῶς αὐτῷ παραβληθῆναι δυνήσονται οἱ παρὰ τῶν ἄλλων ἐθνῶν προσκυνούμενοι Θεοί. οὐδεὶς γὰρ τῷ ὄντι καὶ ἀεὶ ὄντι συγκρίνει τὸ μηδαμῶς ὄν. εἶτα ἀπὸ τῆς δημιουργίας ὑποδείκνυσι τὸ τοῦ Θεοῦ δυνατόν. ς'. Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Οὐ τῇ δυνάμει σύμμετρα τὰ γενόμενα, ἀλλὰ τῇ βουλήσει. ἠδύνατο μὲν γὰρ καὶ πολλαπλάσια τούτων, καὶ πολλῷ μείζονα δημιουργῆσαι· ἀλλὰ τοσαῦτα καὶ τοιαῦτα ἠθέλησεν. αὐτοῦ δὲ ὅμως πάντα ποιήματα, οὐρανὸς καὶ τὰ οὐράνια, γῆ καὶ τὰ ἐπίγεια, θάλασσαι

Ad hymnorum argumentum bonitatem eius, qui celebratur, arripite. *Psallite nomini eius, quoniam bonum.* Porro plurimum emolumenti hinc vobis acquiritur. Deinde beneficiorum in ipsos collatorum mentionem facit. 4. *Quoniam Iacobum elegit sibi Dominus, Israelem sibi in possessionem.* Symmachus autem sic, Et Israelem in selectum quoddam sibi. Maiore, ait, cura ipsum dignatus est, propriumque populum appellauit: et omnium hominum curam gerens huius potissimum curam gessit. Hæc autem etiam beatus Moses dixit, a) Quando diuidebat Altissimus gentes, quando separabat filios Adami, constituit terminos gentium iuxta numerum angelorum Dei, et factus est pars Domini populus eius Iacob, funiculus hereditatis eius Israel. 5. *Quia ego cognoui, magnum esse Dominum, et Deum nostrum præ omnibus diis.* * Per ipsas, inquit, res didicimus Dei nostri robur, et Deos, qui a gentibus aliis honorantur, cum ipso minime conferri posse. Nemo enim cum eo quod est, et quod est semper, id quod non est comparat. Deinde e creatione rerum omnium Dei potentiam tacite ostendit. 6. *Omnia quæcunque voluit, Dominus fecit in cælo et in terra, et in maribus, et in omnibus abyssis.* Ea quæ facta sunt, non pro ratione potentiæ sed voluntatis facta sunt. Potuerat enim et plura hisce, et multo maiora fabricare, sed tot et talia voluit. Veruntamen omnia sunt eius opera, cælum et cælestia, terra et terrestria, mare

1) Ὁ — πεφρόντικε. ORIGENI hæc tribuuntur a CORD. l. c. p. 639. 2) κηδόμενος. Cod. 1. φειδόμενος, adscripta tamen altera lectione.

a) Deut. 32, 8. 9.

et ea quæ in ipso sunt. Ceterum *abyssos* vocat immensam aquarum multitudinem. Multitudinis autem numero *maria* vocauit, quoniam vnum mare in multa æquora diuiditur. Atlanticus enim est sinus, et Oceanus, et Tyrrhenus, et Ionicus, et Aegæus, et Arabicus, et Indicus, et Pontus Euxinus, et Propontis, et Hellespontus, et alia æquora, multo plura quam supradicta. 7. *Educens nubes ab extremo terræ.* Etenim aquarum natura, quæ deorsum tendit, diuino verbo subducitur, et sublimis fit, et continentem irrigat. Ab extremo autem terræ dixit nubes sursum tolli, quoniam ex marinis aquis constant: fines vero terræ sunt sinus marini. *Fulgura pluuiæ fecit.* Prænuntiat autem affluentiam imbrium fulguribus, et ostendit miraculum omnium mirabilissimum. In aquis enim fulguris ignis discurrens, neque illas calefacit, neque ipse exstinguitur. *Qui educit ventos e thesauris suis.* Ventorum thesauros non quasi reconditoria esse dicit: sed quoniam, cum aër vento caret, sæpenumero voluntas diuina nutu suo facile illum mouet, thesaurum ventorum vocauit. Simulac annuit, vndique spirant. Vbi commune opificium et prouidentiam sic demonstrauit, deinceps Iudæorum beneficia persequitur. 8. *Qui percussit primogenita Aegypti, ab homine vsque ad pecus.* Nouissimam plagam primam posuit, quoniam libertatem post hanc receperunt. 9. *Emisit signa et prodigia in medio tui Aegypte.*

καὶ τὰ ἐν αὐτῇ. ἀβύσσους δὲ καλεῖ τὸ ἄπειρον τῶν ὑδάτων πλῆθος. πληθυντικῶς δὲ θαλάσσας ἐκάλεσεν, ἐπειδὴ εἰς πελάγη πολλὰ ἡ μία διῄρηται θάλασσα. Ἀτλαντικὸς γὰρ κόλπος, καὶ Ὠκεανὸς, καὶ Τυῤῥηνικὸς, καὶ Ἰόνιος τε, καὶ 1) Αἰγαῖος, καὶ Ἀραβικὸς, καὶ Ἰνδικὸς, καὶ Εὔξεινος πόντος, καὶ Προποντὶς, καὶ Ἑλλήσποντος, καὶ ἕτερα πελάγη πολλαπλάσια τῶν εἰρημένων. ζ. Ἀνάγων 2) νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. Τῷ γὰρ θείῳ λόγῳ ἡ κατωφερὴς τῶν ὑδάτων φύσις ἀνέλκεται, καὶ μετέωρος γίνεται, καὶ ἄρδει τὴν 3) ἤπειρον. ἐξ ἐσχάτου δὲ τῆς γῆς ταύτας εἶπεν ἀνάγεσθαι, ἐπειδὴ ἐκ τῶν θαλαττίων ὑδάτων συνίσταται. τέρματα δὲ τῆς γῆς οἱ θαλάττιοι κόλποι. Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν. Προμηνύει δὲ τῶν ὑετῶν τὴν χορηγίαν ταῖς ἀστραπαῖς, καὶ δείκνυσι θαῦμα πάντων παραδοξότατον. ἐν ὕδασι γὰρ τὸ 4) ἀστραπαῖον διατρέχον πῦρ, οὔτε 5) ἐκεῖνα θερμαίνει, οὔτε αὐτὸ κατασβέννυται. Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. Θησαυροὺς ἀνέμων οὐκ ἀποθήκας εἶναι λέγει τινὰς, ἀλλ᾽ ἐπειδὴ ἀπήνεμον ὄντα τὸν ἀέρα πολλάκις ῥᾳδίως ἐθελήσας κινεῖ τὸ βούλημα τὸ θεῖον, θησαυρὸν ἀνέμων ἐκάλεσεν· ἅμα τε γὰρ νεύει, καὶ πανταχόθεν προσίασιν. οὕτω τὴν κοινὴν δημιουργίαν, καὶ πρόνοιαν ὑποδείξας, τὰς Ἰουδαίων λοιπὸν εὐεργεσίας διέξεισιν. η. Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους. Τὴν τελευταίαν πληγὴν τέθεικε πρώτην, ἐπειδὴ μετὰ ταύτην τὴν ἐλευθερίαν ἐδέξαντο. θ. Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου Αἴγυπτε. Τὰς παν-

τοδα-

1) Cod. 1. Αἴγειος. 2) νεφέλας. *Hebr.* vapores. 3) ἤπειρον. Cod. 1. γῆν. 4) Ibid. ἀστραπιαῖον. 5) Ib. ἐκεῖνο.

τοδαπὰς θαυματουργίας καὶ παιδείας διὰ τούτων ἐδήλωσεν. Ἐν Φαραὼ, καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. Οὐ γὰρ ἤρκεσεν ἡ βασιλεία τῶν θεηλάτων αὐτὸν ἀπαλλάξαι μαστίγων, ἀλλὰ τοῖς αὐτοῖς καὶ οἱ βασιλευόμενοι καὶ ὁ βασιλεύων κακοῖς περιέπεσεν. οὕτω καὶ πρὸς τὸν μέγαν Μωσῆν ἔφη ὁ τῶν ὅλων Θεός· Ἰδοὺ ἐγὼ πατάσσω πᾶν πρωτότοκον τῆς Αἰγύπτου, ἀπὸ πρωτοτόκου Φαραὼ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου αὐτοῦ, ἕως πρωτοτόκου τῆς αἰχμαλώτιδος τῆς παρὰ τὸν μύλον. ι. Ὃς ἐπάταξεν ἔθνη πολλά. Τὰ τὴν Παλαιστίνην πάλαι οἰκήσαντα. Καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς. ια. Τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων· καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν. Τούτων ὁ θεῖος Μωσῆς τὴν βασιλείαν κατέλυσεν. Καὶ πάσας τὰς βασιλείας Χαναάν. Τούτους ὁ μακάριος Ἰησοῦς ἐχειρώσατο, καὶ τὰς ὑπ' ἐκείνων κατεχομένας χώρας καὶ πόλεις διένειμε τῷ λαῷ. τοῦτο καὶ ἐνταῦθα ὁ προφήτης φησί. ιβ. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ τῷ λαῷ αὐτοῦ. Καθάπερ γάρ τινα κλῆρον πατρῷον, τὴν ὑπ' ἐκείνων τῶν δυσσεβῶν βασιλέων πάλαι κατασχεθεῖσαν γῆν τῷ Ἰσραὴλ δέδωκεν ὁ 1) τούτων Θεός. ιγ. Κύριε τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Τὸ μὲν γὰρ μέγεθος τῶν ὑπό σου γεγενημένων θαυμάτων τὸ σὸν ἅπαντας ἐδίδαξεν ὄνομα· καὶ μέντοι καὶ εἰς τὰς ἐσομένας γενεὰς ἡ τῶν σῶν εὐεργεσιῶν φυλαχθήσεται μνήμη. ιδ. Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. Οὐ γὰρ περιόψη παρὰ τῶν δυσμενῶν ἡμᾶς πολεμουμένους

* Omnis generis miracula et animaduersiones per hæc declarauit. *In Pharaonem, et omnes seruos eius.* Non enim potuit regnum a flagellis a Deo illatis ipsum liberare, sed in eadem mala et subditi inciderunt et rex. Sic et magno Mosi Deus vniuersorum dixit, a) Ecce ego percutio omne primogenitum Aegypti, a primogenito Pharaonis, qui sedet in solio eius, vsque ad primogenitum ancillæ, quæ est ad molam. 10. *Qui percussit gentes multas.* Quæ olim Palæstinam incolebant. *Et occidit reges fortes.* 11. *Sihonem regem Amorrhæorum, et Ogum regem Basan.* Horum regnum diuinus Moses euertit. *Et omnia regna Chanaan.* Hos beatus Iosua expugnauit, et regiones atque ciuitates, quæ ab illis detinebantur, populo distribuit. Illud et hoc in loco propheta inquit. 12. *Et dedit terram eorum hereditatem, hereditatem Israeli populo suo.* Nam veluti quandam hereditatem paternam, terram, quæ ab impiis illis regibus olim tenebatur, Israeli horum Deus largitus est. 13. *Domine nomen tuum in secula, et memoriale tuum in generationem et generationem.* Nam magnitudo miraculorum, quæ a te edita sunt, tuum nomen omnes edocuit: atque etiam in futura secula tuorum beneficiorum memoria conseruabitur. 14. *Quoniam iudicabit Dominus populum suum, et in seruis suis deprecabitur.* Non enim nos ab hostibus oppugnatos cernens despi-

1) τούτων Θεός. Cod. 1. τοῦ Θεοῦ υἱός.

a) Exod. 11, 4. 5.

despicies, neque condigna nostris peccatis supplicia infliges, sed propitius eris et benignus. Ita Dei qui est ostensa potentia, eorum qui dii vocantur, et non sunt, imbecillitatem deridet. Et quoniam Deos nominauit, ostendit eos cum re etiam appellatione priuatos. 15. *Idola gentium, argentum et aurum, opera manuum hominum.* At Deus noster, inquit, omnium est opifex: illi autem non solum efficiendi potentiam non habent, sed etiam ipsam formam ab arte humana acceperunt. Ex materia enim et arte eorum substantia constat. * 16. *Os habent, et non loquentur, oculos habent, et non videbunt.* 17. *Aures habent, et non audient.* Similitudines, inquit, sensus habent, actione autem priuati sunt. *Neque enim est spiritus in ore ipsorum.* Huius autem etiam ratione carentium natura est particeps: nam quodlibet animalium respirat. Idola autem neque in hoc ratione carentibus assimilari possunt. 18. *Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis.* Huius sensuum defectus digni sunt vt participes fiant, et qui eorum sunt opifices, et qui ipsa colunt. Nam eos qui cum rationis essent participes, Deos censuerunt ea quæ vitæ sunt expertia et rationis, iustum est defectus rationis illorum esse participes. 19. *Domus Israel benedicite Domino.* Illi quidem, ait, tantum honorem inanimis idolis tribuunt. Vos vero rerum omnium opificem laudibus prosequimini. *Domus Aaron, benedicite Domino.* Discreuit sacerdotes a populo, et commonefecit vt ... se ipsos et seorsim laudarent: ...atione discrimen illorum

ὀρῶν, οὐδὲ ἀξίας τῶν ἡμετέρων ἁμαρτάδων τιμωρίας ἐπάξεις, ἀλλ' ἵλεως ἔσῃ καὶ εὐμενής· οὕτω δείξας τοῦ ὄντος Θεοῦ τὴν δύναμιν, κωμῳδεῖ τῶν καλουμένων μὲν, οὐκ ὄντων δὲ θεῶν τὴν ἀσθένειαν· καὶ ἐπειδὴ θεοὺς ὠνόμασεν, 1) ἀνέδειξεν αὐτοὺς μετὰ τοῦ πράγματος καὶ τῆς προσηγορίας ἐρήμους. ιε'. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Ὁ μὲν ἡμέτερος Θεὸς τῶν ἁπάντων ἐστὶ, φησὶ, ποιητής, ἐκεῖνοι δὲ οὐ μόνον δημιουργικὴν οὐκ ἔχουσι δύναμιν, ἀλλὰ καὶ αὐτὸ τὸ εἶδος παρὰ τέχνης ἀνθρωπείας ἐδέξαντο. ἐξ ὕλης γὰρ αὐτοῖς καὶ τέχνης ἡ σύστασις. ιϛ'. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. ιζ'. Ὦτα ἔχουσι, καὶ οὐκ ἐνωτισθήσονται. Εἰκόνας, φησὶν, αἰσθήσεων ἔχουσι, τῆς δὲ ἐνεργείας ἐστέρηνται. Οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. Τούτου δὲ καὶ τῶν ἀλόγων ἡ φύσις μετέλαχεν. ἀναπνεῖ γὰρ τῶν ζώων ἕκαστον· τὰ δὲ εἴδωλα οὐδὲ τοῖς ἀλόγοις παραπλησίως τούτου μετέχει. ιη'. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ταύτης εἰσὶν ἄξιοι τῆς ἀναισθησίας μεταλαχεῖν, καὶ οἱ δημιουργοῦντες αὐτὰ, καὶ οἱ προσκυνοῦντες. τοὺς γὰρ λόγου μετέχοντας, καὶ θεοὺς ὑπολαμβάνοντας τὰ ζωῆς ἐστερημένα καὶ λόγου, δίκαιον τῆς ἐκείνων μεταχεῖν ἀλογίας. ιθ'. Οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον. Ἐκεῖνοι μὲν φησι τοσαύτην ἀπονέμουσι θεραπείαν τοῖς ἀψύχοις εἰδώλοις· ὑμεῖς δὲ τὸν τῶν ἁπάντων ὑμνήσατε ποιητήν. Οἶκος Ἀαρὼν εὐλογήσατε τὸν Κύριον. διέκρινε τοῦ λαοῦ τοὺς ἱερέας, καὶ καθ' ἑαυτοὺς ὑμνεῖν παρηγγύησε, ταύτῃ δεικνὺς

1). Cod. I. ἄνω· δεικνύς.

ὶς τὸ διάφορον. κ΄. Οἶκος Λευῒ εὐλογήσατε τὸν Κύριον. Ἑτέρα πάλιν ἐνταῦθα διαφορά· οἱ γὰρ Λευῖται τῶν ἄλλων τιμιώτεροι, τῶν δὲ ἱερέων ὑποδέστεροι. ἵνα τοίνυν μὴ καὶ οὗτοι τὴν ἱερατικὴν ἀξίαν ἁρπάσωσιν· ἐτόλμησαν γὰρ καὶ πάλαι τοῦτο τοῦ Θεσπεσίου Μωσοῦ περιόντος· ἀναγκαίως καὶ τούτους ἀπὸ τῶν ἱερέων ἀπέκρινεν. Οἱ φοβούμενοι τὸν Κύριον εὐλογήσατε τὸν Κύριον. ἕτερον καὶ τοῦτο τάγμα, ἐκ μὲν τοῦ Ἰακὼβ οὐ κατάγον τὸ γένος, ἐκείνου δὲ τὴν εὐσέβειαν ἀσπαζόμενον· οὕτω δὲ καὶ τοὺς εὐσεβεῖς ὠνόμαζον προσηλύτους. ἱκανὸν δὲ καὶ τοῦτο Ἰουδαίους διδάξαι, ὅτι ὁ τῶν ὅλων Θεὸς τῆς σωματικῆς συγγενείας τὴν τῶν τρόπων προκρίνει συγγένειαν. κα΄. Εὐλογητὸς Κύριος 1) ἐκ Σιών, ὁ κατοικῶν 2) Ἱερουσαλήμ. Εὐλογούμενος ὁ Θεὸς εὐλογεῖ· ἀλλ᾽ εὐλογεῖ μὲν ἔργῳ, εὐλογεῖται δὲ λόγῳ. καὶ οἱ μὲν ὑμνοῦντες προσφέρουσι ῥήματα, αὐτὸς δὲ τὴν διὰ πραγμάτων ἀντιδίδωσιν εὐλογίαν. κατοικεῖν δὲ αὐτὸν ἐν Ἱερουσαλὴμ ἔφη, οὐ τὴν θείαν ἐκεῖ περιγράφων φύσιν, ἀλλ᾽ ἐκεῖ τηνικαῦτα τὴν θείαν ἐπιφάνειαν 3) εἰδώς.

ostendit. 20. *Domus Leui benedicite Domino.* Rursus hæc est alia differentia. Leuitæ enim aliis quidem sunt honoratiores, sed sacerdotibus inferiores. Ne igitur et ipsi sacerdotalem dignitatem subripiant, (ausi sunt enim et olim hoc diuino Mose superstite,) necesse erat vt hos quoque a sacerdotibus discerneret. *Qui timetis Dominum, benedicite Domino.* Et hic est alius ordo eorum, qui ex Iacobo quidem minime genus ducunt, sed illius pietatem amplectuntur, Sic autem et pios nominabant proselytos. Hoc vero ipsum etiam Iudæos docere potest, vniuersorum Deum morum cognationem corporis cognationi præferre. 21. *Benedictus Dominus e Zione, qui habitat in Hierosolymâ.* Deus cum benedicitur benedicit: sed re benedicit, benedicitur vero sermone. Et qui laudant, verba afferunt: ipse vero rerum ipsarum benedictione remunerat. Ipsum autem Hierosolymæ habitare dicit, non diuinam naturam ibi circumscribens, sed ibi Deum tunc apparuisse sciens.

ΕΡΜΗΝ. ΤΟΥ ρλε΄ ΨΑΛΜΟΥ.

α΄. Ἀλληλούϊα. Καὶ τόνδε τὸν ὕμνον τοῖς αὐτοῖς ἡ προφητικὴ συνέγραψε χάρις, διὰ πλειόνων αὐτοῖς παιδευμάτων πραγματευομένη τὴν ὠφέλειαν. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Προσενέγκατέ φησι τῷ Θεῷ τὸν χαριστήριον ὕμνον, τῶν ὑπ᾽ αὐτοῦ χορηγηθέντων ἀγαθῶν μεμνημένοι, καὶ τὸν ἀμέτρητον αὐτοῦ θαυμάζοντες ἔλεον. β΄. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν,

* INTERP. PS. CXXXV.

1. *Alleluia.* Hunc etiam hymnum prophetica gratia eisdem scripsit, per plura documenta vtilitatem ipsis procurans. *Confitemini Domino quoniam bonus, quoniam in æternum misericordia eius.* Offerte, inquit, Deo gratiarum actionis hymnum, recordati bonorum, quæ ab ipso suppeditata fuerunt, inexplicabilemque eius misericordiam admirantes. 2. *Confitemini Deo Deorum,* quon-

1) ἐκ. Cod. vat. habet ἐν. 2) Ἱερουσ. Cod. 1. Ἰσραήλ. 3) εἰδώς Ibid. præm. γεγενημένην.

quoniam in aeternum misericordia eius. *Deos* hoc loco non idola dicit: non enim ipsum Deum deorum, qui non sunt, appellasset. Nam Deus non est Deus mortuorum, *a*) sed viuentium. Vocat igitur *deos* eos, qui sacerdotio praediti sunt, qui filii Dei vocantur. Sic etiam in lege ait, *b*) Diis non detrahes, et principi populi tui non maledices. Et, Filius primogenitus meus Israel. Et per Esaiam, *c*) Filios genui et exaltaui. Et in psalmis, *d*) Ego dixi, dii estis, et filii Excelsi omnes. Hos deos vocauit, tanquam Dei filios appellatos. 3. *Confitemini Domino dominorum, quoniam in aeternum misericordia eius.* Et reges, et principes, cum a Deo potestatem acceperint, subditis imperant. Sic etiam Dominus ait, *e*) Reges gentium dominantur eis, et principes potestatem exercent in ipsos. Sunt etiam angeli quidam, qui dominationes vocantur. Propterea et diuinus ait apostolus, *f*) Nam etsi sunt, qui dicantur dii, (multi qui dicuntur, sed non sunt, nominis participes, sed non rei,) siue in caelo, siue in terra; siquidem sunt dii multi; nobis tamen vnus Deus Pater, ex quo omnia, et nos in illo, et vnus Dominus Iesus Christus, per quem omnia, et nos per ipsum. Hunc vocauit psalmus Dominum verorum dominorum. 4. *Qui fecit mirabilia magna solus, quoniam in aeternum misericordia eius.* Miraculorum editiones sunt etiam beneuolorum seruorum eius. Sed diuina vocamus etiam Mosis, et Iosuae, et Eliae mirabilia. Similiter autem et signa, quae a sacris apostolis sunt facta. * Iu-

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Θεῶν ἐνταῦθα οὐ τῶν εἰδώλων λέγει, οὐ γὰρ ἂν αὐτὸν ἐκάλεσε τῶν οὐκ ὄντων Θεόν. οὐ γάρ ἐστιν ὁ Θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων. καλεῖ τοίνυν θεοὺς τοὺς ἱερωσύνῃ τετιμημένους, τοὺς υἱοὺς Θεοῦ χρηματίσαντας. οὕτω καὶ ἐν τῷ νόμῳ φησί, θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· καί, υἱὸς πρωτότοκός μου Ἰσραήλ· καὶ διὰ τοῦ Ἡσαΐου, υἱοὺς ἐγέννησα καὶ ὕψωσα. καὶ ἐν τοῖς ψαλμοῖς, ἐγὼ εἶπον, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες. τούτους θεοὺς ἐκάλεσεν, ὡς υἱοὺς Θεοῦ χρηματίσαντας. γʹ. Ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ βασιλεῖς καὶ ἄρχοντες, παρὰ Θεοῦ λαβόντες τὴν ἐξουσίαν, τῶν ὑπηκόων δεσπόζουσιν. οὕτω καὶ ὁ Κύριος ἔφη, οἱ βασιλεῖς τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ ἄρχοντες κατεξουσιάζουσιν αὐτῶν. εἰσὶ δὲ καὶ ἄγγελοί τινες ὀνομαζόμενοι κυριότητες. διὰ τοῦτο καὶ ὁ θεῖος ἀπόστολος ἔφη· καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ πολλοὶ λεγόμενοι, οὐκ ὄντες, ὀνόματος μετέχοντες, οὐ πράγματος· εἴτε ἐν τῷ οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς· ὥσπερ εἰσὶ θεοὶ 1) πολλοί· ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. τοῦτον ἐκάλεσεν ὁ ψαλμὸς κύριον τῶν ἀληθῶν κυρίων. δʹ. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Μεγαλουργίαι καὶ αἱ τῶν εὐνῶν αὐτοῦ θεραπόντων. ἀλλὰ θεῖα καλοῦμεν καὶ τὰ Μωσοῦ, καὶ τὰ Ἰησοῦ, καὶ τὰ Ἠλίου θαυμάσια· ὡσαύτως δὲ καὶ τὰ ὑπὸ τῶν ἱερῶν ἀποστόλων γεγενημένα σημεῖα. εἰκότως

1) πολλοί. Cod. 1. add. οὕτω καὶ κύριοι πολλοί.

a) Matth. 22, 32. *b*) Exod. 22, 28. *c*) Es. 1, 2. *d*) Ps. 81, 6. *e*) Matth. 20, 25. *f*) 1 Cor. 8, 5. 6.

κότως τοίνυν αὐτὸν ὁ προφήτης μόνον ἔφη τῶν μεγάλων θαυμάτων δημιουργόν. εἶτα δείκνυσιν αὐτοῦ καὶ τὰ μεγάλα ποιήματα. ε. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Κηρύττει γὰρ καὶ μόνον ὁρώμενος οὐρανὸς τοῦ Θεοῦ τὴν σοφίαν. πολὺ γὰρ τὸ μέγεθος, καὶ τὸ κάλλος, καὶ ἡ ἐπὶ τὸ πλεῖστον διαμονή. ς. 1) Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τοῦτο δὲ ἀξιάγαστον, καὶ τὴν ἀνθρωπίνην ὑπερβαῖνον διάνοιαν, 2) καὶ πανταχόθεν τὴν γῆν περικλυζομένην τοῖς ὕδασιν ἑστάναι, καὶ ἐπὶ τῆς οἰκείας φύσεως διαμένειν. εἰκότως δὲ τοῖς ῥητοῖς ἅπασι τὸν αἰώνιον ἔλεον ὁ 3) μελογράφος συνέζευξεν, ἐπειδὴ οὐ διὰ χρείαν οἰκείαν, ἀλλὰ διὰ μόνην φιλανθρωπίαν ἐδημιούργησεν ὁ φιλάνθρωπος ἅπαντα. ζ. Τῷ ποιήσαντι φῶτα μεγάλα 4) μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῆς θείας μεταλαχόντες προνοίας οἱ ἄνθρωποι ἐξάπτειν λαμπάδας εἰώθασιν, ἀλλ᾽ ὅλον τὸ περίγειον πῦρ ἑνὸς ἀστέρος οὐ μιμεῖται λαμπρότητα. πάντων δὲ ἀστέρων καὶ σελήνης αὐτῆς φανώτατος ἥλιος. κἀκείνους γὰρ φαινόμενος κρύπτει, καὶ αὐτῆς τὰς ἀκτῖνας ἀμβλύνει. η. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, 5) ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. θ. Τὴν σελήνην, καὶ τοὺς ἀστέρας, εἰς ἐξουσίαν τῆς νυκτὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Διένειμέ φησι τοῖς φωστῆρσι τὸν χρόνον, καὶ ταῖς μὲν ἡλιακαῖς ἀκτῖσι τὴν ἡμέραν ποιεῖ, σελήνῃ δὲ καὶ ἄστροις καταφωτίζει τὴν νύκτα. 6) διὰ τούτων γινομένων τὴν οἰκείαν δεικνὺς ἀγαθότητα. ι. Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς

re igitur ipsum propheta solum dicit maximorum miraculorum opificem esse. Deinde ostendit etiam opera eius magna. 5. *Qui fecit caelos prudenter, quoniam in aeternum misericordia eius.* Caelum, si etiam tantummodo conspicitur, Dei sapientiam praedicat: multa est enim magnitudo, et pulchritudo, et diuturna perseuerantia. 6. *Qui firmauit terram super aquis, quoniam in aeternum misericordia eius.* Et hoc est admiratione dignum, et humanam mentem transscendit, quod terra vndique aquis cincta stet, et super propria natura sua permaneat. Merito autem psalmographus omnibus dictis aeternam misericordiam coniunxit: quoniam non ob propriam necessitatem, sed ob solam benignitatem benignus omnia condidit. 7. *Qui fecit luminaria magna solus, quoniam in aeternum misericordia eius.* Homines diuinae prouidentiae participantes, lampades accendere solent, sed totus terrestris ignis vnius astri splendorem haudquaquam imitatur. Prae stellis autem omnibus et prae luna ipsa splendidus est sol. Nam et illas apparens occulit, et ipsius lunae radios obtundit. 8. *Solem in potestatem diei, quoniam in aeternum misericordia eius.* 9. *Lunam et stellas in potestatem noctis, quoniam in aeternum misericordia eius.* Diuisit, inquit, luminaribus tempus, et solaribus quidem radiis diem facit, luna vero et astris noctem illuminat: per haec, quae facta sunt, propriam bonitatem ostendens. 10. *Qui percussit Aegyptum cum* pri-

1) Τῷ στερεώσαντι. *Hebr.* expandenti. 2) καί. Cod. 1. τό. 3) Ibid. μεγαλογράφος. 4) μόνῳ. Abest a Textu hebr. 5) ὅτι — αὐτοῦ. Des. in Cod. 1. h. l. et in reliquis versic. 6) διὰ τούτων. Cod. 1. δι᾽ ἑκάστου.

primogenitis eorum, quoniam in æternum misericordia eius. Sed fortasse aliquis ambigere posset, quomodo per misericordiam mors efficitur? Consideret igitur solutionem præsentium verborum: quod qui iniuria affectos miseratur, iniuria afficientes plectit. Illud enim hoc in loco propheta subiunxit. 11. *Qui eduxit Israelem de medio eorum, quoniam in æternum misericordia eius.* Misericordia erga hunc populum illis pœnam inflixit. Et illa autem, * et * hæc iustitiæ coniuncta sunt. Nam et horum iuste misertus est, et illos iure suppliciis affecit. 12. *In manu potenti, et in brachio excelso, quoniam in æternum misericordia eius.* *Manum* operationem appellauit: *brachium* vero, robur. Per vtraque igitur declarauit, se per salutem populo præbitam potentiam suam monstrasse. 13. *Qui diuisit mare rubrum in divisiones, quoniam in æternum misericordia eius.* Nonnulli, Iudæorum fabulas secuti, dixerunt diuisiones mari rubro æqualis numeri cum duodecim tribubus factas esse, quoniam propheta non diuisionem, sed *diuisiones* dixit. Oportebat autem scire ipsos, mare bifariam sectum, ac duo ex vno facta fuisse. Nam aqua ipsis murus erat a dexteris, et murus a sinistris. Quapropter sectionem maris in duas partes *diuisiones* appellauit. 14. *Qui eduxit Israelem per medium eius, quoniam in æternum misericordia eius.* 15. *Et excussit Pharaonem, et virtutem eius in mari rubro, quoniam in æternum misericordia eius.* Vtraque enim ipsius potentiæ opera sunt, et quod his concesserit vt facile pelagus transirent, et quod

πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἀλλ' ἴσως ἄν τις ἐπαπορήσειε, πῶς ἐλέῳ τεκταίνεται θάνατος; σκοπείτω τοίνυν 1) τὴν λύσιν τῶν προκειμένων 2) ῥητῶν· ὡς ὁ τοὺς ἀδικουμένους οἰκτείρων, τοὺς ἀδικοῦντας κολάζει. 3) τοῦτο γὰρ καὶ ἐνταῦθα ὁ προφήτης ἐπήγαγε. ια'. Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὁ περὶ τούτους ἔλεος ἐκείνοις τὴν τιμωρίαν ἐπήγαγε. κἀκεῖνος δὲ, καὶ αὕτη, δικαιοσύνῃ συγκέκραται. καὶ τούτους γὰρ δικαίως ἠλέησε, κἀκείνους ἐνδίκως ἐκόλασεν. ιβ'. Ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι 4) ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Χεῖρα τὴν ἐνέργειαν ἐκάλεσε, βραχίονα δὲ τὴν ἰσχύν· δι' ἀμφοτέρων μέντοι ἐδήλωσεν, ὡς διὰ τῆς γεγενημένης τοῦ λαοῦ σωτηρίας τὴν οἰκείαν ἀπεκάλυψε δύναμιν. ιγ'. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τινὲς τοῖς Ἰουδαϊκοῖς ἀκολουθήσαντες μύθοις ἰσαρίθμους ταῖς δυοκαίδεκα φυλαῖς ἔφασαν τῇ ἐρυθρᾷ θαλάσσῃ γεγενῆσθαι τὰς διαιρέσεις, ἐπειδὴ ὁ προφήτης οὐ διαίρεσιν, ἀλλὰ διαιρέσεις εἶπεν· ἔδει δὲ αὐτοὺς συνιδεῖν, ὅτι διχῆ τμηθὲν τὸ πέλαγος δύο ἀνθ' ἑνὸς ἐγένετο. τὸ γὰρ ὕδωρ 5) αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων· οὗ δὴ χάριν διαιρέσεις ἐκάλεσε τὴν εἰς δύο τοῦ πελάγους τομήν. ιδ'. Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ιε'. Καὶ ἐκτινάξαντι Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθρὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἀμφότερα γὰρ τῆς αὐτοῦ δυνάμεως ἔργα, καὶ τὸ τούτους εὐπετῶς διαβῆναι τὸ πέλαγος, καὶ τὸ ἐκεί-

1) τὴν. Cod. 1. præm. ὁ. 2) ῥητῶν. Ib. ζητῶν. 3) τοῦτο — ἐπήγαγε. Def. ibid. 4) ὑψηλῷ. *Hebr.* extenso. 5) αὐτοῖς. Cod. 1. add. φησί.

ἐκεῖνον ὑποβρύχιον γενέσθαι τοῖς ὕδασι. ιϛ. 1) Καὶ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τοῦτο δὲ τῆς θείας ἰσχύος ἀπόδειξις, τοσοῦτον λαὸν ἐπὶ χρόνῳ τοσούτῳ ἐν ἐρήμῳ διαθρέψαι, καὶ τῶν ἀναγκαίων αὐτῷ χορηγῆσαι τὴν ἀφθονίαν. ιζ. Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ιη. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιοὺς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν κεφαλαίῳ καὶ τούτων ἤδη τὴν ἑρμηνείαν ἐποιησάμεθα. ιθ. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. κ. Καὶ τὸν Ὠγ βασιλέα τῆς Βασὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Οὐχ ἁπλῶς δὲ, τοὺς ἄλλους παραλιπὼν βασιλέας, τούτων διαφερόντως ἐμνήσθη, ἀλλὰ τὸν λαὸν τῆς θεοσδότου νίκης ἀναμιμνήσκων· ἐπὶ ῥώμῃ γὰρ οὗτοι καὶ δυναστείᾳ, καὶ μεγέθει σώματος ἐσεμνύνοντο. ὁ δὲ Ὠγ καὶ κλίνῃ ἐκέχρητο σιδηρᾷ, διὰ τὸ τοῦ σώματος μέγεθος ἐννέα μὲν πήχεις τὸ μῆκος, πέντε δὲ τὸ εὖρος ἐχούσῃ. κα. Καὶ δόντι τὴν γῆν 2) κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. κβ. Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἅπαντας γὰρ ἐκείνους θανάτῳ καταναλώσας, τὸν Ἰσραὴλ δεσπότην τῆς ἐκείνων 3) ἐπέφηνε γῆς. κγ. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. κδ. Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Μέμνηται 4) τούτων καὶ ὁ μακάριος Μωσῆς. ἐστέναξαν γάρ φησιν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν

ille aquis obrutus sit. 16. *Qui duxit populum suum per desertum, quoniam in aeternum misericordia eius.* Et vero hoc diuinae virtutis est demonstratio, tantum populum tanto tempore in solitudine aluisse, rerumque necessariarum affluentiam ipsi suppeditasse. 17. *Qui percussit reges magnos, quoniam in aeternum misericordia eius.* 18. *Et occidit reges fortes, quoniam in aeternum misericordia eius.* Summatim haec iam explanauimus. 19. *Sibonem regem Amorraeorum, quoniam in aeternum misericordia eius.* 20. *Et Ogum regem Basan, quoniam in aeternum misericordia eius.* Non temere autem, alios reges praeteriens, hos potissimum in medium attulit, sed populo victoriam diuinitus concessam in memoriam reuocans: quandoquidem isti ob robur, et * potentiam, et corporis magnitudinem gloriabantur. Et Og ferreo etiam lecto vtebatur, a) cuius longitudo, ob corporis magnitudinem, nouem cubitorum erat, et quinque latitudo. 21. *Et dedit terram eorum hereditatem, quoniam in aeternum misericordia eius.* 22. *Hereditatem Israeli seruo suo, quoniam in aeternum misericordia eius.* Omnes enim illos cum morte multasset, Israelem dominum terrae eorum effecit. 23. *Quia in humilitate nostra memor fuit nostri, quoniam in aeternum misericordia eius.* 24. *Et redemit nos ab inimicis nostris, quoniam in aeternum misericordia eius.* Horum etiam beatus Moses mentionem facit, Ingemuerunt enim, inquit, b) filii Israel ob opera, et adscendit clamor eorum ad

1) Καί. Cod. 1. τῷ, vt in Textu τῷ ὁ. 2) κληρόν. In Textu τῷ λ. praem. αὐτῶν. Cod. 1. habet ἀντὶ κληρονομίας. 3) Cod. 1. ἀπέφηνε. 4) τούτων. Ib. praem. δὲ.

a) Deut. 3, 11. b) Exod. 2, 23.

ad Deum. Et cum rursus captivi abducti essent, misertus est, et in patrium solum reduxit. 25. *Qui dat escam omni carni, quoniam in æternum misericordia eius.* A particulari prouidentia rursus ad generalem transiit, Dei curam circa omnes prædicans. Non enim hominibus solum, sed etiam ratione carentibus conuenientem cibum præbet. Sic etiam Dominus in sacris euangeliis ait, a) Respicite volatilia cæli, quæ neque serunt, neque congregant in horrea, et pater vester cælestis pascit illa. 26. *Confitemini Deo cæli, quoniam in æternum misericordia eius.* Omnium quidem Deus est Deus, omnium enim est opifex, sed proprie cæli Deus nuncupatur, quod ab angelis, qui in cælis degunt, colatur: ille enim locus a peccato purus est.

πρὸς τὸν Θεόν. καὶ αἰχμαλώτους δὲ πάλιν γενομένους ᾤκτειρε, καὶ εἰς τὴν πατρῴαν ἐπανήγαγε γῆν. κέ. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἀπὸ τῆς μερικῆς προνοίας πάλιν ἐπὶ τὴν καθόλου μετέβη, τὴν περὶ 1) πάντας τοῦ Θεοῦ κηρύττων κηδεμονίαν. οὐ γὰρ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τοῖς ἀλόγοις τὴν κατάλληλον προσφέρει τροφήν. οὕτω καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις· 2) ἀποβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἃ οὔτε σπείρει, οὔτε συνάγει εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. κϛ΄. Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Πάντων μὲν Θεὸς ὁ Θεός· πάντων γάρ ἐστι ποιητής· οὐρανοῦ δὲ κυρίως χρηματίζει Θεὸς, ὑπὸ τῶν ἐν οὐρανῷ διαιτωμένων ἀγγέλων θεραπευόμενος· ἐκεῖνο γὰρ τὸ χωρίον καθαρὸν ἁμαρτίας.

INTERPR. PS. CXXXVI.

Hic psalmus sine titulo est apud Hebræos: sed nonnulli rem audacem ausi, inscripserunt, *Dauidi per Ieremiam*, et addiderunt, Sine titulo apud Hebræos. Porro hoc inscriptionis figmentum stultitiam eorum, qui inscripserunt, præ se fert. Ieremias enim Babylonem cum captiuis non est abductus, sed cum parum temporis Hierosolymæ vixisset, ab iniquis Iudæis coactus, * in Aegyptum cum * illis abire. Quomodo igitur conuenit Ieremiæ dicere, Ad flumina Babylonis, ibi sedimus, et fleuimus? Illi ergo

ΕΡΜΗΝ. ΤΟΥ ρλϛ΄ ΨΑΛΜΟΥ.

Οὗτος ὁ ψαλμὸς ἀνεπίγραφος παρ' Ἑβραίοις. θρασὺ δέ τινες πρᾶγμα τετολμηκότες ἐπέγραψαν, τῷ Δαβὶδ 3) διὰ Ἱερεμίου· καὶ προσέθεσαν τὸ, ἀνεπίγραφος παρ' Ἑβραίοις· καὶ αὐτὸ δὲ τὸ πλάσμα τῆς ἐπιγραφῆς κηρύττει τῶν ἐπιγεγραφότων τὴν ἄνοιαν. Ἱερεμίας γὰρ οὐκ εἰς Βαβυλῶνα μετὰ τῶν δορυαλώτων ἀπήχθη, ἀλλ' ὀλίγον ἐν τῇ Ἱερουσαλὴμ 4) διάγων χρόνον, ὑπὸ τῶν παρανόμων βιασθεὶς Ἰουδαίων, τῆς εἰς Αἴγυπτον αὐτοῖς ὁδοῦ κεκοινώνηκε· πῶς τοίνυν ἁρμόττει τῷ Ἱερεμίᾳ λέγειν, ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν; ὅτι μὲν οὐδαμῶς ἐκείνῳ τῷ

1) Cod. I. πάντα. 2) Ibid. ἐμβλέψατε. 3) διὰ Ἱερ. Hæc inscriptio teste BOSIO exstat in edit. *ald.* et *compl.* Cod. *alex.* habet tantum τῷ Δαβὶδ, *vatic.* Ἱερεμίου. 4) Cod. I. διαγαγών.

a) ..h. 6, 26.

τῷ προφήτῃ προσήκει, δῆλον ἐκ τῶν εἰρημένων· σαφὴς δὲ ὅμως τοῦ ψαλμοῦ ἡ ὑπόθεσις· οἱ γὰρ ἀπαχθέντες αἰχμάλωτοι, καὶ τῆς ἐπανόδου τετυχηκότες, διηγοῦνται τὰ ἐν Βαβυλῶνι συμβεβηκότα. α'. Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. Οἱ ἀθυμοῦντες εἰώθασι τὰ ἐρημότερα καταλαμβάνειν χωρία, κἀκεῖ τὰς οἰκείας ὀλοφύρεσθαι συμφοράς· καὶ οὗτοι τοίνυν ταῖς ὄχθαις τῶν ποταμῶν προσκαθήμενοι, καὶ τῆς μητροπόλεως αὐτῶν λογιζόμενοι τὴν ἐρημίαν, πολλὰ προέχεον δάκρυα, τῶν ποταμῶν μιμούμενοι ῥεύματα. β'. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. Ἄχρηστα γὰρ αὐτοῖς ἦν 1) παντελῶς, τοῦ νόμου διαγορεύοντος ἐν ἑνὶ τόπῳ τὴν λειτουργίαν πληροῦν. γ'. Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγους ᾠδῶν· καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. Ἐπιτωθάζοντες ἡμῖν, καὶ ταῖς ἡμετέραις ἐπεμβαίνοντες συμφοραῖς, ᾄδειν ἡμῖν ἐκέλευον, καὶ ταῖς ἡμετέραις αὐτοὺς καταθέλγειν ᾠδαῖς, οὐχ ἵνα ἐντεῦθέν τινα λάβωσιν ὠφέλειαν, ἀλλ' ἵνα γελάσωσι τὰ ἡμέτερα. δ'. Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; Ἡμεῖς δὲ τοῦ προστεταγμένου τὸ παράνομον εἰδότες, οὐκ 2) εἴξαμεν τοῖς κελεύουσιν· ἔλεγχος δὲ ταῦτα Ἰουδαίων τῶν παρανόμων, πληροῦν σπουδαζόντων τὸν νόμον, καὶ ἔξω τῶν νενομισμένων χωρίων ἐπιτελούντων τὰ νόμιμα. ε'. Ἐὰν ἐπιλάθωμαί σου 3) Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου. ϛ'. Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ. Ταῦτα ὑπὸ τοῦ προφήτου διδάσκονται λέγειν, ἵνα τὴν τῆς ἱερᾶς πόλεως ἄληστον ἔχωσι μνήμην, καὶ ταῖς ἐλπίσι τῆς

prophetæ haudquaquam hæc convenire patet ex supradictis. Veruntamen psalmi sensus planus est. Qui enim captiui fuerant abducti, et reditum consecuti, ea narrant quæ Babylone acciderant. 1. *Ad flumina Babylonis ibi sedimus, et fleuimus, cum recordaremur nos Zionis.* Mœrentes solent deserta loca petere, et ibi suas calamitates deplorare. Hi igitur ad ripas fluuiorum assidentes, et suæ metropolis solitudinem perpendentes, multas profundebant lacrymas, fluuiorum fluenta imitantes. 2. *In salicibus in medio eius suspendimus organa nostra.* Quandoquidem penitus ipsis inutilia erant; cum lex præcipiat, vt in vno loco cultus perficiatur. 3. *Quia ibi interrogauerunt nos, qui captiuos duxerunt nos, verba cantionum: et qui abduxerunt nos, hymnum cantate nobis de canticis Zionis.* Illudentes nobis, et nostris calamitatibus insultantes, nos canere præcipiebant, vt nostris cantibus ipsos demulceremus, non vt hinc aliquam vtilitatem perciperent, sed vt nostra deriderent. 4. *Quomodo cantabimus canticum Domini in terra aliena?* Nos autem præcipientibus minime obtemperauimus, scientes iniquitatem eius quod nobis præcipiebatur. Sane hæc iniquos Iudæos redarguunt, legem implere studentes, et extra constitutos locos legalia perficientes. 5. *Si oblitus fuero tui Hierosolyma, obliuioni detur dextera mea.* 6. *Adhæreat lingua mea faucibus meis, si non meminero tui.* Hæc a propheta dicere docentur, vt sacræ ciuitatis tenacem memoriam habeant, et spe reditus

1) παντ. Cod. f. præm. ταῦτα. 2) Ibid. ὑπείξαμεν. 3) Ἱερου. Ib. Ἱερουσ.

reditus recreati, eorum, qui ipsos in seruitutem abduxerant impietatem non discant. Dicunt igitur, Neque cum a te procul essem, o Hierosolyma, obliuioni memoriam tradidi: et hoc si fecero, hoc p^atiar, et supernum auxilium ne consequar. Hoc enim vocat * *dexteram. Si non * posuero Hierosolymam in principio. lætitiæ meæ.* Summam, inquit, lætitiæ tui conspectum duco, tuamque instaurationem, et tuas celebritates. Ex his enim veram lætitiam percipio. 7. *Memor esto Domine filiorum Edom in die Hierosolymæ, qui dicunt, exinanite, exinanite vsque ad fundamentum in ea.* Idumæi ex Esauo descendentes, in patriis inimicitiis persliterunt. Isti Hierosolyma accensa et destructa, dicebant lætantes, *exinanite, exinanite vsque ad eius fundamenta:* hoc est, ex fundamentis ipsam conuellite, vt ne vestigia quidem fundamentorum remaneant. 8. *Filia Babylonis misera.* Deo Iudæorum iudicium hoc modo relinquens, prædicit Babyloni futuram perniciem. *Miseram* autem ipsam, tanquam calamitosam futuram vocat. Aquila autem pro *misera*, dixit *vastata*. *Beatus qui retribuet tibi retributionem tuam, quam retribuisti nobis.* Quid autem est hoc? 9. *Beatus qui tenebit, et allidet paruulos tuos ad petram.* Quoniam enim et ipsi in Iudæorum filios crudeles fuerunt, æqualem ipsis pœnam propheta prædicit.

ἐπανόδῳ ψυχαγωγούμενοι, τῶν ἀνδραποδισάντων μὴ μάθωσι τὴν ἀσέβειαν. λέγουσι τοίνυν, ὅτι οὐδὲ πόῤῥω σου τυγχάνων, ὦ Ἱερουσαλὴμ, λήθῃ τὴν μνήμην παραδέδωκα. εἰ δὲ τοῦτο ποιήσαιμι, 1) τοῦτο πάθοιμι, καὶ τῆς ἄνωθεν βοηθείας μὴ τύχοιμι. ταύτην γὰρ καλεῖ δεξιάν. Ἐὰν μὴ 2) προσανατάξωμαι τὴν Ἱερουσαλὴμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Τὸ κεφάλαιόν φησι τῆς εὐφροσύνης τὴν σὴν ἔχω θέαν, καὶ τὴν σὴν νεουργίαν, καὶ τὰς ἐν σοὶ πανηγύρεις. δι' ἐκείνων γὰρ καρποῦμαι τὴν ἀληθῆ θυμηδίαν. ζ'. Μνήσθητι Κύριε 3) τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ, τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς. Ἐκ τοῦ Ἡσαῦ οἱ Ἰδουμαῖοι καταγόμενοι διέμειναν τὴν πατρῴαν δυσμένειαν ἔχοντες. οὗτοι τῆς Ἱερουσαλὴμ ἐμπιπραμένης καὶ καταλυομένης, ἔλεγον ἐφηδόμενοι, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς· ἀντὶ τοῦ, ἐκ βάθρων αὐτὴν ἀνασπάσατε, ὥστε μηδὲ αὐτὰ μεῖναι τῶν θεμελίων τὰ ἴχνη. η'. Θυγάτηρ Βαβυλῶνος 4) ἡ ταλαίπωρος. Οὕτω παραδοὺς τῷ Θεῷ τῶν Ἰουδαίων τὴν κρίσιν, προλέγει καὶ τῇ Βαβυλῶνι τὸν ἐσόμενον ὄλεθρον. ταλαίπωρον δὲ αὐτὴν, ὡς ἀθλίαν ἐσομένην, καλεῖ. ὁ δὲ Ἀκύλας, ἀντὶ τοῦ ταλαίπωρος, ἡ προνενομευμένη εἴρηκεν. Μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν. Τί δὲ τοῦτό ἐστιν; θ'. Μακάριος ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. 5) Ἐπειδὴ γὰρ καὶ αὐτοὶ τοῖς αὐτῶν νηπίοις ὠμῶς ἐχρήσαντο, τὴν ἴσην αὐτοῖς τιμωρίαν ὁ προφήτης προείρηκε. μακαρίζεται τοίνυν ὁ

Κῦρος,

1) τοῦτο πάθοιμι. Des. ibid. 2) Cod. 1. προσανατάξωμαι, quæ est rec. lectio l. c. 3) τῶν υἱῶν. Præstat lectio τοῖς υἱοῖς, quam habet DRVSIVS. 4) ἡ ταλαίπ. *Hebr.* vastata. 5) Ἐπειδὴ — ἐλευθερώσας. Hæc ORIGENI tribuit CORD. l. c. p. 665. Reliqua ibi desunt.

Κῦρος, ὁ κἀκείνους κολάσας, καὶ τούτους ἐλευθερώσας· οὐκ ἐπειδὴ τῆς εἰλικρινοῦς εὐσεβείας τρόφιμος ἦν, ἀλλ' ὅτι τὸν εὐσεβῆ λαὸν τῆς ἐλευθερίας ἠξίωσε, καὶ τὸν θεῖον νεὼν οἰκοδομηθῆναι προσέταξε. δέχεται δὲ Θεὸς καὶ τοὺς ὀλίγους καρποὺς, καὶ τὰς μεγάλας ἀντιδόσεις παρέχει· οὕτω τοὺς δύω τῆς χήρας ὀβολοὺς ἀνεκήρυξεν.

Cyrus ergo beatus prædicatur, qui et in illos animaduertit, et hos liberauit: non quia sinceræ pietatis alumnus erat, sed quia pium populum libertate donauit, et vt diuinum templum ædificaretur iussit. Deus porro et exiguos fructus suscipit, et magnas remunerationes præbet: sic duos viduæ obolos laudauit.

ΕΡΜΗΝ. ΤΟΥ ρλζ' ΨΑΛΜΟΥ.

α'. 1) Τῷ Δαβίδ. 2) Μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, τὰ ἐπαναστάντα αὐτοῖς οἱ Ἰουδαῖοι καταλύσαντες ἔθνη διὰ τῆς θείας ῥοπῆς, ὕμνον χαριστήριον προσφέρουσι τῷ Θεῷ. ταῦτα τοίνυν ὁ θεῖος προαγορεύει Δαβίδ· Ἐξομολογήσομαί σοι 3) Κύριε ἐν ὅλῃ καρδίᾳ μου. Οὐκ ἐγένοντο περὶ τὸν εὐεργέτην ἀχάριστοι. ἀλλ' ἱκετείαν προσενεγκόντες, καὶ βοηθείας τετυχηκότες τοῖς δυνατοῖς τὰς εὐεργεσίας ἀμείβονται, καὶ ὕμνους ὑπὲρ τῆς ἐπικουρίας προσφέρουσιν. Καὶ ἐναντίον 4) ἀγγέλων ψαλῶ 5) σοι. Μιμησόμεθά φησι τῶν ἀγγέλων τοὺς δήμους· καὶ καθάπερ ἐν τοῖς οὐρανοῖς ἐκεῖνοι χορεύοντες ὑμνοῦσι τὸν τῶν ὅλων Θεὸν, οὕτω καὶ ἡμεῖς ἐπὶ τῆς γῆς τὴν πνευματικήν σοι μελῳδίαν προσοίσομεν. β'. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου, ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου. Ἔσται δέ μοι ἀντὶ τοῦ οὐρανοῦ ὁ ἀφιερωμένος τῷ ὀνόματί σου νεώς· ἐν ἐκείνῳ προσκυνήσω σε, καὶ τὴν χαριστήριον δοξολογίαν ποιήσομαι, τὴν εἰς ἐμὲ φι-

INTERP. PSALMI CXXXVII.

1. Dauidi. Post reditum ex Babylone, cum gentes, quæ in ipsos irruerunt, Iudæi diuina ope profligassent, hymnum gratiarum actionis offerunt. Hæc itaque nunc diuinus Dauid vaticinatur. *Confitebor tibi Domine toto corde meo.* Ingrati erga beneficii auctorem non fuerunt: sed cum deprecatione oblata auxilium obtinuissent, pro * viribus beneficia compensant, et hymnos offerunt pro auxilio. *Et in conspectu angelorum psallam tibi.* Imitabimur, inquit, angelorum cœtus: et quemadmodum in cælis illi tripudiantes laudibus vniuersorum Deum prosequuntur, sic etiam nos in terra spiritualem concentum offeremus. 2. *Adorabo ad templum sanctum tuum, et confitebor nomini tuo, super misericordia tua et veritate tua.* Erit autem mihi pro cælo templum tuo nomini consecratum. In illo adorabo te, et gratiarum actionis laudes referam, benignitatem

1) Τῷ Δαβίδ. Cod. 1. Ἀλληλούια. In Cod. *vatic.* hæc leg. inscriptio, Ψαλμὸς τῷ Δαβίδ, Ἀγγαίου καὶ Ζαχαρίου. 2) Μετὰ — Δαβ. ORIGENI hæc quoque tribuuntur apud CORD. l. c. p. 672. 3) Κύριε. Abest a Textu hebr. 4) *ἀγγ. Hebr.* Deorum. *Aqu.* et *Symm.* θεῶν. 5) σοι. Cod. *vat.* add. ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου. Eadem verba in Cod. 1. *aug.* præmittuntur versiculo proximo, a Textu hebr. autem sunt aliena.

tatem qua in me vsus es, et iustitiam aduersus hostes cernens. Hos enim, tanquam iniustos, veritate vsus ad interitum condemnasti, me autem misericordia seruasti. *Quoniam magnificasti super omne nomen sanctum tuum.* In omnibus enim tuum nomen augustum est, et ab omnibus celebratur, qui tuam potentiam conspexerunt. 3. *Quocunque die inuocauero te, illico exaudi me.* Vt hac lætitia continue fruar, precor. *Multa cura dignaberis animam meam virtute tua.* Hoc est, pro tua potentia animam meam curabis, et consolatione confidentiaque implebis. Symmachus vertit, Constituisti virtute animæ meæ. Multa me, ait, ope et prouidentia dignatus es. 4. *Confiteantur tibi Domine omnes reges terræ, quoniam audierunt omnia verba oris mei.* Et tunc quidem omnes, maximam illam victoriam cum animaduertissent, vniuersorum Dei potentiam admirati sunt. Præcipue autem post Dei et saluatoris nostri incarnationem, et reges et principes rerum omnium opificem laudant. In illa quidem victoria non verba audierunt, sed rem inusitatam conspexerunt: sed nunc et verba audierunt, et euangelicis prædicationibus fruuntur. 5. *Et cantent in viis Domini, quoniam magna est gloria Domini.* Per modum optandi futu-

λανθρωπίαν, καὶ τὴν κατὰ τῶν πολεμίων δικαιοσύνην ὁρῶν. τῶν μὲν γὰρ, ὡς ἀδικούντων, ἀληθείᾳ χρησάμενος κατεψηφίσω τὸν ὄλεθρον· ἐμὲ δὲ τῷ σῷ ἐλέῳ διέσωσας. Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν 1) τὸ ὄνομα 2) τὸ ἅγιόν σου. Διὰ πάντων γὰρ σεπτὸν τὸ ὄνομά σου· καὶ παρὰ πᾶσιν ᾄδεται τοῖς τὴν σὴν θεασαμένοις ἰσχύν. γ΄. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου. Ταύτης τῆς εὐφροσύνης διηνεκῶς ἀπολαύειν ἀντιβολῶ. 3) Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει 4) σου. Τουτέστιν. ἐν τῇ δυνάμει σου τὴν ψυχήν μου πολυωρήσεις, καὶ ψυχαγωγίας καὶ θάρσους ἐμπλήσεις. ὁ δὲ Σύμμαχος οὕτως, 5) συνέστης τῆς ψυχῆς μου δυνάμει· πολλῆς με, φησὶν, ἐπικουρίας καὶ προνοίας ἠξίωσας. δ΄. Ἐξομολογησάσθωσάν σοι Κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν 6) πάντα τὰ ῥήματα 7) τοῦ στόματός μου. Καὶ τηνικαῦτα μὲν ἅπαντες τὴν μεγίστην ἐκείνην μεμαθηκότες νίκην, ἐθαύμασαν τοῦ Θεοῦ τῶν ὅλων τὴν δύναμιν. διαφερόντως δὲ μετὰ τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησιν, καὶ βασιλεῖς καὶ ἄρχοντες τὸν ἁπάντων ὑμνοῦσι ποιητήν. ἐπ᾽ ἐκείνης μέν τοι τῆς νίκης, οὐ ῥημάτων ἤκουσαν, ἀλλὰ πρᾶγμα παράδοξον ἐθεάσαντο· νῦν δὲ καὶ ῥημάτων ἤκουσαν, καὶ τῶν εὐαγγελικῶν ἀπολαύουσι κηρυγμάτων. ε΄. Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου, ὅτι μεγάλη ἡ δόξα Κυρίου. 8) Εὐκτικῶς τὰ ἐσόμενα

1) τὸ ὄνομα. *Hebr.* nomen tuum. 2) τὸ ἅγιόν σου. *Hebr.* verbum tuum. 3) πολυωρ. με. *Hebr.* animosum reddidisti me. 4) σου. Abest a Textu hebr. 5) συνέστης — δυνάμει. Aliam *Symmachi* lectionem aliorumque de illa coniecturas recensuit MONTF. in Hexapl. ad. h. l. cum quo conf. CORD. l. c. p. 675. et 678. Præ reliquis se commendat lectio Cod. 1. aug. quæ hæc est, σύνες τῇ τῆς ψυχῆς μου δυνάμει. 6) πάντα — μου. *Hebr.* quum audiuerint verba oris tui. 7) τοῦ στόματος. Def. in Cod. 1. 8) Εὐκτικῶς — καλεῖ. Ad *Orig.* hæc retulit CORD. l. c. p. 675.

μενα λέγει, καὶ τὴν τῶν πραγμάτων προλέγει μεταβολήν· ὅτι τοῦ Θεοῦ τὴν πρόνοιαν καὶ τὴν οἰκονομίαν θαυμάσουσιν ἅπαντες. ὁδοὺς γὰρ τὰς οἰκονομίας καλεῖ. ς'. Ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ. Τοῦτο καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ· ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. λέγει δὲ, ὅτι φύσει ὑψηλὸς ὢν καὶ ἄῤῥητος, οὐδὲ τῶν σμικρῶν ἀμελεῖ, ἀλλὰ καὶ τούτους τῆς οἰκείας ἀξιοῖ προμηθείας. Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. Γινώσκει γὰρ πάντα πρὶν γενέσεως αὐτῶν· καὶ πόῤῥωθεν τοὺς ἐν δυναστείαις ὁρῶν, ἑκάστῳ φάρμακα προσφέρει κατάλληλα. ζ'. Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. 1) Πίστεως εἰλικρινοῦς ἡ φωνή. θαῤῥῶ φησὶν, ὅτι κἂν πανταχόθεν ὑπὸ συμφορῶν περικλύζωμαι, κρείττων ἔσομαι τῶν δυσχερῶν, καὶ ζωὴν ἀπὸ τῆς σῆς ἐπικουρίας καρπώσομαι. Ἐπ' ὀργὴν 2) ἐχθρῶν ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου. Ὀργισθεὶς γὰρ κατὰ τῶν ἐμῶν δυσμενῶν, ἐκείνους μὲν τιμωρίᾳ παρέδωκας, ἐμὲ δὲ σωτηρίας ἠξίωσας. καὶ ἐντεῦθεν δῆλον, ὡς χεῖρα μὲν τὴν ἐνέργειαν καλεῖ, δεξιὰν δὲ τὴν ἀγαθὴν ἐνέργειαν. τῇ γὰρ τιμωρίᾳ τῶν ἐχθρῶν τὴν χεῖρα συνέζευξε· τῇ δὲ εἰς αὐτὸν εὐεργεσίᾳ τὴν δεξιάν. η'. 3) Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. Ἐγώ φησιν ἄνθρωπος ὤν, καὶ ἁμαρτίαις ἐγκαλινδούμενος, ἀμείψασθαι τὰς εὐεργεσίας οὐ δύναμαι· αὐτὸς δὲ ὁ Κύριος, ὁ τούτων μοι γενόμενος χορηγὸς, 4) ἐνανθρωπήσας, καὶ τὴν ἐμὴν φύσιν

ra dicit, rerumque mutationem prædicit: quod Dei prouidentiam et gubernationem omnes admiraturi sint. *Vias* enim gubernationes vocat. * 6. *Quoniam excelsus Dominus, et humilia respicit.* Hoc etiam in alio ait psalmo, a) Qui in excelsis habitat, et humilia respicit. Dicit autem, quod cum natura sublimis sit, et inexplicabilis, neque tenuiores negligit, verum etiam hos sua prouidentia dignatur. *Et alta e longinquo cognoscit.* Nouit enim omnia antequam fiant, et quasi e longinquo eos, qui in dignitatibus ac principatibus constituti sunt, cernens, quibuslibet accommodata remedia adhibet. 7. *Si ambulauero in medio tribulationis, viuificabis me.* Sinceræ fidei vox est. Confido, ait, licet me vndique calamitates circumstent, me inimicis superiorem fore; vitamque a tuo auxilio percepturum esse. *Super iram inimicorum meorum extendisti manus tuas, et saluum me fecit dextera tua.* Iratus enim hostibus meis, illos quidem suppliciis affecisti, me vero salute dignatus es. Et hinc patet, *manum* quidem actionem quamcunque vocari, *dexteram* vero bonam actionem. Cum hostium enim pœna manum coniunxit, cum beneficio in se collato dexteram. 8. *Dominus retribuet pro me.* Ego, ait, cum homo sim, et peccatis inuolutus, beneficia compensare nequeo. Verum ipse Dominus, qui hæc largitus est mihi, cum incarnatus fuerit, meamque naturam assum-

1) Πίστεως — καρπ. Des. in Cod. 1. 2) ἐχθρῶν. Cod. 1. add. μου, vt in Textu τῶν ό. 3) Κύρ. ἀνταπ. Cod. *vatic.* Κύριε ἀνταποδώσεις, sed contra Textum hebr. cui lectio Cod. *alex.* h. l. respondet. 4) ἐνανθρωπήσας. Cod. 1. præm. ὁ.

a) Ps. 112, 5. 6.

assumserit, meum exsoluet debitum. Consonat his et diuinus apostolus, dicens, a) dominum Christum deleuisse chirographum, quod contra nos erat. *Domine misericordia tua in seculum, et opera manuum tuarum ne despicias.* Quoniam igitur immensa est tua misericordia, et simul cum aeternitate extenditur, celerem tuis operibus salutem affer. Hanc autem deprecationem protulit propheta, cum a Spiritus sancti gratia didicisset, debitum naturae opificem naturae persoluturum esse.

ἀνειληφὼς, τὸ ἐμὸν ἐκτίσει χρέος. συμφωνεῖ τούτοις καὶ ὁ θεῖος ἀπόστολος, λέγων τὸν Δεσπότην Χριστὸν ἐξαλεῖψαι τὸ καθ᾽ ἡμῶν χειρόγραφον. Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Ἐπειδὴ τοίνυν ἀμέτρητός σου ὁ ἔλεος, καὶ τῷ αἰῶνι συνεκτεινόμενος, ταχεῖαν τοῖς σοῖς ποιήμασι παράσχου τὴν σωτηρίαν. ταύτην δὲ ὁ προφήτης προσενήνοχεν ὑπὸ τῆς τοῦ παναγίου πνεύματος μεμαθηκὼς χάριτος, ὡς τὸ χρέος τῆς φύσεως ὁ ποιητὴς ἐκτίσει τῆς φύσεως.

INTERP. PSALM. CXXXVIII.

1. *In finem, psalmus Dauidi.* In nonnullis exemplaribus adiunctum est, *Zachariae in dispersionem.* Hoc nec apud Hebraeum, nec apud Septuaginta, nec apud alios Interpretes * inueni: sed aliquis cum psalmum intellexisset vt volebat, inscriptionis additionem fecit. Ceterum psalmus praedictionem de Iosia rege continet. Hic enim ex impio patre natus, talisque etiam aui nepos, impietatem quidem illorum execratus est, et in omni virtute incessit, diuinoque amore incensus, omnes idolorum sacerdotes confixit, eos vero, qui pietatem colebant, omni cura dignatus est. Haec psalmus vaticinatur. Inducit autem illum propheticus sermo precantem, et Dei erga se praescientiam admirantem. *Domine probasti me, et cognouisti me.* Virtutis probatio non solum est paupertas et calamitas, sed etiam

ΕΡΜΗΝ. ΤΟΥ ρλη´ ΨΑΛΜΟΥ.

α´. Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. 1) Ἐν ἐνίοις ἀντιγράφοις πρόσκειται, Ζαχαρίου εἰς τὴν διασποράν· 2) τοῦτο οὔτε παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἑβδομήκοντα, οὔτε παρὰ τοῖς ἄλλοις εὗρον ἑρμηνευταῖς· ἀλλά τις ὡς ἠβουλήθη νενοηκὼς τὸν ψαλμὸν, τῆς ἐπιγραφῆς ἐποιήσατο τὴν προσθήκην. ὁ μέντοι ψαλμὸς τοῦ Ἰωσίου τοῦ 3) βασιλέως πρόῤῥησιν ἔχει. οὗτος γὰρ ἐκ δυσσεβοῦς βλαστήσας πατρὸς, τοιούτου δὲ καὶ πάππου γενόμενος ἔκγονος, τὴν μὲν ἐκείνων ἀσέβειαν ἐβδελύξατο, διὰ πάσης δὲ ὥδευσεν ἀρετῆς, καὶ ζήλῳ θείῳ πυρποληθεὶς, τοὺς τῶν εἰδώλων ἱερέας κατηκόντισεν ἅπαντας· τοὺς δὲ τὴν εὐσέβειαν ἀσπαζομένους πάσης θεραπείας ἠξίωσε. ταῦτα προλέγει ὁ ψαλμός. εἰσάγει δὲ αὐτὸν ὁ προφητικὸς λόγος προσευχόμενον, καὶ τὴν περὶ αὐτοῦ πρόγνωσιν ἐκπληττόμενον. Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με. Βάσανος ἀρετῆς οὐ μόνον πενία καὶ ἀθυμία, ἀλλὰ καὶ βασιλεία

1) Ἐν — ἐκπληττόμενον. ORIGENI haec tribuuntur apud CORD. l. c. p. 689. 2) τοῦτο. Cod. 1. add. δὲ. 3) βασιλέως. Cod. 1. add. εὐσεβοῦς.

a) Coloss. 2, 14.

λεία καὶ εὐπραξία. ὥσπερ γὰρ ἐν τοῖς ἀνιαροῖς δοκιμαζόμεθα, εἰ φέρειν γενναίως δυνάμεθα τὰ προσπίπτοντα λυπηρά· οὕτως καὶ ἐν ταῖς εὐημερίαις γυμναζόμεθα, καὶ δεικνύμεθα, εἴτε συνεπαιρόμεθα ταῖς εὐκληρίαις, εἴτε τὴν τούτων ἐπιστάμεθα φύσιν. βασιλείαν τοίνυν ἐγχειρισθεὶς ὁ μακάριος Ἰωσίας, καὶ μετ' εὐσεβείας αὐτὴν κυβερνήσας, εἰκότως ἔφη, Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με. β'. Σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου. Πάντα, φησὶ, μεμάθηκας ἀκριβῶς, τίνα εἰργαζόμην καθήμενος, τίνα ἔδρων ἀνιστάμενος. διὰ γὰρ τῆς καθέδρας, καὶ τῆς ἐγέρσεως, πάντα τὸν βίον 1) ἐδήλωσε· καθαρᾶς δὲ ψυχῆς καὶ συνειδότος ἐῤῥωμένου τὰ ῥήματα. καὶ ἐπειδὴ εἶπεν ἐδοκίμασάς με καὶ ἔγνως με, ἵνα μή τις ὑπολάβῃ μετὰ τὸ τέλος τῶν πραγμάτων μανθάνειν τὸν Θεὸν τὰ γινόμενα, ἁρμοδίως μάλα ἐπήγαγε· γ'. Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. Ἄνωθεν γὰρ, καὶ ἐξ ἀρχῆς, καὶ πρὸ πολλῶν γενεῶν τῆς ἐμῆς διαπλάσεως, οὐ μόνον τὰς ἐμὰς προεώρακας πράξεις, 2) ἀλλὰ τοὺς ἐσομένους μοι 3) προεώρακας λογισμούς. Τὴν τρίβον μου, καὶ 4) τὴν σχοῖνόν μου 5) σὺ ἐξιχνίασας. Ὁ δὲ Θεοδοτίων οὕτως, τὴν τρίβον μου, καὶ τὴν ὁδόν μου 6) ἐξιχνίασας· ὁδὸν καὶ τρίβον τὰς πράξεις καλεῖ, σχοῖνον δὲ τὴν τούτων εὐθύτητα· ἐκ μεταφορᾶς τῶν οἰκοδομούντων, καὶ σπαρτίῳ τοὺς τοίχους διευθυνόντων. ἔγνως, φησὶν, ἀκριβῶς μου τὰς πράξεις, καὶ οὐδὲν τῶν ἐμῶν τὴν σὴν ἔλαθε γνῶσιν. δ'. Καὶ πάσας τὰς ὁδούς μου προεῖδες, ὅτι οὐκ ἔστι 7) δόλος ἐν

regnum et felicitas. Sicut enim in rebus tristibus probamur, si viriliter ferre possumus molesta quæ accidunt: sic quoque in secundis rebus exercemur, et ostendimur, siue ob prosperitates efferimur, siue harum naturam cognoscimus. Regnum igitur beato Iosiæ cum obtigisset, et cum pietate ipsum gubernasset, iure ait, *Domine probasti me, et cognouisti me.* 2. *Tu cognouisti sessionem meam, et resurrectionem meam.* Omnia, inquit, accurate nosti, quæ operabar sedens, et quæ faciebam surgens: per *sessionem* enim et *resurrectionem*, totam vitam designauit. Hæc vero puræ animæ et conscientiæ sanæ sunt verba. Et quia dixit, *Probasti me*, *et cognouisti me*, ne quis suspicaretur, Deum post finem rerum ea quæ fiunt discere, congruenter admodum subdidit: 3. *Tu intellexisti cogitationes meas e longinquo.* Nam olim, et a principio, et multis seculis ante meam creationem, non modo meas actiones præuidisti, verum et futuras meas cogitationes præsciuisti. *Semitam meam, et funiculum meum inuestigasti.* Theodotio sic dixit, Semitam meam, et viam meam inuestigasti. *Viam* et *semitam* actiones vocat, *funiculum* vero harum rectitudinem, metaphora petita ab iis qui ædes fabricantur, et funiculo parietes dirigunt. Cognouisti, inquit, exacte meas actiones, et nihil mearum rerum tuam scientiam latuit. 4. *Et omnes vias meas præuidisti, quia non est dolus in* lin-

1) Cod. 1. παρεδήλωσε. 2) ἀλλά. Ibid. sequ. καί. 3) προεώρακας. Ibid. προεθεώρησας. 4) τὴν — ἐξιχν *Hebr.* accubitum meum cinxisti. 5) σὺ. Additur in Cod. *alex.* 6) ἐξιχνίασας. Cod. 1. præm. σύ. 7) δόλος. *Hebr.* verbum. *Aqu.* λαλιά. *Symmachus* ἑτερολογία, vt in edit. *rom.* legitur.

lingua mea. * Non modo prævidit, verum etiam prædixit vniuersorum Deus per prophetas, et Ieroboamo sacrificanti, et iuuencis diuinum honorem offerenti, vaticinatus est, a) filium oriturum esse Dauidi, Iosiam nomine, & idolorum sacerdotes morte mulctaturum, et eorum ossa in illo altari combusturum. 5. *Ecce Domine, tu cognouisti omnia, nouissima et antiqua.* Per ipsos euentus didici te omnium scientiam habere, tum eorum quæ olim facta fuere, tum eorum quæ nondum effecta sunt. *Tu formasti me, et posuisti super me manum tuam.* Quomodo enim meorum aliquid opificem meum latere potest, qui me intra maternum ventrem formauit, et omni cura dignatus est? Hoc porro, *Posuisti super me manum tuam*, simile est illi, b) Manus tuæ fecerunt me, et formauerunt me. Indicat autem iisdem verbis curam etiam post creationem. 6. *Mirabilis facta est scientia tua ex me, confortata est, et non potero ad eam (pertingere).* Ex his quæ erga me facta sunt, tuam cognoui potentiam, et sapientiam tuam laudare volens, et assequi pro dignitate non valens, me victum confiteor. Cum ergo et scientiam, et præscientiam vniuersorum Dei admiratus sic esset, et quod nihil præteritorum et futurarum rerum latere illum possit, ad aliud transit, hæc dicens. 7. *Quo ibo a spiritu tuo? et quo a facie tua fugiam?* Quomodo fieri potest, vt fugiens lateat eum, qui adeo manifesto omnia nouit? No-

1) τῇ γλώσσῃ μου. Οὐ μόνον προεῖδεν, ἀλλὰ καὶ προείρηκεν ὁ τῶν ὅλων Θεὸς διὰ τῶν προφητῶν, καὶ τῷ Ἱεροβοὰμ θύοντι, καὶ ταῖς δαμάλεσι τὸ θεῖον σέβας προσφέροντι προεθέσπισεν, ὡς ἀναστήσεται υἱὸς τῷ Δαβὶδ Ἰωσίας ὄνομα αὐτῷ, καὶ τοὺς τῶν εἰδώλων ἱερέας παραδώσει θανάτῳ, καὶ τὰ τούτων ὀστᾶ ἐν ἐκείνῳ τῷ βωμῷ κατακαύσει. ε΄. Ἰδοὺ Κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα. Δι᾽ αὐτῶν μεμάθηκα τῶν πραγμάτων, ὡς ἅπασαν ἔχεις τὴν γνῶσιν, καὶ τῶν πάλαι γεγενημένων, καὶ τῶν μηδέπω γεγενημένων. Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου. Πῶς γὰρ οἷόν τε 2) λαθεῖν τι τῶν ἐμῶν τὸν ἐμὸν ποιητὴν, τὸν ἔνδον ἐν τῇ μητρῴᾳ με διαπλάσαντα νηδύϊ, καὶ πάσης ἀξιώσαντα προμηθείας; τὸ δὲ ἔθηκας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου, ἔοικε τῷ αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. σημαίνει δὲ κατὰ ταυτὸν καὶ τὴν μετὰ τὴν διάπλασιν προμήθειαν. ϛ΄. Ἐθαυμαστώθη ἡ γνῶσίς 3) σου 4) ἐξ ἐμοῦ, 5) ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. Ἐκ τῶν εἰς ἐμὲ γεγενημένων τὴν σὴν ἔγνωκα δύναμιν καὶ ὑμνῆσαι τὴν σὴν θέλων σοφίαν, εἶτα τῆς ἀξίας διαμαρτάνων, τὴν ἧτταν ὁμολογῶ. οὕτω καὶ τὴν γνῶσιν, καὶ τὴν πρόγνωσιν τοῦ Θεοῦ τῶν ὅλων θαυμάσας, καὶ ὅτι οὐδὲν αὐτὸν ἔλαθεν, οὔτε τῶν 6) γεγενημένων, οὔτε τῶν ἐσομένων, ἐφ᾽ ἕτερον μεταβαίνει ταῦτα διηγούμενος. ζ΄. Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Τὸν οὕτω πάντα σαφῶς ἐπιστάμενον πῶς δυνατὸν λαθεῖν δραπετεύοντα; ἐπισημήνα-

1) τῇ. Abest a Cod. 1. et a Textu τῶν ὀ. 2) λαθεῖν. Cod. 1. præm. οἱ. 3) σου. Abest a Textu hebr. bene autem additum ab his Interpretibus. 4) ἐξ ἐμοῦ. Hebr. præ me 5) ἐκραταιώθη. Hebr. elata s. sublimior est. 6) Cod. 1. γενομένων.

a) 3 Reg. 13, 2. b) Hiob 10, 8.

αθαι δὲ προσήκει, ὅτι τὴν αὐτὴν ἐνέργειαν ἔχειν ἐδίδαξε, καὶ τὸν Θεὸν, καὶ τὸ πανάγιον πνεῦμα· ποῦ πορευθῶ, φησὶν, ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ὧν δὲ μία ἐνέργεια, μία πάντως καὶ ἡ δύναμις· ὧν δὲ μία ἡ δύναμις, μία ἡ φύσις· μία ἄρα τοῦ Θεοῦ καὶ τοῦ πνεύματος ἡ φύσις. Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· 2) ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Πάντα φησὶ πληροῖς, καὶ τὰ ἄνω καὶ τὰ κάτω· τὸ μὲν γὰρ τοῦ ὕψους ἔσχατον, τὸ δὲ τοῦ βάθους. καλῶς δὲ τῷ μὲν οὐρανῷ τὸ σὺ ἐκεῖ εἶ συνέζευξε, τῷ δὲ ᾅδῃ τὸ πάρει. τοῖς γὰρ ἐν οὐρανῷ διαιτωμένοις ἀγγέλοις ἐπαναπαύεται. πανταχοῦ δὲ πάρεστι, καὶ τοῖς πᾶσι παρέσταται· ἐν αὐτῷ ζῶμεν, κατὰ τὸν θεῖον ἀπόστολον, καὶ κινούμεθα, καὶ ἐσμέν. Ἐὰν 3) ἀναλάβοιμι 4) τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης. ι. Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. Ὄρθρον τὰς ἀνατολὰς ἐκάλεσε, δυσμὰς δὲ τῆς θαλάττης τὰ ἔσχατα. τῷ γὰρ ὕψει καὶ τῷ βάθει τὸ μῆκος καὶ τὸ πλάτος προσέθηκε, διδάσκων τὸ τῆς θείας φύσεως ἀπερίγραφον. ταύτης δὲ τῆς δυνάμεως τὴν πεῖραν ἔλαβε καὶ Ἰωνᾶς ὁ προφήτης. Φυγεῖν γὰρ τὸν τῶν ὅλων Θεὸν ἐπιχειρήσας, ἑάλω, καὶ τοῖς κύμασιν ἐπεδήθη, καὶ οἷον εἱρκτῇ τινι παρεδόθη τῷ κήτει, καὶ πρὸς ἣν ἀπεστάλη πόλιν ἐποδηγήθη. ἀληθῆ τοίνυν καὶ ἐνταῦθα δείκνυται τῆς προφητείας τὰ ῥήματα· ὅτι εἰ κατασκηνώσαιμι εἰς τὰ ἔσχατα τῆς θαλάσσης, ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ κα-

tandum est autem, docuisse eum, eandem operationem habere et Deum et Spiritum sanctum. *Quo ibo*, ait, *a spiritu tuo? et quo a facie tua fugiam?* Sane quorum est vna operatio, vna omnino est potentia, et quorum est vna potentia, vna vtique est natura. Vna igitur est Dei et Spiritus sancti natura. 8. *Si adscendero in cælum, tu ibi es: si descendero in infernum, ades.* Omnia, inquit, imples, et quæ supra sunt, & quæ infra. Vnum enim altitudinis est vltimum, alterum profunditatis. Recte autem cælo coniunxit, *Tu ibi es*, et inferis, *ades.* In angelis quippe, qui in cælis degunt, conquiescit. * Vbique autem adest, et rebus omnibus præsto est: et in ipso viuimus, secundum diuinum apostolum, a) et mouemur, et sumus. 9. *Si sumsero pennas meas sub diluculo, et habitauero in extremis maris.* 10. *Etenim illuc manus tua deducet me, et tenebit me dextera tua.* *Diluculum* vocauit orientem, *maris extrema* occidentem. Alto enim et profundo longitudinem et latitudinem apposuit, docens diuinam naturam minime circumscribi. Hanc vero potentiam expertus est propheta Ionas. b) Vniuersorum enim Deum fugere conatus, et captus fuit, et vndis constrictus, et velut in carcerem quendam in cetum coniectus est, et ad quam missus erat vrbem deductus est. Vera igitur hic etiam vaticinationis verba ostenduntur, *si habitarem in extremis maris, illuc manus tua deducet me, et tene-*

1) προσώπου. Cod. 1. præm. τοῦ. 2) ἐὰν καταβῶ. *Hebr.* si stratum fecero mihi. 3) Rec. lectio h. l. est ἀναλάβω. 4) τὰς—ὄρθρον. *Hebr.* alas aurorae. Cod. vatic. pro κατ' ὄρθρον habet κατ' ὀρθόν.

a) Act. 17, 28. b) Ion. 1, 3. sqq.

tenebit me dextera tua. 11. *Et dixi, forsitan tenebræ conculcabunt me, et nox illuminatio mea in deliciis meis.* Symmachus autem sic, Si dicam, fortasse tenebræ operient me, tamen nox lucida me circumstat. Et si ad orientem, inquit, solem, vel ad occidentem confugero, tuam non effugiam potentiam: et si tenebris noctis me ipsum occultare conatus fuero, neque sic delitescam: tibi enim lux sunt etiam tenebræ. 12. *Quoniam tenebræ non obscurabuntur a te, et nox sicut dies illuminabitur.* Symmachus autem sic, Neque tenebræ tenebricosæ erunt super te, sed et nox sicut dies apparebit. Tenebræ, inquit, tenebræ mihi sunt: ego enim lucis et tenebrarum differentiam habeo. Tibi vero intellectuali lumini, et nox lucidissima est, et omni luce meridiana clarior. *Sicut tenebræ eius, ita et lumen eius.* Nam quemadmodum mihi tenebricosa est nox, sic est tibi lucida. 13. *Quia tu possedisti renes meos.* Hæc autem, ait, non temere dico, sed tua illuminatus gratia, et cogitationibus splendore tuo illustratus. *Renes* enim hoc loco cogitationes appellauit. Quoniam enim vis concupiscendi in renibus posita est, cogitationes vero huius impetum recipiunt, cogitationes *renes* vocauit. * *Suscepisti* * *me de vtero matris meæ.* Tu factus es pædagogus meus, et gubernator, et præceptor, et cum primum ex vtero exirem, tua pro-

θέξει με ἡ δεξιά σου. ια'. Καὶ εἶπα, ἄρα σκότος 1) καταπατήσει με, καὶ νὺξ φωτισμὸς 2) ἐν τῇ τρυφῇ μου. 3) Ὁ δὲ Σύμμαχος οὕτως· ἐὰν εἴπω, ἴσως σκότος 4) περισκεπάσει με, ἀλλὰ καὶ νὺξ φωτεινὴ περὶ ἐμέ. κἂν πρὸς ἀνίσχοντά φησι, κἂν πρὸς δυόμενον ἥλιον καταφύγω, τὴν σὴν οὐ διαφεύξομαι δύναμιν. κἂν τῷ σκότει τῆς νυκτὸς καλακαλύψασθαι πειραθῶ, οὐδ' οὕτως λήσομαι. σοὶ γὰρ φῶς ἐστι καὶ τὸ σκότος. ιβ'. Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπό σου, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. Ὁ δὲ Σύμμαχος οὕτως· οὔτε σκότος σκοτεινὸν ἔσται ὑπὲρ σὲ, ἀλλὰ καὶ νὺξ ὡς 5) ἡμέρα φανεῖται. τὸ σκότος, φησὶν, ἐμοί ἐστι σκότος· ἐγὼ γὰρ ἔχω φωτὸς καὶ σκότους διαφοράν· σοὶ δὲ τῷ νοερῷ φωτὶ, καὶ νὺξ φανωτάτη, καὶ πάσης μεσημβρίας φωτεινοτέρα. 6) Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς. Καθάπερ γὰρ ἐμοὶ ζοφώδης ἡ νὺξ, οὕτως ἐστί σοι φωτεινή. ιγ'. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου. 7) Ταῦτα δέ φησιν οὐχ ἁπλῶς λέγω, ἀλλὰ τῇ σῇ φωτιζόμενος χάριτι, καὶ τοῖς λογισμοῖς τὴν σὴν αἴγλην δεχόμενος, νεφροὺς γὰρ ἐνταῦθα τοὺς λογισμοὺς προσηγόρευσεν. ἐπειδὴ γὰρ τὸ ἐπιθυμητικὸν ἔγκειται τοῖς νεφροῖς, οἱ λογισμοὶ δὲ τὴν ταύτης δέχονται προσβολὴν, λογισμοὺς ἐκάλεσε τοὺς νεφρούς. 8) Ἀντελάβου με ἐκ γαστρὸς μητρός μου. Σύ μου γέγονας καὶ παιδοτρίβης, καὶ κηδεμὼν, καὶ διδάσκαλος, καὶ εὐθὺς τῆς μήτρας ἐξελθὼν τῆς σῆς προνοίας

1) *καταπ. με. Hebr.* occultabunt me. *Symm.* ἐπισκεπάσει με. 2) *ἐν — μου. Hebr.* circa me. *Aqu.* et *Symm.* περὶ ἐμέ. 3) Ὁ δὲ κ. τ. λ. Nonnulla ex ORIG. præmittuntur apud CORD. l. c. p. 694. 4) Cod. 1. ἐπισκεπάσει. Ita quoque apud MONTF. in Hexapl. ad h. l. 5) ἡμ. φαν. Cod. 1. ἡ ἡμέρα φαίνει. 6) ὡς — φῶς αὐτῆς. *Hebr.* qualis est caligo, talis est lux (tibi). 7) Ταῦτα — δεχόμενος. Des. apud CORD l. c. p. 696. Quæ proxima sunt, ibidem ad ORIG. referuntur. 8) ἀντελ. — μητρός μου. *Hebr.* protexisti me in vtero matris meæ.

νοίας ἀπήλαυσα. ιδ΄. Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς 1) ἐθαυμαστώθης· θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. Τούτου 2) δὲ χάριν 3) ὑμνῶν διατελῶ, ταῖς σαῖς μεγαλουργίαις καταυγαζόμενος, καὶ εἰς τοῦτο διεγειρόμενος. ιε΄. Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπό σου, 4) ὃ ἐποίησας ἐν κρυφῇ, 5) καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς. Ἅπαντά φησιν ἀκριβῶς γινώσκεις τὰ κατ᾽ 6) ἐμοῦ· σὺ γὰρ ἔτι με τῇ νηδύϊ τῇ μητρῴᾳ κρυπτόμενον ἔπλασας, καὶ οἱονεὶ ἐν τῷ ἐσχάτῳ μέρει τῆς γῆς ὄντα, εἰς φῶς ἤγαγες. οὕτω γὰρ καὶ ὁ Ἀκύλας ἡρμήνευσεν, οὐκ ἐπεκαλύφθη ὀστᾶ μου 7) ἀπό σου, οἷς ἐποιήθην ἐν ἀποκρύφῳ, ἐποικίλθην 8) ὡς ἐν κατωτάτῳ τῆς γῆς· οὐδέν σε, φησὶ, λαθεῖν δυνατὸν ἐν τῷ κρυπτῷ τῆς φύσεως ἐργαστηρίῳ διαπλάττοντα τῶν ἀνθρώπων τὴν φύσιν. ιϛ΄. 9) Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται· 10) ἡμέραι πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς. Ὁ δὲ Σύμμαχος οὕτως· ἀμόρφωτόν με 11) προεῖδον οἱ ὀφθαλμοί σου, σὺν τοῖς ἐν τῇ βίβλῳ σου πᾶσι 12) γεγραμμένοις, ἡμέρας 13) πλασσομένοις οὐκ ἐνδεούσης 14) οὐδεμιᾶς. οὕτω μέ φησιν εἶδες πρὶν διαπλασθῆναι καὶ μορφωθῆναι, ὡς τοὺς ἤδη γεννηθέντας, καὶ τελείους γεγενημένους, καὶ οὐδεμιᾶς ἐνδεεῖς

uidentia mihi contigit. 14. *Confitebor tibi, quia terribili modo magnificatus es, mirabilia ſunt opera tua, et anima mea cognoſcit en valde.* Propterea igitur te laudare pergo, tuis magnificentiis illuſtratus, et ad hoc excitatus. 15. *Non occultatum fuit os meum a te, quod feciſti in occulto, et ſubſtantia mea in inferioribus terræ.* Omnia, quæ ad me ſpectant, inquit, exquiſite cognoſcis. Tu enim me adhuc in materna aluo abſconditum finxiſti, et perinde ac ſi in nouiſſima terræ parte fuiſſem, in lucem eduxiſti. Sic enim Aquila interpretatus eſt, Non cooperta fuerunt oſſa mea a te, quibus in occulto factus ſum, varie formatus fui ſicut in infimo terræ. Nihil, inquit, te latere poteſt, qui hominum naturam in recondita naturæ officina formas. 16. *Imperfectum meum viderunt oculi tui, et in libro tuo omnes ſcribentur, dies formabuntur, et nemo in eis.* Symmachus autem ſic, Informem me præuiderunt oculi tui, cum omnibus, qui in libro tuo ſcripti ſunt, nullo die deficiente iis qui formantur. Sic me, ait, vidiſti, priusquam effictus et formatus eſſem, vt eos qui iam in lucem editi et perfecti ſunt, et nullo die indi-

1) ἐθαυμ. *Hebr.* mirabiliter formatus ſum. 2) Cod. 1. δή. 3) ὑμνῶν. Ib. ſequ. σε. 4) ὃ ἐποίησας. *Hebr.* quum factus ſum. 5) καὶ ἡ ὑπόσ. μου. Hebr. רקמתי artificioſe factus ſum. 6) Cod. 1. ἐμέ. 7) ἀπό σου. Deſ. ibid. 8) ὡς ἐν κατωτάτῳ. MONTF. in Hexapl. ad h. l. habet ἐν τοῖς κατωτάτοις. 9) Τὸ ἀκατ. μου. *Hebr.* maſſam meam. 10) ἡμέραι — αὐτοῖς. *Hebr.* dies (ſcripti erant, quibus) formata ſunt (membra mea) quum nondum vnicus de illis (diebus eſſet). 11) προεῖδον. Alii *Symmacho* tribuunt lectionem εἶδον, quam MONTF. l. c. Noſtro vindicat. 12) MONTF. l. c. habet ἐγγεγραμμένοις. 13) Idem l. c. præter hanc attulit etiam lectionem πλαθησομένοις. 14) οὐδεμι. MONTF. l. c. præm. αὐτοῖς.

indigent, et in tuis libris scripti sunt. Horum librorum etiam beatus Daniel meminit, Iudicium enim, inquit, a) sedit, et libri aperti sunt. Et Dominus in sacris euangeliis, b) Capilli capitis vestri omnes numerati sunt. Per libros igitur intelligenda est scientia Dei, quæ omnia complectitur, et nihil obliuiscens Dei memoria. Diuinis hoc modo explicatis, suum aperit propositum, non ambitione vtens, sed vtilitatis exemplar proponens. 17. *Mihi autem magno in honore sunt amici tui Deus, valde confortatus est principatus eorum.* Hoc manifesto etiam historia docet. Nam omni obseruantia diuinos sacerdotes dignatus est. Audierunt enim omnes promissiones, quas Abrahamo Deus fecit, Benedicam, inquiens, c) benedicentibus * tibi, et maledicentibus tibi maledicam. Pro, *confortatus est principatus eorum*, Theodotio sic est interpretatus, Corroborati sunt pauperes eorum. Qui enim olim propter impiorum regum scelera in tenui et pauperrima vita degebant, omnem honorem a Iosia sunt consecuti. 18. *Dinumerabo eos, et magis quam arena multiplicabuntur.* Nam regis pietate, et qui olim impii erant, mente illustrati, palinodiam cecinerunt, et cultum secundum legem amplexi sunt: et qui quondam numeratu faciles erant, superiores numero facti sunt. Sermo autem præcinit etiam

ἡμέραις, καὶ ἐν τοῖς σοῖς βιβλίοις ἀναγεγραμμένους. τούτων τῶν βιβλίων καὶ ὁ μακάριος μέμνηται Δανιήλ· κριτήριον 1) γάρ φησιν ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, ὑμῶν καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί. βίβλους δὲ νοητέον τὴν πάντα περιέχουσαν τοῦ Θεοῦ γνῶσιν, καὶ τὴν ἄληστον τοῦ Θεοῦ μνήμην. οὕτω τὰ θεῖα διηγησάμενος, τὸν οἰκεῖον 2) ἀποκαλύπτει σκοπὸν, οὐ φιλοτιμίᾳ χρώμενος, ἀλλ᾽ ὠφελείας ἀρχέτυπον προστιθείς. ιζ΄. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν 3) οἱ φίλοι σου ὁ Θεὸς, 4) λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. Τοῦτο σαφῶς καὶ ἡ ἱστορία διδάσκει. πάσης γὰρ τοὺς θείους ἱερέας ἠξίωσε 5) θεραπείας. 6) ἤκουσαν γὰρ πάντες τῶν ὑποσχέσεων, ἃς πρὸς τὸν Ἀβραὰμ ὁ Θεὸς ἐποιήσατο, εὐλογήσω λέγων τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· τὸ δὲ ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν, ὁ Θεοδοτίων οὕτως ἡρμήνευσεν, ἐκραταιώθησαν οἱ πένητες αὐτῶν. οἱ γὰρ πάλαι διὰ τὰς τῶν δυσσεβῶν βασιλέων παρανομίας ἐν εὐτελείᾳ καὶ πενίᾳ διάγοντες πάσης ἀπήλαυσαν παρὰ τῷ Ἰωσίᾳ τιμῆς. ιη΄. Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. Τῇ γὰρ τοῦ βασιλέως εὐσεβείᾳ, καὶ οἱ πάλαι δυσσεβεῖς, τὴν διάνοιαν φωτισθέντες, παλινῳδίαν ᾖσαν, καὶ τὴν κατὰ νόμον πολιτείαν ἠσπάσαντο, καὶ οἱ πάλαι εὐαρίθμητοι ἀριθμοῦ κρείττους ἐγένοντο. προθεσπίζει δὲ κατὰ ταυτὸν ὁ λόγος, καὶ τὴν μετὰ τὴν

1) γὰρ φησιν. Des. in Cod. 1. 2) Ibid. ἀνακαλύπτει. 3) οἱ φίλοι σου. *Hebr.* cogitationes tuæ s. de te. Hanc vocis ריעיך significationem nemo antiquiorum Interpretum h. l. vidit, quam tamen vers. 2. omnes agnouerunt. 4) λίαν — αὐτῶν. *Hebr.* quam magnæ sunt summæ earum! 5) θεραπ. Cod. 1. προμηθείας. 6) Ib. ἤκουσε.

a) Dan. 7, 26. b) Matth. 10, 30. c) Gen. 12, 3.

τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν γεγενημένην τῆς οἰκουμένης μεταβολήν. νικῶσι γὰρ κατὰ πόλιν ἑκάστην καὶ χώραν τὸν ἀριθμὸν οἱ τῆς τοῦ Θεοῦ θεραπείας ἐπιμελούμενοι. 1) Ἐξεγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ. Ὁ δὲ Σύμμαχος οὕτως, ἐξυπνήσω, καὶ ἀεὶ ἔσομαι παρά σοι. ἀεὶ γὰρ ἐμαυτὸν διεγείρων, καὶ τῆς ῥαθυμίας τὸν ὕπνον ἀπώσομαι, καὶ τὴν σὴν μνήμην ἐν τῇ διανοίᾳ φυλάξω. οὕτω γὰρ τῆς σῆς ἀπολαύσομαι προμηθείας. ιθ΄. Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ Θεός, ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ, 2) ὅτι ἐρισταὶ ἐστε εἰς διαλογισμούς. Ἴδιον τῶν τοὺς ἀγαθοὺς ἀγαπώντων τοὺς ἐναντίους βδελύττεσθαι. διό φησιν, ὅτι σοῦ τοῦ φιλανθρώπου τοὺς ἁμαρτωλοὺς ἀναιροῦντος, πολλῷ μᾶλλον ἐγὼ τὴν τούτων ἀποστραφήσομαι συνουσίαν, τὴν φιλόνεικον αὐτῶν ἐπιστάμενος γνώμην. οὐ γὰρ ἀνέχονται τῶν ἀγαθῶν παραινέσεων, ἀλλὰ τῇ δυσκολίᾳ τῆς γνώμης ἀποσείονται ταύτας. κ΄. 3) Λήψονται εἰς ματαιότητα τὰς πόλεις σου. Ἀποκτενεῖς δὲ αὐτούς φησιν οὐκ ἀδίκως, ἀλλ' ἐπειδὴ μάτην τὰς πόλεις οἰκήσουσιν, ὄνησιν οὐδεμίαν ἐκ τῶν σῶν νόμων καρπούμενοι. κα΄. Οὐχὶ τοὺς μισοῦντάς σε Κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου 4) ἐξετηκόμην; κβ΄. Τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. Τῆς σῆς ἐξήρτημαι ἀγάπης, ὦ Δέσποτα. ταῦτά σοι βούλομαι καὶ φιλεῖν καὶ μισεῖν· διά τοι τοῦτο τοὺς μὲν τῆς σῆς ἀντεχομένους θεραπείας καὶ φιλῶ καὶ

mutationem orbis factam poſt incarnationem Dei et Saluatoris noſtri. Vincunt enim numerum per quamlibet ciuitatem et regionem Dei cultus ſtudioſi. *Exſurrexi, et adhuc ſum tecum.* Symmachus autem ſic, Expergiſcar, et ſemper ero apud te. Semper enim meipſum excitans, et pigritiæ ſomnum exigam, et tui memoriam in mente conſeruabo. Sic enim tua perfruar ope. 19. *Si occideris o Deus peccatores, viri ſanguinum declinate a me, quia litigioſi eſtis in colloquiis.* Proprium eſt eorum qui bonos diligunt, contrarios deteſtari. Idcirco ait, cum tu qui benignus es, peccatores interimas, multo magis ego horum conſuetudinem auerſabor, cum litigioſam eorum mentem nouerim. Non enim ferunt bonas admonitiones, ſed ob animi moroſitatem has reiiciunt. 20. *Accipient in vanitatem ciuitates tuas.* Interficies autem ipſos, ait, non iniuſte, ſed quia fruſtra ciuitates incolent, vtilitatem ex tuis legibus nullam percipientes. 21. *Nonne qui oderunt te Domine oderam, et ſuper inimicos tuos tabeſcebam?* 22. *Perfecto odio oderam illos, et inimici facti ſunt mihi.* A tuo amore Domine pendeo, et eadem quæ tu et diligere et odio habere volo. Propterea tuo cultui adhærentes amo et honoro:

1) Cod. 1. ἐγηγέρθην. 2) ὅτι — διαλ. Ita leg. in ed. *ald.* et *compl.* Recepta autem lectio eſt, ὅτι ἐρεῖς εἰς διαλογισμόν, etſi ſint qui legere malunt ὅτι ἔρις. *Hebr.* qui loquuntur de te ſcelerate. 3) Λήψονται — πόλεις σου. *Hebr.* efferunt ſeſe in vanum hoſtes tui. Ita *Aqu.* ἦρan εἰς εἰκῇ (al. ἐπήρθησαν ματαίως) ἀντίζηλοί σου. 4) ἐξετηκ. *Hebr.* faſtidio adficiar?

honoro: odio vero habentes te, non modo odio prosequor, verum etiam propter eos mœreo, et contabesco. Odi enim vt impios, misereor vero vt homines, et ob naturalem cognationem eos deplorare * cogor: detestor autem rursus ipsos ob maximam prauitatem. 23. *Proba me Deus, et scito cor meum: interroga me, et cognosce semitas meas.* 24. *Et vide num via iniquitatis in me sit, et duc me in via æterna.* Hæc ego quidem ita se habere arbitror: te autem optimum animarum medicum precor, vt meam diligenter perspicias vitam, cordisque motiones inquiras: et si quid tuis legibus repugnans in his inuentum fuerit, vt a tua sapientia curetur obsecro, vtque ad æternum iter deducar. Hæc a beato Dauide dicta sunt, et de pio Iosia prædicta, et omnibus, qui salutis occasionem volunt arripere, sunt proposita.

γεραίρω· τοὺς δὲ μισοῦντάς σε, οὐ μόνον μισῶ, ἀλλὰ καὶ ἀνιώμενος ἐπ' αὐτοῖς, καὶ τηκόμενος διατελῶ. μισῶ μὲν γὰρ ὡς παρανόμους, οἰκτείρω δὲ ὡς ἀνθρώπους. καὶ πενθεῖν μὲν αὐτοὺς διὰ τὴν φυσικὴν συμπάθειαν ἀναγκάζομαι· βδελύττομαι δὲ πάλιν αὐτοὺς διὰ τὴν πολλὴν 1) πονηρίαν. κγ'. Δοκίμασόν με ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου· ἔτασόν με, καὶ γνῶθι 2) τὰς τρίβους μου. κδ'. Καὶ ἴδε εἰ ὁδὸς 3) ἀνομίας ἐν ἐμοὶ, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ. Ταῦτα ἐγὼ μὲν οὕτως ἔχειν ὑπολαμβάνω· σὲ δὲ παρακαλῶ, τὸν ἄριστον τῶν ψυχῶν ἰατρὸν, τὸν ἐμὸν βίον καταμαθεῖν ἀκριβῶς, καὶ τὰ τῆς 4) καρδίας ἐξετάσαι κινήματα· κἂν τι τῶν σῶν νόμων ἐναντίον ἐν τούτοις εὑρεθῇ, ὑπὸ τῆς σῆς 5) εὐθυνθῆναι σοφίας ἀντιβολῶ, καὶ πρὸς τὴν αἰώνιον ὁδηγηθῆναι πορείαν. ταῦτα ἐῤῥέθη μὲν ὑπὸ τοῦ μακαρίου Δαβὶδ, προεῤῥέθη δὲ εἰς Ἰωσίαν τὸν εὐσεβῆ, πρόκειται δὲ πᾶσι τοῖς βουλομένοις ἀφορμὴ σωτηρίας.

INTERP. PS. CXXXIX.

1. *In finem, psalmus Dauidi.* Cum beatus Dauid a Saule persecutionem pateretur, in auxilium Deum vniuersorum vocat. 2. *Eripe me Domine ab homine malo, a viro iniquo libera me.* Iniustus Saul, et erga benefactorem ingratus. Studuit enim beatum Dauidem occidere, qui non modo ipsum nulla iniuria affecerat, verum etiam multorum beneficiorum ei fuerat auctor. 3. *Qui cogitauerant iniquitates corde*

ΕΡΜΗΝ. ΤΟΥ ρλθ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Διωκόμενος ὑπὸ τοῦ Σαοὺλ ὁ μακάριος Δαβὶδ, εἰς ἐπικουρίαν καλεῖ τὸν τῶν ὅλων Θεόν. β'. 6) Ἐξελοῦ με Κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. Ἄδικος ὁ Σαοὺλ, καὶ περὶ τὸν εὐεργέτην ἀχάριστος. οὐ γὰρ μόνον οὐδὲν ἠδικηκότα τὸν θεῖον Δαβὶδ, ἀλλὰ καὶ πολλῶν αὐτῷ γενόμενον πρόξενον ἀγαθῶν, ἐσπούδαζεν ἀνελεῖν. γ'. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ,

1) πονηρ. Cod. 1. παρανομίαν. 2) τὰς τρίβ. μου. *Hebr.* cogitationes meas. 3) ἀνομίας. *Hebr.* doloris. 4) καρδ. Cod. 1. διδασκαλίας. 5) εὐθυνθ. Ib. ἰθυνθῆναι. 6) Ἐξελοῦ με. Cod. 1. ἐξελοῦμαι.

δίᾳ, ὅλην τὴν ἡμέραν 1) παρετάσσοντο πολέμους. Οὐ γὰρ μόνον πονηροῖς ἐχρήσατο λογισμοῖς, ἀλλὰ καὶ τὰ ἔργα προσέθηκε τοῖς λογισμοῖς. τὸ δὲ, ὅλην τὴν ἡμέραν, ὁ Σύμμαχος κατὰ πᾶσαν ἡμέραν ἡρμήνευσεν. δ'. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Δόλῳ γὰρ χρησάμενος πολλάκις ἀνελεῖν αὐτὸν ἐπεχείρησε· καὶ πολλάκις ὀμωμοκὼς, καὶ φιλικοῖς χρησάμενος λόγοις, παρέβη τοὺς ὅρκους. τὴν ὕπουλον τοίνυν γνώμην, καὶ τὸν κεκρυμμένον δόλον, εἰκότως ἀπείκασε τῷ τῶν ἑρπυστικῶν θηρίων ἰῷ. ε'. Φύλαξόν με Κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Δικαίῳ πρέπουσα ἡ εὐχή. οὐ γὰρ τοῖς ἐχθροῖς ὄλεθρον, ἀλλ' ἑαυτῷ σωτηρίαν αἰτεῖ. Οἵτινες 2) διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. Ἐξελαυνόμενος ὑπὸ τοῦ Σαοὺλ ὁ μακάριος Δαβὶδ πρὸς τοὺς ἀλλοφύλους κατέφυγε· δυσσεβεῖς δὲ ἐκεῖνοι, καὶ πάσης παρανομίας ἐργάται. καὶ διὰ τοῦτο τοιγαροῦν ἀξιάγαστος, ὡς πανταχοῦ φύλαξ τῆς εὐσεβείας γενόμενος, καὶ δουλεῦσαι ταῖς ἀνάγκαις οὐκ ἀνεχόμενος. ἀλλ' 3) ὁ μὲν φησὶν οὗτος, ὁ ἐξελαύνων με, μικροῦ δεῖν ὑπεσκέλισε μου τῆς εὐσεβείας τὰ διαβήματα. ς'. Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, 4) καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι. Ὑπερήφανον αὐτὸν καλεῖ τὸν Σαούλ· παγίδα δὲ, καὶ σχοινία, καὶ σκάνδαλα, τὰς διαφόρους ἐπιβουλὰς, τοὺς λόχους, τὰς ἐνέδρας. εἴρηκε δὲ ταῦτα τροπικῶς, ἐκ μεταφορᾶς τῶν θηρευόντων καὶ ἀρ-

suo, toto die constituebant prælia. Nam non prauis solum vsus est cogitationibus, sed etiam opera cogitationibus addidit. Pro *toto die* autem Symmachus *quotidie* interpretatus est. 4. *Acuerunt linguas suas sicut serpentis, venenum aspidum sub labiis eorum.* Nam sæpius illum dolo interimere conatus est: et sæpe cum iurasset, amicisque verbis vsus esset, iusiurandum violauit. Subdolam igitur mentem, et occultum dolum, iure serpentum ferarum veneno comparauit. 5. *Custodi me Domine (vt euadam) e manu peccatoris, ab hominibus iniquis eripe me.* Iusto conuenit hæc precatio. Non enim inimicis interitum, sed sibi ipsi salutem efflagitat. *Qui cogitauerunt supplantare gressus meos.* Exactus a Saule * beatus Dauid ad allophylos fugit: impii autem erant illi, et omnis iniquitatis operarii. Idcirco igitur admiratione dignus est: quippe qui vbique pietatis custos fuit, et tempori inseruire noluit. Veruntamen, ait, parum abfuit, quin ille me exigens, gressus pietatis meæ supplantaret. 6. *Absconderunt superbi laqueum mihi, et funibus extenderunt laqueum pedibus meis: iuxta viam offendicula posuerunt mihi.* Superbum nuncupat ipsum Saulem. *Laqueos* autem, et *funes*, et *scandala*, diuersas insidias, fraudes, et dolos. Hæc autem tropice dixit, metaphora desumta a venatoribus, et laqueos

1) παρετ. πολ. *Hebr.* congregant f. cumulant, bella. 2) Rec. lectio h. l. est διελογίσαντο. 3) ὁ μὲν. Cod. 1. ὅμως. 4) καὶ — παγίδα. Rec. lectio h. l. est καὶ σχοινία διέτειναν παγίδας.

queos, essent, et retia extendentibus. 7. *Dixi Domino, Deus meus es tu.* Ego autem, despectis omnibus humanis me ipsum tibi commendaui, et te Dominum ac Deum noui, et a te opem exspecto. *Exaudi vocem deprecationis meae.* 8. *Domine, Domine, virtus salutis meae.* Haec repetitio credentis et amantis est. In te, ait, salutis spem habeo: tu enim solus salutem afferre potes. *Obumbrasti super caput meum die belli.* Et hoc experientia didici: etenim quando cum Goliatho singulare certamen habui, et quando contra allophylos in acie steti, veluti scuto auxilio tuo muniuisti me. 9. *Ne tradas me Domine a desiderio meo peccatori.* Symmachus sic, Ne des Domine desideria iniqui. Similiter autem et Theodotio, et Aquila. Desideranti, ait, meam caedem ne des desiderii euentum. Et secundum Septuaginta sic intelligendum est, Ne per me consequatur quae cupit. Ego enim saluus esse cupio, ille vero me perimere cupit: ne igitur meum desiderium illi praebeas. *Cogitauerunt contra me, ne derelinquas me, ne forte exaltentur.* Omnem cogitationem in meam caedem conuertunt: ne igitur me tua prouidentia priues, ne ansam superbiae ipsis praebeas. 10. *Caput circuitus eorum*

πεδόνας, καὶ ποδάγρας, καὶ δίκτυα διατεινόντων. ζ΄. Εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σύ. Ἐγὼ δὲ τῶν ἀνθρωπίνων ἁπάντων καταφρονήσας ἐμαυτόν σοι ἀνέθηκα, καί σε οἶδα Κύριον καὶ Θεὸν, καὶ τὴν παρά σου προσμένω βοήθειαν. Ἐνώτισαι Κύριε τὴν φωνὴν τῆς δεήσεώς μου. η΄. Κύριε, Κύριε δύναμις τῆς σωτηρίας μου. Πιστεύοντος καὶ ποθοῦντος ὁ διπλασιασμός· ἐν σοί φησιν ἔχω τὴν τῆς σωτηρίας ἐλπίδα. σὺ γὰρ μόνος παρέχειν τὴν σωτηρίαν ἰσχύεις. Ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Καὶ τοῦτο τῇ πείρᾳ μεμάθηκα. καὶ γὰρ ἡνίκα τὴν πρὸς τὸν Γολιὰθ ἀνεδεξάμην μονομαχίαν, καὶ ὅτε τοῖς ἀλλοφύλοις παρεταξάμην, καθάπερ ἀσπίδι με τῇ σῇ ῥοπῇ περιέφραξας. θ΄. 1) Μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. Ὁ δὲ Σύμμαχος οὕτως· μὴ δῷς Κύριε τὰς ἐπιθυμίας τοῦ παρανόμου. ὁμοίως δὲ καὶ ὁ Θεοδοτίων, 2) καὶ ὁ Ἀκύλας. τῆς ἐμῆς, φησὶν, ἐφιεμένῳ σφαγῆς μὴ δῷς τὴν τῆς ἐπιθυμίας ἀπόλαυσιν. καὶ κατὰ τοὺς ἑβδομήκοντα οὕτω νοητέον, μὴ δι' ἐμοῦ 3) ἀπολαύσαι ὧν γλίχεται. ἐγὼ μὲν 4) γὰρ ἐπιθυμῶ σωθῆναι· ἐκεῖνος δὲ ἐπιθυμεῖ ἀνελεῖν με. μὴ τοίνυν τὴν ἐμὴν ἐπιθυμίαν ἐκείνῳ παράσχῃς. 5) Διελογίσαντο κατ' ἐμοῦ· μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν. Πάντα λογισμὸν κινοῦσι κατὰ τῆς ἐμῆς σφαγῆς. μὴ τοίνυν με τῆς σῆς γυμνώσῃς προνοίας, ἵνα μὴ πρόφασιν αὐτοῖς ἀλαζονείας παράσχῃς. ι΄. 6) Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος

1) Μὴ — ἁμαρτωλῷ. *Hebr.* ne annuas o Iehoua, desideriis impii. 2) καὶ ὁ Ἀκύλας. Diuersa autem est *Aquilae* interpretatio apud MONTF. in Hexapl. ad h. l. 3) Cod. 1. ἀπολαύσοι. 4) γάρ. Ibid. sequ. φησί. 5) διελογ. — ὑψωθῶσι. *Hebr.* cogitationem eius ne prouehas, efferent enim sese. 6) Ἡ — αὐτούς. *Hebr.* Venenum circumdantium me, labor labiorum ipsorum operiat eos.

κόποστῶν χειλέων αὐτῶν καλύψει αὐτούς. Ἐντεῦθεν προλέγει τὰ ἐσόμενα αὐτοῖς κακά. τοῦτο δὲ 1) σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· ὁ πικρασμὸς τῶν κυκλέντων με, ὁ μόχθος τῶν χειλέων αὐτῶν πωμασάτω αὐτούς. ταῖς οἰκείαις φησὶν ἐπιβουλαῖς περιπέσοιεν, καὶ ἃ κατ' ἐμοῦ τεκταίνουσιν ὑπομείναιεν, καὶ ἡ κατ' ἐμοῦ τυρευομένη πικρία τοὺς ταύτῃ χρωμένους παντελῶς 2) συγκαλύψαι. τοῦτο ἔοικε τῷ ἐν τῷ ἑβδόμῳ εἰρημένῳ ψαλμῷ, λάκκον ὤρυξε καὶ 3) ἔσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. ια΄. Πεσοῦνται ἐπὶ αὐτοὺς ἄνθρακες, 4) καὶ ἐν πυρὶ καταβαλεῖς αὐτούς. Οἷον γάρ τινι πυρὶ τῇ ὀργῇ καταναλώσεις αὐτούς. 5) Ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν. περιπεσοῦνται συμφοραῖς, καὶ 6) οὐ περιέσονται 7) τούτων. ταῦτα δὲ συνέβη τῷ Σαοὺλ ἐν τῷ κατὰ τοὺς ἀλλοφύλους πολέμῳ. ἐκεῖ γὰρ σφαγεὶς ἐδέξατο τοῦ βίου τὸ πέρας. ιβ΄. Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Τοὺς διαβάλλοντας αὐτὸν συνεχῶς παρὰ τῷ Σαοὺλ διὰ τούτων αἰνίττεται, τὸν Δωὴκ, τοὺς Ζιφαίους, τοὺς ἄλλους, οἳ πολλαῖς συκοφαντίαις ἐκέχρηντο. καὶ διδάσκει ὡς διαμαρτάνουσι τοῦ σκοποῦ οἱ πλούτου χάριν καὶ δυναστείας τῇ ψευδολογίᾳ χρώμενοι, καὶ οὐ τυγχάνουσιν ὧν ἐφίενται. Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς 8) διαφθοράν. Ταῦτα γὰρ καὶ ὁ Σαοὺλ ὑπέμεινεν, ἥλω γὰρ ἐν τῷ πολέμῳ, καὶ ἐδέξατο τὴν θανατηφόρον πληγήν. ιγ΄. Ἔγνων ὅτι ποιήσει Κύριος

et labor labiorum ipsorum operiet eos. Hinc futura eis mala prædicit. Hoc autem planius Symmachus interpretatus est, Acerbitas eorum, qui circumdederunt me, labor labiorum ipsorum * operiat eos. In proprias, inquit, insidias incidant, et quæ in me moliti sunt, patiantur, et acerbitas quam aduersus me machinati sunt, eos, qui hac vtuntur, penitus operiat. Hoc simile est illi, quod in septimo psalmo dictum est, a) Lacum aperuit, et effodit eum, et incidet in foueam, quam fecit. 11. *Cadent super eos carbones, et in ignem deiicies eos.* Nam veluti quodam igne ira ipsos consumes. *In miseriis, et non subsistant.* In calamitates incident, sed his superiores non erunt. Hæc autem Sauli acciderunt in bello contra allophylos: ibi enim cæsus, vitæ finem sortitus est. 12. *Vir linguosus non dirigetur in terra.* Per hæc tacite indicat eos, qui continue apud Saulem ipsum calumniabantur. Huiusmodi fuerunt Doeg, Ziphæi, et alii, qui multis vsi sunt calumniis. Et docet, eos voti compotes non fore, qui ob diuitias et imperium falsis vtuntur verbis, neque consecuturos quæ desiderant. *Virum iniustum mala capient in interitu.* Hæc enim et Saul perpessus est: nam captus est in bello, lethalemque plagam accepit. 13. *Cognoui fore vt Dominus* vin-

1) σαφέστερον. Cod. 1. add. αὐτοῖς. 2) Cod. 1. συγκαλύψει. 3) Ib. ἀνέσκαψεν. 4) καί. Abest a Cod. 1. cuius lectio h. l. consentit cum Cod. *alex.* In Cod. *vatic.* autem post ἄνθρακες sequ. πυρὸς ἐπὶ τῆς γῆς, καί. 5) ἐν ταλαιπ. *Hebr.* in foueas. *Symm.* et *Theodot.* εἰς βοθύνους. 6) οὐ. Cod. 1. add. μή. 7) τούτων. Ibid. αὐτῶν. 8) διαφθοράν. Ita leg. in Cod. *alex.*

a) Ps. 7, 15.

vindicet iudicium inopis, et vindictam pauperum. Sane didici, inquit, diuinæ sententiæ iustitiam, et noui, quod eos, qui omni humano auxilio priuati sunt, minime hostium iniuriis expositurus, sed dignas ab improbis pœnas exacturus sit. 14. *Verumtamen iusti confitebuntur nomini tuo, et habitabunt recti cum vultu tuo.* Idcirco igitur iustorum chorus te laudat, hoc præsidio a te adiutus: et tuam dignitatem amant, semper de te cogitantes, tuamque faciem se intueri putantes. Huiusmodi est illud, quod in decimoquinto psalmo dictum est, a) Prouidebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi ne commouear.

τὴν κρίσιν 1) τῶν πτωχῶν, καὶ τὴν δίκην τῶν πενήτων. Μεμάθηκά φησι, τῆς 2) θείας ψήφου τὸ δίκαιον, καὶ οἶδα ὅτι τοὺς πάσης ἀνθρωπείας βοηθείας ἐρήμους οὐκ ἐάσει προχείρους τοῖς πολεμοῦσιν εἰς βλάβην, ἀλλὰ πράξεται δίκας τοὺς 3) ἀδίκους ἀξίας. ιδ΄. Πλὴν δίκαιοι ἐξομολογήσονταί τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. Τούτου δὴ χάριν ὁ τῶν δικαίων ἀνυμνεῖ σε χορὸς, ταύτης παρά σου τῆς κηδεμονίας τυγχάνων. καὶ τὴν σὴν ἀγαπῶσι προεδρείαν, ἀεί σε φανταζόμενοι, καὶ τὸ σὸν ὁρᾶν ὑπολαμβάνοντες πρόσωπον. τοιοῦτόν ἐστι τὸ ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ εἰρημένον ψαλμῷ, προωρώμην τὸν Κύριον 4) ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ.

INTERP. PSALMI CXL.

1. *Psalmus Dauidi.* Hic etiam psalmus eundem habet sensum, quem præcedens. * Nam cum a Saule persecutionem pateretur, Deum obsecrat. *Domine clamaui ad te, exaudi me. Clamorem* enim animæ alacritatem nuncupat. Sic enim et Mosi tacenti Deus dixit, b) Quid clamas ad me? *Attende ad vocem orationis meæ, cum clamauero ad te.* Beneuole, ait, meas preces admitte Domine. 2. *Dirigatur oratio mea, sicut incensum in conspectu tuo: eleuatio manuum mearum sacrificium vespertinum.* Virtutis actionem precibus coniunxit:

ΕΡΜΗΝ. ΤΟΥ ρμ΄ ΨΑΛΜΟΥ.

α΄. Ψαλμὸς τῷ Δαβίδ. 5) Καὶ αὐτὸς ὁ ψαλμὸς τὴν αὐτὴν ἔχει τῷ προτεταγμένῳ διάνοιαν· διωκόμενος γὰρ ὑπὸ τοῦ Σαοὺλ 6) ἀντιβολεῖ τὸν Θεόν. Κύριε ἐκέκραξα πρός σε, 7) εἰσάκουσόν μου. Κραυγὴν 8) γὰρ καλεῖ τὴν τῆς ψυχῆς προθυμίαν. οὕτω γὰρ καὶ Μωσοῦ σιγῶντος ὁ Θεὸς ἔφη, τί βοᾷς πρός με; Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. Εὐμενῶς φησι, Δέσποτα, δέξαι τὴν ἐμὴν ἱκετείαν. β΄. Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Τῇ προσευχῇ συνέζευξε τὴν πρᾶξιν τῆς ἀρε-

1) Rec. lectio h. l. est τοῦ πτωχοῦ. 2) Θείας. Abest a Cod. 1. 3) ἀδίκους. Cod. 1. ἀξίους. 4) ἐνώπιον. Ib. præm. ὅτι. 5) Καὶ — Θεόν. Hæc et alia huius Psalmi *Origeni* tribuuntur apud CORD. l. c. p. 723. sqq. 6) Cod. 1. ἀντιβόλει. 7) εἰσάκουσόν μου. *Hebr.* festina ad me. 8) γάρ. Abest a Cod. 1.

a) Ps. 15, 8. b) Exod. 14, 15.

εὐεργέτης· ἡ γὰρ ἔπαρσις τῶν χειρῶν ταύτην παραδηλοῖ· τὴν ἐργασίαν γὰρ αἱ χεῖρες ἐνεχειρίσθησαν· ἱκετεύει δὲ τῷ τοῦ θυμιάματος ἀτμῷ παραπλησίως ἀναπεμφθῆναι τὴν προσευχὴν, καὶ τὴν ἐκείνου εὐοσμίαν μιμήσασθαι. ὡσαύτως δὲ καὶ τῶν χειρῶν τὴν ἔκτασιν ἑσπερινῇ θυσίᾳ φανῆναι παραπλησίαν. ἑσπερινῆς μέν τοι, καὶ οὐχ ἑωθινῆς ἐμνημόνευσεν, ἐπειδὴ ἐν συμφοραῖς ἦν καὶ λύπαις· σκότῳ δὲ ἔοικεν ἡ συμφορὰ, καὶ νυκτί.

γʹ. Θοῦ Κύριε φυλακὴν τῷ στόματί μου, 1) καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Δύο μὲν ὁ δημιουργὸς 2) ἔδωκε τῇ γλώττῃ 3) τείχεα, τὸ τῶν ὀδόντων, καὶ τὸ τῶν 4) χειλέων, τὰς ἀλόγους αὐτῆς 5) ὑπέχων ὁρμάς· ἀλλ' ὅμως ὁ προφήτης καὶ ἑτέρας ἀπολαῦσαι παρακαλεῖ φυλακῆς, δεδιὼς μή τι φθέγξηται σχετλιάζων οὐκ εὐπρεπές· ὅτι γὰρ οὐδ' ὑπὸ τοῦ Σαοὺλ διωκόμενος εἰπεῖν τι βλάσφημον ἠνέχετο πώποτε, μαρτυρεῖ ἡ ἱστορία. ἀλλὰ γὰρ 6) ἀναιρεῖν αὐτὸν πειραθέντων, αὐτὸς χριστὸν ὠνόμασε Κυρίου· καὶ πρὸς αὐτὸν διαλεγόμενος, δοῦλον ἑαυτὸν 7) ἀποκαλεῖ, καὶ τὸν μηνύσαντα τὴν σφαγὴν αὐτοῦ, ταύτην πεποιηκέναι νεανιευσάμενον, ἀνεῖλεν, εἰρηκὼς, τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου, ὅτι 8) σὲ εἶπας ἀνῃρηκέναι τὸν χριστὸν Κυρίου.

δʹ. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, 9) τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. Οὐ μόνον 10) γλῶτταν φρουρηθῆναι παρακαλεῖ, ἀλλὰ καὶ 11) αὐτὰ τῆς διανοίας κινήματα, ἵνα μηδὲ ἐν ἐκείνοις ἕτερός τις παρὰ

quandoquidem manuum erectio hanc declarat: nam opus manibus committi solet. Orat autem, vt perinde ac thuris vapor preces adscendant, illiusque bonum odorem imitentur: eodemque modo vt manuum extensio vespertino sacrificio similis videatur. Vespertini quidem, et non matutini, mentionem fecit, quoniam in calamitatibus et mœroribus versabatur: tenebris autem et nocti similes sunt calamitates. 3. *Adpone Domine custodiam ori meo, et ostium circumstantiæ circa labia mea.* Duos parietes opifex linguæ dedit, vnum dentium, et alterum labiorum, temerarios eius impetus cohibens. Veruntamen propheta vt et alias custodias consequatur obsecrat, timens, ne quid indecorum, dum suas deplorabat miserias, diceret. Nam neque ipsum, cum a Saule persecutionem pateretur, aliquod maledictum vnquam dicere voluisse, historia testatur. Quin et cum alii ipsum Saulem necare tentassent, ipse Vnctum Domini eum vocauit. Et ipsum alloquens, seruum se nuncupauit, et eum, qui cædem nunciabat, se hanc effecisse iuueniliter iactantem interemit, dicens, a) Sanguis tuus super caput tuum, quoniam tu dixisti occidisse te Vnctum Domini. 4. *Non declines cor meum ad verba malitiæ, ad excusandas excusationes in peccatis.* Obsecrat, vt non solum lingua, sed etiam ipsæ mentis motiones custodiantur, vt ne alia cogitatio in ipsis depre-

1) καὶ — μου. *Hebr.* et custos sis ad ianuam labiorum meorum. 2) ἔδωκε. Abest a Cod. 1. 3) Ib. τείχη. 4) χειλέων. Ibid. sequ. δέδωκεν. 5) Ib. ἐπέχων. 6) Ib. ἀνελεῖν. 7) Ib. ἀπεκάλει. 8) Ib. σύ. 9) τοῦ — ἁμαρτ. *Hebr.* vt faciam s. peragam, opera in impietate. 10) γλῶτταν. Cod. 1. praem. τήν. 11) αὐτά. Ib. sequ. τά.

a) 2 Reg. 1, 16.

deprehendatur, nisi diuinæ leges. Pro *ad excusandas excusationes in peccatis*, Symmachus dixit, *cogitationes iniquas*. Et secundum Septuaginta ita intelligendum est: Poterat sic ratiocinari beatus David, Inimicus et hostis est * Saul, meamque cædem desiderat; non iniustum est igitur huiusmodi hominem interimere, cum lex aperte denuntiet, a) Diliges proximum tuum, et odio habebis inimicum tuum. Sed euangelicum viuendi modum præuidens, secundum illum viuere voluit, et precatur, vt nullam peccandi occasionem arripiat. *Cum hominibus operantibus iniquitatem, et non communicabo cum electis eorum.* Hæc enim, inquit, iniquitatis operarii faciunt: mihi autem non sit cum ipsis communicatio, licet summam felicitatem habeant. *Electos* enim hoc loco prauos homines feliciter viuentes nuncupauit. 5. *Corripiet me iustus in misericordia, et increpabit me, oleum autem peccatoris ne impinguet caput meum.* Eligenda, inquit, potius sunt mihi tristia a iustis ob correctionem et vtilitatem profecta, quam dulcia a peccatoribus allata, quamuis hæc, instar olei caput exhilarantis, iucundam mihi præbeant vitam. Malo enim a iustis corripi, quam a peccatoribus coli. *Quoniam adhuc et oratio mea in beneplacitis eorum.* Symmachus autem

τοὺς θείους νόμους εὑρεθῇ λογισμός. 1) ἀντὶ τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις, ὁ Σύμμαχος εἴρηκεν 2) ἐννοίαις παρανόμους. καὶ κατὰ τοὺς ἑβδομήκοντα δὲ οὕτω νοητέον· ἠδύνατο λογίσασθαι ὁ μακάριος Δαβὶδ, ὅτι ἐχθρὸς καὶ πολέμιος ὁ Σαοὺλ, καὶ τῆς σφαγῆς ἐφιέμενος τῆς ἐμῆς· οὐκ ἄδικον τοίνυν ἀνελεῖν τὸν τοιοῦτον, τοῦ νόμου διαγορεύοντος, ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου· ἀλλὰ τὴν εὐαγγελικὴν προθεωρῶν πολιτείαν, κατ᾽ ἐκείνην ἤθελε βιοῦν· καὶ εὔχεται μηδεμίαν πρόφασιν εἰς ἁμαρτίαν λαβεῖν. Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, 3) καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. Ταῦτα γάρ φησι δρῶσιν οἱ τῆς παρανομίας ἐργάται· ἐμοὶ δὲ μὴ εἴη τις πρὸς αὐτοὺς κοινωνία, κἂν τὴν ἄκραν ἔχωσιν εὐκληρίαν· ἐκλεκτοὺς γὰρ ἐνταῦθα τῶν πονηρῶν τοὺς εὐημεροῦντας καλεῖ. ε. Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· 4) ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν 5) μου. Αἱρετώτερά 6) μοι, φησὶ, τὰ παρὰ τῶν δικαίων παιδείας χάριν 7) γινόμενα καὶ ὠφελείας λυπηρὰ, τῶν παρὰ τῶν ἁμαρτωλῶν προσφερομένων ἡδέων, 8) κἂν δίκην ἐλαίου λαμπρύναντος κεφαλὴν, θυμηρεστέραν μοι ταῦτα παρέχει ζωήν. αἱροῦμαι γὰρ παρὰ τῶν δικαίων παιδεύεσθαι, ἢ παρὰ τῶν ἁμαρτωλῶν θεραπεύεσθαι. Ὅτι ἔτι καὶ ἡ προσευχή μου 9) ἐν ταῖς εὐδοκίαις αὐτῶν. Ὁ δὲ Σύμμαχος οὕτως·

1) ἀντί. In Cod. 1. sequ. δή. 2) ἐννοίαις. Ib. præm. ἐννοεῖν. Ita quoque apud MONTF. in Hexapl. ad h. l. 3) καὶ — αὐτῶν. *Hebr.* et ne vescar de cupediis eorum. *Symm.* μὴ συμφάγοιμι τὰ ἡδέα αὐτῶν. 4) ἔλαιον — κεφ. μου. *Hebr.* (hoc erit velut) oleum capitis s. capiti infusum: ne renuat (illud) caput meum. 5) μου. Abest a Cod. 1. 6) μοι. Des. ibid. 7) γινόμενα. In Cod. 1. ponitur post ὠφελείας. 8) κἂν. Cod. 1. καί. 9) ἐν — αὐτῶν. *Hebr.* contra mala s. malitiam, eorum.

a) Matth. 5, 43.

ως· ἔτι δὲ καὶ ἡ προσευχή μου ἐντὸς ῶν κακιῶν αὐτῶν. τοσοῦτον γὰρ ἀπέω τοῦ τὴν ἐκείνων εὐημερίαν ζηλῶσαι, τι καὶ αὐτοὺς εὔχομαι μεταβληθῆναι, ας μεταβληθείσης τῆς εὐπραξίας λάωσι κακίας μεταβολήν. ϛʹ. 1) Κατεπόησαν ἐχόμενα πέτρας 2) οἱ κριταὶ αὐῶν. Οὐκ εἰς μακρὰν φησὶ φροῦδοι γείσονται, καὶ οἱ τῆς ἄκρας δυναστείας τειλημμένοι, 3) πέτραις ὑφάλοις ὑπὸ ὑέτων καλυπτομέναις ὑποβρύχιοι παραλησίως ἔσονται, ἀντὶ τοῦ λήθῃ παραθήσονται. Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδύνθησαν. Τῇ πείρᾳ δὲ αθόντες τῶν ἐμῶν ῥημάτων τὸ ἀληθὲς, αὶ τῆς τούτων ἡδονῆς καὶ ὠφελείας αἰθήσονται. ζʹ. 4) Ὡσεὶ πάχος γῆς) ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ στᾶ 6) αὐτῶν παρὰ τὸν ᾅδην. Πάχος ῆς τὸ συνεχὲς τῆς γῆς καλεῖ, ὃ τῷ ἀότρῳ τεμνόμενον εἰς βώλους διαιρεῖται·) τούτοις, φησὶ, 8) τοῖς βώλοις παραπλησίως οἱ νῦν 9) ἑστῶτες διαλυθήσονται τῷ θανάτῳ, καὶ ἐν τοῖς τάφοις τὰ ούτων ὀστᾶ σκεδασθήσονται. παρὰ τὸν ᾅδην γὰρ τοὺς τάφους ἐκάλεσεν. ηʹ. Ὅτι πρός σε Κύριε, Κύριε οἱ ὀφθαλμοί μου, πὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Ἐγὼ δὲ οὐδενὶ τῶν ἀνθρωπίων θαῤῥῶ, ἀλλὰ τὴν σὴν προσμένω βοήθειαν, καὶ παρακαλῶ ταύτης τὴν ἐμὴν μὴ γυμνωθῆναι ψυχήν. θʹ. Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν. 10) Τῶν παγίδων τούτων

sic, Adhuc autem et precatio mea intra malitias ipſorum. Tantum enim abeſt, vt illorum proſperitatem concupiſcam, vt precer et ipſos mutari, vt mutata felicitate, mali mutationem accipiant. 6. *Abſorpti ſunt iuncti petræ iudices eorum.* Breui, inquit, imbecilles euadent, et qui ſummo imperio inhærent, inſtar ſcopulorum, qui in mari deliteſcunt et aquis obruuntur, ſubmergentur, hoc eſt, obliuioni tradentur. *Audient verba mea, quoniam dulcia facta ſunt.* Cum autem experientia didicerint meorum verborum veritatem, et horum dulcedinem et vtilitatem ſentient. 7. *Sicut craſſitudo terræ erupta eſt ſuper terram, diſſipata ſunt oſſa eorum prope infernum.* Craſſitudinem terræ ſoliditatem terræ nuncupat, quæ aratro proſciſſa, in glebas diuiditur. Inſtar harum, inquit, glebarum, qui nunc ſtant, morte diſſoluentur, et eorum oſſa in ſepulcris diſſipabuntur. *Prope infernum* enim ſepulcra nuncupauit. * 8. *Quoniam ad te Domine Domine oculi mei, in te ſperaui, ne auferas animam meam.* Ego autem in nullis rebus humanis confido, ſed tuam exſpecto opem, et precor, ne hac mea anima ſit priuata. 9. *Cuſtodi me a laqueo, quem ſtatuerunt mihi, et a ſcandalis operantium iniquitatem.* Laqueorum iſtorum, et

1) Κατεπ. ἐχόμ. πέτρας. *Hebr.* Demittantur (quaſi) in manus petræ. 2) οἱ κριταί. Ita leg. in ed. *ald.* et *compl.* Recepta lectio eſt οἱ κραταιοί. 3) πέτραις. Cod. 1. præm. καί. 4) Ὡσεὶ — ᾅδην. *Hebr.* Ac ſi findit et ſcindit (aliquis ligna) in terra; ita diſperſa ſunt oſſa noſtra vſque ad oſtium ſepulcri. 5) Rec. lectio h. l. eſt διεῤῥάγη. 6) αὐτῶν. Præſtat lectio Cod. *vatic.* ἡμῶν. 7) Cod. 1. ταύταις. 8) Ib. ταῖς. 9) ἑστῶτες. Cod. 1. add. καὶ εὐπαθοῦντες. 10) Τῶν. Abeſt a Cod. 1.

et scandalorum, in praecedenti etiam psalmo mentionem fecit. *Laqueos* autem, et *scandala*, insidias vocat, a quibus vt liberetur obsecrat. *10. Cadent in reticulo eius peccatores.* Hoc est, Dei. Qui enim aliis laqueos parant, diuino supplicio comprehendentur, veluti quodam reti, et quae faciunt, sustinebunt, et quae aliis machinantur, patientur. *Seorsim positus sum ego, donec transeam.* Ego vero ab istis remotus semper ero, donec vitae finem accipiam.

καὶ τῶν σκανδάλων ἐμνημόνευσε καὶ ἐν τῷ πρὸ τούτου ψαλμῷ. παγίδας δὲ καὶ σκάνδαλα τὰς ἐπιβουλὰς καλεῖ, ὧν ἀπαλλαγῆναι παρακαλεῖ. ί. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ οἱ ἁμαρτωλοί. Τουτέστι, τοῦ Θεοῦ. οἱ γὰρ τοῖς ἄλλοις τὰς 1) παγίδας πηγνύντες, καθάπερ τινὶ δικτύῳ, τῇ θείᾳ συλληφθήσονται τιμωρίᾳ, καὶ ἅπερ δρῶσιν ὑπομενοῦσιν, καὶ πείσονται ἃ τοῖς ἄλλοις ἐπάγουσιν. 2) Καταμόνας εἰμὶ ἐγὼ, ἕως 3) οὗ παρέλθω. Ἐγὼ δὲ τούτων κεχωρισμένος διατελέσω, ἕως ἂν δέξωμαι τοῦ βίου τὸ πέρας.

INTERP. PSALMI CXLI.

1. Intellectus Dauidi, cum esset in spelunca orans. Planum est psalmi argumentum. Cum enim a Saule beatus Dauid persecutionem pateretur, in speluncam aufugit, a) et in intimis eius penetralibus delituit. Deinde conspicatus Saulem illuc delatum, mentis timorem exegit, diuinumque auxilium implorauit, et hoc consecutus est. 2. *Voce mea ad Dominum clamaui, voce mea apud Deum deprecatus sum.* Et hinc patet, *clamorem* mentis intentionem vocari. Quomodo enim qui delitescit et latere desiderat, potest vti voce, et clamare? Dicit igitur, Cum omni alacritate Dominum oraui. *3. Effundam in conspectu eius orationem meam, et tribulationem meam ante ipsum annunciabo.* Et calamitatem, ait, notam ipsi fe-

ΕΡΜΗΝ. ΤΟΥ ρμα´ ΨΑΛΜΟΥ.

α´. Συνέσεως τῷ Δαβὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ 4) προσευχόμενον. 5) Δήλη τοῦ ψαλμοῦ ἡ ὑπόθεσις. διωκόμενος γὰρ ὁ θεῖος Δαβὶδ ὑπὸ τοῦ Σαοὺλ, καταφεύγει μὲν ὑπὸ τὸ σπήλαιον, καὶ ἐν τοῖς ἐνδοτάτοις τούτου κατακρύπτεται χωρίοις. εἶτα θεασάμενος τὸν Σαοὺλ ἐκεῖ καταχθέντα, τὴν μὲν δειλίαν τῆς διανοίας ἐξήλασε· τὴν δὲ θείαν ἐπικουρίαν ἐκάλεσε, καὶ ταύτης τετύχηκε. β´. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην. Καὶ ἐντεῦθεν δῆλον, ὡς κραυγὴν τὴν τῆς διανοίας προθυμίαν καλεῖ. πῶς γὰρ ἂν ἐκέκραξε φωνῇ χρησάμενος ὁ κρυπτόμενος, καὶ λαθεῖν προθυμούμενος; λέγει τοίνυν ὅτι μετὰ πάσης προθυμίας ἱκέτευσα τὸν Θεόν. γ´. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψιν μου ἐνώπιον αὐτοῦ 6) ἐπαγγελῶ. Καὶ τὴν συμφορὰν φησιν αὐτῷ πεποίηκα δήλην,

1) Cod. 1. πάγας. 2) Καταμόνας — παρέλθω. *Hebr.* donec ego vna transeam sc. rete eorum. 3) οὗ. Cod. 1. ἂν. 4) προσευχ. Rec. lectio h. l. est προσευχή. 5) Δήλη — τετύχηκε. Haec vt alia huius Psalmi apud CORD. l. c. p. 740. ORIGENI tribuuntur. 6) Cod. 1. ἀπαγγελῶ.

a) 1 Reg. 24, 1. sqq.

λην, καὶ τὴν ὑπὲρ ταύτης ἱκετείαν ἐπιμελῶς προσενήνοχα. τὸ πολὺ δὲ τῆς δεήσεως διὰ τοῦ ἐκχεῶ παρεδήλωσεν. δ΄. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου. Ταῦτα δὲ ἔδρων τὴν ὑπερβολὴν θεώμενος τῶν κακῶν. παρ᾽ αὐτὸν γὰρ ἐσκηνώμην τὸν θάνατον. Καὶ σὺ ἔγνως τὰς τρίβους μου. Πάντα δῆλά σοι τὰ ἐμὰ, καὶ οὐδὲν τῶν ἐμῶν πράξεων τὸν σὸν ἔλαθεν ὀφθαλμόν. Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Καὶ οἱ θηρεύοντες τῶν θηρίων τὰς ὁδοὺς ἀνιχνεύουσι, καὶ ἐν ἐκείναις ἱστᾶσι τὰ θήρατρα. τούτους μιμούμενος ὁ Σαοὺλ, περιεργαζόμενος τὰ κατὰ τὸν Δαβὶδ διετέλει, καὶ ἔνθα διάγειν αὐτὸν ἐμάνθανεν, ἐκεῖ ταῖς ἐνέδραις ἐκέχρητο. τοῦτο καὶ ὁ διάβολος δρᾷ· καὶ τῷ μὲν ὁδεύοντι τὴν τῆς σωφροσύνης ὁδὸν, τίθησι τῆς φιληδονίας τὴν πάγην· τῷ δὲ ἐλεημοσύνῃ χαίροντι, τῆς κενοδοξίας τὸ δίκτυον· τῷ ἀφιλοχρημάτῳ, τῆς πλεονεξίας τὰς ἀφορμάς· τῇ παρθενίᾳ τὴν ἀλαζονείαν, καὶ ἁπαξαπλῶς ἑκάστῳ βίῳ τὸν εὐθήρατον λόχον. ε΄. 1) Κατενόουν εἰς τὰ δεξιὰ, καὶ ἐπέβλεπον, 2) καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. Οὐδένα, φησὶν, οὐδαμόθεν ἑώρων ἐπίκουρον. δεξιὰ γὰρ τὸ πρᾶγμα τῶν εὐνουστέρων ἐκάλεσεν. Ἀπώλετο φυγὴ ἀπ᾽ ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. Ἀφύκτοις ἕρκεσι περιέπεσα, καὶ πόρον οὐχ εὑρίσκω φυγῆς, οὐδὲ τὸν ἐπαμυνόμενον. ϛ΄. Ἐκέκραξα πρός σε Κύριε, εἶπα· σὺ εἶ ἡ ἐλπίς μου. Σὲ τοίνυν ἱκετεύω, οὗ τὰς ἐμὰς ἐλπίδας ἐξήρτησα. Μερίς μου ἐν γῇ ζώντων. ζ΄. Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην 3) σφόδρα. Πολλάκις ὁ θεῖος Δαβὶδ μερίδα οἰκείαν ἐκάλεσε τὸν Θεόν· καὶ νῦν δὲ ὡσαύτως τοῦτο πεποίηκεν. οὐ-

ci, et pro ea precationem sedulo obtuli: precationis autem vehementiam per illud *effundam* declarauit. 4. *Cum deficeret spiritus meus.* Hæc autem faciebam, cum malorum magnitudinem viderem: nam prope ipsam mortem habitabam. *Et * tu cognouisti semitas meas.* * Omnia mea tibi sunt nuda, et nulla mearum actionum tuum præterit oculum. *In via hac, qua ambulabam, absconderunt laqueum mihi.* Et qui venantur ferarum vias inuestigant, et in illis retia statuunt. Hos imitatus Saul, et de Dauide curiosius inquirebat, et vbi ipsum degere intelligebat, ibi insidias parabat. Hoc etiam diabolus facit, et incedenti in via temperantiæ, luxuriæ laqueum parat: ei vero qui eleemosynis gaudet, inanis gloriæ rete ponit: ei autem qui opes pro nihilo ducit, auaritiæ occasiones affert: et virginitati superbiam, et vt vno verbo dicam, cuilibet viuendi modo laqueum venationi accommodatum nectit. 5. *Considerabam ad dexteram, et videbam, et non erat, qui cognosceret me.* Nullum, inquit, alicunde adiutorem videbam. *Dexteram* enim beneuolorum auxilium vocauit. *Periit fuga a me, et non est qui requirat animam meam.* In septa ineluctabilia incidi, et iter non inuenio fugæ, nec qui auxilium mihi afferat. 6. *Clamaui ad te Domine, dixi, tu es spes mea.* Te igitur precor, in quo meam spem posui. *Portio mea es in terra viuentium.* 7. *Attende ad deprecationem meam, quia valde humiliatus sum.* Sæpius diuinus Dauid partem suam vocauit Deum: et hoc loco idem fecit.

1) Κατενόουν — ἐπέβλεπον. *Hebr.* Respice — et vide. 2) καί. Rec. lectio h. l. est ὅτι. 3) σφόδρα. Cod. 1. præm. ἕως.

Opem nullam, inquit, aliam habeo, sed te solum adiutorem, et per te vt vitam consequar precor. *Humilitatem* calamitates hoc loco vocat. Hoc enim et Symmachus declarauit, Ausculta loquelas meas, quoniam valde oblangui. *Libera me a persequentibus me, quia confirmati sunt super me.* Fortiores me facti sunt hostes: per tuum autem auxilium istorum manus declinabo. 8. *Educ de custodia animam meam ad confitendum nomini tuo.* Aquila sic, Educ de clausura animam meam. Nam tanquam in custodia quadam et carcere detinebatur, hostibus speluncæ ostio assidentibus. Pollicetur autem, salutem nactum hymnis beneficia se remuneraturum * esse. *Me exspectabunt iusti donec retribuas mihi.* Symmachus sic, Nomen tuum coronabunt iusti, cum beneficio me affeceris; quia beneficium in me collatum salutis suæ pignus arripient, et te iustum iudicem laudabunt.

δεμίαν γάρ φησι ἄλλην ἔχω βοήθειαν, ἀλλά σε μόνον ἐπίκερον, καὶ διά σε τυχεῖν ἀντιβολῶ τῆς ζωῆς. ταπείνωσιν δὲ τὰς συμφορὰς ἐνταῦθα καλεῖ· τοῦτο γὰρ καὶ ὁ Σύμμαχος παρεδήλωσεν, ἀκρόασαι 1) τὰς λαλιάς με, ὅτι ἠτόνησα σφόδρα. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. Ἰσχυρότεροί 2) μοι γεγένηνται οἱ πολέμιοι· διὰ δὲ τῆς σῆς ῥοπῆς τὰς τούτων διαφεύξομαι χεῖρας. η΄. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν με, τοῦ 3) ἐξομολογήσασθαι τῷ ὀνόματί 4) σου. Ὁ δὲ Ἀκύλας οὕτως, ἐξάγαγε ἐξ ἀποκλεισμοῦ τὴν ψυχήν με· ὡς ἐν εἱρκτῇ γάρ τινι καὶ δεσμωτηρίῳ κατείχετο, τῶν πολεμίων τῇ θύρᾳ τοῦ σπηλαίου προσκαθημένων. ὑπισχνεῖται δὲ τῆς σωτηρίας τυχὼν ὕμνοις τὰς εὐεργεσίας ἀμείβεσθαι. 5) Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι. Ὁ δὲ Σύμμαχος οὕτως, τὸ ὄνομά σου στεφανώσονται δίκαιοι, ὅταν εὐεργετήσῃς με. τὴν γὰρ εἰς ἐμὲ γεγενημένην εὐεργεσίαν ἐνέχυρον τῆς εἰς αὐτοὺς λήψονται σωτηρίας, καί σε τὸν δίκαιον κριτὴν ἀνυμνήσουσιν.

INTERP. PSALMI CXLII.

1. Psalmus Dauidi, quando ipsum persecutus est Absalon filius eius. a) In nonnullis exemplaribus inueni, *Quando ipsum persecutus est Absalon filius eius.* Neque autem in Hebræo exemplari, nec apud alios interpretes hanc inueni additionem: tamen veritati inhæret; hoc enim psalmi est

ΕΡΜΗΝ. ΤΟΥ ρμβ ΨΑΛΜΟΥ.

α΄. Τῷ Δαβὶδ ψαλμὸς, 6) ὁπότε κατεδίωκεν αὐτὸν Ἀβεσαλὼμ ὁ υἱὸς αὐτοῦ. 7) Ἐν ἐνίοις ἀντιγράφοις εὗρον, ὅτε αὐτὸν ἐδίωκεν Ἀβεσαλὼμ ὁ υἱὸς αὐτοῦ. οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς ταύτην εὕρηκα τὴν προσθήκην. ἔχεται δὲ ὅμως τῆς ἀληθείας· αὐτὴν γὰρ ἔχει τὴν ὑπόθεσιν

1) Cod. 1. τῆς λαλιᾶς. 2) Ib. μου. 3) Ib. ἐξομολογεῖσθαι. 4) σου. In Textu τῶν ὁ. sequitur Κύριε. 5) ἐμὲ — μοι. *Hebr.* Me cingent s. circumdabunt, iusti, quando retribues mihi. 6) ὁπότε — αὐτοῦ. Rec. lectio h. l. est, ὅτε αὐτὸν ὁ υἱὸς κατεδίωκε. 7) Ἐν — ὁ ψαλμός. Idem Scholion exstat in edit. rom. ad h. l.

a) 2 Reg. 17.

θεσιν ὁ ψαλμός. Κύριε εἰσάκουσον προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν ἐν τῇ ἀληθείᾳ σου· εἰσάκουσόν μου, ἐν δικαιοσύνῃ σου. Δίκας μὲν τίνων ὁ ος Δαβὶδ 1) ὧν ἐπλημμέλησεν, ἐκεί- περιέπεσε τοῖς κακοῖς· ἄδικος δὲ ὁ- ς, καὶ παράνομος, καὶ δυσσεβὴς, καὶ τραλοίας ὁ Ἀβεσαλὼμ, τῆς τοῦ γε- νηκότος ἐπιθυμήσας σφαγῆς. διά τοῦτο τὸν Θεὸν ὁ μακάριος ἱκετεύει βὶδ ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ τῆς οσευχῆς 2) εἰσακοῦσαι. β΄. Καὶ μὴ έλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ῶν. Ἐν ἀληθείᾳ φησὶ καὶ δικαιοσύ- τοῖς ἐμοῖς σε, φησὶν, ἱκέτευσα λόγοις, τῇ ἐμαυτοῦ δικαιοσύνῃ θαῤῥῶν, ἀλλὰ ν τῶν πολεμίων παρανομίαν εἰδώς· ιδα γὰρ ὡς ἀδύνατον ἀθῶόν τινα τὸ ν δικαστήριον ἐκφυγεῖν. εἰ γὰρ τὸν κα- να τῶν ὑπό σου τεθέντων νόμων τῷ τῶν θρώπων παραθείης βίῳ, οὐδεὶς ὀφθή- εται κατὰ τοῦτον βεβιωκώς· εἰ δὲ καὶ ὰς σὰς εὐεργεσίας εἰς μέσον ἀγάγοις, αὶ ὅσα τοῖς ἀνθρώποις ἐχορήγη- ας ἀγαθὰ, ποία πάλιν ἀνθρωπίνη δι- αιοσύνη ταῖς σαῖς ἐξισωθήσεται δω- εαῖς; γ΄. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς ὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ωήν μου. Ἱκετεύω τοίνυν τῆς σῆς ἀ- ληθείας καὶ δικαιοσύνης τυχεῖν, οὐκ ἐμοῦ καὶ σοῦ κρινομένων, ἀλλ' ἐμοῦ καὶ τῶν πολεμίων δικαζομένων. ἐκβέβλημαι γὰρ ὑπ' ἐκείνων τῆς βασιλείας, ἐλήλαμαι τῆς πατρίδος. ταύτην αὐτοῦ τὴν ταπείνωσιν καὶ ἡ ἱστορία διδάσκει. ἀνυπόδητος γὰρ, καὶ συγκεκαλυμμένος, καὶ δακρύων ἐβάδιζεν. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος. Οὐδὲν γὰρ διαφέρω νεκροῦ ἐν σκότει καθειργμένου,

argumentum. *Domine exaudi orationem meam, auribus percipe deprecationem meam in veritate tua: exaudi me in tua iuſtitia.* Pœnas luens eorum quæ commiſerat diuinus Dauid, in illa incidit mala. Iniuſtus tamen, et iniquus, et impius, et parricida erat Abſalon, qui genitoris cædem deſiderabat. Propterea beatus Dauid Deum obſecrat, vt in veritate et iuſtitia preces exaudiat. 2. *Et ne intres in iudicium cum ſeruo tuo, quia non iuſtificabitur in conſpectu tuo omnis viuens.* In veritate et iuſtitia, inquit, precatus ſum te verbis meis, non mea iuſtitia fretus, ſed hoſtium iniquitatem ſciens. Noui enim fieri non poſſe, vt aliquis innocens a tuo tribunali diſcedat. Si enim hominum vitæ regulam legum a te latarum appoſueris, nemo ſecundum has vixiſſe videbitur. Si autem tua etiam beneficia in medium attuleris, et quot bona hominibus ſuppeditaueris, quæ rurſus humana iuſtitia tuis donis æquiparabitur? 3. *Quia perſecutus eſt inimicus animam meam, humiliauit in terra vitam meam.* Precor igitur, vt tuam veritatem et iuſtitiam conſequar, non ita vt mecum in iudicium deſcendas, ſed vt ego et hoſtes iudicemur. Regno enim eiectus ſum ab illis, et exactus ſum patria. Hanc eius humilitatem etiam hiſtoria docet. Nam ſine calceis, et abſconditus, et lacrymans incedebat. * *Collocauit me in obſcuris, ſicut mortuos ſeculi.* * Nam nihil differo a mortuo in tenebris detento, eie-

1) ὧν. Cod. 1. præm. δι'. 2) Ibid. ἱκετεῦσαι, adſcripta tamen altera lectione.

eiectus et in desertis locis degere coactus. 4. *Et anxius est super me spiritus meus.* Propterea magno mœrore et tristitia affectus sum. *Spiritum* enim hoc loco animam vocat. *In me turbatum est cor meum.* Omnes, inquit, cogitationes meæ tumultu et perturbatione plenæ sunt. 5. *Memor fui dierum antiquorum, meditatus sum in operibus tuis, et in factis manuum tuarum meditabar.* Animo, ait, consideraui, a quot calamitatibus maiores nostros liberaueris, et expugnabiles inimicis esse non siueris: et recordatus sum gestorum Abrahami, et Isaaci, et Iacobi, et Iosephi, et Mosis, et consolationem hinc cepi. 6. *Expandi manus meas ad te.* Hoc est, cum omni alacritate preces effudi. *Anima mea sicut terra sine aqua tibi.* Sic autem tuum sitio auxilium, veluti arida terra imbrem exspectat. 7. *Velociter exaudi me Domine, defecit spiritus meus.* Magnitudinem mœroris per hæc expressit: nam valde dolentium propria est hæc affectio. *Non auertas faciem tuam a me, et similis ero descendentibus in lacum.* Nam si auersatus fueris meas preces ob peccatum, subito morte mulctabor: mortem enim *lacum* tropice vocauit. Nam quemadmodum is, qui in lacu detentus est, non potest sine adiutoribus euadere: sic fieri non potest, vt mortuus in vitam redeat, nolente Deo. 8. *Auditam fac mihi misericordiam tuam, quia in te speraui.* Tuam, inquit, benignitatem indica mihi,

ἐληλαμένος καὶ ἐν ἐρήμοις χωρίοις διάγειν ἠναγκασμένος. δ΄. Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου. Τουτέστι χάριν ἀθυμίας πολλῆς, καὶ ἀχθηδόνος ἐμπέπλησμαι· πνεῦμα γὰρ ἐνταῦθα τὴν ψυχὴν καλεῖ. Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Πάντες, φησὶν, οἱ λογισμοί μου ταραχῆς καὶ ζάλης ἐπλήσθησαν. ε΄. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Ἔλαβόν φησιν εἰς διάνοιαν, ὅσων τοὺς ἡμετέρους προγόνους ἠλευθέρωσας συμφορῶν, καὶ εὐχειρώτους γενέσθαι τοῖς πολεμίοις οὐκ εἴασας· καὶ ἀνεμνήσθην τῶν κατὰ τὸν Ἀβραάμ, τῶν κατὰ τὸν Ἰσαάκ, τῶν κατὰ τὸν Ἰακώβ, 1) τῶν κατὰ τὸν Ἰωσήφ, τῶν κατὰ τὸν Μωσέα· καὶ ψυχαγωγίαν ἐντεῦθεν ἔλαβον. ϛ΄. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Ἀντὶ τοῦ, σὺν πάσῃ προθυμίᾳ τὴν ἱκετείαν ἐποιησάμην. Ἡ ψυχή μου, ὡς γῆ ἄνυδρός σοι. Οὕτω δέ σου διψῶ τὴν βοήθειαν, καθάπερ ἡ ἄνυδρος γῆ προσμένει τὸν ὑετόν. ζ΄. Ταχὺ εἰσάκουσόν μου Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Τὴν ὑπερβολὴν 2) ἀθυμίας διὰ τούτων ἐδήλωσε· τῶν γὰρ λίαν ἀχαλλόντων ἴδιον τόδε τὸ πάθος. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Εἰ γὰρ βδελύξαιό μου τὴν ἱκετείαν διὰ τὴν ἁμαρτίαν, παραυτίκα τῷ θανάτῳ παραδοθήσομαι· τὸν γὰρ θάνατον λάκκον ἐκάλεσε τροπικῶς. καθάπερ γὰρ τὸν καθειργμένον ἐν λάκκῳ οὐκ ἔστι δίχα τῶν ἐπικουρούντων διαφυγεῖν, οὕτως ἀναβιῶναι τὸν τεθνηκότα τῶν ἀδυνάτων, μὴ βουλομένου Θεοῦ. η΄. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Τὴν σήν μοι φιλανθρωπίαν, φησὶ, μήνυσον, καὶ

1) τῶν — Ἰωσήφ. Def. in Cod. A.

2) ἀθυμ. Ib. praem. τῆς.

καὶ τῆς ἐλπίδος μὴ διαμάρτοιμι· πρωΐ γὰρ ἐνταῦθα τὸ ταχέως ἐκάλεσε. Γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Γενοῦ μοι, φησὶ, ποδηγὸς, καὶ τὴν εὐθεῖαν πορείαν ὑπόδειξον. πάντων γὰρ 1) τῶν ἀνθρωπίνων τὴν ἐμὴν ἀποστήσας ψυχὴν, σοὶ ταύτην προσήγαγον Δέσποτα. θ΄. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε, 2) πρός σε κατέφυγον. Φεύγων τοὺς πολεμίους σὲ καταφυγῆς τόπον ἔχω, καὶ τῆς ἐκείνων ἐπιβουλῆς ἀπαλλαγῆναι παρακαλῶ. ι. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Ἱκετεύω δὲ 3) καὶ τοῦτο, μὴ μόνον εἰδέναι τί θέλεις, ἀλλὰ καὶ πράττειν ἃ 4) θέλεις· ἐπειδή σε Θεὸν ἐμαυτοῦ καὶ Δεσπότην ἐπίσταμαι. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν 5) γῇ εὐθείᾳ. Καὶ ἐντεῦθεν τὴν ἀξίαν τοῦ πνεύματος ἐδιδάχθημεν. ὥσπερ γὰρ ὁ Θεὸς ἀγαθὸς, οὕτω καὶ τὸ πνεῦμα ὠνόμασαι ἀγαθόν· καὶ καθάπερ τὸν Θεὸν ὁδηγῆσαι αὐτὸν ἱκέτευσεν, οὕτω καὶ τῆς τοῦ πνεύματος ὁδηγίας ἀπολαῦσαι παρακαλεῖ, ὡς μηδὲν αὐτῷ φανῆναι πρόσαντες, μηδὲ δυσχερὲς, ἀλλ᾽ εὐθεῖαν τὴν ὁδὸν ὁδεύειν, καὶ λείαν, 6) καὶ πλάνης ἀπηλλαγμένην. ια΄. Ἕνεκεν τοῦ ὀνόματός σου Κύριε ζήσεις με. Σύ με προεβάλου βασιλέα· τῆς σῆς δὲ ψήφου καὶ χειροτονίας ἀπήλαυσα, καὶ δέδια μὴ παροφθεὶς ὑπό σου βλασφημίας πρόξενος τῷ σῷ ὀνόματι γένωμαι. μὴ εἰς τὴν ἐμὴν τοίνυν ἀποβλέψῃς ἀξίαν, ἀλλὰ διὰ τὴν τοῦ σοῦ ὀνόματος εὐφημίαν μετάδος μοι τῆς 7) σωτηρίας. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Ἐμοὶ γὰρ καὶ τοῖς πολεμίοις δικάσας, δικαίως

et de spe ne decidam. Nam *mane* hoc loco pro *celeriter* dixit. *Notam fac mibi Domine viam, in qua ambulem, quia ad te leuaui animam meam.* Esto mihi, inquit, dux, rectumque iter mihi ostende. Ab omnibus enim rebus humanis meam abducens animam, eam tibi Domine adduxi. 9. *Eripe me de inimicis meis, Domine, ad te confugi.* * Fugiens hostes, te refugii locum habeo, et vt ab illorum insidiis liberer precor. 10. *Doce me facere voluntatem tuam, quia Deus meus es tu.* Ceterum obsecro, vt non modo sciam quid velis, verum etiam vt faciam quae velis, quoniam te Deum meum et Dominum scio. *Spiritus tuus bonus deducet me in terram rectam.* Hinc etiam spiritus dignitatem didicimus. Sicut enim Deus bonus, sic etiam Spiritus nominatus est bonus: et quemadmodum Deum obsecrauit vt ipsum deduceret, sic etiam precatur, vt Spiritus sancti ductum consequatur, vt nihil ipsi arduum et difficile appareat, sed rectam viam, et planam, et ab errore liberam sequatur. 11. *Propter nomen tuum Domine viuificabis me.* Tu regem me creasti, tuum autem suffragium et inaugurationem sum consecutus: et timeo, ne a te despectus, auctor sim vt tuum nomen male audiat. Ne igitur ad meam dignitatem respicias, sed ob celebritatem nominis tui salutem mihi imperti. *In aequitate tua educes de tribulatione animam meam.* Nam cum me et hostes iudicaueris, iuste a ca-

1) τῶν ἀνθρ. Cod. 1. ἀνθρώπων. 2) πρός. In Textu τῶν ο΄. praecedit ὅτι. 3) καί. Cod. 1. πρὸς. 4) θέλεις. Ibid. θέμις. 5) γῇ. Cod. varic. τῇ. 6) καί. Abest a Cod. 1. 7) σωτ. Ib. praem. σῆς.

a calamitatibus ab illis irrogatis me liberabis. 12. *Et in misericordia tua disperdes inimicos meos: et perdes omnes qui tribulant animam meam, quoniam ego seruus tuus sum.* Hoc etiam in centesimo trigesimo quinto psalmo dixit, *a*) Qui percussit Aegyptum cum primogenitis eorum, quoniam in aeternum misericordia eius. Et hoc in loco ait, In misericordia tua disperdes inimicos meos Nam misericordia erga eum adhibita, qui iniuria afficitur, iniuria afficienti interitum infligit. Sic etiam optimus agricola radicitus quidem spinas excidit, irrigat autem et colit plantas.

τῶν ὑπ᾽ ἐκείνων ἐπαγομένων ἀπαλλάξεις με συμφορῶν. ιβ΄. Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί. Τοῦτο καὶ ἐν τῷ ΡΛΕ΄ ἔφη ψαλμῷ, τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· καὶ ἐνταῦθα ἔφη, 1) ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. ὁ γὰρ περὶ τὸν ἀδικούμενον ἔλεος ἐπάγει τῷ ἀδικοῦντι τὸν ὄλεθρον· οὕτω καὶ γεωργὸς ἄριστος πρρόῤῥιζον μὲν τὰς ἀκάνθας ἐκτέμνει, ἄρδει δὲ καὶ γεωργεῖ τὰ φυτά.

INTERP. PS. CXLIII.

1. Dauidi. In nonnullis exemplaribus inscriptioni hoc additum inueni, *Contra Goliath.* Neque autem in Hebraïco exemplari, nec apud alios Interpretes, nec apud Septuaginta inueni in Hexaplo. Ceterum hoc habet argumentum. * Gentium, quae in Iudaeos post reditum e Babylone consurrexerunt, multi prophetae mentionem faciunt: sed copiosius quam alii diuinus Ezechiel. Dicit autem haec cum multis aliis: *b*) A diebus plurimis praeparaberis, et venies ad terram, quae euersa est gladio, et congregata est de populis multis, in terram Hierosolymae, quae fuit deserta iugiter. Et ipsi ex gentibus egressi sunt, et habitabunt in pace omnes ipsi. Et adscendes quasi imber, et venies quasi tempestas, et quasi nubes, vt operias terram, et cades, tu, et omnia

ΕΡΜΗΝ. ΤΟΥ ρμγ΄. ΨΑΛΜΟΥ.

α΄. 2) Τῷ Δαβίδ. 3) Ἐν ἐνίοις τῶν ἀντιγράφων τῇ ἐπιγραφῇ προσκείμενον εὗρον, πρὸς τὸν Γολιάθ. οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς, οὔτε μὴν παρὰ τοῖς ἑβδομήκοντα εὗρον ἐν τῷ ἑξαπλῷ. ἔχει δὲ ὑπόθεσιν ταύτην. τῶν ἐπαναστάντων Ἰουδαίοις ἐθνῶν, μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, πολλοὶ τῶν προφητῶν ἐμνημόνευσαν· πλατύτερον δὲ τῶν ἄλλων ὁ θεῖος Ἰεζεκιήλ. λέγει δὲ καὶ 4) ταῦτα μεθ᾽ ἑτέρων πολλῶν· ἀφ᾽ ἡμερῶν πλειόνων ἑτοιμασθήσῃ, καὶ ἥξεις εἰς γῆν τὴν ἀπεστραμμένην ἀπὸ μαχαίρας, ἠθροισμένην ἀπὸ λαῶν πολλῶν, ἐπὶ γῆν Ἰερουσαλὴμ, ἣ ἐγένετο ἔρημος δι᾽ ὅλου· καὶ αὐτοὶ ἐξ ἐθνῶν ἐξεληλύθασι, καὶ 5) κατοικήσουσιν ἐπ᾽ εἰρήνης πάντες αὐτοί· καὶ ἀναβήσῃ ὡς ὑετὸς, καὶ ἥξεις ὡς καταιγὶς, καὶ ὡς νεφέλη, καλύψαι τὴν γῆν, καὶ 6) πέσῃ σὺ, καὶ πάντες οἱ

1) ἐν — σου. Def. in Cod. 1. 2) Τῷ. Ib. praem. Ψαλμός. 3) Ἐν — ἑξαπλῷ. Idem Scholion exstat in Edit. rom. et apud MONTF. in Hexapl. ad h. l. 4) ταῦτα. Cod. 1. ἐνταῦθα. 5) Ib. κατοικοῦσιν. 6) Ib. πεσῇ.

a) Ps. 135, 10. *b*) Ezech. 38, 8. 9.

αἱ περί σε, καὶ ἔθνη πολλὰ μετά σου. εἶτα μετὰ πολλὰ διδάσκει καὶ τοῦ θανάτου τὸν τρόπον· καὶ συγκαλέσω ἐπ᾽ αὐτὸν φόβον μαχαίρας εἰς πάντα τὰ ὄρη μου, λέγει Ἀδωναῒ Κύριος· μάχαιρα ἀνθρώπου ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ ἔσαι, καὶ κρινῶ αὐτὸν ἐν θανάτῳ, καὶ ἐν αἵματι, καὶ ὑετῷ κατακλύζοντι, καὶ λίθοις χαλάζης· καὶ πῦρ καὶ θεῖον βρέξω ἐπὶ αὐτοὺς, καὶ ἐπὶ πάντας τοὺς μετ᾽ αὐτοῦ, καὶ ἐπὶ ἔθνη πολλὰ τὰ μετ᾽ αὐτοῦ. ἔξεσι δὲ τῷ βουλομένῳ ταῦτα μαθεῖν ἀκριβέστερον ἐντυγχάνοντι τῇ προφητείᾳ. ταῦτα καὶ οὗτος ὁ ψαλμὸς προθεσπίζει· κλῖνον γὰρ 1) οὐρανοὺς Κύριε, καὶ κατάβηθι· ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται· ἄστραψον ἀστραπὴν σου, καὶ σκορπιεῖς αὐτούς· ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς. σαφέστερον δὲ ταῦτα ἡ κατὰ μέρος ἑρμηνεία διδάξει. Εὐλογητὸς Κύριος 2) ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον. Ἄρτι γὰρ ἀπὸ Βαβυλῶνος ἐπανελθόντες, καὶ ὅπλων καὶ περιβόλων ἐστερημένοι, διὰ τῆς θείας ῥοπῆς τῶν ἐπανελθόντων περιεγένοντο δυσμενῶν. 3) ἁρμόττει δὲ καὶ ἡμῖν τὰ εἰρημένα. τῆς γὰρ τοῦ διαβόλου τυραννίδος ἀπαλλαγέντες, ὑπὸ τοῦ Θεοῦ πολεμεῖν ἐδιδάχθημεν· τὰς χεῖρας μὲν, ἐργαζόμενοι δικαιοσύνην· διὰ δὲ τῶν δακτύλων, τοῖς μετώποις ἐπιτιθέντες τοῦ σαυροῦ τὴν σφραγῖδα. β΄: Ἔλεός μου, καὶ καταφυγή μου, 4) ὑπερασπιστής μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου, καὶ ἐπ᾽ 5) αὐτῷ ἤλπισα. Ἀπὸ τῶν πραγμάτων τὰς προσηγορίας ἐποιήσα-

agmina tua, et gentes multæ tecum. Deinde post multa docet etiam mortis modum. Et conuocabo aduersus eum in cunctis montibus meis timorem gladii, ait Adonaï Dominus. Gladius hominis contra fratrem eius erit, et iudicabo ipsum in morte, et in sanguine, et imbre inundante, et lapidibus grandinis. Ignem et sulphur pluam super eum, et super omnes, qui sunt cum eo, et super gentes multas, quæ cum eo sunt. Licebit autem ei, qui accuratius hæc discere volet, prophetiam ipsam legere. Hæc et hic psalmus vaticinatur: Inclina enim cælos Domine, et descende, tange montes, et fumigabunt: emitte fulgura tua, et dissipabis eos, emitte sagittas tuas, et conturbabis eos. Planius autem hæc singularum partium interpretatio docebit. *Benedictus Dominus Deus meus, qui instruit manus meas ad prælium, digitos meos ad bellum.* Nam nuper e Babylone reuersi, et muris ac armis priuati, per diuinum auxilium inuadentibus hostibus superiores fuerunt. Sane etiam nobis conueniunt ea quæ dicta sunt. Nam a diaboli tyrannide liberati, a Deo pugnare docti sumus: manibus quidem iustitiam operantes, et per digitos crucis signum frontibus imponentes. 2. *Misericordia mea, et refugium meum, susceptor meus, et liberator meus, protector meus, in ipso speraui.* Ab euntibus appellationes desumsit.

1) οὐρ. In Cod. 1. sequ. σου. 2) ὁ Θεός μου. *Hebr.* petra mea. 3) ἁρμόττει — σφραγῖδα. Similia ex ORIG. habet CORD. l. c. p. 771. 4) ὑπερασπ. μου. In Cod. 1. ponitur post ῥύστης μου, vt in Textu τῶν ό. 5) Rec. lectio h. l. est αὐτῷ.

sit. Tu enim, inquit, *misericordia mea* es, a te enim misericordiæ fontes accepi. Tu es *refugium meum:* nam ad te confugiens seruatus sum. Tu es *susceptor meus:* tuum enim auxilium consecutus, hostes superaui. * Tu es *liberator * meus, et protector meus.* Tu enim me bello petitum muniuisti, et obsessum liberasti: in te igitur firmam spem figam. *Qui subdit populum meum sub me.* Hoc Zorobabeli congruit, et Iosuæ sacerdoti: hi enim tunc populum regebant. 3. *Domine quid est homo, quia innotuisti ei? aut filius hominis, quia reputas eum?* Pro *innotuisti*, Symmachus *cognosceris* interpretatus est. Magnopere, ait, immensam tuam benignitatem admiror: quod cum Deus sis, omniumque opifex, talem de huiusmodi vili animali curam geras. Deinde naturæ imbecillitatem ostendit. 4. *Homo vanitati similis factus est, dies eius sicut vmbra prætereunt.* Theodotio, Homo, inquit, exhalationi similis est; Symmachus, vapori. Nam instar vaporis conglobati et dissoluti, hominum natura facile corrumpitur, et vmbræ instar horum vita incedit: quoniam sic tibi caduci homines curæ sunt. 5. *Domine inclina cælos tuos, et descende.* Hominum more locutus est, non cælo diuinam naturam circumscriptam esse sciens, sed implorans adiutorem ad hostium supplicium. *Tange montes, et fumigabunt.* Hoc enim in Sinaï monte factum est. *Nam mons*, ait, *fumabat.* 6. *Fulgura emitte*

το. σὺ γάρ φησιν ἔλεός μου· παρά σου γὰρ ἐδεξάμην τὰς τοῦ ἐλέους πηγάς. σὺ καταφυγή μου· πρός σε γὰρ 1) καταφυγὼν διεσώθην. σὺ ἀντιλήπτωρ μου· τῆς γὰρ σῆς ἀπολαύσας ῥοπῆς, κρείττων ἐγενόμην τῶν πολεμίων. σὺ ῥύστης μου, καὶ ὑπερασπιστής μου. σὺ γάρ με καὶ περιέφραξας πολεμούμενον, καὶ ἐῤῥύσω πολιορκούμενον. τὴν εἰς σὲ τοίνυν ἐλπίδα χήσω βεβαίαν. Ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ. Τοῦτο τῷ Ζοροβάβελ ἁρμόττει, καὶ Ἰησοῦ τῷ ἱερεῖ. οὗτοι γὰρ ἡγοῦντο τοῦ λαοῦ τηνικαῦτα. γ'. Κύριε τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν; Ἀντὶ τοῦ ἐγνώσθης, γνωρίζῃ ὁ Σύμμαχος ἡρμήνευσε. σφόδρα, φησὶν, ἄγαμαι τὴν ἄμετρόν σου φιλανθρωπίαν, ὅτι Θεὸς ὢν, καὶ τῶν ἁπάντων δημιουργὸς, τοσαύτην τοῦ εὐτελοῦς τούτου ζώου κηδεμονίαν ποιῇ· εἶτα τῆς φύσεως τὸ ἐπίκηρον δεικνύει. δ'. Ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν. Ὁ Θεοδοτίων, ἄνθρωπός φησιν ἀτμίδι ὡμοιώθη· ὁ δὲ Σύμμαχος, ἀτμῷ· ἀτμοῦ 2) γὰρ δίκην συνισταμένου καὶ διαλυομένου ῥαδίως φθείρεται τῶν ἀνθρώπων ἡ φύσις, καὶ σκιᾶς τούτων ὁ βίος παραπλησίως ὁδεύει· ἐπειδὴ 3) οὕτω μέλει σοι τῶν ἐπικήρων ἀνθρώπων. ε'. Κύριε κλῖνον οὐρανούς σου, καὶ κατάβηθι. Ἀνθρωπίνως τοῖς λόγοις ἐχρήσατο, οὐκ οὐρανῷ περιγεγραμμένην τὴν θείαν φύσιν εἰδὼς, ἀλλ' εἰς τιμωρίαν 4) τῶν πολεμίων καλῶν τὸν ἐπίκουρον. Ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται. Τοῦτο γὰρ καὶ ἐν τῷ Σινᾶ ἐγένετο ὄρει. τὸ γὰρ ὄρος φησὶν ἐκαπνίζετο. ς'. Ἄστραψον

ἀστρα-

1) Cod. 1. καταφεύγων. 2) γάρ. Cod. 1. δέ. 3) οὕτω. Ib. præm. τοίνυν. 4) τῶν πολεμ. Def. in Cod. 1.

ἀστραπὴν, καὶ σκορπιεῖς αὐτοὺς, ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς. Εὐκτικῶς μὲν σχηματίζει τοὺς λόγους· προλέγει δὲ τὰ ἐσόμενα, ἃ 1) διὰ τοῦ προφήτου Ἰεζεκιὴλ προείρηκεν ὁ Θεός· οὕτω γὰρ ἐκείνους ἅπαντας κατανάλωσεν. ζ'. Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους. Διδάσκων ὡς 2) ἀρκεῖς νεύων παρασχεῖν τοῖς αἰτοῦσι τὴν σωτηρίαν. χεῖρα δὲ τὴν ἐνέργειαν ἐκάλεσεν, ὡς πολλάκις εἰρήκαμεν. Ἐξελοῦ με, καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν. Πολλὰ ὕδατα τὸ πλῆθος 3) πολεμίων ἐκάλεσεν. οὕτω καὶ ἐν τῷ ΡΚΓ' ἔφη ψαλμῷ, 4) χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, 5) τὸ ὕδωρ τὸ ἀνυπόστατον. καὶ διδάσκων ὅτι τροπικῶς τοὺς ἐχθροὺς ὕδατα ἐκάλεσεν, ἐπήγαγεν· Ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ἀλλοτρίους δὲ αὐτοὺς, οὐχ ὡς ἀλλοφύλους, ἀλλ' ὡς δυσσεβεῖς προσηγόρευσεν. η'. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα. Βλασφημίαις, φησὶ, Δέσποτα 6) τῆς σῆς ἐχρήσαντο δόξης. Καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Τοῖς δὲ λόγοις συμβαίνει τὰ πράγματα. ὥσπερ γὰρ τοῖς λόγοις βλασφημοῦσιν, οὕτω τοῖς ἔργοις ἀδικοῦσιν. αὕτη γὰρ αὐτῶν ἡ δεξιὰ οὐδὲν ἐργάζεται δεξιὸν, ἀλλ' ἀδικίας πέφηνεν ὄργανον. θ'. Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι. Οὐκ ἔσομαι γὰρ ἀγνώμων τῆς σωτηρίας τυχὼν, ἀλλὰ τοῖς συνήθεσιν ὀργάνοις χρησάμενος τὸν χαριστήριον ὕμνον ἐκτίσω. ι'. Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν. Οὕτω γὰρ 7) φησι, καὶ τοὺς ἡμετέρους προγόνους ὑπὸ σοῦ τὴν βασιλείαν ἐγχειρισθέντας

corusca, et dissipabis eos: emitte sagittas tuas, et conturbabis eos. Optando sermonem format. Prædicit autem futura, quæ per prophetam Ezechielem Deus prædixit. Sic enim illos omnes consumsit. 7. *Emitte manum tuam ex alto.* Docens, te solo nutu posse salutem præbere petentibus. *Manum* autem vim agendi appellauit, sicut sæpe diximus. *Eripe me, et libera me de aquis multis. Multas aquas* dixit hostium multitudinem. Sic etiam in centesimo vigesimo tertio psalmo ait, a) Torrentem pertransiuit anima nostra, aquam intolerabilem. Et docens, se per similitudinem hostes aquas vocasse, subdidit: *Ex manu filiorum alienorum.* Alienos vero illos, non tanquam alienigenas, sed tanquam impios vocauit. 8. *Quorum os locutum est vanitatem.* * Blasphemiis, inquit, Domine, aduersus gloriam tuam vsi sunt. *Et dextera eorum, dextera iniquitatis.* Verbis autem respondent opera. Sicut enim verbis blasphemis detestantur, sic operibus iniuria afficiunt. Ipsa enim eorum dextera nihil dexterum efficit, sed iniustitiæ instrumentum est. 9. *Deus canticum nouum cantabo tibi, in psalterio decachordo psallam tibi.* Non enim salutem adeptus ingratus ero, sed vsitatis musicis instrumentis gratiarum actionis hymnum offeram. 10. *Qui dat salutem regibus.* Sic enim, inquit, et maiores nostros, quibus a te commissum fuerat regnum, seruasti,

1) διά. In Cod. 1. præm. καί. 2) Ibid. ἀρκεῖ. 3) πολεμ. Ibid. præm. τῶν. 4) Ib. χειμάῤῥουν. 5) τὸ ὕδωρ. Ib. præm. ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν. 6) τῆς. Cod. 1. præm. κατά. 7) φησί. Abest a Cod. 1.

a) Ps. 123, 4. 5.

ſeruaſti, et inuadentium hoſtium victores reddidiſti, Dauidem, Ioſaphatum, Ezechiam, et ſi quis alius tuum implorauit auxilium. *Qui redemit Dauidem ſeruum ſuum.* Nam propter fœdera cum illis inita omnem de nobis curam geris. *De gladio maligno* 11. *Eripe me, et erue me de manu filiorum alienorum. Gladium malignum* furorem et feritatem irruentium vocauit: eosdem vero filios alienos, tanquam impios. *Quorum os locutum eſt vanitatem, et dextera eorum; dextera iniquitatis.* Eiusdem ſermonis repetitione non fruſtra vſus eſt: ſed eorum felicitatem narraturus, prauitatis accuſationem inſtituit, Deum ad opem ferendam excitans. Iſti enim, ait, ſic te conuiciis obruentes, et cum iniuſtitia et malitia viuentes, ſecundis ventis feruntur, et a te bonorum affluentiam accipientes, iniquitatis viaticum felicitatem habent. 12. *Quorum filii ſicut nouellæ plantationes conſtabilitæ in iuuentute ſua.* Multos et bonos filios conſecuti ſunt, et a ſuis filiis circumdantur, nouellas plantas imitantes. *Filiæ eorum compoſitæ, circumornatæ vt ſimilitudo templi.* Non modo enim naturæ pulchritudo ornat ipſas, ſed etiam ab arte magnopere decorantur, vt ſimiles ſint templis ornatis ad idolorum honorem. Ceterum huiusmodi eſt fucus et ars meretricia. 13. *Promptuaria eorum plena ſunt, et copioſe produ-*

διέσωσας, καὶ τῶν πολεμίων ἐπαναστάντων νικηφόρους ἀπέφηνας, τὸν Δαβὶδ, τὸν Ἰωσαφὰτ, τὸν Ἐζεκίαν, καὶ εἴ τις ἕτερος τὴν σὴν ἐπικουρίαν 1) ἐζήτησεν. Τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ. Διὰ γὰρ τὰς πρὸς ἐκείνους συνθήκας πᾶσαν ἡμῶν κηδεμονίαν ποιῇ. Ἐκ ῥομφαίας πονηρᾶς. ια. Ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ῥομφαίαν πονηρὰν τῶν ἐπελθόντων τὸ μανικὸν καὶ θηριῶδες ἐκάλεσε· τοὺς δὲ αὐτοὺς καὶ υἱοὺς ἀλλοτρίους, ὡς δυσσεβεῖς. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Τῇ ταυτολογίᾳ οὐ μάτην ἐχρήσατο· ἀλλὰ τὴν εὐημερίαν αὐτῶν διηγεῖσθαι μέλλων, τὴν τῆς πονηρίας κατηγορίαν ἀνέλαβεν, εἰς ἐπικουρίαν τὸν Θεὸν διεγείρων. οἱ γὰρ οὕτως σε, φησὶ, βλασφημοῦντες, καὶ ἀδικίᾳ καὶ πονηρίᾳ συζῶντες, ἐξ οὐρίων φέρονται, καὶ παρὰ σου δεξάμενοι τῶν ἀγαθῶν τὴν ἀφθονίαν, ἐφόδιον ἔχουσι τῆς ἀδικίας τὴν εὐπραξίαν. ιβ. 2) Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα 3) ἡδρυμένα ἐν τῇ νεότητι αὐτῶν. Ἀπήλαυσάν φησιν πολυπαιδίας καὶ εὐπαιδίας, καὶ ὑπὸ τῶν υἱῶν κυκλοῦνται, νεοθαλῆ μιμούμενοι φυτά. Αἱ θυγατέρες αὐτῶν 4) κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ. Οὐ μόνον γὰρ αὐτὰς τῆς φύσεως ὡραΐζει τὸ κάλλος, ἀλλὰ καὶ ἐξ ἐπιτεχνήσεως πολὺν περίκεινται κόσμον· ὡς ἀπεικάζεσθαι τοῖς ἐπὶ τιμῇ τῶν εἰδώλων κεκαλλωπισμένοις ναοῖς. τοιοῦτον δέ ἐστι τὸ κομμωτικὸν καὶ ἑταιρικόν. ιγ. Τὰ 5) ταμιεῖα αὐτῶν πλήρη, 6) ἐξερευγόμενα

1) Cod. 1. ἐζήτησεν. 2) Ὧν — αὐτῶν. *Hebr.* Quoniam filii noſtri. 3) ἡδρυμ. *Hebr.* educati. Quidam libri veteres habent ἱδρυμένα, alii ἡδρυμμένα vel ἡνδρυμμένα. 4) κεκαλλ. περικεκ. *Hebr.* ſicut anguli quaſi exciſæ. 5) Rec. lectio h. l. eſt ταμιεῖα. 6) ἐξερ. — τοῦτο. *Hebr.* producentia de ſpecie ad ſpeciem.

μενα ἐκ τούτου εἰς τοῦτο. Ὅταν γὰρ ἴδωσιν ὑπὲρ τὴν χρείαν τὰ δοχεῖα πεπληρωμένα, εἰς ἕτερα πάλιν τὰ περιττὰ μεταφέρουσι. κατ᾽ ἐκεῖνον τὸν λέγοντα, καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. Τὰ πρόβατα αὐτῶν 1) πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν. ιδ᾽. Οἱ βόες αὐτῶν παχεῖς. Πίονα δὲ αὐτῶν καὶ πολύγονα τὰ κτήνη. Οὐκ ἔστι 2) κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς 3) πλατείαις αὐτῶν. Ὁ δὲ Σύμμαχος οὕτως, 4) οὔτε διακοπὴ, οὔτε ἐκφορὰ, οὔτε κωκυτὸς ἐν ταῖς πλατείαις αὐτῶν. οὕτω δὲ καὶ οἱ ἄλλοι ἑρμηνευταί. διὰ 5) γὰρ πολλὴν τὴν εὐθηνίαν, καὶ τῶν ἀγαθῶν τὴν ἀφθονίαν, ἐν τρυφῇ καὶ γέλωτι διατελοῦσι, τῶν 6) πονηρῶν οὐ δεχόμενοι πεῖραν. ταῦτα καὶ ἐν τῷ ἑβδομηκοστῷ καὶ δευτέρῳ ἔφη ψαλμῷ, ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν· ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται. εὑρίσκομεν δὲ καὶ παρὰ τοῖς ἄλλοις προφήταις συνῳδὰ τούτοις πολλά· ἀλλὰ πάντες ἐπιφέρουσι τῶν ἀμφισβητουμένων τὴν λύσιν. τοῦτο δὲ καὶ ἐνταῦθα πεποίηκεν ὁ θεῖος Δαβίδ. ἐπήγαγε γάρ· ιε᾽. 7) Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι, μακάριος ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ. Οἱ γὰρ τῆς ἀληθείας ἀμύητοι οὐκ ἐπίστανται τῶν πραγμάτων διακρίνειν τὴν φύσιν, ἀλλὰ τρυφῇ, καὶ πλούτῳ, καὶ δυναστείᾳ τὴν εὐκληρίαν ὁρίζονται, καὶ

cunt nunc hoc, nunc illud. * Cum * enim viderint cellas supra vsum plenas, rursus in alias transferunt superuacua, secundum illum qui dicit, a) Destruam horrea mea, et maiora ædificabo. *Oues eorum fœtosæ, abundantes in egressibus suis.* 14. *Boues eorum crassi.* Porro eorum animalia pinguia et fœcunda sunt. *Non est ruina maceriæ, neque transitus, neque clamor in plateis eorum.* Symmachus autem sic, Nec fractura, nec funeris elatio, nec luctus in plateis eorum. Sic etiam alii interpretes. Nam per multam felicitatem, et bonorum affluentiam, in deliciis, et in risu degunt, neque vllas aduersitates experiuntur. Hæc et in septuagesimo secundo ait psalmo, b) Quia non est renutatio in morte eorum, et firmamentum in plaga eorum. In laboribus hominum non sunt, et cum hominibus non flagellabuntur. Ceterum apud alios prophetas multa his consonantia inuenimus: sed omnes dubiorum solutionem inferunt. Hoc sane hîc etiam diuinus Dauid fecit. Infert enim: 15. *Beatum dixerunt populum, cui hac sunt, beatus populus, cuius Dominus Deus eius est.* Nam veritatis expertes nesciunt rerum naturam discernere, sed deliciis, et opibus, et potentia felicitatem metiuntur, et qui

1) πολυτόκα — αὐτῶν. *Hebr.* multiplicantes se per millenas, immo per decies millenas in plateis nostris. 2) κατάπτωμα φραγμοῦ. *Hebr.* ruptura s. clades. 3) πλατ. Ita in edit. *ald.* et *compl.* legi obseruat BOSIVS. Rec. lectio est ἐπαύλεσιν. *Hebr.* in plateis nostris. 4) οὔτε. Cod. 1. præm. καί. MONTF. in Hexapl. ad h. l. pro οὔτε habet οὐκ ἔστι. 5) γὰρ πολλὴν τήν. Cod. 1. τὴν πολλήν. 6) πονηρῶν. Ibid. λυπηρῶν. 7) Ἐμακ. τὸν λαόν. *Hebr.* O beatum populum eum.

a) Luc. 12, 18. b) Ps. 72, 4. 5.

qui his perfruuntur, felices et beatos nuncupant. Virtutis autem studiosi, cum diuinam sapientiam acceperint, populum a te gubernatum beatum esse dicunt, et toti vitæ tuam curam præferunt. Huiusmodi beatitudines etiam Dominus nos docuit. Beati, inquit, a) pauperes spiritu, beati qui esuriunt et sitiunt iustitiam, et beati qui lugent, et, beati qui persecutionem patiuntur propter iustitiam, talium enim est regnum cælorum. Qui autem vitæ delicias eligunt, his parum temporis perfruentes, ex breuibus deliciis diuturnum dolorem percipient.

τοὺς τούτων ἀπολαύοντας ζηλωτοὺς ἀποκαλοῦσι, καὶ μακαρίους. οἱ δὲ μύσαι τῆς ἀρετῆς τῆς θείας σοφίας μετειληφότες, τὸν ὑπό σου προμηθούμενον λαὸν μακαρίζουσι, καὶ τοῦ βίου παντὸς τὴν σὴν προτιμῶσι κηδεμονίαν. τοὺς τοιούτους ἡμᾶς μακαρισμοὺς καὶ ὁ Κύριος ἐξεπαίδευσε· μακάριοι, λέγων, οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, καὶ μακάριοι οἱ πενθοῦντες, καὶ μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. οἱ δὲ τοῦ βίου τὴν ἡδονὴν προαιρούμενοι, πρὸς ὀλίγον ταύτης ἀπολαύσαντες, τὴν μακρὰν ὀδύνην ἐκ τῆς βραχείας τρυγήσουσιν ἡδονῆς.

INTERP. PSALMI CXLIV.

ΕΡΜΗΝ. ΤΟΥ ρμδ' ΨΑΛΜΟΥ.

1. Laudatio Dauidi. Propositum psalmi inscriptio indicat. Adhortatur enim, vt * Deum vniuersorum laudemus, Dei potentiæ, et magnificentiæ, et regni, et maiestatis reminiscentes. Alios etiam huiusmodi psalmos gratia spiritus fecit, ad grati animi officium illum populum excitans. Habet porro prædictionem de gentium vocatione et diuina cognitione. Hic autem hymnus per literarum seriem compositus est, et per eiusdem sermonis repetitionem prophetæ desiderium docet. *Exaltabo te o Deus mi, rex mi, et benedicam nomini tuo in seculum, et in seculum seculi.* Natura quidem Deus altissimus est, et minime adscititiam habet altitudinem. Hoc vero prædicant pietatis alumni, nesciosque edocent.

α'. Αἴνεσις τῷ Δαβίδ. Δηλοῖ καὶ ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ τὸν σκοπόν· ὑμνεῖν γὰρ παρακελεύεται τὸν τῶν ὅλων Θεὸν, τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ μεγαλουργίας, καὶ βασιλείας, καὶ μεγαλοπρεπείας μεμνημένους. πεποίηκε δὲ καὶ ἑτέρους τοιούτους ψαλμοὺς ἡ χάρις τοῦ πνεύματος, εἰς εὐγνωμοσύνην 1) τὸν λαὸν ἐκεῖνον 2) διεγείρουσα. ἔχει δὲ καὶ πρόῤῥησιν τῆς τῶν ἐθνῶν κλήσεώς τε καὶ ἐπιγνώσεως. κατὰ στοιχεῖον δὲ καὶ οὗτος ὁ ὕμνος σύγκειται, καὶ διὰ τῆς ταυτολογίας διδάσκει τοῦ προφήτου τὸν πόθον. Ὑψώσω σε ὁ Θεός μου, 3) βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Φύσει μὲν ὕψιστος ὁ Θεὸς, καὶ οὐκ ἐπείσακτον ἔχει τὸ ὕψος· κηρύττουσι δὲ τοῦτο τῆς εὐσεβείας οἱ τρόφιμοι, καὶ τοὺς ἀγνοοῦντας διδάσκουσι. τοιοῦτον

1) τόν. Cod. 1. præm. καί. 2) διεγ. Ibid. præm. καὶ ἡμᾶς. 3) βασιλεύς. Ib. præm. ὁ, vt in Textu τῶν ό.

a) Matth. 5, 3. seqq.

αὐτόν ἐστι τὸ ὑπὸ τοῦ Χριστοῦ ἐν τοῖς εὐαγγελίοις εἰρημένον· πάτερ ἐδόξασά σου τὸ ὄνομα 1) ἐν τῇ γῇ. καὶ μετ᾽ ὀλίγα διδάσκει ὡς οὐ δόξαν 2) ἔδωκεν αὐτῷ, ἣν μὴ πρότερον εἶχεν, ἀλλ᾽ ἣν εἶχεν ἐγύμνωσεν. ἔφη γάρ, ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις. οὕτω καὶ ὁ πατὴρ τῷ υἱῷ οὐκ ἔδωκε δόξαν ἣν μὴ πρότερον εἶχεν· ἀλλ᾽ ἣν εἶχε τοὺς ἀγνοοῦντας ἐδίδαξε· δόξασόν με γάρ φησιν σὺ πάτερ τῇ δόξῃ, ᾗ εἶχον παρά σοι, πρὸ τοῦ τὸν κόσμον γενέσθαι. οὐ τοίνυν ἔλαβεν ὃ μὴ εἶχεν, ἀλλ᾽ ὃ εἶχε δῆλον τοῖς οὐκ εἰδόσιν ἐγένετο. καὶ ἐνταῦθα τοίνυν ὁ προφήτης οὐχ ὑψηλὸν ποιεῖν τὸν Θεὸν ἐπαγγέλλεται, ἀλλὰ τὸ ὕψος αὐτοῦ τοῖς ἀνθρώποις ὡς οἷόν τε δεικνύναι· καὶ τὸν ἁπάντων Θεόν, καὶ Θεὸν καὶ βασιλέα ἴδιον ὀνομάζει, ὑπὸ τοῦ φίλτρου τοῦτο ποιεῖν προαγόμενος. β΄. Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀεί σε, φησίν, ὑμνῶν διατελέσω, καὶ οὐδεμίαν ἡμέραν ἄμοιρον ἐάσω τῆς ὑμνῳδίας. γ΄. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Ἐπειδὴ πᾶν μέγεθος αἰσθητὸν μήκει, καὶ πλάτει, καὶ βάθει μετρούμενον δείκνυται μέγα, εἰκότως ἐπήγαγεν, ὅτι τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, ἵνα καὶ ἀσώματον δείξῃ, καὶ ἀπερίγραφον τὸν ὑμνούμενον. μέγαν μὲν γὰρ αὐτόν φησιν οἶδα, οὐ μὴν ἐφικτόν, 3) οὔτε μὴν μετρητόν. οὔτε γὰρ ἀρχήν, οὔτε τέλος τοῦ μεγέθους εὑρίσκω. ἄπειρον γὰρ τοῦτο, καὶ πᾶσαν ὑπερβαῖνον κατάληψιν. δ΄. Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. Ἐντεῦθεν τῶν

Tale est illud a Christo in sacris euangeliis dictum, a) Pater glorificaui nomen tuum in terra. Et paulo post docet, illum non gloriam dedisse ei, quam prius non habebat, sed quam habebat ignorantibus demonstrasse. Ait enim, Manifestaui nomen tuum hominibus. Sic etiam Pater filio non dedit gloriam, quam prius non habebat, sed quam habebat inscios docuit. Glorifica enim me, inquit, b) tu pater, claritate, quam habebam apud te, priusquam mundus fieret. Non igitur assumsit quod non habebat, sed quod habebat planum ignorantibus factum est. Hoc igitur in loco etiam propheta non altum Deum se effecturum promittit, sed eius altitudinem hominibus ostensurum, quoad fieri potest. Et omnium Deum, et Deum et regem proprium nominat, amoris vi ad hoc faciendum impulsus. 2. *Per singulos dies benedicam tibi, et laudabo nomen tuum in seculum, et in seculum seculi.* Semper te, inquit, celebrabo, et nullum diem laudis expertem sinam. 3. *Magnus Dominus, et admodum laudabilis, et magnitudinis eius non est finis.* Quoniam omnis magnitudo sensibilis, si longitudinem, et latitudinem, et profunditatem metiaris, ostenditur magna, merito subdidit, *Magnitudinis eius non est finis:* vt eum, qui celebratur, incorporeum et incircumscriptum esse demonstret. Nam magnum quidem ipsum, inquit, noui, non tamen comprehendi posse, nec mensurari. Neque enim principium, neque finem magnitudinis inuenio: hæc enim infinita est, et omnem mentis captum transscendit. 4. *Generatio et generatio laudabit opera tua, et potentiam tuam pronunciabunt.* Deinceps gentium præ-

1) Cod. 1. ἐπὶ τῆς γῆς. 2) Ib. δέδωκεν. 3) οὔτε μήν. Ib. οὐδέ.

a) Ioh. 17, 4. 6. b) Ib. vers. 5.

præcinit diuinam cognitionem. Non solum enim, inquit, nos qui ex Israële descendimus, per hanc generationem te benefactorem laudabimus, sed etiam alia generatio, ecclesia nimirum ex gentibus, operum tuorum magnificentiam prædicabit. 5. *Magnificentiam gloriæ sanctitatis tuæ loquentur, et mirabilia tua narrabunt.* Natura eius qui laudatur prophetæ vires superat. Nam dignas et naturæ aptas appellationes inquirens, deinde assequi non valens, multa in vnum nomina connectit, sanctitatis gloriam et magnificentiam appellans. Hæc igitur præcinit ab alia generatione prædicanda esse. 6. *Et virtutem terribilium tuorum dicent et magnitudinem tuam narrabunt.* Videtur quidem tautologia vti, diuersa tamen significat. Nam *mirabilia* dicit, miracula in quorundam beneficium edita: *virtutem* autem *terribilium*, magna opera ob aliorum supplicia peracta. Verbi gratia, quod per diuinum Mosen Aegypto varia flagella inflixerit, in illis virtus terribilium intelligenda est: quod in solitudine manna populo suppeditauerit, et coturnices quasi reti complexus sit, et terram aridam inundauerit, hæc in admirationem gratorum hominum linguas impulerunt. Hanc etiam diuinus apostolus diuisionem obseruauit. Ait enim, a) a Spiritu sancto data fuisse, non modo charismata sanationum, verum etiam operationes virtutum. Et vocat charismata sanationum, claudorum cursum, et ægrotantium

ἐθνῶν προεκήρυξε τὴν θείαν ἐπίγνωσιν. οὐ γὰρ μόνον, φησὶν, ἡμεῖς, οἱ ἐξ 1) Ἰσραὴλ, κατὰ τήνδε τὴν γενεὰν σε τὸν εὐεργέτην ὑμνήσομεν, ἀλλὰ καὶ ἑτέρα γενεὰ, ἡ ἐξ ἐθνῶν ἐκκλησία, τῶν ἔργων σου τὴν μεγαλεργίαν κηρύξει. ε΄. 2) Τὴν μεγαλοπρέπειαν τῆς δόξης 3) τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. Νικᾷ τοῦ προφήτου τὴν δύναμιν τοῦ ὑμνουμένου ἡ φύσις. ἀξίας γὰρ ἐπιζητῶν καὶ 4) προσφυεῖς προσηγορίας, εἶτα διαμαρτάνων, πολλὰ κατὰ ταυτὸν ἐπιπλέκει ὀνόματα, ἁγιωσύνης δόξαν καὶ μεγαλοπρέπειαν ὀνομάζων. ταῦτα μέν τοι προλέγει ὑπὸ τῆς ἑτέρας κηρυχθήσεσθαι γενεᾶς. ς΄. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου 5) διηγήσονται. Δοκεῖ μὲν 6) ταυτολογίᾳ κεχρῆσθαι, διάφορα δὲ ὅμως σημαίνει. θαυμάσια μὲν γὰρ λέγει, τὰ ἐπ' εὐεργεσίαις τινῶν γινόμενα θαύματα· δύναμιν δὲ φοβερῶν, τὰς ἐπὶ τιμωρίᾳ ἑτέρων δειχθείσας μεγαλουργίας· οἷον διὰ τοῦ θεσπεσίου Μωϋσοῦ τῇ Αἰγύπτῳ παντοδαπὰς ἐπήγαγε μάστιγας. ἐκεῖνα νοητέον δύναμιν φοβερῶν. ἐν τῇ ἐρήμῳ μάννα ἐκόμισε τῷ λαῷ, καὶ ὀρτυγομήτρας ἐπέδησε, καὶ τὴν ἄνυδρον ἐπέκλυσε· ταῦτα εἰς θαῦμα τῶν εὐγνωμόνων τὰς γλώττας ἐκίνησε. ταύτην καὶ ὁ θεῖος ἀπόστολος ἐποιήσατο τὴν διαίρεσιν. ἔφη γὰρ, ὑπὸ τοῦ παναγίου πνεύματος δεδόσθαι, οὐ μόνον χαρίσματα ἰαμάτων, ἀλλὰ καὶ ἐνεργήματα δυνάμεων. καὶ καλεῖ μὲν χαρίσματα ἰαμάτων, τῶν χωλῶν τὸν δρόμον, καὶ τῶν ἀῤῥώστων τὴν ὑγίειαν,

1) Ἰσραὴλ. Cod. 1. ἐθνῶν. 2) Τήν. In Textu τῶν ό. præm. Καί. 3) τῆς — διηγήσονται. *Hebr.* maiestatis tuæ, et verba s. opera mirabilia tua narrabo. 4) προσφυεῖς. Cod. 1. προφανεῖς τάς. 5) διηγήσονται. *Hebr.* narrabo eam. 6) Cod. 1. ταυτολογίαις.

a) 1 Cor. 12, 9. 10.

ὑγίειαν, καὶ τῶν νεκρῶν τὴν ἀνάστασιν, καὶ ὅσα τοιαῦτα. ἐνεργήματα δὲ δυνάμεων, τὴν τοῦ Ἐλυμᾶ τυφλότητα, 1) τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας τὸν θάνατον, τοὺς τῷ Σατανᾷ παραδοθέντας, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. ζ'. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Βούλεται μὲν ὁ προφήτης τῆς θείας ἀγαθότητός τε καὶ δυνάμεως ὑποδεῖξαι τὸν πλοῦτον· ἀνθρωπίνῃ δὲ χρησάμενος γλώττῃ, καὶ τυχεῖν οὐ δυνάμενος τοῦ ποθουμένου, πλείονα πάλιν συνάπτει ὀνόματα, καὶ προλέγει τῆς γενεᾶς τῆς ἐσομένης τὸ εὔγνωμον, ὅτι τοῖς θείοις ἐντρυφῶσα λογίοις, καθάπερ τινὰς ἐρυγὰς προσφέρει τὴν τῆς θείας φιλανθρωπίας διήγησιν. τοῦτο μέν τοι καὶ ὁ θεῖος ἀπόστολος ὑπομένει, καὶ ἀξίως οὐ δυνάμενος διηγήσασθαι τὰ θεῖα, διὰ πλειόνων ὀνομάτων τοῦτο 2) πειρᾶται. τὸν ὑπερβάλλοντα γάρ φησι πλοῦτον τῆς χάριτος αὐτοῦ. ἀλλαχοῦ δὲ τὴν ἧτταν ὁμολογεῖ, ὡς ἀνεξερεύνητα λέγων τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; η'. Οἰκτίρμων, καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος, καὶ πολυέλεος. Τὸ αὐτὸ καὶ ἐνταῦθα πάλιν ὁ προφήτης ὑπέμεινεν. εἰς νοῦν γὰρ λαβὼν, ὅπως τῶν ἀνθρώπων τὴν φύσιν διέπλασεν, ὅσης τιμῆς τε καὶ προμηθείας ἠξίωσεν, ὅτι πᾶσαν τὴν ὁρωμένην κτίσιν αὐτοῖς προσφέρειν τὴν χρείαν ἐνομοθέτησεν, ὅτι καθ' ἑκάστην ἡμέραν πλημμελούντων ἀνέχεται, καὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς,

salutem, et mortuorum resurrectionem, et alia huiusmodi. *Operationes vero virtutum,* a) cæcitatem Elymæ, b) Ananiæ et Sapphiræ mortem, c) eos qui Satanæ traditi fuerunt, vt discerent non blasphemare. 7. *Memoriam abundantiæ suauitatis tuæ eructabunt, et iustitia tua exultabunt.* Vult quidem propheta diuinæ bonitatis et potentiæ ostendere diuitias: humana vero vsus lingua, et quod desiderat assequi nequiens, plurima rursus congerit nomina, et prædicit futuræ generationis gratum animum, * fore vt, cum diuinis oraculis perfrui licuerit, veluti quosdam ructus diuinæ benignitatis narrationem proferat. Hoc igitur et diuinus apostolus patitur, et cum digne non possit narrare res diuinas, per plura nomina hoc tentat. Abundantes enim, inquit, d) diuitias gratiæ eius. Et alibi, se victum esse confitetur, Quam incomprehensibilia, inquiens, e) sunt iudicia eius, et inuestigabiles viæ eius? 8. *Miserator, et misericors Dominus, patiens, et admodum misericors.* Idem etiam hoc in loco rursus propheta passus est. In memoriam enim reuocans, quomodo hominum naturam formauerit, et quanto honore et cura eam dignatus fuerit, et quomodo omnibus creaturis, quæ sub adspectum cadunt, vt ipsi vsum necessarium afferant, præceperit, et quomodo quotidie peccantes ferat, et oriri faciat solem suum super bonos et malos, et

1) τοῦ. Cod. 1. præm. καί. 2) πειρᾶται. Ibid. præm. κοινῶν.

a) Act. 13, 11. b) Act. 5, 5. 10. c) 1 Tim. 1, 20. d) Rom. 2, 4. e) Rom. 11, 33.

et pluat ſuper iuſtos et iniuſtos, non ſolum miſericordem vocat, ſed etiam clementem, et patientem, et admodum miſericordem. Nam immenſa vtens bonitate, a) longe fecit a nobis iniquitates noſtras, quantum diſtat ortus ab occidente: et b) ſic dilexit mundum vt filium ſuum vnigenitum daret pro ipſo. 9. *Suauis Dominus vniuerſis, et miſerationes eius ſuper omnia opera eius.* Non enim de Iudaeis modo curam geſſit, verum etiam in omnes homines benignitatem profudit. Non ſolum autem homines, ſed etiam animalia ratione carentia curat, et omnibus neceſſaria ſubminiſtrat. 10. *Confiteantur tibi Domine omnia opera tua, et ſancti tui benedicant tibi.* Non ea quae anima carent Deum laudant, neque ferae rationis expertes vocem rationis compotem emittunt: ſed per iſta, qui rationis participes, Deique ſtudioſi ſunt, hymnorum cantum componunt. Singula enim intuentes eorum, quae ab ipſo facta ſunt, et ſapientiae magnificentiam obſeruantes, in laudes linguam impellunt. 11. *Gloriam regni tui dicent, et potentiam tuam loquentur.* 12. *Vt notam faciant filiis hominum potentiam tuam, et gloriam magnificentiae regni tui.* * Hi enim ſanctiſſimi viri, ſiue prophetae, ſiue apoſtoli, et qui poſt illos praedicationis miniſterium acceperunt, ſempiternum regnum, et inexplicabilem potentiam omnes homi-

καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, οὐ μόνον οἰκτίρμονα καλεῖ, ἀλλὰ καὶ ἐλεήμονα, καὶ μακρόθυμον, καὶ πολυέλεον. ἀμετρήτῳ γὰρ χρώμενος ἀγαθότητι, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν, καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, καὶ ἠγάπησεν οὕτως τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ δοῦναι ὑπὲρ αὐτοῦ. θ'. Χρηστὸς Κύριος τοῖς 1) σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. Οὐ γὰρ μόνον Ἰουδαίων ἐποιήσατο πρόνοιαν, ἀλλὰ καὶ εἰς πάντας ἀνθρώπους τὴν φιλανθρωπίαν ἐξέχεεν. οὐκ ἀνθρώπων δὲ μόνον, ἀλλὰ καὶ τῶν ἀλόγων ἐπιμελεῖται, καὶ πᾶσι παρέχει τὰ πρόσφορα. ι'. Ἐξομολογησάσθωσάν σοι Κύριε πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. Οὐ τὰ ἄψυχα τὸν Θεὸν ὑμνεῖ, οὐδὲ τὰ ἄλογα φωνὴν ἀφίησι λογικήν· ἀλλὰ 2) καὶ διὰ τούτων οἱ λογικοὶ καὶ φιλόθεοι τὴν ὑμνῳδίαν ὑφαίνουσιν. εἰς ἕκαστον γὰρ ἀφορῶντες τῶν ὑπ' αὐτοῦ γεγενημένων, καὶ σοφίας τὴν μεγαλουργίαν θεώμενοι, εἰς δοξολογίαν κινοῦσι τὴν γλῶτταν. ια'. Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι. ιβ'. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων 3) τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας 4) τῆς βασιλείας σου. Οὗτοι γὰρ οἱ ὅσιοι, εἴτε προφῆται, εἴτε ἀπόστολοι, καὶ οἱ μετ' ἐκείνους τὴν τοῦ κηρύγματος διακονίαν 5) διαδεξάμενοι, τὴν αἰώνιον βασιλείαν, καὶ τὴν ἄρρητον δύναμιν πάντας ἀνθρώπους

1) σύμπασι. Haec lectio quae exſtat in edit. *ald.* et *compl.* reſpondet Textui hebr. Recepta autem lectio eſt ὑπομένουσι. 2) καί. Abeſt a Cod. 1. 3) τὴν δυναστείαν σου. *Hebr.* ſummum robur eius. 4) τῆς βασιλείας σου. *Hebr.* regni eius. Cod. 1. poſt σου addit λαλήσουσι. 5) Cod. 1. δεξάμενοι.

a) Pſ. 102, 12. b) Ioh. 3, 16.

ποις διδάξουσιν. οὐ γὰρ μόνοις Ἰουδαίοις, ἀλλὰ καὶ πάσῃ τῶν ἀνθρώπων τῇ φύσει τήνδε τὴν διδασκαλίαν προσοίσουσιν. ιγʹ. Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. 1) Ἀπέραντον ἔχεις τὸ κράτος, καὶ ἀΐδιον τὴν βασιλείαν, οὔτε ἀρξαμένην, οὔτε λήξουσαν. 2) Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Προλάμπει γὰρ τῶν λόγων ἀλήθεια, βεβαιουμένη τοῖς ἔργοις· καὶ ταῦτα δὲ τῷ δικαίῳ κοσμεῖται. ιδʹ. Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας 3) τοὺς κατερραγμένους. Οὐ γὰρ μόνον τῶν τῆς δικαιοσύνης τροφίμων ἐπιμελεῖται, ἀλλὰ καὶ τῶν ὀλισθαινόντων 4) καταρρηγνυμένων, καὶ τῆς ἁμαρτίας δεχομένων τὰ τραύματα. τοὺς μὲν γὰρ ἐρείδων, καταπεσεῖν οὐκ ἐᾷ· τοὺς δὲ πεσόντας ἀνίστησιν, ὀρέγων τὴν δεξιάν. ιεʹ. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Τὸ ἐλπίζουσιν ἐνταῦθα οὐκ ἐπὶ διαθέσεως τέθεικεν· οὔτε γὰρ οἱ δυσσεβείᾳ συζῶντες ταύτην ἔχουσι τὴν ἐλπίδα, οὔτε τῶν ἀλόγων τὰ γένη λογικὴν αἴσθησιν 5) ἔχει· ἀλλὰ διδάσκει ὡς ἕκαστον παρ' αὐτοῦ τὴν κατάλληλον ὑποδέχεται χρείαν. εἶτα καὶ τὴν εὐκολίαν ὑποδείκνυσι τῆς χορηγίας. ιςʹ. Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Ἅμα τε γὰρ βούλει, καὶ ἀπολαύει τῶν 6) σῶν χορηγουμένων ἕκα-

nes docebunt. Non enim Iudaeis solis, sed etiam toti hominum naturae hanc doctrinam afferent. 13. *Regnum tuum regnum omnium seculorum, et dominatio tua in omni generatione et generatione.* Nullo enim fine conclusum habes imperium, et aeternum regnum, neque incipiens, neque finiens. *Fidelis Deus in omnibus verbis suis, et sanctus in omnibus operibus suis.* Nam verborum veritas splendet effectibus confirmata, et hi iustitia ornantur. 14. *Suffulcit Dominus omnes, qui corruunt, et erigit omnes elisos.* Nam non modo iustitiae alumnorum curam gerit, sed etiam eorum, qui prolabuntur, et franguntur, et peccati vulnera recipiunt. Hos enim firmans cadere non permittit: eos vero qui ceciderunt erigit, dexteram porrigens. 15. *Oculi omnium in te sperant et tu das escam illorum tempore opportuno.* Hoc loco *sperant* non propter affectum posuit: neque enim qui impie viuunt hanc habent spem, nec genera animalium ratione carentium sensum rationis compotem habent: sed docet vnumquodque ab ipso congruentem vsum accipere. Deinde suppeditanti quoque facilitatem indicat. 16. *Aperis tu manum tuam, et imples omne animal beneplacito.* Simul enim et vis, et vnumquodque consequitur bona

1) Ἀπέραντον. In Cod. 1. sequ. γάρ. 2) Πιστὸς — ἔργοις αὐτοῦ. Totum hoc comma abest a Textu hebr. exstat autem in versione Syr. arab. et aethiop. 3) τοὺς κατερραγμένους. *Hebr*. incuruatos. Conf. Ps. 145, 8. 4) καταρρηγνυμένων. Cod. 1. praem. καί. 5) Ib. ἔχουσιν positum ante αἴσθησιν. 6) σῶν. Ibid. παρὰ σοῦ.

na quæ ſubminiſtras. Sicut enim nobis facile eſt contractos digitos extendere, et aperire manum: ſic tibi facile eſt puncto temporis bonorum affluentiam præbere. 17. *Iuſtus eſt Dominus in omnibus viis ſuis, et ſanctus in omnibus operibus ſuis.* Porro in omnibus tuis diſpenſationibus iuſtitia ſplendet. *Vias* enim diſpenſationes vocauit. 18. *Prope eſt Dominus omnibus inuocantibus eum, omnibus inuocantibus eum* * *in veritate.* * *Prope* non loci ſpatium ſignificat; natura enim vbique adeſt Deus. Nam *a*) in ipſo viuimus, et mouemur, et ſumus, ſecundum diuinum apoſtolum: ſed affectionem et ſtudium his verbis declarauit. Pulchra autem eſt additio *veritatis*. Non enim ſimpliciter inuocantibus adeſt, ſed iis qui in veritate hoc facere decreuerunt. Non enim omnis, inquit, *b*) qui dicit mihi, Domine Domine, intrabit in regnum Dei, ſed qui facit voluntatem patris mei, qui in cælis eſt. Ideo infert, 19. *Voluntatem eorum qui timent eum faciet, et deprecationem eorum exaudiet, et ſaluos faciet eos.* Qui diuinum habent timorem, prius Dei voluntatem faciunt. Quoniam igitur eorum propoſitum diuinæ voluntati reſpondet, neceſſario Dominus eorum voluntates perficit: nihil enim repugnans iis quæ vult volunt. 20. *Cuſtodit Dominus omnes qui diligunt eum, omnes vero peccatores perdet.* Oſtendit, quomo-

ϛον ἀγαθῶν· καθάπερ γὰρ ἡμῖν ῥᾴδιον τοὺς συνηγμένους ἐκτεῖναι δακτύλους, καὶ ἁπλῶσαι τὴν χεῖρα· οὕτω σοι εὐπετὲς ἐν ἀκαρεῖ παραχεῖν τῶν ἀγαθῶν τὴν φοράν. ιζ΄. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἐν ἁπάσαις δέ σου ταῖς οἰκονομίαις διαλάμπει τὸ δίκαιον. ὁδοὺς γὰρ τὰς οἰκονομίας ἐκάλεσεν. ιη΄. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, 1) πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Τὸ ἐγγὺς οὐ τοπικὸν σημαίνει διάστημα· φύσει γὰρ πανταχοῦ πάρεστιν ὁ Θεός· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν, κατὰ τὸν θεῖον ἀπόστολον· ἀλλὰ τὴν σχέσιν, καὶ τὴν διάθεσιν διὰ τούτων 2) ἐδήλωσε. καλὴ δὲ καὶ ἡ προσθήκη τῆς ἀληθείας. οὐ γὰρ τοῖς ἁπλῶς ἐπικαλουμένοις πελάζει, ἀλλὰ τοῖς ἐν ἀληθείᾳ τοῦτο δρᾷν προαιρουμένοις. οὐ πᾶς 3) γὰρ ὁ λέγων μοι, Κύριε Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· διὸ ἐπήγαγεν, ιθ΄. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν 4) εἰσακούσεται, καὶ σώσει αὐτούς. Οἱ τὸν θεῖον ἔχοντες φόβον πρότεροι ποιοῦσι τοῦ Θεοῦ τὸ θέλημα. ἐπειδὴ τοίνυν συμβαίνει αὐτῶν ὁ σκοπὸς 5) πρὸς τὸ θεῖον θέλημα, ἀναγκαίως αὐτῶν ὁ Δεσπότης πληροῖ τὰ 6) θελήματα. οὐδὲν γὰρ ἐναντίον οἷς βούλεται θέλουσιν. κ΄. Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Ἔδειξε πῶς δίκαιος

1) πᾶσι — αὐτόν. Deſ. in Cod. 1. 2) ἐδήλωσε. Ibid. additur κατὰ τὸν θεῖον ἀπόστολον. 3) γάρ. Ib. ſequ. φησί. 4) Rec. lectio h. l. eſt ἐπακούσεται. 5) Cod. 1. τῷ θείῳ θελήματι. 6) θελήματα. Ibid. αἰτήματα.

a) Act. 17, 28. *b*) Matth. 7, 21.

δίκαιος ὁ Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτȣ̃. ἴδιον γὰρ τȣ̃ δικαίȣ τὸ πρόσφορον ἀπονέμειν ἑκάϛῳ, οὗ δὴ χάριν τοὺς μὲν εὖ περὶ αὐτὸν διακειμένους φρουρεῖ, καὶ φυλάττει, καὶ τῶν ἐπιβούλων ἐλευθεροῖ· τȣ̀ς δὲ τὴν ἐναντίαν ἀσπαζομένους ὁδὸν τιμωρίαις ἐκδιδῶσιν. κα΄. Αἴνεσιν Κυρίȣ λαλήσει τὸ ϛόμα μȣ, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτȣ̃ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τȣ̃ αἰῶνος. Ἐγὼ μὲν οὖν φησὶ τόνδε τὸν ὕμνον συγγέγραφα. προσήκει δὲ ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν ἀεὶ τῇ δοξολογίᾳ γεραίρειν τὸν ποιητὴν, καὶ πρόσφορον σέβας τῷ θείῳ προσφέρειν ὀνόματι. ἐπισημήνασθαι δὲ προσήκει, ὡς καὶ ἐνταῦθα οὐκ Ἰȣδαίοις τὸν ὕμνον ἀπένειμεν, ἀλλὰ πᾶσαν σάρκα εἰς τὴν ὑμνῳδίαν ἐκάλεσε. δήλη τοίνυν ἡ πρόῤῥησις τῇ ἐκβάσει μαρτυρȣμένη. ἐν ἅπασι γὰρ τοῖς κατὰ τὴν οἰκȣμένην ἔθνεσι, κατὰ τὴν προφητείαν, ὁ τῶν ὅλων ὑμνεῖται Θεός.

do iustus sit Dominus in omnibus viis eius. Nam proprium iusti est, quod congruum est vnicuique tribuere. Propterea eos qui erga ipsum bene affecti sunt tuetur et custodit, et ab insidiatoribus liberat: eos vero, qui contrariam ingressi sunt viam, suppliciis afficit. 21. *Laudationem Domini loquetur os meum, et benedicat omnis caro nomini sancto eius in seculum, et in seculum seculi.* Ego igitur, inquit, hunc hymnum conscripsi. Conuenit autem toti hominum naturæ, semper laudibus opificem honorare, congruentemque cultum diuino nomini afferre. Notandum est autem, eum hic etiam non Iudæis hymnum tribuere, sed omnem carnem in hymnorum cantilenam vocasse. Manifesta est igitur vaticinatio, euentu confirmata. In omnibus enim per totum orbem terrarum gentibus secundum vaticinationem vniuersorum Deus laudatur.

ΕΡΜΗΝ. ΤΟΥ ρμε΄ ΨΑΛΜΟΥ.

α΄. Ἀλληλούϊα. 1) Ἐν ἐνίοις 2) ἀντιγράφοις πρόσκειται Ἀγγαίου καὶ Ζαχαρίου. τȣ̃το δὲ οὔτε παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις 3) εὗρον ἑρμηνευταῖς, οὔτε παρὰ τοῖς ἑβδομήκοντα εὗρον ἐν τῷ ἑξαπλῷ. ὑμνεῖν μὲν καὶ ȣ̃τος ὁ ψαλμὸς παρακελεύεται τὸν τῶν ὅλων Θεόν. τȣ̃το γὰρ καὶ ἡ ἐπιγραφὴ δηλοῖ. τὸ γὰρ ἀλληλούϊα αἰνεῖτε τὸν Κύριον ἑρμηνεύεται, ὡς πολλάκις εἰρήκαμεν. β΄. Αἴνει ἡ ψυχή μȣ τὸν Κύριον. Ἡ χάρις τȣ̃ πνεύματος πᾶσιν ἡμῖν παρεγγυᾷ,

INTERPR. PSALM. CXLV.

1. *Alleluia.* In nonnullis exemplaribus additum est, *Aggæi et Zachariæ.* Hoc vero nec apud Hebræum, nec apud alios * Interpretes, nec apud Septuaginta inueni in Hexaplo. Hortatur etiam hic psalmus, vt Deum vniuersorum laudibus prosequamur. Id enim inscriptio ipsa significat. Nam *Alleluia*, Laudate Dominum vertitur, vt sæpius diximus. 2. *Lauda anima mea Dominum.* Spiritus gratia nos omnes commonefacit, vt

1) Ἐν — ἑξαπλῷ. Idem Scholion leg. in edit. rom. et apud MONTF. in Hexapl. ad h. l. 2) Ib. τῶν ἀντιγράφων. 3) εὗρον. Abest a Cod. 1.

vt ad Dei laudes nos excitemus. *Laudabo Dominum in vita mea, psallam Deo meo quamdiu fuero.* In sexto dixit psalmo, a) Quoniam non est in morte qui memor sit tui, in inferno autem quis confitebitur tibi? Idcirco in vitæ tempore Deum laudare docemur, donec huiusce vitæ finem acceperimus. *Nolite confidere in principibus.* Bona admonitio. Neque enim principes semper imperant, sed ad certum tempus habent imperium, neque omnes principes iustitiam honorant. Vt autem vtrumque adsit, naturæ imbecillitas respicienda est. Hoc enim subdit. 3. *In filiis hominum, in quibus non est salus.* Inspice naturam, et ne sis potentia fretus. Homo enim b) vanitati similis factus est, et c) homo, sicut fœnum dies eius. 4. *Exibit spiritus eius, et reuertetur in terram suam.* Spiritum hoc in loco animam vocat. Hac vero emigrante, ad cognationem suam corpus reuertitur, secundum diuinam sententiam, d) Quoniam terra es, et ad terram reuerteris. *In illo die peribunt omnes cogitationes eius.* Nam anima separata, et corpore in puluerem dissoluto, inanes cogitationes ostenduntur. Hoc etiam per similitudinem Dominus nos docuit. Cum enim diuitem introduxisset, cuius ager vberrimos fructus reddiderat, in animo habentem destruere horrea, et maiora ædificare, subdidit, e) Stulte, hac nocte repetunt animam a te,

εἰς τὴν τοῦ Θεοῦ δοξολογίαν ἡμᾶς αὐτοὺς διεγείρειν. Αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἐν τῷ ἕκτῳ ἔφη ψαλμῷ, ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; τούτου χάριν κατὰ τὸν τῆς ζωῆς χρόνον ὑμνεῖν διδασκόμεθα τὸν Θεὸν, 1) ἕως ἂν τοῦδε τοῦ βίου τὸ πέρας δεξώμεθα. Μὴ πεποίθατε ἐπὶ ἄρχοντας. Ἀγαθὴ παραίνεσις. οὔτε γὰρ ἀεὶ οἱ ἄρχοντες ἄρχουσιν, ἀλλὰ πρόσκαιρον ἔχουσιν ἐξουσίαν, οὔτε πάντες οἱ ἄρχοντες τιμῶσι τὸ δίκαιον. ἵνα δὲ προσῇ καὶ ἀμφότερα, χρὴ τῆς φύσεως ἰδεῖν τὸ ἐπίκηρον. 2) τοῦτο γὰρ ἐπιφέρει. γ΄. 3) Ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Βλέπε τὴν φύσιν, καὶ μὴ θάῤῥει τῇ ἐξουσίᾳ. ἄνθρωπος γὰρ ματαιότητι ὡμοιώθη, καὶ ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ. δ΄. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Πνεῦμα ἐνταῦθα τὴν ψυχὴν καλεῖ. ταύτης δὲ ἐξιούσης, εἰς τὴν οἰκείαν συγγένειαν τὸ σῶμα χωρεῖ, κατὰ τὴν θείαν ἀπόφασιν, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ 4) αὐτοῦ. Τῆς γὰρ ψυχῆς ἀποζευχθείσης, καὶ τοῦ σώματος διαλυθέντος εἰς κόνιν, ἐδείχθη ματαία τῶν λογισμῶν ἡ φαντασία. τοῦτο καὶ διὰ τῆς παραβολῆς ἡμᾶς ὁ Κύριος ἐδίδαξεν. εἰσαγαγὼν γὰρ τὸν πλούσιον, οὗ ηὐφόρησεν ἡ χώρα, λογιζόμενον καταλῦσαι τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομῆσαι, ἐπήγαγεν· ἄφρον, 5) ταύτην τὴν νύκτα ἀπαιτοῦσι τὴν ψυχήν σου

ἀπό

1) ἕως — δεξώμεθα. Def. in Cod. 1. 2) τοῦτο γὰρ ἐπιφ. Def. ibid. 3) Ἐπὶ. In Textu τῶν ό. præm. καὶ. 4) Rec. lectio h. l. est αὐτῶν. 5) Cod. 1. ταύτῃ τῇ νυκτί.

a) Pſ. 6, 6. b) Pſ. 143, 4. c) Pſ. 102, 15. d) Geneſ. 3, 19. e) Luc. 12, 20.

ἀπό σου, ἃ δὲ ἡτοίμασας τίνι ἔσαι; καὶ τῶν ἄλλων δὲ ἀνθρώπων οἱ μὲν ἀρχὰς καὶ δυναστείας, οἱ δὲ κτήσεις ἀγρῶν καὶ οἰκοδομίας φαντάζονται· οἱ δὲ τὰς ἐν πολέμοις ὀνειροπολοῦσι νίκας, ἄλλοι δὲ τοῖς ἐχθροῖς τεκταίνουσιν ὄλεθρον· ἀλλ' ἐπιὼν ἐξαπιναίως ὁ θάνατος ἀτέλεστον τῶν λογισμῶν τὴν φαντασίαν ἐᾷ. οὕτω δείξας τῆς 1) ἐπ' ἀνθρώποις ἐλπίδος τὸ μάταιον, τῆς εἰς τὸν Θεὸν πεποιθήσεως τὸ ὀνησιφόρον ἐπιδείκνυσιν. έ. Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Θεὸν Ἰακὼβ οὐχ ἁπλῶς ὠνόμασεν. ἀλλ' ἀναμιμνήσκων ἡμᾶς πόσης προμηθείας ἀπήλαυσεν Ἰακὼβ πρὸς τὸν Θεὸν ἐλπίσας, καὶ οἵους καὶ ὅσους ἐδρέψατο τῆς ἐλπίδος καρποὺς, εἰς τὸν τούτου Θεὸν ἐλπίζειν παρεγγυᾷ. καὶ Κύριον αὐτὸν, καὶ Θεὸν ὀνομάζει, καὶ δι' ἀμφοτέρων κηρύττει τὸ δυνατόν. εἶτα ἐκ τῆς τῶν ποιημάτων δημιουργίας διδάσκει αὐτοῦ 2) τὴν ἀγαθότητα, καὶ τὴν δύναμιν. ϛ'. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Συντόμως ἅπασαν τὴν ὁρωμένην καὶ ἀόρατον τῷ λόγῳ περιέλαβε κτίσιν. οὐ γὰρ μόνον οὐρανοῦ, καὶ γῆς, καὶ θαλάσσης ἐμνήσθη, ἀλλὰ καὶ πάντων τῶν ἐν αὐτοῖς· ἐν οὐρανῷ δὲ ἄγγελοι, καὶ τῶν ἀοράτων ἡ φύσις, καὶ ἥλιος, καὶ σελήνη, καὶ τῶν ἀστέρων τὸ πλῆθος· ἐν γῇ δὲ καὶ θαλάσσῃ ἄνθρωποι, καὶ τῶν ἀλόγων τὰ γένη· τοσαύτη, φησὶ, τοῦ ποιητοῦ τῶν ὅλων ἡ δύναμις. βλέπεις 3) τοίνυν πόσον ἐστὶ τὸ διάφορον τῶν φθειρομένων 4) ἀρχόντων, καὶ τοῦ δημιουργοῦ τῶν ἁπάντων. οὕτω δείξας αὐ-

quæ vero congregaſti cuius erunt? Et ex aliis hominibus, hi quidem imperia et potentias, hi vero agrorum poſſeſſiones et ædificia cogitant, et alii victorias in bellis ſomniant, alii vero hoſtibus mortem ſtruunt: ſed irruens mors repentina, imperfectas cogitationes illorum facit. Sic oſtenſa vanitate ſpei, quæ in hominibus collocatur, vtilitatem ſpei in Deo fixæ demonſtrat. * 5. *Beatus, cuius adiutor Deus Iacobi, cuius ſpes in Domino Deo ipſius.* *Deum Iacobi* non temere vocauit: ſed reuocans nobis in mentem, quantam opem conſecutus fuerit Iacob, cum in Deo ſpes ſuas conſtituiſſet, et quales quantosque ſpei fructus perceperit, vt in Deo eius ſperemus commonefacit: et Dominum ipſum ac Deum nominat, et per vtrumque potentiam prædicat. Deinde ex ipſa operum creatione, eius bonitatem et potentiam docet. 6. *Qui fecit cælum et terram, mare, et omnia quæ in eis ſunt.* Breui totum mundum, qui conſpicitur, et qui minime conſpici poteſt, ſermone comprehendit. Nam non modo cæli, et terræ, et maris fecit mentionem, ſed etiam omnium, quæ in eis ſunt. In cælo autem ſunt angeli, et naturæ inuiſibiles, et ſol, et luna, et ſtellarum multitudo. In terra vero et mari, homines, et animalium ratione carentium genera. Talis, ait, vniuerſitatis conditoris eſt potentia. Cernis igitur, quantum differant caduci principes a rerum omnium opifice. Poſtquam ad hunc modum oſtendit ipſum rerum

1) ἐπ' ἀνθρώποις. Cod. 1. ἀνθρωπείας. 2) τήν. Cod. 1. præm. καί. 3) τοίνυν. Ib. φησί. 4) ἀρχόντων. Deſ. ibid.

rerum omnium conditorem, demonstrat ipsum curam gerere eorum, quæ fecit. 7. *Qui custodit veritatem in seculum, vindicat iudicium eorum qui iniuriam patiuntur, dat escam esurientibus.* Verax enim est ille qui pollicetur, et veri amans studiose promissa perficit. Adiuuat autem eos, qui iniuria afficiuntur, et iuste iudicat: præbet vero etiam omnibus esurientibus congruentem cibum. Hinc et beneficia in nos per incarnationem Saluatoris collata prædicit. 8. *Dominus soluit compeditos, Dominus sapientes reddit cæcos, Dominus erigit elisos.* Hæc etiam per prophetam Esaiam Deus vniuersorum prædixit. Cum enim dixisset, *a*) Constitui te lucem gentium, subdidit, Vt aperires oculos cæcorum, vt educeres e compedibus vinctos, et e domo carceris sedentes in tenebris. Et alibi ex persona Domini Christi ait, *b*) Spiritus Domini super me, eo quod vnxit me, ad euangelizandum pauperibus misit me, vt mederer contritis corde, et prædicarem captiuis indulgentiam, cæcis visus recuperationem. Et alibi, *c*) Tunc audient surdi verba libri, et qui sunt in tenebris, et in nube, oculi cæcorum videbunt. * *Dominus diligit iustos.* 9. *Dominus custodit aduenas.* Deus rerum omnium conditor cuilibet congruentia exhibet. Et iustis quidem, qui ipsum diligunt, paria rependit, paternumque amorem ostendit: eos vero, qui paternam impietatem fugerunt, et eum fide ad ipsum accesserunt, omni custodia et ope dignatur.

τὸν τῶν ὅλων δημιεργὸν, δείκνυσιν αὐτὸν καὶ προμηθούμενον ὧν ἐποίησεν. ζ΄. Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσιν. Ἀψευδὴς γάρ ἐςιν ὑπιχνέμενος, καὶ φιλαλήθης τὰς ἐπαγγελίας πληροῖ· ἐπαμύνει δὲ τοῖς ἀδικουμένοις, καὶ κρίνει δικαίως· παρέχει δὲ καὶ πᾶσι τοῖς πεινῶσι τὴν κατάλληλον τροφήν. ἐντεῦθεν καὶ τὰς διὰ τῆς ἐνανθρωπήσεως τῦ σωτῆρος ἡμῶν γεγενημένας εὐεργεσίας προλέγει. η΄. Κύριος λύει πεπεδημένες, Κύριος 1) σοφοῖ τυφλὲς, Κύριος ἀνορθοῖ κατερραγμένους. Ταῦτα καὶ διὰ Ἡσαΐε προφήτου προηγόρευσεν ὁ τῶν ὅλων Θεός. εἰρηκὼς γὰρ, δέδωκά σε εἰς φῶς ἐθνῶν, ἐπήγαγεν, ἀνοῖξαι ὀφθαλμὲς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένες ἐν σκότει. καὶ ἑτέρωθι ἐκ προσώπου ἔφη τῦ Δεσπότε τῦ Χριςῦ· πνεῦμα Κυρίε ἐπ' ἐμὲ, ὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέςαλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, τυφλοῖς ἀνάβλεψιν· καὶ ἀλλαχοῦ, τότε ἀκούσονται κωφοὶ λόγες βιβλίε, καὶ οἱ ἐν τῷ σκότει, καὶ οἱ ἐν τῇ ὁμίχλῃ, ὀφθαλμοὶ τυφλῶν ὄψονται. Κύριος ἀγαπᾷ δικαίους. θ΄. Κύριος φυλάσσει τοὺς προσηλύτες. Ἑκάςῳ τὰ κατάλληλα προσφέρει τῶν ὅλων ὁ Κύριος· καὶ τὲς μὲν ἀγαπῶντας αὐτὸν δικαίες τοῖς ἴσοις ἀμείβεται, καὶ ἀγάπην αὐτοῖς καὶ φιλοςοργίαν ἀντιδίδωσι πατρικήν· τὲς δὲ τὴν πατρῴαν φυγόντας ἀσέβειαν, καὶ μετὰ πίςεως αὐτῷ προσιόντας, πάσης ἀξιοῖ φυλακῆς τε καὶ προμηθείας. προσ-

1) σοφοῖ. *Hebr.* aperit, f. visui restituit.

a) Ef. 42, 6. b) Ib. c. 61, 1. c) Ib. c. 29, 18.

προσηλύτους γὰρ τοὺς ξένους καλεῖ. οὕτω καὶ ὁ μακάριος ἔφη Παῦλος, ὅτι ἦμεν ποτὲ χωρὶς Χριστοῦ ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν, τῆς ἐπαγγελίας 1) ἐλπίδα μὴ ἔχοντες· ἀλλ' οἱ ποτὲ ὄντες μακρὰν ἐγγὺς ἐγενήθημεν. Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Ἀπὸ τῆς καθόλου προνοίας ἐπὶ τὰ μερικὰ τὸν λόγον κατήγαγε, καί φησιν ὡς οὐδενὸς ἀμελεῖ τῶν ὅλων ὁ πρύτανις, ἀλλὰ καὶ τοὺς ἐρήμους ἀνθρωπίνης 2) κηδεμονίας πάσης ἀξιοῖ 3) ἐπιμελείας, καὶ τὰς κατὰ τούτων ἐπιβουλὰς διαλύει. ι. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου Σιὼν εἰς γενεὰν καὶ γενεάν. Αἰώνιον γὰρ ἔχει τὸ κράτος, καὶ τὴν βασιλείαν ἀΐδιον ὁ νῦν, ὦ Σιὼν, μόνης σου Θεὸς νομιζόμενος.

Proselytos enim aduenas vocat. Sic etiam beatus inquit Paulus, a) Eramus quondam sine Christo, alienati a conuersatione Israelis, et hospites testamentorum, promissionis spem non habentes: sed nos, qui aliquando longe remoti eramus, facti sumus propinqui. *Pupillum et viduam suscipiet, et vias peccatorum disperdet.* Ab vniuersali prouidentia ad singularia sermonem transfert, et ait, neminem ab vniuersitatis moderatore negligi: sed istum omni humano auxilio destitutos, omni cura dignari, omnesque insidias in hos comparatas dissoluere. *10. Regnabit Dominus in secula, Deus tuus o Zion in generationem et generationem.* Nam perenne habet robur, regnumque perpetuum is, qui nunc existimatur tui solius, o Zion, Deus.

ΕΡΜΗΝ. ΤΟΥ ρμϛ' ΨΑΛΜΟΥ.

α. 4) Ἀλληλούϊα. Ἐνταῦθα σαφῶς ἐδιδάχθημεν τοῦ ἀλληλούϊα τὴν ἑρμηνείαν. τὸ γὰρ αἰνεῖτε τὸν Κύριον ἀλληλούϊα ὁ Ἑβραῖος λέγει· ὁ δὲ Σύμμαχος καὶ ἀνερμήνευτον αὐτὸ εἴασε· λέγει δὲ οὕτως, ἀλληλούϊα, ὅτι ἀγαθὸς ψαλμός. ὁ δὲ Θεοδοτίων, αἰνεῖτε τὸν 5) Ἰά· αἰνεῖν καὶ οὗτος τοίνυν ὁ ψαλμὸς παρακελεύεται· προθεσπίζει δὲ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, καὶ τὴν μετὰ ταῦτα γενομένην τῆς Ἱερουσαλὴμ οἰκοδομίαν. οὐ γὰρ, ὡς Ἰουδαῖοι προσδοκῶσιν, αὖθις Ἱερουσαλὴμ οἰκοδομηθήσεται, ἀλλὰ τὴν ἤδη γεγενημένην ὑπὸ Ζοροβάβελ οἰκοδομίαν, ὁ προφητικὸς προθεσπίζει

INTERP. PSALMI CXLVI.

1. Alleluia. Hic manifesto discimus interpretationem vocis *Alleluia*. Laudate enim Dominum Alleluia Hebræus dicit: sed Symmachus hoc sine interpretatione reliquit, dicit autem sic, Alleluia, quoniam bonus est psalmus: Theodotio vero, Laudate Ia dixit. Vt laudemus igitur etiam hic psalmus nos adhortatur; prædicit autem reditum e Babylone, et factam postea Hierosolymæ instaurationem. Non enim, vt Iudæi exspectant, rursus Hierosolyma instaurabitur: sed diuinum oraculum illam ædificationem, quæ a Zorobabele iam facta est, vaticinatur.

1) ἐλπ. μὴ ἔχοντες. Def. in Cod. 1. 2) κηδεμ. Cod. 1. βοηθείας. 3) ἐπιμ. Ib. τημελείας. 4) Ἀλληλ. In Textu τῶν ό. sequ. Ἀγγαίου καὶ Ζαχαρίου. 5) Ἰά. Cod. 1. ὄντα.

a) Ephes. 2, 12. 13.

natur. *Laudate Dominum, quoniam bonus est psalmus, Deo nostra iucunda sit laudatio.* Vtilis, inquit, est hymnorum cantus, et bonorum est causa. At non hymnus Deo gratus est, sed laudantium propositum: ipse autem, cum re nulla egeat, gaudet hominum salute. * 2. *Aedificans Hierosolymam Dominus, dispersiones Israelis congregabit.* Et ideo, ait, ipsum laudare decet, quoniam et Hierosolymam euersam aedificabit, et captiuos abductos reditu dignabitur. Quod si non omnes reuersi sunt, non diuinus mentitus est sermo, sed illorum prauitas patefacta est. Ipse enim per Cyrum omnibus vt redirent iussit: isti vero repugnantem habentes mentem, peregrinam terram patriae praetulerunt. 3. *Qui sanat contritos corde, et alligat contritiones eorum.* Corporeis spiritualia coniunxit, et ostendit, Deum non modo captiuis libertatem donasse, verum etiam iis, qui peccati vulnera susceperant, sanitatem restituisse. 4. *Qui numerat multitudinem stellarum, et omnibus eis nomina imponit.* In omnibus Dei potentiam praedicat. *Qui numerat* hic cognitionem vocauit, et *astrorum nomina* astrorum differentias, et horum positionem, et ordinem, et habitum inter se. Non enim nominibus vtens vniuersorum Deus *stellas* vocat: hae quippe inanimae sunt, et rationis expertes. Homines autem, impia mente vtentes, ex fabulis ab ipsis confictis

λόγος. Αἰνεῖτε τὸν Κύριον, ὅτι 1) ἀγαθὸς ψαλμὸς, τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις. Ὀνήσιμός φησιν ἡ ὑμνῳδία, καὶ πρόξενος ἀγαθῶν· θυμήρης δὲ τῷ Θεῷ οὐχ ὁ ὕμνος, ἀλλὰ τῶν ὑμνούντων ὁ σκοπός. αὐτὸς δὲ ἀνενδεὴς χαίρει τῇ σωτηρίᾳ τῶν ἀνθρώπων. β΄. Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος, 2) τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει. Καὶ διὰ τοῦτό φησιν αὐτὸν ὑμνεῖσθαι προσήκει, ὅτι καὶ τὴν καταλυθεῖσαν Ἱερουσαλὴμ 3) οἰκοδομήσει, καὶ τοὺς δορυαλώτους γεγενημένους ἀξιώσει τῆς ἐπανόδου. εἰ δὲ μὴ πάντες ἐπανῆλθον, οὐχ ὁ θεῖος διεψεύσατο λόγος, ἀλλ' ἡ ἐκείνων ἠλέγχθη πονηρία. αὐτὸς μὲν γὰρ διὰ τοῦ Κύρου πᾶσιν ἐπανελθεῖν παρεγγύησεν, οἱ δὲ ἀντίτυπον ἐσχηκότες γνώμην, τὴν ἀλλοτρίαν ἀντὶ τῆς πατρίδος προείλοντο. γ΄. Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. Συνῆψε τοῖς σωματικοῖς τὰ πνευματικὰ, καὶ ἔδειξεν αὐτὸν οὐ μόνον τοῖς αἰχμαλώτοις τὴν ἐλευθερίαν δωρούμενον, ἀλλὰ καὶ τοῖς τὰ τῆς ἁμαρτίας τραύματα δεξαμένοις τὴν ἴασιν χαριζόμενον. δ΄. Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. Διὰ πάντων τοῦ Θεοῦ τὴν δύναμιν κηρύττει. 4) ὁ ἀριθμῶν δὲ ἐνταῦθα τὴν γνῶσιν ἐκάλεσε, καὶ ἄστρων δὲ ὀνόματα τὰς τῶν ἀστέρων διαφορὰς, καὶ τὴν τούτων θέσιν τε, καὶ διάταξιν, καὶ τὴν πρὸς ἄλληλα σχέσιν· οὐ γὰρ ὀνόμασι κεχρημένος ὁ τῶν ὅλων Θεὸς τοὺς ἀστέρας καλεῖ· ἄψυχα γὰρ ταῦτα, καὶ λόγου ἐστερημένα· ἄνθρωποι δὲ, ἀσεβεῖ γνώμῃ χρησάμενοι, ἀπὸ μύθων ὑπ' αὐτῶν πεπλασμένων ἔθεσαν

1) Rec. lectio h. l. est ἀγαθόν. 2) τάς. In Textu τῶν ὁ. praem. καί. 3) Cod. 1. ἀνοικοδομήσει, 4) ὁ ἀριθμῶν. Apud CORD. l. c. p. 810. leg. ἀριθμόν. Is vero haec ORIGENI tribuit.

ἔθεσαν τοῖς ἄστροις ὀνόματα. ε΄. Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. Ἀμέτρητα πάντα, καὶ τὸ μέγεθος, καὶ ἡ ἰσχὺς, καὶ ἡ αἴνεσις. ὡς χωροῦμεν δὲ ὅμως ὑμνοῦμεν. ϛ΄. Ἀναλαμβάνων πρᾳεῖς ὁ Κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς. Ὁ Σύμμαχος ἀνακτώμενος εἴρηκεν. καὶ τοῦτο δὲ τῆς θείας ἴδιον προμηθείας. τοὺς μὲν γὰρ δι' ἐπιείκειαν ὑπό τινων ἐπιβουλευομένους κηδεμονίας ἀξιοῖ· τοὺς δὲ ἀδίκως αὐτοῖς ἐπιόντας παραπέμπει θανάτῳ· καὶ τοὺς μὲν περιβλέπτους ποιεῖ καὶ περιφανεῖς· τῶν δὲ τὴν μνήμην παραδίδωσι λήθῃ. οὕτω τῶν ἁγίων ἀποστόλων ἀοίδιμος ὁ χορός· οὕτω πολυθρύλλητοι τῶν μαρτύρων οἱ δῆμοι· τῶν δὲ τούτοις πεπολεμηκότων ἡ μνήμη παραδέδοται λήθῃ. ζ΄. Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει· ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ. Ταύτην 1) τοίνυν εἰδότες τοῦ Θεοῦ τὴν ἀγαθότητα, καὶ σοφίαν, καὶ δύναμιν, ἄρχεσθε τῆς ὑμνῳδίας ὀργάνοις τοῖς συνήθεσι χρώμενοι. η΄. Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν. Ἀμφότερα καὶ τῆς δυνάμεως, καὶ τῆς ἀγαθότητος δείγματα. ὡς ἀγαθὸς μὲν γὰρ, καὶ φιλάνθρωπος, προμηθεῖται τῶν ἐπὶ γῆς· ὡς παντοδύναμος δὲ, μετέωρον φέρει τῶν ὑδάτων τὴν φύσιν, καὶ τοῦ οὐρανοῦ συγκαλύπτει τὴν θέαν, ὀροφόν τινα μέσον οὐρανοῦ καὶ γῆς διὰ τῶν νεφῶν τεκταινόμενος, καὶ ταῖς ὠδῖσι τούτων ἄρδων τὴν γῆν. εἶτα τὴν ἐντεῦθεν φυομένην δείκνυσι χρείαν. Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, 2) καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Οὐ γὰρ μόνον τὴν ὑπ' ἀνθρώπων γεωρ-

nomina stellis imposuerunt. *5. Magnus est Dominus noster, et magna virtus eius, et sapientiae eius non est numerus.* Immensa sunt omnia, et magnitudo, et robur, et laus: tamen vt possumus, laudamus. *6. Suscipiens mansuetos Dominus; humilians autem peccatores vsque ad terram.* Symmachus *reficiens* dixit. Et hoc est proprium diuinae prouidentiae, vt eos quidem, qui ob mansuetudinem a quibusdam insidias patiuntur, prouidentia dignetur: eos vero, qui iniuste ipsos inuaserint, morte mulctet. Et alios illustres ac spectabiles efficit, aliorum memoriam obliuioni tradit. Sic sanctorum apostolorum chorus celebris fuit: sic celeberrimi martyrum coetus. Eorum vero memoria, qui illos oppugnarunt, obliuione deleta est. *7. Praecinite Domino cum confessione, psallite Deo nostro cum cithara.* Hanc igitur scientes Dei bonitatem, et sapientiam, et virtutem, incipite hymnorum cantilenam vsitatis instrumentis vtentes. * *8. Qui operit caelum nubibus, et parat terrae pluuiam.* Vtraque sunt signa, et potentiae, et bonitatis. Nam vt bonus et benignus, eorum quae supra terram sunt curam gerit: vt omnipotens autem, aquarum naturam in sublime tollit, caelique adspectum operit, per nebulas fabricans veluti quoddam tectum inter caelum et terram, et harum partubus terram irrigans. Deinde fructum, qui hinc oritur, ostendit. *Qui producit in montibus foenum, et herbam seruituti hominum.* Nam non solum terram ab hominibus cultam

1) τοίνυν. Abest a Cod. 1. 2) καὶ — ἀνθρώπων. Des. in Textu hebr. et in Cod. alex.

tam irrigat, sed etiam montes et deserta loca, pabulum ex his ortum animalibus præbens. Et hoc quidem facit, vt beneficiis homines afficiat: animalia enim hominibus seruire iussit. 9. *Qui dat iumentis escam ipsorum, et pullis coruorum inuocantibus eum.* Non est rationis particeps coruorum natura, neque rationis ductu opificem inuocat, sed clamor ob necessitatem emissus petitionem imitatur. Hinc opinor etiam Dominum Christum, aliarum auium memoria præterita, coruorum meminisse, et discipulis dixisse, a) Respicite ad coruos, quia non seminant, neque congregant in horrea, et pater vester cælestis pascit illos. 10. *Non fortitudine equi delectabitur, nec in tibiis viri beneplacitum erit ei.* 11. *Beneplacitum est Domino in eis qui timent eum, et in eis, qui sperant super misericordia eius.* Non corporis robore, ait, et equestri arte, et pedum celeritate Deus delectatur, sed bonis actionibus oblectatur, quarum auctor est religio. Ceterum non modo horum studiose gerit curam, sed etiam illorum, qui in peccata prolapsi sunt, et pœnitentia vtuntur, et benignitatis spe confirmantur. Non solum enim perfectis virtutis athletis delectari Deum dicit, sed etiam his, qui diuinam exspectant misericordiam.

γουμένην ἄρδει γῆν, ἀλλὰ καὶ τὰ ὄρη, καὶ τὰς ἐρήμους χώρας, τὸν ἐκ τούτων φυόμενον χιλὸν προσφέρων τοῖς κτήνεσι. καὶ τοῦτο μὲν διὰ τὴν εἰς ἀνθρώπους εὐεργεσίαν ποιεῖ, τοῖς ἀνθρώποις γὰρ ὑπουργεῖν τὰ κτήνη προσέταξεν. θ΄. 1) Καὶ διδόντι κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. Οὐ λογικὴ τῶν κοράκων ἡ φύσις, οὐδ᾽ ὅτι λογικῶς ἐπικαλεῖται τὸν ποιητήν· ἀλλ᾽ ἡ διὰ τὴν χρείαν κραυγὴ μιμεῖται τὴν αἴτησιν. ἐντεῦθεν ἡγοῦμαι καὶ τὸν Δεσπότην Χριστὸν, τῶν ἄλλων πτηνῶν καταλιπόντα τὴν μνήμην, τῶν κοράκων μνησθῆναι, καὶ τοῖς μαθηταῖς εἰπεῖν, 2) ἀποβλέψατε εἰς τοὺς κόρακας, ὅτι 3) οὐ σπείρουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτούς. ι΄. Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. ια΄. Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν 4) τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ. Οὐ ῥώμῃ σώματός φησι, καὶ ἱππικῇ τέχνῃ, καὶ ταχύτητι ποδῶν ὁ Θεὸς ἐπιτέρπεται· 5) ἀλλὰ καλαῖς πράξεσιν, ὧν δημιουργὸς ἡ εὐλάβεια. οὐ μόνον δὲ τούτων προμηθεῖται σπουδαίως, ἀλλὰ καὶ τῶν περιπεπτωκότων ἁμαρτίαις, μεταμελείᾳ δὲ χρησαμένων, καὶ στηριχθέντων τῇ τῆς φιλανθρωπίας ἐλπίδι· οὐ γὰρ μόνον τοῖς τελείοις τῆς ἀρετῆς ἀθληταῖς ἔφη τὸν Θεὸν εὐδοκεῖν, ἀλλὰ καὶ ἐπὶ τοῖς τὸν θεῖον προσμένουσιν ἔλεον.

ΕΡΜΗΝ.

1) Καί. Abest a Cod. 1. 2) Cod. 1. ἐμβλέψατε. 3) Cod. 1. οὔτε. 4) τοῖς. In Textu τῶν ὁ. præm. πᾶσι. 5) ἀλλὰ καλ. πράξεσιν. Cod. 1. ἀλλ᾽ ἀγαθαῖς ἐπιτέρπεται πράξεσιν.

a) Luc. 12, 24.

ΕΡΜΗΝ. ΤΟΥ ρμζ΄ ΨΑΛΜΟΥ.

1) Ἀλληλούϊα. 2) Ὑμνεῖν καὶ ἐνταῦθα παρακελεύεται ὁ προφητικὸς λόγος· προλέγει δὲ καὶ τὴν μετὰ τὴν ἐπάνοδον γεγενημένην νίκην. πρὸς δὲ ταύτῃ, καὶ τὰ τῶν ἀποστόλων προθεσπίζει κηρύγματα, πᾶσαν ὅτι τάχιστα διαδραμόντα τὴν οἰκουμένην. ιβ΄. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σου Σιών. ιγ΄. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου. Διὰ τὴν ἄμαχον τοῦ Θεοῦ ῥοπὴν, καὶ τῶν πολεμίων ἀπαλλαγεῖσα, καὶ ἀπολιόρκητος ὦ Ἱερουσαλὴμ μείνασα, ὕμνοις ἀμείβου τὸν εὐεργέτην· Ἱερουσαλὴμ δὲ οὐ τὰς οἰκοδομίας καλεῖ, ἀλλὰ τοὺς ταύτης οἰκήτορας. Εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. Εὐπαιδίας γὰρ καὶ πολυπαιδίας εὐλογίαν λαβοῦσα εἰς πλῆθος ηὐξήθης. ιδ΄. Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην. Δεδώρηταί σοι καὶ πανταχόθεν εἰρήνην. ἐκδειματωθέντες γὰρ τῷ δέει τῶν ἀναιρεθέντων ἕτεροι πάλιν ἐπανελθεῖν οὐ τολμῶσιν. Καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. Ἐπέκλυσέ τε καὶ τοῖς ἀπὸ γῆς ἀγαθοῖς. στέαρ γὰρ πυροῦ τῶν καρπῶν τὴν ἀφθονίαν ἐκάλεσεν, ἀπὸ τοῦ μέρους τὸ πᾶν ὀνομάσας. πυρὸς γάρ ἐστιν ὁ σῖτος, στέαρ δὲ πυροῦ ὁ κάλλιστος ἄρτος. δεδήλωκε δὲ διὰ τούτου καὶ τοὺς ἄλλους καρπούς. ἀλλὰ ταύτης πάλαι τῆς προνοίας ἀπήλαυον Ἰουδαῖοι· κατὰ δὲ τοῦ σωτῆρος λυττήσαντες ἔρημοι πάντων ἐγένοντο τῶν ἀγαθῶν. διὰ τοῦτο καὶ ὁ προφητικὸς λόγος ταῦτα περὶ ἐκείνων διεξελθὼν, τῶν ἐθνῶν προθεσπίζει τὴν σωτηρίαν. ιε΄. Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. Λόγιον ἐνταῦθα εὐαγγελικὸν ἐκάλεσε κήρυγμα. τοῦ-

INTERP. PSALMI CXLVII.

Alleluia. Etiam hoc in loco sermo propheticus hortatur vt Deum laudemus. Prædicit autem etiam post obtentum *reditum* victoriam. Ac præterea prædicationes quoque apostolorum vaticinatur, quæ totum terrarum orbem quam celerrime percurrerunt. 12. *Lauda o Hierosolyma Dominum, lauda Deum tuum Zion.* 13. *Quoniam confortauit vectes portarum tuarum.* Per inexpugnabile Dei auxilium, et ab hostibus liberata, et non expugnata manens, o Hierosolyma, hymnos beneficii auctori repende. *Hierosolymam* autem non ædificia vocat, sed eius incolas. *Benedixit filiis tuis in te.* Nam benedictione accepta de procreandis liberis, et multis, in multitudinem aucta es. 14. *Qui ponit fines tuos pacem.* Vndique tibi pacem donauit. Exterriti enim eorum, qui in bello occubuerunt, metu, ceteri redire non iterum audent. *Et adipe frumenti satiat te.* Copiose etiam dedit tibi bona e terra orta. *Adipem* enim *frumenti* fructuum affluentiam vocauit, a parte totum vocans: nam *frumentum* est triticum, *adeps* autem *frumenti* est pulcherrimus panis. Per hunc autem fructus alios declarauit. Verum hac prouidentia olim Iudæi potiti sunt: post rabiem vero, qua in Saluatorem perciti fuerunt, omnibus bonis orbati sunt. Propterea sermo propheticus de illis hæc effatus, gentium vaticinetur salutem. 15. *Qui mittit eloquium suum terræ, velociter currit sermo eius.* *Sermonem* hoc loco Euangelii prædicationem vocauit. Hanc autem

1) Ἀλλ. In Textu τῶν ό. sequitur Ἀγγαίου καὶ Ζαχαρίου. 2) Ὑμνεῖν — οἰκουμένην. Ad ORIG. hæc referuntur apud CORD. l. c. p. 819.

autem non Iudæis solum, sed etiam gentibus omnibus misit. Euntes enim, inquit, a) docete omnes gentes. Ostendit vero quoque celeritatem cursus. Breui enim tempore totam terram et mare doctrina impleuerunt. Hoc præuidens propheta dicit, *Velociter currit sermo eius.* Id vero non nouum, nec supra fidem est, omnia enim diuinæ voluntati cedunt. Itaque aquarum naturam, cum vna sit, mox vt voluit, in infinitas species transfert. 16. *Qui dat niuem sicut lanam, nebulam sicut cinerem spargit.* 17. *Mittit crystallum suam sicut buccellas.* Nam ex vna aquarum natura fit et glacies solida et resistens, et nix rara et mollis, et lanæ fracturam imitans. Fit etiam puluis humidus: talis enim est nebulæ natura. *Coram frigore * eius quis consistet?* Aërem etiam facile immutat, et eum qui modo calidus erat, paulo post frigidum facit. 18. *Emittet verbum suum, et liquefaciet ea, flabit spiritus eius, et fluent aquæ.* Sed rursus cum vult aquam conglaciatam facile dissoluit, et per riuos currere facit. Nam spirante austro, et nix, et glacies soluitur. Non temere autem de his narrationem instituit, sed alia per hæc indicans. Quemadmodum enim nix deorsum delata montes implet, liquefacta vero in proximos fluuios fertur, et aliis locis irrigationem affert: sic bonorum affluentia diuinitus data, Iudæis primis sane oblata fuit,

τὸ δὲ οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσιν ἀνθρώποις ἀπέστειλε. πορευθέντες γάρ φησι μαθητεύσατε πάντα τὰ ἔθνη. ἔδειξε δὲ καὶ τὴν ὀξύτητα τοῦ δρόμου. ἐν ὀλίγῳ γὰρ χρόνῳ πᾶσαν γῆν καὶ θάλασσαν τῆς διδασκαλίας ἐπλήρωσαν· τοῦτο προορῶν ὁ προφήτης ἔφη, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. καὶ καινὸν οὐδὲν, οὐδὲ παράδοξον. πάντα γὰρ εἴκει τῷ θείῳ βουλήματι. αὐτίκα τοίνυν τῶν ὑδάτων τὴν φύσιν μίαν οὖσαν εἰς μυρίας ἰδέας βουληθεὶς μεταβάλλει. ις. 1) Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος. ιζ. Βάλλοντος 2) κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς. Ἐκ γὰρ τῆς μιᾶς τῶν ὑδάτων οὐσίας γίνεται μὲν ἀντίτυπος κρύσταλλος· γίνεται δὲ χιὼν μανή τε καὶ μαλακὴ, καὶ ἐρίου κάταγμα μιμουμένη· γίνεται δὲ καὶ κόνις ὑγρά. τοιαύτη γὰρ τῆς ὁμίχλης ἡ φύσις. Κατὰ πρόσωπον τοῦ ψύχους αὐτοῦ τίς ὑποστήσεται; Καὶ τὸν ἀέρα δὲ μεταβάλλει ῥαδίως, καὶ τὸν ἄρτι φλογώδη μετ᾽ ὀλίγον κρυμώδη ποιεῖ. ιη. 3) Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. Ἀλλὰ πάλιν βουληθεὶς τὸ παγὲν ὕδωρ διαλύει ῥαδίως, καὶ κρουνηδὸν φέρεσθαι τοῦτο ποιεῖ. τοῦ γὰρ νότου πνέοντος, καὶ χιὼν, καὶ κρύσταλλος λύεται. οὐχ ἁπλῶς δὲ τούτων ἐποιήσατο τὴν διήγησιν, ἀλλὰ ἕτερα διὰ τούτων σημαίνων. καθάπερ γὰρ ἡ χιὼν καταφερομένη τὰ ὄρη πληροῖ· τηκομένη δὲ εἰς τοὺς παρακειμένους χωρεῖ ποταμοὺς, καὶ χωρίοις ἑτέροις ἀρδείαν προσφέρεται· οὕτω τῶν θεοσδότων ἀγαθῶν ἡ φορὰ πρώτοις μὲν προσηνέχθη τοῖς Ἰουδαίοις· ἐκείνων

1) Διδόντος. In Textu τῶν ό. præm. τοῦ. 2) κρύσταλλον αὐτοῦ. *Hebr.* glaciem suam, 3) Rec. lectio h. l. est ἀποστελεῖ.

a) Matth. 28, 19.

ἐκείνων δὲ παραπεμψαμένων τὴν χάριν, διὰ τῶν ἱερῶν ἀποστόλων, ὥσπερ διά τινων ποταμῶν, ἡ τῆς διδασκαλίας ἄρδεια προσηνέχθη τοῖς ἔθνεσιν. ιθ΄. 1) Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῷ Ἰακὼβ· δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. Πάλαι μὲν τὸν νόμον, μετὰ δὲ ταῦτα καὶ τὴν χάριν· ἀλλ᾽ ἀνάξιοι ἑκατέρων ἐδείχθησαν. κ΄. Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ 2) ἐδήλωσεν. Οὐδενὶ γὰρ τῶν ἐθνῶν τὸν διὰ Μωσοῦ δέδωκε νόμον, οὔτε τὴν διὰ τῶν προφητῶν προσενήνοχεν ὠφέλειαν. τούτους δὲ μόνους τῆς τοιαύτης ἀρδείας ἠξίωσεν· ἀλλ᾽ ἀχάριστοι περὶ τὸν εὐεργέτην ἐγένοντο. τὰ δὲ ἔθνη, διὰ τῶν ἱερῶν ἀποστόλων τοῦ νοεροῦ φωτὸς τὴν αἴγλην δεξάμενα, τὸν οἰκεῖον ἐπέγνω δημιουργόν, καὶ τούτῳ προσφέρει τὸ σέβας διηνεκῶς.

illis vero gratiam renuentibus, per sacros apostolos, veluti per quosdam fluuios, doctrinæ irrigatio gentibus est oblata. 19. *Qui annunciat verbum suum Iacobo: iustitias et iudicia sua Israeli.* Olim quidem legem, postea vero et gratiam: sed vtroque indigni cogniti sunt. 20. *Non fecit ita vlli nationi, et iudicia sua non manifestauit.* Nulli enim gentium per Mosen legem dedit, neque per prophetas vtilitatem attulit: hos autem solos hac irrigatione dignos habuit. Tamen ingrati erga beneficii auctorem fuerunt. Gentes autem, cum per sanctos apostolos spiritualis luminis radium accepissent, creatorem suum agnouerunt, et huic continue cultum deferunt.

ΕΡΜΗΝ. ΤΟΥ ρμη΄ ΨΑΛΜΟΥ.

α΄. Ἀλληλούϊα, 3) ἀλληλούϊα. Διπλῆν ἐποιήσατο τὴν παρακέλευσιν ὁ προφήτης, εἰς πλείονα προθυμίαν τὰς ψυχὰς παραθήγων. ὕμνος δὲ καὶ οὗτος ἕτερος τὴν κτίσιν ἅπασαν, νοητήν τε καὶ αἰσθητήν, λογικήν τε καὶ ἄλογον, ἔμψυχόν τε καὶ ἄψυχον, εἰς μίαν συμφωνίαν τῆς ὑμνῳδίας διεγείρων. οὐρανὸν μέν τοι καὶ γῆν, καὶ ἀβύσσους, καὶ τοὺς κατ᾽ οὐρανὸν φωστῆρας, καὶ ὄρη, καὶ φυτά, καὶ τ᾽ ἄλλα ὅσα τοιαῦτα, 4) ὅσα ψυχῆς καὶ λόγου μετέχοντα, προσφέρειν τὸν ὕμνον παρεγγυᾷ· ἀλλ᾽ εἰς ταῦτα τοὺς λόγου μετειληχότας ἀποβλέπειν κελεύει, καὶ τὴν ἐν τούτοις φαινομένην σοφίαν καταμανθάνοντας τὸν ποιητὴν ἀνυμνεῖν. Αἰνεῖτε τὸν

INTERP. PS. CXLVIII.

1. *Alleluia, Alleluia.* Duplicem admonitionem propheta fecit, vt ad maiorem alacritatem animos accenderet. Hic alius est hymnus, omnem creaturam, et quæ sub intelligentiam cadit, et quæ sub sensum, rationis compotem, et rationis expertem, animatam et inanimatam, ad vnum quasi concentum canendorum hymnorum excitans. Cælum igitur, et terram, et abyssos, et luminaria quæ in cælo sunt, et montes, et plantas, et alia huiusmodi quæcunque animam et rationem habent, hymnum offerre præcipit. Verum in hæc eos qui ratione * præditi * sunt, intueri iubet, et sapientiam quæ in his cernitur discentes, creatorem celebrare. *Laudate Domi-*

1) Ὁ — λόγιον. Rec. lectio est Ἀπαγγέλλων τὸν λόγον. 2) ἐδήλ. Cod. 1. add. αὐτοῖς, vt in Textu τῶν ό. 3) ἀλληλ. Non repetitur in Cod. 1. 4) ὅσα. Cod. 1. οὐχ ὡς.

Dominum de cælis, laudate eum in excelsis. Duos cælos a Deo factos esse magnus Moses nos edocuit, vnum simul cum terra conditum, alterum postea medium inter aquas fieri iussum, quod et firmamentum appellauit. Propterea de cælis et de excelsis Deum laudari præcepit, hoc est, eos qui et in hoc, et in illo degunt, incorporeorum choros. Quoniam enim diuinus Moses nihil de naturæ cælestium spirituum creatione nos docuit, necessario hîc propheta horum etiam fecit mentionem. Propterea vt offerant creatori hymnum mandat: quandoquidem hoc illi debitum a creaturis debetur, et omni quod ab ipso conditum et ratione honoratum est, hoc debitum semper exsoluere conuenit. Quod si autem ea quæ creatam naturam habent laudant, et neque Filius, neque sanctus Spiritus cum laudantibus connumeratus est, patet, hos creatæ naturæ haudquaquam esse: alioquin ante omnes alios opificem laudarent, vt fontes iustitiæ ipsum honorantes. Sed nec Filius laudat, nec Spiritus sanctus: non igitur creatæ naturæ est aut Filius, aut Spiritus sanctus. Nimirum laudatur et ipse, et Spiritus sanctus, quandoquidem non est aliud quid medium inter eos qui laudant, et qui laudantur: sed laudat creatura, et creator laudatur. Si autem aliquis suum conditorem non laudat, tanquam ingratus non laudat. Verum hæc copiosius in libris de Spiritu sancto exposuimus. Igitur ad continuationem interpretationis transeamus. 2. *Laudate eum omnes angeli eius, laudate eum omnes virtutes*

Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Δύο οὐρανοὺς ὑπὸ τοῦ Θεοῦ γεγενῆσθαι ὁ μέγας ἡμᾶς ἐδίδαξε Μωσῆς· τόνδε σὺν τῇ γῇ γεγενημένον, καὶ τὸν ὕστερον μέσον τῶν ὑδάτων προσταχθέντα γενέσθαι, ὃν καὶ στερέωμα προσηγόρευσε. διὰ τοῦτο ἐκ τῶν οὐρανῶν, καὶ ἐκ τῶν ὑψίστων, ὑμνεῖσθαι προσέταξε τὸν Θεόν· ἀντὶ τοῦ, καὶ τοὺς ἐν τούτῳ καὶ τοὺς ἐν ἐκείνῳ διάγοντας τῶν ἀσωμάτων χορούς· ἐπειδὴ 1) καὶ ὁ θεῖος Μωσῆς οὐδὲν ἡμᾶς περὶ τῆς τῶν νοερῶν φύσεων δημιουργίας ἐδίδαξεν, ἀναγκαίως ὁ προφήτης ἐνταῦθα καὶ τὴν τούτων ἐποιήσατο μνήμην. διὸ καὶ προσφέρειν τῷ ποιητῇ τὸν ὕμνον παρεγγυᾷ. τοῦτο γὰρ αὐτῷ παρὰ τῶν ποιημάτων τὸ χρέος ὀφείλεται, καὶ πᾶν ὑπ' αὐτοῦ γενόμενον, καὶ λόγῳ τετιμημένον, προσήκει τοῦτο διὰ παντὸς ἐκτίνειν τὸ ὄφλημα. εἰ δὲ τὰ κτιστὴν ἔχοντα φύσιν ὑμνεῖ, οὔτε δὲ ὁ υἱὸς τοῖς ὑμνοῦσιν, οὔτε τὸ πανάγιον συντέτακται πνεῦμα, δῆλον ὅτι τῆς κτιστῆς οὐχ ὑπάρχουσι φύσεως. ἢ γὰρ ἄν, πρὸ τῶν ἄλλων τὸν ποιητὴν ὕμνησαν, ὡς δικαιοσύνης πηγαὶ τιμῶσαι τὸ δίκαιον. ἀλλ' οὔτε ὁ υἱὸς ὑμνεῖ, οὔτε τὸ πανάγιον πνεῦμα· οὐ τοίνυν κτιστῆς ἐστι φύσεως, οὔτε ὁ υἱός, οὔτε τὸ πανάγιον 2) πνεῦμα. ὑμνεῖται δηλονότι καὶ αὐτός, καὶ τὸ πανάγιον πνεῦμα. οὐ γάρ ἐστιν ἄλλο τι μέσον τῶν ὑμνούντων καὶ ὑμνουμένων, ἀλλ' ἡ μὲν κτίσις ὑμνεῖ, ὁ δὲ κτιστὴς ὑμνεῖται. εἰ δέ τις τὸν κτιστὴν οὐχ ὑμνεῖ, ὡς ἀχάριστος οὐχ ὑμνεῖ. ἀλλὰ ταῦτα πλατύτερον ἐν τοῖς περὶ τοῦ ἁγίου πνεύματος διεξήλθομεν λόγοις, οὐκοῦν ἐπὶ τὰ συνεχῆ τῆς ἑρμηνείας βαδίσωμεν. β. Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

1) καί. Cod. 1. γάρ. 2) πνεῦμα. Cod. 1. add. εἰ δὲ μὴ ὑμνεῖ ὁ υἱός, μήτε τὸ πανάγιον πνεῦμα.

τοῦ. Ἀγγέλους καὶ δυνάμεις τὰς νοερὰς φύσεις καλεῖ· ἀγγέλους μὲν, ὡς τὰ θεῖα 1) διαπορθμεύοντας ῥήματα· δυνάμεις δὲ, ὡς τῶν σωματικῶν παθῶν ἐλευθέρας, καὶ πληροῦν τὰ κελευόμενα δυναμένας. δυνατοὶ γάρ φησιν ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ. πᾶσαν μέν τοι τῶν νοερῶν τὴν φύσιν διὰ τούτων περιέλαβε τῶν ὀνομάτων. μάλα δὲ ἁρμοδίως τοὺς ἐπουρανίους χοροὺς 2) πρώτους εἰς ὑμνῳδίαν ἐκάλεσε. γ΄. Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Ὁ δὲ Σύμμαχος οὕτως, ὑμνεῖτε αὐτὸν πάντες ἀστέρες φωτός· οὕτω δὲ καὶ οἱ ἄλλοι· κατὰ τοὺς ἑβδομήκοντα δὲ οὕτω νοητέον· τῇ πρώτῃ ἡμέρᾳ τὸ φῶς ἐδημιούργησεν ὁ Θεὸς, τῇ τετάρτῃ δὲ τοὺς φωστῆρας· καὶ διὰ τοῦτο τοῦ φωτὸς χωρὶς ἐμνημόνευσεν, οὐχ ὡς καθ' ἑαυτὸ ὑφεστῶτος, ἀλλ' ὡς ἐν τοῖς φωστῆρσι διανεμηθέντος. ταῦτα δὲ, ὡς καὶ ἤδη προειρήκαμεν, οὐχ 3) ἔμψυχα καὶ λογικὰ συγκαλεῖ· ἀλλ' ἡμᾶς ἀφορᾶν εἰς ταῦτα, καὶ τοῦ Θεοῦ τὴν σοφίαν καταμανθάνειν, καὶ διὰ πάντων αὐτῷ πλέκειν τὴν ὑμνῳδίαν παρεγγυᾷ. δ΄. Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Τῷ στερεώματι διεχώρισεν ὁ Θεὸς τῶν ὑδάτων τὴν φύσιν, τῇ ἀρρήτῳ σοφίᾳ τὴν ἐπὶ πλεῖστον αὐτοῖς 4) διανομίαν μηχανώμενος· καὶ ἐπὶ τῶν πεπηγότων ὑδάτων τὸ ἄπειρον τῶν φωστήρων ὁδεύειν προσέταξε πῦρ· ὕδωρ δὲ καὶ πῦρ ἐναντία ἀλλήλοις· ἀλλ' ὅμως οὔτε τοῖς ὕδασι 5) τὸ πῦρ κατασβέννυται, οὔτε τὸ πεπηγὸς ὕδωρ

eius. *Angelos* et *Virtutes* intelligentes naturas vocat. *Angelos* quidem, vt qui diuina verba transmittant, *Virtutes* vero, quia corporeis affectibus carent, et iuſſa perficere poſſunt. Potentes enim, inquit, a) virtute facientes verbum eius. Totam enim naturam intelligibilium per hæc nomina comprehendit. Ceterum admodum congruenter cæleſtes choros primos in hymnorum cantilenam vocauit. 3. *Laudate eum ſol et luna, laudate eum omnia aſtra et lumen.* * Symmachus ſic, Laudate eum * omnes ſtellæ luminis: ſic etiam ceteri. At ſecundum Septuaginta ſic eſt intelligendum. Primo die lucem Deus fecit, quarto vero luminaria: et propterea ſeorſum luminis mentionem fecit, non quod per ſe ipſum conſiſtat, ſed quia in luminaribus diſtributum eſt. Hæc vero, vt iam ſupra diximus, propheta conuocat, non veluti animata et rationem habentia: ſed vt nos in hæc intueamur, Deique ſapientiam diſcamus, et per omnia vt ipſi laudes texamus, adhortatur. 4. *Laudate eum cæli cælorum, et aquæ, quæ ſuper cælis ſunt.* Firmamento aquarum naturam Deus diuiſit, inexplicabili ſapientia maximam ipſis diſtinctionem impertiens. Et ſuper aquas compactas immenſum luminarium ignem decurrere iuſſit. Aqua autem et ignis ſibi inuicem aduerſantur: ſed tamen neque ignis aqua exſtinguitur, neque coacta illa aqua immen-

1) Cod. I. πορθμεύοντας. 2) πρώτους. Deſ. in Cod. I. 3) ἔμψυχα. Cod. I. præm. ὡς. 4) Cod. I. διαμονήν, pro διανομήν, vt videtur. 5) τὸ πῦρ. In Cod. I. ponitur poſt κατασβέννυται.

a) Pſ. 102, 20.

immenso igne dissoluitur. Porro hæc Dei inexplicabilem potentiam ostendunt. *Cælos* autem multitudinis numero vocauit, non quod multos eos esse sciret, sed quod hebræam linguam secutus sit: siquidem numero multitudinis illi hos vocant, sicut nos Athenas et Thebas dicimus. Denique quos hic *cælos cælorum* vocauit, alibi *cælum cæli* nuncupauit. Cælum enim, inquit, *a)* cæli Domino. 5. *Laudent nomen Domini, quia ipse dixit et facta sunt: ipse mandauit et creata sunt.* Dignum est enim laudare illum, qui cuncta verbo fabricatus est. 6. *Statuit ea in æternum, et in seculum seculi: præceptum posuit, et non præteribit.* Non modo autem condidit, verum etiam de ipsis curam gerere pergit: vnde et perseuerantiam habent, prout ipse voluerit. Etenim nec terminos ab ipso positos transgredi poterit. Inanimata igitur, et aliorum genera omnia, leges positas reuerentur: sola autem hominum natura, ratione prædita, leges transgreditur. Et mare quidem terminos scit, et arenam veretur, et nox atque dies mensuras positas conseruant: homines vero diuinas leges pro nihilo ducunt. Sic autem, postquam cælestia, et ea quæ supra cælos sunt, in communionem hymnorum vocauit, ad terram communem * matrem hominum et animalium ratione carentium se conuertit. 7. *Laudate Dominum de terra.* Deinde particulatim, *dracones, et omnes abyssi.* Pars terræ est mare, et in hoc sunt cete. Admi-

τῷ ἀπείρῳ πυρὶ κατατήκεται· δείκν... δὲ ταῦτα τοῦ Θεοῦ τὴν ἄῤῥητον δύναμ... πληθυντικῶς δὲ τοὺς οὐρανοὺς ὠνόμασε... οὐ πολλοὺς τούτους εἰδὼς, ἀλλὰ τῇ Ἑβρ... ἀκολουθήσας φωνῇ. πληθυντικῶς γ... τούτους ἐκεῖνοι καλοῦσιν, ὡς ἡμεῖς Ἀθή... καὶ τὰς Θήβας. ἀμέλει 1) οὓς ἐνταῦ... οὐρανοὺς οὐρανῶν ἐκάλεσεν, 2) ἑτέρωθι ... ρανὸν οὐρανοῦ προσηγόρευσεν. ὁ οὐραν... γάρ φησι τοῦ οὐρανοῦ τῷ Κυρίῳ. ε. Αἰνε... σάτωσαν τὸ ὄνομα Κυρίου· ὅτι αὐτὸς εἶ... πε καὶ ἐγενήθησαν, 3) αὐτὸς ἐνετεί... το καὶ ἐκτίσθησαν. Ἄξιον γὰρ ἐκεῖ... ὑμνεῖν τὸν λόγῳ πάντα ταῦτα ποιησά... μενον. ς. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθε... το, καὶ οὐ παρελεύσεται. Οὐ μόνον ἐδημιούργησεν, ἀλλὰ καὶ προμηθούμενος ... τῶν διατελεῖ· ὅθεν καὶ τὸ διαρκὲς ἔχου... σιν, 4) ὡς ἂν αὐτὸς ἐθελήσῃ. οὐδὲ γὰρ ... τοὺς ὑπ' αὐτοῦ τεθέντας ὅρους παραβῆ... ναι 5) δυνήσεται. τὰ μὲν οὖν ἄψυχα, ... μέντοι καὶ τῶν 6) ἄλλων τὰ γένη, τοὺς τε... θέντας αἰσχύνεται νόμους· μόνη δὲ ἡ τῶν ἀνθρώπων ἡ φύσις, ἡ λόγῳ τετιμημένη, παραβαίνει τοὺς νόμους. καὶ ἡ μὲν θά... λασσα τοὺς ὅρους ἐπίσταται, καὶ τὴν ψάμ... μον αἰσχύνεται, καὶ νὺξ καὶ ἡμέρα τὰ ... τεθέντα φυλάττουσι μέτρα· ἄνθρωποι δὲ τῶν θείων νόμων καταφρονοῦσιν. ... τω 7) δὲ καὶ τὰ ἐπουράνια καὶ ὑπερου... εἰς κοινωνίαν τῆς ὑμνῳδίας καλέσας, ἐπὶ τὴν γῆν μεταβαίνει τὴν κοινὴν τῶν ἀν... θρώπων, καὶ τῶν ἀλόγων μητέρα. ζ. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς. εἶ... τα κατὰ μέρος, Δράκοντες, καὶ πᾶ... σαι ἄβυσσοι. Μέρος τῆς γῆς ἡ θά... λασσα, ἐν δὲ ταύτῃ τὰ κήτη. ἀξιά... ...ος

1) οὓς. Cod. 1. præm. ὡς ἑτέρωθι. 2) ἑτέρ. Des. h. l. in Cod. 1. 3) αὐτὸς — ἐκτ. Des. in Textu τῶν ὁ. 4) ὡς. Cod. 1. ἕως. 5) Ib. δύναται, adscripta tamen altera lectione. 6) ἄλλων. Cod. 1. ἀλόγων. 7) δὲ καί. Abest a Cod. 1.

a) Ps. 113, 16.

τας δὲ τῶ δημιουργοῦ καὶ αὕτη ἡ πρόνοια, ὅτι τὰ ὑπερμεγέθη καὶ ὑπέρογκα 1) ζῶα δημιουργήσας, τοῖς ἀπλώτοις ἐγκαθεῖρξε πελάγεσι· δείξας μὲν τῇ 2) δημιουργίᾳ, καὶ τῇ τούτων μνήμῃ δεδιττόμενος τοὺς ἀνθρώπους, τῷ δὲ τὴν ἐντεῦθεν κωλῦσαι λώβην κηρύττων τὴν ἀγαθότητα. η΄. Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος. 3) Καὶ ταῦτα ἐξ ὑδάτων ἔχει τὴν ἀφορμήν· ἐν ἀέρι δὲ γίνεται καὶ χάλαζα, καὶ χιὼν, καὶ κρύσταλλος, καὶ τὰ σφοδρὰ πνεύματα. ταῦτα γὰρ καταιγίδας ἐκάλεσε· καὶ τὸ πῦρ δὲ ὡσαύτως οὐ μόνον ἐν γῇ, ἀλλὰ καὶ ἐν ἀέρι φαινόμενόν ἐστιν ἰδεῖν. καὶ γὰρ ἀστραπαὶ, καὶ κεραυνοὶ, καὶ πρηστῆρες, ἐξ ἀέρος ἐπιφέρονται. Τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Καὶ ταῦτα δέ φησι τοῖς αὐτοῦ νεύμασιν εἴκει, οὐχ ὡς ἔμψυχα καὶ λογικὰ, ἀλλ᾽ ὡς ἑπόμενα τῷ βουλήματι. νεύοντος γὰρ τοῦ Θεοῦ τούτων ἕκαστον γίνεται. θ΄. Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι. Ἱκανὰ καὶ ταῦτα εἰς εὐχαριστίαν κινῆσαι ἡμῶν τὰς γλώττας· οὐ γὰρ μόνον τὸ τούτων μέγεθος ἀξιάγαστον, ἀλλὰ καὶ ἡ ἐντεῦθεν φυομένη χρεία· πλείστη γὰρ καὶ παντοδαπή. ι΄. Τὰ θηρία, καὶ πάντα τὰ κτήνη. Κατὰ διαίρεσιν καὶ ταῦτα· οὐ γὰρ ἁπλῶς εἶπε τὰ τετράποδα, ἀλλὰ διέκρινε τῶν ἡμέρων τὰ ἄγρια· καὶ διὰ τούτων μέντοι, καὶ δι᾽ ἐκείνων, κελεύει τὸν ποιητὴν ἀνυμνεῖν. οὐδὲν γὰρ περιττὸν 4) καὶ ἀχάριστον, εἰ καὶ τὴν ἡμετέραν διαφεύγει γνῶ-

randa vero hæc prouidentia opificis, quod maxima et immensæ molis animalia ab ipso condita in maribus, quæ nauigari non possunt, concluserit, opificio quidem hæc demonstrans, et horum commemoratione homines terrens: suam vero bonitatem prædicans, cum detrimentum, quod hinc oriri posset, impediuerit. 8. *Ignis, grando, nix, glacies, ventus procellarum.* Et hæc ex aquis ortum habent. In aëre autem et grando, et nix, et glacies fit, et vehementes venti: hos enim *procellas* nuncupauit. Et ignis similiter non solum in terra, sed etiam in aëre apparens cerni potest: etenim fulgura, et fulmina, et ignei turbines ex aëre deferuntur. *Quæ faciunt verbum eius.* Et hæc porro, ait, eius nutibus cedunt, non tanquam animata et rationem habentia, sed vt voluntati eius obsequentia. Nam Deo annuente quodlibet eorum fit. 9. *Montes, et omnes colles, ligna fructifera, et omnes cedri.* Et hæc etiam in gratiarum actionem linguas nostras impellere possunt. Nam non modo horum magnitudo admiratione digna est, sed etiam vsus, qui hinc oritur: multiplex enim est et diuersi generis. 10. *Bestiæ, et vniuersa pecora.* Per diuisionem etiam hæc dixit. Non enim simpliciter quatuor pedum animalia dixit, sed agrestia a mansuetis seiunxit. Et per hæc igitur et per illa Deum celebrare iubet. Nihil enim superuacaneum, et inutile est, licet nostram scientiam fugiat.

1) ζῶα. Cod. 1. μέρη. 2) δημιουργίᾳ. Ib. sequ. τὸ δυνατόν. 3) Καὶ — ἐπιφέρονται. Hæc ORIGENI tribuit CORD. l. c. p. 833. 4) καὶ ἀχάριστον. Cod. 1. οὐδὲ ἄχρηστον.

giat. *Serpentes et volucres pennata.* Serpentium commemorationi etiam natantium natura coniungitur: ſerpunt enim in aquis. Sic autem illa etiam Deus appellauit, Producant enim, inquit, *a)* aquæ reptilia animarum viuentium, et volatilia volantia per firmamentum cæli. Poſt hæc omnia eum, qui per omnia laudat, vocat: poſt omnia enim diuina creatione dignus habitus fuit homo. Et hunc porro per claſſes et ordines conuocat, primumque regum introducit chorum, deinde ſubditorum populos, et ait: * 11. *Reges terræ, et omnes populi.* Nec ſecundos principes hymnorum cantu priuat, nec qui hos ſequuntur iudices: ſed his etiam vtilitatis partem communicat. *Principes, et omnes iudices terræ.* Et ætatem vnamquamque, et vtrumque ſexum, virorum et mulierum, hoc facere iubet: et primos quidem et primas, perfectam habentes ætatem. 12. *Iuuenes et virgines.* Deinde vtrumque extremum dicit, *Senes cum iunioribus laudent nomen Domini.* Et immatura, inquit, et exoleta ætas Deum celebret. 13. *Quia exaltatum eſt nomen eius ſolius.* Exſtincta enim eſt falſorum Deorum memoria, et ſolius veri Dei venerandum nomen apparet. 14. *Confeſſio eius ſuper cælum et terram.* Nam non amplius ſolum cæleſtia ipſum laudant, ſed tota terra Domini cognitione plena eſt, vt

σιν. Ἑρπετὰ καὶ πετεινὰ πτερωτά. Τῇ μνήμῃ τῶν ἑρπετῶν καὶ τῶν νηκτῶν ἡ φύσις συνέζευκται· ἕρπει γὰρ ἐν τοῖς ὕδασιν. οὕτω δὲ αὐτὰ καὶ ὁ Θεὸς προσηγόρευσεν, ἐξαγαγέτω γὰρ ἔφη τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ τὰ πετεινὰ πετόμενα 1) κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ· μετὰ ταῦτα πάντα τὸν διὰ 2) πάντων ὑμνοῦντα καλεῖ· μετὰ πάντα γὰρ τῆς θείας ἠξιώθη δημιουργίας ὁ ἄνθρωπος. καὶ τοῦτον δὲ κατὰ συμμορίας ἀγείρει· πρῶτον δὲ τὸν τῶν βασιλέων εἰσάγει χορὸν, εἶτα τῶν ὑπηκόων τοὺς δήμους, καί φησιν ιά. Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοί. Οὐκ ἀποστερεῖ δὲ τῆς ὑμνῳδίας, οὔτε τοὺς δευτέρους ἄρχοντας, οὔτε τοὺς μετὰ τούτους κριτὰς, ἀλλὰ καὶ τούτους τῆς ἐντεῦθεν μεταδίδωσιν ὠφελείας. Ἄρχοντες, καὶ πάντες κριταὶ γῆς. Καὶ ἡλικίαν δὲ ἑκάστην, καὶ γένος ἑκάτερον, τό τε ἄρσεν καὶ τὸ θῆλυ, τοῦτο κελεύει ποιεῖν· καὶ πρώτους μὲν καὶ πρώτας τοὺς τελείαν ἄγοντας τὴν ἡλικίαν. ιβ´. Νεανίσκοι καὶ παρθένοι. Εἶτα ἑκάτερον ἄκρον, 3) Πρεσβύτεροι μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. Καὶ ἡ ἄωρος 4) φησιν, καὶ ἔξωρος ἡλικία τὸν Θεὸν 5) ἀνυμνείτω. ιγ´. Ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. Ἔσβεσται γὰρ ἡ μνήμη τῶν ψευδωνύμων Θεῶν, καὶ μόνου τοῦ ὄντος Θεοῦ σεπτὸν τὸ ὄνομα πέφηνεν. ιδ´. 6) Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. Οὐκ ἔτι γὰρ αὐτὸν 7) μόνον ὑμνεῖ τὰ ἐπουράνια, ἀλλ᾽ ἐπληρώθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον· ὡς ὕδωρ

1) κατά. Cod. 1. præm. ἐπὶ τῆς γῆς. 2) Ib. τούτων ἁπάντων. 3) Rec. lectio h. l. eſt πρεσβύται. 4) φησίν. Cod. 1. φύσις. 5) Ibid. ὑμνείτω. 6) Ἡ ἐξομολόγησις αὐτοῦ. *Hebr.* decus eius. 7) Cod. 1. μόνα.

a) Gen. 1, 20.

ὕδωρ πολὺ 1) κατακαλύψαι θαλάσσας. Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. Ἄμαχον δέ φησι δείξει καὶ περίβλεπτον τὸν οἰκεῖον λαόν· κέρας γὰρ τὴν ἰσχὺν ἐκάλεσεν, ἐκ μεταφορᾶς τῶν κερασφόρων ζώων, ἃ τὴν ἰσχὺν ἔχειν ἐν ἐκείνοις σεμνύνεται. Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ. Οὐ μόνον γὰρ ἰσχυροὺς τοὺς εἰς αὐτὸν πεπιστευκότας, ἀλλὰ καὶ ἀοιδίμους παρὰ πᾶσι ποιεῖ. Τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ. Ταύτης δὲ τῆς εὐκλείας καὶ ὁ Ἰσραὴλ ἀπήλαυσεν, ἡνίκα ἐπέλαζε τῷ Θεῷ· μετέβη δὲ νῦν μετὰ τῆς εὐσεβείας ἡ περιφάνεια, καὶ οἱ μὲν ἐγυμνώθησαν ταύτης, τὰ δὲ ἔθνη ταῖς θείαις ἀγάλλεται δωρεαῖς.

multa aqua ad operiendum maria. a) *Et exaltabit cornu populi sui.* Inexpugnabilem, ait, suum populum, et illustrem reddet. *Cornu* enim robur vocauit, Metaphora desumta ab animalibus cornutis, quae robur in illis se habere gloriantur. *Hymnus omnibus sanctis eius.* Non enim solum fortes eos qui in ipsum crediderunt, sed etiam celebres apud omnes facit. *Filiis Israel, populo appropinquanti sibi.* Hac autem gloria et Israel potitus est, quando Deo adhaerebat: sed nunc cum pietate splendor transiuit, et hi quidem hoc priuati sunt, gentes vero diuinis donis laetantur.

ΕΡΜΗΝ. ΤΟΥ ρμθ' ΨΑΛΜΟΥ.

α'. Ἀλληλούϊα, 2) ἀλληλούϊα. Τοῦτον προσφέρειν τὸν ὕμνον παρακελεύονται οἱ μετὰ τὴν ἐπάνοδον τὰ πολλὰ ἔθνη ἐκεῖνα διὰ τῆς θείας νενικηκότες ῥοπῆς. ἔχει δὲ πρόῤῥησιν καὶ τῶν ὑπὸ τῶν Μακκαβαίων 3) κατορθωθέντων. β'. ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. Οὐ γὰρ τῶν παρανόμων, ἀλλὰ τῶν ὁσίων ἴδιον τὸν Θεὸν ἀνυμνεῖν. γ'. Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Πάντων μὲν Θεὸς ὁ τῶν ὅλων Θεὸς, ἰδίως δὲ τῶν Ἰσραηλιτῶν ἐχρημάτιζε βασιλεύς. αὐτίκα τοίνυν τὴν ἀχαριστίαν νενοσηκότων, καὶ ἕτερον αὐτοῖς αἰτησάντων βασιλέα γενέσθαι,

INTERP. PS. CXLIX.

1. *Alleluia, Alleluia.* Hunc offerre hymnum iubentur illi, qui post reditum multas illas gentes diuino freti auxilio vicerunt. Habet autem etiam praedictionem de iis, quae a Maccabaeis recte gesta fuere. 2. *Cantate Domino canticum nouum, laus eius in ecclesia sanctorum.* Non enim iniquorum, sed sanctorum proprium est Deum laudare. 3. *Laetetur Israel de eo qui fecit illum, et filii Zionis exsultent in rege suo.* Omnium quidem Deus vniuersorum est Deus: proprie autem Israelitarum rex nuncupabatur. Itaque cum * ingrati animi morbo laborarent, et alium regem peterent, dixit

1) κατακαλ. Conf. p. 1407. n. 3. 2) ἀλλ. Non repetitur in Cod. 1. nec in Textu τῶν ό. 3) κατορθ. CORDERIVS, qui haec p. 841. ad ORIG. retulit, leg. κατορθωμάτων.

a) Habac. 2, 14.

dixit Deus Samueli, a) Non te reiecerunt, sed me, ne regnem super eos. 4. *Laudent nomen eius in choro, cum tympano et psalterio psallant ei.* Per omne genus organorum, ait, iuxta legem benefactorem nostrum laudibus efferamus. 5. *Quia beneplacitum est Domino in populo suo.* Multa benignitate, inquit, nos dignatus est, et bonitatem suam nobis aperuit. *Et exaltabit mansuetos in salute.* Eos autem, qui auxilio destituti sunt, bonisque moribus vtuntur, sublimes et illustres reddet. 6. *Exsultabunt sancti in gloria, lætabuntur in cubilibus suis.* Et qui iustitiam honorant, in gloria erunt, multa quiete perfruentes. *Cubile* enim quietem appellauit, quia lectus quietem indicat. 7. *Exaltationes Dei in gutture eorum.* Diuina autem beneficia continue prædicant, horum auctorem celebrantes. *Et gladii ancipites in manibus eorum.* 8. *Ad exercendam vindictam in nationibus, increpationes in populis.* Non est quieti repugnans, in bellis vincere. Omni enim quiete iucundius est vincere. Prædicit igitur per hæc Maccabæorum fortitudinem, qua vsi, et finitimos captiuos ceperunt, et Macedones debellarunt. 9. *Ad vinciendos reges eorum in compedibus, et nobiles eorum in manicis ferreis.* Multa huiusmodi ab illis præclare gesta historia do-

φησὶ πρὸς τὸν Σαμουὴλ ὁ Θεὸς, οὐ σὲ ἐξουδενήκασιν, 1) ἀλλ᾽ ἐμὲ τοῦ μὴ βασιλεύειν αὐτῶν. δ΄. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. Διὰ παντὸς ὀργάνου, φησὶ, κατὰ τὸν νόμον τὸν ἡμέτερον ὑμνήσωμεν τὸν εὐεργέτην. ε΄. Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ. Πολλῆς ἡμᾶς, 2) φησὶ, φιλανθρωπίας ἠξίωσε, καὶ τὴν οἰκείαν ἡμῖν ἔδειξεν ἀγαθότητα. 3) Καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. Τοὺς δὲ ἐρήμους βοηθείας, καὶ τρόποις ἀγαθοῖς κεχρημένους, ὑψηλοὺς ἀποφανεῖ, καὶ περιβλέπτους. ς΄. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Καὶ οἱ τὸ δίκαιον τιμῶντες, ἐν εὐκλείᾳ γενήσονται, πολλῆς ἀπολαύοντες ἀναπαύλης. κοίτην γὰρ τὴν 4) ἀνάπαυλαν ἐκάλεσεν. ἀναπαύλης γὰρ ἡ κλίνη σημαντική. ζ΄. Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν. Διηνεκῶς δὲ τὰς θείας εὐεργεσίας κηρύττουσι, τὸν τούτων αἴτιον ἀνυμνοῦντες. Καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. η΄. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Οὐκ ἐναντίον τῇ ἀναπαύλῃ τὸ ἐν πολέμοις νικᾶν. πάσης γὰρ ἀναπαύλης τὸ νικᾶν θυμηρέστερον. προλέγει μέντοι διὰ τούτων τὴν τῶν Μακκαβαίων ἀνδρείαν, ᾗ χρησάμενοι, καὶ τοὺς πλησιοχώρους ἐχειρώσαντο, καὶ τοὺς Μακεδόνας κατηγωνίσαντο. θ΄. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. Πολλὰ τοιαῦτα ὑπ᾽ ἐκείνων κατορθῶσθαι ἡ ἱστορία διδάσκει.

1) ἀλλ᾽. Cod. 1. add. ἤ. 2) φησί. Abest a Cod. 1. 3) Καὶ ὑψώσει. *Hebr.* et ornabit. 4) Cod. 1. ἀνάπαυσιν.

a) 1 Reg. 8, 7.

σκει, καὶ ῥᾴδιον τοῖς ἐντυχεῖν βουλομένοις τῆς προφητείας καταμαθεῖν τὴν ἀλήθειαν. ι΄. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Ἃ γὰρ εἰς ἐκείνους ἐνδίκως εἰργάσαντο, ἀνάγραπτα γέγονε, καὶ μέχρι 1) τήμερον ἀείμνηστον αὐτῶν τὸ κλέος διέμεινε. τοῦτο γὰρ ἐπήγαγε. Δόξα αὕτη 2) ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ. Μήτηρ γὰρ τῆς εὐκλείας ἡ ὁσιότης, καὶ οἱ ταύτης 3) ἐργάται δι' αὐτὴν ἀοίδιμοι γίνονται.

cet, et facile est legere volentibus prophetiæ veritatem edifcere. 10. *Vt faciam in eis iudicium conscriptum.* Quæ enim in illos iuste gesserunt, scriptis mandata sunt, et vsque in hodiernum diem celeberrima eorum gloria permansit. * Hoc enim infert. *Gloria hæc erit omnibus sanctis eius.* Nam gloriæ mater est sanctitas, et huius operarii per ipsam celebres fiunt.

ΕΡΜΗΝ. ΤΟΥ ρν΄ ΨΑΛΜΟΥ.

α΄. Ἀλληλούϊα, ἀλληλούϊα. Ἐπινίκιος καὶ οὗτος ὁ ὕμνος· προλέγει δὲ τὴν ἐσομένην πᾶσιν 4) ἀνθρώποις θεογνωσίαν. β΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. Ἱκανὴ γὰρ ἀφορμὴ εἰς ὑμνῳδίαν 5) αὕτη. εἰ γὰρ ἀπὸ φυτῶν, καὶ θηρίων, καὶ ἑρπετῶν, πρόφασιν εἰς εὐχαριστίαν λαβεῖν προσετάχθημεν, πολλῷ μᾶλλον εἰς τοὺς ἁγίους ἀφορᾶν, καὶ τὸν τούτων Θεὸν ἀνυμνεῖν δικαιότερον. τίς γὰρ τὰ κατὰ τὸν μακάριον διδασκόμενος Παῦλον, ἢ τὸν θεσπέσιον Πέτρον, ἢ τὸν θειότατον Ἰωάννην, ἢ τοὺς ἄλλους ἀποστόλους, ἢ τοὺς νικηφόρους μάρτυρας, ἢ τοὺς ἄλλους ἁγίους, ἢ τοὺς νῦν τῆς ἀρετῆς ἀθλητάς, οὐ κινεῖ τὴν γλῶτταν εἰς ὑμνῳδίαν τοῦ τοσαύτην τοῖς ἀνθρώποις τῶν ἀγαθῶν δωρησαμένου φοράν; Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. Ὁ δὲ Σύμμαχος οὕτως, 6) αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῷ ἀκαθαιρέτῳ αὐτοῦ. μόνος γὰρ στερρὸν, καὶ ἀνώλεθρον, καὶ αἰώνιον

INTERPR. PS. CL.

1. Alleluia, Alleluia. Et hic hymnus triumphalis est. Vaticinatur autem omnibus hominibus futuram Dei cognitionem. * 2. *Laudate Dominum in sanctis eius.* * Nam hæc est sufficiens occasio canendorum hymnorum. Si enim a plantis, et feris, et reptilibus, ad gratiarum actionem ansam arripere iussi sumus, multo magis iustum est in sanctos intueri, et horum celebrare Deum. Quis enim cum ea, quæ vel beato Paulo acciderunt, vel diuino Petro, vel diuinissimo Ioanni, vel aliis apostolis, vel victoribus martyribus, vel ceteris sanctis, vel his qui nunc veritatis athletæ sunt, didicerit, linguam non mouet ad laudandum eum, qui tantam bonorum copiam hominibus largitus est? *Laudate eum in firmamento virtutis eius.* Symmachus autem sic, Laudate eum in firmamento inexpugnabili eius. Solus enim firmum, et immortale, et sempiternum habet

1) τήμερον. Cod. 1. præm. καί. 2) Rec. lectio h. l. est ἐστί. 3) ἐργάται. Cod. 1. ἐργασαί. 4) ἀνθρώποις. Cod. 1. ἁγίοις, adscripta tamen lectione altera. 5) αὕτη. Cod. 1. præm. καί. 6) αἰνεῖτε. Ib. ὑμνεῖτε.

habet imperium. 3. *Laudate eum in potentatibus eius.* Ineffabilia enim sunt ea, quæ per sanctos eius continue recte geruntur. *Laudate eum secundum multitudinem magnitudinis eius.* Simile est hoc iis, quæ iam a nobis exposita fuere, quoniam magnitudinis eius non est finis. *a*) Infinita enim est eius, ait, magnitudo, et immensa potentia: per omnia igitur ipsum perpetuo celebrate. 4. *Laudate eum sono tubæ.* Sacerdotale erat hoc instrumentum: sacerdotes enim tubis vtebantur, tubas quæ in Sinaï monte fuerant in memoriam reuocantes. *Laudate eum cum psalterio et cithara.* 5. *Laudate eum cum tympano et choro: laudate eum chordis et organo.* 6. *Laudate eum cum cymbalis bene sonantibus, laudate eum cymbalis iubilationis.* His instrumentis olim Leuitæ vtebantur, Deum in diuino templo laudantes: non quod Deus horum sono oblectaretur, sed quoniam propositum eorum, qui hæc faciebant, amplectebatur. Nam Deum minime cantibus et sonis delectari, audimus ipsum Iudæis dicentem, *b*) Auerte a me sonum cantionum tuarum, et sonum organorum tuorum non audiam. Hæc igitur fieri permisit, cum ab idolorum errore eos liberare vellet. Quoniam enim nonnulli ludorum studiosi et risus amatores erant, hæc omnia autem in idolorum templis fiebant, hæc permisit, hoc pacto eos allieiens, et minori damno maius impediens,

ἔχει τὸ κράτος. γ'. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ. Ἄῤῥητα γὰρ τὰ διὰ τῶν ἁγίων αὐτοῦ διηνεκῶς κατορθούμενα. Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Ἔοικε τοῦτο τοῖς ἤδη παρ' ἡμῶν 1) ἑρμηνευομένοις, ὅτι τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. ἄπειρον γὰρ αὐτοῦ, φησὶ, τὸ μέγεθος, ἀμέτρητος ἡ δύναμις· διὸ πάντα τοίνυν αὐτὸν ὑμνοῦντες διατελέσατε. δ'. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος. Ἱερατικὸν ἦν τοῦτο τὸ ὄργανον. οἱ ἱερεῖς γὰρ ἐχρῶντο ταῖς σάλπιγξι, τῶν ἐν Σινᾶ ὄρει γενομένων σαλπίγγων ἀναμιμνήσκοντες. Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. ε'. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. ς'. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις 2) εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Τούτοις οἱ Λευῖται πάλαι τοῖς ὀργάνοις ἐχρῶντο ἐν τῷ θείῳ νεῷ τὸν Θεὸν ἀνυμνοῦντες· οὐκ ἐπειδὴ Θεὸς ἐτέρπετο τῇ τούτων ἠχῇ, ἀλλ' ἐπειδὴ τῶν γιγνομένων τὸν σκοπὸν ἀπεδέχετο. ὅτι γὰρ ᾠδαῖς καὶ κρούμασι τὸ θεῖον οὐκ ἐπιτέρπεται, ἀκούομεν αὐτοῦ λέγοντος Ἰουδαίοις, ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ φωνῆς ὀργάνων σου οὐκ ἀκούσομαι. ταῦτα τοίνυν γίνεσθαι συνεχώρησε, τῆς τῶν εἰδώλων αὐτοὺς πλάνης ἀπαλλάξαι θελήσας· ἐπειδὴ γὰρ φιλοπαίγμονές τινες ἦσαν, καὶ φιλογέλωτες, ταῦτα δὲ ἅπαντα ἐν τοῖς εἰδώλων ἐπετελεῖτο ναοῖς, συνεχώρησε ταῦτα, διὰ τούτων αὐτοὺς ἐφελκόμενος, καὶ τῇ ἐλάττονι βλάβῃ κωλύων τὴν μείζονα,

καὶ

1) Cod. 1. ἑρμηνευμένοις. 2) εὐήχοις — κυμβάλοις. Def. ibid.

a) Pf. 144, 3. b) Amos 5, 23.

καὶ διὰ τῶν ἀτελῶν 1) προπαιδεύων τὰ τέλεια. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Οὐκ Ἰουδαῖοι μόνον, ἀλλὰ πάντες ἄνθρωποι. οὐ γὰρ Ἰουδαίων Θεὸς μόνον, κατὰ τὸν θεῖον ἀπόστολον, ἀλλὰ καὶ ἐθνῶν. ἐν μὲν οὖν τῷ Ρ' καὶ ΜΔ' ἔφη ψαλμῷ, εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ· ἐνταῦθα δὲ, πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. οὔτε δὲ ἐκεῖ μόνην τὴν σάρκα, οὔτε ἐνταῦθα μόνην ἐκάλεσε τὴν πνοήν· ἀλλὰ καὶ δι' ἐκείνου καὶ διὰ τούτου, καὶ σώματι καὶ ψυχῇ ὑμνεῖν παρακελεύεται τὸν τῶν ὅλων Θεόν. ἀξιάγαστον δὲ τῆς ὅλης 2) τῶν ψαλμῶν πραγματείας τὸ τέλος, καὶ τῷ σκοπῷ τῆς 3) προφητείας συμβαῖνον. καὶ γὰρ ἡ προφητεία τοῖς ἔθνεσι κηρύττει τὴν σωτηρίαν, καὶ τῆς προφητείας τὸ τέλος τοὺς ταύτης τετυχηκότας ὑμνεῖν τὸν εὐεργέτην παρακελεύεται. ἡμεῖς δὲ οὐ μόνον τῶν ῥημάτων ἀκούομεν, ἀλλὰ καὶ 4) ἐνταῦθα θεωροῦμεν τὰ πράγματα. ἐν ἑκάστῃ γὰρ καὶ πόλει, καὶ κώμῃ, καὶ ἀγροῖς, καὶ ἐν ἐσχατιαῖς, καὶ ὄρεσι, καὶ βουνοῖς, καὶ ἐν τῇ ἀοικήτῳ καὶ παντελῶς ἐρήμῳ, ὁ τῶν ὅλων ὑμνεῖται Θεός.

Ἐγὼ δὲ τοὺς ἐντυγχάνοντας τῇδε τῇ βίβλῳ παρακαλῶ, εἰ μὲν εὖ καὶ καλῶς 5) ἑρμηνεύεσθαι δόξειε, τὴν ἐκ τούτων ὠφέλειαν καρπώσασθαι· εἰ δέ που τῶν κεκρυμμένων τοῦ πνεύματος οὐκ ἐφικόμεθα μυστηρίων, μὴ σφόδρα ἡμῖν ἐπιμέμψασθαι. ἃ γὰρ εὑρεῖν ἠδυνήθημεν, ἀφθόνως ἅπασι 6) προτεθείκαμεν, καὶ ἃ παρὰ τῶν πατέρων ἐδιδάχθημεν, τοῖς μεθ' ἡμᾶς προσενεγ-

et per imperfecta perfecta * docens. *Omnis spiritus laudet Dominum.* Non Iudaei solum, sed omnes homines. Non enim Iudaeorum Deus est tantum, secundum diuinum apostolum, a) sed etiam gentium. In centesimo igitur et quadragesimo quarto psalmo ait, b) Benedicat omnis caro nomini sancto eius. Hoc autem in loco, *Omnis spiritus*, dicit, *laudet Dominum.* Sed nec ibi solam carnem, nec hîc spiritum solum vocauit: verum et per hoc et per illud, et corpore et anima Deum vniuersorum laudari praecipit. Ceterum admiratione dignus est finis hic totius psalmorum operis, et prophetiae proposito respondens. Etenim prophetia gentibus praedicat salutem, et prophetiae finis eos, qui hanc consecuti sunt, beneficii auctorem laudibus efferre iubet. Nos autem non modo verba audimus, sed hoc etiam in loco euentus perspicimus. In vnaquaque enim ciuitate, et vico, et in agris, et in angulis, et in montibus, et collibus, et in solitudine penitus inculta Deus vniuersorum collaudatur.

Ego autem huius libri lectores obsecro, vt si bene et apte expositus videatur, vtilitatem exinde percipiant. Sicubi vero arcana sancti Spiritus mysteria assecuti non sumus, ne nobis vehementer succenseant. Quae enim inuenire potuimus, omnibus sine inuidia proposuimus, et quae a patribus nostris didicimus, posteris nostris af-

1) Cod. I. παιδεύων. 2) τῶν ψαλμῶν. Abest a Cod. I. 3) προφ. Ibid. πραγματείας. 4) ἐνταῦθα. Cod. I. αὐτά. 5) Ibid. ἡρμηνεῦσαι. 6) προτεθ. Ibid. προσενεγκεῖν ἐσπουδάσαμεν.

a) Rom. 3, 29. b) Ps. 144, 21.

ferre studuimus. Et nos quidem laborem suscepimus, aliis autem sine labore fructum proferimus. Quos precor atque obtestor, vt suis precibus nostrum laborem compensent: vt ab ipsis adiuti, verbis opera adiungamus, et hoc modo beatitudinem ex vtrisque compositam reportemus. Qui enim, inquit, a) fecerit et docuerit, magnus vocabitur in regno cælorum. Quod quidem vtinam nobis omnibus contingat per Christum Iesum Dominum nostrum, cum quo Patri gloria conuenit, et cum sancto Spiritu, in secula seculorum, Amen.

κεῖν ἐσπουδάσαμεν. καὶ τὸν μὲν πόνον ἡμεῖς ἠνεχόμεθα, ἄπονον δὲ ἄλλοις ὠφέλειαν προσφέρομεν. οὓς ἀξιῶ εὐχαῖς τὸν πόνον ἀμείψασθαι· ἵνα ταύταις ἐρειδόμενοι, προσθῶμεν τοῖς λόγοις τὰ ἔργα, καὶ τὸν ἐξ ἑκατέρων συγκείμενον μακαρισμὸν καρπωσώμεθα. ὁ γὰρ ποιήσας, φησὶ, καὶ διδάξας, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ τῷ Πατρὶ δόξα πρέπει, σὺν τῷ 1) ἁγίῳ Πνεύματι, εἰς τοὺς 2) αἰῶνας, ἀμήν.

1) Cod. I. παναγίῳ. 2) αἰῶνας. Ib. sequitur τῶν αἰώνων.

a) Matth. 5, 19.

B. THEODORETI EPISCOPI INTERPRETATIONIS IN PSALMOS

FINIS.



ERRATA.

Pag. 1456. Not. lin. 2. leg. *permutauimus*.
p. 1457. lin. vlt. add. n. 7. *post* p. 1436.
p. 1458. Vers. lin. 4. leg. *datum* pro *elatum*.

ΠΙΝΑΞ



ΠΙΝΑΞ ΤΩΝ ΨΑΛΜΩΝ.

Γ. οε'. Γνω-

Ψαλμ. Γ. Φύλ.

Δ.

Ε.

Η.

Θ.

Ι.

Κ.

κε'. Κρῖνόν

M.

O.

Π.

Σ.

Τ.

νά. Τί

ΤΕΛΟΣ.



Paginae huius et sirmondianae Editionis iuxta hoc schema sibi respondent.

Not. Vbi *sic* adponitur, error in Paginis edit. sirmond. latens indicatur.

Editio Sirmondi. Tom. I.	Editio noua.	Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Editio noua.
Pag. 393	Pag. 1	Pag. 425	Pag. 51	Pag. 457	Pag. 106
- 394	— 2	- 426	— 52	- 458	— 107
- 395	— 3	- 427	— 54	- 459	— 109
- 396	— 5	- 428	— 55	- 460	— 110
- 397	— 7	- 429	— 57	- 461	— 112
- 398	— 9	- 430	— 58	- 462	— 114
- 399	— 10	- 431	— 60	- 463	— 115
- 400	— 11	- 432	— 62	- 466 (sic)	— 117
- 401	— 13	- 433	— 63	- 467	— 119
- 402	— 15	- 434	— 65	- 468	— 121
- 403	— 17	- 435	— 66	- 469	— 122
- 404	— 18	- 436	— 69	- 470	— 124
- 405	— 20	- 437	— 70	- 471	— 126
- 406	— 21	- 438	— 72	- 472	— 127
- 407	— 23	- 439	— 73	- 473	— 129
- 408	— 25	- 440	— 75	- 474	— 131
- 409	— 26	- 441	— 77	- 475	— 132
- 410	— 28	- 442	— 78	- 476	— 134
- 411	— 29	- 443	— 81	- 477	— 136
- 412	— 31	- 444	— 84	- 476 (sic)	— 138
- 413	— 33	- 445	— 86	- 477	— 139
- 414	— 34	- 446	— 87	- 478	— 141
- 415	— 35	- 447	— 89	- 479	— 143
- 416	— 37	- 448	— 91	- 480	— 145
- 417	— 39	- 449	— 92	- 481	— 146
- 418	— 40	- 450	— 94	- 482	— 148
- 419	— 41	- 451	— 96	- 483	— 150
- 420	— 43	- 452	— 97	- 484	— 151
- 421	— 45	- 453	— 99	- 485	— 153
- 422	— 46	- 454	— 101	- 486	— 155
- 423	— 48	- 455	— 102	- 487	— 156
- 424	— 49	- 456	— 104	- 488	— 158

Editio Sirmondi.		Editio noua.	
Pag.	489	Pag.	160
-	490	—	162
-	491	—	163
-	492	—	165
-	493	—	166
-	494	—	168
-	495	—	169
-	496	—	171
-	497	—	172
-	498	—	174
-	499	—	176
-	500	—	177
-	501	—	179
-	502	—	181
-	503	—	183
-	504	—	184
-	505	—	186
-	506	—	188
-	507	—	189
-	508	—	191
-	509	—	192
-	510	—	194
-	511	—	196
-	512	—	198
-	513	—	199
-	514	—	201
-	515	—	202
-	516	—	204
-	517	—	206
-	518	—	208
-	519	—	209
-	520	—	211
-	521	—	212
-	522	—	214
-	523	—	215
-	524	—	217
-	525	—	218
-	526	—	220
-	527	—	221


Editio Sirmondi.		Editio noua.	
Pag.	528	Pag.	223
-	529	—	225
-	530	—	227
-	531	—	228
-	532	—	230
-	533	—	232
-	534	—	233
-	535	—	235
-	536	—	236
-	537	—	238
-	538	—	239
-	539	—	241
-	540	—	242
-	541	—	244
-	542	—	245
-	543	—	247
-	544	—	249
-	545	—	250
-	546	—	252
-	547	—	254
-	548	—	255
-	549	—	257
-	550	—	258
-	551	—	260
-	552	—	262
-	553	—	263
-	554	—	265
-	555	—	266
-	556	—	268
-	557	—	270
-	558	—	271
-	559	—	273
-	560	—	275
-	561	—	276
-	562	—	278
-	563	—	279
-	564	—	281
-	565	—	283
-	566	—	285

Editio Sirmondi.		Editio noua.	
Pag.	567	Pag.	286
-	568	—	288
-	569	—	289
-	570	—	291
-	571	—	292
-	572	—	294
-	573	—	296
-	574	—	297
-	575	—	299
-	576	—	301
-	577	—	303
-	578	—	304
-	579	—	306
-	580	—	307
-	581	—	309
-	582	—	311
-	583	—	313
-	584	—	314
-	585	—	317
-	586	—	319
-	587	—	321
-	588	—	323
-	589	—	324
-	590	—	326
-	591	—	327
-	592	—	329
-	593	—	331
-	594	—	333
-	595	—	334
-	596	—	336
-	597	—	338
-	598	—	340
-	599	—	341
-	600	—	343
-	601	—	345
-	602	—	347
-	603	—	350
-	604	—	352
-	605	—	354

Editio



Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Editio noua.
Pag. 606	Pag. 356	Pag. 644	Pag. 440	Pag. 682	Pag. 510
- 607	— 358	- 645	— 442	- 683	— 512
- 608	— 360	- 646	— 444	- 684	— 514
- 609	— 362	- 647	— 447	- 685	— 516
- 610	— 365	- 648	— 449	- 686	— 517
- 611	— 368	- 649	— 451	- 687	— 519
- 612	— 370	- 650	— 452	- 688	— 521
- 613	— 373	- 651	— 454	- 689	— 523
- 614	— 375	- 652	— 456	- 690	— 524
- 615	— 377	- 653	— 458	- 691	— 526
- 616	— 379	- 654	— 460	- 692	— 528
- 617	— 381	- 655	— 462	- 693	— 530
- 618	— 383	- 656	— 463	- 694	— 532
- 619	— 386	- 657	— 465	- 695	— 534
- 620	— 388	- 658	— 467	- 696	— 536
- 621	— 390	- 659	— 469	- 697	— 538
- 622	— 392	- 660	— 471	- 698	— 539
- 623	— 394	- 661	— 473	- 699	— 541
- 624	— 396	- 662	— 475	- 700	— 542
- 625	— 398	- 663	— 477	- 701	— 544
- 626	— 399	- 664	— 478	- 702	— 545
- 627	— 401	- 665	— 480	- 703	— 547
- 628	— 403	- 666	— 481	- 704	— 549
- 629	— 405	- 667	— 483	- 705	— 550
- 630	— 407	- 668	— 484	- 706	— 552
- 631	— 410	- 669	— 486	- 707	— 553
- 632	— 412	- 670	— 487	- 708	— 554
- 633	— 413	- 671	— 490	- 709	— 556
- 634	— 416	- 672	— 492	- 710	— 558
- 635	— 417	- 673	— 494	- 711	— 559
- 636	— 420	- 674	— 496	- 712	— 561
- 637	— 422	- 675	— 497	- 713	— 562
- 638	— 423	- 676	— 499	- 714	— 564
- 639	— 425	- 677	— 501	- 715	— 565
- 640	— 427	- 678	— 503	- 716	— 567
- 641	— 430	- 679	— 505	- 717	— 568
- 642	— 434	- 680	— 507	- 718	— 570
- 643	— 437	- 681	— 508	- 719	— 571




Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Edi[illegible] nou[illegible]
Pag. 720	Pag. 573	Pag. 758	Pag. 645	Pag. 796	Pag. 71[illegible]
- 721	— 575	- 759	— 647	- 797	— 71[illegible]
- 722	— 577	- 760	— 648	- 798	— 71[illegible]
- 723	— 579	- 761	— 650	- 799	— 71[illegible]
- 724	— 581	- 762	— 652	- 800	— 71[illegible]
- 725	— 583	- 763	— 654	- 801	— 72[illegible]
- 726	— 584	- 764	— 655	- 802	— 72[illegible]
- 727	— 586	- 765	— 658	- 803	— 723
- 728	— 588	- 766	— 660	- 804	— 725
- 729	— 589	- 767	— 661	- 805	— 727
- 730	— 591	- 768	— 663	- 806	— 728
- 731	— 593	- 769	— 665	- 807	— 729
- 732	— 595	- 770	— 667	- 808	— 731
- 733	— 596	- 771	— 669	- 809	— 732
- 734	— 598	- 772	— 671	- 810	— 734
- 735	— 600	- 773	— 673	- 811	— 735
- 736	— 602	- 774	— 675	- 812	— 737
- 737	— 604	- 775	— 677	- 813	— 738
- 738	— 606	- 776	— 678	- 814	— 739
- 739	— 609	- 777	— 680	- 815	— 741
- 740	— 610	- 778	— 682	- 816	— 742
- 741	— 612	- 779	— 684	- 817	— 744
- 742	— 614	- 780	— 686	- 818	— 745
- 743	— 616	- 781	— 688	- 819	— 746
- 744	— 618	- 782	— 689	- 820	— 748
- 745	— 620	- 783	— 691	- 821	— 749
- 746	— 622	- 784	— 693	- 822	— 751
- 747	— 624	- 785	— 695	- 823	— 752
- 748	— 626	- 786	— 696	- 824	— 754
- 749	— 628	- 787	— 698	- 825	— 755
- 750	— 630	- 788	— 700	- 826	— 757
- 751	— 632	- 789	— 701	- 827	— 758
- 752	— 633	- 790	— 703	- 828	— 760
- 753	— 635	- 791	— 705	- 829	— 761
- 754	— 637	- 792	— 706	- 830	— 763
- 755	— 639	- 793	— 708	- 831	— 764
- 756	— 642	- 794	— 709	- 832	— 766
- 757	— 643	- 795	— 711	- 833	— 767

Editio

Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Editio noua.
Pag. 834	Pag. 769	Pag. 872	Pag. 826	Pag. 910	Pag. 881
- 835	— 770	- 873	— 828	- 911	— 883
- 836	— 772	- 874	— 829	- 912	— 884
- 837	— 773	- 875	— 831	- 913	— 885
- 838	— 774	- 876	— 832	- 914	— 887
- 839	— 776	- 877	— 833	- 915	— 888
- 840	— 777	- 878	— 835	- 916	— 890
- 841	— 779	- 879	— 837	- 917	— 891
- 842	— 780	- 880	— 838	- 918	— 892
- 843	— 782	- 881	— 840	- 919	— 894
- 844	— 783	- 882	— 841	- 920	— 895
- 845	— 785	- 883	— 842	- 921	— 897
- 846	— 786	- 884	— 844	- 922	— 898
- 847	— 788	- 885	— 845	- 923	— 899
- 848	— 789	- 886	— 847	- 924	— 901
- 849	— 791	- 887	— 848	- 925	— 902
- 850	— 792	*-890 (sic)	— 849	- 926	— 904
- 851	— 794	- 891	— 851	- 927	— 905
- 852	— 795	- 892	— 852	- 928	— 907
- 853	— 797	- 893	— 854	- 929	— 908
- 854	— 799	- 894	— 855	- 930	— 910
- 855	— 800	- 895	— 857	- 931	— 911
- 856	— 801	- 894 (sic)	— 858	- 932	— 912
- 857	— 803	- 895	— 860	- 933	— 914
- 858	— 804	- 896	— 861	- 934	— 915
- 859	— 806	- 897	— 862	- 935	— 917
- 860	— 807	- 898	— 864	- 936	— 918
- 861	— 809	- 899	— 865	- 937	— 919
- 862	— 811	- 900	— 867	- 938	— 920
- 863	— 813	- 901	— 868	- 939	— 922
- 364	— 815	- 902	— 870	- 940	— 923
- 865	— 816	- 903	— 871	- 941	— 924
- 866	— 817	- 904	— 873	- 942	— 926
- 867	— 819	- 905	— 874	- 943	— 927
- 868	— 820	- 906	— 875	- 944	— 929
- 869	— 822	- 907	— 877	- 945	— 930
- 870	— 823	- 908	— 878	- 946	— 932
- 871	— 825	- 909	— 880	- 947	— 933

Editio

Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Editio noua.	Editio Sirmondi.	Editio noua.
Pag. 948	Pag. 934	Pag. 960	Pag. 952	Pag. 972	Pag. 970
949	936	961	954	973	971
950	938	962	955	974	973
951	939	963	957	975	974
952	941	964	958	976	975
953	942	965	959	977	977
954	944	966	961	978	978
955	945	967	962	979	980
956	947	968	964	980	981
957	948	969	965	981	983
958	949	970	967	982	985
959	951	971	968		



TOI

